φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 δ. χρ. *post* βραχὺ M^o 3 Πρόγν. ...-μένου *om.* C^p M^o ψ ω 4 νοcήματοc P^a P^x M^o cώματοc ω (*1^a m.* S) ....cκέπτεcθαι P^x ἐcτιν *om.* P^x ψ 5 τοῦτο C^p τούτῳ P^x M^o -ων A^t 6 καὶ *alt. om.* P^x ψ *canc. seps. m. 2^a* S *post* τὸ: τ' (τε) P^x ψ *supra scrip. m. 2^a* S 7 τὴν *pr. om.* A^t *post* χώραν: καὶ τὴν ὥραν τοῦ ἔτουc (l. 5) φ M^o 7. 8 *post* κατ.: τὴν P^x 8 καταcκοπ. P^x 10 *ante* μή: καὶ *Ald.* cυνεχῶν ψ ἐπείγοιντο C^p P^x ψ *2^a m.* S ἐπιγένοι⟨ν⟩το M^o ἐπείγοιεν ω ἐπιγίγνοιντο φ 11 τὴν ...γον ὥραν A^t 12 ἀπαντῶεν C^p M^o ...ῶcιν (ὑπ....ῶcιν T) P^x ψ -οῖεν ω πάντωc φ 13 κατὰ ταύτην φ ...βάλοιεν P^a P^x M^o A^t ἑκάcτην ...ἡμέραν φ 14 *post* προcεπ.: κἀπὶ τούτων P^x *post* δέ: δεῖ P^a 15 *post* χρηcτοί: εἶεν ψ *m. 2^a* S *post* ἡμ.: γε P^x 16 *post* γίγν. καὶ P^a δυν. ἐρρ.] δόcεωc ἰcχυρᾶc P^x 16. 17 τὰ γαρ—ἐρρωμ. *om.* M^o ω 17 εἰ *post* ἀρχῆc *transp.* ψ 18 *ante* ἐνδ.: ποιήcεται καὶ ψ ....ξεται P^a C^p P^x *m. 2^a* (*supra scr.* ποιήcεται) S 19 ....μαίνων *1^a m.* S ....μαίνει P^a C^p P^x A A^t 21—23 φηcὶν—πρόcθεν *om.* A^t 22 ....θέcτεροι C^p S 24 *ante* ἤδη: δὲ ψ (*exc.* T) *m. 2^a* S 26 πρὸ *om.* L^a *post* νύκτα: φηcὶ γὰρ Ἱπποκράτηc ἐν τῷ δευτέρῳ τμήματι τῶν Ἀφοριcμῶν κε⟨φα⟩λ⟨αίῳ⟩ ιγ̅ P^x

“οἷϲι γὰρ κρίϲιϲ μέλλει γίγνεϲθαι, τουτέοιϲιν ἡ νὺξ δύϲφοροϲ ἡ πρὸ τοῦ παροξυϲμοῦ”, φηϲὶν Ἱπποκράτηϲ. καὶ γὰρ δυϲφορίαι καὶ ἀγρυπνίαι καὶ παραφροϲύναι καὶ κώματα καὶ δύϲπνοιαι καὶ ϲκοτόδινοι καὶ δυϲαιϲθηϲίαι καὶ ἀλγήματα κεφαλῆϲ καὶ τραχήλου καὶ ϲτομάχου καὶ πολλῶν ἄλλων μορίων, ἐπί τινων δὲ καὶ ὤτων ἦχοι καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν φαίνονται καὶ δάκρυον ἀκούϲιον ῥεῖ καὶ οὖρον ἴϲχεται καὶ χεῖλοϲ ϲείεται ἢ καὶ ἄλλο τι μέροϲ τρομῶδεϲ γίγνεται· καὶ λήθη καὶ ἄγνοια τῶν παρόντων καὶ ῥῖγοϲ ϲφοδρὸν ἐνίοτε ἐμπίπτει, καύϲου πρότερον μὴ γενομένου καὶ τοὐπίπαν ὁ παροξυϲμὸϲ προειϲβάλλει τῆϲ ϲυνήθουϲ ὥραϲ καὶ καῦμα πολὺ καὶ δίψοϲ ἀφόρητον ἕπεται καὶ βοῶϲι καὶ ἀναπηδῶϲιν, ὥϲπερ ἔκπληκτοι. καὶ τὸ τῆϲ κατακλίϲεωϲ ϲχῆμα φυλάττειν οὐ δύνανται, καὶ φόβοϲ ἐπικρέμαται τοῖϲ ὁρῶϲιν. ὁ δὲ ἰδιώτηϲ ἰατρὸϲ θεωρῶν τὴν ζάλην τῶν ϲυμπτωμάτων ταράττεται καὶ μετὰ τῶν οἰκείων τοῦ κάμνοντοϲ τὴν ϲυμφορὰν ὀδύρεται, διὰ δὲ τῆϲ ϲυμπαθείαϲ τὴν ἀμαθίαν κρύπτει. ἰατροῦ γε μὴν ἐϲτι γενναίου μὴ ταράττεϲθαι μηδ’ ἀγνοεῖν τὸ μέλλον ἀποβήϲεϲθαι, ἀλλ’ ἐκ τῶν παρόντων προγιγνώϲκειν οὐ μόνον ὅτι κρίϲιϲ μέλλει γίγνεϲθαι, ἀλλὰ καὶ ὁποία τιϲ ἔϲεϲθαι μέλλει.

Ὅπωϲ δεῖ προγιγνώϲκειν εἴτε ἀγαθὴ εἴτε φαύλη γενήϲεται κρίϲιϲ. κδ
τὴν δὲ ἀρίϲτην κρίϲιν, ἣν καὶ μόνην κρίϲιν ἁπλῶϲ ὀνομάζεϲθαί φαμεν, οὐ ϲτοχαϲτικῶϲ ἄν τιϲ ὥϲπερ τὰϲ ἄλλαϲ, ἀλλὰ βεβαίωϲ προγιγνώϲκει. πάντα γὰρ ἐπὶ τῶν τοιούτων νοϲημάτων εὐθὺϲ ἐξ ἀρχῆϲ ἀκίνδυνα φαίνεται τὰ ϲημεῖα, ὥϲπερ αὖ πάλιν ἐπὶ τῶν τεθνηξομένων ὡϲ ἐπὶ τὸ πολὺ ἐξ ἀρχῆϲ πάντα φαῦλα φαίνεται. πρῶτον μὲν οὖν ἁπάντων ἐπιϲκέπτεϲθαι χρὴ τὴν δύναμιν τοῦ νοϲοῦντοϲ, ἔπειτα δὲ τοὺϲ πεπαϲμοὺϲ ἐξ οὔρων τε καὶ διαχωρημάτων καὶ πτυϲμάτων. οὐδένα γὰρ πώ-

1—2 οἷϲι—παροξυϲμοῦ *Hippocr. Aph. II 13 (472, 11—12 L.)* 2—12 καὶ γὰρ δυϲφορίαι—ὁρῶϲιν *Gal. ib. (ib. 704, 3—13, 16)* 17 οὐ μόνον—μέλλοι *cf. Gal. ib. III 3 (ib. 705, 14—15)* 24—*p. 16, 2* ἔπειτα—ἐθεαϲάμην *Gal. ib. (ib. 16—706, 1)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 οἷϲ C^p ψ ὁκόϲοιϲ P^x γὰρ *om.* P^x M^o κρίϲειϲ P^x μέλλει κρίϲιϲ A^t μέλ. γίγ.] γίγνωνται P^x τούτοιϲιν P^x A^t 2 φ. Ἱπποκ. καὶ γὰρ *om.* P^x *ante* δυϲφ.. “ἡ δὲ ἐπιοῦϲα εὐφορωτέρα ὡϲ ἐπὶ πολύ” (*Hippocr. Aph. ib. ll. 12—13 v. supra in font.*), καὶ γὰρ πρὸ τοῦ παροξυϲμοῦ—ϲημεῖα P^x καὶ ἀγρ. *om.* ψ (*exc.* A) *canc. seps. m. 2^a* S 3 ϲκοτοδινίαι ψ (*exc.* A) *m. 2^a* S 3—5 καὶ δυϲ.—πολλῶν *om.* S 5 ἐ. τιν.] ἐνίοιϲ δὲ καὶ P^x καὶ *pr. om.* φ χ ψ 6 ῥέει φ 7 καὶ *pr.* P^x ψ (*exc.* A) ω (*1^a m.* S): ἢ *cett.* 8 ἐπιπίπτει ψ 8. 9 καῦϲοϲ—γενόμενον *post* ὥραϲ (10) P^x ἐπικαύϲω C^p καύϲω M^o καὶ καῦϲοϲ (-ον) ψ καύϲων ω 9 ...μενοϲ A P γιν....ον T γεν...ον D ω 10 κῶμα P^x A T A^t 12 *post* δύν.: κἄπειτα ἱδρὼϲ....αἱμορραγία ἢ καὶ πάντα ϲυμπίπτει P^x *post* ὁρ.: οὐ ϲμικρὸϲ P^x ὁ ἰδ. δὲ P^a ἰδιώτηϲ ‚*imperitus*‘ *recte Cornarius* 15 γε μ.] μέντοι ψ γε *om.* C^p M^o μὲν P^x εἶναι P^x *post* γενν.: τὸ φάναι ψ (*exc.* D) *add. m. 2^a* S 16 *ante* τὸ: τι ψ (*exc.* D) *add. m. 2^a* (*in marg.*) S 17 οὐ μ. *om.* P^a μέλλ. κρ. *transp.* P^a μέλλει P^a P^x A: μέλλοι *cett.* 18 γένηται L^a γίνεται P^a *ante* κρ.: ἡ P^x 19 τὴν δὲ *om.* L^a ἁπλ. κρίϲ. *transp.* χ ψ ω ἔφημεν ψ (*exc.* A) ἔφαμ. χ A ω 20 *ante* τὰϲ: καὶ A^t ....ϲκοι C^p M^o T A^t ...ϲκειν P^x *ex corr.* S 22 τὰ ϲημ. φαίν. *transp.* P^a αὖ] οὖν P^a A τεθνήξεϲθαι μελλόντων P^x 23 τὸ *om.* L^a M^o 25 *post* πτυϲ.: ὡϲ ἔγωγε μυρίαιϲ κρίϲεϲιν παραγεναμέν⟨αιϲ⟩ (*complevi,* ....νάμενοϲ *Deichgr.*) P^x 25—*p. 16, 2* οὐδ.—ἐθεαϲάμην] οὐδέποτε ἐθεαϲάμην ἀπολλύμενον οὐδένα τῶν ἐπὶ πεπαϲμοῖϲ κριθῆναι P^x

ποτε τῶν ἐπὶ προδηλωθείςῃ χρηςτῇ πέψει κριθέντων ἀπολλύμενον ἐθεαςάμην. τρίτον δὲ τὸ ἐν ἀκμῇ τοῦ τε ὅλου νοςήματος καὶ τοῦ μερικοῦ παροξυςμοῦ καὶ ἡμέρᾳ μαρτυρούςῃ ἀπαντῆςαι τὴν κρίςιν, ἐφεξῆς δὲ τό τε εἶδος τοῦ νοςήματος καὶ τὸ ἦθος· εἶδος μὲν λέγω εἰ τριταῖος ἢ τεταρταῖος ἢ ἀμφημερινὸς ἢ εἴ τις ἕτερος, ἦθος δὲ εἰ μέτριον καὶ ἐπιεικὲς ἢ πονηρὸν καὶ κακόηθες. μάλιστα δὲ τὸ ἦθος δηλώςει ςοι εἴτε ςωθήςεται εἴτε τεθνήξεται. καὶ ἐν μὲν τοῖς κατὰ θώρακα καὶ πνεύμονα πάθεςι προςέχειν μὲν μάλιστα χρὴ τοῖς πτύςμαςι, μὴ μέντοι μηδὲ τῆς τῶν οὔρων ἐπιςκέψεως ἀμελεῖν, προςεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα. ἐπὶ δὲ τῶν πυρεττόντων ἄνευ φλεγμονῆς τινος τῶν ςπλάγχνων τοῖς οὔροις μάλιστα προςέχειν τὸν νοῦν. ἐπὶ δὲ τῶν ὀλεθρίων νοςημάτων πρῶτον καὶ μέγιςτόν ἐςτι ςημεῖον τοῦ χωρὶς κρίςεως τεθνήξεςθαι ἡ ἐςχάτη ἀρρωςτία τῆς δυνάμεως· οὐ γὰρ ἐπεγείρεται πρὸς διαμάχηςιν. δεύτερον δὲ εἰ μηδὲν ὅλως εἴη μηδὲ τοὐλάχιςτον ςημεῖον πεπαςμοῦ· ἀλλ' εἰ καὶ προδηλώςειεν ἐπίδηλος ἡμέρα τὴν μέλλουςαν ἔςεςθαι κρίςιν, ἅμα τε προδηλοῖ καὶ κακὴν ἔςεςθαι κρίςιν. πρὸς τούτοις δὲ ἐπιβλέπειν εἰ μέγα εἴη καὶ κακόηθες τὸ νόςημα καὶ μὴ μέντοι ταχέως κινοῖτο. μέγα δὲ λέγω ἡμιτριταῖον περιπνευμονίαν καύςωνα καὶ τὰ παραπλήςια. φέρε γὰρ ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὀφθῆναι πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν ἢ ἐναιώρημα ἢ ὑπόςταςιν μέλαιναν, εἶναι δὲ καὶ ςύμπαντα ςημεῖα καὶ ςυμπτώματα ὀλέθρια, τεθνήξεται μὲν ὁ τοιοῦτος ἄρρωςτος, ἀλλ' εἰ μὲν ὀξέως κινοῖτο κατὰ τὴν ἕκτην, εἰ δὲ βραδέως κατὰ τὴν ἑβδόμην.

κε "Οςαι ἀγαθαὶ κρίςιμοι ἡμέραι καὶ ὅςαι φαῦλαι. ἡ ἑβδόμη ἀπὸ τῆς ἀρχῆς τοῦ νοςήματος ἡμέρα παςῶν μάλιστα [καὶ] τῶν ἡμερῶν λύει

3—6 ἐφεξῆς—κακόηθες *Gal. ib. (ib. 706, 17—707, 2)* 7—18 καὶ ἐν μὲν—κινοῖτο *Gal. ib. (ib. 706, 3—8) ib. 10 (748, 11—15; 747, 15—16; 748, 16—17)* 19—23 φέρε—ἑβδ. *Gal. ib. (ib. 747, 17—748, 4)* 24 ἡ ἑβδόμη—δοκῇ *(17, 7) Gal. de diebus decretoriis I 5 (IX 791, 10—12, 792, 5—8, 791, 12, 14—17)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 *post* ἐπὶ: τῇ ψ (*exc.* P) *supra scr. m. 2ª* S δηλωθ. ψ (*exc.* P) ἀπολόμενον ψ (*exc.* D) 2 τὸ *om.* L^a 3. 4 ἐφ.] τέταρτον P^x 4 *ante* τὸ *pr.*: καὶ ψ (*exc.* A) τε *om.* P^a P^x ψ τὸ *alt. om.* L^a *post* ἦθος: εἴπωμεν δὴ καὶ περὶ τούτου τὸ τί ἐςτιν εἶδος καὶ τί ἦθος P^x 4—6 εἶδος μ.—κακόηθ. *om.* A 4 λέγω] ἐςτι P^x εἰ] ἢ C^p P^x ω 5 ...ταῖον ω ἢ τετ. *om.* C^p ἀμφ. ἢ τετ. P^x D P T τετ...ῖον ἢ ἀμφ...ὸν ω τινα ἕτερον ω *post* ἕτ.: τύπος ἐςτί P^x εἰ P^a D P T: ἢ *cett.* 6 καὶ *pr.*] ἢ L^a ....κέςτερον ω 8 πάθ. *post* θώρακα *transp.* ψ μὲν *om.* ω μᾶλλον P^a *om.* ω 9 προςεπιθεωρεῖν C^p 10 δὲ *pr.*] τε ψ 11 τῶν *om.* C^p M^o ψ ω ςπλάγχνου ψω μάλ. *om.* ψ (*exc.* D) 13 ἡ *om.* ψ *canc. seps. m. 2ª* S ἐςχ. *post* δυνάμ. M^o ἀρρ. ἐςχ. *transp.* C^o ψ ω 15 ...δήλως εἶεν L^a ...δήλως εἴη C^p ...δηλώςει ἐν A ..όδηλος ἢ P^a ..όδηλος εἶεν ω *ante* ἐπίδ.: ἡ P^x (ἐν T) ...δήλω ψ S *ante* ἡμ: εἰ (*leg.* ἡ) C^p ἢ ἡ P^x 16. 17 τὴν μέλλ.—κακόηθες *om.* A 16 κακὴν] ὅτι κακὴ D P T *m. 2ª* S ἔςεςθαι (τὴν P^x) κρίςιν (ἢ ἀγαθὴν P^x) *alt.*] προδηλοῖ M^o D P T ω *om.* C^p 17 *ante* τὸ: καὶ ω (*del. m. 2ª* S) 19 καῦςον α *exc.* L^a· 21 *ante* ςύμπ. (ξύμπ. P^x ψ): τὰ χ ψ ω ςημεῖα καὶ *om.* ω *post* ςημ.: τε P^x ψ 24 κρίςιμοι *post* φαῦλαι A *om.* D P T 25 παςῶν P^x P T: πάντων *cett.* καὶ *cum Cornario incl. Deichgraeber*

τελέως ἀεὶ καὶ πιστῶς καὶ ἀγαθῶς καὶ ἀκινδύνως καὶ σαφῶς καὶ εὐσήμως. τῆς ζʹ δὲ τὴν φύσιν ἡ ιδ μάλιστα μιμεῖται. πλησίον δὲ αὐτῶν ἐστιν ἡ θ καὶ ια καὶ ταύταις ἐγγὺς ιζ καὶ ε· μετὰ δὲ ταύτας ἡ δ καὶ μετὰ ταύτην γ καὶ κ· ἡ δὲ ς πολλάκις μὲν κρίνει, ἀλλὰ τὰς πλείους κρίσεις μοχθηρὰς ἢ καὶ θανατώδεις ἐπιφέρει, εἰ δὲ μή γε, οὐ τελείας οὐδὲ πιστάς. ὑποτροπιάζει γὰρ τὰ ἐν τῇ ς κρινόμενα νοσήματα κἂν λελύσθαι δοκῇ. εἰ δὲ καὶ τελεία κρίσις, ὅπερ ἐστὶ σπάνιον, ἐν τῇ ς γένηται, μετὰ κινδυνωδῶν συμπτωμάτων καὶ χαλεπῶν γίγνεται. τῆς μὲν οὖν ς τὴν φύσιν οὐδεμία ἄλλη ἐμιμήσατο τῶν ἡμερῶν. εἰ δέ ποτε εἰς τὴν η ἡμέραν ἢ τὴν ι ἢ τὴν ιβ ἢ τὴν ις ἐμπέσῃ λύσις ἀθρόα νοσήματος, ὁμοιοῦταί πως τῇ κατὰ τὴν ς. σπανίως γὰρ καὶ ἐν ταύταις λύεται καὶ οὔτε πιστῶς οὔτε ἀγαθῶς οὔτε τελέως ἀλλὰ καὶ ἀσαφῶς καὶ ἀσήμως. μεταξὺ δέ πως τῶν πρώτων εἰρημένων ἀγαθῶν καὶ τῶν μετὰ ταύτας κακῶν ἡ ιγ μάλιστα κατεφάνη τετάχθαι, μήτε ὁμοίως ἀπόβλητος οὖσα ταῖς κακαῖς, μήθ᾽ ὁμοίως ταῖς ἀγαθαῖς πεφυκυῖα· δεῖ δὲ πάντως εἰ μέλλοι ἀγαθὴ γενήσεσθαι κρίσις, προδεδηλῶσθαι μάλιστα μὲν ἐν τοῖς οὔροις, ἤδη δὲ καὶ τοῖς λοιποῖς σημείοις. ἡ μὲν οὖν γ καὶ δ καὶ ε τῶν ἡμερῶν προδηλοῦνται εὐθὺς ἐξ ἀρχῆς· ἡ δὲ δ προδηλοῖ τὴν ζ, ἡ δὲ ζ τὴν ια, ἡ δὲ ια τὴν ιδ, ἡ δὲ ιδ τὴν ιζ, ἡ δὲ ιζ τὴν κ. ὅρος δὲ τῶν ὀξέων νοσημάτων ἡ ιδ ἐστίν, ὡς εἴ γε ταύτην ὑπερβαίνοι τὸ νόσημα ἐκπέπτωκε τῶν ὀξέων.

Ἐφ᾽ ὧν ἀμφιβάλλεται ἡ ἡμέρα τῆς ἀρχῆς τοῦ νοσήματος καὶ κς
μηδεμιᾶς προδήλου προγεγενημένης ἐξαίφνης ἐγένετο κρίσις, πῶς δεῖ ἐξευρεῖν τὸ ἀμφιβαλλόμενον. ἐφ᾽ ὧν δὲ μηδεμιᾶς προδήλου προγεγενημένης ἐξαίφνης ἐγένετο κρίσις καὶ ἐφ᾽ ὧν οὐ γιγνώσκομεν ἀκριβῶς τὴν ἀρχὴν τοῦ νοσήματος, εἰς ταῦτα ἀποβλέπων τὰ γνωρίσματα εὐ-

8—15 τῆς μὲν οὖν — πεφυκυῖα *Gal. ib. (ib. 792, 8—14, 17, 793, 1, 7—10)*
24—*p. 18, 14* ἐφ᾽ ὧν — λέγειν τὴν ἡμέραν *cf. Gal. ib. I 8 (ib. 810, 3—16)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*ª S] ω (S A^t) 1. 2 εὐσήμ. καὶ σαφ. *transp.* P^x εὐσχήμως C^p 2 φύσιν] πίστιν ω μιμ. μάλ. *transp.* P^a 3 ἡ *pr. om.* D P ια καὶ θ *transp.* M^o *ante* ια: ἡ P^x ψ (*exc.* T) A^t κ. ταύτ.—ιζ *om.* P^x M^o *supra scr. m. 2*ª S *ante* (*post* A^t) ἐγγύς: ἐστιν χ (*exc.* C^p) ω *ante* ιζ: ἡ C^p *post* ιζ: καὶ ι A^t 4 μετ᾽ αὐτὴν C^p P^x ω *post* γ: τε ψ εἶτα πάλιν ἡ P^x κ] ιη C^p ιβ *1*ª *m.* S πλείστους P^a 6 *post* ς: ἡμέρα T ω 6. 7 κρινόμ.—ς *om.* T 8 συμπτ. *post* χαλεπῶν *transp.* D *om.* A P T 10 ἢ *pr.*] καὶ ψ (*exc.* T) *om.* P^x ἢ (ἢ] καὶ A T S) τὴν (ἢ τὴν *om.* P^x) ιβ (ια A) ἢ (καὶ P^x) τὴν ις (ἢ τ. ις *om.* A) ἢ τὴν ιθ (ἢ τ. ιθ *add.* C^p) *om.* D P A^t . . . έσῃ L^a *Gal. ed.* 11 καὶ *om.* φ 12 τελ. οὔτε ἀγαθ. *transp.* D 13 πρώτων] τε ψ *m. 2*ª S 14 ταῦτα A^t ἐφάνη P^x 15 ἀγ.] καλαῖς P^x 16 μέλλει ψ γίγνεσθαι P^x γενέσθαι (M^o) ψ (*exc.* T) 17 οὖν *om.* ψ *ante* γ: ἐν τῇ P^x 18 καὶ ε *om.* P^x 19 δὲ *pr. om.* D P ἡ δὲ *alt.*] καὶ ἡ A δὲ *alt. om.* D P T δὲ *tert. om.* P^x D P T ἡ δὲ *quart.*] καὶ ἡ M^o D δὲ *quart. om.* P T 20 . . . βαίη A -νῃ P -νει P^a P^x M^o D T ω 23 γεγεν. P^a M^o D 23. 24 πῶς — ἀμφιβ. *om.* P^a 24 τὰ. . . . όμενα T ω *om.* D 24. 25 ἐφ᾽ ὧν—κρίσις *om.* P^x 24 μιᾶς C^p A^t 24. 25 γεγ. ψ ω 25 γένοιτο C^p M^o *m. 1*ª S *Gal.* 26 εἰς τ.] ἐνταῦθα (M^o) *Ald. om.* A^t

ρήσεις τὸ ἀμφιβαλλόμενον· τῇ τῶν παροξυσμῶν ἀναλογίᾳ δεῖ προσέχειν τὸν νοῦν καὶ τῇ τῶν ἡμερῶν φύσει. εἰ μὲν γὰρ ἐν περιτταῖς ἡμέραις γίγνοιτο ὁ παροξυσμὸς ἐπὶ τῶν διαλειπόντων ἢ σφοδρότερος ἑαυτοῦ γίγνοιτο ἐπὶ τῶν συνεχῶν πυρετῶν, λογίζου τὴν παροῦσαν κρίσιν οἰκειοτέραν τῆς περιττῆς ἡμέρας εἶναι. εἰ δὲ ἐν ταῖς ἀρτίαις ἀεὶ παροξύνοιτο, ἐκείνων ἴδιος ἡ κρίσις ἔσται· τοῖς γὰρ σφοδροτέροις παροξυσμοῖς αἱ κρίσεις ἕπονται τοὐπίπαν. εἰς δὲ αὐτὴν τῶν ἡμερῶν τὴν φύσιν ὧδέ πως προσέχειν δεῖ τὸν νοῦν, εἴπερ ἀμφισβητοῖτο, πότερον ἐνάτης ἢ δεκάτης ἡμέρας ἡ κρίσις ἐστίν. εἰ μὲν γὰρ τὰ συμπτώματα πάντα ἠπιώτερα φαίνοιτο καὶ ἀκίνδυνος καὶ ἀγαθὴ γένοιτο ἡ κρίσις καὶ παρέποιτο τῇ κρίσει εὐφορία, θ̄ μᾶλλον εἶναι χρὴ λέγειν τὴν κριτικὴν ἡμέραν. εἰ δὲ κινδυνώδης καὶ φαύλη γένοιτο ἡ κρίσις καὶ μετὰ χαλεπῶν συμπτωμάτων καὶ δυσφορία μετὰ τὴν κρίσιν παρέποιτο, ῑ μᾶλλον εἶναι χρὴ λέγειν τὴν ἡμέραν.

κζ Περὶ τῆς ἐκ τῶν σφυγμῶν σημειώσεως. προσδοκωμένης ἤδη τῆς κρίσεως, πρὸ πάντων ἅπτεσθαι δεῖ τῶν σφυγμῶν. ὁ μὲν γὰρ ὑψηλὸς σφυγμός, ὥσπερ καὶ ὁ σφοδρός, ἐκκρίσεως ἁπάσης ἐστὶ γνώρισμα καὶ βέβαιον σημεῖον τοῦ παρεῖναι ἤδη τὴν κρίσιν τοῦ νοσήματος. εἰ δὲ καὶ σφοδρῶς καὶ εὐρώστως πλήττοι τοὺς δακτύλους, σὺν τούτῳ δὲ καὶ μέγας εἴη καὶ πρὸς διαστολὴν μᾶλλον ἐπείγοιτο ἤπερ πρὸς συστολήν, τῆς ἔξω κινήσεως μᾶλλον σημεῖόν ἐστιν· ἔξω δὲ λέγω αἱμορραγίαν καὶ ἱδρῶτας, εἴσω δὲ γαστρὸς ἐκτάραξιν καὶ τοὺς ἐμέτους. εἰ μὲν οὖν μέγας εἴη ὁ σφυγμὸς καὶ κυματώδης καὶ οἷον μαλθακίζοιτο σὺν τῷ εἶναι αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας νοτιῶδες καὶ πρὸς διαστολὴν μᾶλλον ἐπείγοιτο, δι' ἱδρώτων προσδοκητέον τὴν κρίσιν ἔσεσθαι. καὶ μέγας δὲ ἁπλῶς εἴπερ εἴη καὶ σφοδρὸς καὶ εἰ πρὸς διαστολὴν μᾶλλον ἤπερ πρὸς συστολὴν ἐπείγοιτο, αἱμορραγίαν διὰ ῥινῶν ἔσεσθαι δηλοῖ, συνεπιμαρτυρούντων δηλονότι τῶν ἐπὶ τῆς αἱμορραγίας ῥηθησομένων

16. 17 ὁ μὲν γὰρ — γνώρισμα *Gal. de cris. III 11 (IX 763, 9 — 10. 16)* 20—22 μέγας — ἐκτάραξιν *Gal. ib. (ib. 763, 10—13)* 28 ῥηθησομένων *cf. 28, 23*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m.* 2^a S] ω (S A^t) 1 ἡ *ante* δεῖ *add.* φ *m.*^{2} S δεῖ *om.* P ω 3 γένοιτο D P *m.* 2^a S (A^t) *ante* ἐπὶ (*et l. 4*): ὡς ψ *m.* 2^a S 4 γένοιτο A^t *post* λογ.: λοιπὸν P^x ψ *supra scr. m.* 2^a S 6 ἡ κρίσις ἰδίως *transp.* T ω ἡ *om.* P^x 8 δεῖ *om.* M^o 10 φαίν.] γίγνοιτο ω (*m.* 1^a S) ....δυνα ψ *ante* γέν.: ἂν P^x 11 μᾶλλον] μόνον ψ εἶναι *om.* ψ λέγ. *om.* L^a 13 παρέπ.] παρακολουθεῖ ω 14 χρὴ μᾶλ. εἶναι ω τὴν ἡμ. *post* ῑ P^x 15 *ante hoc cap.*: Περὶ σφυγμοῦ λόγος ᾱ. Τί ἐστι σφυγμός; Σφυγμός ἐστι κίνησις — οὐ χαλεπῶς εὑρήσεις [*A. Olivieri, Brani greci sul polso arterioso, in Mem. d. R. Accad. di Arch., Lett., B. A. di Napoli, VI, 1938*] P^x *post* σημ. (διαγνώς. T): ἐν κρισίμοις ἡμέραις P^x 16 χρὴ P^a 17 *ante* καὶ: ὁ C^p *id. ante* σφοδρὸς P^x ψ (*exc.* P) ω *Gal.*: *om.* φ M^o P κρίσεως ω (ἐκκ. *m.* 2^a S) 19 καὶ *pr. om.* ω πλήττει P^a χ (*exc.* M^o) ψ (*exc.* A) A^t τοσούτω D τούτοις A^t 20 *ante* εἴη: ἂν P^x 22 καὶ *pr. om.* P^x ψ ἱδρῶτα ψ (*exc.* T) εἴσω] ἔνδοθεν P^x ψ *suspra scr. m.* 2^a S τοὺς *om.* P^a 24 *ante* αὐτὸ: καὶ ω (*eras. m.* 2^a S) αὐτῶ P^a P^x M^o τῶ σώματι P^x ταῖς ἀρτηρίαις L^a 25 μᾶλλον *om.* P^x ψ καὶ *om.* χ ψ ω 26 μεγάλας L^a δὲ *post* ἁπλῶς *transp.* L^a εἴπερ *om.* ω (*supra scr. m.* 2^a S) εἰ πρὸς] εἰς χ ψ ω *post* μᾶλλον: ἐπείγοιτο δι' ἱδρώτων L^a 27 πρὸς] εἰς P^a C^p M^o ω *om.* L^a P^x 28 ταῖς ....γίαις ω

ϲημείων. εἰ δὲ ϲφοδρὸϲ μὲν εἴη, οὐ μέγαϲ δὲ καὶ ϲκληρότεροϲ ἑαυτοῦ γένοιτο καὶ ἀνώμαλοϲ καὶ εἰϲ ϲυϲτολὴν μᾶλλον ἐπείγοιτο, τῆϲ ῥοπῆϲ ἤδη ἐπὶ τὰ ἔντερα λαβούϲηϲ, διὰ τῆϲ γαϲτρὸϲ τὴν κρίϲιν δεῖ προϲδοκᾶν ἔϲεϲθαι.

Περὶ τῆϲ ἐκ τῶν οὔρων ϲημειώϲεωϲ, πρότερον δὲ ὁποῖον τὸ κατὰ κη
φύϲιν ἄριϲτον οὖρόν ἐϲτι διδάϲκει. ἐπὶ τῶν πυρεκτικῶν μάλιϲτα νοϲημάτων ἡ ἐκ τῶν οὔρων ϲημείωϲιϲ χρηϲιμωτάτη καθέϲτηκεν. ἡ ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύϲιν ἀπὸ τοῦ κατὰ φύϲιν εὑρίϲκεται, ἀπὸ τῶν κατὰ φύϲιν ἀρξώμεθα. οὖρον μὲν οὖν ἄριϲτόν ἐϲτιν ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ διακειμένων ἀνθρώπων ὑπόπυρρόν τε ἢ ὑπόξανθον καὶ τῷ πάχει ϲύμμετρον καὶ μένον τοιοῦτον τῇ χρόᾳ ὁποῖον ἀπουρηθῇ, λείαν δὲ καὶ λευκὴν καὶ ὁμαλὴν ἴϲχον ἀπόϲταϲιν παρὰ πάντα τὸν χρόνον· πλῆθοϲ δὲ πρὸϲ λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύϲιν οὖρον τῇ χρόᾳ λευκότερον τοῦ ἀνδρῴου εἶναι χρὴ καὶ ὑπόϲταϲιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆϲ παιδικῆϲ ἡλικίαϲ ἱκανῶϲ παχεῖαν ἔχειν αὐτὸ ὑπόϲταϲιν χρὴ διὰ τὰϲ τῶν παίδων ἀδηφαγίαϲ καὶ ἀτάκτουϲ καὶ ἀκαίρουϲ κινήϲειϲ. "λείαν δὲ ὑπόϲταϲιν" Ἱπποκράτηϲ καλεῖ τὸ ϲυνεχὲϲ καὶ ἀδιάϲπαϲτον δηλῶϲαι βουλόμενοϲ· "ὁμαλὸν" δέ φηϲιν, ἵνα διόλου ἀεὶ ὅμοιον οὐρῆται καὶ μὴ ϲήμερον μὲν πεπεμμένον, τῇ δὲ ἑξῆϲ ἄπεπτον, μήτε μὴν τὴν ὑπόϲταϲιν ἢ τὸ χῦμα ὅλον ἔχειν ἀνώμαλον. ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύϲιν οὔρου χρῶμα καὶ ϲύϲταϲιν τοῦ χύματοϲ καὶ τὰ παρεμφερόμενα ἐν τῷ χύματι, οἷον νεφέλην ἐναιώρημα καὶ τὴν ἐν τῷ πυθμένι ὑπόϲταϲιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων τρεπόμενον τὸ οὖρον ἀπεψίαν τὴν ἐν ταῖϲ φλεψὶν ἐνδείκνυται.

Ὁποῖον οὖρον ἄριϲτόν ἐϲτιν ἐπὶ τῶν νοϲούντων. ἄριϲτον μὲν κθ
οὖν ἐϲτιν οὖρον ἐπὶ τῶν νοϲούντων τὸ τοῖϲ ὑγιαίνουϲιν ὁμοιότατον,

6—*p. 25, 23* ἐπὶ τῶν πυρεκτικῶν — ὀξέων *[Gal.], de urinis ex Hippocrate, Galeno et aliis quibusdam 1—8 (XIX, 614, 18—618, 19, 619, 9—626, 11)* 9—12 οὖρον μὲν οὖν — ἀπόϲταϲιν *Gal., de cris. I 12 (IX 598, 16—17, 14—16, 599, 5—6), de urinis 9 (XIX, 627, 2—5)* 15—17 ἐπὶ δὲ τῆϲ παιδικῆϲ — κινήϲειϲ *cf. Gal. de cris. ib. (ib. 601, 10—16)* 17 λείαν | 25—*p. 20, 1* ἄριϲτον — ὑπόϲταϲιν

φ (Lᵃ Pᵃ) χ (Cᵖ Pˣ Mᵒ) ψ (A D P T) [*m. 2ᵃ* S] ω (S Aᵗ) 2 ἀνωμάλωϲ φ εἰϲ ϲυϲτ.] εἰ ἐντὸϲ (εἰεθυϲτὸϲ [*sic*] A) ψ 3 ἐπὶ *om.* ψ (*exc.* P) δεῖ τὴν κρ. *transp.* Cᵖ 4 *post* ἔϲεϲθαι: Περὶ ϲφυγμῶν ἡλικιῶν καὶ αἱ τούτων διαφοραί | Περὶ ϲφυγμοῦ .... ἐκ τοῦ Ἀριϲτοτέλουϲ καὶ Θέωνοϲ .... διαίρεϲιϲ *[A. Olivieri o. l.] et alia* Pˣ 5 ἐκ *om.* Pˣ T ω 6 ἄρ. οὖρ. ἐ. (οὖρ. ἄρ. ἐ. T *supra scr. m. 2ᵃ* S) *om.* ω ἐϲτι *om.* Pˣ Mᵒ A *post* ἐπί: μὲν οὖν Pˣ 8 ἅπαν Pˣ ψ τοῦ] τῶν Pᵃ Cᵖ A P ω *post* εὑρίϲκεται: πλὴν γὰρ οὖν ἀρτίωϲ Pˣ 9 ἀρχόμεθα Lᵃ 10 *ante* ὑπόπ.: τὸ Aᵗ τε ἢ *om.* Cᵖ ἢ] καὶ Pˣ ψ *m. 2ᵃ* S *Gal.* 12 δὲ] τε ψ ἔχων Cᵖ Pˣ -ον *Gal.* 13 πλῆθοϲ] πλὴν *Gal.* πρὸϲ] κατὰ *Gal.* 14 λευκότ. *post* γυναικ. Pˣ ἀνδρείου χ ω 15 ἔχ.] τοῦ ἀνδρίου εἶναι Pˣ 15. 16 ὑπ. α. ἔχ. *transp.* Cᵖ 16 ὑπ. α. *transp.* Pᵃ 16. 17 ἀκ. κ. ἀτ. *transp.* Pˣ ψ 17 ἀκ. κινήϲ.] ἀκινήϲειϲ Cᵖ *ante* Ἱππ.: ὁ *add.* Pᵃ 18 ὁμ.] μᾶλλον Mᵒ 19 ...εἶται Pˣ Mᵒ ω μὲν *om.* Cᵖ Pˣ Aᵗ *Gal.* τ. δ. ἑξ.] αὔριον Pˣ 20 ἔχ. ὅλ. *transp.* ψ 20. 21 ζητήϲωμεν Pˣ 21 *post* οὔρου: τάδε οἷον *add.* Pˣ 22 παρεμφαιν. Mᵒ ἐν *om.* ψ *eras. m. 2ᵃ* S ὑπὸ νεφέληϲ *add. Gal.,* ἢ *add. Corn.* 25 *post* Ὁπ.: οὖν Pˣ ἄρ. οὖρ. *transp.* D P ἐπὶ — νοϲ. *om.* A T 26 οὖρ. ἐϲτ. *transp.* φ Pˣ ἐϲτιν *om.* Pˣ

ὕπωχρον ἢ ὑπόξανθον, λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ἀεὶ γὰρ ὑγιαίνοντος οὖρον ὑπόστασιν ἔχει τοιαύτην. ὑποδεέστερον δὲ τὸ ἔχον ἐναιώρημα λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. ἔτι δὲ τούτου ἀπεπτότερον τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ' ὧν γὰρ πνεῦμά ἐστιν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι· διαμερίζον δὲ αὐτὴν οὐ συγχωρεῖ ἑνοῦσθαι. εἰ δέ τι πλεονάσει τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα, μετεωρίζει τὴν ὑπόστασιν κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ καλούμενον ἐναιώρημα· εἰ δὲ ἔτι καὶ μᾶλλον πλεῖον εἴη τὸ ἄπεπτον πνεῦμα, πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν καὶ ποιεῖ τὴν καλουμένην νεφέλην. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα μερίζειν καὶ μετεωρίζειν τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον νόμιζε τὸ οὖρον. εἰ δὲ μήτε ὑπόστασιν μήτε ἐναιώρημα μήτε νεφέλην ἴσχει τὸ οὖρον, εἰδέναι χρὴ ὅτι οὔπω τὸν νοσοποιὸν χυμὸν ἔπεψεν ἡ φύσις. εἰ δέ ποτε μὲν ἔχει ὑπόστασιν ἢ ἐναιώρημα ἢ νεφέλην, ποτὲ δὲ οὐ, μάχην δηλοῖ τῆς φύσεως πρὸς τὸ νόσημα, κἀκεῖθεν ποτὲ μὲν ἄπεπτον, ποτὲ δὲ οὔ. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων καὶ τῶν ἐφημέρων πυρετῶν νεφέλη μόνη ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος, ἐνίοτε δὲ καὶ τὸ εὔχρουν γενέσθαι τὸ οὖρον μόνον.

λ̄ Ὅτι οὐ πᾶσα λευκὴ ὑπόστασις ἀγαθόν τι σημαίνει καὶ περὶ ὠμοῦ χυμοῦ καὶ πύου. πολλάκις δὲ τὸ λευκὸν χρῶμα τοῦ παρεμφερομένου ἐν τῷ χύματι ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι μὴ οὖσαν χρηστήν. συμβαίνει γὰρ ὠμὸν χυμὸν καὶ λευκὸν συνεκκρινόμενον τῷ οὔρῳ ὑφίστασθαι καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν. ἐνίοτε δὲ ἥπατος ἢ νεφρῶν πεπονθότων πῦον ἐκκρίνεται σὺν τῷ οὔρῳ καὶ ὑφιστάμενον ἀπατᾷ καὶ τὸν τεχνίτην. ἀλλὰ τοῦτο πρῶτον διορίζεται τῷ προπεπονηκέναι τὸν ἄνθρωπον τὸν νεφρὸν ἢ τὸ

cf. p. 19, l. 9 sqq. Hippocr. Prognost. 12 (p. 89, 16 sqq. Kühlew.) et Gal. comm. CMG V 9, 2 p. 280, 19 sqq. ἄριστον — ὑπόξανθον *Or.*^{a} *VI, 4 (186, 2—3)*
3 ἐναιώρημα — ὁμαλόν *cf. Gal. ib. (ib. 602, 8—9)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 *post* ὕπωχ.: ἢ ὑπόπυρον P^x ἢ *om.* ψ (*exc.* T) 2 ἀεὶ — τοιαύτ.] ἐπὶ γ. τῶν ὑγιαινόντων τὸ οὖρ. ὑπ. ἔ. τ. P^a *om.* $C^p M^o$ ψ ω *Gal.* οὔρου $L^a P^x$ 3 ἔστι *Gal.* *ante* τούτου: καὶ ψ *m. 2*^{a} S 4 ᾧ C^p P T A^t 5 μὲν *alt. om.* A^t 6 παραφ. P^x ἐπιφ. A^t 7 τι] ἔτι $L^a P^x$ ψ ...άσῃ $C^p M^o$ ἄπ. *om.* P^x 7. 8 πν. ἐ. τ. βάθ. *transp.* P^x 8 τὸ *om.* $P^a P^x M^o$ 9 πλέον P^x ψ (*om.* T) εἴη πλ. *transp.* $P^a M^o$ *Gal.* 10 *ante* πν.: ἐν τῷ βάθει *add.* ω *post* πν.: μετεωρίζει τὴν ὑπόστασιν καὶ *add.* ω χύμ.] σχήματος A^t 10. 11 φέρει — νεφ.] αἴρει ω (*m. 1*^{a} S) 12 ...οῦτο C^p ...ούτων ω 13—16 εἰ δὲ — ποτὲ δὲ οὐ *canc. seps. m. 2*^{a} S *om.* C^p 14 οὔπω — νοσοπ.] καὶ ω οὔπω] ὑπὸ *Gal.* τῶν νοσοποιῶν χυμῶν *Gal.* 16. 17 κἀκ. — ποτὲ δὲ οὐ *om. Gal.* κἀκεῖθεν] καὶ διὰ τοῦτο P^x 17 ...τος φ M^o *post* ἄπ.: (ἐν)δείκνυται P^x ψ *m. 2*^{a} S 18 πυρετῶν *om.* ω 20 μόν. τὸ οὖρ. C^p ω 21. 22 καὶ π. ὠ. — πύου *om.* A ω (*m. 1*^{a} S) 22 τὸ παραφαινόμενον P^x ....φαινομένου M^o ψ (*exc.* A) *m. 2*^{a} S 23 ....στασις ...στὴ ψ 24 μὴ] οὐκ φ χ ψ οὖσα ...στή ψ ......νειν C^p χυμὸν *post* λευκὸν ψ καὶ *om.* ψ 25 χρηστὴν $L^a P^x$ χρηστῆς ὑποστ. *transp.* C^p 27 καὶ *alt. om.* P^x ω τοῦτο *om.* M^o ψ ω 27. 28 πρότερον (= *m. 2*^{a} S *Gal.*) μὲν (μ. γὰρ T) ψ 28 τῷ] τὸ φ C^p A^t

ἧπαρ ἤ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων· ἔπειτα δὲ καὶ δυσώδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται τῶν χρηστῶν ὑποστάσεων τῇ ἀνωμάλῳ συστάσει τοῦ παρυφισταμένου· οὐ γὰρ συνεχὴς ἑαυτῷ μένει, ἀλλὰ διαμερίζεται εἰς μικρὰ οἷον ψάμμια καὶ οὐδόλως λεῖός ἐστι καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν οὖν τῶν χρηστῶν οὔρων πρῶτον μὲν ἐπιφαίνεται νεφέλη, ἔπειτα ὑποκαταβαίνουσα ποιεῖ τὸ ἐναιώρημα· ἐπὶ τέλει δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ μετὰ τοῦ εἶναι κακόχροον καὶ τὸ χῦμα ὅλον, ἔπειτα δὲ κατὰ βραχὺ πεττόμενον καὶ λεπτυνόμενον αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δὲ ἐπὶ πλεῖον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπιπολῆς τοῦ χύματος καὶ ποιεῖ τὴν νεφέλην καὶ πλανᾷ τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προκόπτειν τὴν νόσον.

λα Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρὸν οὖρον. τὸ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον ἄπεπτον μέν ἐστι τῇ συστάσει, πεπεμμένον δὲ μετρίως τῇ χρόᾳ. ἀσθένειαν δὲ καὶ τοῦτο δηλοῖ τῆς φύσεως· τῷ μὲν γὰρ χρώματι ἔπεψεν ὡς ἂν ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον. εἰ δὲ καὶ πολὺν χρόνον φέρεται τοῦτο, κίνδυνος μὴ οὐ δυνήσηται διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεφθῇ ἡ νόσος. τὸ γὰρ πάνυ λεπτὸν φαῦλον· δηλοῖ γὰρ ἀπεψίαν παρ' ὅσον τὸ θερμὸν ἐκβόσκεται τὸ λεπτομερέστερον.

λβ Τί δηλοῖ τὸ λεπτὸν καὶ πυρρόν. τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυρρὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

λγ Τί δηλοῖ τὸ ἐρυθρὸν οὖρον. τὸ ἐρυθρὸν οὖρον ἀπεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι γὰρ ἐξ αἵματος ἰχω-

24. 25 τὸ δὲ λεπτὸν — σύστασιν *cf. Hippocr. ib. (90, 9—11)*

φ ($L^a P^a$ I) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 τι *post* ἕτ. *transp.* P^x *Gal. om.* φ A^t μόνον ψ (*exc.* D) 2 δὲ *pr. om.* ω 3 *post* διορ.: τι τῆς A^t διὰ *Gal.* ....στάσεως ω (*m. 1*^{a} S) *ante* τῇ: ἐπὶ P^x 4 ...χὲς $C^p M^o$ A P T S μεριζ. ω (*m. 1*^{a} S) 5 λεῖον α *correxi* 7 δὲ (δ' ψ) *om.* ω (*m. 1*^{a} S) 8 δῆλον A^t 8. 9 *post* πεφθῇ: διακρίσεως γὰρ ἡ ὑφίζησίς ἐστι σημεῖον τῶν ἀλλοτρίων ἅμα καὶ βλαβερῶν ὑπὸ τῆς φύσεως ἀπὸ τῶν χρηστῶν ἐν αἵματι γιγνομένων (...ης A P T), οὗπερ αἵματος (...τι P^x) ὀρρὸς μέν ἐστι τὸ οὖρον· τεκμήρια δ' ἐκφέρει τῆς διαθέσεως *add.* P^x ψ, *in marg. sup. m. 2*^{a} S 10 τὸ A^t 11 *ante* κατὰ: καὶ ω (*m. 1*^{a} S) .....μενος ....μενος φ χ ω ....μένου ....μένου ψ *correxi* αἰωρ.] θεωρεῖται ω (*m. 1*^{a} S) 13 ἐπιπολὺ $P^a P^x$ ω 14 πλανᾷ] ἀπατᾷ P^x ψ 15 προβαίνειν χ ψ ω *Gal.* 16 οὖρ. *om.* χ P ω δὲ *om.* $C^p P^x$ A P T λεπ. κ. ὠχ. *alt.*] τοιοῦτον P^x 18 δηλ. κ. τ. *transp.* A^t γὰρ *om.* ω 19 ῥαδίως P^x ω ...χον (χων) I χ ψ ω (*cf.* ὂν *Gal.*): ...χειν *cett.* 20—24 εἰ δὲ — Τί δηλοῖ *om.* C^p 20 ἀκίνδυνος μὲν *Gal.* 21 ...εται $P^a P^x M^o$ ψ (*exc.* A) ω ὁ ἄ. δι. *transp.* P^x 22 φαῦλον λεπτόν ἐστι P^x *ante* τὸ: χρὴ I M^o ω *Gal.* τὸ *om.* S 22. 23 ...σκεσθαι I ω *Gal.* 23 *post* λεπτομ.: καὶ πάλιν ἔστω τῇ συστάσει ἄπεπτον, τουτέστι λεπτόν· ἐν δὲ τῷ χρώματι μετρίως πεπεμμένον — διὰ τὸ δυσκολώτερον *sim. ll. 16—20* P^x 25 ἄμεμπτον A^t τῇ συστάσει. καὶ πάλιν· ἔστω πάλιν λεπτὸν ἀλλὰ μηδὲ ἔστω τῷ χρώματι καὶ ὑπάρχεται πυρόν. βέλτιον μὲν τοῦτο τοῦ προτέρου τυγχάνει· ἔστι δὲ ἄπεπτον διὰ τὴν σύστασιν P^x 26 σημ.] δηλοῖ I A^t 27 δεῖσθαι *Gal.* γὰρ] οὖν P^x *om.* I

ροειδοῦς, μήπω τελείαν πέψιν λαβόντος, μηδὲ τὴν ἰδίαν χρόαν καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνόχων πυρετῶν ἐπὶ πλήθει αἵματος συνισταμένων ἐκκρίνεται οὖρον ἐρυθρὸν καὶ παχὺ καὶ ὑπόστασιν ἐρυθρὰν ἔχον. καὶ δηλονότι ἐστὶ τοῦτο καὶ τῷ χρώματι καὶ τῇ συστάσει τοῦ χύματος καὶ τῷ παρυφισταμένῳ ἄπεπτον.

λδ Τί δηλοῖ τὸ λεπτὸν οὐρούμενον καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον. τὸ δὲ λεπτὸν οὐρούμενον καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον, ἄπεπτόν ἐστι διὰ περιουσίαν πνεύματος παχέος. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέττειν.

λε Τί δηλοῖ τὸ παχὺ οὐρούμενον καὶ μένον παχύ. τὸ δὲ παχὺ οὐρούμενον καὶ μένον παχὺ καὶ μὴ καθιστάμενον, οἷόν ἐστι τὸ τῶν ὑποζυγίων, ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν οἷον ζύμωσιν· ἐπὶ τούτων κεφαλαλγίαι ἢ πάρεσιν ἢ παρέσονται διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν καὶ τὰς ἀναθυμιάσεις.

λϛ Τί δηλοῖ τὸ οὐρούμενον παχὺ καὶ μετὰ ταῦτα καθιστάμενον. τὸ δὲ οὐρούμενον παχὺ καὶ μετὰ ταῦτα καθιστάμενον παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν καὶ λελεπτύσθαι πoσῶς δηλοῖ, ἄρχεσθαι δὲ τὴν διάκρισιν.

λζ Τί δηλοῖ τὸ λευκὸν καὶ λεπτὸν οὐρούμενον καὶ μένον τοιοῦτον. ἐσχάτην ἀπεψίαν τὸ λεπτὸν καὶ λευκὸν οὖρον σημαίνει· οὐ γὰρ ἐνεχείρησεν ἡ φύσις ἐπὶ τούτου ὅλως πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο ἢ δι᾿ ἀσθένειαν τῆς δυνάμεως ἢ δι᾿ ἔμφραξιν ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γὰρ τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πάχος καὶ τὸ δυσπειθὲς τῆς ὕλης, διηθούμενον τὸ οὖρον λεπτὸν οὐρεῖται. οὐρεῖται δὲ λεπτὸν καὶ λευκὸν δι᾿ ἔμφραξιν ἥπατος ἢ νεφρῶν, ἀλλὰ διαγιγνώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δὲ ἐνίοτε λεπτὸν καὶ λευκὸν καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν καὶ σημαίνει φρενῖτιν ἀπειλουμένην. καὶ γὰρ ὁ καύσων πυρετὸς πλῆθος δηλοῖ

φ ($L^a P^a$ I) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 μήπω τελ. *Gal.* μήποτε λείαν α 2 σημ.] ὑπάρχει P^x 4 καὶ *pr. om.* C^p ἡ *post* καὶ *add.* L^a ....σις ....θρά φ χ D ψ *om.* C^p ἔχον (ἔχ.] οὗ A) κ. δ. ἐ. τ. (ἐ. τ. *om.* P^x) καὶ δ. ἐ. τ. ψ *m. 2ª* S *cf. Gal. om.* ω 5 χύμ.] αἵματος P^x τὸ $L^a P^x$ A P ....φιστάμενον $L^a P^x$ A P παρισταμένω A^t *post* ἄπεπτον: Τί δηλοῖ τὸ λεπτὸν ἐρυθρόν. τὸ τοιοῦτον οὖρον οὐ συνίσταται. τὸ γὰρ ἐρυθρὸν οὖρον ἀπὸ αἵματος γίγνεται κτλ. P^x 6 Τί — ἀναθολ. *om.* A^t μ. τ. ἔξω T S ἔξω I $C^p M^o$ D P *Gal.* ἔξωθεν (*post* ἀναθ.) P^x ὕστερον A 7 τὸ δὲ — μετὰ τ.] τὸ τοιοῦτον οὖρον P^x *om.* I *Gal.* δὲ *om.* M^o T ω ἔξω ἀναθολούμ. μετὰ ταῦτα L^a ἔξω] εἶτ᾿ P^x μετὰ τ. *om.* P^x 10 Τί — παχὺ *om.* A^t *post* παχὺ *pr.*: καὶ μὴ καθιστάμενον P^x 10. 11 τὸ δὲ π. — καθιστ.] τὸ τοιοῦτόν ἐστι P^x 11 ἐστι] ἄν τι P^x 12 τε] μὲν *Ald. om.* D T A^t *post* χυμ.: ταραχὴν καὶ P^a 15 Τί — καθ. *om.* A^t ἀποκαθ. (*et l. 16*) P^a 15. 16 τὸ δὲ — καθιστ.] τὸ τοιοῦτον οὖρον δηλοῖ P^x 17 λεπτύνθαι P^a ...υνθὲν I M^o λελεπτύνθαι C^p λεπτύνεσθαι A^t *m. 1ª* S *Gal. ante* ποσ.: μεμερισμένον I M^o *post* δὲ: καὶ I 18 ἀπόκρισ. A^t 19 τὸ λεπτ. κ. λευκ. *transp.* P^x ψ *m. 2ª* S λεπτὸν *tant.* ω (*m. 1ª* S) *Gal.* 20 *ante* ἐσχ. τὸ τοιοῦτον οὖρον P^x τὸ λεπ. — οὖρον *om.* P^x 21 τούτων I C^p ...οις P^x ω (*m. 1ª* S) ...νεσθαι P *post* τοῦτο: συμβαίνει P 24 πάθος ψ (*exc.* D) πλῆθος *Gal.* 24. 25 λεπτ. οὐρ.] γίνεται λεπτὸν A 25 οὐρεῖται *pr.*] καλεῖται A^t *om.* P T λευκ. κ. λεπτ. *transp.* P^a *ante* δι᾿: καὶ χ ψ ω *Gal.* 26 ἀλλὰ] αὕτη δὲ P^a 27 λευκ. κ. λεπτ. *transp.* $P^a P^x$ καὶ *alt. om.* L^a πυρετῶν *om.* ω (*m. 1ª* S) 28 καῦσος α *Gal. exc.* L^a πυρετὸς *delendum putaverim*

χολῆς· οὐ χρώννυται δὲ τὸ οὖρον. εὔδηλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολή, ἀλλὰ τῇ κουφότητι εἰς ἐγκέφαλον ἀνέδραμεν. εἰ μὲν οὖν μὴ πάρεστι φρενῖτις, ἐπὶ τούτων γίγνωσκε αὐτὴν μέλλουσαν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ παρούσης φρενίτιδος οὐρεῖται λεπτὸν καὶ λευκὸν οὖρον ἐπὶ διακαεστάτου πυρετοῦ, προαγγέλλει θάνατον ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ ἐν ἐγκεφάλῳ δύναμις ἤδη προκαταβεβλημένη τῷ διακαεῖ πυρετῷ ἐνέγκαι δριμύτητα καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

λη̅ Πόσαι διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων καὶ τί σημαίνουσιν. εἴωθεν ὁ πυρετὸς πρότερον τὴν πιμελὴν ἐκτήκειν, ἔπειτα τὴν σάρκα, ἔσχατον δὲ καὶ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται. τῆς μὲν οὖν πιμελῆς τηκομένης τὰ ἐλαιώδη οὖρα ἐκκρίνεται, κατὰ βραχὺ δὲ ἡ πιμελὴ τήκεται, ὅθεν καὶ ἀρχὴν ἔχει καὶ ἀνάβασιν καὶ ἀκμήν. ἐν ἀρχῇ μὲν οὖν τῆς συντήξεως ἐλαιόχροα ποιεῖ τὰ οὖρα, ὡς εἶναι αὐτὰ ἀμφίβολα εἴτε ὑδατώδη εἴτε ἐλαιώδη ἐστίν· ἐν δὲ τῇ ἀναβάσει ἐλαιοφανῆ γίγνεται, ἐπισημοτέραν τὴν μίξιν τοῦ ἐλαιώδους ἔχοντα· ἐν δὲ τῇ ἀκμῇ τῆς συντήξεως ὅλα δι' ὅλου τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιόν εἰσιν. ἀλλ' αὕτη ἡ τηκομένη πιμελὴ ἢ τῶν νεφρῶν μόνον ἐστὶν ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν νεφρῶν μόνον εἴη, ἀθρόως ἐκκρίνεται τὸ πλῆθος τοιοῦτον, ἀλλὰ καὶ θερμασίας πλείονος αἴσθησις περὶ τοὺς νεφροὺς γίγνεται· εἰ δὲ ἐκ τοῦ παντὸς σώματος εἴη, κατὰ βραχὺ τὴν προσθήκην ποιεῖται.

λθ̅ Τί δηλοῦσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις. ὅταν δαπανηθεῖσα ἡ πιμελή, λοιπὸν ἡ σὰρξ τήκεται καὶ ὀροβοειδεῖς αἱ ὑποστάσεις γίγνονται ἐν τοῖς οὔροις, ἀλλὰ καὶ αὗται ἢ τῶν νεφρῶν μόνον εἰσὶν ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν ἐν πυρετοῖς φανείη τοιοῦτον οὖρον, τοῦ παντὸς σώματος δηλοῖ τὸ πάθος εἶναι, εἰ δὲ μή, τῶν νεφρῶν μόνον· καὶ πάλιν εἰ μέν ἐστιν ἀπεψία τῶν οὔρων, ὅλου τοῦ σώματος τὸ

φ (L^a P^a I) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 εὐδ. ὅτι] διότι P^a *ante* ὅτι: οὖν C^p 3 *ante* φρεν.: ἡ P^x ψ 4 ἤδη *om.* L^a 4. 5 λευκ. κ. λεπτ. *transp.* P^x ω 5 οὖρον *om.* M^o ψ (*exc.* D) 6 τὸ *om.* L^a ...μενεῖ ψ *post* ὑπομ.: ἡ φύσις L^a ἐν *om.* ψ (*exc.* D) ....φάλου ψ (*exc.* D) 8 σεσ.] πεπηκυίας A^t *post* σεσ. *multa add.* P^x (*inc.* Τί δηλοῖ τὸ λεπτὸν μέλαν. εἰ δὲ τελευταία ἐστὶ συμπλοκή *expl.* ἡμεῖς δὲ ὀλέθρια ἔφαμεν εἶναι ταῦτα ἐπὶ τῶν ὀξέων) 10 πρῶτον P^x A D T -ος P 11 καὶ *om.* P^x ψ ....πτεσθαι ψ *m. 2ª* S ἅπτεται. ἀλλὰ τῶν στερεῶν ᾱ μὲν τὰ ἐπιβολῆς διαξέει — διακόπτει τὰ σώματα P^x 13 *post* ἔχει: τῆς συντήξεως P^x 14 εἶναι] ἂν P T αὐτὰ *om. Gal.* ἐναμφίβ. C^p M^o T ἐν ἀμφιβολίᾳ A ἐ....όλω D ἀναμφίβολα I P ω 15 εἰσίν P^x ψ ἔσται ω (*m. 1ª* S) 17 ὅλα — τ. οὖρα *om. Gal.* ὅλων C^p M^o A ω (*m. 1ª* S) 18 εἰσιν *ante* οἷον P^a ἐστιν χ ψ *m. 2ª* S *Gal.* ἡ πιμ. ἡ τηκ. ω (*m. 1ª* S) μόνων P^a P^x A D T ω 19 *ante* νεφρ.: τῶν P^x ψ ω μόνον P^x P T *Gal. om.* C^p μόνων *cett.* εἴη μόνον I ἀθρόως — εἴη *om.* T 20 ἐκκρ.] ἐκκόπτεται A^t τὸ *om.* α *Gal. exc.* L^a 22 *post* ποιεῖται. Ἑτέρα ἑρμηνεία τῶν ἐλαιωδῶν οὔρων. τῶν ἐλαιωδῶν οὔρων αἱ διαφοραί εἰσι δύο — περὶ μὲν τῶν ἐλαιωδῶν ἱκανὰ διωρίσαμεν P^x 23 σημαίνουσιν I C^p M^o ψ ω *Gal.* ....νηθείσης τῆς ...ελῆς P^a I ....νηθῇ C^p ψ 24 ἄρχεται τήκεσθαι P^a *post* τήκ.: τηκομένης γὰρ δηλονότι τῆς σαρκὸς P^x καὶ *om.* α *exc.* ψ *Gal.* αἱ *om.* I χ ψ ω *Gal.* 25 μόνων P^a M^o *om.* P^x ψ 26 φανῇ ψ (*exc.* A) 27 εἶναι *om.* ψ (*exc.* A) *canc. seps.* S μή] ἐπὶ A^t μόνων φ M^o A D T ω 28 *ante* τό: ἐστι A^t *canc. seps.* S

κακόν. εἰ δὲ πεπεμμένον μὲν εἴη τὸ οὖρον, ὀροβοειδεῖϲ δὲ εἶεν αἱ ὑποϲτάϲειϲ, τῶν νεφρῶν δηλοῖ τὸ πάθοϲ.

μ̄ Τί δηλοῦϲιν αἱ πιτυρώδειϲ ὑποϲτάϲειϲ. ὅταν δὲ ὁ πυρετὸϲ δαπανήϲῃ τὴν πιμελὴν καὶ τὸ πλεῖον τῆϲ ϲαρκὸϲ καὶ ἐν τῷ βάθει τῶν ἀγγείων ἐγκαταϲκήψῃ, γίγνονται πιτυρώδειϲ αἱ ὑποϲτάϲειϲ, ϲτενώτεραι μὲν τῶν πεταλωδῶν, παχύτεραι δὲ αὐτῶν. ὁμοίωϲ δὲ καὶ ἐκ τῆϲ κύϲτεωϲ ἐκκρίνεται. ἀλλ᾽ εἰ μὲν πυρετὸϲ παρείη, ὅλου τοῦ ϲώματοϲ, εἰ δὲ μή, τῆϲ κύϲτεωϲ, καὶ εἰ μὲν ἄπεπτον εἴη τὸ οὖρον, τοῦ παντὸϲ ϲώματοϲ τὸ πάθοϲ, εἰ δὲ πεπεμμένον, τῆϲ κύϲτεωϲ μόνηϲ, ἀλλὰ καὶ τοπικὴ ὀδύνη ἐϲτίν.

μα Τί δηλοῦϲιν αἱ πεταλώδειϲ ὑποϲτάϲειϲ. ὅταν αὐτὰ πάθωϲι τὰ ϲτερεά, πρῶτον μὲν ἐπιπολῆϲ διαξέονται καὶ γίνονται πεταλώδη τὰ ἐν τοῖϲ οὔροιϲ, ἀλλὰ καὶ ἐκ τῆϲ κύϲτεωϲ μόνηϲ τοιαῦτα ἐκκρίνεται. εἰ μὲν οὖν εἴη πυρετόϲ, τὸ ὅλον ϲῶμα κεκάκωται, εἰ δὲ μή, τῆϲ κύϲτεωϲ τὸ πάθοϲ, καὶ εἰ μὲν ἄπεπτα τὰ οὖρα, τοῦ ὅλου ϲώματοϲ τὸ πάθοϲ, εἰ δὲ μή, τῆϲ κύϲτεωϲ μόνηϲ.

μβ Τί δηλοῖ τὰ κριμνώδη ἐν τοῖϲ οὔροιϲ. ἐπειδὰν δὲ ὁ πυρετὸϲ μετὰ τοῦ κατειληφέναι τὸ βάθοϲ καὶ μεῖζον πλάτοϲ ἐπιλάβῃ καὶ μῆκοϲ, ἁδρότερα γίνεται τὰ τοιαῦτα τῶν πιτυρωδῶν καὶ καλεῖται κριμνώδη. ἀλλὰ τὰ κριμνώδη δύο ϲημαίνει· ἢ γὰρ ὄπτηϲιν τοῦ αἵματοϲ δηλοῖ ἢ ϲύντηξιν ἰϲχυρὰν τῶν ϲτερεῶν. εἰ μὲν οὖν λευκὰ εἴη αὐτὰ τὰ κριμνώδη, τῶν ϲτερεῶν ϲωμάτων ἐϲτὶ τὸ πάθοϲ, εἰ δὲ ἐρυθρά, τοῦ αἵματοϲ.

μγ Τί δηλοῖ τὸ δυϲῶδεϲ οὖρον. τὸ δυϲῶδεϲ οὖρον ϲῆψιν δηλοῖ καὶ τῆϲ φύϲεωϲ νέκρωϲιν μέλλουϲαν.

μδ Τί δηλοῖ τὸ μέλαν οὖρον. πάντα τὰ μέλανα τῶν οὔρων εὐθὺϲ καὶ παχέα πάντωϲ ἐϲτίν· ϲπάνιον γὰρ ἢ οὐδόλωϲ εὑρεθῆναι λεπτὸν καὶ μέλαν. τὸ γὰρ μέλαν προϲγίγνεται χρῶμα τοῖϲ οὔροιϲ ἐκκαθαιρομένου τοῦ μελαγχολικοῦ χυμοῦ ἢ αὐτῆϲ τῆϲ μελαίνηϲ χολῆϲ τῆϲ τε

φ (L^a P^a I) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 μὲν *om.* ψ ἢ ψ (*exc.* A) *post* οὖρ.: ὅλου τοῦ ϲώματοϲ τὸ καλὸν P^x εἰϲιν ψ (*exc.* P) εἶναι I C^p P αἱ *om.* I C^p ψ 2 *post* πάθοϲ: Τί δηλοῦϲιν εἰϲ^T αὐτὸν ἑτέρα ἑρμηνεία· ὅταν ἡ ϲὰρξ τήκεται, ὀροβοειδεῖϲ αἱ ὑποϲτάϲειϲ γίνονται — ταῦτα δέ εἰϲι τὰ εἰρημένα περὶ τούτων P^x 3 ὅτε P^a A ω (*m. 1ª* S) ...ϲει P^a I P^x T A^t 4.5 τῶν ἀγγ.] τῆϲ ϲαρκὸϲ ψ 5 ...ϲκέψει τότε P^x ϲτενότ. *codd.* 6 καὶ *om.* P^x ω (*m. 1ª* S) 7 παρῇ φ C^p: παρείη *cett. Gal.* *post* ϲώμ.: τὸ (*om.* A) κακὸν P^x ψ (*exc.* T) A^t τ. πάθοϲ S 9 πεπευμ. L^a P^x 11 Τί — ὑποϲτ.] Περὶ πεταλωδῶν οὔρων *in marg* P^x 12 πρῶτα P^a χ (*exc.* M^o) ω 12. 13 ἐν τ. οὔρ.] οὖρα P^x 13 *post* ἐκκρ.: τοῖϲ δὲ προειρημένοιϲ ἐπὶ τῶν νεφρῶν διαμερίζον^T P^x 14 *post* πυρ.: καὶ P T τὸ *post* ὅλον *transp.* C^p D 15. 16 καὶ εἰ — μόνηϲ *om. Ald.* 15 ὅλου τοῦ *transp.* C^p A 17 τὸ ....ῶδεϲ A^t ἐν ...οὔροιϲ] οὖρα P^x δὲ *om.* I A^t 18 τὸ P^x D A^t βάθοϲ *et* πλάτοϲ] πάθοϲ A^t ...βάλλῃ P^x A 19 ...ότερον P^x A ω *Gal.* πιτύρων χ ψ ω 20 ἢ γὰρ] ᾱ P^x δηλοῖ ἢ] δεύτερον P^x 24 τὸ — οὖρον *alt. om.* P^x ψ *ante* οὖρον *alt.*: δὲ χ ω 25 *post* μέλλ.: καὶ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα· λοιπὸν δὲ περὶ τοῦ χύματοϲ — κατὰ ϲύϲταϲιν οὐ δύναται ϲυμπλακῆναι P^x 26 *Capp.* μδ, με *om.* P^x τὸ μ. οὔρ.] τὰ μέλανα ἐν τοῖϲ οὔροιϲ T 27 πάντων M^o ω (*m. 1ª* S) *ante* ϲπαν.: ὀλέθρια I ω (*canc. seps. m. 2ª* S) 28 χρ. προϲγ. I C^p M^o ψ ω 29 — *p. 25, 19* ἢ αὐτῆϲ — μέλ. κ. παχ. *post* περιττώμ. (*p. 25, 22*) *transp.* I

διὰ ψῦξιν γιγνομένης καὶ τῆς δι' ὑπερόπτησιν. (τοῖς μὲν ἀνδράσι καὶ ταῖς γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖς δ' αὖ παιδίοις τὰ ὑδατώδη· ἧττον δ' ὀλέθρια γίγνονται τὰ μέλανα τοῖς ἄρρωστον ἔχουσι τὸν σπλῆνα καὶ οὐκ ἐκ διακαύσεως οὔτ' ἐκ διαψύξεως μελαίνεταί τε καὶ πελιοῦται τὸ αἷμα καθάπερ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἐξ ἀναχύσεως τοῦ μελαγχολικοῦ). αἱ δὲ τρεῖς αὗται διαφοραὶ παχυτάτας κέκτηνται τὰς συστάσεις. ἐξ ἀνάγκης οὖν καὶ παχέα εὑρεθήσεται τὰ μελανὰ τῶν οὔρων. ἐπὶ μὲν οὖν τῶν ὀξέων νοσημάτων ὀλεθριώτατόν ἐστι σύμπαν τὸ οὖρον μελανθὲν καὶ μάλιστα ὅταν καὶ δυσῶδες ὑπάρχῃ καὶ παχὺ καὶ ὑπόστασιν ἔχον μέλαιναν· ἀδύνατον γὰρ ὀξέως νοσοῦντα τοιοῦτον οὐρήσαντα σωθῆναι. καὶ εἰ μὲν ὑπόστασις εἴη μέλαινα, ὀλεθριώτατον, εἰ δὲ ἐναιώρημα μέλαν, ἧττον κακὸν ἢ ὁμοίως κακόν. εἰ δὲ νεφέλη εἴη μέλαινα, ἔτι ἠπιώτερον [ὁμοίως] τὸ κακόν. τὸ δὲ μέλαν ποτὲ μὲν ἐνδείκνυται ψῦξιν, ποτὲ δὲ θερμότητα ἤγουν ἐξυπερόπτησιν. εἰ μὲν οὖν πρότερον οὐρηθείη πελιδνὸν οὖρον, εἶθ' οὕτως γένηται μέλαν, ψῦξιν ἔχει τὴν αἰτίαν. εἰ δὲ τὸ ξανθὸν προηγήσαιτο, ἔπειτα μέλαν οὐρηθείη, δηλονότι ὑπὸ πλείονος θερμότητος μέλαν γέγονε ἐξυπεροπτηθέν. γνωστέον μέντοι ὅτι καὶ ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου πυρετοῦ καὶ ἐπὶ τῆς μελαγχολικῆς παρανοίας λυομένης οὖρα φαίνεται μέλανα καὶ παχέα. τοῖς μὲν γὰρ σπληνώδεσιν ὡς τὰ πολλὰ τοιοῦτον οὐρεῖται, ἡνίκα ἄρρωστος ὁ σπλὴν διακείμενος φανῇ· οὐδεμίαν γὰρ διοίκησιν καὶ κατεργασίαν ποιεῖται τοῦ μελαγχολικοῦ περιττώματος. ἡμεῖς δὲ ὀλέθρια ἔφαμεν εἶναι ταῦτα ἐπὶ τῶν ὀξέων.

Περὶ τῆς ἐκ τῶν διαχωρημάτων σημειώσεως. ὅπερ κἀπὶ τῶν με
οὔρων προείρηται, τοῦτο κἀπὶ τῶν διαχωρημάτων χρὴ γιγνώσκειν· λέγω δὴ ὁποῖον τὸ κατὰ φύσιν ἐστὶ διαχώρημα· ἡ γὰρ τούτου κατά τι ἐκτροπὴ ἀπεψίαν ἐνδείκνυται. ἄριστον μὲν οὖν ἐστι διαχώρημα τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς καὶ λεῖον καὶ κατὰ τὴν εἰθισμένην ὥραν ὡς μάλιστα ὑπεξιὸν καὶ ἀναλόγως τῶν ἐδηδεσμένων, κεχρωσμένον δὲ

1—6 τοῖς μὲν ἀνδράσι — μελαγχολικοῦ *Gal. ib. 8, 626, 11—17 (ib. 626, 3—5 ex Hippocr. ib. p. 90, 15—17)* 24. 25 προείρηται *cf. p. 19, 7 sqq.* ὅπερ — γιγνώσκειν *cf. Gal. ib. 9 (XIX, 626, 18, 627, 1)* 27—29 ἄριστον — ἐδηδεσμένων *Gal. ib. I 11 (ib. 587, 5—7, 588, 1—2)* ἄριστον — ὥραν *cf. Hippocr. ib. (88, 1—2)* 27—*p. 26, 1* ἄριστον—δυσῶδες *Paul. II 12 (I 93, 27 sqq.)*

φ (L^a P^a I) χ (C^p M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1—6 τοῖς μ. ἀνδρ.— τοῦ μελαγχ. *om.* α, *exc.* I ω (*canc. seps. m. 2^a* S), *affert Gal. post* τῶν ὀξέων 6 παχύτητα I A^t 7 τὰς *om.* I M^o ω 9 καὶ *alt. om.* C^p A ὑπάρχοι L^a M^o ...χει P^a ...αρχ' T S 10 ἔχει (-η) ψ *ante* ὀξ.: τὸν *et post* τοιοῦτ.: οὖρον P^a 11 *ante* ὑπόστ.: ἡ P^a A 13 ὁμοίως *om.* ψ *canc. seps. m. 2^a* S τὸ *ante* κακόν ψ *supra scr. m. 2^a* S: *om. cett.* 14 θερμασίαν P^a ἤγ. (ἢ A M^o) *om.* C^p ὑπερόπ. I (M^o) A ω *Gal. om.* C^p 16 *post* ἔπειτα: δὲ I ψ A^t εὑρεθ. I A^t 17 ἐξυπ. *om.* C^p ψ (*exc.* D) 18 μέντοι] μὲν I A^t καὶ *pr. om.* P^a D 20—22 τοῖς μὲν — περιττ. *om.* C^p ψ *canc. seps. m. 2^a* S 20 μὲν *om.* I M^o μὲν γὰρ] δὲ ω ὡς *om.* I M^o ω 21 *ante* ἄρρ.: δ' L^a καὶ P^a ὁ σπλ.] πλὴν L^a *om.* I φανῇ διακ. *transp.* P^a 22. 23 ἡμεῖς — ὀξέων *om.* I ω (*m. 1^a* S) 23 ταύτας φ 24 ἐπὶ ω (*m. 1^a* S) 25 ὑποχ. L^a C^p M^o 26 ἐστι (*post* διαχ. T) *om.* A^t ἡ] εἰ ψ A^t τοῦτο ψ A^t 27 ..τραπῇ ψ A^t *post* ἀπεψ.: ἐργάζεται καὶ ψ *m. 2^a* S 28 μαλακὸν D P A^t τε] μὲν A^t 29 τοῖς ....σμένοις P^a ...ωσμένων M^o T ω δὲ] μὲν A^t *om.* C^p

ϲυμμέτρωϲ τῷ χολώδει χυμῷ, τουτέϲτιν ὑπόπυρρον καὶ μὴ λίαν δυϲῶδεϲ. τὸ γὰρ τοιοῦτον κατὰ φύϲιν διαχώρημά ἐϲτι καὶ δηλονότι ἐρρῶϲθαι ϲημαίνει τὰ κατὰ τὴν γαϲτέρα καὶ ἔντερα πάντα. εἰ δὲ κατά τι ἐκτραπείη τῶν εἰρημένων, παρὰ φύϲιν ἤδη λέγεται, οἷόν ἐϲτι τὸ λίαν δυϲῶδεϲ ἢ τραχὺ ἢ ξηρὸν ἢ ϲκληρὸν ἢ διεϲπαϲμένον καὶ μὴ τῷ ὑγρῷ ϲυμμεμιγμένον καὶ μετὰ τρυϲμοῦ καὶ οἷον ψόφου τινὸϲ παρὰ λόγον ἐκκρινόμενον. τὰ γὰρ τοιαῦτα πάντα ἀϲθένειαν δηλοῖ τῆϲ πεπτικῆϲ ἐνεργείαϲ. τούτων δὲ πονηρότερα τό τε ἄκρωϲ πυρρόν, χολῆϲ γὰρ ξανθῆϲ ἀκράτου ϲημεῖον, τὸ δὲ μέλαν τῆϲ μελαίνηϲ ἢ αἵματοϲ αὐτόθι κατοπτηθέντοϲ καὶ τὸ πελιδνὸν ψῦξιν καὶ νέκρωϲιν τῶν ἐντὸϲ ἐνδεικνύμενον καὶ τὸ λιπαρὸν καὶ ἐλαιῶδεϲ ϲύντηξιν τῆϲ πιμελῆϲ ϲημαῖνον καὶ τὸ γλίϲχρον αὐτῶν τῶν ϲτερεῶν ϲωμάτων ϲύντηξιν ἐνδεικνύμενον καὶ τὸ ποικίλον τῷ χρώματι καὶ ϲφόδρα δυϲῶδεϲ ϲῆψιν ὑπερβάλλουϲαν ποικίλων χυμῶν ἐνδεικνύμενον. ἀλλ' ἐπὶ πάντων τούτων ϲκοπεῖν προϲήκει μὴ τὰ ἐδηδεϲμένα τοιαῦτα εἴη ἢ τὸ ἔντερον ἐξ ἔθουϲ ῥευματίζοιτο ἀϲθενὲϲ ὑπάρχον.

μϛ Περὶ τῶν λόγῳ κρίϲεωϲ φερομένων ὑποχωρημάτων, καὶ πόθεν διαγιγνώϲκομεν τὴν μέλαιναν χολήν. εἰ δ' ἡ κρίϲιϲ τινὸϲ τῶν νοϲημάτων διὰ γαϲτρὸϲ ἔϲεϲθαι μέλλοι, πρόδηλον μὲν οὐδὲν ὥϲπερ ἐπὶ τῶν ἄλλων οὐδὲ ἴδιον ἔχει βέβαιόν τι προϲημαῖνον, ἀλλ' ἐκ τοῦ παρεῖναι μὲν τὰ τῆϲ κρίϲεωϲ ϲημεῖα, μὴ παρεῖναι δὲ τὰ τῶν ἐμέτων ἢ αἱμορραγίαϲ ῥινῶν ἢ ἱδρώτων ἔνεϲτι ϲυλλογίζεϲθαι· ἐπιϲκέπτεϲθαι μέντοι τὰ κατὰ γαϲτέρα, εἰ πλείω τῶν πρόϲθεν πρὸ τῆϲ κρίϲεωϲ ὑπῆλθε. δηλοῖ γὰρ τὴν ῥοπὴν ἐνταῦθα μᾶλλον ἔϲεϲθαι καὶ μάλιϲτα τῶν οὔρων ἐλαττωθέντων. πρὸϲ τούτοιϲ δὲ βάροϲ ἐπίϲημον καὶ ἄλγημα καὶ τάϲιϲ ἐν τοῖϲ καθ' ὑποχόνδριον καὶ ὀϲφὺν προηγεῖται τῶν διὰ γαϲτρὸϲ ἐκκρίϲεων. ἐπειδὴ καὶ δι' αἱμορροΐδων καὶ τῶν γυναικείων τόπων ἐγχωρεῖ

1. 2 ὑπόπυρρον — δυϲῶδεϲ *Gal. ib. (ib. 591, 17) cf. Hipp. l. c.* 2. 3 τὸ γὰρ — γαϲτέρα *cf. Gal. ib. (588, 4—5)* 9—14 τὸ δὲ μέλαν — ἐνδεικνύμενον *Gal. ib. (ib. 592, 17 — 593, 8) Paul. ib. (ib. 94, 7 sqq.)* 18—*p. 27, 1* εἰ δ' ἡ κρίϲιϲ — κρίϲιν *Gal. ib. III, 11 (ib. 766, 19—767, 8)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 2 δηλ.] δῆλόν ἐϲτι ω (*m. 1ª* S) 2. 3 *ante* ἐρρ. καὶ ψ S 3 ....αίνειν A^t 4 ..τραπῇ ψ 5 παχὺ A^t ἢ ϲκληρ. *om.* M^o ...ϲτραμμένον A^t 8 ...τερον P^a A P ω (*m. 1ª* S) τε ἄκρ.] ἀκριβῶϲ P^a ω (*m. 1ª* S) 9 ϲημεῖα L^a δὲ] τε P^a ψ 10. 11 καὶ τ. πελιδ. — λιπ. *om.* A^t 11 ....δείκνυται φ 11. 12 ....μαίνει D ω 13. 14 καὶ τὸ ποικ. — ἐνδεικν. *om.* A T 15 μὴ *om.* A ω (*m. 1ª* S) ἢ ψ (*exc.* A) *om.* C^p ἢ] ἐπὶ τοῦτο C^p 17. 18 καὶ π. δ. τ. μ. χ. *om.* P^a C^p M^o ψ (*exc.* D) ω 18 *ante* εἰ: εἰρήκαμεν ἔμπροϲθεν περὶ τῶν οὔρων περὶ διαχωρημάτων, ὁποῖον ἄριϲτον διαχώρημα καὶ ὁποῖον φαῦλον, νυνὶ δὲ ἐροῦμεν πόθεν χρὴ διαγιγνώϲκειν ὁποία ἐϲτὶν ἡ ἔκκριϲιϲ τῆϲ μελαίνηϲ χολῆϲ P^x ἡ *canc. seps.* P *om.* P^a P^x D ω ἔκκριϲιϲ P^x 19 διὰ γαϲτρ. *om.* D T ...λλει D T *supra scr.* οι P^x 20 οὐδὲ — ...μαῖνον *post* οὐδὲν (*l. 19*) P^x βέβ. *om.* P^x ψ (*exc.* A) 22 ἢ ἱδρώτ. *om.* A P T *suprascr. m. 2ª, ut vid.,* D ....ϲαϲθαι A^t 23 *ante* γαϲτ.: τὴν P^a ἐπῆλθε P^a T 25 ἐν *om.* P^x 26 ὀϲφ.] ἰϲχὺν A^t 27 δὲ P^a C^p ψ S *om. cett.* καὶ *pr. om.* M^o διὰ τ. γυν. τ. καὶ δι' αἱμορ. *transp.* M^o *ante* τῶν: διὰ χ ψ ω

γενέcθαι κρίcιν καὶ κοινὰ ἀμφοτέρων ἐcτὶ τὰ νῦν εἰρημένα cημεῖα, προcεπιcκέπτεcθαι χρὴ εἴ τι καὶ τούτων ἐξ ἔθουc προcδοκᾶται. εἰ μὲν οὖν κατὰ τὴν ἀρχὴν τοῦ νοcήματοc ἢ τὴν ἀνάβαcιν ἡ γαcτὴρ ἐπιμόνωc διαχωρεῖ ὑγρότερα ἢ οἷον χολώδη τινὰ ἄκρατα ὅ τε πυρετὸc παραμένοι, αὔξει μᾶλλον τὸ χολῶδεc καὶ καυcωδέcτερον καὶ ἐπικίνδυνον ὡc τὰ πολλὰ τυγχάνει τὸ νόcημα. εἰ δὲ κατὰ τὴν ἀκμὴν ἐκταραχθείη ἱκανῶc ἡ γαcτὴρ ἐκ ταὐτομάτου, λύcιν ἐργάζεται τοῦ νοcήματοc ὡc ἐπὶ τὸ πολύ. κατὰ δὲ τὴν ἀκμὴν ὁμοίωc ἐνίοτε ἐπὶ τῶν χρονιωτέρων ἡ γαcτὴρ ἐκταραχθεῖcα πᾶcαν τὴν νοcοποιὸν ὕλην ἀποτρίβεται. ἐπὶ δὲ τῶν ὀξέων νοcημάτων καὶ μέλανα ἄκρατα [μὴ cυμμεμιγμένα τινὶ] καὶ δυcώδη ἐπιφαινόμενα καὶ μάλιcτα κατὰ τὰc ἀρχὰc κάκιcτα. "νοcημάτων" γὰρ "ὁκόcων ἀρχομένων χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθοι, θανάcιμον". καὶ πάλιν· "ὁκόcοιcιν ἐκ νοcημάτων ὀξέων ἢ πολυχρονίων ἢ ἐκ τρωμάτων λελεπτυcμένων χολὴ μέλαινα ὑπέλθῃ, τῇ ὑcτεραίῃ ἀποθνήcκουcιν"· οὐχ ἁπλῶc δὲ εἴ τι μέλαν ἐκκρίνεται· ἤδη καὶ τοῦτο μέλαινά ἐcτι χολή. ἐνδέχεται γὰρ καὶ αἷμα ἐκπῖπτον τῶν ἰδίων τόπων καὶ μένον χρόνον τινὰ θρομβοῦcθαι ψυχόμενον καὶ μέλαν ἐκκρίνεcθαι διὰ γαcτρὸc καὶ μάλιcτα ἐπὶ τῶν ἡπατικῶν. γνωρίcωμεν δὲ τὴν μέλαιναν ἐκ τοῦ ἐπιχεομένην ἐπὶ τὴν γῆν ζέειν καὶ ζυμοῦν αὐτήν, ὥcπερ τὸ δριμύτατον ὄξοc.

Περὶ τῆc τῶν ἐμέτων προγνώcεωc καὶ τῆc ἐξ αὐτῶν cημειώcεωc. μζ
ἐνεcτηκυίαc ἤδη τῆc κρίcεωc ἔμετον δεῖ προcδοκᾶν ἔcεcθαι, εἰ ὁ cφυγμὸc cφοδρὸc εἴη καὶ πρὸc cυcτολὴν μᾶλλον ἐπείγοιτο καὶ cκληρότατοc ὑπάρχοι καὶ ἀνώμαλοc· καρδιωγμόc τε καὶ δῆξιc cφοδροτάτη τοῦ cτόματοc τῆc γαcτρὸc πάρεcτιν ἅμα πόνῳ κεφαλῆc καὶ cκοτόδινοι cὺν

12. 13 νοcημάτων — θανάcιμον | 13. 15 ὁκόcοιcιν — ἀποθνήcκουcιν *Hippocr. Aph. IV 22, 23 (510, 3 — 8 L.)* 24—*p. 28, 2* καρδιωγμὸc — cίελον *Gal. ib. (ib. 764, 9—12)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 γίν. C^p 2 ...κᾶcθαι A^t προcδ. ἐξ ἔθ. *transp.* P^a 4 ...χωροίη P^a ὑγρότατα ψ ἢ] καὶ A *om.* P^x D P T 6 ....άνειν P^x A^t 8 ὡc — πολὺ *om.* P^x τὸ *om.* M^o A *supra scr. m. 2^a, ut vid.,* S *ante* κατά: καὶ C^p ψ *m. 2^a* S δὲ *om.* C^p ψ *del. m. 2^a* S *supra* ἀκμὴν παρ *scr. m. 2^a* S *ante* ὁμοίωc: δ' C^p ὁμοίωc *om.* P^x ω *supra* ἐνίοτε: δὲ *scrip. m. 2^a* S 10. 11 μὴ cυμμ. τινὶ *om.* C^p ω 11 δυcωδίαν ω ἐπιφ.] φερόμενα M^o A^t 12 *post* κάκ.: φηcὶ γοῦν Ἱπποκράτηc ἐν τῷ τετάρτῳ τμήματι τῶν Ἀφοριcμῶν κεφαλαίῳ κα̅ P^x *post* γὰρ: φηcιν ψ (*exc.* A) *m. 2^a* S ὁποίων P^x ἂν μέλ. χολ. P^x 12. 13 κάτω ἢ ἄνω ψ (*exc.* T) 13 ὑπέλθοι P^a C^p ...θῃ M^o ψ ω *post* πάλιν: ἐν τῷ αὐτῷ τμήματι κεφαλαίῳ κβ̅ P^x 14 *post* τραυμ. ἢ ἄλλωc *sec. Hipp.* P^x ...πτυcμένοιcι P^x ...οιc A *(Hipp. cod. V)* *post* μέλ.: ἢ ὁκ(όπ)οῖον αἷμα *Hippocr. ib.* P^x 15 ὑπέλθοι C^p ἐπέλθῃ P^x P ...εραία P^a C^p P^x ψ A^t *ante* ἀποθ.: ἢ C^p 15. 16 ἐκκρ.] ἐξέρχεται P^x ψ 16 ἐcτι μέλ. *transp.* P^a 17 τόπων *om.* A^t *m. 1^a* S ...βοῦται P^x ἐκ ....cθαι T 17. 18 ....χούμενον A^t 18. 19 καὶ μέλαν — ἡπατικῶν *om.* C^p M^o ω (*m. 1^a* S) 18 καὶ *om.* L^a ...νεται P^x ἐπὶ] ἐκ P^x ψ *m. 2^a* S 19 ....cομεν P^a C^p P^x ω γνωcόμεθα ψ *m. 2^a* S δὲ] γοῦν A^t χεομ. P^a *post* γῆν: ζεμματίζειν ὥcτε καὶ P^x 20 ζέειν ψ (*exc.* P) ξέειν *cett.* *post* ζέειν: τε P^a ταύτην P^x 22 ἀνεcτ. C^p P^x S 24 ...ρχει P^a M^o ψ S ...ων C^p P^x A^t 24. 25 καρδιωγμὸc — κεφαλῆc *fort. delend.* cφοδρὰ C^p M^o ω 25 ἅμα πάρ. ω ...δινοc ψ

τοῖς προφαινομένοις τῶν ὄψεων ὀρφνώδεσι καὶ τὸ χεῖλος σείοιτο καὶ πολὺν καὶ λεπτὸν παραρρέοι σίελον καὶ ναυτίαι ἐνοχλοῦσαι, τά τε κάτω μέρη τῶν ὑποχονδρίων ψυχρὰ ἁπτομένῳ σοι φαίνοιτο. ἅπαντα γὰρ ταῦτα συμπίπτει, χολώδους τε καὶ δακνώδους χυμοῦ κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ἠθροισμένου, δάκνοντός τε ἅμα καὶ κατασπῶντος ὅλον κάτω τὸν στόμαχον, ὅθεν περ καὶ τὸ χεῖλος σείεται καὶ τὸ σίελον παραρρεῖ. εἰ δὲ σὺν τούτοις καὶ ῥῖγος προσγένοιτο, τάχιστα ἐμεῖται· εἰ δὲ καὶ σιτία νεωστὶ προσενεγκάμενοι τύχοιεν καὶ μάλιστα ποτόν, ταχέως ἐμεῖται "ὠφελιμώτατος δέ ἐστιν ἔμετος φλέγματος καὶ χολῆς συμμεμιγμένων ὡς μάλιστα καὶ μὴ παχὺς ἐμείσθω. οἱ γὰρ ἀκρατέστεροι τουτέστιν οἱ μὴ συμμεμιγμένοι κακοί"· καὶ γὰρ μετὰ βίας οἱ τοιοῦτοι καὶ σπαραγμῶν καὶ δυσφορίας ἐμοῦνται μετὰ τοῦ καὶ σημεῖον εἶναι ἐπικρατεῖν μόνην τὴν χολήν· καὶ μὲν δὴ καὶ τοὺς ποικίλους μεμπτέον, οἷον τούς τε πελιοὺς καὶ μέλανας καὶ πρασοειδεῖς· πονηροὶ γὰρ οὗτοι, ὡς Ἱπποκράτης φησίν. "εἰ δὲ καὶ πάντα ταῦτα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέοι, ὀλέθριον". μᾶλλον δὲ χείρους εἰσὶν οἱ πελιοὶ καὶ μέλανες ἐν ὀξέσι καὶ καυσώδεσι νοσήμασι γιγνόμενοι, ὅταν καὶ μάλιστα δυσώδεις τυγχάνωσι. προσεπιβλέπειν δὲ κἀπὶ τούτων μὴ αἷμα συρρεῦσαν εἰς τὴν γαστέρα καὶ μεῖναν χρόνον τινὰ ἐν αὐτῇ καὶ θρομβωθὲν ἐκκρίνεται· ἐπὶ πλείστων γὰρ τοιοῦτόν τι συμβαίνει ἐκ περιόδων τινῶν καὶ οὐ μόνον οὐδὲν λυπηρὸν ἐπιφέρει, ἀλλὰ καὶ εὐφορώτεροι ἑαυτῶν γίγνονται τούτου ἐμεθέντος.

μη Περὶ προγνώσεως τῆς ἐκ ῥινῶν αἱμορραγίας καὶ τῆς ἐξ αὐτῆς σημειώσεως. αἱμορραγίας δὲ τῆς ἐκ ῥινῶν μελλούσης γίγνεσθαι ἴδια σημεῖα προηγεῖται ταῦτα· μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνονται, διότι ξανθὸς ὁ χυμός· ἀμβλυωγμοὶ δὲ διὰ τὴν τοῦ πλήθους ἀναφοράν· διὰ τοῦτο καὶ δακρύουσιν οἱ ὀφθαλμοί· ἐρυθρὸν τὸ πρόσωπον καὶ μάλιστα τὰ μῆλα, ὑποχονδρίων σύντασις ἐκτὸς ὀδύνης, δύσπνοια

3—7 ἅπαντα — παραρρεῖ *Gal. ib. (ib. 764, 12—17)* 9—18 ὠφελιμώτατος — τυγχάνωσι *Hippocr. Progn. 13 (91, 10—19)* 24—28 αἱμορραγίας — *29, 1* πόνος *Gal. ib. (ib. 765, 2—15)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 τῶν ὄψ. σ. τ. προφ. ω (*m. 1^a* S) τῶν ὄψ. *om.* P^x *ante* ὀρφν.: σκοτεινοῖς ἢ σκοτισμοῖς P^x ψ καὶ τὸ — σεί. *om.* D 2 *ante* σίελ. (σίαλ. P^a A): τὸ C^p ναυτία A P T …ας D ἐνοχλεῖ (ἢ) ψ 3 …νηται C^p ..ονται M^o ω (*m. 1^a* S) 4 ξυμπ. ψ 6 κατὰ L^a 7 …νηται C^p 8. 9 εἰ δ. κ. — ταχ. ἐμ. *om.* P^a 8 ….κομεν εἰ $L^a M^o$ 9 τάχιστα P^x ψ ἔμ. ἐστ. $C^p P^x M^o$ ψ *post* φλέγμ.: τε P^x 10 …..γμένα $L^a M^o$ …νος P^x P καὶ μὴ — ἐμ. *om.* P^a καὶ] δὲ D P T *supra scr. m. 2^a* S *om.* P^x A 10. 11 ἀκριβέστεροι $C^p P^x$ 12 …αγμοῦ ψ 13 *post* ποικ. ἐμέτους P^x 14 πελιδνοὺς P^a D T 15 φησ. Ἱππ. *transp.* P^x ταῦτα πάντα P^a ταῦτα *om.* P^x 16 αὐτ. *om.* ψ (*exc.* D) ἐμεῖ ψ (*exc.* D) -οίη $C^p M^o$ S 17 πελιδνοὶ P^a T 18 νοσώδ. A^t ….χάνοιεν A^t *post* δὲ: δεῖ P^a 20 …ηται P^a A T …ῖστον $C^p P^x$ ψ (*exc.* A) *post* γὰρ: τὸ ψ A^t τι *om.* P^x ψ 21 λυπ.] βλαβερὸν ψ 23. 24 προγν. — σημειώσ.] αἱμορραγίας τῆς ἐκ κριτικῶν νοσημάτων γιγνομένης ἀπὸ ῥινῶν σημεῖα P^x 23 γνώσεως ω αὐτῶν M^o P T ω 24 γενέσθαι P^x ἔσεσθαι A^t 25. 26 φαίν. P^a 26 δηλονότι P^x χυμ. ξανθ. χολικός P^x ….ωγμοὶ (…ωσμοί, οσμ. υσμ.)] …..ωγμὸς A^t 27 οἱ *om.* $C^p M^o$ 28 τάσις ψ (*exc.* A) *m. 2^a* S

διὰ τὴν κατὰ τὸν θώρακα δίοδον τοῦ αἵματος, κεφαλῆς πόνος καὶ κροτάφων, σφυγμὸς συνεισβάλλων ἅμα τῷ κριτικῷ παροξυσμῷ καὶ μὴ κατ' ἀρχὰς τοῦ νοσήματος συνεδρεύων, τράχηλος συναλγῶν, παραφροσύναι πολλάκις καὶ ἀναπηδήσεις ἐν τῷδε γιγνόμεναι, οἱ σφυγμοὶ δὲ ὑψηλοὶ καὶ σφοδροὶ καὶ μεγάλοι καὶ εἰς διαστολὴν μᾶλλον ἐπειγόμενοι. εἰ δὲ σὺν τούτοις πᾶσι καὶ τὰς ῥῖνας κνῷτο, ἤδη καιρὸς τοῦ ῥαγῆναι τὸ αἷμα, καὶ μάλιστα ὅταν ἰσχυρῶς πάνυ περὶ μέτωπον καὶ τοὺς κροτάφους ὁ πόνος ἐπερείδῃ. εἰ δὲ καὶ ἐξ ἔθους ὑγιαίνων αἱμορραγεῖ, αὐξήσει σου καὶ τόδε πάνυ τὴν ἐλπίδα. ταῦτα μὲν οὖν σημεῖα μελλούσης γίγνεσθαι αἱμορραγίας· ἐν ἀρχῇ μέντοι φαινόμενα ἀπέπτου ὄντος τοῦ νοσήματος κινδύνου ἐστὶ δηλωτικά. "ταῦτα γὰρ ἐν ἀρχῇ παραφαινόμενα", φησὶν Ἱπποκράτης, "παραφροσύνης σφοδρῆς ἐστι δηλωτικὰ καὶ ὡς ἐπὶ τὸ πολὺ θνήσκουσιν." ἐπὶ πέψει δὲ ἤδη σαφέσι, μάλιστα ταῖς ἐν τοῖς οὔροις ἐπιφαινομέναις καὶ κατὰ τὰς ἀκμὰς τῆς νόσου χρησίμως ἐπιφαίνεται. λύουσι δὲ αἱ τοιαῦται αἱμορραγίαι καὶ τὰς τῶν σπλάγχνων φλεγμονὰς ἐν πυρετοῖς, ὅταν μάλιστα κατ' ἴξιν γίγνωνται, οἷον ἐπὶ ἥπατι φλεγμαίνοντι ἐκ δεξιοῦ μυκτῆρος, ἐπὶ δὲ σπληνὶ ἐξ ἀριστεροῦ. ὅθεν ῥᾷστον ἤδη τῷ ἰατρῷ καὶ τὸν αἱμορραγεῖν μέλλοντα μυκτῆρα προλέγειν, ἀφορμὴν ἐξευρίσκοντι ἐκ τοῦ ὀδυνωμένου μέρους. λύουσι δὲ αἱ ἐκ ῥινῶν αἱμορραγίαι πολλάκις καὶ φρενῖτιν, οὐ μέντοι λήθαργον ἢ περιπνευμονίαν.

μθ

Ὅτι καὶ δι' αἱμορροΐδων καὶ τῆς γυναικείου καθάρσεως λύεται πολλάκις νόσημα. τεθεάμεθα δὲ ἐπὶ πολλῶν καὶ δι' αἱμορροΐδων προυπαρχουσῶν ἐν ἕδρᾳ ἀναστομωθεισῶν λυθέντα νοσήματα· ὁμοίως δὲ καὶ ἐπὶ γυναικῶν ἐπιμηνίου καθάρσεως ἐκραγείσης. χρὴ δὲ κἀπὸ τούτων πέψεως προηγησαμένης καὶ ἐν ἀκμῇ τῆς νόσου τὴν ἔκκρισιν γενέσθαι, ἵνα ἀγαθὴ καὶ ἀσφαλὴς ἡ κρίσις γένηται. προηγεῖται δὲ ἐπὶ

12 *Hippocr. De diaeta in morb. acut. 42 (I 130, 13—15 Kuehlew.)*
18—21 ὅθεν—περιπνευμονίαν *Gal. ib. (ib. 766, 6—7) III 3 (ib. 707, 13—14)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (ADPT) [*m. 2ª* S] ω (S A^t) 1 κεφ. πόν. *om.* L^a 2 νῦν εἰσβ. $C^p M^o$ ψ ω 3 καταρδεύων A^t ....σύνη ψ 5 κ. σφοδ. *om.* L^a ω (*m. 1ª* S) 6 πᾶσι τούτ. *transp.* C^p κνῶνται P^x ψ *m. 2ª* S 7 *ante* μέτ.: τὸ P^a 8 ἐν ....δοι (ει) M^o ψ S -η $C^p P^x A^t$ ...αίνουσιν A^t 8. 9 μορραγῇ A αἱ....ραγίαι $P^x A^t$ 9 αὐξήσεις οὖν ψ τοῦτο P^x τότε ψ *ante* σημ.: τὰ A^t 10 *post* μελλ.: ἤδη ω ἀμέμπτου A^t 11 εἰσὶ ω 11—13 ταῦτα—δηλωτ. *om.* ω (*m. 1ª* S) 12 ...δρᾶς $L^a C^p P^x$ P S *om.* T 13 τὸ *om.* M^o T ω δὲ] τε A^t σαφ. *om.* A^t 14 ταῖς] τε M^o ψ ...νόμενα $C^p M^o$ ψ ω καὶ *om.* ω 15 ...νονται P^x ω (*m. 1ª* S) αἱ τοι.] καὶ ταῦτα L^a 16 κατ' ἔξιν L^a κατίξιν P^a κατατῆξιν C^p κατευθὺ M^o κατευθὺ *m. 1ª*, *supra scr.* ἢ κατ' ἔξιν *2ª* P^x κατίξιν (κατ' ἴ.) ψ *m. 1ª* S (*sqr.* ἤγουν κατευθὺ ψ *m. 2ª* S) καθ' ἔξιν A^t 17 ...εται P^x ...ονται *m. 1ª* T ω δὲ *om.* ω 18 τὸν ἰατρὸν $C^p P^x A^t$ 19 *ante* ἀφ.: τὴν χ ψ ω ...σκοντα φ χ A D ω 21 μέντοι] μὴν ω (*m. 1ª* S) 22 *cap.* μθ *post cap.* νβ P^x *tit. canc. seps. m. 2ª* S καὶ τῆς] ἐκ τῶν P^x γυναικίων καθάρσεων P^x ...κείας P^a A ...κῶν M^o ω λύονται P^x 23 ...ήματα P^x A τεθέαμαι ψ 24 ...χόντων $L^a M^o$ ω ...χοντα P^x 26 καὶ ἐν ἀκ. *ante* πέψεως *transp.* M^o *post* νόσου: τότε P^x τ. ἔκκ. τ. ν. M^o 27 ἀσφ. κ. ἀγ. T 27—*p. 30, 1* ἐπὶ τ. καὶ β. ἐ. *post* ὀσφύος *transp.* C^p

τούτων βάρος ἐπίσημον καὶ ὀδύνη μάλιστα ὀσφύος, ἤδη δὲ καὶ τοῦ ὑπογαστρίου ὀδύνη καὶ διάτασις.

ν Περὶ τῆς ἐκ τῶν ἱδρώτων σημειώσεως. τὸν δὲ δι᾽ ἱδρώτων μέλλοντα λυθήσεσθαι πυρετὸν γνωσόμεθα ἐκ τοῦ τὸ νόσημα εἶναι διακαέστατον, οἷόν ἐστιν ὁ καύσων προσαγορευόμενος· χολῶδες γὰρ τοῦτο τὸ νόσημα· καὶ ὅταν σφοδρῶς κινηθῇ, ῥῖγος ἐργάζεται. εἰ μὲν οὖν ἀλόγως ἐπισχεθῇ γαστὴρ ἢ οὖρα τῆς κρίσεως ἐγγὺς οὔσης, ἐλπίζειν χρὴ ῥῖγος. εἰ δ᾽ ἀμφοτέρων ἐπίσχεσις γέγονε καὶ οὐ πάρεστι σημεῖα ἐμέτου ἢ αἱμορραγίας, ἱδρὼς ἐξ ἀνάγκης ἔσται πολὺς καὶ μᾶλλον ἐπειδὰν παραπέσωσιν οἱ κάμνοντες ἐπιδιδόντος τοῦ παροξυσμοῦ καὶ θερμότεροι ἐκτὸς γίγνοιντο καί τις ἀτμὸς ἀνίησιν ἐκ τοῦ σώματος θερμός, οἷος οὐ πρόσθεν ἐγένετο, ὡς ἐπὶ τῶν νεωστὶ λελουμένων· οἵ τε σφυγμοὶ μεγάλοι καὶ ὑψηλοὶ καὶ ταχεῖς καὶ εἰς διαστολὴν μᾶλλον ἐπειγόμενοι καὶ οἷον κυματώδεις, ὅ τε τῆς ἀρτηρίας χιτὼν μαλακός τε καὶ δίυγρος φαίνεται· ἡ δὲ ἐπιφάνεια τοῦ παντὸς σώματος κνησμώδης καὶ μαλακὴ καὶ κατά τινας ὥρας ἐρυθαινομένη. ταῦτα οὖν ἐν παροξυσμῷ κριτικῷ γιγνόμενα, πέψεως προηγησαμένης καὶ τῆς κριτικῆς ἡμέρας ἀγαθῆς οὔσης, σωτηρίων καὶ λυτικῶν ἱδρώτων ἔσται δηλωτικά. δῆλον δὲ ὅτι θερμὸν εἶναι δεῖ συμμέτρως τὸν λυτικὸν ἱδρῶτα καὶ δι᾽ ὅλου τοῦ σώματος γιγνόμενον καὶ πρὸς λόγον κουφίζοντα καὶ εὐφορώτερον ἀποφαίνοντα τὸν ἄρρωστον· οἱ δὲ ψυχροὶ ἱδρῶτες σὺν μὲν ὀξεῖ πυρετῷ θανάσιμοι, σὺν πραϋτέρῳ δὲ μῆκος νόσου σημαίνουσιν.

να Ἀποστάσεων κριτικῶν σημεῖα. εἰ δ᾽ εἰς ἀπόστημα τρέποιτο τὸ νόσημα σωτηριωδῶς τοῦ κάμνοντος ἔχοντος, τούτοις μάλιστα χρὴ προσ-

3 *Cap.* ν = *Gal., praesagitio omnino vera expertaque 4 (XIX, 516, 3—517, 8) cf. de cris. III 11 (IX, 762, 2 sqq.)* 21. 22 οἱ δὲ ψυχροὶ — σημαίνουσιν *cf. Hippocr. Progn. 6 (83, 14—16)* 23 εἰ δ᾽ κτλ. *cf. Gal. de cris. III 11 (IX, 754, 1 sqq. 757, 1 sqq. 758, 5 sqq.), in Hippocr. Prognost. comm. III 65 CMG V 9, 2 p. 316, 7 sq., in Hippocr. Praed. l. I comm. III, 170 CMG V 9, 2 p. 178, 7 sqq. etc. [Gal.], in Hippocr. de humoribus comm. II 22 (XVI, 283, 2 sqq.).*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 δὲ *om.* C^p M^o ψ S 1. 2 ἐν τῶ ὑπογαστρίω P^x 3 δι᾽] ἐκ τῶν P^x 4 κριθήσεσθαι T τ. νόσ.] τ. σῶμα P^a *om.* ω εἶν. *post* διακ. ψ (*exc.* P) διακαὲς P^x οἷος P^x A P ω καῦσος α *exc.* L^a *ante* (*post* P^x) προσαγ.: πυρετὸς *add.* P^x D ω ...ρευθεὶς ψ (*exc.* P) 6 *ante* εἰ: καὶ P^x ψ *m. 2^a* S οὖν (*om.* T) ἀλ.] ἀναλόγ. A ω (*m. 1^a* S) 7 ...θείη D *ante* γαστ.: ἡ P^x ψ (*exc.* P) ω 8 καὶ *om.* A^t σημ. παρ. P^a πάρεισι A^t σημεῖον P^x ψ 10 παραπαίωσιν P^a P^x ψ *m. 2^a* S 11 τὰ ψ (*exc.* P) τὸ C^p P^x ω: *om. cett.* ἐπιγ. P^x ἀν.] ἂν εἴη C^p ἀνείη, ε *canc. seps.* S ἀνήει A^t 12 ὡς οὐ (*pro* οἷος) — ἐγέν. *post* λελουμ. *transp.* P^x λελυμ. φ 13 τραχ. P^x παχ. A^t ταχ. καὶ ὑψ. *transp.* P^a 14 χιτὼν *om.* A^t 15 ...νοιτο ψ (*exc.* P) νοσήματος A^t 16 μαλθ. P^x ψ (*exc.* P) ἐρυθραινομ. P^a P^x ψ ω οὖν *om.* C^p M^o ψ ω 17 γενόμ. A^t τῆς *om.* ψ (*exc.* P) 18 τῶν λυτικῶν ἱδρώτων *m. 1^a* C^p 19 δῆλον — ἱδρῶτα *om.* L^a 21 ὑποφαίνειν A ἀπ. ...νειν D T ...νων M^o P ἄρρ.] ἄνθρωπον M^o P *post* ἄρρ.: εἰ δὲ σὺν ὀξεῖ πυρετῶ ἱδρὼς ψυχρὸς ἐπιρρέει, ὥς φησιν Ἱπποκράτης ἐν τῶ τετάρτω τμήματι τῶν Ἀφορισμῶν κεφαλαίω λϛ *IV, 37 (516, 4)* P^x 21. 22 μὲν *ante* πυρ. *transp.* D T 22 θανάσ.] θάνατον σημαίνουσι P^x *post* θανάσ.: φησιν Ἱπποκράτης P πρηυτ. P^a C^p A^t, η *ex corr.* P δὲ *post* σὺν *transp.* P^a C^p P^x ψ (*exc.* P) ω νούσου P^a 23 κριτικὰ A^t ἀπόστασιν P^a D T ὑπ...σιν A 23. 24 τὸ νόσ. — χρὴ *om.* A T 24 τούτου A^t

ἔχειν τὸν νοῦν· χρονίζοντος μὲν τοῦ πυρετοῦ καὶ συνεχοῦς τυγχάνοντος καὶ τῶν οὔρων λεπτῶν καὶ ἀπέπτων ἀεὶ ὄντων καὶ ὑπόστασιν μὴ ἐχόντων, ἐμφαίνοιτο δὲ ὕστερόν τινι τῶν κάτω χωρίων οἷον σκελῶν ἢ περί τινα τῶν ἄρθρων ἢ βάρος ἢ τάσις ἢ φλόγωσις ἢ ὀδύνη ἄνευ φανερᾶς αἰτίας πρότερον μὴ γενομένη, κάτω τούτων τὴν ἀπόστασιν ἔσεσθαι προσδόκα. εἰ δὲ δυσπνούστερος ἐξαίφνης ὁ κάμνων γενόμενος ἀποπαύσαιτο μὲν ἐν τάχει τῆς δυσπνοίας, διαδέξεται δὲ αὐτὸν ὀδύνη καὶ βάρος τῆς κεφαλῆς καὶ κῶμα καὶ κώφωσις, εἰς τοὺς παρὰ τὰ ὦτα ἀδένας· ἀνάγκη γὰρ γενέσθαι τούτῳ τινὶ τῶν ἀδένων τὴν ἀπόστασιν. γίγνονται δὲ μᾶλλον αἱ ἀποστάσεις ἐν χειμῶνι καὶ τοῖς πρεσβυτέροις τῶν λ̅ε̅ ἐτῶν.

Περὶ τῆς ἐκ τῶν πτυσμάτων σημειώσεως. ἐν τοῖς περιπνευμονι- ν̅β̅
κοῖς τε καὶ πλευριτικοῖς πάθεσι τὰ μὲν ἰδίως ὀνομαζόμενα πτύσματα ταῖς ἐν τοῖς οὔροις ὑποστάσεσιν ἔοικεν. τὸ δὲ μηδόλως ἀποπτύειν μηδὲν ἀλλὰ βήττειν μόνον ξηρῶς οἷόνπερ τὸ ἐν τοῖς οὔροις ἐσχάτως ἄπεπτόν ἐστιν. εἰ δὲ ἄρξηται λεπτὰ καὶ ὑγρὰ καὶ τελείως ἄπεπτα ἀνάγειν, ἀμυδρὰ καὶ ἀσαφὴς ἡ τοιαύτη ἐστὶ μεταβολὴ καὶ οὔπω πέπαυται τοῦ νοσήματος ὁ πρῶτος καιρός, τουτέστιν ἡ ἀρχή. ὅταν δὲ ἄρξηται πτύειν ὀλίγα καὶ πέπονα καὶ ἀεὶ καὶ μᾶλλον πλείω καὶ εὐπετέστερον ἀνάγοι, τότε ἀνάβασιν εἶναι λέγομεν. ὅταν δὲ ἀκριβῶς ᾖ πέπονά τε καὶ πολλὰ καὶ μὴ δυσχερῶς ἀναγόμενα, τότε ἀκμῆς ὁ καιρός. ὅταν δὲ ὁμοίως μὲν πεπεμμένα καὶ ἀλύπως ἀναγόμενα εἴη, μεμείωται δὲ καὶ τὸ πλῆθος ἥ τε ὀδύνη μηκέτι ᾖ εὔπνους τε καὶ εὔφορος εἴη ὁ ἄνθρωπος, πεπαῦσθαι χρὴ νομίζειν τὴν ἀκμήν, παρακμάζειν δὲ ἤδη τὸ νόσημα. πρὸ δὲ τῶν ἄλλων τούτῳ χρὴ προσέχειν τὸν νοῦν, πότερον ταχύτερον ἢ βραδύτερον τὰ πτύελα ἄρχεται ἀναβήττεσθαι, καθὼς καὶ Ἱπποκράτει δοκεῖ· "οἷον" γάρ φησιν "ἐν πλευριτικοῖσι πτύελον ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον, μηκύνει"

1–7 χρονίζοντος—δυσπνοίας *cf. Hippocr. ib. 18 (97, 20–98, 12)* 27. 28 οἷον γὰρ—βραχύνει *Gal., de cris. I 5 (ib. 562, 18—19)* οἷον—μηκύνει *Hippocr. Aph. I 12 (464, 18—466, 1)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 2 ὄντ. ἀεὶ A^t 4 τινα $C^p M^o$ ψ S τινων *cett.* 5 γιν. T S γε. . μένης $L^a P^x M^o$ κατὰ P^x ω τούτω D P T που A τοῦτο $C^p M^o$ ω 6 ἐξαίφ. *post* κάμν. M^o *post* γενόμ. D 7 . . . ξαιτο C^p ψ (*exc.* P) (*fort. recte*) 8 εἰς τοὺς] τῆς A^t 8. 9 εἰς τοὺς παρὰ τὰ ὦτα ἀδένας ἀνάγκη γενέσθαι τούτῳ τὴν ἀπόστασιν *Latine vertit Cornarius, fort. recte* 9 παρὰ] περὶ $C^p P^x$ ψ ω 9. 10 τούτῳ—ἀποστάσεις *om.* A T 9 τοῦτο $L^a C^p M^o$ . . . του P^x . . . των P τινὶ τ. ἀδ. *om.* $C^p P^x$ D P ω 10 αἱ *om.* L^a 11 τριάκοντα καὶ πέντε $P^a P^x$ τριάκ. ω 12 τῆς ἐκ τ. *om., sed post* σημ.: ἐκ τῶν ἀναπνευστικῶν P^x 14 τὰ L^a 15 ξηρὸν $P^x M^o$ ω τὸ *om.* P^x 16 ἄρξεται $C^p M^o$ ψ (*exc.* P) λεπτὰ καὶ *om.* χ ψ ω 17. 18 οὔ. πέπ] ἀποπέπαυται ψ (*exc.* D) 19 καὶ *tert. om.* $P^x M^o$ ψ ω 20 . . . . γοιτο $C^p P^x$ ψ . . . γει A^t λέγ. εἶναι ω ὅτε $C^p P^x$ πεπεμμένα P^x ψ ω 21 τε *om.* P^x ω *ante* πολλά: οὐ P^x 22 ὁμ. μὲν] ὦσι A^t εἴη] ᾖ ψ (*exc.* A) *om.* A^t 23 τῷ πλήθει P^x ψ ἥ τε] εἴτε $P^x A^t$ ἢ καὶ M^o εἴη P^x *om.* C^p . . . πνούστερος P^x ψ τε] δὲ A^t ἐστιν ψ (*exc.* A) 25 τοῦτο $L^a C^p P^x$ . . των T S . . τοις $P^a A^t$ 26. 27 καθὼς—φησιν] καθά φησιν Ἱπποκράτης ἐν τῷ πρώτῳ τμήματι τῶν Ἀφορισμῶν κε⟨φαλαίῳ⟩ ι̅η̅, "ἀτὰρ καὶ τοῖς ἐπιφαινομένοις οἷον" *Hippocr. l. l. [in font.] 464, 17 sqq.* P^x 27 ἢν] ἂν P^x εἰ A D μὲν *om.* $P^a P^x$ 28 . . . εται

ἡ νόcoc δηλονότι. ὅcα μὲν οὖν τῶν πτυcμάτων ὑπόξανθά τέ ἐcτι καὶ ὑπόπυρρα καὶ ὕπαφρα καὶ λεπτά, μόνης ἀπεψίας ὑπάρχει γνωρίcματα, κακὸν δὲ οὐδὲν ἐπίcημον ἐνδείκνυται, τὰ δὲ ἀκράτωc ξανθὰ καὶ πυρρὰ καὶ χλωρὰ καὶ ἀφρώδη καὶ γλίcχρα καὶ cτρογγύλα καὶ προcέτι τὰ μέλανα μοχθηρά· πλὴν γὰρ τοῦ αἵματοc, ὅcτιc ἂν ᾖ τῶν ἄλλων χυμῶν ἄκρατοc, μοχθηρὰν ἐνδείκνυται τὴν διάθεcιν ὑπὸ θερμότητοc τὴν γένεcιν ἔχουcαν. τὰ μὲν οὖν αἱματώδη τε καὶ φλεγματώδη μέτρια, τὰ δὲ τῆc ξανθῆc χολῆc ἢ μελαίνηc χαλεπά. προcεπιcκέπτεcθαι δὲ καὶ τὸν τῆc ἀναγωγῆc τρόπον· εἰ γὰρ εὐπετῶc ἀναπτύοιτο, πρόδηλον ὡc τὰ τοιαῦτά ἐcτιν ἀγαθά, τὰ δὲ δυcανάγωγα μοχθηρὰ καὶ μάλιcτα εἰ πελιδνὰ ἢ μέλανα ἢ ἰώδη εἴη ἢ cφόδρα δυcώδη, ὡc ἐπ' ἀνθράκων ἐπιβαλλόμενα βαρὺ ὄζειν.

νγ Γνωρίcματα τοῦ τελέωc καὶ πιcτῶc λελύcθαι τὸ νόcημα. λελύcθαι τελέωc καὶ πιcτῶc χρὴ νομίζειν τὸ νόcημα, ὁπόταν ἐc ταὐτὸν ἅμα πάντα cυνέλθοι τὰ λυτικὰ cημεῖα. εἴτε οὖν κατὰ τὴν ἀκμὴν ἀθρόωc καὶ βεβαίωc ἐκρίθη τὸ νόcημα, εἴτε κατὰ βραχὺ προακμαcτικῶc ἐλύθη, πιcτῶc τοῖcδε ἂν γνωρίcαιc· πρῶτον γὰρ καὶ μέγιcτον cημεῖον ἀγαθῆc καὶ πιcτῆc κρίcεωc οἱ πεπαcμοὶ τῶν περιττωμάτων προφαινόμενοι ἐν ταῖc ἐπιδήλοιc ἡμέραιc μετὰ δυνάμεωc ἰcχυρᾶc· ἔπειτα δὲ εἰ ἐν περιττῇ ἡμέρᾳ ἡ κρίcιc γέγονε καὶ πρὸc τούτοιc ἔτι εἰ ὁ πυρετὸc λύοιτο κρινομένῳ τῷ κάμνοντι καὶ τῶν ἄλλων ἁπάντων ἀπαλλάττοιτο cυμπτωμάτων εὐχρούcτερόc τε γίγνοιτο τό τε πρόcωπον καὶ τὸ λοιπὸν cῶμα πρὸc λόγον τῆc κενώcεωc, εὐcφυκτότερόc τε καὶ ἰcχυρότεροc ἐν ταῖc ἐπαναcτάcεcιν, εὔφορόc τε κατὰ πάντα, τάc τε μετὰ ταῦτα πέψειc τῶν τροφῶν καὶ τὰc ἀναδόcειc καὶ πάcαc τὰc φυcικὰc ἐνερ-

1—5 ὅcα—μοχθηρά *Gal. ib. (ib. 564, 14—565, 2)* *Or.*^{a} *VI 5 (186, 32—187, 3) Paul. II 14* 5—7 πλὴν—ἔχουcαν *Gal. in Hippocr. Progn. comm. II 47 (CMG V 9, 2 p. 297, 11)* *Or.*^{a} *VI, 5 (187, 3—6)* 8—10 προcεπιcκέπτεcθαι—μοχθηρὰ *Gal., de cris. ib. (ib. 565, 3—5)* *Or.*^{a} *ib. (187, 6—9)* 10. 11 καὶ μάλιcτα—εἴη *cf.* *Or.*^{a} *ib. (187, 13—14)* 17. 18 πρῶτον—πεπαcμοὶ *Gal. ib. III, 3 (ib. 706, 14—15)* 20—24 εἰ ὁ πυρετόc—ἐπαναcτάcεcιν *Gal. ib. (ib. 710, 5—8)* *Or.*^{a} *VI, 2 (185, 7—10)* εἰ ὁ πυρετ.—κατὰ πάντα *(24) Paul. II 10 (81, 9—13)*

A D ἦν] ἂν P^x εἰ A T *post* ὕcτ.: ἐπιφαίνηται P^x ....εται ψ *post* μηκ.: καὶ πάλιν ἐν τῷ αὐτῷ τμήματι τῶν Ἀφοριcμῶν κε⟨φαλαίῳ⟩ ιθ „καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτεc καὶ εὔκριτα καὶ δύcκριτα καὶ μακρὰ καὶ βραχέα τὰ νοcήματα ἐπιφαινόμενα δηλοῖ" *Hippocr. l. l. v. supra in font. (466, 2—4)* P^x

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 ἡ νόc. δηλ. *om.* P^x εἰcι P^x ω 1. 2 κ. ὕπ. *om.* A 2 κ. λεπ. καὶ ὕπ. *transp.* M^o 3 ἐνδ. ἐπίc. *transp.* ω 4 κ. cτρογγ. *om.* ω (*m. 1*^{a} S) 4. 5 μέλ.] μαλακὰ L^a 5 μοχθ.—χυμ. ἄκρατ. *om.* A^t εἴη P^x ψ S 8 τ. ξανθ. χολῆc (χολ. *om.* φ M^o ψ S) ἢ (τῆc *add.* C^p) μελ.] ξανθὰ ἢ μέλανα A^t *post* δὲ: χρὴ *add.* P^a 11 εἴη *post* μέλ. *transp.* P^a *om.* ψ *post* δυc.: ἢ *add.* ψ 11. 12 ἐπιτιθέμενα C^p 14 *ante* τελ.: δὲ *add.* P^x ταὐτὸ C^p P^x T ἅμα (*om.* T) πάντα] ὁμοῦ ω (*m. 1*^{a} S) 15 ...έλθη P^x ψ ω *ante* ἀθρ.: εὐθέωc καὶ ω 16 κατὰ *om.* S 17 ἂν γν.] ἀναγν. M^o ...cειc L^a P^x *post* πρῶτον: μὲν P^a P^x 18 κρίcεωc *post* ἀγαθῆc M^o *ante* τῶν: καὶ M^o A^t τῶν περιτ. *om.* C^p ψ 19 ...δήμοιc A^t S (*m. 1*^{a}) ἐν *om.* L^a 20 ἡ *om.* P^a γένηται C^p ἔτι *om.* P^a 22. 23 γίγν.—cῶμα] τό τε cύμπαν γίγν. τὸ cῶμα καὶ τὸ πρόc. P^a 24 εὐφορώτεροc M^o 25 *ante* τῶν: καὶ C^p καὶ τὰc *om.* P^a

γείας ἀμέμπτως ἐπιτελοῖτο, ῥωννύοιτό τε πρὸς λόγον τῆς ἀναλήψεως τὸ σῶμα καὶ τὸ χρῶμα μεταβάλλοι ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν, αὕτη ἐστὶν ἀρίστη κρίσις καὶ χρὴ λοιπὸν θαρροῦντας ἀνατρέφειν αὐτοὺς τῇ προσηκούσῃ διαίτῃ καὶ λουτροῖς δηλονότι· εἰ δ' ἐλλιπὴς γένοιτο ἡ κρίσις, ὑποτροπιάζειν εἴωθε τὸ νόσημα.

Γνωρίσματα τοῦ μὴ τελέως λελύσθαι τὸ νόσημα. γνωρίσομεν δὲ νδ
τοὺς ἐνυπόπτους εἰς ὑποστροφὴν ἐκ τοῦ λελύσθαι μὲν νομίζειν τὸ νόσημα, παραμένειν δὲ τὰ παραπλήσια, τά τε οὖρα καὶ τοὺς σφυγμοὺς ὠχριᾶν τε καὶ δυσφορεῖν καὶ τὰ λοιπὰ ἐναντία πᾶσι τοῖς προειρημένοις ἀγαθοῖς γίγνεσθαι καὶ συντόμως εἰπεῖν, ὅταν ἀλόγως λυθῇ, ὑποτροπιάζειν αὐτὸ ἐλπίς.

Πρόγνωσις ἡμέρας ἐν ᾗ μέλλει τεθνήξεσθαι ὁ ἄρρωστος. ἐπὶ τῶν νε
ὀλεθρίων νοσημάτων σκοπεῖν χρὴ τοὺς παροξυσμοὺς καθ' ἑκάστην εἰσβολὴν εἴτε καθ' ἡμέραν εἴτε διὰ τρίτης εἴτε ἄλλως παροξύνοιντο. εἰ δὲ τῶν μὴ διαλειπόντων ἐστὶν ὁ πυρετός, σκόπει εἴτε ἐν περιτταῖς ἡμέραις εἴτε ἐν ταῖς ἀρτίαις δυσφορώτερος ἑαυτοῦ γίνεται ὁ νοσῶν· εἰδέναι γὰρ δεῖ σαφῶς, ὡς κατ' ἐκείνην τὴν ἡμέραν ἢ νύκτα ἐν ᾗ δυσφορώτερος ἑαυτοῦ προσδοκᾶται γίγνεσθαι, τεθνήξεται ὁ ἄρρωστος. καὶ εἰ μὲν πολὺ πλέον ὑπερέρχει τὸ νόσημα τῆς δυνάμεως, ταχέως ἀποθανεῖται, εἰ δὲ ἀντέχοι σμικρὸν ἡ δύναμις, παρατεῖναι δυνήσεται μίαν ἢ δευτέραν ἡμέραν, τῷ τεθνηξομένῳ δὲ εἰς τὸν τῆς παρακμῆς τοῦ νοσήματος καιρὸν ἀδύνατον ἐξικνεῖσθαι· σπάνιον γὰρ κατὰ τὴν παρακμὴν τελευτῆσαί τινα τῷ λόγῳ τοῦ νοσήματος, εἰ μή τι ἕτερον νόσημα διαδέξεται τὸ πρότερον. οὐ μὴν οὐδ' ἐξ ἀνάγκης εἰς τὸν τῆς ἀκμῆς καιρὸν ἀφικνεῖται ὁ τεθνηξόμενος, ὡς ἐπὶ τὸ πολὺ δὲ κατὰ τὴν ἀρχὴν ἢ τὴν ἀνάβασιν ἀποθνήσκουσιν οἱ κάμνοντες.

Ὅτι καὶ τὴν ὥραν ἐν ᾗ μέλλει τεθνήξεσθαι ὁ ἄρρωστος δυνατὸν νϛ
προγνῶναι τὸν ἐπιστήμονα. τεττάρων δὲ ὄντων καὶ τοῦ μερικοῦ παροξυσμοῦ καιρῶν, παραφυλάξασθαι χρὴ κατὰ ποίαν ὥραν ἢ τῆς ἡμέρας ἢ

3 αὕτη — ἀρίστη κρίσις *Gal. ib. (ib. 710, 8—9) Or.*[a] *ib. (185, 10), Paul. ib. (13)* 4. 5 εἰ δ' ἐλλιπὴς — κρίσις *cf. Gal. ib. (ib. 710, 9) Or.*[a] *ib. (185, 10) Paul. ib. (13—14)* 12. 13 ἐπὶ τῶν ὀλεθρίων κτλ. *cf. Gal. ib. III 10 (ib. 747, 12 sqq.)* 20—22 εἰ δὲ ἀντέχοι — ἐξικνεῖσθαι *Gal. ib. III 10 (ib. 749, 3. 5—6), III 9 (ib. 741, 8—9)* 22. 23 σπάνιον — νοσήματος *cf. Gal. ib. 9 (ib. 745, 10—11)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*[a] S] ω (S A^t) 1 ἀμ. *om.* P^a ῥώννυται ψ ω 2 . . . βάλλει P^x A S . . . ειν A^t 3 *ante* ἀρ.: ἡ ψ ω 5 γένηται A^t 6 γνώρισμα A D P . . . ζωμεν P^a . . . σωμεν M^o A S 7 ἐν ὑπόπτω ψ ἐπιστρ. P^x ψ ἐκ] καὶ L^a τ. νόσ. νομ. *transp.* P^x 8 τὰ *pr.* φ *om. cett. codd.* παραπλησίως A D 10 ὅταν *om.* A^t ἀλόγ.] ἀνὰ λόγον εἰπεῖν P^x τοῦ λυθῆναι P^x 12 ἄρρ.] ἄνθρωπος A P 13 τ. παρ. *post* εἰσβ. *transp.* P^a 14 *post* ἄλλως: πως A^t 16 ἀρτ.] ἐναντίοις L^a . . . . ώτατος S γίνοιτο P^a 18 ἑ. προσδ. (. . . . ται (σθω *supra*) P^x) γίγν. (γεν. . . . ψ)] γίγνεται ἑ. A^t ἑ. γίγνεται S *ante* τεθν.: ὁ νοσῶν (ὁ ἄρρ. *om.*) A^t 19 ὑπάρχει φ T 20 . . . έχει $P^x M^o$ T A^t μικρ. C^p A P 21 δὲ *post* τῷ *transp.* ψ εἰς τὸν] εἴσω P^x 22 . . . νίως M^o ω γὰρ] δὲ M^o ω 23 τινα τ. λ.] συνέβη A^t S (*m. 2*[a] *supra scr.* τινα S) νόσ. ἕτ. P^a 23. 24 . . . ξηται $P^a P^x M^o$ ω -αιτο D 25 τὸ *om.* L^a 28 δὲ *om.* φ 29 καιρὸν $P^x A^t$ ἢ *pr. om.* χ ψ ω

τῆς νυκτὸς εἴωθεν εἰςβάλλειν ὁ βαρύτερος παροξυςμός, ἔτι τε ἐν ποίῳ μέρει τοῦ παροξυςμοῦ βαρύτερος ἑαυτοῦ ὁ ἄρρωςτος γίγνεται, οἷον κατὰ τὴν εἰςβολὴν ἢ τὴν ἐπίδοςιν ἢ κατὰ τὴν ἀκμὴν ἢ τὴν παρακμὴν τοῦ παροξυςμοῦ. κατ᾽ ἐκείνην γὰρ τὴν ὥραν ἐν ᾗ νωθρότερος ἢ ἀςφυκτότερος ἑαυτοῦ γίγνοιτο, τεθνήξεται πάντως. ἐν μὲν οὖν τῇ εἰςβολῇ τῶν παροξυςμῶν ἀποθνήςκουςιν ἐπὶ φλεγμοναῖς μεγάλαις ἐν κυρίοις μορίοις γιγνομέναις ἢ διὰ πλῆθος παχέων καὶ γλίςχρων χυμῶν ἀθρόως εἴςω ῥυέντων, ὡς ἀποφράξαι τελέως τὰς διεξόδους τοῦ πνεύματος, οἷον ἀποπνιγείςης καὶ ἀποςβεςθείςης τῆς φύςεως, ὡς εἰ καὶ πλῆθός τις ξύλων χλωρῶν ἐπιςωρεύςει ἐν φλογί. κατὰ δὲ τὰς ἀκμὰς τῶν παροξυςμῶν ἀποθνήςκουςι, τῇ βίᾳ καὶ ςφοδρότητι τοῦ νοςήματος νικηθείςης τῆς φύςεως, ἐφ᾽ ὧν ἄρρωςτος ἡ δύναμις. ςυμβαίνει δὲ τούτῳ τῷ τρόπῳ κἀν τῇ ἐπιδόςει τοῦ παροξυςμοῦ αὐτοὺς ἀποθανεῖν. ἐν δὲ ταῖς παρακμαῖς τῶν παροξυςμῶν ἀποθνήςκουςι, λυθέντος αὐτοῖς τοῦ ζωτικοῦ τόνου· ἀμυδρότερος γὰρ καὶ καταπίπτων ἀεὶ ἐν ταῖς ὀλεθρίοις παρακμαῖς τοῦ παροξυςμοῦ γίνεται ὁ ςφυγμός. διαρρεῖ γὰρ ἅμα τοῖς ἄλλοις ἐν τῷ ςώματι καὶ ἡ πυρεκτικὴ θερμαςία τηνικαῦτα. (κἀντεῦθεν ἡ φανταςία τοῖς ἰδιώταις τοῦ βελτίονος γίνεται.) ἔτι ἢ ἀποπατῆςαι διαναςτάντες ἢ ἄλλως κινηθέντες ἐλειποψύχηςάν τε καὶ μικρὸν ἔνιοι καὶ γλίςχρον ἐφιδρώςαντες ἀπέθανον.

νζ "Οτι ἐπὶ τῶν ὀξέων νοςημάτων οὔτε προλέγειν τὸ τέλος χρὴ οὔτε ἐγχειρεῖν τοῖς κεκρατημένοις. οὐ χρὴ καταςτοχάζεςθαι τῶν κατοξέων νοςημάτων, ἐφ᾽ ὧν καὶ μάλιςτα αἰφνίδιος ὁ κίνδυνος εἰςβάλλει· εὐμετάρρευςτος γὰρ ἐπὶ τούτων ὁ χυμὸς καὶ πυρετωδέςτερος καὶ ςφοδροτάτη ἡ βία τοῦ πυρετοῦ. ἐπὶ γὰρ τῶν τοιούτων νοςημάτων Ἱπποκράτης ἀπεφήνατο· "τῶν ὀξέων νοςημάτων οὐ πάμπαν ἀςφαλέες αἱ προςαγορεύςιες οὔτε τῆς ὑγείης οὔτε τοῦ θανάτου."

νη Περὶ πυρετῶν· διαίρεςις. ἕν τι τῶν κατὰ δυςκραςίαν νοςημάτων ἐςτὶν ὁ πυρετὸς εἰς τοςαύτην ἀμετρίαν αἰρομένης τῆς παρὰ φύςιν

5—12 ἐν μὲν—φύςεως *Gal. ib. III 9 (ib. 4—15)* 14. 15 λυθέντος—τόνου *Gal. ib. (ib. 745, 11)* 15—20 ἀμυδρότερος—ἀπέθανον *ib. (744, 3—8)* 26. 27 τῶν ὀξέων—θανάτου *Hippocr. Aphorism. II 19 (474, 12—13)*

φ ($L^a P^a$) χ ($C^p M^o$) ψ (ADPT) [*m. 2ª* S] ω (S A^t) 1—*p. 36, 22* εἴωθεν—τὰ βλέφαρα *om.* P^x 1 ὁ παρ. ὁ βαρύτ. P^a ἔτι τε] εἴτε φ 2 γέγονεν A^t οἷον *om.* M^o ψ 3 ἢ (κατὰ *add.* C^p) τ. π. *post* παροξ. D *m. 2ª* S *om.* APTω 4. 5 ἢ ἀςφ. *om.* ψ 5 πάντως *om.* ω 7 γενομ. P^a χυμ. *post* παχ. ψ 8 ῥαγέντων A ἀποφρ. χψω *Gal.* ἐμφρ. P^a φράξαι L^a 9 φύς.] ἐμφύτου θερμαςίας P^a 10 ....ρεύει M^o ....ρεύςειε ψ ἐν *om.* P^aψ παρακμὰς A^t 12 ἀρρωςτεῖ C^p 14 *post* λυθ.: τῇ βίᾳ ω 15 καὶ *om.* ψ 17 ἡ *om.* T 18 ἔτι] οὗτοι δὲ οἱ P^a οἱ A οἵγε DPT *om.* ω 19 ἢ *om.* P^a A τε *om.* ω 21. 22 "Οτι—κεκρατημ. *post* θανάτου *(l. 27) transp.* P^a 21 χρὴ τὸ τ. DP 22 *post* κεκρατ.: ὑπὸ τῶν νόςων ADP 23 ...ίδιον ψ *post* ....ίδιος: ὁ θάνατος ἢ καὶ A^t 24 εὐμετάτρεπτος P^a πυρρωδ., πυρωδ. χψω 25 ἡ *om.* M^o ω τ. τοιούτ.] τούτων τῶν ψ 26 ἀπεκρίνατο T *ante* τῶν: ἐκ T ....φαλεῖς C^p ....ῶς A^t 27 ....ρεύςεις C^p ....ςειες A^t τῆς *om.* P^a 28 πυρετῶν διαφορουςῶν A διαιρέςεως πυρ. DPT *(recte?)* πυρετοῦ διαιρέςεως ω *ante* ἕν.: καὶ (κ. *om.* P πρῶτον *add.* A) περὶ (τῶν *add.* P) ἐφημέρων πυρετῶν Γαληνοῦ (πυρ. Γαλ. *om.* AP) C^pAPTω *(recte?)* 29 αἱρουμ. (ἐρωμ. P^a) A^t *om.* M^o

θερμότητος, ὡς ἀνιᾶν τε τὸν ἄνθρωπον καὶ τὴν ἐνέργειαν βλάπτειν. αἱ διαφοραὶ δὲ τῆς θερμότητος ταύτης παρὰ τὸ μᾶλλον καὶ ἧττόν εἰσιν ἢ τὸ σῶμα αὐτὸ τῆς καρδίας κατειληφυίας ἢ τοὺς χυμοὺς ἢ τὴν ἀερώδη οὐσίαν. ἄρχεται μὲν οὖν ἡ παρὰ φύσιν αὕτη θερμότης ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων καὶ εἰ μὴ φθάσειε λυθῆναι, συνδιατίθησιν ἑαυτῇ τῷ χρόνῳ ὡσαύτως τὰ λοιπὰ δύο γένη. καὶ εἰ μὲν τοῖς πνεύμασιν ἐγκαταμείνῃ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν, εἰ δὲ τὰ ὑγρὰ καταλάβῃ, τὸν ἐπὶ σηπεδόνι ἀνάπτει, εἰ δὲ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἀδικήσει, τὸν ἑκτικὸν κατασκευάζει πυρετόν. ἔνιοι μὲν γὰρ τῶν πυρετῶν εὔλυτον ἔχουσι τὴν διάθεσιν, οὕτως ὡς τὸ θερμανθὲν ἐν ἡλίῳ ξύλον, ἔνιοι δὲ δύσλυτον, οὕτως ὡς τὸ ἀναφθὲν ὑπὸ τοῦ πυρὸς ξύλον, ὥστε καὶ καπνὸν ἀποβάλλειν. τρία μὲν οὖν ἐστι τὰ γένη τῶν πυρετῶν· τό τε τῶν ἐφημέρων καὶ τὸ τῶν ἐπὶ σήψει χυμῶν καὶ τρίτον τὸ τῶν ἑκτικῶν. πρῶτον μὲν οὖν περὶ τῶν ἐφημέρων διαληψόμεθα. γίγνονται τοίνυν οἱ τοιοῦτοι πυρετοί, ὡς εἴρηται, χωρὶς σήψεως χυμῶν ἐκ πυρωθέντος μόνου τοῦ πνεύματος καὶ διὰ τοῦτο ἐφήμεροι καλοῦνται. λουσάμενοι γὰρ οἱ κάμνοντες ἐν τῇ πρώτῃ παρακμῇ τούτου τοῦ πυρετοῦ καὶ τροφὴν εὔχυμόν τε καὶ ὑγρὰν προσαράμενοι οὐκέτι δεύτερον πυρέττουσιν. ἴδιον δὲ καὶ ἀχώριστον σημεῖον τῶν ἐφημέρων πυρετῶν ἐστιν ἡ τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν καὶ τὸ τῆς θερμασίας ἡδύ. μετὰ δὲ τὴν παῦλαν τοῦ παροξυσμοῦ πιστοτέραν ἕξεις τὴν διάγνωσιν. ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις κατὰ πάντα ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, ὅπερ οὐδενὶ τῶν ἄλλων πυρετῶν πρόσεστι, καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία μέγιστον καὶ αὐτὴ σημεῖον ἀπαλλαγῆς ἐστι καὶ τὰ οὖρα πολὺ βελτίω μετὰ τὸν παροξυσμὸν τὸν κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ εἰ λουομένοις δὲ αὐτοῖς μήτε φρίκη τις ἀήθης γένοιτο μήτε ἄλλη τις ἀηδία καὶ εἰ μετὰ τὸ λουτρὸν ἐφεξῆς ἡ εὐφορία μένοι, θαρρῶν τρέφοις τε ἂν αὐτοὺς καὶ οἴνου παρέχοις

1—6 αἱ διαφοραὶ — χρόνῳ *Gal. de different. febrium I 1 (VII, 276, 1—4), I 2 (277, 14—16; 278, 13—14. 16—17)* 14. 15 γίγνονται — χυμῶν *Gal. de cris. II 13 (IX 695, 18—696, 1)* 19. 20 ἴδιον — ἡμερῶν *Gal. de diff. febr. I 8 (VII 302, 15—17)* 19—24 ἴδιον — ἀπαλλαγῆς ἐστι *Or.*[a] *VI, 6 (187, 16—22)* 19—23 ἴδιον — πρόσεστι *Paul. II 15 (96, 2—7)* 21—23 πιστοτέραν — πρόσεστι *Gal. ad Glaucon. de medendi meth. I 2 (XI, 9, 11—15)* 23—*p. 36, 1* καὶ ἡ τοῦ κάμνοντος — μέτριον *Gal. ib. (ib. 10, 7—8, 4—5, 9—13).*

φ ($L^a P^a$) χ ($C^p M^o$) ψ (A D P T) [*m. 2*[a] S] ω (S A^t) 1 θερμασίας ω 2 *post* μᾶλλον: τε ω εἰσιν *om.* ω (*m. 1*[a] S) *post* εἰσιν: ἢ παρὰ τὴν ὕλην ὡς τῆς θερμασίας P^a 3 *ante* τὸ: γὰρ ω 4 θερμασία ω 5 συνδιατ. P^aψ *Gal.* διατίθ. *cett.* ἐν αὐτῇ L^a 6 *ante* τοῖς: ἐν P^aPω (*m. 1*[a] S) 6. 7 .....μείνοι ψ 7 ....βοι ψS 8 καὶ *post* δὲ *add.* φ 9 πυρετῶν] ...ττόντων χψω 12 ἀποβαλεῖν ψ (*exc.* T) .....πέμπειν P^a τῶν πυρ. *om.* ω (*m. 1*[a] S) 13 καὶ *pr. om.* ω τῶν *pr. om.* L^aχTω (*m. 1*[a] S) *ante* τρίτον: τὸ A P τρίτον *om.* A^t τὸ *alt.*] τὸν L^a *supra scr. m. 2*[a] S *om.* χ τῶν *alt. om.* L^a 13. 14 ἑκτικόν L^a 14 μὲν *om.* χψω 14. 15 τοίνυν] οὖν A D P *om.* T 15 τ. πυρ.] πυρ. οὗτοι ω 17 παρ. τ. πρ. C^p τοῦ *om.* C^pT 18 εὔφημον *m. 1*[a] A^t 19 παὶ *Gal. Paul. om.* α 20 ἐστιν *om.* ψ 24 αὐτὸ L^a ἔσται ψ 25 πολλῷ ψω τὸν *alt.*] τῶν C^p ἢ ω (*m. 1*[a] S) κατ᾽ ἀρχὴν A D T 26 δὲ *om.* C^pT 26. 27 ἀήθ. *om.* P^a 27 εἰ *om.* A^t ἑξῆς A^t 28 ..τὸν A^t

ἀδεῶς πίνειν ὅσον τοῖς παροῦσι μέτριον. εὐάλωτοι δὲ τοῖς τοιούτοις πυρετοῖς εἰσιν ἐφ᾿ ὧν αἱ ἀπόρροιαι τοῦ σώματος οὐκ ἀτμώδεις ἀλλὰ δριμύ τε καὶ καπνῶδες ἔχουσιν, ὥστε, εἴ ποτε ἐπισχεθῶσι τὸ ἀθροιζόμενον ἐξ αὐτῶν θερμόν, πυρετῶδες γενέσθαι· προκατάρχουσι δὲ αὐτῶν αἰτίαι· κόποι ψῦξις ἀγρυπνία φροντίδες λῦπαι θυμοὶ ῥῖγος ἔγκαυσις ἀπεψία καὶ πύκνωσις τοῦ δέρματος, ὥστε δυσδιάπνευστον αὐτοῖς γίγνεσθαι.

νθ Περὶ τῶν ἐπὶ κόποις ἐφημέρων πυρετῶν. τῶν μὲν οὖν ἐπὶ κόποις πυρεξάντων τό τε δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν ἐστι (μάλιστα δὲ τοῦτο συμβαίνει τοῖς ψυγεῖσιν ἅμα πλείονι κόπῳ, ὥστε καὶ μετὰ τὴν ἀκμὴν τοῦ πυρετοῦ παραμένειν αὐτοῖς τὴν ξηρότητα) καὶ οἱ σφυγμοὶ τούτοις μικροὶ γίγνονται. τοῖς δὲ μὴ ἄγαν ὑπερπονήσασιν ἰκμάδες τινὲς ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται μεγάλοι τέ εἰσι τούτοις καὶ οἱ σφυγμοί. χρὴ δὲ μετὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ εὐθὺς ἐπὶ τὸ λουτρὸν ἄγειν αὐτοὺς καὶ λιπαρῶς τε ἅμα καὶ μαλακῶς ἀνατρίψαντας ἐπ᾿ ὀλίγῳ ἐλαίῳ γλυκεῖ χλιαρῷ λούειν γλυκέων ὑδάτων λουτροῖς, ἀλλ᾿ οὐδ᾿ εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίζειν αὐτοὺς κελεύσειας, οὐδὲν βλάψεις διὰ τὴν ψῦξιν, εἶτα ἀνάπαυσιν ἐπιτηδεύειν.

ξ Περὶ τῶν ἐπ᾿ ἀγρυπνίᾳ καὶ φροντίδι ἢ λύπῃ ἢ θυμοῖς πυρεξάντων. τοὺς μὲν ἐπ᾿ ἀγρυπνίᾳ πυρέξαντας διορίζει μὲν καὶ τὸ τῆς χροιᾶς εἶδος· ὕποιδον γάρ ἐστι καὶ τῶν ὀφθαλμῶν δὲ αἱ κινήσεις δῆλαι· μόγις γὰρ ἐπαίρουσι τὰ βλέφαρα. καὶ κοῖλοι αὐτοῖς γίγνονται οἱ ὀφθαλμοί. καὶ τοῖς λυπηθεῖσι δὲ ἢ φροντίσασι κοῖλοι μὲν ὁμοίως γίγνονται οἱ ὀφθαλμοὶ ἀλλὰ καὶ ξηροί. οἱ δὲ σφυγμοὶ μικρότεροι πᾶσι τοῖς ἐπ᾿ ἀγρυπνίᾳ καὶ λύπῃ καὶ φροντίδι γίγνονται, τοῖς δὲ ἐπὶ θυμῷ οὔτε τὸ τῆς κοιλότητος τῶν ὀφθαλμῶν πάρεστιν οὔτε τὸ τῆς ἀχροίας καὶ ἡ θερμασία τούτοις πλείων καὶ ὡς ἐκ τοῦ βάθους ἀναφερομένη καὶ μεγάλοι τούτοις οἱ σφυγμοί. οἱ μὲν οὖν προειρημένοι πάντες οὐδὲ

1—3 εὐάλωτοι—ἔχουσιν *cf. Gal. meth. med. VIII 2 (X 535, 3—5) Or.^{a} ib. (187, 22—24)* 7—13 τῶν μὲν οὖν—σφυγμοί *Gal. ad Glaucon. d. m. meth. I 2 (XI 12, 11—12, 17—18, 16—17; 13, 2; 12, 15—16; 13, 2—3)* 14—16 λιπαρῶς—λούειν *Or.^{a} ib. (187, 25—27) Or.^{e} III 2 (397, 7—8)* 20—28 τοὺς μὲν—σφυγμοί *Gal. ib. (ib. 11, 16—12, 8)* 28—*p. 36, 2* οἱ μὲν οὖν—ἔθος *Gal. meth. med. VIII 3 (X 553, 6—11) cf. Or^e ib. (397, 9—11)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 ἀδρῶς P^a σύμμετρον M^o 2 ...δεις A D T *m. 2^a* S 4 ἐν αὐταῖς A^t γίγν. A D P ...εται P^a C^p M^o T ω 5 ψύξεις C^p M^o ψ ω ἀγρυπνίαιπνίαι C^p M^o ψ ω ῥῖγος *corr.* ῥίγη *m. 1^a* T ἐγκαύσεις T ἔκ...σις ω (*m. 1^a* S) 6 ἀπεψίαι T αὐτὸ P^a M^o ψ ω γενέσθαι C^p M^o ψ ω 7 τῶν μ. οὖν] ἐπὶ μὲν οὖν τῶν ψ 8 ἤπερ A D P A^t *ex corr.* S *Gal.* εἴπερ *cett.* 9 ἐστι *om* ψ *post* συμβ.: εἰ L^a τ. ψυχθεῖσιν ἅμα ψ ἅμα τ. ψυχθεῖσι ω πλείοσι κόποις ψ 10 παρακμὴν ψ 11 μικρότεροι ψ ἄγαν μὴ C^p ω 12 ἀτμοὶ A P T θερμοὶ A *om.* D P T 12. 13 ....ρονται ψ 13 τε] δὲ C^p M^o ψ ω καὶ (κ. *om.* P^a) τούτ. A^t 14 τὸ *om.* C^p M^o ψ ω 15 ...γον M^o A^t 16 εἰ] ἦν ψ 17 δ. τ. ψῦξ. *om.* P^a 19 *tit. om.* ω 20 μὲν] δὲ ω 20. 21 ἀχροίας ψ (*exc.* A) *m. 2^a* S *Gal.* 21 αἱ *om.* φ ψ 23. 24 καὶ τοῖς—ὀφθαλμοὶ *om.* A^t 23 ἐμφροντ. D T 24 μακρ. P^x πικνότ. (*l.* .. κρότ.) A^t 27 πλεῖον C^p M^o ...ίω P^x πλέον ω

τρίψεως οὐδὲ λουτρῶν δέονται πολλῶν, ἀλλὰ πολὺ μὲν ἔλαιον περιχεῖν οὐδόλως μετέχον στύψεως, ἀνατρίψαντα δὲ βραχέα λούειν ὡς ἔθος.

Περὶ τῶν ἐπ᾽ ἐγκαύσει πυρεξάντων· θεραπεία. τοὺς δὲ ἐπ᾽ ἐγκαύ- ξα
σει πυρέξαντας εὐθέως μὲν ἐξ ἀρχῆς τοῖς ψύχουσιν ἰᾶσθαι λουτροῖς πλείοσι γλυκυτάτων καὶ εὐκρατωτάτων ὑδάτων. ἔλαιον δὲ βραχὺ προσφέρειν καὶ οὐδόλως ἀνατρίβειν. ἔστω δὲ τὰ προσαγόμενα τῇ κεφαλῇ ψύχοντα ὀμφάκινόν τε καὶ ῥόδινον τὸ ἐξ αὐτοῦ ἐσκευασμένον ἁλῶν μὴ ἔχοντος. ἐργάζεσθαι δὲ ταῦτα ψυχρά; τὸ ἀγγεῖον ἐν ᾧ περιέχεται κρεμῶντας ἐν φρέατι ψαῦον τοῦ ὕδατος· ἔτι δὲ μᾶλλον κρουνὸς ὕδατος ψυχροῦ ψύχει τὸ ἔλαιον καὶ τούτου μᾶλλον χιὼν περιπλαττομένη ἔξωθεν τῷ ἀγγείῳ· καταχεῖν δὲ τοῦ βρέγματος τὸ ψυχθὲν οὕτως ἔλαιον δι᾽ ἐρίου συμμέτρου ἀναλαμβάνοντα καὶ μετέωρον ἐξαίροντα τὴν χεῖρα, καὶ τοῦτο ἀδιαλείπτως ποιήσαντα ἄχρι τῆς παρακμῆς τοῦ πυρετοῦ· ἄγειν δὲ ἐπὶ λουτρὸν γλυκέων καὶ εὐκράτων ὑδάτων μόνῃ τῇ παρόδῳ τοῦ ἀέρος χρώμενον.

Περὶ τῶν ἐπὶ ψύξει πυρεξάντων· θεραπεία. εἰ δέ τις ψυχθεὶς πυ- ξβ
ρέξειεν ἐπισχεθεισῶν αὐτῷ δηλονότι τῶν διὰ τοῦ δέρματος γιγνομένων καπνωδῶν διαπνοῶν, καὶ τοῦτον ἐπὶ βαλανεῖον ἀκτέον ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ· θερμαίνειν δὲ τὴν κεφαλὴν καὶ πρὸ τοῦ λουτροῦ ἐν τῇ παρακμῇ καὶ μετὰ τὸ λουτρὸν ἰρίνῳ μύρῳ καὶ ἀμαρακίνῳ καὶ ναρδίνῳ.

Περὶ τῶν ἐπὶ κορύζῃ καὶ κατάρρῳ πυρεξάντων. τοὺς δὲ σὺν κορύζῃ ξγ
καὶ κατάρρῳ πυρέξαντας, πρὶν πεφθῆναι ταῦτα, λούειν οὐ χρή, εἰ ἐκ ψύξεως ἢ δυσπεψίας ὁ κατάρρους ἐγένετο· τὴν δὲ κεφαλὴν ἐμβρέχειν ἰρίνῳ μύρῳ μάλιστα ἢ ἀμαρακίνῳ ἢ ναρδίνῳ· εἰ δ᾽ ἐπ᾽ ἐγκαύσει γέγονεν ὁ κατάρρους θερμανθείσης τῆς κεφαλῆς καὶ σικύας τρόπον ἑλκυσάσης ὕλην ἐκ τῶν ὑποκειμένων, τούτους εὐθὺς ἐπὶ λουτρὸν ἄγειν γλυκέων

3—14 τοὺς δὲ — λουτρὸν *Gal. ib. (ib. 553, 11—554, 6)* *cf. Or.*^{e} *ib. (397, 11—19)* 16—20 εἰ δέ τις — ναρδίνῳ *Gal. ib. (ib. 554, 6—9, 12—16)* 21. 22 τοὺς δὲ — χρή *Gal. ib. (ib. 554, 9—10)* 21—24 τοὺς δὲ — ναρδίνῳ *cf. Or.*^{e} *ib. (397, 19—24)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 τρίψεων χ ψ ω πολλῶ μ. ἐλαίω π. οὐδ. μετέχοντι ψ 2 ....ψαντας D P T 3 Περὶ — θεραπεία] Σημεῖα ἐξ (*l.* ἐς?) οἷον δή τινα τρόπον γένωνται οἱ πυρετοί P^x *om.* A^t 4 *ante* λουτροῖς: καὶ *add.* α *exc.* L^a 7 ...γοντα L^a *om.* P^a τὸ *om.* P^x ...μένα P^x 8 ἔχοντα $P^x A^t$ ἔχον? *Deichgraeber cf. Gal. et Orib.* 9 ..μνῶντας $C^p M^o$ S κρέμμον^T P^x ....μῶντες A^t φρέασι A^t *post* φρ. μὴ P^a ψαύοντα $L^a C^p M^o$ ...ντι *m. 1*^{a} S ...ντος $P^x A^t$ κρουνὸς] ῥαίνειν A P T *supra scr. m. 2*^{a} S 10 καὶ ψύχειν A P T *m. 2*^{a} S 11 τῶν ἀγγείων ψ *m. 2*^{a} S τὸ...εῖον $P^x M^o$ ω (*m. 1*^{a} S) κατέχειν L^a 12 σύμμετρον P^a ...ως A^t λαμβάνοντα P^x ἀνα....ντας ψ ....ντας ψ 13 ....ντας ψ *post* πυρετοῦ: εἰ δὲ πυρετὸς σφοδρὸς εἴη ἐμβροχὴ δὲ κτλ. P^x 14 δὲ *om.* χ ψ ω λουτρῶν $P^a P^x$ *post* γλυκ.: τε ψ 15 ...μενοι $L^a M^o A^t$ 16 θεραπ. *om.* χ ψ ω 17 ....θέντων φ $P^x M^o A^t$ αὐτῶν $C^p P^x$ ω 18 ἀναπνοῶν C^p S 20 τὸ *om.* ω καὶ *tert.*] ἢ χ ψ ω *post* ναρδ.: τῶν ἐπὶ ψύξει πυρετῶν. ὅθεν καὶ ἐπὶ πολλῇ ψυχρότητι καταλαμβάνεται τὸ σῶμα ἀθρόως κτλ. P^x 21 καὶ *om.* L^a πυρετῶν D P *post* πυρ.: Γαληνοῦ P^x δὲ *om.* A^t σὺν] ἐπὶ ω 22 κ. κατ. *om.* ω (*m. 1*^{a} S) κατ. κ. κορ. *transp.* D οὐ χρὴ λού. ω 24 μάλ. *om.* A^t ἢ ... ἢ] *cf. Orib.* τε ... καὶ *et v. 20* 25 συκίας P^x D P ἐπελκ. P^x 26 τοῦτον A^t λουτρῶν $P^a P^x$

καὶ εὐκράτων ὑδάτων καὶ τῷ ψυχρῷ βάπτειν καὶ ὑπὸ τὸν κρουνὸν τιθέναι. ἐπὶ δὲ τῷ λουτρῷ τοῖς ῥωννύουσι τὴν κεφαλὴν ἐμβρέχειν. μέτρια δὲ ἔστω διὰ τὸ λουτρόν.

ξδ Περὶ τῶν ἐπὶ πυκνώσει τοῦ δέρματος πυρετῶν. πυκνοῦται τὸ δέρμα ἢ ψυχόμενον ἢ ποιότητος αὐτῷ στρυφνῆς ἀήθως προσπεσούσης, οἷόν τι καὶ τοῖς παρὰ τὸ ἔθος λουομένοις ἐν ὕδατι στυπτηριώδει γίνεται. στεγνότατον δὲ τούτοις ἐστὶ τὸ δέρμα, ὥστε καὶ τῇ ἁφῇ διαγιγνώσκεσθαι. ἀλλὰ καὶ ἡ τῆς θερμασίας κίνησις πραεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη δριμεῖα γίνεται εἰ χρονίσαις ἁπτόμενος ἐπὶ πλέον. τὰ δὲ οὖρα οὐχ ὡς τοῖς ἄλλοις ἐστὶ πυρρά· διότι οὐκ ἀτροφίαν αἰτιώμεθα ἐπὶ τούτων, ὅθεν οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίγνονται· ἀλλ᾽ ἔστιν οἷς καὶ ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν διὰ τὸ μὴ γίγνεσθαι διαφόρησιν ἐπ᾽ αὐτῶν, ἀλλὰ μᾶλλον ἐναποκλείεσθαι ἔνδον τὰς ὕλας· ὅθεν οὐδ᾽ οἱ σφυγμοὶ μικροὶ καθάπερ ἐπὶ λύπης ἢ φροντίδος ἢ ἀγρυπνίας καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις. θεραπεύειν δὲ χρὴ λούοντας ὕδατι γλυκυτάτῳ καὶ εὐκρατοτάτῳ μετὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ καὶ χρονίζειν ποσῶς ἐν τῷ ἀέρι τοῦ βαλανείου κελεύειν, ἔλαιόν τε γλυκὺ ἐπιχέοντας χλιαρὸν τρῖψιν μετρίαν καὶ μαλακὴν προσάγειν, διαιτᾶν δὲ λεπτῇ διαίτῃ καὶ οἶνον λευκὸν καὶ λεπτὸν διδόναι.

ξε Περὶ τῶν ἐπ᾽ ἀσιτίᾳ πυρετῶν. εἰ δὲ δι᾽ ἀσιτίαν γένηται πυρετὸς τοῦ παροξυσμοῦ παρακμάζοντος εἰς τὸ βαλανεῖον ἄγειν αὐτοὺς καὶ ἔλαιον χλιαρὸν γλυκύτατον πλεῖστον καταχέοντας ἀνατρίβειν πραότατα καὶ τὸ πλεῖστον τούτους τοῦ χρόνου τῇ θερμῇ δεξαμενῇ διατρίβειν· ἐξελθόντας δὲ καὶ ἀναλαβόντας τὴν δύναμιν πάλιν ἐκ δευτέρου εἰσάγειν ἐν τῷ λουτρῷ καὶ ἐμβιβάζειν τῷ θερμῷ, εἶτα ἐξελθόντας μετὰ τὸ καταστῆναι τὴν ἐκ τοῦ βαλανείου ταραχὴν διδόναι ὕδωρ θερμὸν πίνειν, κἄπειτα πτισσάνης χυλόν, ἐνίοτε δὲ καὶ τῶν πετραίων ἰχθύων ἐν λευκῷ ζωμῷ γεγενημένων.

4—13 Περὶ τῶν — γυμνασίοις *Gal. ad Glaucon. de med. meth. ib. (XI, 13, 3—8, 11—19)* 16. 17 θεραπεύειν — γλυκυτάτῳ *cf. Or.*^{e} *ib. (397, 25—26)* 21 εἰ δὲ — γεγενημένων *cf. Or*^{e} *ib. (ib. 29—35)* 22—29 εἰς τὸ βαλανεῖον — γεγενημένων *Gal. meth. med. IX, 2 (X, 536, 15—537, 10)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^1) 2 μετὰ δὲ τὸ λουτρὸν P^a 3 ἐστι $C^p A^t$ 4 τ. δέρμ. *om.* ψ *ante* τό: δὲ P^x 7 στεγν. — ἐστὶ] ἐς τοσοῦτον δὲ τούτοις στεγνοῦται P^a 9 *post* δριμ.: δὲ P^xψ *m. 2*^{a} S ...ίσεις L^aT 10 ἐστὶ *om.* P^xψ ὑπό(ἐπί)πυρ(ρ)α P^xψ 13 καὶ *pr. om.* P^xω (*m. 1*^{a} S) 14 ἐναποκεκλεῖσθαι ψS 16 *post* γυμν. *add.* χρωμένοις *Gal.* τῶν ἄ. ἀμέτρων ...σίων ψ 17 καὶ εὐκρατ. *om.* L^a 19 γλυκύτατον M^oψ 20 λεπτ. κ. λευκ. T *post* διδ.: δίδου δὲ ἐσθίειν καὶ ταύτην τὴν ἀντίδοτον η διὰ ῥόδων τοῦ ἡγουμένου (ἡ — ἡγ. *subscr. in marg.*) κτλ. P^x 22 *post* ἄγειν: κέλευε ἄγειν καὶ αὐτὸ (—οὺς?) κατὰ τὴν ἀκμὴν τοῦ παροξυσμοῦ ἢ κατὰ τὴν παρακμὴν P^x αὐτοὺς *om.* P^x 24 τούτ. τ. χρ. *om.* P^a τ. χρ. τούτ. A τούτους *om.* $C^p P^x$D T τοῦ χρ. *om.* M^oP χρ.] ψυχροῦ L^a ἐνδιατ. P^a 25 ...λαμβάνοντας $C^p P^x$ω 25. 26 εἰς λουτρὸν εἰσάγ. M^o ἐν τῷ λουτρῷ φC^p Pω 26 *ante* τῷ: ἐν $C^p P^x$ ....θόντα $P^x A^t$ 27 κἄπ.] καὶ M^oP 29 *post* γεγεν.: δίδου δὲ εἰ βούλη θαρρῶν καὶ τὰς ἀντιδότους τὰς προγεγραμμένας κτλ. P^x

Δίαιτα κοινὴ πάντων τῶν ἐφημέρων πυρετῶν. ἡ δὲ διαίτα κοινὸν ξς
ἔχει σκοπὸν ἁπάντων τῶν ἐφημέρων πυρετῶν ἐξ ἐδεσμάτων εὐχύμων τε καὶ ῥᾳδίως πεττομένων οὐδαμόθεν τε κατὰ τοὺς πόρους ἰσχομένων, τοῖς μὲν ἐγκαυθεῖσιν ἢ θυμωθεῖσι μετὰ τοῦ ψύχειν τε καὶ ὑγραίνειν, τοῖς δὲ ψυγεῖσιν ἀτροφωτέρα μετὰ τοῦ θερμαίνειν μετρίως, τοῖς δὲ ἀγρυπνήσασιν ἢ λυπηθεῖσι καὶ πλείω φροντίσασιν ἡ ὑγρὰ καὶ ὑπνώδης τροφὴ ἁρμόδιος, τοῖς δὲ κοπωθεῖσιν ἡ τροφιμωτέρα καὶ πλείστη. ἐφ' ὧν δὲ ἡ δυσκρασία τοῦ σώματος ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον τρέποιτο, δεῖ τούτους κατὰ τὴν πρώτην εἰσβολὴν ἐνίοτε τοῦ πρώτου παροξυσμοῦ τρέφειν· οἶνον δὲ πᾶσι τοῖς ἐφήμερον πυρετὸν πυρέξασι διδόναι τὸν ὑδατώδη λεγόμενον λευκὸν καὶ λεπτόν, τὴν πέψιν ἐπὶ τούτων συναιρόμενον καὶ οὖρα καὶ ἱδρῶτας προτρέποντα. τοῖς δὲ ἀγρυπνήσασιν ἢ λυπηθεῖσιν ἢ φροντίσασι μᾶλλον ἀδεῶς διδόναι οἶνον καὶ τοῖς ὑπερκοπωθεῖσι δὲ διδόναι τοσοῦτον ὅσον κρατεῖν δύνανται. τοῖς δὲ θυμωθεῖσι, πρὶν παντελῶς ἔξω τοῦ πάθους γένωνται, οὐκ ἀσφαλὲς οἶνον διδόναι.

Περὶ τῶν ἐπὶ βουβῶσι πυρετῶν. εἰ μὲν χωρὶς προκαταρκτικῆς ξζ
αἰτίας φλεγμονὴ γένοιτο βουβῶνος, πλῆθος αἵματος ὡς ἐπίπαν δηλοῖ ἐν παντὶ τῷ σώματι. καὶ γὰρ ἡ θερμασία ἐπὶ τούτων πλείων τῶν προειρημένων καὶ τὸ πρόσωπον ἐρυθρὸν καὶ εὔογκον φαίνεται. δεῖ οὖν φλεβοτομεῖν τάχιστα, πρὶν σαπεῖσα ἐν τῷ φλεγμαίνοντι τόπῳ ἡ ὕλη πυρετὸν ἀνάψει τὸν ἐπὶ σήψει. μετὰ δὲ τὴν φλεβοτομίαν λεπτῇ διαίτῃ κεχρῆσθαι μέχρι τελείας ἀπαλλαγῆς. κατὰ δὲ τοῦ φλεγμαίνοντος βουβῶνος πρὸ μὲν τῆς φλεβοτομίας τὰ στύφοντα καὶ ἀποκρουόμενα ἐπιτιθέναι, μετὰ δὲ τὴν φλεβοτομίαν τὰ χαλῶντα καὶ μετρίως διαφοροῦντα. ἐφ' ὧν δὲ διὰ πρόσκομμα δακτύλου ἢ ἕτερόν τι τοιοῦτον βουβὼν ἐγένετο καὶ τούτου χάριν ὁ ἐφήμερος ἐπηκολούθησε πυρετός, οἱ τοιοῦτοι οὐδὲν πυνθάνονται τὸν ἰατρὸν ὅ τι χρὴ ποιεῖν, ἀλλὰ καὶ τοῦ ἕλκους, ἐφ'

1—7 ἡ δὲ δίαιτα—πλείστη *Gal. ib. 3 (ib. 555, 9—15)* 4—7 τοῖς μὲν—πλείστη *Or.^{e} ib. (397, 37—398, 4)* 12—15 τοῖς δὲ ἀγρυπνήσασιν—διδόναι *Or.^{e} ib. (398, 5—10)* 26—*p. 40, 2* οἱ τοιοῦτοι—παροξυσμοῦ *Gal. ib. IX 6 (X, 580, 11—15)* 27 τοῦ ἕλκους—*40, 3* λεπτότερον διαιτᾶν *cf. Or.^{e} ib. (398, 10—14)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 *cap.* ξς *post cap.* ξθ P^x *ante* πάντ: περὶ D T κοινὸν] . . . ἡ L^a 3 ῥᾳδίως] παντοίων A^t . . . μόθι M^o ψ (*exc.* D) *Gal.* τε *alt.*] δὲ M^o A^t 5 ψυχθεῖσιν P^a A D T *m. 2^a* S μετὰ] μὲν φ C^p ψ ω 6 καὶ *pr.*] ἢ P^a P^x πλεῖον ψ (*exc.* P) A^t 7 . . . μωτάτη A^t 9 τούτους *om.* D T πρώτου *om.* P^a T 11 λεπτ. κ. λευκ. P^x ψ (*exc.* P) ω τῇ πέψει α *exc.* L^a 11. 12 . . . . μενος φ P^x M^o . . . ούμ. C^p . . . ούμενον A^t *m. 1^a* S 12 . . . . πων φ C^p S . . . πειν M^o P 13 οἴνου ἢ P^x *post* οἶνον: εἰ δὲ ψ (*exc.* P) 14 δὲ] δεῖ D T *om.* P^x A *post* διδ.: οἶνον ω *ante* ὅσ.: εἰς (ἐς) χ ψ ω 15 πρὶν . . . . γέν. *om.* P^x A D T παντ. *post* πάθ. P^a *post* ἀσφ.: γε D T *post* διδ.: ἕως ἔξω τοῦ πάθους παντελῶς ὦσιν· πρότερον δὲ οὐκ ἀσφαλὲς οἶνον (*l.* . . . νῳ) χρῆσθαι. δίδου δὲ κτλ. P^x 16 πυρεξάντων T A^t 18 πλεῖον C^p . . . ίω L^a P^x M^o P ω 19 εἰρημ. P^x A D T φαίν.] γίνεται P^x ἐπιφ. A^t 20 σαπῇ A^t τόπῳ *om.* ῳ ἡ ὕλη *ante* ἐν P^x *post* ὕλη: καὶ A^t 22 *post* ἀπαλλ.: οἴνου δὲ παντάπαν ἀπέχειν καὶ πάσης τραχυτέρας τροφῆς κτλ. P^x 23 . . . ρούοντα P^a S 24 τὴν φλ.] ταύτην P *post* χαλ: τε ψ (*exc.* P) 25 . . . λων C^p P^x 26 οὐδὲ χ ψ 27 πείθονται L^a πυνθ. *ex* πείθ. *m. 1^a* M^o τῶν ἰατρῶν C^p M^o P καὶ *om.* P^x ψ (*exc.* P)

οὗπερ ἂν ὁ βουβὼν γένηται, προνοηcάμενοι λούονται κατὰ τὴν παρακμὴν τοῦ παροξυcμοῦ. εἴργειν δὲ οἴνου χρὴ πάντας τοὺc ἐπὶ βουβῶcι πυρέττοντας, μέχρις ἂν οἱ βουβῶνες λυθῶcι καὶ λεπτότερον διαιτᾶν.

ξη Περὶ τῶν ἐπὶ ταῖc ἀπεψίαις ἐφημέρων πυρετῶν. ἐν τοῖc κακοχύμοις cώμασιν αἱ γιγνόμεναι ἀπεψίαι τάχιστα ἀνάπτουσι πυρετόν· ἧττον δὲ γίνεται τὸ κακὸν εἰ καταρρήξειεν ἐπὶ τῇ ἀπεψίᾳ ἡ γαστήρ· οὐ μικρὸν δὲ τὸ κακὸν εἴ γε ἐπισχεθείη. πυρέττουσι δὲ ἔνιοι καὶ ἐφ' ὧν διάρροια ἐπὶ τῇ ἀπεψίᾳ γίνεται. εἰ μὲν δὴ φαίνοιτο μόνα τὰ διεφθαρμένα κεκενῶcθαι, λουστέον τέ ἐστι καὶ θρεπτέον αὐτοὺc ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ. εἰ δὲ ὑπὲρ τὸ δέον ἡ κένωσις γένοιτο, ἄμεινον θρέψαι χωρὶς τοῦ λοῦcαι, προνοηcάμενον τῶν κατὰ γαστέρα. ἡ δὲ τῆς γαστρὸς ἐπιμέλεια διττῶς γιγνέσθω· εἰ μὲν μηκέτι φέροιτο ἡ γαστήρ, ἀψίνθιον ὀλίγον ὕδατι βρέχων, ἕψε cὺν ἐλαίῳ ἐπὶ διπλώματος καὶ τούτῳ ἐπίβρεχε τὴν γαστέρα· ἔπειτα πίλημα ἐκ πορφύρας βρέχοντα τῷ ἐλαίῳ ἐπιτίθει τῇ γαστρί. εἰ δὲ ἀτονώτερον ὑπάρχοι τὸ cτόμα τῆς γαστρός, μαστίχην cὺν ναρδίνῳ μύρῳ λεάνας ὡς γλοιοῦ ἔχειν πάχος καὶ δεύcας αὐτῷ τὴν πορφύραν ἐπιτίθει. ἔστω δὲ τὰ ἐπιτιθέμενα θερμὰ τῇ ἁφῇ· ἐκλύει γὰρ τὰ χλιαρὰ τὸν τόνον τῆς γαστρός. ἔτι δὲ φερομένης τῆς γαστρός, ἄμεινον καλλίστῳ μηλίνῳ χρῆcθαι ἀντὶ τῆς νάρδου μετὰ βραχέος οἴνου. χρήσιμον δὲ εἰς ταῦτα καὶ τὸ μαστίχινον. εἰ δὲ καὶ ἐγκαίοιτο ἡ γαστὴρ μετὰ τὴν κένωσιν, τῷ μηλίνῳ ὁμοίως κεχρῆcθαι ἢ κηρωτῇ δι' αὐτοῦ ἐσκευασμένῃ. τρέφειν δὲ ῥεούσης μὲν ἔτι τῆς γαστρὸς ἀλφίτοις τε καὶ τοῖc καλουμένοις ὀξυλιπέσιν ἄρτοις· ἐπιπάττειν δὲ τὸ ἄλφιτον χυλῷ ῥοῶν ἢ ἀπίων ἢ μήλων μάλιστα κυδωνίων ἢ τῷ ἀφεψήματι αὐτῶν ἢ μύρτων. εἰ δὲ παύσοιτο ἡ φορά, χόνδρος ἄλικος διδόσθω καὶ ὄρχεις ἀλεκτρυόνων καὶ οἱ πετραῖοι τῶν ἰχθύων ἐν λευκῷ ζωμῷ γεγενημένοι καί τις ὀπώρα τῶν στυφουσῶν. εἰ δ' ἀνόρεκτοι εἶεν, ὡς ἀπεστράφθαι τὰ cιτία, τοῦ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων μήλων καὶ

2. 3 εἴργειν — λυθῶcι *Gal. ad Glaucon. de med. met. I 3 (XI, 15, 11—12)* 5—8 ἀπεψίαι — γίνεται *Gal. meth. med. VIII 5 (X, 571, 2—3, 9—10, 13—20)* 8—11 εἰ μὲν δὴ — γαστέρα *Or.ᵉ ib. (398, 28—32)* 14—*p. 41, 5* εἰ δὲ ἀτονώτερον — πυρετόν *Gal. ib. (ib. 573, 7—8, 10—13, 17—574, 2, 16—575, 1, 5—7, 9—15, 17—576, 1, 3—4, 5—7, 9—10)* 14—26 εἰ δὲ ἀτονώτ. — στυφουσῶν *Or.ᵉ ib. (398, 35—399, 21)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (ADPT) [*m. 2ᵃ* S] ω (SA^t) 1 ὧπερ ψ (*exc.* P) ἐγένετο P^x γένοιτο M^o P ω ἀκμὴν $C^p P^x$ T 2. 3 ...έξαντας $P^a P^x$ ω 3 μέχρις] ἔστ' $C^p P^x$ ψ (*exc.* P) ω λεπτομερῶc P^x ψ (*exc.* P) 4 ἐπὶ] ἐν L^a ταῖc *om.* $P^a C^p$ ψ (*exc.* P) ω ....ψίας C^p ...ία ω 8 λουτέον P^a ψ (*exc.* P) 9 ἐστι *om.* ψ *canc. seps.* S αὐτ. κ. θρεπ. *transp.* P^x 10 ...νηται P^x ω 11 τῶν κατὰ *om.* P^x *ante* γαστ.: τὴν $P^x M^o$ P 12 ὀλίγω $C^p M^o$ ψ (*exc.* A) 13 ....ματι $P^a P^x$ ψ (*exc.* P) A^t τοῦτο $C^p M^o$ A S τὴν] τὰ κατὰ A^t *canc. sep.* S 14 βρέχων P^a A T 15 ....χει $C^p P^x$ ψ ω ναρδ.] ῥοδίνω ω 16 πάχ. ἔχ. P^a καὶ δεύc. — πορφ. *om.* C^p ἔστωσαν P^a ω 17. 18 τῆς γαστ. τόνον *transp.* C^p 18 τῆς γαστ. *om.* ψ (*exc.* P) χρ. μηλ. *transp.* P^x 20 ἐκκ. $L^a A^t$ 21 *ante* δι': τῇ A D 22 ἔτι μὲν $C^p M^o$ P ...λεπέσιν M^o P T 23 .....πλάττειν $C^p P^x$ δὲ] τε ω τὰ ...ιτα P^a χυλὸν $L^a P^x M^o A^t$ ῥοιῶν P^a ψ (*exc.* P) ω 25 ...cθαι $P^x A^t$ ....όνος M^o P 26 γεγεν.] καθηψημένοι P^a καὶ αἱ ὀπῶραι A^t 27 τ. χυλ. τῶν *om.* A^t τ. χυλῶν τῶν P^x τῶν *om.* A

μέλιτος συντιθεμένου πεπτικοῦ φαρμάκου δοτέον ὅσον κοχλιάριον ᾱ ἢ β̄. εἰ δὲ μὴ παρείη τὸ διὰ τοῦ χυλοῦ, δοτέον τὸ διὰ τῶν σαρκῶν τῶν κυδωνίων σκευαζόμενον ἢ οὐδόλως προσλαβὸν πέπερι ἢ πάνυ ἐλάχιστον. εἰ δ' ἐπέχοιτο ἡ γαστὴρ ἐπὶ τῶν δι' ἀπεψίαν τὸν ἐφήμερον πυρεξάντων πυρετόν, εἰ μὲν ἔτι ἐν τῇ γαστρὶ περιέχοιτο τὰ σιτία, χλιαρὸν πλεῖστον ποτίσαντες, δακτύλων ἢ πτερῶν καθέσει, κελεύσομεν ἐμέτῳ τὸ λυποῦν ἐκκενῶσαι, ἔπειτα θάλψαι τὰ ὑποχόνδρια καὶ ἡσυχίαν ἄγειν. εἰ δὲ ὑποβιβασμὸς ἤδη γέγονε τῆς τροφῆς περὶ τὰ ἔντερα, κατακλιτέον αὐτοὺς ἀνάρροπα ἔχοντας τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν στόμαχον μέρη καὶ θαλπτέον τὴν γαστέρα, ὕπνον ἐπιτηδεύοντες. μετὰ δὲ τὸν ὕπνον βάλανον ὑποθετέον πρὸς κομιδὴν τῶν ὑποβιβασθέντων περιττωμάτων ἢ κλυστῆρι πραοτέρῳ οἷον ἀφεψήματι πιτύρων κενωτέον. δίαιτα δὲ λεπτοτάτη ἔστω, ῥυπτικὸν ὅσον πλεῖστον ἔχουσα ἐν ἑαυτῇ. εἰ δ' ἐμπνευμάτωσις προσγένοιτο, συνεψεῖν δεῖ τῷ ἐλαίῳ κύμινον καὶ πήγανον καὶ ἐνιέναι. κενωθείσης δὲ δεόντως τῆς γαστρός, αὐτίκα τρέφειν. εἰ δὲ καὶ ἀλύπως ὑπνώσειε, λούειν τῇ ἑξῆς χρώμενοι κατὰ τῆς γαστρὸς τῷ ναρδίνῳ μύρῳ μετὰ βραχέος οἴνου καὶ μετὰ τὸ λουτρὸν ὁμοίως λεπτῶς διαιτᾶν. εἰ δὲ καὶ ἡ τρίτη ἐνέγκοι ἕν τι πυρετῶδες, οὐδὲ οὕτως φοβεῖσθαι, ἀλλὰ λούειν ὁμοίως καὶ τρέφειν μετρίως. διδόναι δὲ χρὴ τοῖς τοιούτοις πρὸ τῆς τροφῆς τῶν πεπτικῶν ὀξυπορίων τινὸς καὶ μάλιστα τοῦ διὰ τῶν κυδωνίων μήλων ὅσον κοχλιάριον.

Θεραπεία ἐφημέρων πολυημέρων λεγομένων, οἵ τινες ἐκ μετα- ξθ
πτώσεως τῶν ἐφημέρων τὴν γένεσιν ἔχουσιν ἐπ' ἐμφράξει τοῦ δέρματος. γίγνονται δέ τινες πυρετοὶ ἐπ' ἐμφράξει τῶν περὶ τὸ δέρμα ἀγγείων ἐκ μεταπτώσεως τῶν ἐφημέρων, ὅταν μὴ καλῶς εὐθὺς ἐξ ἀρχῆς θεραπευθεῖεν. μάλιστα δὲ τοῦτο συμβαίνει ἐπὶ τῶν κακοχύμων σωμάτων, ὅταν ἐξ ἀδηφαγιῶν πολλῶν τύχωσιν ὄντες· ἐπὶ γὰρ τῶν τοιούτων κατὰ μὲν τὴν πρώτην καὶ δευτέραν ἄχρι τινὸς οὐκ ἔστιν ἐν τῷ σφυγμῷ τὸ τῆς σήψεως σημεῖον, ὥσπερ οὐδὲ ἐν τοῖς οὔροις τὰ τῆς

13—15 εἰ δ' ἐμπνευμάτωσις—τρέφειν *Gal. ib. (ib. 577, 18—578, 3)* 17—19 εἰ δὲ καὶ ἡ τρίτη—τρέφειν *Gal. ib. (ib. 578, 13—15)* 22 *Gal. ib. VIII 4 (ib. 563, 12 sqq.)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1. 2 ὅσον—δοτέον *om.* M^o P ὅσον *om.* P^a 2 β̄] δεύτερον C^p A D τοῦ *om.* A^t τὸ] ἢ τοῦ M^o P τοῦ S 3 *post* κυδ.: μήλων $P^a M^o$ ....ζομένου P S ...ρεως $P^a C^p P^x$ A ω 5 ...ττόντων A^t 6 πλεῖστ.] ὕδωρ P^x κελεύωμεν P^x *om.* T *ante* ἐμ.: ἐν A^t 7 κενῶσαι D T θάλψ.] δεῦσαι A D 10 ...ντας $C^p M^o$ ψ ἐπιτ. ὕπν. *transp.* P^a 11 ...ανεῖον ω (*m. 1ª* S) 13 ὅσον (*post* πλεῖστ. D)] ὅτι P^a ω 14 καὶ *pr. om.* ψ (*exc.* D) ω 15 δεόντ.] οὕτως P ὄντως *m. 1ª* S *om.* P^x 16 ὁ *om.* α *exc.* P^h ὑπνώσειε χ ψ ω: ὕπνος εἴη *cett.* ἐφεξῆς A^t ...μένους P^a ...νον ψ (*exc.* P) 18 ...γκη A ....γκειεν A^t ἕν *om.* D T A^t τινα (τι S) πυρετὸν ω 19 ὁμ.] τὸ ἑξῆς P^x δὲ *supra scr. m. 1ª* S *om.* L^a P χρὴ *om.* M^o P 20 τῆς *om.* L^a 21 *post* κοχλ.: ἓν P^x T 22 *ante* πολυημ.: καὶ P^x A ἢ T *post* λεγ.: πυρετῶν A T *m. 2ª* S οἵ] ὧν T A^t 25 εὐθὺς *om.* $C^p P^x$ 26 θεραπ. ἐξ ἀρχ. *transp.* A^t κακοψύχων A^t 27 ...γίας ...λλῆς P^x ψ (*exc.* P) τύχ. ὄντ.] ὦσιν P^x ψ (*exc.* P) τυγχάνουσιν A^t *ante* γὰρ: μὲν A D 28 *post* δευτ.: ἡμέραν χ ψ ω *fort. recte*

ἀπεψίας. μηκυνομένης μέντοι τῆς παρακμῆς καὶ μηκέτι ἀνὰ λόγον ἐνδιδούσης, ὕποπτός ἐστιν ἡ διάθεσις. εἰ γὰρ μὴ διαπνεύσῃ τελέως, ἀναγκαῖον σαπῆναι τὴν κακοχυμίαν. εἰ μὲν οὖν παιδίον ἢ γέρων ὁ κάμνων εἴη, φλεβοτομεῖν οὐκ ἐγχωρεῖ, μεταξὺ δὲ τῶνδε τῶν ἡλικιῶν ῥώμης παρούσης τῷ κάμνοντι φλεβοτομητέον, εἴ γε καὶ τὰ τοῦ πλήθους ἐν τῷ σώματι παρείη σημεῖα. ἀφαιρεῖν δὲ ἀνάλογον τῇ τε δυνάμει καὶ τῷ μεγέθει τῆς ἐμφράξεως· μείζων μὲν γὰρ ἐπὶ ταῖς σφοδροτέραις ἐμφράξεσι συμπίπτει πυρετός, ἐλάττων δὲ ἐπὶ ταῖς μικροτέραις. κενωθέντος δὲ τοῦ πλήθους καὶ ἀραιωθέντων τῶν πόρων, καὶ τὰ καπνώδη καὶ λιγνυώδη περιττώματα διαπνεόμενα ἐλάττω γε γίγνοιτ᾽ ἄν. κίνδυνος γὰρ τοῖς ἐκφράττειν δυναμένοις κεχρῆσθαι πρὶν κενῶσαι. αἱ γὰρ ῥυπτικαὶ δυνάμεις ἀναφερόμεναι συνεπισύρονταί τι τῶν ἐν τοῖς ἀγγείοις παχέων ἢ γλίσχρων καὶ διπλασιάζουσι τὴν ἐν τοῖς στενοῖς πόροις ἔμφραξιν. εἰ δὲ καὶ ἐκτὸς τοῦ δέρματος προσαχθείη τὰ ῥύπτοντα, κίνδυνος συνεπισπᾶσθαί τι καὶ ἄλλο πρὸς τοὺς ἐμπεφραγμένους πόρους. ὅπως οὖν ἀσφαλὴς καὶ τοῖς ἔνδοθεν ἡ φορὰ καὶ τοῖς ἔξωθεν ἡ ὁλκὴ γίγνοιτο, χρησιμώτατόν ἐστι πρὸς δύναμιν κενῶσαι τὸ σῶμα, κενώσαντα δὲ διδόναι μετ᾽ οὐ πολὺ τῶν ῥυπτικῶν τινα τροφῶν ἢ φαρμάκων· ἐν τροφῆς μὲν λόγῳ πτισάνην καὶ μελίκρατον, ἐν φαρμάκοις δὲ ὀξύμελι τὸ ἐκ μόνου ὄξους καὶ μέλιτος ἐσκευασμένον· ὅσα γὰρ τῷ ὀξυμέλιτι συνέψεται ἐπὶ τῶν ἄλλων οἷον καλαμίνθη καὶ τὰ παραπλήσια θερμὰ τυγχάνοντα, ἐξάπτει τοὺς πυρετούς, ὥσπερ καὶ οἶνος. ὀξύμελι δὲ οὔτε τοὺς πυρετοὺς ἐξάπτει, ἀλλὰ καὶ ῥύπτει γενναίως. μετὰ δὲ τὴν τρίτην ἡμέραν μήτε τοῦ τῆς σήψεως τῶν χυμῶν σημείου παρόντος ἐν τοῖς σφυγμοῖς μήτε ἐν τοῖς οὔροις τοῦ τῆς ἀπεψίας, εἰ καὶ ἡ ὕποπτος ὥρα καθ᾽ ἣν εἰσέβαλλεν ὁ πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διελήλυθε, θαρρῶν ἤδη χρὴ λούειν τὸν ἄνθρωπον. εἰ δὲ καὶ περὶ δεκάτην ὥραν ὑποπτεύοιτο ὁ παροξυσμός, λούειν χρὴ πρὸ τῆς ἕκτης ὥρας· ἐν δὲ τῷ βαλανείῳ προθερμανθέντος τοῦ σώματος, ἀλείφειν χρὴ ἐλαίῳ γλυκεῖ

2—*p. 43, 10* εἰ γὰρ μὴ — γεγενημένης *Gal. ib. VIII, 4 (X 565, 1—2, 3—6; 567, 1—2, 3—5; 566, 4—6; 565, 8—10, 13—15, 10—13; 566, 2—4; 567, 5—6, 8—14; 568, 3, 4—8, 10—11, 13—15, 16—569, 3; 569, 16—570, 1, 7, 9—10, 13)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 μὴ κινουμένης L^a C^p A^t μὲν C^p A^t 2 ἡ διάθ. ἐστιν *transp.* A^t ...νεύσει A D T ω -σθῇ P^a 3 ἀναγκαίως A A^t *post* ἀναγκ.: ἐστιν P^a 4 τῶνδε *om.* χ A D A^t 6 τε *om.* M^o P ἀπείη *Gal.* 7 μεῖζον P^a P^x M^o T A^t 10 γε D T *om.* P^a A ω *Gal.* τε *cett.* 11 γὰρ *om.* M^o A ἐκφράττουσιν P^x ἐμ...ειν P^a A^t δυναμ.] φαρμάκοις P^x 12 συνεπιφέρονται P^x ψ (*exc.* P) *m. 2ª* S ἐν *om.* A^t 14 ἐκτὸς] ἐκ A T 15 ....σπάσασθαι P^a ω ....σπασθῆναι ψ *m. 2ª* S πόρους] τόπους L^a 16 ἀσφαλῶς A^t ἀναφορὰ A^t 17 .....τάτη A^t *ante* δύν.: τὴν D T ...νώσεως P^x -σαντος A^t 18 φαρμάκοις] ...ων P^x ...ου ψ 20 ὅσον P^x A^t 21 ....μίνθην L^a P^x *ante* παραπ.: ὅμοια ἤγουν τὰ (τὰ *om.* P^x) P^x ψ (*exc.* P) 22 *ante* ὀξύμ.: τὸ P^x 23 ἀλλὰ *om.* P^a ψ (*exc.* P) δὲ *om.* L^a 25 τοῦ ψ *Gal.* τὸ P^x: *om. cett.* εἰ *om.* A ω (*m. 1ª* S) 26 ὑπ....λλεν M^o εἰσ....αλεν P^a P^x ψ S 27 θαρρούντως D T χρὴ *om.* ψ *ante* δεκ.: τὴν A^t 28 *ante* ὁ: σοι S τις A^t

χλιαρῷ καὶ ἀνατρίβειν μετριώτατα, ἔπειτα διαρύπτειν καὶ ἀποπλύνειν ἔξωθεν τὸ cῶμα. ἐκλέγειν δὲ τῶν μετρίως ῥυπτόντων τινά, οἷόν ἐcτι τὸ κρίθινον ἄλευρον καὶ τὸ τῶν κυάμων, εἶτα ἐμβιβάζειν τῷ θερμῷ εὐκράτῳ, ἔπειτα δὲ καὶ τῷ ψυχρῷ μετρίως. μετὰ δὲ τὸ λουτρόν, εἰ μὲν ἡ ὕποπτος ὥρα πρὸ τοῦ βαλανείου διῆλθε, τρέφειν cυμμέτρως. εἰ δὲ περὶ δεκάτην εἰ τύχοι ὥραν ὑποπτεύοιτο ταραχή τις, μηδὲν διδόναι πλὴν ὕδατος ἔχοντος ἐναφεψημένον cέλινον ὀλίγον· εἶτα εἰ μηδόλως μηδὲν φαῦλον ἐνέγκειεν ἡ ὥρα, τρέφειν, εἰ δέ τι καὶ γένοιτο, πάντα μέτρια φανεῖται, ὥcτε καὶ λούcεις τῇ ἑξῆς ἡμέρᾳ καὶ θρέψεις. μεγάλης δὲ τῆς ἐμφράξεως γεγενημένης ἐξ ἀνάγκης cηπεδὼν ἐπιγίγνεται· ὅθεν ἡ ἐπὶ cηπεδόνι πυρετῶν λεχθηcομένη ἐπιμέλεια καὶ τούτοις ἁρμόδιος.

Περὶ cυνόχων πυρετῶν. cύνοχος πυρετὸς ὀνομάζεται οὗ ἀπ᾿ ἀρχῆς ο̅
ἄχρι τέλους εἷς ἐcτιν ὁ παροξυcμός, οὐδεμίαν ἔμφαcιν ἀρχῆς ἑτέρου παροξυcμοῦ ποιούμενος. εὐεκτικῶν δὲ cωμάτων καὶ πολυαίμων καὶ ἡλικίας θερμῆς οἰκεῖος ὁ cύνοχος πυρετός. cυνίcταται γὰρ ἐπὶ πλήθει αἵματος θερμοῦ μήπω cεcηπότος, τῷ μὴ διαπνεῖcθαι, τῇ ζέcει μόνῃ τὴν θερμαcίαν ἐγείροντος, ὥcπερ ὁ ἐν ταῖς πιθάκναις νέος οἶνος. ὥρα δὲ μάλιcτα οἰcτικὴ τῶν τοιούτων πυρετῶν ἐcτιν ἡ ἐαρινή. τρεῖς δέ εἰcι τοῦ cυνόχου διαφοραί, ἤτοι διαμένοντος ἴcου τοῦ μεγέθους ἐξ ἀρχῆς μέχρι λύcεως ἢ προcτιθέντος ἢ ἀφαιροῦντος. τοῦτο δὲ cυμβαίνει τῷ μᾶλλον ἢ ἧττον γίγνεcθαι τὰς διαπνοὰς ἐκ τοῦ πυκνοτέραν ἢ ἀραιοτέραν εἶναι τὴν ἕξιν τοῦ πάcχοντος cώματος. πλῆθος δέ ἐcτι τὸ λυποῦν ἐπὶ τῶν τοιούτων πυρετῶν καὶ ζέcις τοῦ αἵματος, ἐξ ἧς ὁ πυρετὸς ἀνήφθη, ἐνίοτε δὲ καὶ πάχος. cκοπὸς οὖν τῆς θεραπείας ἐπ᾿ αὐτῶν κενῶcαι τὸ πλῆθος καὶ cβέcαι τὴν παρὰ φύcιν θερμότητα καὶ

11 λεχθηcομένη *47, 27* 13. 14 cύνοχος πυρετὸς — παροξυcμός *Gal. de different. febr. II 2 (VII, 336, 13—14)* 15. 16 εὐεκτικῶν — πυρετός *Gal. meth. med. XI, 14 (X 777, 17—18)* 19—21 τρεῖς δέ εἰcι — λύcεως *cf. Gal. de different. febr. II 2 (VII, 336, 16—18)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 ....τερον A^t διαρ.] διατρίβειν A D T ...ρύπτειν *supra scr.* P^x ...ρύπτειν, *in marg.* ...τρίβειν P 6 ὥρ. εἰ τύχοι P^x ω τύχῃ P^a T 7 ἔχον L^a M^o -..τα P^x A^t *post* ἐναφ: ὕccωπον ω ..λίνου A^t *om.* A *post* ὀλίγον: μάραθρον καὶ μακεδονίcc (*l.* νίcιον?) P^x *post* εἰ: μὲν P^a P^x 8 μηδόλ. *om.* χ ψ (*exc.* P) A^t *post* μηδὲν: ὅλως M^o ...καιεν L^a ...κει A ...οι D T ...οιεν C^p P ω 9 πάντως P^a *ante* μέτ.: δὲ L^a P^x εἰς τὴν ἑ. ἡμέραν ω (*m. 1^a* S) 10. 11 ἐγγίγν. ω γίγν. M^o 11 *ante* cηπ. τῷ C^p P^x A^t S (*m. 1^a*) τῶν M^o ψ *m. 2^a* S cηπεδονώδει A^t πυρετῷ A^t *m. 1^a* S 12 ἁρμοδία P^x A^t 13 *post* πυρετῶν: καὶ πόθεν ἡ ὀνομαcία τούτου P^x ὀνομ. μὲν cύν. πυρ. P^x 14 μέχρι χ ψ (*exc.* P) A^t μηδεμίαν P^x ψ (*exc.* P) 16 *post* οἰκεῖος: ἐcτιν ω *post* πυρετὸς: πόcα δὲ εἴδη τοῦ cυνεχοῦς; τρία· ἀκμαcτικὸν παρακμαcτικὸν καὶ ἐπακμαcτικὸν καὶ προείρηται ⟨ἐν⟩ ἀρχῇ τοῦ τοιούτου βιβλίου καὶ πόθεν cυνίcταται P^x 18 ἐπεγ. P^a ὁ *om.* A ω (*m. 1^a* S) 19 καυcτικὴ A^t cτυπτικὴ S πυρετῶν τούτων ψ (*exc.* P) 20 διαφ. δὲ τοῦ cυν. πυρ. τρεῖς, ὡς εἴπομεν P^x ἤτοι] ἢ τοῦ C^p M^o 22 τὸ *codd. correxi* διαπνοίας M^o D T ....τερον ἢ ....τερον A P A^t 24 πυρετῶν *om.* ω (*m. 1^a* S) 26 *ante* κεν.: α̅ P^x καὶ *pr. om.* α *exc.* P^a *ante* cβ.: β̅ P^x *ante* καὶ *alt.*: τρίτον P^x

τεμεῖν τὸ πάχος, εἰ παρείη· εἶθ᾽ οὕτως τὴν ἀρχαίαν εὐκρασίαν κατασκευάσαι τοῖς ἀσθενήσασι μορίοις.

οα Περὶ φλεβοτομίας ἐπὶ συνόχων. ἰσχυρᾶς μὲν οὖν τῆς δυνάμεως ὑπαρχούσης καὶ τῆς ἡλικίας συγχωρούσης καὶ μηδενὸς ἑτέρου ἰσχυρῶς ἐναντιουμένου, ἀφαιρεῖν αἵματος χρὴ τοσοῦτον ὅσον ἂν ἡ δύναμις φέρῃ· ἄμεινον γὰρ δυνάμεως παρούσης ἄχρι λειποθυμίας ἄγειν. μὴ φλεβοτομηθέντες δὲ οὗτοι εἰς ἔσχατον ἥκουσι κίνδυνον, ὥστε ἢ πνιγῆναι ἢ συγκοπήσεσθαί γε πάντως αὐτούς, εἰ μήποτε ῥώμη δυνάμεως ἢ αἱμορραγία λάβρος ἢ ἱδρὼς πολὺς ἐξαρπάσει αὐτοὺς ὀλέθρου προφανοῦς. τὸ γὰρ πλῆθος ἐπὶ τούτων μηκέτι χωρεῖσθαι δυνάμενον πρὸς τῶν ἀγγείων ἐκφράττει καὶ διατείνει τὸν ὄγκον τοῦ σώματος καὶ διὰ τοῦτ᾽ αὐτὸ ἐνίοτε ῥήγνυσι καὶ ἀναστομοῖ τὰ ἀγγεῖα, μάλιστα τὰ ἐν ῥισίν· τούτου χάριν σπεύδειν χρὴ ἀφαιρεῖν τοῦ αἵματος ὅσον ἡ δύναμις φέρει, ὅπως ἡ τῶν ἀγγείων φύσις ἐκ τοῦ διαπνεῖσθαί τε καὶ ῥιπίζεσθαι τὴν φυσικὴν εὐκρασίαν φυλάττουσα κατὰ τὸν ἐξ ἀρχῆς τρόπον ἐπικρατῇ τῶν χυμῶν· προσέχειν δὲ χρὴ καὶ τοῖς τῆς φλεβοτομίας σκοποῖς. προηγουμένης μὲν γὰρ ἀπεψίας σιτίων, τοσοῦτον χρόνον ἀναβάλλεσθαι τὴν φλεβοτομίαν προσήκει, ὅσον ἱκανὸν ἄν σοι δόξῃ πρός τε τὴν ἐν γαστρὶ πέψιν αὐτῶν καὶ τὴν τῶν ἐν τοῖς ἐντέροις περιττωμάτων ὑποχώρησιν. εἰ δὲ ὑποπτεύοιτο μετὰ τὴν φλεβοτομίαν ἑτέρα τις κένωσις αἵματος γίγνεσθαι, οἷον γυναικείων κάθαρσις ἢ τῶν ἐν ἕδρᾳ αἱμορροΐδων, ἀπολείπειν χρὴ ἐν τῇ φλεβοτομίᾳ τοῦ αἵματος τοσοῦτον, ὅσον μέλλει διὰ τῶν ἄλλων τόπων κενοῦσθαι· ὥστε εἴτε καταμήνια τύχοι κινηθέντα εἴθ᾽ αἱμορροῒς ἀναστομωθεῖσα, ἐπιτρέπειν τῇ φύσει τὸ σύμπαν, εἰ δὲ μὴ τοσοῦτον ὅσον ἐχρῆν ἐκκενωθῇ, τότε φλεβοτομεῖν, ὥστε ἐξ ἀμφοῖν συντεθέντων ἀνυσθῆναι τὸ προσῆκον. ἐπιτήδειος δὲ πρὸς φλεβοτομίαν ἕξις σώματος σκληρὰ καὶ πολύαιμος καὶ πυκνὴ καὶ δυσδιαφόρητος, κατάστασις δὲ ἀέρος ὑγρὰ μᾶλλον. ἀντιπράττει δὲ τῇ φλεβοτομίᾳ παιδικὴ καὶ γεροντικὴ ἡλικία, κρᾶσις θερμή τε ἄγαν καὶ ξηρὰ καὶ χώρα καὶ ὥρα τοιαύτη καὶ ὅσοι τὴν φύσιν

3—9 ἰσχυρᾶς — προφανοῦς *Gal. meth. med. IX, 4 (X 615, 17—616, 5, 12—16)* 6. 7 ἄμεινον—κίνδυνον *Or.^{a} VI, 17 (194, 17—19)* 16—*p. 45, 3* προσέχειν—αἰσθητικόν *Gal. ib. IX, 5 (X 624, 15—626, 4, 6—8)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2^{a}* S] ω (S A^{t}) 1 τέμνειν P^{x} ω 5 *post* ἐναντ.: φλεβοτομητέον καὶ P^{x} 6 φέρει C^{p} M^{o} T A^{t} 7 οὗτ.] οἱ τοιοῦτοι πυρετοὶ πυρέττοντες P^{x} 8 πάντ. *om.* A αὐτούς *om.* ψ μήπω (S) A D P μὴ πόρρω T *ante* δυν.: ἢ ψ εἴη *in marg. m. 2^{a}* S 9 ...πάσῃ P^{a} A T ...σειεν D *Gal. recte* 10 χωρῆσαι A^{t} πρὸς] ἐπὶ ψ 11 ἐμφρ. χ ψ ω 12 *ante* μάλ.: καὶ P^{a} τὰ *alt. om.* M^{o} ω (*m. 1^{a}* S) 16 ...ατεῖ φ χ A D A^{t} τὸν χυμὸν P^{x} ω (*m. 1^{a}* S) 18 ἀναβαλέσθαι ψ (*exc.* P) S προς. τὴν φλεβ. P^{a} ἱκανὸς (...ῶς) ψ ἄν σοι δόξει ἱκανὸν ω 19 τε *om.* C^{p} *ante* γαστρί: τῇ P^{x} D ἐν τοῖς *om.* P^{x} A^{t} 20 *ante* φλεβ.: πορνηνῦν *(sic), post:* εἰ δέοιτο πάλιν φλεβοτομητέον κατὰ τὴν μέσην ἡμέραν, εἰ καὶ μᾶλλον αἱματικὸς εἴη ὁ κάμνων. εἰ δὲ γυνὴ εἶεν *(?)* ὡς P^{x} 21 κέν. *om.* P^{x} αἵμ. κέν. P^{a} A^{t} ὠφελεῖ (*vel* ὀφείλει) γεγονέναι P^{x} καθάρσεων P^{x} ψ 22 αἱμορραγιῶν P^{x} ψ *ante* ἀπολ.: ἡ δὲ πολλὴ κένωσις ἐκ τούτου γεγονέναι P^{x} ἀπολιπεῖν P^{x} M^{o} ω 23 εἴτε] εἰ P^{x} ψ 24 τύχει P^{a} P^{x} -η P 25 ἐκενώθη M^{o} ψ S 26 ἀμφοτέρων ω 27 ἐπιτηδ<ε>ία P^{x} A 30 θερμὴ καὶ ξηρὰ ἄγαν ω

ὑγροὶ καὶ μάλιστα cὺν θερμότητι καὶ οἱ ἀραιοὶ τὴν ἕξιν, ἔτι δὲ καὶ οἷc τὸ cτόμα τῆc γαcτρὸc [ἔχοντεc] ἢ πικρόχολον cφόδρα ἢ ἄρρωcτον ἢ πέρα τοῦ δέοντοc αἰcθητικόν. οὗτοι γὰρ πάντεc εὐδιαφόρητοί εἰcι καὶ λειποθυμίαιc δυcανακομίcτοιc ἁλίcκονται ἐπὶ ταῖc φλεβοτομίαιc. ὁμοίωc δὲ κἂν τριακοντούτηc ὁ φλεβοτομούμενοc εἴη, πλαδαρὸc δὲ καὶ μαλακὸc καὶ πιμελώδηc καὶ λευκὸc τῷ cώματι καὶ μικρὰc ἔχων τὰc φλέβαc, ἤτοι γε οὐδόλωc φλεβοτομήcειc ἢ ὀλίγον ἀφαιρήcειc· οὐδόλωc μὲν ἐν θερινῇ ὥρᾳ καὶ τοῖc ὁμοcτοίχοιc αὐτῇ, ὀλίγον δὲ ἐν ταῖc ἄλλαιc ὥραιc καὶ καταcτάcεcι. τινὲc γοῦν λειποθυμήcαντεc ἐν ταῖc τῶν ἰατρῶν χερcὶν οὐκέτ᾽ ἀνεκλήθηcαν, ὡc εἴ τιc ἐκένωcεν ἄνευ τοῦ καταλῦcαι τὴν δύναμιν οὐκ ἂν ἀπώλοντο· ἄλλοι δὲ εἰc τὸν ἐφεξῆc βίον ἅπαντα τὴν κρᾶcιν ὅλην τοῦ cώματοc ἔcχον ψυχροτέραν διὰ τὴν ἄμετρον κένωcιν, ὡc οἱ μὲν κακόχροι καὶ καχέκται διετέλεcαν· οἱ δὲ ἐξ αὐτοῦ τούτου νοcήμαcιν ὀλεθρίοιc ἑάλωcαν, ὑδέροιc καὶ ὀρθοπνοίαιc καὶ ἥπατοc καὶ γαcτρὸc ἀτονίαιc καὶ ἡμιπληγίαιc. κάλλιcτον μὲν οὖν, ὡc ἐθεάcω διὰ παντὸc ἡμᾶc ποιοῦνταc, οὐχ ἡμερῶν ἀριθμῷ προcέχειν τὸν νοῦν οὐδὲ μόνῳ τῷ πλήθει, ἀλλὰ τῇ ῥώμῃ τῆc δυνάμεωc, ἐπὶ πάντων μέν, μάλιcτα δὲ ἐπὶ τῶν cυνόχων πυρετῶν. εἰ γὰρ ἡ δύναμιc διαcώζοιτο, μὴ μόνον ἑκταίουc καὶ ἑβδομαίουc, ἀλλὰ καὶ τὰc ἑξῆc ἡμέραc φλεβοτομεῖν.

οβ Περὶ τῆc τοῦ ψυχροῦ ὕδατοc δόcεωc ἐπὶ cυνόχων. εἰ δὲ ἀναγκαcθείηc ποτὲ θεραπεύειν ἄρρωcτον, ᾧ μὴ μόνον ἔμπροcθεν παρελείφθη τὸ τῆc φλεβοτομίαc βοήθημα, ἀλλὰ καὶ νῦν ἤτοι διὰ δειλίαν τοῦ κάμνοντοc ἢ τῶν αὐτῷ διαφερόντων κωλυθείηc ἀφαιρεῖν τοῦ αἵματοc, ἐπὶ τὴν τοῦ ψυχροῦ δόcιν ἔρχεcθαι, διοριcάμενοc ἀκριβῶc ὁπόcη τιc ἐξ αὐτοῦ γενήcοιτο βλάβη. μικρᾶc γὰρ ἢ οὐδόλωc ἐcομένηc διδόναι πίνειν ἀκραιφνὲc ψυχρόν, ὅcον ἂν ὁ κάμνων βούληται. διδόναι δὲ τὸ ψυχρὸν τότε, ὅταν ἐν τοῖc οὔροιc ἴδοιc τὰ τῆc πέψεωc cημεῖα. οὔτε δὲ ἐν ἀρχῇ οὔτε ἐν ἀναβάcει δοτέον τὸ ψυχρόν, ἀλλ᾽ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ τε παντὸc νοcήματοc καὶ τοῦ μερικοῦ παροξυcμοῦ. ἐν καιρῷ γὰρ τῷ δέοντι δοθὲν τὸ ψυχρὸν ῥώννυcι τὴν τῶν cτερεῶν μορίων φύcιν· ῥωcθεῖcα δὲ ἡ φύcιc ἐπιτίθεται τοῖc προλελεπτυcμένοιc χυμοῖc, ὥcτε τοὺc χρηcτοὺc μὲν κατέχειν, τοὺc δὲ ἀχρήcτουc ἐκβάλλειν ἤτοι

21—*p. 46, 8* εἰ δὲ ἀναγκαcθείηc—θερμαcίαc *Gal. ib.* *(ib. 620, 3—623, 17)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 οἷc χψω *Gal.* οἱ φ 2 ἔχοντεc *om.* α *exc.* P^a *Gal.* 5 ὁ *om.* L^aS ἢ T *om.* D P 6 *post* φλέβαc: ἢ P 7 γε] δὲ P^x 8 τὰ ὁμό..ιχα L^aχ 9 οὖν C^pω 13 ὥcθ᾽ P^a ὧν ψ 14 *post* ὀρθοπν.: καὶ παραπληγίαιc (....ξίαιc) P^xψ 14. 15 ἥπατοc—ἡμιπληγ. *om.* ψ 15 καὶ ἡμιπλ. *om.* P^x ἡμιπλ.] παραπλ. C^p ...λιcτα P^x 20 *post* φλεβ.: ἐμβροχαῖc τε καὶ καταπλάcμαcι τοῖc ψύχουcί τε καὶ ὑγραίνουcιν, οἷον ἀμάραντοc κτλ. P^x 21 ἐπὶ cυνόχ. *om.* A ω 22 δ $P^x M^o$ P 24 διαφερόντων] αὐτῷ οἰκείων *Gal.* ...θείcηc $L^a A^t$ 25 ἀκριβῶc *om.* ψ (*exc.* A) 26 μικρῆc $L^a P^x M^o$ S οὐδὲ ὅληc L^a 27 ...λεται $P^a P^x$ ...οιτο ψ A^t 28 ἴδηc $C^p M^o$ψω τὸ .....cημεῖον P^xψ 29 ἀρχαῖc P^xS 30 τε παντ.] παντ. P^x ὅλου ω 31 ποθὲν T 32 ῥωcθ.—φύcιc *om.* C^p *ante* τοῖc: γὰρ C^p

διὰ γαστρὸς ἢ διὰ ἐμέτων ἢ διὰ ἱδρώτων. εἰ δὲ ψυχροπότης ὁ κάμνων εἴη ἐν τῷ τῆς ὑγείας καιρῷ, πάνυ θαρρῶν δίδου τὸ ψυχρόν, αὐτῇ τῇ πείρᾳ δεδιδαγμένος ἀνέχεσθαι πάντα τὰ σπλάγχνα τῆς τοῦ ψυχροῦ ὁμιλίας. πάντως γὰρ εἴ τι ψυχρὸν μόριον οὕτως ὑπῆρχεν ὡς πλήττεσθαι πρὸς αὐτοῦ κατὰ τὸν τῆς ὑγείας καιρόν, ἐναργῆ τὴν βλάβην ἐνεδείξατο ἄν. οὐδενὸς δὲ μορίου ἐν τῇ ὑγείᾳ βλαβέντος, οὐδὲ ἐν τῷ πυρέττειν βλαβείη τι, πρόβλημα μέγιστον ἔχων ἐν τῷ βάθει τὸ πλῆθος τῆς πυρρώδους θερμασίας· διὰ τοῦτο τοῖς ὀλίγον αἷμα καὶ σάρκα ἐλαχίστην ἔχουσιν ἡ πόσις τοῦ ψυχροῦ σφαλερωτέρα· ταχὺ γὰρ ἐπὶ τὰ στερεὰ τοῦ ζῴου μόρια διικνεῖται γεγυμνωμένα τῶν σαρκῶν. διὰ τοῦτο δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν οὔτ᾿ ἀκραιφνοῦς οὔτε πολλοῦ χρῄζουσι τοῦ ψυχροῦ. λεπτὰ γὰρ ἐπ᾿ αὐτῶν καὶ ὀλίγαιμα τὰ σώματα. ὅθεν μεγάλης τῆς βλάβης προσδοκωμένης ἐπὶ τῶν ἀνεπιτηδείων, ἀφίστασθαι χρὴ τῆς τοῦ ψυχροῦ δόσεως, κεχρῆσθαι δὲ τοῖς ἄλλοις βοηθήμασιν, ἃ τὰς ἐμφράξεις ἐκφράττει καὶ τὸ πλῆθος κενοῖ καὶ πραΰνει τὸ ζέον τῶν πυρετῶν. αἱ δὲ ἐξ ἀκαίρου πόσεως ψυχροῦ βλάβαι κατὰ τόδε γίγνονται· τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς κωλύει τὸ ψυχρὸν λεπτύνεσθαι καὶ διαφορεῖσθαι, διὸ κἂν φλεγμονὴ εἴη ἔν τινι τῶν σπλάγχνων κἂν ἐρυσίπελας κἂν σκιρρώδης ἢ οἰδηματώδης διάθεσις, οὐδὲν εἰς τὴν τούτων ἴασιν ἡ τοῦ ψυχροῦ πόσις συντελεῖ, ἀλλὰ παραχρῆμα μὲν οὐκ ὀλίγην φέρει τὴν ῥᾳστώνην ἐπὶ τὸ σβέσαι τὸν ἤδη γεγονότα πυρετόν. μενούσης δὲ ἔνδον τῆς αἰτίας, ὅταν ἐκ τοῦ ψυχροῦ πυκνωθῇ τὸ σῶμα, ἕτερον ἀνάπτει πυρετὸν χαλεπώτερον τοῦ πρόσθεν· καὶ τοῦτο μὲν τὸ εἶδος τῆς βλάβης εὐκαταφρόνητον. πολλοὶ δὲ ἀσθενῆ ἔχοντες τὰ σπλάγχνα ῥᾷον πλήττονται ὑπὸ τῆς τοῦ ψυχροῦ πόσεως· τῷ μὲν γὰρ στόμαχος ἔπαθεν οὕτως ἰσχυρῶς, ὥστε ἀπολέσαι τὴν ἐνέργειαν καὶ μόλις δύνασθαι καταπίνειν, τῷ δὲ ἡ γαστὴρ ἐβλάβη, ὡς μόγις πέττειν, ἄλλῳ δὲ τὸ ἧπαρ, ὡς ἐκ τούτου εἰς ὕδερον ἐμπεσεῖν, ἄλλῳ τὸ κῶλον ἢ ὁ πνεύμων ἢ νεφροὶ καὶ κύστις ἤ τι ἕτερον ὑπὸ τοῦ ψυχροῦ πληγὲν ἄρρωστον εἰς τὴν οἰκείαν ἐνέργειαν ἐγένετο. τινὲς δὲ αὐτῶν αὐτίκα ὀρθοπνοίαις ἢ κάρῳ ἢ ληθάργῳ ἢ φρενίτιδι ἢ παρωτίσιν ἢ σπασμοῖς ἢ τρόμοις ἢ ἀποπληξίαις ἁλίσκονται καὶ συλλήβδην εἰπεῖν κακοῦται

1. 2 εἰ δὲ ψυχροπότης — ψυχρόν *Or.ª VI, 17 (194, 24—25)* 8—12 διὰ τοῦτο — σώματα *Gal. ib. (ib. 624, 4—10)* 14—16 κεχρῆσθαι — πυρετῶν *Or.ª ib. (ib. 20—21)* 16—*p. 47, 4* αἱ δὲ ἐξ ἀκαίρου — κάμνοντα *Gal. ib. (ib. 620, 15—622, 6)*

φ (Lª Pª) χ (Cᵖ Pˣ M°) ψ (A D P T) [*m. 2ª* S] ω (S Aᵗ) 1 *post* γαστρὸς: ὡς ἀνωτέρω δεδήλωται Pˣ ἢ δι᾿ ἱδρώτ. ἢ δι᾿ ἐμέτ. Pª καὶ χ ψ ω *om.* φ 3 ἀνέχ. *om.* Pˣ πάντα] ἐὰν Pˣ *post* σπλάγ.: βεβλαμμένα εἴη ἀνέχεσθαι Pˣ 6 οὐδὲ] οὐδ᾿ ἂν Pª 7 ἔχον Pª A P T ω 12 τὰ σώμ. κ. ὀλίγ. Pª 14 ἃ] ὅσα ω 15 τ. ζ. πραΰν. Pª 16 τάδε ω (*m. 1ª* S) 18 ἢ ψ 19 τὴν *om.* Pˣ T ω τούτου T ω 21 τῶ ψ Aᵗ γεγεννηκότα φ 22 ἔνδον *om.* ψ τοῦ *om.* ψ (*exc.* A) 24. 25 τ. σπλ. ἔχ. *transp.* Pª 25 δόσεως ω (*m. 1ª* S) 27 μόγις χ ψ ω 28 ἄλλο Pª M° 29 *ante* νεφρ.: οἱ Pˣ ψ *m. 2ª* S *ante* κύστ. ἡ *supra scr. m. 2ª* S 30 *post* αὐτίκα: τῶ πιεῖν ψ (*exc.* D) *m. 2ª* S 31 ἢ φρενίτ. *om.* χ (*exc.* M°) ψ ω ἢ φρεν. ἢ ληθ. M°

πᾶν τὸ νευρῶδες αὐτοῖς καὶ ἡ κεφαλή. οἶδα ὅτι φοβερὸν ἄν σε πρὸς τὴν τοῦ ψυχροῦ δόσιν εἰργασάμην, ἐξ ὧν εἶπον, ἀλλ᾽ ἐθεάσω με πολλάκις χρησάμενον ἐν καιρῷ καὶ ἐφ᾽ ὧν δεῖ, ἀεὶ δέ με ὠφελήσαντα χωρὶς τοῦ βλάψαι τὸν κάμνοντα.

Δίαιτα ἐπὶ συνόχων. ἐπὶ μὲν τῶν φλεβοτομουμένων ἐγὼ ὡς μετὰ ογ
δύο ὥρας τῆς φλεβοτομίας ἀεὶ δίδωμι πτισσάνης χυλὸν ἄγριον καὶ κελεύω ἡσυχάζειν καὶ μετὰ τὸ διαναστῆναι ἐκ τῶν ὕπνων πάλιν ὁμοίως πτισσάνης χυλὸν παρέχω. καὶ τούτῳ ἐπιμένω ποιῶν μέχρι τῆς γ̄ ἡμέρας, τῇ δὲ δ̄ ὡς ἐπίπαν ἐπὶ λουτρὸν ἄγω. φλεβοτομηθέντες γὰρ οἱ τοιοῦτοι εὐκαίρως μετὰ δυνάμεως ἐρρωμένης καὶ κενωθέντες μέχρι λειποθυμίας, ἐξ ἀνάγκης αὐτοῖς μετ᾽ οὐ πολὺ ἕπεται γαστρὸς διαχώρησις, λεπτυνθέντων δηλονότι τῶν χυμῶν καὶ κουφισθείσης καὶ ἀναρρωσθείσης τῆς δυνάμεως. ἔστι δὲ ὅτε καὶ χολῆς ἔμετος, ἐφ᾽ οἷς αὐτίκα καὶ νοτίδες διὰ παντὸς τοῦ σώματος ἢ ἱδρῶτες ἐπιγίγνονται, ὥστε καὶ θαρρῶν τις τούτους λούοι τῇ τετάρτῃ τῶν ἡμερῶν. καθόλου δὲ ὁ καιρὸς τῆς τροφῆς ἐπὶ τῶν συνόχων πυρετῶν τῶν τε προειρημένων καὶ τῶν μετὰ ταῦτα λεχθησομένων, ὅσοι γε ἕνα μόνον ἀπ᾽ ἀρχῆς ἄχρι τοῦ τέλους ἔχουσι παροξυσμόν ἥ τε εὐφορία ἐστὶ τοῦ κάμνοντος καὶ τὸ ἔθος· τηνικαῦτα γὰρ αὐτοῖς δοτέον, ὅταν εὐφορώτατοι σφῶν αὐτῶν ὑπάρχωσι καὶ μάλιστα κατ᾽ ἐκεῖνον τὸν καιρὸν τῆς ἡμέρας, ἐν ᾧ καὶ πρόσθεν ὑγιαίνοντες ἔθος εἶχον σιτεῖσθαι· μάλιστα γὰρ ἂν εὐφόρως ἐνέγκαιεν τὰ σιτία κατὰ τούτους τοὺς καιροὺς λαβόντες. ἐρρωμένης μὲν οὖν τῆς δυνάμεως καὶ τῆς ἀκμῆς τοῦ νοσήματος ἐν τάχει προσδοκωμένης ἔξεστι λεπτότατα διαιτᾶν, ἀρρωστούσης δὲ τῆς δυνάμεως οὐκ ἔτι λεπτῶς διαιτᾶν ἄνευ μεγάλης ζημίας. ὅθεν χρὴ προστιθέναι τοῖς τρέφουσιν ὅσον ἀφῃρήκασι τῆς εὐτονίας αἱ δυνάμεις.

Καθολικὴ διδασκαλία περὶ τῶν ἐπὶ σηπεδόνι πυρετῶν. ἡ τῆς δια- οδ
πνοῆς κώλυσις ἔμφραξιν ἐργάζεται τῶν ἐν παντὶ τῷ σώματι ἀδήλων

5—7 ἐγὼ ὡς — ἡσυχάζειν *Gal. ib. 4 (ib. 612, 16—18)* 22—26 ἐρρωμένης — δυνάμεις *Gal. ib. XI, 5 (ib. 748, 9—13)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 κ. ἡ κεφ. *om.* C^p ψ (*exc.* D) φοβ. σε ἂν P ἄν (*om.* A) σε φοβ. D ω 2 ἐξ ὧν *om.* εἰπών P 2. 3 *post* πολλάκ.: ἐπὶ τῶν ἔργων P^x ψ (*exc.* D) *m. 2ª* S 3 με *om.* χ ψ ω 5 ἐπὶ *pr. om.* $P^x A^t$ *post* μὲν: οὖν M^o D ω ὡς ἔγωγε P^x ὡς ἐγὼ ψ (*exc.* D) 6 ἄγριον] ὀλίγον α *exc.* L^a 8 χυλ. πτισ. (πτισσ.) P^x ψ ω κ. τοῦτο παρέχων A ...έχων P^x ποιῶν *om.* $C^p M^o$ ψ ω τῆς *om.* ψ ω 8. 9 *post* ἡμ.: ἤτοι δίδου τὰς ἀντιδότους τὰς προγεγραμμένας ὄπιθεν, τά τε δρι$^{\text{στ}}$ʹ καὶ τὰς ἀντιδότους καὶ ἔμπλασμα P^x 9 προσφέρω P^x ἀνάγω M^o 10 εὐκ. μετὰ] ἐπὶ ψ (*exc.* D) 11. 12 διαχ. γαστ. P^x 14 διὰ] ἐπὶ P^x ψ 15 θαρρ. τις] θαρρ. ἄν τις ψ θαρρούντως A^t λούσῃ D T ...σοι P λούῃ$^{\text{οι}}$ S ...ειν P^x λοῦε A^t 16 τῶν τε] τούτων τε τῶν χ *m. 2ª* S τ. τ. καὶ τῶν ψ τ. δὲ τ. A^t 17 τοῦ *om.* $P^a P^x$ ψ 19 ὅτε ψ (*exc.* A) *m. 2ª* S 22 ....κοιεν $C^p P^x$ S 23 μὲν *om.* ψ 24 λεπ...τερον A ...τάτως D T χαλεποτάτως C^p 25 οὐκέτι φ P^x 26 *post* δυνάμ.: ἐὰν δὲ καὶ τὰ σπλάγχνα συμπάσχῃ ὁ κάμνων καὶ βὴξ ἐνοχλῇ, δίδου τὴν σκευασίαν τῶν ὑπογλωττίων ταύτην κτλ. P^x 27 *post* πυρετῶν: Περὶ διαγνώσεως πότερον (*l.* πυρετῶν) τῶν ἐπὶ σηπεδόνι. τῶν ἐπὶ σηπεδόνι πυρετῶν ἡ διάγνωσις κτλ. P^x *ante* ἡ: Ἡ καθολ. διδ. π. τ. ἐ. σ. π. P^x

πόρων, δι᾽ ὧν τὰ καπνώδη καὶ λιγνυώδη περιττώματα ὁσημέραι διαπνεῖται. ἡ δὲ τῆς ἐμφράξεως διάθεσις, ὅταν αὐτή τε σμικρὰ τύχῃ καὶ καλῶς παιδαγωγηθῇ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. ὅταν δὲ ἤτοι διὰ μέγεθος ἢ δι᾽ ἀμαθίαν τῶν ἰατρῶν ἐκπέσῃ τοῦ συνήθους χρόνου τῶν ἐφημέρων, ἤτοι τὸν σύνοχον ἤ τινα ἕτερον τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀνάπτει πυρετόν. ἡ δὲ κώλυσις τῆς διαπνοῆς πολυειδῶς γίνεται καὶ πυκνουμένων τῶν πόρων διά τε στεγνότητα ἢ στύψιν τοῦ δέρματος καὶ διὰ πλῆθος καὶ πάχος καὶ γλισχρότητα χυμῶν ἐμφραττομένων. κωλυομένων τοίνυν τῶν ὁσημέραι διαπνεομένων καπνωδῶν καὶ λιγνυωδῶν περιττωμάτων κακοῦται τὸ ἐν ἡμῖν κατὰ φύσιν θερμόν. ἕτερον δὲ παρὰ φύσιν ἐγγιγνόμενον τοῖς σώμασι τοὺς μὲν χυμοὺς πρῶτον δι᾽ ὑγρότητα σήπει καὶ διαφθείρει, τῷ χρόνῳ δὲ καὶ τῆς πιμελῆς καὶ τῆς σαρκὸς καὶ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται· ἔστι δὲ ἡ σῆψις μεταβολὴ ἐπὶ φθορὰν τῆς ὅλης οὐσίας τοῦ σηπομένου σώματος ὑπὸ τῆς παρὰ φύσιν θερμασίας γιγνομένη. οἱ μὲν οὖν σηπόμενοι χυμοὶ ἢ ἐντὸς τῶν ἀγγείων στεγόμενοι τοὺς συνεχεῖς καὶ εἰς ἀπυρεξίαν μὴ παυομένους μέχρι τελείας λύσεως τοῦ νοσήματος ἐργάζονται πυρετοὺς ἢ πάντῃ τοῦ σώματος φερόμενοι καὶ διεκπίπτοντες ἔξω τῶν ἀγγείων τινὰ τῶν κατὰ περίοδον παροξυνομένων καὶ διαλείμματα ἐχόντων ἀνάπτουσι πυρετόν, οἷον τριταῖον τεταρταῖον ἀμφημερινὸν ἢ ἕτερον παραπλήσιον. αἴτιον δὲ τοῦ μὴ ἐκπίπτειν τῶν ἀγγείων ἔξω τοὺς χυμοὺς ἐπὶ τῶν συνεχῶν πυρετῶν ἐστιν ἢ τὸ πλῆθος ἢ τὸ πάχος ἢ ἡ γλισχρότης αὐτῶν. ὥσπερ οὖν ὅσα τῶν ἀψύχων σωμάτων σήπεται, πρῶτον μὲν ἀποβάλλομεν αὐτῶν ὅσον ἤδη σέσηπεν, εἶθ᾽ οὕτως τὸ λοιπὸν αἰωρήσαντες ἐν ἀέρι ψυχρῷ διαπνοὰς εὐψυχεῖς μηχανώμεθα, κατὰ τὸν αὐτὸν τρόπον ἰασόμεθα τὴν ἐν τοῖς ἀνθρωπείοις σώμασι σηπεδόνα, τὸ μὲν ἤδη διεφθαρμένον ἐκκενοῦντες ἅπαντι τρόπῳ, τὸ δὲ λοιπὸν αἰωρήσεσί τε μετρίαις καὶ διαπνοαῖς εὐψυχέσιν εἰς τὴν ἀκριβῆ καὶ κατὰ φύσιν συμμετρίαν ἐπανάγοντες. διαλαβόντες τοίνυν πρότερον περὶ τῶν

2—6 ἡ δὲ τῆς ἐμφράξεως — πυρετόν *Gal. ib. IX, 5 (ib. 627, 9—13)* 10—15 κακοῦται — γιγνομένη *Gal. ib. XI, 8 (ib. 754, 2—6; 753, 8—9)* 23—29 ὥσπερ — ἐπανάγοντες *Gal. ib. (ib. 754, 6—13)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 περιτ. κ. λιγν. (κ. λιγν. *om.* A) ω *post* περιττ.: ἤγουν καθ᾽ ἡμέραν (*glossema ad* ὁσημ.) L^a 3 . . . . γηθείη P^x ψ τὸν *om.* ψ 4 δι᾽ *om.* C^p M^o ψ ω ἐκπέσοι ψ 5 τὸν ἐφήμερον L^a C^p P^x *om.* P^a ἤτοι (ἢ P^x) *om.* P^a ψ (*exc.* A) τὸν *om.* P^a ἕτ. τινα παραπλήσιον P^x τῶν] τὸν P^x D A^t χυμὸν P^x A^t *om.* M^o 6 καὶ *om.* P^x A 7 *ante* τῶν: τοίνυν P^x στεγν.] σκληρότητα P^x ψ *m. 2^a* S ξηρότ. P^a C^p M^o ω στύψιν] ψῦξιν P^x ψ 8 φραττ. ω (*m. 1^a* S) 9 *ante* ὁσημ. καθ᾽ ἡμέραν (*glossema cf. ad l. 1)* M^o 10 τὸ] αὐτὸ L^a 14 ὅλης *om.* A^t *post* (*ante* A^t) οὐσ.: τῆς οὔσης *add.* A T A^t 18 πάντα ω (*m. 1^a* S) διαπίπτ. ψ 21 ἔξω τῶν ἀγγ. φ 22 ἡ *supra scr.* S *om.* C^p A^t 23 οἷα ω (*m. 1^a* S) 24 ἤδη *om.* C^p λυποῦν L^a *Gal.* 25 διαπνοίας C^p ψ . . . . υγεῖς (ἐμψ. . . A^t) P^a χ ω 26 ἰασόμ. ψ ἰασώμ. (ο supra scr.) P^a ἰασώμ. *cett.* ἀνθρωπίνοις C^p M^o 28 τε *om.* C^p T διαπνοίαις C^p ψ εὐψυχέσιν T εὐ(ἐν C^p) . . . γέσι(ν) P^a χ A D P S 29 ἐπανάγ.] . . . ναλαβόντες L^a . . . . νά∗∗γοντες S . . . ναγαγόντες P^x A^t

μὴ διαλειπόντων πυρετῶν, μνημονεύϲωμεν ἐφεξῆϲ κατ᾽ ἀκολουθίαν καὶ τῶν λοιπῶν.

Περὶ τῶν ἐπὶ ϲηπεδόνι ϲυνόχων πυρετῶν. ὅταν ἐν ἅπαϲι τοῖϲ οε ἀγγείοιϲ, μάλιϲτα δὲ τοῖϲ μεγίϲτοιϲ, κατά τε τὰϲ μαϲχάλαϲ καὶ βουβῶναϲ καὶ τοῖϲ παραπληϲίοιϲ αἷμα θερμότερον ὁμοτίμωϲ πλεονάϲαν ϲαπῇ, τὸν ἐπὶ ϲηπεδόνι ϲύνοχον καλούμενον ἐργάζεται πυρετόν. τὰ δὲ πολλὰ ἐν πολυαίμοιϲ τε καὶ πολυϲάρκοιϲ ϲώμαϲι καὶ πυκνοῖϲ τὴν ἕξιν καὶ περιττώμαϲι θερμοῖϲ πεπληρωμένοιϲ ἡ γένεϲιϲ αὐτῶν ἐϲτι. ταῦτ᾽ ἄρα τούτοιϲ ἤδη πυρέττουϲιν ὁ ϲφυγμὸϲ μέγιϲτόϲ τέ ἐϲτι καὶ ὁμαλὸϲ καὶ ϲφοδρὸϲ καὶ τὴν ϲύϲταϲιν τῆϲ ἀρτηρίαϲ οὔτε ϲκληροτέραν οὔτε μαλακωτέραν τοῦ κατὰ φύϲιν ἔχων, τάχουϲ δὲ εἰϲ τοϲοῦτον ἥκει καὶ πυκνότητοϲ, εἰϲ ὅϲον ἂν ὁ πυρετὸϲ αὐτὸϲ ἥκῃ μεγέθουϲ. κοινὰ μὲν οὖν ἀμφοῖν τούτου τε καὶ τοῦ χωρὶϲ ϲήψεωϲ προειρημένου ϲυνόχου ταῦτα. πρόϲεϲτι δὲ ἐξαίρετα τούτῳ τὰ τῆϲ ϲήψεωϲ ϲημεῖα ἐν τοῖϲ οὔροιϲ τε καὶ τοῖϲ ϲφυγμοῖϲ καὶ τῷ τῆϲ θερμαϲίαϲ εἴδει. ἡ δὲ θεραπεία τούτων τῶν πυρετῶν ἑκατέρῳ τῷ γένει κοινωνεῖ τῷ τε μετὰ ϲήψεωϲ καὶ τῷ χωρὶϲ ταύτηϲ, ἀλλ᾽ ἡ μὲν οὐϲία καὶ ἡ ϲύμπαϲα φύϲιϲ αὐτῶν ἐκ τοῦ γένουϲ ἐϲτὶ τῶν ἐπὶ ϲήψει. καθὸ δὲ εἷϲ ἐϲτιν ὁ ϲύμπαϲ ἐπ᾽ αὐτῶν παροξυϲμὸϲ ἀπ᾽ ἀρχῆϲ μέχρι λύϲεωϲ ὅληϲ τῆϲ νόϲου, κατὰ τοῦτο κοινωνεῖ τῷ ἐκ τῆϲ ϲήψεωϲ ϲυνόχῳ. χρὴ τοίνυν καὶ τὰ τῆϲ ἰάϲεωϲ αὐτοῖϲ καθ᾽ ἓν μὲν τοῦτο μόνον εἰϲ κοινωνίαν ἥκειν ϲυνόχοιϲ, κατὰ δὲ τὰ ἄλλα ϲύμπαντα διατμηθῆναι καί τιναϲ μὲν ϲκοποὺϲ θεραπευτικοὺϲ ἐκ τοῦ γένουϲ τῶν ἐπὶ ϲήψει λαβεῖν, τινὰϲ δὲ ἐκ τῆϲ οἰκείαϲ αὐτῶν οὐϲίαϲ. αἷμα γοῦν ἐϲτιν ἐπὶ τούτων τὸ τὴν ϲῆψιν ἀναδεξάμενον. οὕτωϲ δὲ καὶ τὰϲ ἄλλαϲ διαφορὰϲ τῶν ἐπὶ ϲηπεδόνι χυμῶν ἰᾶϲθαι προϲήκει, τὴν ἔνδειξιν ἀπό τε τῆϲ ϲήψεωϲ λαμβάνοντα καὶ τῆϲ καθ᾽ ἕκαϲτον ἰδίαϲ διαφορᾶϲ, οἷον φλέγματοϲ ἢ χολῆϲ ἑκατέραϲ. ἐπὶ τοίνυν τῶν ἐπὶ ϲηπεδόνι ϲυνόχων ἑπτὰ μὲν ὑπέκειτο παρὰ φύϲιν, ἀφ᾽ ὧν αἱ ἐνδείξειϲ, πλῆθοϲ χυμῶν καὶ πάχοϲ καὶ γλιϲχρότηϲ ἔμφραξίϲ τε καὶ τῶν διαπνεομένων ἐπίϲχεϲιϲ καὶ ϲῆψιϲ καὶ πυρετὸϲ οὐκ ἔχων διάλειμμα. ἑκάϲτην δὲ τῶν ῥηθειϲῶν διαθέϲεων ἰᾶϲθαι χρὴ

3—26 ὅταν—διαφορᾶϲ *Gal. ib. IX 3 (ib. 606, 16—17; 607, 4—5, 10, 12—608, 4) XI, 6 (750, 7—8, 10—11, 13—751, 1, 2—4)* *30—p. 50, 5* ἑκάϲτην—ῥύπτουϲι *Gal. ib. XI, 8 (ib. 755, 7—9, 10—11)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 διαλειπομένων L^a ....ϲομεν $C^p P^x$ ψ A^t 3 ἐπιϲυνόχ. C^p *om.* ψ (*exc.* A) ω 4 μεγάλοιϲ P^a 6 καλ. ϲύν. *transp.* ψ πυρ. ἐργ. *transp.* ψ ω 8 ἐϲτὶ δὲ αὐτ. ἡ γέν. P^x 9 τέ *om.* P^x ψ ω (*m. 1^a* S) κ. ὁμ. *post* ϲφοδρ. *transp.* P^a 11 ἂν *om.* ψ (*exc.* P) 12 *ante* αὐτ.: καὶ ψ (*exc.* A) ἥκει χ (*exc.* P^x) ψ ω ἥκοι *Gal.* οὖν *om.* ψ τε *om.* D P A^t 14 τούτῳ *om.* ω τε *om.* P^x ψ ω 15 ἡ] εἰ $L^a P^x$ *ante* ἑκ.: ἐν A^t 16 τε *om.* L^a 17 αὐτ. φύϲ. *transp.* ψ 18 ϲύμπ. αὐτ. παρ. S παρ. αὐτ. ϲύμπ. A^t 19 ἐκ τῆϲ] ἐκτὸϲ $C^p M^o$ A T 20 αὐτοῖϲ χ ψ ω *om.* φ ἕνα L^a χ ω μὲν *om.* D ψ 21 *ante* ϲυνόχ.: τοῖϲ P^a δίχα τμηθ. $C^p P^x$ ψ ω 23 ἑαυτῶν χ ψ ω γοῦν] γὰρ $P^a C^p M^o A^t$ ἐϲτιν *om.* L^a 24 οὕτω ψ 25 ....νονταϲ ψ (*exc.* D) ...τεϲ P^x D 27 ἐπεὶ χ ψ ω *ante* ϲυνόχ.: χυμῶν P^a ϲυνόχ.] πυρετῶ. M^o ω *post* ϲυνόχ.: πόϲα ἐπέκειτο τὰ παρὰ φύϲιν P^x ἐπέκ. $P^a P^x$ ὑπόκεινται ω *ante* παρὰ: τὰ χ (*exc.* M^o) ψ ω 29 καὶ *pr. om.* L^a καὶ *alt. om.* P^x ψ *post* ϲῆψιϲ *add.* τε ψ 30 δὲ] τε A D P *om.* T

διὰ τῶν ἐναντίων, τὸ μὲν πλῆθος τῇ κενώσει, τὸ δὲ πάχος τοῖς τέμνουσι, τὴν γλισχρότητα τοῖς ῥύπτουσι, τὴν ἔμφραξιν τοῖς ἐκφρακτικοῖς, τὴν δὲ τῶν διαπνεομένων ἐπίσχεσιν, εἰ μὲν διὰ πίλησιν τοῦ δέρματος γέγονε, τοῖς χέουσιν, εἰ δὲ διὰ πύκνωσιν, τοῖς ἀραιοῦσιν, εἶτα τὴν μὲν σῆψιν τοῖς ῥύπτουσι καὶ ἀλλοιοῦσι καὶ μεταβάλλουσι, τὸν δὲ πυρετὸν τοῖς ἐμψύχουσι. τῶν μὲν οὖν δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν φλεβοτομητέον καὶ τούτους χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα ἢ ἑτέρου τινὸς κωλύοντος, καθὼς ἔμπροσθεν εἰρήκαμεν. ἐξ ὧν γὰρ ἐπ᾽ ἐκείνων προειρήκαμεν σκοπεῖν χρὴ καὶ περὶ τούτων τὰ προσήκοντα. ἐπεὶ δὲ οὐδὲ τὴν ἔμφραξιν οὐδὲ τὴν σηπεδόνα δυνατόν ἐστι θεραπεῦσαι διὰ μόνης τῆς φλεβοτομίας, ἑτέρων βοηθημάτων δεομένας, ἀποτίθεσθαι χρή τι τοῦ αἵματος εἰς τὸν τῆς θεραπείας χρόνον, ὅπως μήποτ᾽ ἀνάγκη καταλάβῃ τις διὰ τὴν ἔνδειαν ἀκαίρως τρέφειν. ὅσον γὰρ ἐπὶ τῷ τοιούτῳ πυρετῷ οὐδόλως τρέφειν δεῖ, ὅσον δὲ ἐπὶ τῇ κενώσει τοῦ αἵματος, δεήσει τρέφειν, ὥστε ἀναγκαῖον ἔσται δυοῖν θάτερον, ἢ τρέφοντα αὐξάνειν τὸν πυρετὸν ἢ μὴ τρέφοντα καταλύειν τὴν δύναμιν. ἄμεινον οὖν, ὡς εἴρηται, καταλύειν τὴν τοῦ αἵματος οἰκείαν τροφὴν τοῖς τοῦ ζῴου μορίοις, αὐτὸν δὲ ἀρκεσθῆναι προσφοραῖς ὀλίγαις ῥοφημάτων, οἷόν ἐστι πτισσάνη καὶ μελίκρατον, ὧν ὡς φάρμακον μᾶλλον ἢ τροφὴν χρήζομεν. εἰ δὲ παραλειφθείη διά τι τὸ τῆς φλεβοτομίας βοήθημα, διαιτήσας τὸν ἄνθρωπον λεπτοτάτῃ διαίτῃ, ὅταν ἤδη πέττωνται μὲν οἱ χυμοί, τὸ δὲ πάχος αὐτῶν ᾖ προλελεπτυσμένον, ἐν ἀκμῇ ὄντος τοῦ πυρετοῦ, δοτέον αὐτοῖς τὸ ψυχρὸν ὕδωρ, ὡς ἐπὶ τῶν συνόχων προείρηται, εἰ μή τι τῶν ἐκεῖσε προειρημένων κωλύοι τὴν δόσιν. παραλειφθείσης δὲ καὶ τῆς ἐκ τοῦ ψυχροῦ βοηθείας, τοῖς ἄλλοις βοηθήμασι κεχρῆσθαι τοῖς δυναμένοις τὰς ἐμφράξεις ἐκφράττειν καὶ τὸ πλῆθος κενοῦν καὶ πραΰνειν τὸ ζέον, ὡς προείρηται καὶ ἑπομένως ἐφεξῆς ῥηθήσεται.

ος Κοινὴ δίαιτα πάντων τῶν ἐπὶ σηπεδόνι πυρετῶν. κοινῶς ἐπὶ πάντων τῶν ἐπὶ σηπεδόνι πυρετῶν ἐκκαθαίρειν χρὴ τὰ σεσηπότα τῶν χυμῶν δι᾽ οὔρων καὶ γαστρὸς καὶ ἱδρώτων· τοῦτο γὰρ κοινὸν ἁπάσης σηπεδόνος. εἰ δ᾽ αὐτόματά ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο,

29 — *p. 51, 2* ἐκκαθαίρειν — ἐρεθίζειν *Gal. ib. 9 (ib. 756, 5—9) Or.^{a} VI 24 (189, 18—21)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2^{a}* S] ω (S A^{t}) 1 δὲ P^{a} ψ *m. 2^{a}* S ἢ M^{o} *om. cett.* 2 *ante* (*post* P^{x}) γλισχ.: δὲ P^{a} P^{x} *ante* ἔμφρ.: δὲ P^{a} ἔμφρ. — ἐκφ. τὴν *om.* L^{a} 3 *ante* τῶν: διὰ P T 4 εἶτα] καὶ πάλιν P^{x} 8 εἴρηται χ ψ ω 9 καὶ *om.* P^{x} ψ (*exc.* D) 11 ἀποθέσθαι C^{p} M^{o} ψ ω 13—15 ὅσον — δεήσει τρέφειν *om.* D 15 τρέφοντας P^{x} T ω 16 τὴν] τι P^{x} ψ S 17 καταναλίσκειν P^{a} ...λιπεῖν χ ψ ω *ante* οἰκείαν: οὐσίαν οὖσαν P^{a} τοῖς *om.* L^{a} 18 ὀλίγων P^{a} M^{o} A^{t} *post* πτις.: καὶ ζε⟨ι⟩ὰ μετὰ ζωῆς ῥοιδίου ὀξύνου P^{x} 19 τροφῆς A P S -ῶν P^{a} C^{p} D T A^{t} 20 διά τι παρ. *transp.* ψ S ...τήσεις A D T 21 *ante* ἤδη: οὖν ψ *m. 2^{a}* S 22 ᾖ] ἤδη ω 23 *post* ὕδωρ: καὶ πάντα ὅσα P^{x} ὡς *om.* P^{x} προείρ.] πυρετῶν ω (*m. 1^{a}* S) 24 κωλύει P^{x} ψ (*exc.* D) ω *post* δόσιν: τάς τε ἀντιδότους καὶ καταβροχὰς δροσάτου τε καὶ ὅσα ἄλλα εἰρήκαμεν P^{x} 25 τ. δυναμ.] ἃ χ ψ ω 26 ....ττει χ ψ ω κενοῖ ....πραΰνει χ ψ ω 27 εἰρήσεται P^{a} 31 αὐτόματόν ψ (*exc.* A) *Gal.* ποιήσαιντο P^{a} ...σεται P^{x} ....σοιτο $\overline{ψ}$

κενοῦν χρὴ δι' ἐμέτων. ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν τοὺς δυσεμεῖς ἐρεθίζειν πρὸς τὸ μὴ καταλῦσαι τὴν δύναμιν τοῦ στόματος τῆς γαστρός, ἧς μάλιστα ἐν τοῖς νοσήμασι χρῄζομεν. ἐκλεκτέον δὲ ὅσα χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανὰ τὰς εἰρημένας κινήσεις ἐργάσασθαι, καθάπερ ὅ τε τῆς πτισσάνης χυλὸς καὶ τὸ μελίκρατον ὀξύμελί τε τὸ ἁπλούστατον καὶ ἀπόμελι καὶ ἡ τοῦ σελίνου ῥίζα κατὰ τὸ πινόμενον ὕδωρ ἑψομένη. τὸ γοῦν μελίκρατον, ὅσον μὲν ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς καὶ ῥύπτειν τοὺς γλίσχρους καὶ τὰς ἐκκρίσεις προτρέπειν, ἄριστον ἂν εἴη βοήθημα κατὰ τοὺς ἐπὶ στεγνώσει καὶ σήψει πυρετοὺς καὶ μάλιστα τοὺς ἐπὶ σήψει συνόχους. ὅσον δὲ ἐπὶ τὸ τὴν θέρμην αὐξάνειν τοῦ πυρετοῦ, βλαβερὸν τὸ μελίκρατον· ὅθεν, εἴπερ ἄμετρος εἴη θερμότης, φείδεσθαι μὲν χρὴ τοῦ μελικράτου, χρῆσθαι δὲ τῷ χυλῷ τῆς πτισσάνης. εἰ δὲ τὰς ἐμφράξεις δυσλύτους εἶναι λογιζόμεθα, ὀξύμελι διδόναι· καὶ μὴν καὶ τὸ ὀξύμελι, χρησαμένων ἀμέτρως, ἔντερόν τε ξύει καὶ βῆχα κινεῖ καὶ τὰ νευρώδη μόρια βλάπτει, ὡς εἶναι τῶν δυσχερεστάτων εὑρεῖν τι βοήθημα τοιοῦτον, ὃ μηδὲν βλάπτον ὀνίνησι μέγα. καὶ τοῦτο γίγνεται διὰ τὴν ἐπιπλοκὴν τῶν παρὰ φύσιν ἐν τῷ σώματι διαθέσεων· ὅθεν ἐπὶ τῶν ῥᾶον ὑπὸ τοῦ τυχόντος βλαπτομένων ἄμεινον χρῆσθαι τῷ τῆς πτισσάνης χυλῷ, μέχρις ὅτε δυνηθείημεν ἁδροτέραν διδόναι τροφήν. μὴ διαχωρούσης δὲ τῆς γαστρὸς κλύζειν χρὴ μελικράτῳ μετ' ἐλαίου μόνοις. τὸ δὲ ὅλον σῶμα ἔξωθεν πρὶν μὲν κενῶσαι διαφορεῖν οὐ χρή, κενώσαντα δὲ ἐγχωρεῖ διαφορεῖν. φαρμάκῳ δὲ χρῶ χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου ἔλαιον. ἐν δὲ τῷ νῦν καιρῷ, λέγω δὴ ἐν τῷ διαφορεῖν, καὶ οἶνος ὑδατώδης πινόμενος ἁπάσας κινεῖ τὰς ἐκκρίσεις. πέψεως δὲ σαφοῦς ἐν τοῖς οὔροις φανείσης καὶ λούειν ἐγχωρεῖ λουτροῖς γλυκυτάτων καὶ ποτίμων ὑδάτων καὶ εὐκράτων.

3—17 ἐκλεκτέον—διαθέσεων *Gal. ib. (ib. 11—15), ib. 11 (766, 8—767, 3)* 3—6 ἐκλεκτέον—ἑψομένη *Or.*^{a} *ib. (21—24)* 19—26 μὴ διαχωρούσης—εὐκράτων *Gal. ib. 9 (ib. 756, 16—757, 5)* 19—25 μὴ διαχ.—ἐκκρίσεις *Or.*^{a} *ib. (24—28)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 κενοῖν $L^a C^p M^o$ χρὴ *pr.*] δεῖ (*post* ἐμέτ.) P^x *om.* $C^p M^o$ ψ ω π. φύσ. *om.* P^a 2 πρὸς τὸ] ἐπὶ τῷ P^a 3 ἧς] οἷς ω (*m. 1*^{a} S) χρῄζωμεν P^x *ante* ὅσα: καὶ P^x ψ (*exc.* D) 4 κενώσεις ψ (*exc.* A) ω 5 τῆς] καὶ L^a *om.* A τὸ *om* L^a ...στερον M^o ψ (*exc.* A) 6 *post* ἀπόμ.: ἢ τὸ ὀξὺ δροσάτον καὶ τὰ προγεγραμμένα ἐν τοῖς συνεχέσιν πυρετοῖς, μᾶλλον δέ P^x ἑψουμ. P T -ωμ. P^x ω *post* ἑψομ.: καὶ ὅσα τὰ διουρητικὰ P^x 9 βοήθ. *om.* ω (*m. 1*^{a} S) 9. 10 καὶ σήψει—ἐπὶ σήψει *om.* P^x 10 τὸ] τῷ $P^a M^o$ T S αὔξειν P^a 11 ἢ A P *ante* θερμ.: ἡ P^a A P A^t 13 *post* ὀξύμ.: οὐχ ἁπλῶς δὲ P^x καὶ μὴν] οὐ μὴν δὲ P^x 14 ....μένω C^p ...α (μν' *supra*) P^x .....νοις ψ (*exc.* T) χρησ. ἀμ.] εἴπερ καὶ τούτῳ ἀμέτρῳ χρησαίμεθα P^a ἔντερα ψ (*exc.* T) 16 *ante* μηδ.: τὰς ἐμφράξεις ἐκφράττει καὶ P^x μηδὲ L^a οὐδὲν T A^t μεγάλα (= A) ὀνίν. P^a *post* τοῦτο: μέγα ψ (*exc.* D) *m. 2*^{a} S 17 ἐν τ. σώμ. π. φύσ. *transp.* P^a 18 ῥάων (*corr.* ῥᾶον T S) C^p A T A^t τῶν ... όντων P^x ψ (*exc.* T) ....μένου P^x T ω 19 ὅτου $P^a A^t$ 20 χρὴ] δεῖ τὴν κοιλίαν μετὰ μέλιτος σκευαζομένου ἐξ ἴων καὶ ἰέλαιον καὶ μάννα καὶ ᾠῶν λεκύνθων δύο ζωμὸν ἔχοντα πιτύρων κριθῶν ἀνεμοχαρ^T ἴα σεῦτλον φυ$^{λλ'}$ ζωμὸν ἐνίει P^x μόνου P^x D T A^t *m. 1*^{a} S *om.* P^a 22 φάρμακον P^x ....α S ....άκοις A^t χρῆσθαι P^a 23. 24 τῷ νῦν—λέγω δὴ] τῇ παρακμῇ τοῦ νοσήματος P^x 26 γλυκυτάτων λουτρῶν P^x A P ....τω ....τρῶ D ...τρῶ

οζ Περὶ τῶν συνεχῶν πυρετῶν. οἱ συνεχεῖϲ πυρετοὶ ὁμογενεῖϲ εἰϲι τῶν διαλειπόντων· καλῶ δὲ ὁμογενεῖϲ τριταίῳ μὲν ἀκριβεῖ τὸν ἀκριβῆ καῦϲον, ἀμφημερινῷ δὲ τὸν καθ' ἑκάϲτην μὲν ἡμέραν παροξυνόμενον, εἰϲ ἀπυρεξίαν δὲ μὴ παυόμενον. ὅ τε γὰρ ἀκριβὴϲ καῦϲοϲ ἅπαντα τὰ ἄλλα φυλάττων ἀκριβοῦϲ τριταίου γνωρίϲματα, μόνῳ δὲ τῷ μήτε μετὰ ῥίγουϲ εἰϲβάλλειν μήτε εἰϲ ἀπυρεξίαν ἀποπαύϲαϲθαι διενήνοχεν ἐκείνου. ὅ τε καθ' ἑκάϲτην ἡμέραν παροξυνόμενοϲ ὁμοίωϲ πάντα ἔχει τὰ γνωρίϲματα τοῖϲ ἀκριβέϲιν ἀμφημερινοῖϲ, τῷ δὲ μὴ παύεϲθαι εἰϲ ἀπυρεξίαν ὁμογενήϲ ἐϲτιν αὐτοῖϲ. κατὰ ταῦτα δὲ ὁ διὰ τετάρτηϲ παροξυνόμενοϲ, εἰϲ ἀπυρεξίαν δὲ μὴ παυόμενοϲ ὁμογενήϲ ἐϲτι τῷ τεταρταίῳ καὶ δῆλον ὡϲ οὔτε ῥῖγοϲ αὐτῷ προηγήϲοιτο τῶν παροξυνομένων οὔθ' ἱδρὼϲ ἕποιτο, καθάπερ οὐδὲ τῷ καύϲονι καθ' ἕκαϲτον παροξυϲμόν. ἐπὶ γὰρ καύϲου ῥίγεοϲ ἐπιγενομένου λύει τὸ νόϲημα. διενήνοχε δὲ ὁ καῦϲοϲ τοῦ ἐπὶ ϲήψει ϲυνόχου τῷ ἐκεῖνον μὲν ἐπὶ αἵματι ϲηπομένῳ ϲυνίϲταϲθαι καὶ ἀπ' ἀρχῆϲ μέχρι λύϲεωϲ ἕνα ἔχειν παροξυϲμόν, τὸν δὲ καῦϲον ἐπὶ τῇ ξανθῇ χολῇ ϲηπομένῃ ἀνάπτεϲθαι καὶ τριταικῶϲ παροξύνοντα ἔχειν μειοπυρεξίαν τινὰ καὶ οἷον ἄνεϲιν, τὸν δὲ ϲύνοχον μένειν ὅμοιον μέχρι λύϲεωϲ.

οη Θεραπεία καύϲου Φιλουμένου. ἔϲτι μὲν οὖν ἐπὶ τῇ ξανθῇ χολῇ ϲαπείϲῃ ἀναπτόμενοϲ ϲυνεχὴϲ πυρετὸϲ καυϲωδέϲτατοϲ καὶ μήτε τοῖϲ ἰατροῖϲ μήτε τοῖϲ πάϲχουϲιν εὐταξίαν παρέχων. γλῶϲϲα γὰρ ἐπὶ τούτων κατάξηροϲ καὶ μέλαινα καὶ τραχεῖα, δῆξίϲ τε τῆϲ γαϲτρὸϲ καὶ δίψοϲ

1—12 οἱ ϲυνεχεῖϲ — παροξυϲμόν *Gal. de cris. II 6 (IX 662, 3—4, 7—10, 11—14, 17—663, 6)* 1—10 Περὶ — τεταρταίῳ *Or.ª VI, 16 (194, 1—12) Paul. II 26* 12. 13 ἐπὶ γὰρ — νόϲημα *cf. Hippocr. Aph. IV 58 (IV 522 L.) et Gal. in Aph. comm. XVII B, 736. Gal. In Hippocr. de acutorum morborum victu comm. IV 12 (XV 751, 17—752, 1 = CMG V 9, 1 p. 281, 3) Gal. de tremore, palpit. etc. VII 613, 9—10* 21—23 γλῶϲϲα — παραφροϲύνη *Gal. in Hippocr. de ac. morb. victu comm. IV 13 (XV, 755, 11 sqq. = CMG V 9, 1 p. 282, 27 sqq.) Or.ª VI, 18 (194, 27—29) Paul. II 28*

. . . . τω T ω ποτ. ὑδ. εὔκρ. χ A P . . . . ίμω (. . . ίϲθω A^t) . . . . ατι (. . . οϲ A^t) . . . άτω (. . . του A^t) D T S

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 Περί — πυρετ.] Τίνι εἰϲὶν παρόμοιοι οἱ ϲυνεχεῖϲ πυρετοί P^x 2 τῶν *om.* C^p P^x ψ ω . . . ταῖον φ A D P ἀκριβεῖ M^o T S . . . βῆ *cett.* 2. 3 τῷ ἀκριβεῖ καύϲῳ P^a ψ (*exc.* T) 3 ἀμφ(ἀφ)ημερινῷ P^a C^p M^o T S . . . ὸν *cett.* τῷ ψ (*exc.* T) δὲ] μὲν L^a . . . . νομένῳ ψ (*exc.* T) 4 . . . μένῳ ψ (*exc.* T) 5 μόνον P^x T ω δὲ] τε C^p *om.* P^a ψ (*exc.* T) 6 παύεϲθαι P^a ἀποπαύεϲθαι M^o 7 παροξυνόμενοϲ *Gal. Or.* παροξύνων α ὅμοια ψ (*exc.* T) *m. 2ª ut vid.* S ἔχων P^a 8 *post* ἀμφ.: διαφέρων δὲ μόνῳ P^a *cf. 36, 12* δὲ *om.* P^a A 9 ὁμογενήϲ—αὐτοῖϲ *sententia corrupta est, cf. Gal. Orib. Paul. (Deichgr.)* κατ' αὐτὸ A P *ante* ὁ: καὶ χ (*exc.* P^x) ψ ω . . . ταίου P . . . του P^x T A^t 10 τῷ *om.* C^p M^o ψ S 11 . . . ϲεται P^a τῶν *om.* P^a παροξυνομένων] . . . ξυϲμῶν α *recte? exc.* L^a *om.* P^a 12 ἕψοιτο ψ ω (*m. 1ª* S) . . . ϲῳ α *exc.* L^a καθ' ἕκ. — γὰρ *om.* P^a 13 *ante* καύϲου: ὑπὸ P^a *post* καύϲου: γὰρ ἐχομένῳ P^a φηϲὶ *sc. Hippocr.* D P λύϲιϲ P^a C^p τὸ νόϲ.] νοϲήματοϲ C^p *om.* P^a 14 μὲν *om.* C^p M^o ψ ω 15 *post* ἔχ.: τὸν P^a P^x 16 ἅπτεϲθαι L^a παροξύνων L^a P^x M^o . . . ειν P^a *post* ἔχ.: τε P^a 17 ἀπυρεξίαν A P *m. 2ª* S 18 *post* λύϲ.: Καυϲωδῶν πυρετῶν διάγνωϲιϲ. τοῖϲ καύϲοιϲ παρακολουθεῖ ϲυμπτώματα· γλῶϲϲα μὲν ξηρὰ κτλ. P^x 19 *post* καύϲου: ἐκ τῶν D P *ad tit. in marg.* καὶ διάγνωϲιϲ ϲαφεϲτέρα Θέωνοϲ P^x *post* οὖν: ὁ P^a χ T ω 21 τούτῳ C^p . . . οιϲ P^x 22 δήξειϲ M^o T ω τε] δὲ ψ ω

ἀφόρητον καὶ ἀγρυπνία, ἐνίοτε δὲ καὶ παραφροσύνη. πρῶτον μὲν οὖν αὐτῷ παρηγορικῶς καὶ πειθηνίως προσιέναι χρή. ἐπὰν δὲ τὰ τῆς πέψεως ἐν τοῖς οὔροις φαίνηται καὶ ἤδη ἀκμάζοι τὸ νόσημα, τότε ἀγωνιστικῶς ἐνίστασθαι καὶ ἐπὶ τὴν τοῦ ψυχροῦ πόσιν παραγίγνεσθαι, εἰ μηδὲν πάλιν κἀνταῦθα κωλύοι τῶν προειρημένων ἐπὶ τῆς τοῦ ψυχροῦ πόσεως ἐν τῷ περὶ τῶν συνόχων λόγῳ. τὰ δὲ πρῶτα τῶν καυσουμένων βοηθήματά ἐστι κατάκλισις ἐν τόποις ἀναψύχουσιν εὐπνόοις ἀέρι καθαρῷ διαπνεομένοις στρωμνή τε ἁπαλὴ καὶ πυκνότερον νεαροποιουμένη περιβλήματα συνεχῶς ἀλλασσόμενα καὶ ἱκανῶς ἰσχνὰ καὶ μὴ ῥυπαρά, ἐχούσης τῆς κλίνης δαψιλὲς πλάτος πρὸς τὸ ἐπ' ἄλλα καὶ ἄλλα τῶν πρώτων θερμαινομένων μετάγειν τὰ μέλη. ῥιπὶς δὲ κινείτω τὸν σταθερώτερον ἀέρα. ἐπιθέματα δὲ αὐτοῖς ἁρμόζει κατὰ τοῦ στέρνου καὶ τοῦ στομάχου ἐπιτιθέμενα φοίνικες σὺν οἴνῳ τε καὶ ῥοδίνῳ ἢ μηλίνῳ λεαινόμενοι καὶ τὰ ἐμψύχοντα δέ ἐστιν ἁρμόδια οἷον ἕλικες ἀμπέλων λειωθεῖσαι σέρις πολύγονον ἀρνόγλωσσον ξύσματα κολοκύνθης θρῖδαξ ὀξυλάπαθον· παραπλεκέσθωσαν δὲ ἑκάστῳ αὐτῶν ψίχες ἄρτου προβραχεῖσαι ἢ ἄλφιτα. δεῖ μέντοι τὰς συνεχεῖς τούτων χρήσεις παραιτεῖσθαι. πτύγματα δὲ ῥακῶν λινῶν εὐμεγεθέων ἰσχνῶν ἐξ ὑδρελαίου θερμοῦ κατὰ τοῦ στήθους καὶ τοῦ στομάχου ἐπιρριπτόμενα τοὺς καυσουμένους παρηγορεῖν παραδόξως καὶ δι' ἐρίου χειροπληθοῦς τὸ ὑδρέλαιον θερμὸν ἢ ὑδροπόδινον ἐπιφερόμενον ἐξ ὑψηλοῦ κατὰ τοῦ στέρνου ῥᾳδίως ἀμβλύνει τῆς φλογώσεως τὸ σφοδρόν. δεῖ δὲ θερμὸν ἱκανῶς εἶναι τὸ ὑδρέλαιον ἢ ὑδροπόδινον· τὸ γὰρ χλιαρὸν ἐκλύει τὸν τόνον τῶν μορίων. εἰ δὲ βραχύτατον νίτρον προσλάβοι, κινήσειεν ἂν καὶ ἱδρῶτας. ἐπὶ δὲ τῶν σφοδροτάτων καύσων καὶ ὄξος ὀλίγον παραπλέκειν· ἐργάζεται γὰρ τὸ δέον· διαιτᾶν δὲ τοὺς καυσουμένους ὑγροτάταις τροφαῖς καὶ μηδὲν

4 ἐπὶ τὴν τοῦ ψυχροῦ πόσιν παραγίγνεσθαι *cf. Gal. ascr. introd. s. med. 13 (XIV 733, 12—13)* 5 προειρημένων *cf. 45, 21* 17. 18 πτύγματα — ἐξ ὑδρελαίου θερμοῦ *(cf. ll. 19, 21—22) cf. Gal. ascr. int. s. med. ib. (ib. 13—14)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 2. 3 ἀπεψίας P^a 2 ἐν τ. οὐρ.] οὖρα C^p φανῶσιν P^a ἀκμάζῃ ψ (*exc.* T) 5 κωλύει $P^a P^x$(A) P T ω *post* ἐπί: δὲ A^t *supra scr.* T δόσεως χ ψ ω 6 *ante* ἐν: ὅσα καὶ ἂν ὁποῖα εἰρήκαμεν P^x 6. 7 ...μάτων $P^a C^p A^t$ 8 ἀναπν. T ω 9 ἔχουσα P^x T ω (*m. 1*^{a} S) 10 τῆς κλίνης *om.* T ω (*m. 1*^{a} S) 11 τὸν *ante* ἀέρα *transp.* P^a σταθερὸν M^o *id.*, *supra scr.* τὸ πρῶτον *m. 2*^{a} S καθαρώτερον P^x 13 *post* φοίν.: ῥόδα σάνδαλον ἄλφιτ⟨ον⟩ ἄρτ⟨ον⟩ οἰνόαν καὶ ῥόδων ἔλαιον ῥοδόσταγμα καὶ γάλα γυναικεῖον P^x σὺν — λεαίν. *om.* P^x 13. 14 καὶ τὰ — οἷον] ἔστι δὲ καὶ ταῦτα τὰ ἐμψύχοντα ἁρμόδια, οἷον φακὴ ἢ ἐπὶ τῶν ὑδάτων ἐκφυόμενον ἀείζωον στρύχνος P^x 14 ἐστιν *om.* A^t λειωθέντες ψ (*exc.* T) *om.* P^x 15 *ante* ὀξυλ.: ἢ *add.* T A^t *post* ὀξυλ.: χυλὸν ῥοδόσταγμα ψιλὸν γάλα γυναικεῖον καὶ σάνδαλον P^x 15. 16 παραβρεχέσθωσαν P^x περιπλεκ. C^p T A^t 16 αὐτῶν *om.* ψ (*exc.* T) 17 παραιτ. χρήσ. *transp.* P^x ψ (*exc.* D) πτύσματα A P 18 ....γέθων (...θῶν) P^a χ συμμεγέθων A P ...μέτρων D T ω *post* θερμοῦ: ἢ σάνδαλον κόκκινον μετὰ καθαροῦ ῥοδοστάγματος· εἰ μὲν χρεία εἴη χλιαρά, εἰ δὲ θέρους ψυχρὰ P^x 19 ἐπιτιθέμενα P^x 19. 20 παρηγορεῖν παραδ. τ. καυσ. χ (*exc.* M^o) ψ ω 20. 21 καὶ δι' — ἐξ ὑψηλοῦ] καὶ ὀθωνίου ὑψηλοῦ ἐπίβρεχε κατὰ τοῦ ὑδρελαίου, μᾶλλον δὲ τοῦ ὑδροροδίνου ἐλαίου ἐπιφερόμενα P^x 20 καὶ δι' ἐρ. χειρ. *ante* τοὺς καυσ. *transp.* M^o *post* ἐρίου: δὲ ψ (*exc.* T) 21—23 ἐπιφ.— ὑδροπόδ. *om.* A^t 22. 23 ὑδρέλ. ἢ *om.* P^x 23 *post* ὑδροπόδ.: ἐὰν χειμὼν εἴη P^x 24 νίτρου $P^a C^p$ T ω καὶ *om.* ψ (*exc.* A) ω ἱδρῶτα P^x ψ (*exc.* T) 25 περιπλ. T ω

ἐχούcαιc δριμύ, οἷον καυλοῖc θριδάκων ἀπεζεcμένοιc μετ' ὀξυκράτου ὑδαροῦc ἢ κολοκύνθαιc ὁμοίαιc μετ' ὀξυκράτου καὶ πτιccάνηc δὲ χυλὸν λεπτότερον διδόναι χωρὶc ἁλῶν ἢ ἑτέραc ἐπιμιξίαc καί ποτε καὶ μετὰ τροφὴν ψυχρὸν ὅcον κοχλιάριον α̅ ἢ β̅ καταρροφείτωcαν ἢ καὶ τὸ ὅλον αἱ πόcειc ἔcτωcαν γαλακτώδειc καὶ διάκλυcμα δὲ καὶ ἀναγαργάριcμα διὰ τοῦ τεθραυcμένου ψυχροῦ διδόcθω καὶ ῥόδων δὲ χύλιcμα ὅcον κοχλιάριον καταρροφηθὲν ἀναψῦξαι τὸν cτόμαχον ἐποίηcεν. καὶ ἄλλαι δὲ παρεπιτηδευέcθωcαν ψυχαγωγίαι· φύλλα ἀμπέλων χλωρὰ καὶ μυρcίνηc καὶ ῥόδων ἐρρίφθω κατὰ τοῦ ἐδάφουc καὶ τῷ ὕδατι καταρραινέcθωcαν cυνεχέcτερον κρουνοί τε ὕδατοc πληcίον ἠχείτωcαν· καιρὸc δὲ τῶν ἐμψυχόντων ἐπιθεμάτων καὶ τῶν ὁμοίων ἡ ἀκμὴ τῆc ἐπιcημαcίαc. κατὰ γὰρ τὰc ἀρχὰc καὶ τὰc ἐπιδόcειc τῶν παροξυcμῶν, ἀνωμάλωc ἔτι τοῦ cώματοc διακειμένου καὶ τῆc θερμαcίαc περὶ τὰ cπλάγχνα cυνεδρευούcηc, προcαγόμενα ταῦτα διαχέει μὲν τὴν αἴcθηcιν ἐπ' ὀλίγον, ἀποκρουόμενα δὲ τὸ θερμὸν εἰc τὸ βάθοc πλείονοc βλάβηc αἴτια γίνονται, ἐναποκλειcθέντοc ἔνδον τοῦ πυρώδουc θερμοῦ καὶ αὖθιc τὸν καῦcον cφοδρότερον ἐργαcαμένου. ἐν δὲ ταῖc ἀκμαῖc τῶν παροξυcμῶν ἡπλωμένου τοῦ θερμοῦ κατὰ πᾶν τὸ cῶμα, cβεcθείη ἂν ῥᾳδίωc τὸ λειπόμενον ἔτι περὶ τὰ cπλάγχνα· καὶ γὰρ εὐπνούcτεροί τε καὶ ἀδιψώτεροι καὶ εὐφορώτεροι γίγνονται, τούτων ἐν καιρῷ προcαγομένων, καί τινεc αὐτῶν ἐπινοτιζόμενοι καθυπνοῦcιν. ἐνιcταμένηc δὲ τῆc ἀκμῆc τοῦ παντὸc νοcήματοc καὶ μηδενὸc κωλύοντοc τῶν προρρηθέντων ἐπὶ τοῦ cυνόχου πυρετοῦ, ἤδη καιρὸc τῆc τοῦ ψυχροῦ δόcεωc. ἐφ' ὧν μὲν οὖν παρρηcίαν ἄγομεν, ὡc μὴ βλαβηcομένου τινὸc τῶν cπλάγχνων ἢ τῆc κεφαλῆc, ὡc προείρηται, τὸ ἀκραιφνὲc ὕδωρ ψυχρὸν δίδομεν· ἐφ' ὧν δέ τι δέοc καὶ αὐτὸ τὸ ἐλάχιcτον παρεμποδὼν γίγνηται, τὴν πρώτην πόcιν τεθραυcμένον προcοίcομεν τὸ ψυχρόν. θραύεται δέ, εἴ τιc εὐκράτου θερμοῦ κύαθον α̅ πρὸc ε̅ καταμίξειεν ἀκραιφνοῦc ψυχροῦ· τὸ τοιοῦτον γὰρ παρατί-

2 πτιccάνηc δὲ χυλὸν *cf. Gal. de ptisana VI 825. 826* 21—23 ἐνιcταμένηc δὲ — ψυχροῦ δόcεωc *cf. p. 53, 1sqq.*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 ...ξυcμ. A P ...ξεcμ. T ω 2 ...κύνθη P^x D T ...ην A μετ' ὀξ. *om.* A^t 3 ...τατον T A^t ἁλῶν — ἐπιμ.] ἄλληc ἐπιμιξίαc οἷον ἁλὸc P^x 4 *post* τροφὴν: λεπτὸν διδόναι P^x α̅ *om.* C^p A 6 δὲ ψ (*exc.* T) *om. cett.* 7. 8 ἄλλη δὲ .....δευέcθω ...γωγία ψ (*exc.* T) 8 *post* ψυχ.: οἷον διὰ τριcανδάλου ℾ° γ̅ ῥοcάτου νοβε$^{λ'}$ ℾ° γ̅ χειονοκρουc$^{τλ'}$ τὰ εὑριcκόμενα ἐν τῷ χειμῶνι παρὰ τὰc cτοὰc ......κατὰ τοῦ ἐδάφουc δὲ ἐπιριπτέcθωcαν πρὸc ψυγαγωγίαν οἷον ῥόδων P^x *post* ἀμπ.: καλαμίων P^x 8. 9 χλωρὰ—ἐδάφουc *om.* P^x 9 ....νέcθω $C^p P^x M^o$ ψ (*exc.* T) 10 δὲ] τε P^x ψ ω 11 *ante* ἐπιθ.: βοηθημάτων μᾶλλον δὲ P^x ψ *m. 2ª* S 12 τ. παρ. τ. ἐπιδ. *transp.* A^t 13 καὶ *om.* ψ (*exc.* T) 14 ἐπ' ὀλ. *om.* A^t *m. 1ª* S 15 ...νεται P^a χ ψ (*exc.* T) 18 *ante* cβεcθ.: τῷ ψυχρῷ πόματι *add.* ψ *post* ἔτι: δὲ καὶ *add.* A^t 19 κ. εὐφ. *om.* A^t *m. 1ª* S 22 τῶν cυνόχων πυρετῶν P^x ψ (*exc.* T) 23 ἄγωμεν $P^x M^o$ 24 τὴν ...λὴν $L^a P^x M^o$ T S 25 ...δόαμεν P^a δώcωμεν P^x καὶ *om.* L^a 26 ....έμποδον C^p T *ex* -δὼν *ut vid.* S ...διον P^x .....εται α *exc.* L^a 27 ....cωμεν P^x T ω *ante* τὸ: ποτὸν ἤγουν *add.* A^t 28 *post* καταμ.: ἀκράτου *add.* T ω ψυχ. ἀκρ. *transp.* T ω τὸ *om.* P^a C^p

θεται τοῖς εὐυπόπτοις σώμασι. τινὲς δὲ ῥοδίνου ἐλαίου κύαθον ἐπιχέοντες τῷ μέλλοντι δοθήσεσθαι ψυχρῷ προσφέρουσιν· αὐτὸ γὰρ τὸ ῥόδινον οὐ σφοδρῶς ἐμψύχει. καὶ προσεναλειφόμενον τὸ ἐλαιῶδες τοῖς σώμασιν οὐ συγχωρεῖ αὐτὰ βλαβῆναι ὑπὸ τοῦ ψυχροῦ. ἅμα τε καὶ τόνον τινὰ τὸ ῥόδινον τῇ γαστρὶ παρέχει, ἀλλὰ καὶ ὄλισθον διὰ τὸ ἐλαιῶδες. τινὲς δὲ ἀντὶ τοῦ ῥοδίνου μήλινον παρέσχον. λουτρὸν δὲ τοῖς καύσῳ περιεχομένοις πυρετῷ ἐκείνοις μόνοις ἁρμόσει, ὅσοι χωρὶς ὄγκου τινὸς φλεγμονώδους ἢ ἐρυσιπελατώδους νοσοῦσιν, ὅταν ἐν τοῖς οὔροις πέψεως φανῇ σημεῖον. νέος δ' ἄν τις εὔσαρκος ὥρᾳ θέρους καὶ καταστάσεως θερμῆς καὶ ξηρᾶς, ἐν ἀκμῇ ὄντος τοῦ πυρετοῦ καὶ πέψεως ἐν τοῖς οὔροις φανείσης ἄνευ σπλάγχνου τινὸς φλεγμονῆς κολυμβήθρᾳ ψυχροῦ ἑαυτὸν ἐμβαλὼν καὶ νηξάμενος ἱδρῶτα κινήσειεν. εἰ δὲ καὶ ψυχρολουσίας συνήθης εἴη, πάνυ θαρρῶν κέχρησο τῷ βοηθήματι. αὐτίκα γὰρ καὶ ἡ γαστὴρ ἔστιν οἷς [αὐτὸν] κατέρρηξε χολώδη. μετρίου δὲ ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων ἰσχυρῶν ἅμα τοῖς τῆς πέψεως σημείοις ὠφελεῖ αὐτοῖς τὰ βαλανεῖα γλυκέων καὶ εὐκράτων ὑδάτων. καὶ τῶν ἀλειμμάτων τὸ χαμαιμήλινον καὶ μάλιστα ὅταν τὸ περιέχον ψυχρὸν ᾖ· ὡς εἴ γέ ποτε συμβαίῃ ψυχροῦ τοῦ περιέχοντος ὄντος ἰσχυρῶς καυσοῦσθαι τὸν κάμνοντα, βραχείας ἐπ' αὐτοῦ σωτηρίας ἐλπίδας ἔχειν χρή. εἰ δὲ μηδὲ τὰ τῆς πέψεως παρείη σημεῖα ἐν τῇ τοιαύτῃ καταστάσει τοῦ ἀέρος μηδὲ τὰς δυνάμεις ἰσχυρὰς ἔχειν φαίνοιτο, σωθῆναι τὸν τοιοῦτον ἀδύνατον, ὥστε οὔτε λούσεις αὐτὸν οὔτε ἀλείψεις τοῖς ἀραιωτικοῖς φαρμάκοις οὔτε οἴνου δώσεις οὔτε ψυχροῦ. ἐφ' ὧν γὰρ ἀνέλπιστος ἡ σωτηρία, μάταιον ἂν εἴη διαβάλλειν τοῖς ἰδιώταις τὰ πολλοὺς σώζοντα βοηθήματα. ἔγωγ' οὖν οἶδά τινας ἰατροὺς ἀμεθόδους μιμησαμένους τὰ ὑφ' ἡμῶν πραττόμενα πράγματα, τοιούτοις χρησαμένους βοηθήμασιν ἐπὶ τῶν πάντως τεθνηξομένων οὔτ' ἀνύσαντάς τι καὶ τὴν εὔκαιρον αὐτῶν χρῆσιν ὕποπτόν τε καὶ φοβερὰν ἐργασαμένους. ἀλλ' ἡμεῖς δηλονότι καὶ καιροὺς καὶ βοηθήματα γράφομεν ἐπὶ τῶν

1—3 ῥοδίνου ἐλαίου / αὐτὸ γὰρ τὸ ῥόδινον — ἐλαιῶδες *cf. Gal. de rem. parab. III (XIV, 533, 16)* 6—8 λουτρὸν — νοσοῦσιν *Gal. in Hippocr. de acut. morb. victu comm. III 57 (XV, 727, 4—6 = CMG V 9, 1, p. 267, 27. 28) Or.*^{a} *VI 19 (195, 9—10)* 16 *Gal. ib. 51 (ib. 720, 6—7) 57 (727, 1 sqq. = CMG V 9, 1 p. 267, 21)*

φ (L^a P^a) χ (C^p P M^o) ψ (A D P T) [*m.* 2^a S] ω (S A^t) 1 εὐπέπτοις D *id. ex* εὐκράτοις M^o τόποις A δὲ *om.* A^t κύαθ. *ante* ῥοδ. *transp.* T ω 2 τὸ *om.* A^t 3 προσαλειφ. ψ 6 *ante* λουτ.: Γαληνοῦ T ω, *in marg.* D 7 ἁρμόδιον ψ (*exc.* T) 8 *post* νοσ.: κατὰ τὴν παρακμὴν τῆς λύσεως τοῦ νοσήματος P^x 9 ...μεῖα P^a χ ψ (*exc.* A) S 12 εἰσβ. T A^t .....ῶτας T ω καὶ *alt. om.* A^t 13 ...λουσία P^a C^p ψ (*exc.* T) 14 καὶ *om.* P^x D ω αὐτῶν χ ψ ω *seclusi* ....δης L^a 16 *post* σημ.: κατὰ τὴν παρακμήν, ὡς εἴρηται, τοῦ παροξυσμοῦ P^x ..τοὺς P^a M^o ψ A^t 17 *post* ἀλειμμ.: τῶν προρηθέντων, εἰ δὲ ἐπιδέχεται ἐπίθες P^x 18 εἴη P^x A^t συμβαίνει L^a ὄντος *om.* P^x T 19 αὐτοῖς P^x ...οὺς M^o ...ῶ ψ (*exc.* T) 20 μηδὲ] μὴ C^p M^o P T *id. ante* παρείη *transp.* P^x 23 οἶνον P^x A^t ψυχρὸν P^x 24 ἡ *om.* P^x M^o τοὺς ....τας ψ (*exc.* T) 25 *ante* πολλ.: τοὺς P^a D ἐγὼ γὰρ ψ (*exc.* T) εἶδον P^x ψ (*exc.* T) 26 πράγμ. *om.* χ ψ ω *ante* τοιούτ.: καὶ (τοῖς *add.* A) ψ *m.* 2^a S 28 φοβ.] φανερὰν P^x A^t 29 γράφωμεν P^a P^x M^o

cωθῆναι δυναμένων, ὥcθ' ὅcοι γε τῶν νοcούντων ἀνίατοί εἰcιν, οὔτε καιρὸc ἐπιτήδειοc οὔτε βοηθήματα τούτοιc ἐcτίν.

οθ Τριταίου ἀκριβοῦc καὶ ἐκτεταμένου καὶ διπλοῦ διάγνωcιc. ὁ ἀκριβὴc τριταῖοc πυρετὸc ἐν τοῖc χολωδεcτέροιc φύcει cώμαcι cυνίcταται τοὐπίπαν καὶ ἐν ἡλικίᾳ τῇ τῶν ἀκμαζόντων καὶ ἐν θερινῇ ὥρᾳ μάλιcτα καὶ τοῖc θερμοῖc καὶ ξηροῖc τῇ κράcει χωρίοιc καὶ καταcτάcει τοῦ περιέχοντοc ἡμᾶc ἀέροc τοιαύτῃ καὶ βίοιc ἐμπόνοιc καὶ φροντίcι καὶ ἀγρυπνίαιc ἐγκαύcεcί τε καὶ τροφαῖc ὀλιγίcταιc καὶ ταύταιc θερμαῖc καὶ ξηραῖc. ἀλλὰ καὶ ἡ τῶν θερμαινόντων καὶ ξηραινόντων πομάτων τε καὶ φαρμάκων ἀμετροτέρα χρῆcιc εὔφορόc ἐcτι τριταίων πυρετῶν. ἔκγονοc τοίνυν ὑπάρχων ὁ τριταῖοc πυρετὸc τῆc ξανθῆc χολῆc cαπείcηc καὶ κινουμένηc καὶ ἔξω τῶν ἀγγείων φερομένηc κατ' ἀρχὰc εὐθὺc ῥῖγοc οὐκ ἀγεννὲc ἐπιφέρει διαφέρον τοῦ τεταρταϊκοῦ ῥίγουc τῷ κεντεῖcθαι δοκεῖν ἐπὶ τριταίων καὶ τιτρώcκεcθαι τὸν χρῶτα. ἐν γὰρ τοῖc τεταρταίοιc ἡ εἰcβολὴ κατάψυξιν ἔχει cφοδρὰν καὶ ἐν βάθει μᾶλλον. τῶν δὲ ἀμφημερινῶν οὐδὲ ῥῖγοc ὡc ἐπίπαν προηγεῖται, ἀλλὰ μόνον περιψύχονται. ἔcτι δὲ ἐν τοῖc τριταίοιc πυρετοῖc καὶ τάξιc ἀκριβὴc τῶν cφυγμῶν καὶ ὁμαλότηc· ἐπεγείρεται δὲ ἐν ταῖc ἀναβάcεcι τῶν παροξυcμῶν ὁ cφυγμὸc εἰc cφοδρότητα καὶ μέγεθοc καὶ πυκνότητα καὶ δίψοc ἐπιφέρει μάλιcτα κατὰ τὰc ἀκμὰc καὶ διακαίει τὸν ἄνθρωπον, ὥcτε γυμνοῦcθαι καὶ ἀπορρίπτειν τὴν ἐcθῆτα καὶ μέγα καὶ πυκνὸν ἀναπνεῖν καὶ φυcᾶν οἷον φλόγα τινὰ καὶ πιεῖν ψυχρὸν αἰτεῖν. καὶ μικρὸν ὕcτερον τὸ θερμὸν ὁμαλῶc ἐπεκτείνεται πάντῃ τοῦ cώματοc. εἰ δὲ καὶ ἐπιβάλλοιc τὴν χεῖρα τῷ θώρακι, κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀπαντᾷ θερμαcία πολλὴ καὶ δριμεῖα καὶ οἷον μετὰ ἀτμοῦ τινοc ἀναφερομένη, νικᾶται δ' ὀλίγον ὕcτερον ὑπὸ τῆc χειρόc. καὶ δὴ καὶ πίνειν ἤδη καιρὸc τῷ κάμνοντι καὶ πιόντοc αὐτίκα δὴ μάλα πλῆθοc μὲν ἄνειcιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματοc προαγγέλλον ἱδρῶταc·

11—20 ἔγγονοc — ἄνθρωπον *Gal. de cris. II 3 (IX 652, 5—11, 653, 4—6, 654, 3—4, 9—12, 13—14)* 11—18 ἐγγ.—ὁμαλότηc *Or.*^{a} *VI, 9 (190, 13—18)* 20 καὶ δίψοc — ἄνθρωπον *Or.*^{a} *ib. (ib. 18—20)* 22 — *p. 57, 8* καὶ μικρὸν — περίοδον *Gal. ib. (ib. 14—15, 16—655, 1, 3—6, 656, 3—6, 8—10, 12—15)* 22—*p. 57, 2* καὶ μικρὸν—χολώδη *Or.*^{a} *ib. (ib. 20—26)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 2 *post* ἐcτίν: Περὶ τῶν ἐπὶ ἐρυcιπελατώδη (*l* .....δῶν) πυρετῶν τῶν περὶ τὰ cπλάγχνα διαθέcεων κτλ. (*cf. cap.* ϙ̄) P^x 3 κ. ἐκτ. κ. δ. *om.* $C^p P^x$ ψ ω 4 cώμ. φύc. *transp.* P^x ψ (*exc.* T) 5 τῇ *om.* C^p D A^t *post* ἀκμαζ.: ἥτιc ἐcτὶν ἁπαcῶν τῶν ἡλικιῶν χολωδεcτάτη P^x 5. 6 *post* μάλ.: καθ' ἣν ὁ τοιοῦτοc ἐπικατέχει χυμόc, οὕτω δὲ P^x 6 καὶ *pr.*] κἀν $C^p M^o$ A T ω τῇ *om.* P^x P 7 βίοc C^p D T A^t *m. 1*^{a} S ἐν πόνοιc $C^p M^o$ ψ (*exc.* P) ω 9 κ. ξηρ. *om.* A^t 10 ἄμετρον (*l.* ....οc) A ....ταίου ....τοῦ P^x ψ (*exc.* T) ....ταίω ...τῶ T ω 11 ἔκγ. $P^a P^x$ ψ (*exc.* T) *Gal. Or.*: ἐγγ. *cett.* 12 ἔξωθεν L^a 13 τὸ *ante* ῥίγοc *add.* $L^a C^p$ τῷ] τοῦ C^p τὸ $P^a P^x$ P T ω 14 ....τᾶcθαι $P^a C^p$ D P τριταίου ψ (*exc.* T) τρίτου P^x 15 cφοδ.] cκληρὰν A^t 16 τοῦ δὲ ....ρινοῦ $L^a P^x$ τὸν δὲ ....νὸν T ω ὡc ἐπ. οὐδὲ ῥῖγ. *transp.* A^t 17 μόνον] μᾶλλον T ω *post* περιψύχ.: cυνίcταται δὲ ἀπὸ ξανθῆc χολῆc cεcηπυίαc. διαφοραὶ δὲ τῆc ξανθῆc χολῆc ἓξ καὶ εἰρήκαμεν κατὰ τὴν ἀρχὴν τοῦ τοιούτου βιβλίου P^x 20 μᾶλλον $P^a P^x$ ψ (*exc.* T) 22 ἐκφυcᾶν $P^a P^x$ 23 παντὶ L^a χ 24 ἐπιβάλλοιc ω *Gal. Or.* ...λλειc P^x ...λοιc $L^a C^p M^o$ ....ειc P^a D T ....ηc A P 27 δὴ] ἤδη $C^p M^o$ ψ (*exc.* T) 28 θερμοῦ *om.* C^p T παραγγέλλων D P

ἔμετός τε ἐπιφαίνεται χολῆς καὶ ἡ γαστήρ που κατέρρηξε. τὰ δὲ οὖρα τούτοις χολώδη ὑπόπυρρά τε καὶ ὑπόξανθα καὶ συμμέτρως παχέα καὶ μικρὸν ὕστερον ἢ νεφέλην λευκὴν ἢ ἐναιώρημα χρηστὸν ἐργάζεται. πυρροτέρων δὲ ὄντων τῶν οὔρων καὶ μήτε ἐναιωρήματος μηδενὸς μήτε νεφέλης ἐν τῇ πρώτῃ περιόδῳ φανείσης, εἰς τὰς ἑπτὰ περιόδους ἐκταθήσεται τὸ νόσημα. ὁ δὲ ἀκριβὴς τριταῖος κατὰ τὴν πρώτην ἡμέραν προδείξας ἐν τοῖς οὔροις ὑπόστασιν λευκὴν καὶ λείαν καὶ ὁμαλὴν οὐχ ὑπερβήσεται τὴν τρίτην περίοδον· οὗτος ⟨δὲ⟩ ὁ πυρετὸς εἰς ἀπυρεξίαν παύεται κατὰ παροξυσμόν, τὸν σύμπαντα χρόνον τοῦ παροξυσμοῦ ποιησάμενος ὡρῶν οὐ πλειόνων ιβ̄ τὸ μήκιστον. τοῦτον ⟨μὲν οὖν⟩ ἀκριβῆ τριταῖον ὀνομάζομεν· ὅστις δ' ἂν ἔχοι πολυχρονιώτερον τούτου τὸν παροξυσμόν, τοῦτον ὀνομάζομεν ἐπεκτεταμένον τριταῖον. εἰ δὲ καθ' ἑκάστην ἡμέραν παροξύνει μετὰ ῥίγους εἰσβάλλων σφοδροῦ, φέρει δὲ καὶ πάντα τὰ προειρημένα γνωρίσματα ἔν τε τοῖς σφυγμοῖς καὶ οὔροις καὶ τῷ λοιπῷ σώματι, τοῦτον διπλοῦν τριταῖον ὀνομάζομεν· ὅπερ συμβαίνει διά τε τὸ πλῆθος καὶ πάχος καὶ τὸ ἀνομοιομερὲς τῆς χολῆς.

Τριταίου ἀκριβοῦς θεραπεία. τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς π̄
ἂν ὑπὸ ξανθῆς χολῆς κινουμένης γιγνόμενον, ὑγραίνειν τε καὶ ψύχειν εἰς ὅσον οἷόν τε μάλιστα προσήκει, καὶ τὰ μὲν εἰς τὴν ἄνω γαστέρα συρρέοντα κενοῦν δι' ἐμέτων, καὶ τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν καὶ τὴν μὲν γαστέρα κλύσμασι μαλακοῖς κινεῖν, τὰ δὲ οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου ἐναποβρέχοντα τοῖς πόμασι καὶ ἤν σοι πέψεως σημεῖα προφαίνηται, θαρρῶν ἤδη καὶ τοῦ ἀψινθίου τὴν κόμην βρέχοντα μελικράτῳ καὶ διηθήσαντα διδόναι· λουτρὰ δὲ αὐτοῖς ἁρμόδια δι' ὕδατος θερμοῦ ποτίμου εὐκράτου καὶ μήτε νίτρου μήτε τι τοιοῦτον ἕτερον ἐν τοῖς λουτροῖς προσάγειν, ἀλλ' ὅτι μάλιστα θερμὸν

8—12 οὗτος — τριταῖον *cf. Gal. in Hipp. Epid. I comm. III 5 (XVII, 1, 233, 6 sqq. = CMG V 10, 1 p. 117, 9 sqq.) Or.*^{a} *ib. (26—191, 3)* 17 — *p. 58, 17* τὸν μὲν οὖν — οἴνων *Gal. ad Glauc. de med. meth. I 10 (XI, 32, 6—8, 12—13, 15—16, 17—33, 2, 5; 34, 2—3, 5—35, 11) cf. Or.*^{e} *III 3 (399, 26—400, 10)* 17 — *p. 58, 8* Τριταίου — τριταίοις ἀκριβέσι *Or.*^{a} *VI, 10 (191, 4—17)*

φ (L^a P^a) χ (C^p P^x M^o) χ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 *post* γαστ.: χολώδη καὶ πυρὰ P^x κ. ἡ] ἢ *Or.* 2 τούτου A^t *post* χολ.: καὶ M^o τε καὶ T ω τε *om.* A^t 4 δὲ] τε P^x D P 7 ὑπόστ. *post* προδείξας *transp.* D P 8 δὲ *addidi* 9 κατὰ] μετὰ τὸν A D P *m. 2*^{a} S *supra scr. m. 1*^{a} T 10 μὲν οὖν *addidi ex Or.*^{a} 11 ἔχῃ P^a P^x D P A^t *ex corr.* A ...ει T S τοῦτον P^x M^o 12 ἐκτ. P^x ἐπιτ. T ἐπιτεταγμ. A^t 13 παροξύνοιτο C^p A^t εἰσβαλὼν C^p T φέροι C^p ω 14 *ante* οὔροις: τοῖς T ω 17 *cap.* π̄ *bis rep.* P^x, *iterationisque varias lectiones sigla* P$^{x'}$, *more solito, indicavi* ἀκριβέστατον L^a M^o 18 χολ. γιγν. ξανθ. κιν. δυναστευόμενον P^x κινουμ.] δυναστευούσης P^a *Gal. om.* P$^{x'}$ 19 *post* προσ.: τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα P^x τὴν ἄνω *om.* P$^{x'}$ ἄνω *om.* P^x ψ (*exc.* T) *Gal.* 20 κενοῖν C^p κινεῖν P^x P$^{x'}$ δι' ἐμ.] διὰ γαστρός. τὰ δὲ εἰς τὸν στόμαχον κινεῖν καὶ αὐτὰ δι' ἐμέτων — ψυχρῷ ὕδατι βαπτίζεσθαι χεῖρας καὶ πόδας κατὰ τὸν τοῦ θέρους καιρόν P^x 20 — *p. 58, 3* καὶ τ. οὔρ. — ἀμάρτοις *om.* P^x 20 τοῖς *pr. om.* P$^{x'}$ T δὲ *om.* L^a | 21 κενοῦν A^t *m. 1*^{a} S *supra scr. m. 1*^{a} T *Gal.* 22 ἐναπ. P$^{x'}$ D P ἐν ....χοντος A ἀποβρέχοντα *cett.* 24 βρέχ. — διηθ. *om.* P$^{x'}$ ἀποβρέχ. T ω 24. 25 λουτρὸν ......ἁρμόδιον D P 25 νίτρον P^a C^p ψ (*exc.* T) 25. 26 τ. τοιοῦτ. ἕτ.] ἁλῶν μήτε νάπυος καὶ P$^{x'}$ 25 τι *om.* A T ω

ὑδρέλαιον προθερμανθέντι τῷ cώματι περιχέοντα ἐμβιβάζειν τῷ θερμῷ παραινοῦντα ἐγχρονίζειν αὐτῷ ἐφ᾽ ὅcον οἷόν τε. τοὺc δὲ φιλολουτροῦνταc οὐδ᾽ εἰ δὶc λούοιc, οὐκ ἂν ἁμάρτοιc, ἂν ἐν καιρῷ ῇ. εἰ δὲ καὶ πέψεωc τῆc νόcου cημεῖα φαίνοιτο, κἂν εἰ πολλάκιc λούοιc, οὐκ ἂν ἁμάρτοιc. οἴνου δέ, πρὶν μὲν πέττεcθαι τὸ νόcημα, παντάπαcιν εἴργειν· ἀρξαμένου δὲ πέττεcθαι, λεπτὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τήν γε πρώτην διδόναι, πληcίον δὲ ἤδη τοῦ λύεcθαι γιγνομένου πλείονα. cιτία δὲ ὅcα ὑγραίνει τε καὶ ψύχει πάντα χρήcιμα τριταίοιc ἀκριβέcι, τὸ δὲ ποcὸν ἐν αὐτοῖc τοcοῦτον ὅcον πέψαι δύναιντο. λαχάνων μὲν οὖν ἁρμόδια ἀνδράφαξίc τε καὶ βλίτον καὶ μαλάχη καὶ θριδακίνη καὶ κολοκύνθη· τῶν δ᾽ ἄλλων ὅ τε τῆc πτιcάνηc χυλὸc καὶ τὰ διὰ τοῦ χόνδρου τοῦ ἄλικοc ῥοφήματα, ἰχθύων τε οἱ πετραῖοι καὶ τῶν πτηνῶν τὰ μαλακόcαρκα, τῶν δὲ ἄλλων τὰ πτερὰ καὶ ἀλεκτρυόνων ὄρχειc καὶ τῶν μικροτέρων χοίρων τὰ ἀκροκώλια καὶ ᾠῶν δὲ τὰc λεκίθουc ῥοφεῖν καὶ τῶν ὀπωρῶν δὲ γεύεcθαι τῶν μὴ δυcπέπτων, ἀπέχεcθαι δὲ πάντων τῶν γλυκέων καὶ δριμέων καὶ ἁλυκῶν καὶ κνιccωδῶν καὶ βρωμωδῶν ἐδεcμάτων τε καὶ πομάτων καὶ τῶν παλαιῶν καὶ φύcει θερμῶν οἴνων.

πα Τριταίων νόθων θεραπεία. ἐν δὲ τοῖc οὐκ ἀκριβέcι τριταίοιc οὔτε λούειν εὐθέωc κατ᾽ ἀρχὰc ἀγαθόν, ἀλλ᾽ ἡνίκα ἂν ἤδη φαίνηται τὰ τῆc πέψεωc cημεῖα, οὔτε μὴν καθ᾽ ἡμέραν τρέφειν, ἀλλ᾽ ἀρκεῖ παρὰ μίαν, ἡcυχία τε καὶ θάλψιc τῶν καθ᾽ ὑποχόνδριον αὐτοῖc cυμφέρει ῥοφήματά τε τὰ εὐπεπτότερα καὶ κλύcματα τῆc κάτω γαcτρὸc μὴ πάνυ μαλακὰ καὶ εἰ αἵματοc ἀφαιρέcεωc δέοιντο, μηδὲ τοῦτο παραλιπεῖν, ἀλλ᾽ εὐθέωc κατ᾽ ἀρχὰc διοριcάμενοc, ὡc προείρηται ἐν τῷ περὶ φλεβοτομίαc λόγῳ, cύμμετρον ἀποχεῖν τοῦ αἵματοc, ὅcον τοῖc παροῦcι μέτριον. ἡ δ᾽ ὅλη τῆc διαίτηc κατάcταcιc οὐ ψύχουcα καὶ ὑγραίνουcα

15—17 ἀπέχεcθαι—οἴνων *Or.*^{a} *VI, 10 (191, 17—19)* 18—*p. 59, 11* ἐν δὲ τοῖc — ἐμέτοιc *Gal. ib. 11 (XI, 36, 12—37, 16) Or.*^{a} *(ib. 20—192, 7 pauc. om.)* 24. 25 ὡc — λόγῳ] *cf. III 10 (I 270, 10sqq.)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m.* 2^a S] ω (S A^t) 1 . . . . .χέονταc P T *m.* 2^a S . . .έχονταc $P^a A^t$ ἐπιχέαc $P^{x\prime}$ 1. 2 δὲ — οἷόν τε *om.* $P^{x\prime}$ 1 δὲ *ante* τῷ *add.* L^aP 2 . . . .ντεc φ $C^p M^o$TS . . . .τι A^t παραινοῦνταc *cett.*: *correxit Deichgr.* 3 λούcειc M^oψω λούειc $P^{x\prime}$ οὐκ *om. Gal. Or. inclusit Deichgr.* ῇ *om.* φχ A^t 4 cημ. τ. νόc. *transp.* $P^x A^t$ κἂν] καὶ C^pTS κἂν εἰ] ἂν εἰ καὶ $P^{x\prime}$ λούειc $P^{x\prime}$TA^t . . .ηc A 5 μὲν *om.* $P^x M^o$ 6 . . . .ρὶν C^p . . .ρὲc $L^a P^{x\prime} A^t$ 6. 7 τήν γε — πλείονα *om.* P^x 6 γε] δὲ $P^{x\prime}$ τε A^t 7 λούεcθαι L^a 8 δὲ] καὶ L^a *om.* $P^{x\prime}$ 8—17 τριταίοιc — οἴνων] ἀπέχειν δὲ μέλιτοc καὶ νάπυοc καὶ τῶν φύcει θερμῶν — μέγα δὲ τῶν τεccάρων ἐφαπτομένων διαcτημάτων $P^{x\prime}$ 9 *post* ὅcον: δυνατὸν ἐν αὐτοῖc Tω δύνανται P^xψω 9. 10 λαχ. — ἁρμόδια *om.* P^xψ (*exc.* T) 10 οὖν *om.* C^pTω ἀτράφαξιc (. . .υc) D P T S βλίτα (. .ττα) P^aψ (*exc.* T) 12 ῥοφ. τ. ἄλικ. *transp.* Tω 13 *ante* ὄρχ.: τοὺc P^a οἱ P^xTω *post* ὄρχ.: καὶ τῶν cυῶν τοὺc πόδαc καὶ τοὺc ἐγκεφάλουc Tω *(Gal.)* 14 μικρῶν ψ (*exc.* A) 15 δὲ *pr. om.* $L^a C^p M^o$ A Tω δὲ καὶ D P *om.* A^t *m.* 1^a S 16 *ante* γλυκ. ἄγαν P^x 18 *cap.* πα *post cap.* πβ *transp.* P^x 19 ἀγ.] δυνατόν ψ (*exc.* T) *om.* P^a 20 cημ. τ. πέψ. *transp.* TA^t *post* cημ.: κατὰ τὴν παρακμὴν τοῦ νοcήματοc P^x 21 καθ᾽ *om.* ψ (*exc.* T) ὑποχόνδριον $P^a P^x A^t$ *Gal. Or.*: . . .ίων: *cett.* 22 τὰ *om.* P^x A A^t *post* γαcτρὸc: οἷα εἰρήκαμεν ἐπὶ τὸν ἀκριβῆ τριταῖον πάντα τῆc θεραπείαc P^x 22. 23 μὴ π. μαλ. *om.* P^x 23 . . . .λείπειν L^a 25 cύμμετρον *om.* P^aχψ (*exc.* T) *m.* 2^a S *Gal.* 25. 26 ὅcον — μέτριον *om. Gal fort. delendum (v. l. vel explicatio ad* cύμμετρον*) Deichgr.*

τὸ cύμπαν ἔcτω ὡc ἐπὶ τῶν ἀκριβῶν τριταίων, ἀλλά τι καὶ τοῦ τμητικωτέρου τρόπου προcεπιλαμβανέτω, ὡc παχυτέραc ὑποκειμένηc χολῆc καὶ μὴ πάνυ θερμοτέραc. μάλιcτα δ' ἂν ἁρμόcειεν αὐτοῖc ὁ τῆc πτιcάνηc χυλόc ἐμβαλλομένου πεπέρεωc καὶ ὑccώπου ποτὲ ἢ ὀριγάνου καὶ ναρδοcτάχυοc ἑψήcαc cὺν μελικράτῳ δίδου πίνειν καὶ τὰ ἄλλα δὲ ὅcα τὴν οὔρηcιν κινεῖ πλὴν τῶν ἄκρωc θερμαινόντων τε καὶ ξηραινόντων, μάλιcτα δὲ τοῦ ἀποβρέγματοc τοῦ ἀψινθίου διδόναι cυνεχέcτατα μετὰ τὴν $\overline{\zeta}$ ἡμέραν. καὶ ὀξύμελι πολλοὺc ὤνηcε πινόμενον καί τι τῶν ἐπιεικῶν καθαρτικῶν ὑπηλάτων πέψεωc ἐν τοῖc οὔροιc φανείcηc χρηcτῆc. ὁ δὲ ἐπὶ τοῖc cιτίοιc ἔμετοc εἰc τοcοῦτον χρήcιμοc τοῖc ἐν τούτῳ τῷ πυρετῷ χρονίζουcιν, ὥcτε πολλοὺc οἶδα τελέωc αὐτοῦ ἀπαλλαγένταc ἐπὶ τοῖc ἐμέτοιc.

$\overline{\pi\beta}$

Περὶ ἡμιτριταίου. ὁ ἡμιτριταῖοc προcαγορευόμενοc πυρετὸc μιχθένтоc τοῦ cηπομένου φλέγματοc τῷ cαπέντι πικροχόλῳ χυμῷ cύνθετοc ἐξ ἀμφοτέρων γίνεται· τοῦ μὲν οὖν ἀμφημερινοῦ μετὰ περιψύξεωc εἰcβάλλοντοc, τοῦ δὲ τριταίου μετὰ ῥίγουc, ὁ μικτὸc ἐξ ἀμφοῖν φρίκην ἐπιφέρει, ῥίγουc μὲν ἔλαττόν τι, μεῖζον δὲ περιψύξεωc, ὧνπερ κεραννυμένων γίγνεται τῶν ἄκρων οὐδέν. διττὸc δέ ἐcτιν ὁ τρόποc τῆc γενέcεωc αὐτοῦ, ἤτοι cυνελθόντων δύο παροξυcμῶν εἰc ἕνα, εὐθέωc ἐξ ἀρχῆc κεραννυμένων ἀλλήλοιc ἀμφοτέρων ἢ κατ' ἰδίαν ἕκαcτον. ὅτε μὲν οὖν ὁ τριταῖοc ἐπικρατεῖ, φρικωδέcτεροc ὁ πυρετὸc γίνεται καί τι καὶ ῥίγουc προcλαμβάνει κατὰ τὴν ἐπιcημαcίαν. εὐθὺc δὲ ὁ τοιοῦτοc θερμότεροc καί τινα χολῆc ἔμετον ἢ διαχώρηcιν ἢ νοτίδα φέρει· τοῦ δὲ φλεγματώδουc πλεονεκτοῦντοc ἐπικρατεῖ μὲν ἡ ψῦξιc τῶν ἄκρων, ὀλίγαι δέ εἰcιν αἱ φρῖκαι καὶ οὐδὲ διψώδειc εἰcίν οὐδὲ καυcώδειc. ἐπειδὰν δὲ ἴcοι κατὰ τὸ μέγεθοc ὑπάρχωcιν ὅ τε διαλείπων τριταῖοc καὶ ὁ cυνεχὴc ἀμφημερινόc, ἡ μὲν εἰcβολὴ τοῦ παροξυcμοῦ

12 — *p. 60, 6* ὁ ἡμιτριταῖοc — φλεγματώδη *Gal. de diff. febr. II 7 (VII, 357, 17—358, 2, 17—359, 3) II 8 (364, 13—18, 365, 3, 13—15, 366, 11—12, 367, 1—4)* 14—*p. 60, 6* τοῦ μὲν — φλεγματώδη *Or.ᵃ VI, 23 (197, 12—15, 16—198, 3)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ᵃ* S] ω (S A^t) 1 *post* τριτ.: ὅcα καὶ ἅτινα εἰρήκαμεν ἐκεῖcε. δίδου δὲ cυχνῶc καὶ τὴν ἀντίδοτον τὴν διὰ τριcανδάλου καὶ τὰc ἑτέραc ἀντιδότουc κτλ. P^x 2 τμητικοῦ P^x D P προcλαμβ. A^t 3 μὴ *om.* ψ (*exc.* T) 4. 5 ἐμβαλλ. — πίνειν] καὶ θριδακίνηc εὐθείαc (?) cεύτλων τε καὶ κολοκύνθηc καὶ ἀνδράχνηc καὶ ὅcα ὅμοια P^x 5 cτάχυοc νάρδου *Gal. Or.* νάρδου cτάχυν P^a χ D T ω *ante* ἑψ.: δὲ ψ (*exc.* T) 6 *ante* πλὴν: οἷον ἀcπαράγων $\overline{\gamma}$ καὶ τὰ τοιαῦτα P^x ἄκρωc] ἄγαν P^x τε *om.* P^x M^o 7 μάλ. — cυνεχ.] βρωμάτων τε καὶ πομάτων. εἰ δέ που καὶ χρεία δέοιτο, διδόναι τοῦ ἀψινθίου τὸ ἀπόβρεγμα P^x *post* διδ.: πίνειν P^a 8 δὲ *post* μετὰ *add.* L^a P^x καὶ *pr.*] δίδου τὸ P^x *post* ὀξύμ.: καὶ ὀξυcαχὰρ μᾶλλον καὶ P^x 9 ἐπιεικῶν (ἐπὶ M^o) *suprascr. m. 1ᵃ* T *m. 2ᵃ* S *om.* P^a A^t καθαρτ. *supra scr. m. 2ᵃ* P^x *om.* C^p ψ (*exc.* T) *exp. m. 2ᵃ* S ὑπηλ. καθαρτ. *transp.* T A^t *m. 1ᵃ* S 10 τοῖc *supra scr. m. 1ᵃ* T *om.* D 11 ὡc C^p A T ω αὐτοὺc T S *supra scr. m. 2ᵃ* P^x . . . τὰc A^t 13 Π. ἡμ.] Ἡμιτριταίου διάγνωcιc καὶ θεραπεία P^x 15 οὖν] γὰρ A *om.* C^p P^x D ω (*m. 1ᵃ* S) 16 . . . λόντοc P^a P^x ἐμβάλλοντοc A^t 17 ὅπερ *Or.* 18 οὐδὲν *om.* *Or.* ἐcτιν *om.* A^t 19 cυνελθ. εἰc ἕνα καιρὸν τῶν δύο παρ. ἢ P^a 21 ὅταν *Gal.* . . . . τῇ L^a S 23 *post* θερμότ.: ἐcτι ψ *m. 2ᵃ* S 23. 24 ἢ νοτ. φέρ. *om.* T ω 24 φλέγματοc χ (*exc.* C^p) ψ (*exc.* A) ω *post* πλεον.: ἢ ἐπικρατοῦντοc P^x ψ (*exc.* T) 25 οὐ P^x ψ (*exc.* T) εἰcίν *om.* A P 26 δὲ *et* τὸ *om.* A^t 27 τριτ.] χολώδηc (*ante* διαλείπ. *transp.*) P^a

μετὰ φρίκης γίγνεται· καὶ ὅτε μὲν ὁ τοῦ φλέγματος ἐπικρατεῖ καιρός, συστολαὶ γίγνονται καὶ φρῖκαι, ὅτε δὲ ὁ τῆς χολῆς ἐπικρατήσειεν, ἀθρόως ἐκθερμαίνονται. καὶ οὗτός ἐστιν ὁ ἀκριβὴς ἡμιτριταῖος ἐξ ἰσοσθενοῦς κράσεως δύο πυρετῶν γιγνόμενος, τριταίου διαλείποντος καὶ ἀμφημερινοῦ συνεχοῦς. ὁ δὲ οὐκ ἀκριβὴς ἡμιτριταῖος ἤτοι τὸν χολώδη χυμὸν πλείονα κέκτηται ἢ τὸν φλεγματώδη. ἐξ ἀμφοτέρων τοίνυν τῶν προειρημένων χυμῶν συνισταμένου τοῦ ἡμιτριταίου πυρετοῦ καὶ τὴν θεραπείαν μικτὴν εἶναι προσήκει, ὥστε ἐκ τῶν περὶ τριταίου προειρημένων καὶ περὶ ἀμφημερινοῦ ῥηθησομένων συντιθέναι χρὴ καὶ τὴν θεραπείαν.

πγ Τεταρταίου ἀκριβοῦς διάγνωσις. ὁ ἀκριβὴς τεταρταῖος πυρετὸς πᾶσαν μὲν ἡλικίαν καταλαμβάνει, μάλιστα δὲ τὴν παρακμαστικήν. Ἱπποκράτης δὲ ἐν τῷ Περὶ ἑβδομάδων τὴν ἀκμαστικήν φησιν, δοκεῖ δὲ αὐτῷ μηδὲ περιπίπτειν τὸν αὐτὸν ἄνθρωπον δὶς τῷ τεταρταίῳ. λέγει δὲ οὕτως· "πρῶτον μὲν τῷ τεταρταίῳ πυρετῷ δὶς ωὑτὸς ἄνθρωπος οὔτε ἁλίσκεται οὔτε ἑάλωκέ που οὔτε τοῦ λοιποῦ ἁλώσεται, ἢν ἅπαξ ὑγιὴς γένηται. διὰ τόδε κατὰ τὴν ἰδίαν ἑκάστου τῶν ἀνθρώπων φύσιν καὶ τὴν ἡλικίην τὴν ἀκμαστικὴν γίγνεται. ἀνάγκη γὰρ ἀκμάζουσαν τὴν φύσιν τοῦ ἀνθρώπου ἐν τούτῳ τῷ χρόνῳ τεταρταίῳ ἁλίσκεσθαι πυρετῷ, παρελθούσης δὲ τῆς ἀκμῆς ἀπολελύσθαι καὶ τοῦ τεταρταίου καὶ τῆς λήψιος." φύσεις δὲ σωμάτων αἱ μελαγχολικώτεραι οἷς τι καὶ τούτου τοῦ πυρετοῦ καὶ τῶν ὡρῶν τὸ φθινόπωρον καὶ μάλιστα ὅταν αὐτὸ ἑαυτοῦ γένηται ψυχρότερον καὶ ξηρότερον καὶ ἀνώμαλον. ἐδέσματά τε καὶ πόματα καὶ ἡ σύμπασα τοῦ βίου δίαιτα ψυχρὰ καὶ ξηρὰ τὴν κρᾶσιν ὑπάρχοντα τεταρταίων πυρετῶν ἐστι γόνιμα καὶ σπλῆνες αὐξηθέντες. οὗτος δὲ ὁ πυρετὸς ὡς ἐπίπαν οὐκ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰσβάλλει μετὰ ῥίγους, ἀλλ' ἐνίοτε ἐξ ἑτέρων εἰς τοῦτον ἡ μετάπτωσις γίγνεται, τῶν πλανήτων τε καὶ ἀτάκτων καλουμένων. προϊόντι δὲ αὐτῷ γίγνεται ῥῖγος καὶ αὐξανομένῳ συναύξεται καὶ τὸ ῥῖγος. ἡ δὲ αἴσθησις τοῖς πάσχουσιν οὐ νυττομένου καὶ κεντουμένου τοῦ δέρματος ὡς ἐπὶ τριταίων γίγνεται, ἀλλὰ καταψυχομένων τε σφοδρῶς καὶ οἷον θλωμένων

13 *Hippocr. de septimanis VIII, 652 (L.) = ed. Roscher cap. 28 (Studien zur Geschichte und Kultur des Altertums VI 3/4, 1913 p. 48)* 22. 23 τῶν ὡρῶν — ἀνώμαλον / 26. 27 οὗτος δὲ — ῥίγους *Gal. de cris. II 4 (IX 659, 7—10) II 3 (IX 652, 16—17)* 28—*p. 61, 2* προϊόντι — φαντάζονται *Gal. ib. (ib. 652, 17—653, 4)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ᵃ* S] ω (S A^t) 3 ....νεται A^t ...νεται (νον suprascr.) *m. 1ᵃ* T οὕτως $C^p M^o$ ὁ *suprascr.* M^o *om.* P^a 5 οὐκ *om.* φ 6 πλέονα ω ..ματικόν M^o T ω 7 εἰρημ. $C^p M^o$ T ω 9 τιθέναι A^t καὶ *alt. om.* P^x ψ (*exc.* T) A^t 13 δοκεῖν φησι P^x 14 μὴ P^x ψ ω τετάρτω ω 15 τετάρτω A^t πυρ. *om.* D P ὁ αὐτὸς P^a ψ (*exc.* T) 16. 17 οὔτε τοῦ λ.—ἑκάστου *om.* A^t 16 ἁλώς. τ. λοιπ. *transp.* ψ (*exc.* T) 17 τόδε] τοῦτο δὲ ψ ἰδίην P^a 18 ...κίαν P^x A D P γὰρ *post* ἀκμ. *transp.* φ χ A A^t *m. 1ᵃ* S 19 ....σκεται φ $C^p P^x$ ω 21 λήψεως D P λύσεως A οἷς τι καὶ *corrupt.*, γόνιμοί εἰσι *expect. vel simile quid Ol.: corr. Deichgr. (et fortasse iam Corn. „perferunt")* 22 αὐτὸς P^x A T ω 23 ....τερος ....τερος ....λος A^t 24 ξηρὰ καὶ ψυχρὰ P^a M^o ψ ω 25 ....χοντα φ $P^x M^o$ ....χουσα *cett.* γόνιμος ψ (*exc.* T) γνώρισμα $L^a P^x$ T A^t 26 παρὰ A^t 27 *ante* ἐξ: καὶ P^x ψ (*exc.* T) 28 ...όντος ..αὐτοῦ D P 29 καὶ αὐξαν. — ῥῖγος *om.* $L^a M^o$ ...νομένου D P 31 τριταίω L^a *post* ἀλλὰ: καὶ A^t ψυχ. P^x A P μεταψ. A^t τε σφοδ. *om.* $C^p P^x$

ἄχρι καὶ τῶν ὀςτῶν. οὕτως οὖν ἀκοῦςαι λεγόντων ἔςτι τῶν παςχόντων ὡς ὀςτοκόπῳ τε ςυνέχονται καὶ θλαςθῆναί τε τὴν ςάρκα φαντάζονται. οἱ δὲ ςφυγμοὶ μικροὶ καὶ ἀμυδροὶ καὶ βραδεῖς καὶ ἀραιοὶ ἐν ταῖς ἀρχαῖς τῶν ἐπιςημαςιῶν γίγνονται, ὡς ἐν οὐδεμιᾷ ἄλλῃ διαθέςει. δεδέςθαι γάρ σοι δόξει κατὰ τὰς εἰςβολὰς τῶν τεταρταίων ἀρτηρία καὶ εἴςω καθέλκεςθαι καὶ ἀνιέναι κωλύεςθαι, ὥςτε καὶ εἰ νέος εἴη ὁ κάμνων, γεροντικῆς ἐςχάτης ἡλικίας ἡ ἀρτηρία μιμεῖται τὴν κίνηςιν· εἰ γὰρ εἰδείης τοῦ νοςοῦντος τὸν κατὰ φύςιν ςφυγμὸν ἢ καθ' ἑτέραν νόςον ἐν ἀρχῇ τοῦ παροξυςμοῦ παραγεγονὼς εἴης, μηκέτ' ἄλλο μηδὲν ἀναμείνῃς εἰς ἀπόφαςιν τοῦ τεταρταῖον εἶναι τὸν εἰςβάλλοντα ἐξ ἀρχῆς πυρετόν. ἀμήχανος γάρ τις ἡ εἰς ἀραιότητά τε καὶ βραδυτῆτα τροπὴ τοῦ ςφυγμοῦ γίγνεται· οὖρα δὲ τούτοις ἐν ἀρχαῖς μὲν λεπτὰ καὶ λευκὰ καὶ ὑδατώδη, ἅτε διηθούμενα διὰ τὸ πάχος τῆς ὕλης, προβαινούςης δὲ τῆς νόςου κατ' ὀλίγον εὐχρούςτερα γίγνεται καὶ ὑπόςταςιν ἴςχει παχεῖαν· ἱδρώτων δὲ πλῆθος ἕπεται κατὰ τὴν τοῦ παροξυςμοῦ παρακμήν. οἱ μὲν οὖν ἀπὸ ςπληνὸς τὴν ἀρχὴν λαβόντες τεταρταῖοι χρονιώτεροι, κατάδηλοι δὲ γίγνονται τῇ χρόᾳ καὶ ταῖς ἀπεψίαις καὶ τῷ μὴ ῥᾳδίως τὴν γαςτέρα ὑποχωρεῖν καὶ τῷ τοῦ ςπληνὸς ὄγκῳ καὶ τῷ ἐπ' ἀριςτερᾷ κλίνεςθαι μᾶλλον. κίνδυνος δὲ καὶ ὑδέρῳ περιπεςεῖν τῷ χρόνῳ τὸν ἄνθρωπον. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λευκόχροοί εἰςι καὶ οἰδαλέοι παντὶ τῷ ςώματι καὶ οὖρα τούτοις ςανδαραχώδη καὶ ἐξέρυθρα καὶ ἁπτομένοις δὲ ὄγκος ὑποπίπτει τοῦ δεξιοῦ ὑποχονδρίου. οὗτοι καὶ δυςπνοοῦςι μᾶλλον τῶν ςπληνικῶν καὶ ὑποβήςςουςι καὶ τελευτῶντες εἰς ἀφύκτους ὑδέρους ἐμπίπτουςι.

Τεταρταίου θεραπεία Γαληνοῦ. κατ' ἀρχὰς μὲν οὖν μετρίως μὲν πδ
καὶ πρᾴως ἄγειν τοὺς τεταρταῖον νοςοῦντας πυρετόν, μήτε φάρμακόν τι τῶν ἰςχυροτέρων μηδὲν προςφέροντας μήτε κένωςιν, εἰ μή τι ἄρα ςφόδρα φαίνοιτο πλεονάζειν αἷμα· τηνικαῦτα γὰρ χρὴ ἀφαιρεῖν τοῦ αἵματος τὸ ςύμμετρον καὶ εἰ διελόντι σοι τὴν φλέβα τὸ ῥέον εἴη μέλαν

6—12 εἰ νέος — γίγνεται *Gal ib. (ib. 653, 18 — 654, 2) 4 (658, 12 — 17)* 16—24 οἱ μὲν—ἐμπίπτουςι *Rufus, Oeuvres pp. 348—349* 25—28 κατ' ἀρχὰς—αἷμα *Gal. ad Glauc. de med. meth. I 12 (XI, 37, 18—38, 3)* 25—27 κατ' ἀρχὰς—κένωςιν *Or.*° *III 4 (400, 14—15)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*ª S] ω (S A^t) 2 θλᾶςθαι χ ψ ω τε *alt. om.* α *exc.* L^a 4 δεδεῖςθαι L^a P^x A 7 ἐςχάτως P^a ψ (*exc.* T) *om.* M^o 9 π...γεγονὸς P^a γεγονὼς (....ὸς) T ω 10 ...ταίου L^a P^x 11 τε (δὲ P^x) *om.* T ω 12 ἐν ἀρχαῖς μὲν *om.* P^x ἀρχῇ ψ ω μὲν *om.* M^o A^t λευκὰ κ. λεπτὰ *transp.* P^a P^x D T ω 13 *post* ἅτε: δὴ P^x M^o ψ (*exc.* T) 14 κατ' ὀλ.] κατὰ λόγον C^p M^o ψ ω *recte?* ὠχρότερα A^t ἔχει T ...ειν ω 15 δὲ] τε P^x ψ (*exc.* T) τοῦ *om.* A^t *post* παρακ : Ῥούφου P^x A T ω, *in marg.* D P 16 λαβ. τ. ἀρχ. *transp.* P^x ψ (*exc.* T) 17 κατάλληλοι L^a γίγν. *om.* L^a χροιᾶ D T ω 19. 20 τ. ἄνθρ. τ. χρ. *transp.* P^a τῷ χρ. τὸν ἄνθρ. *ante* ὑδ. P^x 20 ὑδάλατοι C^p ὑδαλέοι P^x T ω 22 δὲ] μὲν A^t ὄγκ. ὑποπ. *post* ὑποχ. *transp.* ψ (*exc.* T) 23 μᾶλλ. *post* ςπληνν. *transp.* D P τελευταῖον ψ (*exc.* A) *m. 2*ª S 25 Θεραπ. τετ. P^x Τετ. θέςις (διαθ.) T A^t Γαληνοῦ *ante* τετ. S *om.* P^x M^o P 25. 26 μὲν *alt. post* πραέως (*sic*) P^x *om.* C^p M^o ψ *m. 2*ª S *Gal. fort. recte* 26 ἄγει A^t *m. 1*ª S 27 ἰςχυρῶν P^a D 28 γὰρ *om.* P^x A^t 29 τὸ *om.* ψ (*exc.* T) ἢ A P

καὶ παχύ, θαρρεῖν τῇ κενώcει· μάλιcτα δ᾽ ἐν τοῖc cπληνώδεcι τοιοῦτον εὑρίcκεται. ξανθοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ φλέβα ἢ τὴν ἐντὸc ἢ τὴν μέcην κατὰ τὸν ἀριcτερὸν ἀγκῶνα, εἴ γε ὑπόcπληνοc εἴη ὁ ἄνθρωποc, ἢ τὴν ἐν τῷ δεξιῷ, εἰ περὶ τὸ ἧπαρ εἴη ἡ διάθεcιc. δίαιτα δὲ ἔcτω ἄφυcoc καὶ χρηcτή· μαλάττειν δὲ καὶ τὴν γαcτέρα καθ᾽ ὅcον οἷόν τε διὰ τῶν cυνήθων τροφῶν. εἰ δὲ μηδὲν ἀνύcῃ τὰ cυνήθη, κλύcμαcι χρῆcθαι κατ᾽ ἀρχὰc μαλακοῖc, ὕcτερον δὲ τοῖc δριμυτέροιc· χοιρείων δὲ εἴργειν αὐτοὺc κρεῶν καὶ πάντων ὅcα γλίcχρα καὶ βραδύπορα καὶ τῶν ψυχόντων καὶ ὑγραινόντων ἐδεcμάτων πάντων· οἴνῳ δὲ ὀλίγῳ χρῆcθαι λεπτῷ τε καὶ λευκῷ καὶ cυμμέτρωc θερμῷ καὶ τῶν πτηνῶν τοῖc ὀρείοιc καὶ τῶν ἰχθύων τοῖc μαλακοcάρκοιc καὶ εὐπέπτοιc καὶ μηδὲν γλίcχρον ἔχουcι. καὶ ταρίχει δὲ καὶ νάπυι χρῆcθαι καὶ δι᾽ ἡμερῶν τινων τοῦ διὰ τριῶν πεπέρεων λαμβάνειν ἢ τοῦ διοcπολιτικοῦ φαρμάκου. καὶ εἰ πεπέρεωc δὲ λείου μόνου καθ᾽ ἑκάcτην ἡμέραν λαμβάνοιεν, ὀρθῶc ἂν ποιοῖεν. τρίψεων δὲ καὶ περιπάτων καὶ τῶν ἄλλων τῶν cυνήθων μὴ παντελῶc εἴργειν· λουτρῶν δὲ εἰ καὶ παντάπαcι δύναιντο ἀπεχέcθωcαν, τρίψεcιν ἀρκούμενοι μάλιcτα γὰρ ὀνίναιντο· καὶ εἰ βραχὺc εἴη καὶ μὴ πάνυ βίαιοc ὁ τεταρταῖοc οὐδὲν χεῖρον ἐν ταῖc μέcαιc τῶν ἡμερῶν ἅπτεcθαι τῶν cυνήθων γυμναcίων. ταῦτα μὲν κατὰ τὰc ἀρχὰc καὶ τὰc ἀναβάcειc πρακτέον. ἀκμῆc δὲ τοῦ νοcήματοc γενομένηc τότε χρὴ διαιτᾶν λεπτότερον καὶ ἡcυχάζειν εἰc μακρὸν κελεύειν καὶ τῶν cπλάγχνων πρόνοιαν ποιεῖcθαι, καταιονοῦντά τε καὶ καταπλάττοντα τοῖc μαλάττειν τε καὶ χαλᾶν δυναμένοιc καὶ τὰ πνεύματα διαλύειν, οἷον κριθίνου ἀλεύρου καὶ cελίνου cπέρματοc καὶ ἴριδοc κυμίνου τε καὶ χαμαιπίτυοc καὶ πηγάνου ἐν με-

5—24 δίαιτα — δυναμένοιc *Gal. ib. (ib. 38, 7—39, 12)* 5—17 δίαιτα — ἀπεχέcθωcαν *Or.*^{e} *ib. (ib. 15—24)* 20—24 ταῦτα — δυναμένοιc *Or.*^{e} *ib. (ib. 24—27)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 δ᾽ ἐν *Gal.*: δὲ α 3 ἢ τ. ἐντ. — ἀγκ.] τὴν μέcην ἢ τοῦ ἀγκῶνοc τῆc ἀριcτερᾶc χειρὸc ἢ κατὰ τὸ ἄκρον τοῦ δακτύλου τῆc αὐτῆc χειρόc P^x 5 ἔcται A^t καὶ *alt. om.* A^t 7 ἀνύοι C^p . . . ει *cett. codd. exc.* L^a 7. 8 κλύcμαcι — δριμυτέροιc] καταρχὰc χρῆcθαι μαλακοῖc οἷον πιτύρων cεύτλων κράμβηc φύλλων — εἰ δὲ μηδὲν ἀνύει καὶ τοῦτο ἐπίθεc, ὕcτερον τοὺc δριμυτέρουc, κενταυρίου ἐντεριώνην ἀνθεμὶc (. . . ίδα) ἴα — καὶ αὐτῶν τῶν προειρημένων P^x 7 *post* κατ᾽ ἀρχ.: μὲν T ω ἀνύοι *Gal.* 8 αὐτ. εἴργ. *transp.* T ω πάντα L^a *post* πάντων: τῶν κακοχύμων καὶ μελαγχολικῶν φύc⟨ει⟩, οἷον βοείων κρεῶν λαγωῶν περιcτερίων ἀγρίων δορκαδίων καὶ τῶν ὁμοίων πάντων P^x 9 *post* βραδύπ.: καὶ μελαγχολικὰ τῇ πέψει τυγχάνουcι P^x 10 πάντων *del. m. 2*^{a} S *om.* D *post* κεχρῆcθαι (*sic*): κατὰ τὴν ἀκμὴν τοῦ νοcήματοc P^x λευκῷ τε καὶ λεπτῷ *transp.* T ω τε *om.* C^p P^x 11 *post* τοῖc: ἁπαλοcάρκοιc τε καὶ P^x 12 δὲ *om* L^a 14 *post* φαρμ.: ἔcτι δὲ ἡ cκευαcία τῶν τοιούτων cκευαcιῶν ἐνθάδε. cκευαcία τοῦ διὰ τριῶν πεπέρεων κτλ. P^x 14. 15 καὶ εἰ — ποιοῖεν *om.* P^x 14 δὲ *om.* T ω λειομένου C^p ψ (*exc.* T) μόνου λείου (λείου *om.* M^o) T ω 14. 15 καθ᾽ ἑκ. *post* δὲ D P 15 ἡμ. *om.* D P 16 τῶν *alt. om.* P^x M^o ψ (*exc.* T) 17 δὲ *post* τρίψεcιν *add.* P^a 18 γὰρ *om.* φ P^x M^o . . . ναντai D T ω 20 καταρχὰc C^p M^o ψ ω *om.* P^x 21 καὶ *om* P^x 24 . . . . ίνω . . . . . ρω ψ (*exc.* T) A^t 24. 25 cελ. cπέρματι ψ (*exc.* T) cελ. cπέρμα^{τ} C^p P^x cελινοcπέρματι A^t 25 ἢ ἴρι$^{\Delta}$ P^x ἴριδι A^t 25 — *p. 63, 4* ἐν μελικ. — ὁ νοcῶν *om.* C^p A P

λικράτῳ ἡψημένων. εἰ δὲ καὶ ἔστιν ἔλαιον ἐκ τοῦ καταιονισμοῦ πρόσπλεξον τῷ καταπλάσματι· δεῖ δὲ πρῶτον ἐμβρέχειν ἡμέρας ὀλίγας καὶ εἶθ᾽ οὕτως χρήσασθαι τοῖς καταπλάσμασι δῆλον ἡμέρᾳ προσαγομένοις, εἰ φέρει ὁ νοσῶν· ἐπιθέμασι δὲ χρῆσθαι τῷ πολυαρχίῳ καὶ τῷ διὰ στύρακος καὶ τοῖς ὁμοίοις, ἐφεξῆς δὲ τοῖς οὐρητικοῖς κεχρῆσθαι· διδόναι δὲ καὶ μελίκρατον πίνειν ἐν ᾧ ἀφήψηται πήγανον καὶ ἄνηθον καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος φαίνοιτο ἐναργῆ σημεῖα, καθαίρειν αὐτίκα φαρμάκοις κενοῦσι τοὺς μέλανας χυμοὺς οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πολλάκις, ἣν οὕτω δεήσῃ. ἐπίθυμον μὲν οὖν ἁρμόδιον τοῖς τεταρταίοις πινόμενον καὶ ὁ μέλας ἐλλέβορος τὰ μέγιστα ὠφελεῖ τῷ κενοῦν ἀλύπως τὰ λυποῦντα καὶ οἶνος γλυκὺς ἀποβραχεὶς ἐν κενώματι κολοκυνθίδος· πᾶσι μέντοι μίσγειν σελίνου τε καὶ ἀνήθου ἢ δαύκου ἡδύσματος χάριν. συνεχῶς δὲ ἀφέψημα σεύτλου καὶ ὀστρέων πίνειν, χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ σιτίων ἐμέτοις καὶ τοῖς ἀπὸ ῥαφανίδων, εἰ μή τι κωλύοι. οἱ πλείους γὰρ τῶν χρησαμένων αὐτοῖς συνεχέστατα, οἱ μὲν τελέως τοῦ νοσήματος ἀπηλλάγησαν, οἱ δὲ ῥᾷον ἤνεγκαν. σὺν γὰρ τῷ κενοῦν τὰ ἐνοχλοῦντα τῷ στομάχῳ καὶ ῥᾷον πέττουσιν οἱ τοιοῦτοι. μηδενὸς δὲ κωλύοντος ἤδη καὶ ἐλλέβορον διδόναι τὸν λευκόν, τὴν μὲν πρώτην ἐπιμιγνύντα ῥαφανῖσιν, ὡς προείρηται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ, εἰς ὕστερον δὲ καὶ αὐτὸν τὸν ἐλλέβορον διδόναι. οἷς δὲ ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθαίροντας κάτω τοῦ τε διὰ τῶν ἐχιδνῶν διδόναι φαρμάκου, ὃ καλοῦσι θηριακὴν καὶ τὰ ἄλλα ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς, ἐν οἷς ἐστι καὶ τὸ σύνηθες ἡμῖν ἁπάντων δόκιμον· ὀποῦ Κυρηναικοῦ λαμβάνων καὶ πεπέρεως καὶ σμύρνης τρωγλοδυτικῆς

5 ἐφεξῆς — κεχρῆσθαι *Gal. ib. (ib. 39, 12—13) Or.^e ib. (ib. 27)* 6—9 καὶ εἰ — δεήσῃ *Gal. ib. (ib. 13—16) Or.^e ib. (ib. 28—29)* 13. 14 χρῆσθαι — κωλύοι *Gal. ib. (ib. 16—40, 1)* 19 ὡς — λόγῳ] *cf. III 121 (I 309, 10 sqq.)* 20—24 εἰς ὕστερον — λαμβάνων *Gal. ib. (ib. 40, 1—6)* 21 — *p. 64, 3* διδόναι — ἥμισυ *Or.^e ib. (ib. 29—34)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 ἑψημένῳ P^x ἡψ. . . να L^a T ω ἑψ. . . . νων D 1—4 εἰ δὲ — νοσῶν *om.* P^a 1 ἔστι καὶ D T ω 2—4 δεῖ — νοσῶν *om.* $L^a P^x$ 3 *ante* ἡμέρᾳ: ἑκατέρων ἐν α M^o ἐν μιᾷ D ἡμέρας T A^t . . . . μένης A^t ἑκατέρων προσαγομένων D 4 εἰ φέρει ὁ νοσ. *om.* D ἢ φέρ. ὁ. ν.? 5 *post* στύρακος: ἔστι δὲ ἡ σκευασία αὐτῶν ἐνθάδε. σκευασία τοῦ πολιαρχίου κτλ. P^x κ. τ. ὁμ. *om.* P^x *ante* τοῖς *alt.* καὶ T ω χρῆσθαι α *exc.* L^a *ante* διδ.: οἷον μαράθου ἀνήθου σελίνου σκολοπενδρίου κτλ. P^x 6 . . . . έψηται $M^o P^x$ T S . . . εψῆται C^p . . . εψεῖται A^t *post* ἄνηθ.: καὶ μύριγγος κλάδος P^x 7 ἐναρχῆ $L^a P^x$ ψ (*exc.* T) . . . αργῶς T ω καθ.] θαρρεῖν A^t 8 κεν. φαρμ. *transp.* T ω κεν. *post* χυμοὺς *transp.* P^x *ante* οὐχ: ὧν τὴν σκευασίαν ἐροῦμεν. τοῦ καθαρσίου ἐπιθύμου σκολοπενδρίου κτλ. P^x 9 ἣν — δεήσῃ] ἐὰν ἐξαρκῇ ἡ δύναμις P^x δέοι D P δέῃ $P^a C^p M^o$ A T ω *ante* ἐπιθ.: Ῥούφου M^o *id. in marg.* C^p ἐπίθυμον — ἁρμ. *om.* A^t 9. 10 ἐπίθυμ. — πινόμ.] πρὸς γὰρ τὴν δύναμιν τοῦ νοσοῦντος χρὴ συνεχῶς καθαίρειν — τὸ δέ γε τοίνυν ἐπίθυμον ἐπωφελές ἐστι τοῖς τεταρταίῳ νοσοῦσι πινόμενον μέγα καὶ ἀξιόλογον P^x 12 σμίγειν $M^o A^t$ ἀνήσου (ἀνν., ἀνίσου) $C^p M^o$ T ω 13 *ante* συνεχ.: καὶ ψ (*exc.* T) δὲ *om.* ψ (*exc.* T) ὀστρέου A^t 14 *ante* σιτίων: τῶν T ω . . . λύει $P^a P^x$ ψ (*exc.* D) 17 τῷ στ. τὰ ἐνοχλ. *transp.* P^x ψ (*exc.* T) τὸ ἐνοχλοῦν A^t 19 ἐμπηγν. α *exc.* L^a 20 ἐς P^a ψ A^t 21 . . . δρότατα D P καθάραντας C^p . . . ήραντας *cett. codd. exc.* L^a 21. 22 . . . . μάκου δίδου $P^x M^o$ 22 τ. τοιούτ. *in marg. add. m. 1^a* P *om.* A 23 . . . . ετοῖς A P ἡμῖν *om.* A^t 24 . . . . άνον P^a ψ (*exc.* D) A^t . . . . νον P^x . . . νειν D 24 — *p. 64, 1* καὶ πεπ. *ante* καὶ πηγ. *transp.* D P

καὶ πηγάνου φύλλων χλωρῶν ἑκάστου τὸ ἴσον, ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἅμα λεάνας ἀναλάμβανε τῷ πηγάνῳ λειωθέντι καὶ ἀνάπλαττε καταπότια καὶ δίδου οἷς μὲν ὀβολὸν α̅, οἷς δὲ τὸ ἥμισυ. ἄλλο Ἀσκληπιάδου καὶ ὕπνον ποιοῦν, ᾧ καὶ αὐτὸς χρῶμαι· πεπέρεως μακροῦ σμύρνης τρωγλοδυτικῆς ὀποῦ μήκωνος καστορίου ἴσον ἑκάστου ἀνάπλαττε καὶ χρῶ, παρέχων ὀβολὸν ἢ τὸ ἥμισυ μετ᾽ ὀξυμέλιτος πρὸ ὡρῶν β̅ τῆς ἐπισημασίας. ἄλλο· χαλβάνης γρ̅ α̅ πεπέρεως κόκκους ζ̅ λειώσας μετὰ οἴνου παλαιοῦ θερμάνας δίδου πιεῖν νήστει ἐν αὐτῇ τῇ ὥρᾳ τοῦ παροξυσμοῦ. ἁρμόζει δὲ ἐπὶ τούτων καὶ τὰ Ὀριβασίου ἀλοηδάρια λαμβάνοντα οὕτως· ἀλόης < ρ̅ ναρδοστάχυος ἀσάρου μαστίχης κρόκου ξυλοβαλσάμου ἀνὰ < ϛ̅ κασσίας < ιβ̅ ἐπιθύμου < ιϛ̅ ἐλλεβόρου μέλανος χωρὶς ἐντεριώνης < η̅· πλάσσε ὀροβιαῖα μεγέθη δι᾽ ἀφεψήματος γλήχωνος καὶ δίδου· δυνατὸν καὶ μέλιτι ἑφθῷ αὐτὰ ἀναπλάττειν· ἐγὼ προσέθηκα τὸν ἐλλέβορον. ἄλλο πρὸς τεταρταίους, ποιεῖ καὶ ἀρθριτικοῖς. ἐπὶ δὲ τῶν τεταρταίων προλούσας δίδου πρὸ ὡρῶν β̅ τῆς ἐπισημασίας < α̅ σὺν ὀξυμέλιτι, τοῖς δὲ ἀρθριτικοῖς μετὰ μελικράτου· ἀσφάλτου < α̅ σμύρνης τρωγλοδυτικῆς < β̅ ἡδυόσμου φύλλοις χλωροῖς λειοτάτοις ἀναλάμβανε καὶ χρῶ, ὡς προείρηται. ὅσοι δὲ κατ᾽ ἀρχὰς τῶν τοιούτων τι φαρμάκων ἔδοσαν ἢ ὅλως πρὸ τῆς ἀκμῆς, ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον, διπλοῦν πολλάκις ἀπέφηναν, ἢ πάντως γε μείζονά τε καὶ χαλεπώτερον εἰργάσαντο. διπλοῦν δὲ ὄντα τριπλοῦν ἐποίησαν ἢ πάντως γε τοὺς β̅ χαλεπωτέρους καὶ μείζονας. οἶδα δέ τινα ἰατρὸν ὅστις ἐτόλμησεν ὑπὸ τριῶν περιεχομένῳ τινὶ τεταρταίων δοῦναι τῆς θηριακῆς πρὸ τῆς τοῦ νοσήματος ἀκμῆς· εἶτ᾽ αὐξηθέντων ἁπάντων συνεχῆς διαδεξάμενος πυρετὸς ἀπέκτεινε τὸν ἄνθρωπον. Ἀρχιγένους. συνήθως δὲ τοῖς τεταρταῖον πυρετὸν νοσοῦσι προσφέρω, φησὶν Ἀρχιγένης, καὶ τῆς ἀσφαλτίδος τριφύλλου ὅσον < α̅ τοῦ σπέρματος ἐν κυάθοις τέτρασι μελικράτου καὶ θαυμαστῶς αὐτοὺς ὀνίνησι καὶ αὐτὴ ἡ ἰουδαικὴ ἄσφαλτος πινομένη λεία σὺν οἴνῳ κεκραμένῳ ὅσον < δ̅. φαρ-

18—25 ὅσοι — ἄνθρωπον *Gal. ib. (ib. 40, 6—15)* 18—22 ὅσοι—μείζονας *cf. Or.*° *ib. (ib. 35—37)* 28. 29 ἡ ἰουδαικὴ ἄσφαλτος *cf. Gal. de antid. II 10 (XIV, 162, 15)*

φ (L^a P^a) χ (C^p P^x M^o) χ (A D P T) [*m. 2*ª S] ω (S A^t) 1 χλωρ. φύλλ. *transp.* A^t λειοτάτω P^x *om.* φ M^o 2 *ante* καὶ *alt.*: μέλιτι P^a M^o ψ (*exc.* A P) ω 4 ...πιάδος T ω καὶ *pr. om.* P^x D αὐτῶ L^a χ A^t ἐχρήσατο A P *post* χρῶμαι: ὡς δόκιμον P^x 6 πάρεχε ψ (*exc.* T) διδοὺς P^x 7. 9 ἄλλο — παροξυσμοῦ *om.* α *exc.* L^a P^x 8 θερμάνας *om.* P^x 9—14 ἁρμ. — ἐλλέβ. *ante* χρῆσθαι *(p. 63, 13) transp.* M^o D T ω *om.* P^a C^p A P 9 ἁρμόζει *supra scr.* ....διον *m. 1*ª T ...διον S 10 λαμβ.] ἔχοντα D T ω 13 δίδου] δίδυκα M^o *post* δίδου: κατὰ τὸ δυνατὸν D T ω δυνατὸν *om.* A^t *canc. seps.* S 14—19 ἄλλο — ὅλως *bis rep.* P^x 14 ...αρταίους] ....αρταῖον P^a χ ψ (*exc.* D) ...άρτου ω 16 < α̅] ε̅ P^x 17 < *pr.*] ϛ ψ (*exc.* T) β̅] α̅ ψ (*exc.* D) φύλλων χλωρῶν P^x $P^{x\prime}$ 19 *post* ὅλως: ἀντίδοτος πρὸς τεταρταίους ὁμοίως ὠφελεῖ κτλ. P^x 21 τε *om.* S ἐποιήσαντο ψ (*exc.* T) 23 τινὶ *om.* A^t 24 *ante* ἀπ.: τῶν D P 25 ....ξαμένως A^t Ἀρχιγ. *om.* P^a C P M^o ψ (*exc.* T) 26 νοσ.] ἔχουσι T ω ....φέρειν P^a ...φερέσθω D P 28 τέσσαρσιν P^x τέταρσι A τρισὶν M^o καὶ *om.* C^p M^o ψ ω *post* θαυμ.: γὰρ M^o οὖν T ω 29 δ̅] α̅ C^p M^o T A^t

μάκου δὲ ἀλυποτάτου καὶ πολλάκις ἐπιτυχόντος ἐγὼ πεπείραμαι τούτου, ἐφ' ὧν μάλιστα σπλῆνες οἰδαίνουσι καὶ ὑδέρων κατάρχουσι· κισσοῦ κορυμβίτου φύλλα ε̅ μετὰ σμύρνης τρωγλοδυτικῆς κυάμου μέγεθος λεανθέντα ἐν κοτύλῃ μελικράτου γλυκυτέρου δίδοται καὶ τὸ καστόριον δὲ πινόμενον τά τε ῥίγη πραΰνει καὶ τὸ νοσερὸν τῆς σαρκὸς δαπανᾷ καὶ ταῖς κατὰ τὰς φλέβας πέψεσι βοηθεῖ καὶ τὸ πρὸς τὰς κινήσεις ὀκνηρὸν ἐξαίρει. Ἀρχιγένους· ἀψινθίου δὲ ἀπόβρεγμα τοὺς τῇ κοιλίᾳ ἐνοχλοῦντας χυμοὺς ἀπορρύπτει καὶ τῇ πέψει συνεργεῖ, ὅθεν οὐδὲ σιελίζουσιν οἱ πίνοντες τοῦ ἀψινθίου. πραΰνει δὲ καὶ τὰς ἐν ἥπατι καὶ σπληνὶ φλεγμονὰς καὶ οὖρα ἄγει καὶ γυναικὶ καταμήνιον. συνηθείας δὲ τῷ νοσοῦντι ὑπαρχούσης καὶ τῇ κατὰ κοιλίαν κενώσει χαιρούσης τῆς ἕξεως καὶ δηκτικῶν ἰχώρων ὑπογιγνομένων, νεοβδάλτου γάλακτος ὀνείου μὲν ἢ ἱππείου ἔδωκά τισιν, οὓς μᾶλλον ἠβουλήθην καθᾶραι, αἰγείου δὲ ἄλλοις διὰ τὸ σύνηθες καὶ εὐπόριστον. τρεῖς δὲ κοτύλας ἀρξάμενος ἐδίδουν προάγων κατὰ κοτύλην ἐπὶ κοτύλας ς̅, ἔπειτα διαλείπων μίαν περίοδον, ὁμοίως ἠρξάμην ἀπὸ τριῶν κοτυλῶν καὶ κοτύλην καθ' ἑκάστην προστιθεὶς ἀνῄειν ἐπὶ τὰς ς̅, ἔπειτα ὑφαιρῶν κατὰ μίαν κοτύλην καθ' ἑκάστην ἡμέραν καὶ πάλιν ἀφιστάμην ἐπὶ β̅ περιόδους καὶ ἅμα ἥ τε νόσος διελέλυτο καὶ τὸ σῶμα προσετέθραπτο. εὔχυμον δὲ εἶναι χρὴ τὸ ζῷον, οὗ τὸ γάλα προσάγομεν. εἰ δέ τινι μὴ ὀξύνεται μηδὲ κνισσοῦται μηδὲ κατὰ κοιλίαν ὁρμᾷ, καὶ ἐν τῇ ὑπόπτῳ ἡμέρᾳ ἀντὶ τοῦ ῥοφήματος σύμμετρον διδόναι πρὸ πολλοῦ τῆς ὥρας καὶ ψωμοὺς ὀλίγους ἐπιδοτέον. ἐν ἀκμῇ δὲ ὄντος τοῦ νοσήματος, προφανείσης δηλονότι σαφεστάτης πέψεως, μηδενὸς τῶν σπλάγχνων βεβλαμμένου, τοῖς εἰθισμένοις κατὰ τὸν καιρὸν τῆς ὑγείας καὶ ψυχρὸν ὕδωρ δέδωκα, μελλούσης σύνεγγυς τῆς εἰσβολῆς, ἀθρόον ὅσον κοτύλας β̅ καὶ ἀδιαψεύστως ἀπέστρεψα πολλοὺς τοῦ ῥιγῶσαι οὐκ ὀλιγάκις καὶ τῶν πυρετῶν ἐξαλειφθέντων. ἄμεινον δὲ καὶ ἔξωθεν θερμαίνειν τὸ σῶμα κυπρίνῳ ἢ σικυωνίῳ ἢ γλευκίνῳ πρὸ μὲν τῶν παροξυσμῶν, ὥστε μὴ ῥιγοῦν, παυομένων δὲ ὥστε μὴ ἐκ τῶν ἔξωθεν προσπιπτόντων καταψύχεσθαι. Διοσκορίδης δέ

7—30 ἀψινθίνου — καταψύχεσθαι *Rufus id. pp. 349—351* 7 ἀψινθίου κτλ. *cf. Gal. ad Pison. de theriaca lib. 15 (XIV 277, 11 sqq.)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 τοῦτο P^x A 2. 3 ...βήτου $L^a C^p$ .....βίττων P^a ...ρύμβους τῶν τρυφερῶν P^x ...ρύμβων P 3. 4 λεανθὲν καὶ P^x λειωθέντα A P λεανθέντος T 4 ...υτάτου T A^t 6 τὰς *om.* D P φλέβα D P 7 Ἀρχιγ.] *om.* $P^a C^p M^o$ ψ (*exc.* T) Ῥούφου *in marg.* P^x T ω *ante* ἀψινθ.: περὶ δὲ ἀψινθίου νῦν μέμνηται Παῦλος P^x Σημείωσις τί φησι περὶ τοῦ ἀψινθίου T τὴν κολίαν T S 9 τὸ ἀψίνθιον $P^a P^x$ 10 γυναικῶν P^x ...ξὶ D ...κεῖα T ω ...μήνια P^x ψ ω 12 *ante* ἰχ.: τινῶν ψ (*exc.* T) μὲν *om.* $P^a P^x$ ψ 13 τισὶν ἔδωκα ψ (*exc.* T) οἷς ψ (*exc.* D) ω 15 προάγ. ψ A^t προσά. *cett.* κατὰ ....λας P^x *om.* A^t ς̅] ζ̅ A P *ante* ἔπ.: καὶ A P ...λιπὼν ψ (*exc.* T) A^t 16 ἠρχόμην α, *exc.* L^a 17 ...τιθὼν $C^p M^o$ S ..οτιθεὶς A T A^t ἀφαιρῶν L^a ὑφήρουν ψ (*exc.* T) 19 διελύετο $P^a P^x M^o$ ψ (*exc.* T) προετ. P^a ἐτέθροιπτο T A^t 19. 20 τὸ ζῷον χρή *transp.* χ ψ (*exc.* T) 20 ...γωμεν $P^x M^o$ κνισοῦται χ ω 20. 21 μηδὲ ...μηδὲ] μήτε ... μήτε P^x ψ (*exc.* T) 21 ὁρμᾶται T ω 24 ....μένων $C^p P^x$ 28 ἢ σικυωνίῳ *om.* $L^a M^o$ 28. 29 ἢ γλευκ. *om.* $C^p M^o$ A T ω 30 *post* καταψ.: ἔστι δὲ ἡ σκευασία τῶν ῥηθησομένων ἐλαίων ἐνθάδε κτλ. P^x Διοσκουρίδης $P^a C^p M^o$ T ω

φηcιν ὠφελεῖν τοὺc τεταρταίῳ ἐχομένουc πυρετῷ πινόμενα ταῦτα πρὸ τῆc ἐπιcημαcίαc· ἀρνογλώccου ῥίζαι < δ̄ ξηραὶ λεῖαι ἐν οἴνῳ ἀcπαλάθου ῥίζηc < ᾱ μετὰ καcτορίου ὀβολοῦ ᾱ γλυκυρίζηc λείαc < β̄ μεθ' ὕδατοc ἡλιοτροπίου τοῦ τρικόκκου < δ̄ cὺν οἴνῳ πινόμεναι περιcτερεῶνοc ὀρθοῦ τὸ τέταρτον γόνυ ἀπὸ τῆc γῆc λεῖον cὺν οἴνῳ, ἐπὶ δὲ τριταίῳ γ̄, λιβανωτίδοc ῥίζηc < ᾱ ἐν οἴνῳ δίδου πίνειν καὶ ἐλαίῳ ἀλείψαc τὸ πᾶν cῶμα, τὰ δὲ ἄλλα ἄκρα cυγχρίcαc τινὶ τῶν πρὸc τὰ ῥίγη cυγχριcμάτων καὶ cκεπάcαc ἔα ἡcυχάζειν καὶ οὐ μὴ ῥιγώcῃ.

πε̄ Ἀμφημερινοῦ πυρετοῦ διάγνωcιc. ὁ δὲ ἀμφημερινὸc πυρετὸc ἐν ταῖc φλεγματικωτέραιc φύcεcι cυνίcταται καὶ τῶν ὡρῶν ἐν χειμῶνι καὶ τῶν καταcτάcεων ἐν ταῖc ὑγροτέραιc καὶ ψυχροτέραιc, γέρουcί τε μᾶλλον ἐνοχλεῖ καὶ παιcὶ διὰ τὰc ἀδηφαγίαc καὶ μάλιcτα τοῖc ἐν ὑγροῖc καὶ ψυχροῖc χωρίοιc διάγουcι καὶ βίοιc ἀργοῖc ἅμα πληcμονῇ καὶ μᾶλλον ὅταν ἐπὶ cιτίοιc λούωνται cυνεχῶc καὶ πολὺ δὴ μᾶλλον ὅταν καὶ αὐτὰ τὰ cιτία φλεγματικώτερα τὴν φύcιν ὑπάρχῃ [καὶ cαφὴc ἀταξία]. ὁ μὲν οὖν πυρετὸc οὗτοc οὔτε μετὰ ῥίγουc εἰcβάλλει εὐθὺc κατὰ τὴν πρώτην ἡμέραν, ἀλλὰ καὶ προήκοντοc τοῦ χρόνου οὐ ῥῖγοc, ἀλλὰ περίψυξιc αὐτοῖc μᾶλλον γίγνεται δυcεκθέρμαντοc. ἐν δὲ τοῖc cφυγμοῖc cαφὴc ἀταξία καὶ ἀνωμαλία cυνεδρεύει κατὰ τὴν εἰcβολὴν τοῦ παροξυcμοῦ, μάλιcτα καὶ τὸ ταχὺ τῆc κινήcεωc καὶ τὸ cφοδρὸν αὐτοῖc οὐχ ὑπάρχει οὐδὲ διακαίει ὁ πυρετὸc οὗτοc τοὺc κάμνονταc οὐδὲ πυκνὸν ἀναπνεῖν ἀναγκάζει οὐδ' ἐκφυcᾶν ἢ αἰτεῖν ψυχρὸν ἀλλ' ἥκιcτα πυρετῶν οὗτοι διψώδειc εἰcίν. ἐμοῦcι δὲ φλεγματώδη καὶ ὅcα διὰ γαcτρὸc αὐτοῖc κάτω ἐκκενοῦται ψυχρότερα καὶ ὠμότερα καὶ ὑδατωδέcτερα ὡc ἐπίπαν ἐcτίν. ἱδροῦcι δὲ οὗτοι οὐδαμῶc κατὰ τὰc πρώταc ἡμέραc οὐδ' εἰc ἀπυρεξίαν τελείαν ἔρχονται, καὶ ὠχρόλευκόc ἐcτιν αὐτοῖc ἡ χρόα· οὖρα δὲ λεπτὰ καὶ λευκὰ κατὰ τὰc πρώταc ἡμέραc οὐρεῖται, μετέπειτα δὲ παχέα καὶ θολερά· οὗτοc ὁ πυρετὸc καθ' ἑκάcτην ἡμέραν παροξύνει καὶ παύεται εἰc ἀπυρεξίαν, τὸν cύμπαντα χρόνον ποιηcάμενοc ὡρῶν

9–15 ὁ δὲ ἀμφημερινὸc–ὑπάρχῃ *Gal. de diff. febr. II 1 (VII 334,18—335,5)* 16—23 οὔτε μετὰ — εἰcίν *Gal. de crisib. II 5 (IX, 660,7—17)* 16—18 οὔτε μετὰ—δυcεκθέρμαντοc *Or.ª VI 14 (193,11—13)* 20—28 οὐδὲ διακαίει—θολερά *Or.ª ib. (ib. 14—20)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 *ante* πρό: καὶ *add.* T ω 2 <] γρ. P^x *om.* P^a C^p M^o ψ ω 2—4 ἀcπ.—cὺν οἴνῳ *post* οἴνῳ (5) *transp.* M^o *post* cῶμα (7) *transp.* T *om.* L^a A^t 4 τοῦ *om.* P^a τρικ.] κόκκου P^a ...ουc C^p P^x < *post* τρικ.] κόκκουc M^o *om.* P^a P^x *post* δ̄: κόκκουc P^a 5 ...ταίου P^a T ....ίων C^p M^o D P 8 ...cηcι L^a ...cει C^p P S ...couciν P^x 14 ....οιντο P^a M^o ψ ω ὅταν *om.* L^a 15 κ. c. ἀτ *om. Gal. cf. v. 18* ...χει L^a P^x D ...χοντα M^o T ω 16 οὗτοc *om.* P^x A^t οὔτε *om.* T S 17 καὶ ψ (*exc.* T) *Gal. om. cett.* οὐ *om.* L^a 18 γίγν. μᾶλλ. *transp.* ψ (*exc.* T) cαφ. *om.* ψ (*exc.* T) 19 ...δρεύοι φ ω 22 οὐδ' *Gal.* οὔτ' α πυρετὸν P^x M^o A P ...τοὶ A^t πυρεττοντεc *Gal.* 22. 23 οὗτοc ....δηc ἐcτίν C^p ψ (*exc.* T) οὗτοι] οὔτε P^x M^o 23. 24 κάτω *post* ἐκκ. *transp.* M^o D 24 ...νοῦνται φ P^x κενοῦται A^t *ante* ὠμ.: ὠχρότερα M^o P ω 25 δὲ *om.* C^p M^o ψ (*exc.* A) ω 26 καὶ ὠχρότεροc M^o λευκὴ (ὠχρόλ. *in marg.* T *supra scr. m. 2ª* S) δὲ T ω αὐτ. ἐcτιν M^o ψ (ἐcτ. αὐτ. *in marg.* T) ω θέα τῆc χροιᾶc ψ (*exc.* T) 27 λευκὰ καὶ (λ. κ. *om.* A P) λεπτὰ (κ. λεπ. *om.* D) P^a P^x T ω 28 πυρ.] χυμὸc T A^t *m. 1ª* S 29 καὶ *om.* T ω *post* παύετ.: δὲ T ω ποιούμενοc T A^t

ὡς ἐπίπαν ιη̅· διὸ καὶ ἀμφημερινὸς κέκληται· ἀμφοῖν γὰρ μετέχει τῆς ἡμέρας καὶ τῆς νυκτός.

Ἀμφημερινοῦ θεραπεία. θεραπεύοντες δὲ ἀμφημερινὸν ὀξυμέλιτι πϛ̅
χρώμεθα μετὰ τὰς πρώτας ἡμέρας καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις καὶ τὸ σύμπαν σοι τῆς διαίτης εἶδος τμητικώτερον ἔστω. περὶ δὲ τὴν ἀκμὴν προνοεῖσθαι χρὴ τῆς γαστρός, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτα ἐμεῖν ἀπὸ σιτίων καὶ ῥαφανίδων καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι. τὰ δὲ ἄλλα τῆς διαίτης πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις, λεπτυνούσῃ δηλονότι διαίτῃ χρώμενος καὶ φαρμάκοις τμητικοῖς καὶ λεπτύνουσι.

Περὶ ἠπιάλων πυρετῶν. τοῦ προειρημένου γένους, λέγω δὴ τοῦ πζ̅
φλεγματικοῦ, ἔστι καὶ ὁ ἰδίως ὀνομαζόμενος ἠπίαλος πυρετός, ὅταν ἅμα πυρέττωσί τε καὶ ῥιγῶσι καὶ ἀμφοτέρων αἰσθάνονται κατὰ τὸν αὐτὸν χρόνον ἐν ἅπαντι μορίῳ τοῦ σώματος. τὸ γὰρ ὀξὺ φλέγμα καὶ τὸ ὑαλῶδες λεγόμενον χωρὶς μὲν πυρετοῦ ῥῖγος ἐπιφέρει. εἰ δὲ σηπεδών τις αὐτοῖς ἐγγένοιτο μετρία, τὸν ἠπίαλον ἐργάζεται πυρετόν. εἰ γὰρ ἐπὶ πλεῖον σαπείη, προηγεῖται μὲν ῥῖγος, ἕπεται δὲ πυρετός, ἐκνικωμένης τῆς ψύξεως ὑπὸ τοῦ πλήθους τῆς θερμασίας, ὡς μηδόλως αὐτὴν φαίνεσθαι κατὰ τὰς ἀναβάσεις καὶ τὰς ἀκμὰς τῶν παροξυσμῶν. ἴσως δὲ καὶ τὸ ὑαλῶδες φλέγμα ὀξείας μετέχει ποιότητος. ἡ δὲ θεραπεία παραπλησίως τοῖς τὸν ἀμφημερινὸν νοσοῦσι πυρετὸν γιγνέσθω, τοῦ τμητικωτέρου τρόπου μᾶλλον προσλαβοῦσα.

Διοσκορίδου κοινὰ βοηθήματα τῶν κατὰ περίοδον παροξυνομένων. πη̅
κοινῶς δὲ πρὸς πᾶσαν περίοδον καὶ ῥίγη ὠφελίμως δίδοται κινεῖν ἱδρῶτας δυνάμενα ταῦτα· σμυρνίου σπέρματος < α̅ σὺν οἴνῳ δίδου πίνειν πρὸ ὡρῶν β̅ τῆς ἐπισημασίας, ἀριστολοχίας < α̅ ἴρεως < β̅ καλαμίνθης ἀφέψημα σὺν καστορίῳ < α̅ ἐπὶ τεταρταίων καὶ ἀμφημερινῶν. χαμαίδρυος ἀφέψημα συνεχῶς πινόμενον κωλύειν εἴωθε τεταρταῖον

3—9 θεραπεύοντες — ἐξευρήσεις *Gal. ad Glauc. de med. meth. I 13 (XI, 40, 15—41, 4)* 3—8 θεραπ. — χρῆσθαι *Or.ª VI, 15 (193, 22—27)* θεραπ.—τὰ δὲ ἄλλα τῆς διαίτης *Or.ᵉ III 5 (401, 9—13)* 11—20 τοῦ προειρημένου—ποιότητος *Gal. de diff. febr. II 6 (VII, 347, 4—7, 349, 6—14)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 2 *ante* ἡμ.: τε χ ψ ω 3 Θεραπ. ἀμφ. (ἀφ.) P^x T ω 4 κατὰ $C^p M^o$ 5 σύμπ. σοι] ἥμισυ P^x ψ (*exc.* T) 6 τῆς χ *Gal. om. cett.* 7 *post* αὐτ.: εἰ φλεγμαίνει (...οι M^o) $P^x M^o$ ψ *m. 2ª* S διὰ ῥεφανίδος· ἔστι δὲ ἡ σκευασία (τ)αύτη· ῥέφανον τὸ μέγα λα⟨βὼν⟩ ἀπόπλυνον κτλ. P^x 7. 8 καὶ τοῖς — χρῆσθαι *om.* P^x 9 ἐξευρίσκεις $C^p M^o$ 10 *post* λεπτύν.: κατὰ δὲ τὴν παρακμὴν τοῦ νοσήματος δίδου οἶνον λεπτὸν καὶ λευκὸν καὶ ὕδωρ κτλ. P^x 11 Π. — πυρ.] Ἑτέρα Ἀετίου Ἀμηδινοῦ ἑρμηνεία P^x 12 καὶ *om.* P^x ψ (*exc.* T) 13 πυρετὸν ...ττουσιν P^x ...ττουσι M^o A T ω 15 πυρ.] σήψεως P^x ψ (*exc.* T) *m. 2ª* S *ante* ἐπιφ.: μόνον P^x ψ (*exc.* T) *m. 2ª* S 16 ἐπιγ. P^x ψ (*exc.* T) ἐγγένοιτο *Gal.* ....ζεται $M^o P^x$ ψ ω ....ζονται *cett.* 17 γὰρ] δὲ T A^t σαπῇ $C^p P^x$ 17. 18 ἐκκαιομ. A^t 18 ψύξ.] φύσεως A^t *m. 1ª* S 21 ...σία D P A^t *om.* A 22 *post* προλαβ. (*sic*): καθὰ καὶ ἄνωθεν περὶ τούτου τὴν θεραπείαν εἰρήκαμεν, πλὴν οὐ χαλεπῶς ἅπαντα, ἀλλὰ τανῦν πάλιν εἰς τοῦτο ἐροῦμεν θεραπείαν P^x 23 Διοσκουρίδου (...κορίδου ...δους) *desinente titulo* α, *exc.* L^a *om.* $P^x M^o$ ..ξυνάντων A ...νόντων P 27 ....ρίου $C^p P^x$ A 28—*p. 68, 1* χαμαίδρ.—ἀμφ. *om.* M^o T A^t 28 καὶ λύειν C^p A λύειν $P^x M^o$ D P T ω

καὶ ἀμφημερινόν· καρώου cπέρμα νάρθηκος cπέρμα φλομου ῥίζα ἢ χυλὸς cὺν οἴνῳ. πρὸς πᾶσαν περίοδον καὶ μάλιστα πρὸς τεταρταίους διδόμενον πρὸ ὡρῶν β̄ τῆς ἐπισημασίας, ποιεῖ καὶ πρὸς λιθιῶντας καὶ δυσεντερικοὺς στομαχικοὺς καὶ τοῖς ἀσωμένοις καὶ ἀπειρηκόσι καὶ ὀφθαλμιῶσι λίαν καλόν· ὑοσκυάμου cπέρματος λευκοῦ σελίνου cπέρματος ἀνίσου cπέρματος στύρακος κρόκου ἀνὰ < γ̄ καὶ ὀπίου < γ̄ καστορίου < β̄ σμύρνης < β̄ ἀνάπλασσε ὕδατι κυάμου αἰγυπτίου τὸ μέγεθος καὶ δίδου μεθ' ὕδατος κυάθων β̄. ἄλλος πρὸς πᾶσαν περίοδον ἐκ τῶν Ἀφροδᾶ· ὑοσκυάμου cπέρματος λευκοῦ σμύρνης τρωγλοδυτικῆς ὀπίου στύρακος ἀνὰ < ᾱ κρόκου ζιγγιβέρεως ἀλόης ἀνὰ ὀβολοὺς γ̄, μέλιτι ἀναλάμβανε καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μεθ' ὕδατος κυάθων τριῶν, προσυγχρίσας ἄκρα καὶ σκέλη καὶ ἔα κοιμᾶσθαι· ἐγὼ δὲ προσέθηκα τῇ γραφῇ καὶ καστορίου < ᾱ καὶ ἐνήργησε παραδόξως. χρῶ δὲ θαρρῶν καὶ τῇ λεγομένῃ παιωνίᾳ ἀντιδότῳ καὶ τῇ διὰ τοῦ θείου ἀπύρου· θαυμαστῶς γὰρ ἐνεργοῦσι πρὸς πᾶσαν περίοδον, μάλιστα δὲ πρὸς ἀμφημερινοὺς καὶ τεταρταίους.

πθ̄ Συγχρίσματα κοινὰ πάσης περιόδου. συγχριόμενα δὲ λεῖα μετ' ἐλαίου ὠφελεῖ τοὺς κατὰ περίοδον παροξυνομένους μετὰ ῥίγους· θάλπει γὰρ τὸ σῶμα καὶ ἱδρῶτας κινεῖ· χαμαιμήλου ἄνθος λεῖον γενόμενον καὶ ἀναπλασθὲν εἰς τροχίσκους καὶ ξηραινόμενον ἐν σκιᾷ καὶ ἐπὶ τῆς χρείας σὺν ἐλαίῳ λειούμενον καὶ συγχριόμενον, ἄγνου σπέρμα σὺν ἐλαίῳ, λιβανωτίδος καρπὸς ἁλὸς ἄνθος νίτρον ἀφρόνιτρον δαφνίδες πύρεθρον σμυρνίου σπέρμα ὑπερικὸν καλαμίνθη κάχρυ καστόριον κόνυζα κόστος κνίδιος κόκκος μετὰ νίτρου καὶ ἐλαίου καὶ ὄξους ἔλαιον ἀμυγδάλινον δάφνινον κύπρινον ἴρινον γλεύκινον ὤκιμον χαμαίδρυς σταφὶς ἀγρία.

Ἀσκληπιάδου σύγχρισμα πρὸς τὰς μετὰ ῥίγους ἐπισημασίας. τούτῳ πολλοὺς τριταίῳ συνεχομένους ἀπήλλαξα, φησίν· ἀψρονίτρου < β̄ σμύρ-

8—13 ἄλλος — παραδόξως *cf. Gal. de comp. med. s. loc. VII 4 (XIII, 95, 1—8)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (ADPT) [*m. 2*^{a} S] ω ($S A^t$) 1 σπ. *pr.*] ...ατος AP *om.* A^t *ante* νάρθ.: καὶ ψ (*exc.* A) A^t σπ. *alt.*] ...ατος A *om.* DPT *ante* ῥίζα: σπέρματος A σπέρμα καὶ DP 2 χυλοῦ C^p ...ῶ M^o *post* οἴνῳ: Ἔμπλαστρος εἰς τὸ προσκαλεῖν ἱδρῶτας κτλ. P^x Γαληνοῦ A ἄλλο Γαλ. D *id. in marg.* P καὶ *om.* C^p ψ ω 6 σπέρμ. *om.* χ ψ (*exc.* T) A^t *post* στύρ.: ἀνὰ < ᾱ $P^x M^o$ < δ̄ C^p ψ ω ἀνὰ *om.* χ ψ ω γ̄ *pr.*] δ̄ P^a ᾱ P^x ῑ T A^t 7 *ante* σμύρν.: καὶ DP τὸ *om.* $P^a C^p M^o$ ψ (*exc.* T) A^t 8 κυάθους P^x ψ (*exc.* T) ω *post* β̄: χρῶ — τεταρταίους (*ll. 13—16*) *transp.* P^x ψ (*exc.* T) 9 ...αδά L^a λευκοῦ *om.* $C^p M^o$ ψ ω 10 *post* ἀνὰ *alt.*: ⟨ῑ καὶ $C^p M^o$ ψ ω *post* μέλ.: λιτρ' ᾱ AP 11 ἀναλ. *om.* AP καὶ *om.* AP ..άθους (κερ' P^x κοτύλας A) γ̄ P^x ψ (*exc.* T) ω 12. 13 προσυγχ. — παραδόξως *om.* AP 14 τοῦ *om.* P^x ψ (*exc.* T) 14. 15 ἀπ. *om.* C^p T ω 15 γὰρ *et* δὲ *om.* A^t 16 *post* τεταρτ.: ὧν τὰς σκευασίας ἐροῦμεν ἐνταῦθα. σκευασία τῆς παιωνίας κτλ. P^x 17 *post* περ.: καὶ ῥιγοπυρετ⟨ίου⟩ P^x μετὰ ῥίγους A Διοσκορίδου D 17. 18 μετ' ἐλ. λεῖα T ω 19 *post* κινεῖ: Διοσκουρίδου (...κορ.) T ω 22 ἀφόνιτρ. $L^a P^a$ 23 καλαμ. ὑπερ. A^t κάχρυ, ...γχρυ, κέγχρυ, κάκροι, κάχριος, κάγχρυον *codd.* 24 μετὰ νίτ.] μετ' ἀνίσου A^t 25 ἀμυγδ. *post* κύπριν. *transp.* ψ (*exc.* T) ὤκιμ. *om.* T ω 26 ἀσταφὶς P^a DP *post* ἀγρία: πρὸς τριταίους (*p. 69, 7*) *usque ad fin. cap. transp.* ψ (*exc.* T) 27 Ἄλλο. Ἀσκληπιάδου — κατάρχειν (*p. 69, 4*) *post* περιόδοις (*p. 69, 7*) *transp.* P^x τοῦτο L^a χ T ω 28 *et alibi* ἀφον. φ C^p

νηc < α̅ πεπέρεωc κόκκοι κ̅ κηροῦ < δ̅ ἐλαίου κυπρίνου ἢ ἰρίνου ἢ γλευκίνου ἢ ἀμυγδαλίνου 𐅻 ς̅, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν· ἡ χρῆcιc πρὸ μιᾶc ὥραc τῆc ἐπιcημαcίαc. μᾶλλον δὲ ἀνατρίβειν τοὺc πόδαc, ὅθεν δοκεῖ τὰ τῆc φρίκηc κατάρχειν. ἄλλο πρὸc τριταίουc καὶ τεταρταίουc· κόκκου κνιδίου ἀφρονίτρου πεπέρεωc ἴcα ἀναλάμβανε ἰρίνῳ καὶ ποίει γλοιοῦ πάχοc καὶ χρῶ ἀνατρίβων τὰ ἄκρα προcηνῶc· ἱδρῶταc κινεῖ τὸ φάρμακον καὶ ἀπολύει δυcὶν ἢ τριcὶ περιόδοιc. ἄλλο πρὸc τριταίουc τεταρταίουc καὶ τὰc λοιπὰc περιόδουc· cμύρνηc < η̅ καccίαc < ι̅ πεπέρεωc < ιβ̅ cταφίδοc ἀγρίαc < ς̅ νίτρου < δ̅ κηροῦ 𐅻 ς̅ κυπρίνου ἐλαίου ἢ ἑτέρου τοιούτου λίτραν α̅· οἴνῳ διάλυε τὴν cμύρναν καὶ τὴν cταφίδα καὶ τὰ λοιπὰ κόπτε καὶ cῆθε καὶ cυλλέαινε τῇ cμύρνῃ καὶ ἐπιχέαc αὐτοῖc τὴν κηρωτὴν ἀναλάμβανε. ἐπὶ δὲ τῆc χρείαc τοῦ μὲν φαρμάκου βαλὼν μέροc ἓν καὶ κυπρίνου τὸ ἴcον cύγχριε.

Περὶ τῶν περὶ τὰ cπλάγχνα ἐρυcιπελατωδῶν διαθέcεων. γίγνεταί ϙ ποτε ἐρυcιπελατώδηc διάθεcιc περί τινα τῶν cπλάγχνων, καυcώδη πυρετὸν καὶ ἑκτικὸν ἐπιφέρουcα. καὶ εἰ μὲν περὶ τὴν γαcτέρα γένοιτο τὸ ἐρυcίπελαc, τὸν ἐκ τούτου ἀναπτόμενον πυρετὸν λιπυρίαν ὀνομάζουcιν, εἰ δὲ περὶ τὸ ἧπαρ, τυφώδη, εἰ δὲ περὶ τὸν πνεύμονα, κρυμώδη. δεῖται δὲ ὁ τοιοῦτοc πυρετὸc ψυχόντων καὶ ὑγραινόντων πρότερον ἐδεcμάτων τε καὶ πομάτων καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων. ὅταν μὲν οὖν ὁ ἑκτικὸc πυρετὸc ἄμικτόc ἐcτιν ἑτέρῳ νοcήματι, βαλανείου χρῄζει καθάπερ καὶ αἱ ἄλλαι πᾶcαι θερμότητεc καὶ ξηρότητεc. εἰ δὲ ἐρυcιπελατώδηc εἴη διάθεcιc περὶ τὰ cπλάγχνα, ἀπέχεcθαι μὲν χρὴ βαλανείου τοὐπίπαν, ψυχρῷ δὲ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοcήματοc χρηcτέον ἀγωνιcτικῶc· οὕτωc δὲ ὀνομάζειν εἰώθαμεν, ὅταν ἅπαξ τε καὶ ψυχρότατον καὶ πολὺ δώcομεν. πρὸ δὲ τῆc ἀκμῆc οὐ χρηcτέον τῷ ψυχρῷ, εἰ μὴ ἀναγκαcθείημεν ὑπὸ τοῦ κάμνοντοc, ἐν ἔθει τε ψυχροποcίαc ὄντοc, οὐ φέ-

14—16 γίγνεται — ἐπιφέρουcα *Gal. de marc. lib. cap. 7 (VII 695, 12—13)* 18—20 δεῖται — ἐπιτιθεμένων *Gal. ib. (ib. 14—15)* 22 — *p. 70, 9* εἰ δὲ ἐρυcιπελατώδηc — cέρεωc *Gal. ib. 8 (ib. 697, 8—698, 5)* 22 — *p. 70, 2* εἰ δὲ — ἀνύοι *Or.ᵃ VI 20 (195, 15—19)* 22 *Paulus Aeg. II 30*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ᵃ* S] ω (S A^t) 3 *post* ἀνατρίβ.: δεῖ P^x D P 4—7 ἄλλο πρὸc τριτ. — περιόδοιc *post* cύγχριε *(14) transp.* ψ (*exc.* T) [*v. adn. p. 68, 26*] 4 καὶ (κ. *om.* C^p) τεταρτ. *om.* T ω 8 καccίαc] καcτορίου ψ (*exc.* T) *m. 2ᵃ* S 9 πεπ. < ιβ̅ *post* νίτρου < δ̅ *transp.* D *om.* A P cταφ. ἀγρ. < ς̅ *om.* A P νίτρου < δ̅ *om.* A 𐅻] < A P 10 ἐλαίου *om.* χ ψ ω λίτρ.] < T A^t λίτρ. α̅] λεῖα C^p *post* α̅: ἀcταφίδοc P ...λύcαc ψ (*exc.* T) καὶ *om.* ψ (*exc.* T) 10. 11 τὰc (ἀ)cταφίδαc ψ (*exc.* T) cῆθε κόπτων T ω 12 αὐτῆc P^x T ...ῃ A P δὲ] μὲν A^t *m. 1ᵃ* S 13 καὶ *om.* ψ (*exc.* T) *post* κυπρ.: δὲ ψ (*exc.* T) cυγχ.] χρῶ A P χρῶ cυγχρίων D 14 περὶ *alt. om.* $L^a M^o$ 15 ἐρυc. διάθ.] ἐρυcιπελατώδη A^t *m. 1ᵃ* S *ante* καυc.: καὶ $M^o P^x$ 16 τὸ *om.* χ ψ ω 17 τούτων A^t λιπ., λειπ., λειοπ., λυοπ., λεοπυερ. *codd.* 18 τιφ. $L^a C^p M^o$ τρυφ. P^a 20 ὁ *om.* $C^p P^x$ A P 21. 22 κ. αἱ ἄλλ. π.] ἐπὶ ταῖc ἄλλαιc εἰρήκαμεν ἔμπροcθεν φύcει ὑπάρχοντα P^x 22 ἀπὸ θερμότητόc τε καὶ ξηρότητοc P^x 23 ἀπέχ. — τοὐπίπαν *om.* ψ (*exc.* T) μὲν] δὲ P^x μὴ M^o S *om.* L^a 24 *ante* ψυχρῷ: τῷ ψ (*exc.* T) δὲ *om.* ψ (*exc.* T) μὲν *om.* T A^t 25 οὕτω P^x ψ δὲ *om.* L^a τε *om.* α, *exc.* L^a καὶ *om.* $P^x M^o$ ψ (*exc.* T) πικρότατον A^t 26 ...ωμεν $P^a M^o$ ψ S

ροντός τε τὸ δίψος· ἀλλ' ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα καὶ εἰ μηδὲν ἀνύοι, τότε καὶ τὸ ποτὸν ψυχρὸν διδόναι ἢ μᾶλλον τὰ ἐμψύχοντα τῶν ἐδεσμάτων. μάλιστα δὲ αὐτοῖς ἁρμόζουσιν αἱ ὑγραὶ καὶ γλυκεῖαι θριδακίναι· περιπλύσθωσαν δὲ ἀκραιφνεῖ ψυχρῷ· κάλλισται μὲν οὖν οὕτω ληφθεῖσαι. δεηθέντες δέ ποτε παραμυθήσεσθαι τὴν ἀηδίαν τῆς προσφορᾶς αὐτῶν, ὄξος ὕδατι πολλῷ ψυχρῷ μίξαντες συνεχωρήσαμεν ἐν τούτῳ βάπτειν. ἔστω δὲ τὸ ὄξος ἀκριβῶς ἀποκεχωρηκὸς ἁπάσης οἰνώδους ποιότητος. ἔξωθεν δὲ καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος, ἀλλὰ καὶ ἀειζώου καὶ σέρεως οἷον ἀνδράχνης καὶ ἀτραφάξυος στρύχνου τε καὶ ἀρνογλώσσου μετὰ ἄρτου ξηροῦ λείου καὶ ῥοδίνου καλοῦ ὀλίγου καὶ τῶν παραπλησίως ψυχόντων. κάλλιστον δὲ ᾧ ἡμεῖς χρώμεθα, μάλιστα δὲ κατὰ τὸν τῶν ὀμφάκων καιρόν· ἐκθλίψαντες γὰρ αὐτῶν τὸ ὑγρόν ἐμβάλλομεν ὅλμῳ μετὰ ἀνδραχνῶν χλωρῶν, εἶτα κόψαντες ἐκπιέζομεν καὶ βαλόντες τὸ ὑγρὸν εἰς ἀγγεῖον καὶ δήσαντες ἀκριβῶς τὸ στόμα καθίεμεν τὸ ἀγγεῖον ὕδατι ψυχρῷ· βέλτιον δὲ εἰ καὶ χιόνι περιπλασθείη τὸ ἀγγεῖον. ἐπὶ δὲ τῆς χρήσεως μίγνυμεν ἀλφίτου λεπτοτάτου, κἄπειτα φυράσαντες, ὡς ὑγρότερον εἶναι, ἐμπλάττομεν εἰς ὀθόνιον δίπτυχον καὶ ἐπιτίθεμεν κατὰ τῶν ὑποχονδρίων οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἐπειδὰν γίγνηται χλιαρόν, αἴροντες μὲν τοῦτο, ἐπιτίθεμεν ἕτερον καὶ τοῦτο διὰ παντὸς ἐκ διαδοχῆς ποιοῦντες, ἄχρις ἂν ὁ κάμνων αἰσθάνηται τοῦ βάθους ποσῶς ψυχομένου καὶ ἀδιψότερος γένηται. μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον ἢ ῥόδινον, ἐπειδὰν περὶ τὰ ὑποχόνδρια φλεγμονῶδες εἴη ἐρυσίπελας. ἐθεασάμην γυναῖκα κειμένην ὑπτίαν καὶ ἄναυδον ἐπὶ γῆς, μυρμηκίζοντας ἔχουσαν τοὺς σφυγμούς, ἅμα τῷ κατεψύχθαι τὰς χεῖράς τε καὶ τοὺς

3. 4 μάλιστα — θριδακίναι *Or.*^{a} *VI 20 (195, 19—20)* 8—23 ἔξωθεν — ῥόδινον *Or.*^{a} *ib. (ib. 20—28* [οἷον — ὀλίγου *om. etiam Or.*^{a}]*)* 11—23 καὶ τῶν παραπλησίως—ἐρυσίπελας *Gal. ib. (ib. 698, 5—17)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^{t}) 1 τε] δὲ P^{x} *om.* P^{a} ἐπιθεῖναι ψ (*exc.* D) 2 ..ύοιτο C^{p} ..είη P^{x} ...ύει ψ ω ψυχρὸν ποτὸν *transp.* D P *post* διδόναι: καὶ τὰς ἀντιδότους καὶ πᾶσαν θεραπείαν, ὅσα καὶ αὐτὰ προεγράφησαν ἐπὶ τοῦ συνόχου πυρετοῦ P^{x} 2. 3 ἢ μᾶλλον — τῶν] διδόναι δὲ κέλευε καὶ πάντα τὰ ψύχοντα P^{x} 3 αὐτῶν χ ψ ω 4 πεπλύσθ. P^{a} P *in marg.* T τῷ *ante* ψυχρῷ *add.* L^{a} 5 οὖν *om.* A^{t} *m. 1*^{a} S δεηθὲν A^{t} *m. 1*^{a} S 6. 7 συγχωρήσαντες A^{t} ....σομεν P^{a} ....σωμεν φ M^{o} T S 7 ....χωρικῶς C^{p} T S ....χωρισμένον P^{x} 8 ἀπὸ πάσης M^{o} T ω *om.* P^{x} A μὲν *om.* P^{x} T A^{t} *m. 1*^{a} S 9—11 οἷον—ὀλίγου *om.* φ C^{p} *m. 1*^{a} S 9 οἷον] κοτυληδόνος τε (τε *om.* D P T) καὶ ὀξαλίδος P^{x} M^{o} A D P *m. 2*^{a} S, *ead. post* ἀρνογλ. T καὶ *om.* P^{x} D T ω 10 *post* λείου: καὶ ἰελ⟨αίου⟩ καὶ σανδάλ⟨ου⟩ καὶ καφώρας καὶ ἀλφίτων κτλ. P^{x} 11 καὶ τῶν—ψυχ. *om.* P^{x} ψ (*exc.* T) 12 ὧν P^{a} ὃ P^{x} *om.* L^{a} χρώμεθα μάλιστα κατὰ καιρόν, τῶν ὀμφάκων *Gal.* μάλ. *om.* T A^{t} *m. 1*^{a} S δὲ *post* μαλ. *add.* L^{a} 13 ....άχνης ...ρᾶς φ 14 βάλλ. P^{a} ψ ω 15 καὶ δής. — ἀγγεῖον *om.* A P ψυχρῷ *om.* A^{t} *m. 1*^{a} S 16 καὶ *om.* L^{a} 17 ....υμι A^{t} *m. 1*^{a} S 18 εἰς ὀθ.] τὴν ὀθόνην T ω ἐντίθ. P^{x} ψ (*exc.* T) 19 ...εται A P γένηται P^{a} P^{x} T ω ἄραντες C^{p} P^{x} ψ (*exc.* T) 20 μὲν *om.* P^{x} A 20. 21 ποιοῦμεν ψ (*exc.* T) 21 ...νεται P^{x} A^{t} αἴσθηται ψ (*exc.* T) τοῦ βάθ.] τὸ πάθος A^{t} 23 ....ώδης P^{a} M^{o} D T ω *post* ἐρυσίπ.: Φιλαγρίου. εἰ μὲν περὶ τὴν γαστέρα ἤγουν περὶ τὸν στόμαχον ὁ ἐρυσίπελας γένηται — πυρετὸς δὲ τοῖς ἑκατέροις συνεδρεύει καὶ μήλων ἐρυθρότης. Φιλαγρίου D 24—*p. 71, 19* ἐθεας. — αἰσθάν. *om.* φ χ A P *deleverim* 25 τοὺς *om.* A^{t}

πόδας· ἐνόμιζον δὲ ὅτι θερμὸν τὸ πάθος. καὶ γὰρ ἅμα τοῖς εἰρημένοις κακίστοις σημείοις πυκνοτέραν ἑώρων τὴν ἀναπνοὴν γινομένην. τοῦτο δὲ γνώρισμά ἐστιν ἀλγηδόνος μεγάλης καὶ θερμοῦ νοσήματος ἐν ὑποχονδρίοις καὶ ἐν θώρακος μορίοις ὄντος. ἔφη δέ τις τῶν παρεστηκότων ἀκηκοὼς αὐτῆς λεγούσης καίεσθαι τὸν στόμαχον καὶ ψυχροῦ ποτοῦ μεγάλην τὴν ἐπιθυμίαν ἔχειν, διὸ καὶ εἰς τοὔδαφος κεῖται ψῦξιν θηρωμένη. ἀποτολμήσας οὖν δέδωκα αὐτῇ διὰ κοχλιαρίου ὕδωρ ψυχρόν, δεύτερον καὶ τρίτον ἐμβαλὼν τῷ στόματι αὐτῆς βιαίως. εἶδον δὲ ἠρέμα τὰ χείλη αὐτῆς εἴσω ἕλκοντα τὸ ὕδωρ. λογισάμενός τε αὐτὴν προθυμεῖσθαι πλεῖον ψυχρὸν διὰ τὴν ἐγκειμένην τῇ γαστρὶ πυρώδη διάθεσιν αὖθις πλείονος ἐπέδωκα. ἐπὶ τούτῳ καὶ νεύειν ἤρξατο διὰ τῶν ὀφθαλμῶν ἐνδεικνυμένη οὕτω ποιεῖν. λαβὼν δὲ τοῦ διὰ κωδιῶν ὀλίγον μετὰ κνιδίου οἴνου καὶ ψυχροῦ ὕδατος κοχλιαρίου πλῆθος ἐνέχεον τῷ στόματι. κἀν τούτῳ δηλονότι ὀλίγον ὕστερον φθεγξαμένη, ἠρέμα καὶ αὖθις ἐπέδωκα πλέον τοῦ πόματος μετὰ ἐμμελοῦς οἴνου ἀντὶ τοῦ κνιδίου καὶ ὀλίγου ὕδατος, ἐπιπλάσας δὲ τὸ στόμα τῆς γαστρὸς ἀειζώου καὶ θριδακίνης χυλῷ μετὰ ἄρτου λείου καὶ ῥοδίνου ἴσων. ψυχρὰ δὲ αὐτὰ ἐπέθηκα διὰ τὴν θερμότητα τοῦ πάθους καὶ τὸ θερινὴν εἶναι τὴν ὥραν, ἄχρις ἂν εἴη ψύχεος ἱκανῶς αἰσθάνεσθαι.

Περὶ συντήξεως. ὅταν ἐκκρίνηται διὰ γαστρός τι, οὐκ ἐκ τῶν ϙα ἐδηδεσμένων ἢ πεπομένων, ἀλλ' ἐκ τοῦ παντὸς σώματος εἰς αὐτὴν καταρρέοντος χυμοῦ, παραπλησίου ὄντος τῇ συνεχῶς ἐμουμένῃ τε καὶ διαχωρουμένῃ ξανθῇ χολῇ, διαφέροντος δὲ αὐτῆς τῇ τε δυσωδίᾳ καὶ τῷ πυρρότερον φαίνεσθαι τὸ διαχώρημα καὶ πάχος ἔχειν γλοιῶδες, ἐνίοτε δὲ καὶ ἐλαιῶδες ἢ πιμελῶδες, σύντηξις καλεῖται τὸ νόσημα. ἥ τε γὰρ νεοπαγὴς οὐσία τῆς πιμελῆς καὶ τῆς σαρκὸς ὑπὸ τοῦ διακαεστάτου πυρετοῦ ἀναλύεται καὶ τήκεται ἥ τε τῶν στερεῶν αὐτῶν οὐσία ἐκ μέρους ἀποτήκεται, χρονίζοντος ἤδη τοῦ κακοῦ. διὸ καὶ χαλεπώτατός ἐστιν ἁπάντων πυρετῶν ὁ τοιοῦτος. εὔδηλον οὖν ὡς σβεστηρίοις ἰάμασι χρησόμεθα ψυχρόν τε ἄγαν προσάγοντες ὕδωρ πίνειν καὶ καταπλάσματα καὶ ἐπιθέματα ψύχοντα κατὰ τοῦ θώρακος καὶ τῶν

20—*p. 72, 1* Περὶ—ἐμψυχούσας *Or.*[a] *VI 30 (203, 20—204, 3)* 20—29 Περὶ—τοιοῦτος *cf. Or.*[e] *III 6 (401, 21—27)* 29—*p. 72, 1* εὔδηλον—ἐμψυχούσας *Or.*[e] *ib. (ib. 27—30)*

φ (L[a] P[a]) χ (C[p] P[x] M[o]) ψ (A D P T) [*m.* *2*[a] S] ω (S A[t]) 2 ...ότερον T S γενομ. *Ald.* 8 βαλὼν A[t] *ante* ἠρ.: καὶ T 9. 10 προτιμῆσαι A[t] 11 ἐπιδέδωκα A[t] 14 ....μένης D 16 ἐμπλάσας D 17 χυλῷ *om.* T ω ἴσου D ἴσον T S 18 *post* διά: τε D 19 εἴη—αἰσθ.] ᾔσθετο ψύξεως ἱκανῆς ἡ πάσχουσα. εὐφορωτάτη δὲ γενομένη ἡ γυνὴ ἔδωκα αὐτῇ φαγεῖν θριδακίνης κτλ. D εἴη] ἥ τε T S ψῦξις T S 20 *ante* περὶ: Φιλαγρίου T S *id. post* συντ. A[t] *ante* ὅταν: Σύντηξις μὲν ὀνομάζεται T ω ...νεται P[x] A S 21 ἐδεσμάτων A[t] ...οσμ. P[a] πινομ. D P πεμπομ. A πεπεμμ. C[p] A[t] σώμ. *om.* A[t] *m. 1*[a] S 23 διαφερόντως L[a] D P ...όντων ...ῶν P[a] χ A T ω τῆς (ς *suprascr.* C[p]) P[x] A[t] *m. 1*[a] S ...μένης ...μένης (ς *suprascr.* C[p]) P[x] A[t] χολῆς ξανθῆς (ς *suprascr.* C[p]) P[x] ξανθῆς χολῆς A[t] ...φέροντος P[a] χ (*exc.* C[p]) ψ (*exc.* T) A[t] *m. 2*[a] S δὲ] τε A[t] 25 δὲ *om.* L[a] 29 ἀπ. ἐστὶν T S A[t] *ante* πυρ.: τῶν C[p] P[x] ὁ πυρετὸς T ω 30 *pro* ἄγαν *(cett. Or.)* ἅμα C[p] M[o] ψ A[t] *post* πίν.: καὶ τὸ διὰ νενούφα (... φάρ) δροσάτον σκευαζόμενον P[x]

ὑποχονδρίων ἐπιτιθέντες καὶ τροφὰς διδόντες ὑγραινούσας καὶ ἐμψυχούσας. προείρηται δὲ περὶ τούτων ἐν τῷ περὶ τῶν καυσωδῶν πυρετῶν λόγῳ, ῥηθήσεται δὲ καὶ ἐφεξῆς ἐν τῷ μέλλοντι κεφαλαίῳ.

ϘΒ Περὶ τῶν ἐν ταῖς θερμαῖς καὶ ξηραῖς κράσεσι γιγνομένων πυρετῶν χωρὶς φλεγμονῆς καὶ σήψεως. ὅσοι τὴν κρᾶσιν πικρόχολοι καὶ τὴν ἕξιν ἰσχνοὶ καὶ κατάξηροι φύσει καὶ τὸν στόμαχον σφόδρα αἰσθητικὸν καὶ ῥᾳδίως ἐκχολούμενον ἔχοντες, ἀσιτήσαντες ἢ ἀγρυπνήσαντες ἢ ὑπερκοπωθέντες καὶ μάλιστα κατὰ τὰς ὁδοιπορίας καὶ ἡλίῳ θερινῷ ἢ λυπηθέντες ἢ σφόδρα φροντίσαντες ἑτοίμως φρίκαις καὶ πυρετοῖς ἁλίσκονται· ἐκχολοῦται γὰρ ῥᾳδίως ἐπὶ τῶν πικροχόλων φύσεων ἡ ἕξις ἐν ταῖς ἀσιτίαις καὶ τοῖς εἰρημένοις πᾶσι καὶ πρῶτον μὲν ἀνωμαλίας αἰσθάνονται, ἔπειτα δὲ καὶ φρίκης καὶ εἰ ἐπιμένοιεν κενούμενοι ἢ μὴ φθάσαιεν λαβεῖν σιτίων, αὐτίκα πυρέξαιεν. οἱ γὰρ δακνώδεις ἀτμοὶ καὶ χυμοὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενοι φρίκας καὶ ῥίγη γεννῶσι καὶ τούτου χάριν φρίττοντος καὶ πυκνουμένου τοῦ δέρματος, ὡς φύσει ἐπὶ τούτων ξηροτέρου ὑπάρχοντος, ἐπέχεται τὰ διαπνεόμενα πρόσθεν λιγνυώδη καὶ καπνώδη περιττώματα καὶ πυρετὸν ἐξάπτει εἰ μὴ φθάσαιεν, ὡς προείρηται, οἱ τοιοῦτοι τροφὴν προσενέγκασθαι. ἔδειξα δέ σοι πυρέξαντας οὕτω τινὰς καὶ μάλιστα τῶν ἐκ νόσου μακρᾶς ἀνακομιζομένων, ὧν ἑνὶ κατὰ τύχην ἀπαντήσας κατ' ἀγορὰν τῆς φρίκης ἀρχομένης εἰσαγαγὼν εἴς τι ἐργαστήριον ἄρτον ἐξ οἴνου κεκραμένου δοὺς αὐτῷ παραχρῆμα τὴν φρίκην ἔπαυσα καὶ πυρέξαι ἐκώλυσα· ἑτέρους δὲ εἰς τοὺς ἑαυτῶν οἴκους ἀπελθεῖν φθάσαντας ἔθρεψα κατὰ τὴν ἀρχὴν τῆς φρίκης ἢ μικρὸν ὕστερον· ἁπλῶς δὲ εἰπεῖν, οἷς ἔτι τὰ τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστι συμπτώματα ἐπὶ τῶν τοιούτων κράσεων, τούτοις ἅπασιν ἄρτον ἐξ οἴνου κεκραμένου διὰ ταχέων προσφέρων ἔπαυσά τε παραχρῆμα τὴν φρίκην ἐκώλυσά τε πυρέξαι. ὅσον γὰρ θᾶττον αὐτοὺς θρέψεις, τοσοῦτον μᾶλλον κωλύσεις τὸν πυρετόν· εἰ δέ ποτε βραχὺ βραδύνας ἔθρεψας, πυρετὸς μὲν οὐκ ἐγένετο, θερμασία δὲ αὐτοῖς ἐπιγίγνεται ὀλίγη· ὡς εἴ γε ἐπὶ πλέον βραδύνεις θρέψαι, θερμανθήσονται θερμασίαν τοσαύτην, ὡς ἀμφιβάλλειν εἰ πυρετὸν κλητέον αὐτὴν δεῖ. εἰ δὲ ὧραι δύο μετὰ τὴν ἀρχὴν τῆς φρίκης

2 προείρηται *p. 52, 19*   10. 11 ἐκχολοῦται—ἀσιτίαις *Gal. meth. med. X 4 (X 679, 18—680, 1)*   13—15 *sqq.* οἱ γὰρ—γεννῶσι *Gal. ib. (ib. 679, 11—12 sqq.)*   19—*p. 73, 21* ἔδειξα—καταστάσει *Gal. ib. (ib. 682, 5—8, 11, 10, 8—9, 11—683, 1, 3—15, 684, 1—2, 686, 12—687, 2) ib. 6 (ib. 692, 13—14, 15—693, 4)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t)   1 διδόναι A^t 2 *post* περὶ *alt.*: συνόχων πυρετῶν καὶ ἐπὶ P^x τῶν *om.* $P^x M^o$ 3 καὶ *om.* $P^a C^p$ A ἐφεξῆς καὶ ψ (*exc.* A) ω   7 ἐκλελυμ. P^a ἔχ. *post* αἰσθητ. A^t *m. 1^a* S   ἔχουσιν P^a ...ων P^x ἢ pr.] καὶ T ω   12 κινούμ. α, *exc.* L^a 13 φθάσειεν φ $P^x M^o$ T S ...σειαν A^t ...τία P^x ...τίον ψ (*exc.* T) A^t ἂν *post* αὐτ. *exspecto*   ...ξοιαν ἂν P^a ...ξειεν L^a χ ψ (*exc.* T) S ...ξειαν A^t χυμ. κ. ἀτμ. *transp.* T ω   16 ...χονται φ D P   18 ...άσειεν L^a χ T ω ...άσωσιν P^a ....άσει A ....οι D P *correxi* ὁ τοιοῦτος χ (*exc.* M^o) ψ ω   οἱ *om.* M^o 19 τινὰ $L^a P^x M^o$ 22 παραυτίκα P^a 25 τοῦ ....σμοῦ P^x D P   26 ταχέος ψ (*exc.* T) A^t 28 ὅσω M^o T ω   θρέψης $C^p M^o$ ....ούτω M^o D T S   29 ....ψα $P^a C^p P^x$ ψ ω   30 ἦν $P^a C^p P^x$ ψ ω   γε *om.* $C^p P^x$ ψ ω   ...δύνης χ ψ ω ...νοις *Gal.*   ἔθρεψας *om. Gal.*   31 ...θήσεται $P^a P^x$ ψ (*exc.* T)

εἶεν γενόμεναι, μενούσης μὲν ἔτι τῆς φρίκης, τρέφειν χρὴ καὶ τότε, προλέγειν δὲ ὅτι πυρέξουσιν οὗτοι πυρετὸν ἄλυπον, ᾧ νοτίδες ἀκολουθήσουσι· καὶ τούτου γενομένου καὶ λούειν χρὴ καὶ τρέφειν αὖθις. εἰ δὲ μετὰ τὸ παύσασθαι μὲν τὴν φρίκην, ἄρξασθαι δὲ τὸν πυρετὸν μετὰ συστολῆς, μηκέτι τρέφειν αὐτοὺς ἐν ἐκείνῳ τῷ καιρῷ. παρακμάζοντος δὲ τοῦ παροξυσμοῦ τρέφειν αὐτίκα, μὴ περιμένειν ἀπυρεξίαν, διδοὺς καὶ ποτὸν ὕδωρ θερμὸν ἐν ἀκμῇ πλεῖον. ἐν ἁπάσαις γὰρ ταῖς αὐχμώδεσι διαθέσεσιν οὐ παύονται οἱ παροξυσμοί, πρὶν ἤτοι λουτροῖς ἢ τροφαῖς ὑγραινούσαις τεγχθῆναι. ἐνίους δὲ καὶ τῆς παρακμῆς ἀρξαμένης καὶ ἄλλους τῆς ἀκμῆς ἐνεστηκυίας τοῦ παροξυσμοῦ τρέφω· ἀσιτία γὰρ ἐπὶ τῶν τοιούτων κράσεων πυρεττόντων μάλιστα οὐχ ἁπλῶς βλαβερόν, ἀλλ' εἴπερ τι καὶ ἄλλο τῶν ἄλλων ὀλέθριον· ἤτοι γὰρ εἰς τοὺς καυσώδεις ἐμπίπτουσι πυρετοὺς ἀσιτήσαντες, ἐξ ὧν ἐὰν μὴ φθάσωσιν ἀποθανεῖν εἰς τοὺς ἑκτικοὺς μεταπίπτουσιν, αὖθίς τε ἐκ τούτων εἰς μαρασμὸν ἢ ἐξ ἀρχῆς εὐθέως ὁ ἑκτικὸς αὐτοῖς συμπίπτει πυρετός. κατ' ἀρχὰς μὲν οὖν οὕτω χρὴ τοὺς τὴν τοιαύτην κρᾶσιν ἔχοντας διαιτᾶν. ὅταν δὲ ἤτοι γε ἐκ κόπων ἢ θυμῶν ἢ φροντίδων πλειόνων ἢ ἀγρυπνίας ἢ λύπης ἢ καὶ πάντων τούτων ἅμα συνελθόντων σφοδρῶς ξηρανθέντος τοῦ σώματος εἰσβάλλῃ πυρετός αὐχμηρὸν μὲν ἔχων τὸ δέρμα, πυρώδη δὲ τὴν θέρμην, ἐλπὶς μὲν δήπου τοῦτον τὸν ἄνθρωπον ἑκτικῷ ληφθήσεσθαι πυρετῷ καὶ μᾶλλον ἐν θέρει καὶ θερμῇ καὶ ξηρᾷ καταστάσει. δέονται τοίνυν ὑγραινόντων τε καὶ ψυχόντων ἐδεσμάτων τε καὶ πομάτων. ξηροὶ γὰρ καὶ θερμοὶ τὴν κρᾶσιν ἀσθενεῖς τε τὴν δύναμιν ἐξ ἀνάγκης· οὐ γὰρ ἐνδέχεται θερμὸν καὶ ξηρὸν ἱκανῶς σῶμα πυρέξαν ἐρρῶσθαι τὴν δύναμιν. προσήκει μὲν οὖν ὅτι τάχιστα διὰ πτισσάνης χυλοῦ ἢ τῶν διὰ χόνδρου ῥοφημάτων θρέψαντα καὶ ἄρτου βραχὺ

23—p. 74, 18 θερμοὶ — οἶκον *Gal. ib. 5 (ib. 690, 10—13) 6 (693, 4—9, 18—694. 3) 7. 8 (696, 1—4, 12—697, 9)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t)   1 εἶεν] εἰς ἓν P^a P^x A^t *m. 1ª* S   μὲν *om.* P^x ψ (*exc.* T)   ἔτι *om.* L^a 2 δεῖ *cett.*] δὲ C^p M^o ψ *om.* A^t *m. 1ª* S *Gal.*   4 εἰ δὲ — συστολῆς] εἰ δὲ ἡ μὲν φρίκη, παύσοιτο πυρέττοιεν δ' ἤδη σαφῶς *Gal.*   παῦσαι T S   μὲν *om.* P^x ψ (*exc.* T)   δὲ *alt. om.* P^x M^o 5 μετὰ συστ.] μετασταλείσης φ C^p M^o A D P *m. 2ª* S (σαφῶς *Gal.*) *om.* P^x 6 . . . μένων L^a χ ψ (*exc.* T)   7 διδόντα *exspectaverim*   πλείονι L^a χ . . . . ίονα T S   πάσαις D P   γὰρ] δὲ D P A^t 8 ἢ τοῖς L^a M^o 9 ἐνίοις T ἐν ἴσοις A^t 9. 10 . . ξομένης M^o . . . . χομ. C^p P^x A D T ω *om.* P   10 ἐνεστ. P^a C^p M^o ψ ω *Gal.*: ἀνεστ. *cett.*   11. 12 γὰρ — βλαβερόν] τοίνυν τοῖς θερμοῖς καὶ ξηροῖς σώμασιν ὑγιαίνουσι μὲν βλαβερά, πυρέττουσι δὲ θέρει θερμῷ καὶ ξηρῷ τὸν ἐν ἐγκαύσει πυρετὸν ἢ πόνοις ἀμέτροις ἢ ἀγρυπνίαις ἢ τοῖς εἰρημένοις πάθεσι τῆς ψυχῆς οὐχ ἁπλῶς βλα⟨βερὰ⟩ P^a 11 *post* κράσεων: ἐπὶ τῶν A ἐπὶ D   *ante* μάλ.: καὶ A D   14 τε] δὲ (δ') C^p P^x ψ (*exc.* T) τε *corr.* γε *m. 2ª* S   15 *post* μαρασμ.: ὅτε καὶ ὀλεθριώτατά ἐστιν τὰ τοιαῦτα νοσήματα καὶ θανατοδέστατα κτλ. P^x 15—25 ἢ ἐξ ἀρχῆς — δύναμιν *om.* P^x ἢ] εἰ C^p P A^t εὐθ. *post* αὐτ. T ω   ἐμπ. D P S *suprascr.* συμ *m. 1ª* T   16 οὖν *om.* P^a A   17 ἤτοι γε *om.* ψ (*exc.* T)   18 *post* λύπης: ἢ ἐνδείας μακρᾶς P^a τούτων *om.* α, *exc.* L^a 19 εἰσβάλλῃ *Gal.* . . . βάλῃ A S . . . βάλλει *cett.*   ἔχον M^o T A^t . . . τος ψ (*exc.* T) ποιῶν P^a 20 ἐλπ. μὲν] ἐλπιοῦμεν ψ (*exc.* T)   21 καὶ ξηρᾷ κ. θερμῇ *transp.* T ω   22 τε pr. *om.* P^a T S   23 *ante* θερμ.: οἱ P^a ψ   τε] δὲ L^a γε A *om.* P^a 24 *post* ἀνάγκ.: εἰσὶν ψ (*exc.* T)   ξηρ. κ. θερμ. P^a C^p M^o ψ (*exc.* T) A^t 25 μὲν *om.* P^x A   26 . . . ψαντας D P

προσεπιδιδόντα θεραπεῦσαι πόσει ψυχροῦ τὸν κάμνοντα. cβέννυται γὰρ αὐτίκα καὶ παύεται ὁ πυρετὸς τελέως, ὅταν γε μήτε φλεγμονή τις αὐτῷ πάρεστι μήτε cῆψις χυμῶν. εἰ μέντοι μεγάλην cτοχάζοιο ἔcεcθαι τὴν βλάβην, ἐπιcχεῖν τὴν δόcιν, διὰ δὲ τῶν ἔξωθεν προcπιπτόντων τῷ cώματι τὴν ἴαcιν μηχανᾶcθαι. ἔξωθεν δὲ προcπίπτει ὅ τε περιέχων ἡμᾶc ἀὴρ καὶ ὅcαι δυνάμειc ὑγραίνειν καὶ ψύχειν πεφύκαcι καὶ πρὸc τούτοιc τὰ τῶν γλυκέων ὑδάτων λουτρά. τῷ μὲν οὖν περιέχοντι ἡμᾶc ἀέρι εὐκράτῳ μὲν ὄντι χρηcτέον ὡc ἔχει μηδὲν περιεργαζομένουc. εἰ δὲ ἤτοι θερμὸc ἱκανῶc ἢ ψυχρὸc ὑπάρχοι, τῷ μὲν θερμῷ τοὐναντίον ἐπιτεχνᾶcθαι, καταγαίουc οἴκουc ψυχεινούc τε καὶ εὐπνουcτάτουc ἐξευρίcκονταc πρὸc ἄρκτον ἐcτραμμένουc αὔραc τέ τιναc αὐτοῖc ἰδίαc μηχανωμένουc, ἐνίοτε μὲν ἐξ εὐρίπων εἰc οὓc καταρρήcουcι κρουνοὶ πλείουc, ἐνίοτε δὲ ἐξ ἀγγείων εἰc ἀγγεῖα μεταρρέοντοc τοῦ ὕδατοc ψυχροῦ, εὐθὺc δὲ τοῦτο καὶ ὑπνωτικὸν ὑπάρχει, ῥαίνειν τε cυνεχῶc τὸν οἶκον ἀκραιφνεῖ ψυχρῷ καὶ ῥόδα πολλὰ ἢ ἀμπέλων ἕλικαc ἢ μυρcίναc κατὰ τῆc γῆc ἐπιcτρωννύειν ἤ τι τῶν ἄλλων φυτῶν ὅcα ψύχει. εἴργειν δὲ πλῆθοc ἀνθρώπων εἰcιέναι· καὶ γὰρ καὶ τοῦτο θερμαίνει τὸν οἶκον. ψυχρότατον δὲ ὄντα τὸν ἀέρα ὡc ἐν χειμῶνι μάλιcτα, δι᾽ ἐπιβλημάτων θάλπειν τὸ cῶμα· πυκνοῖ γὰρ καὶ cυνάγει τὸ δέρμα καὶ κωλύει τὰc ἀπορροίαc διαπνεῖcθαι τῶν ἐκκαιομένων χυμῶν. μείζονα γὰρ γνωcτέον ἐcομένην τὴν ἐκ τῆc ψυχρᾶc εἰcπνοῆc ὠφέλειαν ἤπερ τὴν ἐκ τῆc τοῦ δέρματοc ἐμψύξεωc. ὁμοίωc δὲ καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων ἐκλεκτέον τὰ ψύχοντα χωρὶc τοῦ cτύφειν ἰcχυρῶc καὶ cυνάγειν καὶ cφίγγειν τὸ δέρμα. κάλλιcτα δὲ οὐ μόνον ὅcα ψύχει, ἀλλ᾽ ἵνα καὶ τῇ cυcτάcει τοῦ cώματοc εἴη λεπτομερῆ, καθ᾽ ὅcον οἷόν τε εὑρεῖν ἐν τοῖc ψύχουcι χωρὶc ἐπιμιξίαc ἑτέραc cφοδρᾶc ποιότητοc. ἔcτι δὲ ἁπλούcτατον φάρμακον τῶν ὑγραινόντων τε καὶ ψυχόντων, ᾧ καὶ κατὰ τῶν ἐρυcιπελάτων χρῶμαι καὶ κατὰ τῶν ἐν αἰδοίοιc φλεγμονῶν ἐν ἀρχῇ· κηρὸν τὸν λευκότατον τήξαc ἐπὶ διπλώματοc ἐπίχεε

21—25 μείζονα — λεπτομερῆ *Gal. ib. (ib. 699, 9—11) 9 (701, 3—6. 8—10)*
27—29 ἔcτι δὲ — ἀρχῇ *Gal. ib. (ib. 702, 8—11)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t) 1 προcεπιδόντα A ...αc D P ...επιδιδοῦν M^o ψυχρᾷ ψ (*exc.* T) 2 ...είωc ψ (*exc.* T) μὴ A^t *m. 1ª* S 3 πάρ.] cυνῇ $P^a P^x$ *Gal.* ...άζοιc A ..άcοιο D ...άcοι P 4 *post* ἐπιcχ.: μὲν P^a μὲν δεῖ P^x *post* δόcιν: τοῦ ψυχροῦ $P^a P^x$ διὰ δέ *usque ad fin. cap.*] τοῖc δὲ ἔξωθεν ἐπιτιθεμένοιc ψυκτηρίοιc ἰάμαcι χρῆcθαι καὶ βαλαν⟨ε⟩ῖα δὲ τοῖc οὕτω κάμνουcιν ἐπιτήδ⟨ε⟩ια κατὰ πάντα καιρόν P^x 8 ἔχειν M^o S 9 θερμὸν φ M^o ψυχρὸν φ M^o A D ...χει P *id. post* θερμ. ψ (*exc.* P) ω τὸ ...θερμὸν A^t *m. 1ª* S *post* μὲν: οὖν $C^p M^o$ 10 ...αγίουc M^o ...ωγαίουc A^t ...αγείουc $P^a C^p$ ψ ω 10. 11 ....ρίcκοντα A ...τεc A^t *om.* T 11 ἄρκτουc A^t ἡδείαc $P^a C^p$ 12 ....νωμένων L^a ....νώμενον $P^a C^p M^o$ A ....ρήcουcι $L^a M^o$ ....ράcc. P^a ...ρρήccουcιν D T 14 τούτω A^t ....τικὰ A^t 15 ῥόδων πολλῶν ψ (*exc.* T) 16 μυρc. — ἐπιcτρ.] βάτων ἀκρεμόναc ἢ cχίνων χλῶναc P^a τῆc *om.* ψ 18 ...τάτου δ᾽ ὄντοc τοῦ ἀέροc ψ (*exc.* T) 21 ἐcομ.] καὶ cεcωcμ. A^t *om.* M^o 22 ἐκψ. *suprascr.* ἐμψ. P^a ἐκψ. A^t 24 μάλιcτα D T A^t *m. 1ª* S 25 ἵνα] ὅcα D P A^t εἰ *Gal.* *ante* καθ.: καὶ L^a 26 ἐν *om.* φ *ante* χωρ.: ἢ C^p ψ ω 29 *post* ἀρχῇ: πρὶν ὑποφαίνεcθαί τινα νομώδη cηπεδόνα P^a Κηρωτὴ ἐμψύχουcα A D P *m. 2ª* S *in marg.* T

εἰς ὕδωρ ψυχρὸν καὶ μάλασσε ταῖς χερσὶν ἐπὶ πολὺ ἀποπλύνων· ἔπειτα ὁμοίως τήξας αὐτόν ἐπίχεε ἑτέρῳ ὕδατι καθαρῷ καὶ αὖθις τὸ τρίτον τὸ αὐτὸ ποιήσας ἀναλάμβανε· τούτῳ τῷ κηρῷ οὕτω πλυθέντι ἐπίβαλλε ῥόδινον ἐσκευασμένον ἐξ ἐλαίου καλλίστου ὀμφακίνου, ὡς εἶναι τοῦ μὲν κηροῦ Γο α̅, τοῦ δὲ ῥοδίνου Γο δ̅ καὶ τῆκε ὁμοίως ἐν διπλώματι καὶ τακέντων ἄρας κίνει μέχρι ποσῶς ψυχθῆναι, ἔπειτα ἐπίχεε ἐν θυίᾳ καὶ τρῖβε ἰσχυρῶς τῷ δοίδυκι, ἐπιστάζων κατὰ βραχὺ ὕδωρ πότιμον ψυχρότατον, ὅσον ἐπιδέχεται, καὶ ἀναλάμβανε ἐν χυτριδίῳ ὕδωρ καθαρὸν ἔχοντι, ἀλλάσσων καθ' ἑκάστην τὸ ὕδωρ· ἐκ τούτου τοῦ φαρμάκου ἐμπλάσσων ῥάκει ἰσχνῷ ἐπιτίθει μὴ καθ' ὅλου τοῦ θώρακος, καθώς τινες ποιοῦσι, μηδὲ μὴν καθ' ὅλων τῶν ὑποχονδρίων, ἀλλὰ κατ' ἐκείνου μάλιστα τοῦ τόπου, ἐν ᾧ τῆς πολλῆς θερμασίας αἴσθησις γίγνεται. ἀλλασσέσθω δὲ τὸ φάρμακον, πρὶν σαφῶς θερμανθῆναι. ἄλλο ἐπίθεμα κάλλιστον. ὀξυλαπάθου χυλῷ ἀλφίτων λεπτῶν μιχθέντων ἀναλαμβανέσθω διπτύχῳ ῥάκει τριβακῷ καὶ ψυχρὸν ἐπιτιθέσθω. ὁμοίως δὲ ποιεῖ καὶ ὁ τῆς ἀνδράχνης χυλὸς καὶ ὁ τοῦ ἀειζώου ἅμα τῷ τῆς ὄμφακος μετ' ἀλφίτων καὶ τριβόλου χλωροῦ χυλὸς καὶ πολυγόνου καὶ σέρεως καὶ θριδακίνης σὺν τοῖς ἀλφίτοις καὶ αὐτὰ δὲ τὰ φύλλα τούτων λεάνας ἐπιτίθει. ἀγαθὸν δὲ φάρμακον καὶ τοῦτο· φοινίκων λιπαρῶν τὴν σάρκα ἐξυμενίσας καὶ ἑψήσας σὺν ὀξυκράτῳ ἀκρατεστέρῳ μέχρι τακερώσεως καὶ λεάνας σὺν τοῖς λεπτοτάτοις ἀλφίτοις ἐπιτίθει· εἰ δὲ ξηρότερόν σοι φαίνοιτο, μίγνυε ἐν αὐτῷ ἐκ τῆς προειρημένης κηρωτῆς βραχὺ ἢ ῥοδίνου καλλίστου ἐλάχιστον. ἀγαθὸν δὲ φάρμακον καὶ ὁ τῶν ῥόδων χυλὸς μετὰ τῶν λεπτῶν ἀλφίτων καὶ αὐτὰ τὰ ῥόδα λεῖα ἐπιτιθέμενα. ταῦτα μὲν οὖν παραλαμβάνομεν ψύχειν ἱκανῶς βουλόμενοι· μετρίως δὲ ψύχειν ἐθέλοντες, οὐκ ὀλίγον ὑπάρχει πλῆθος ἐμπλάστρων φαρμάκων ἠρέμα ψύχειν δυναμένων. ἐγὼ γὰρ οἶδα κατὰ τῶν ὑποχονδρίων ἐπετιθέντος ποτὲ ψύχοντος φαρ-

23. 24 ἀγαθὸν — ἀλφίτων *Gal. ib. (ib. 705, 1—2)* 27 — *p. 76, 3* ἐγὼ γὰρ — ἀρθέντος *Gal. ib. (ib. 13—17)*

φ(L^a P^a) χ(C^p M^o) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t) 2 καθαρῷ *om.* φ αὖθ. τ. τρίτ.] ἕως τρίτου T A^t 3 τὸ αὐτὸ τρίτ. A P τ. αὐ. ποιής. τρίτ. D τοῦτο φ C^p S ...βαλε C^p M^o ψ (*exc.* P) S 4 μὲν τοῦ ψ (*exc.* T) 6 ψυγῆναι ψυχῇ P^a ...γῆναι C^p M^o ψ ω 7. 8 ὕδωρ — ὕδωρ *om.* A 7 *ante* ψυχρότ.: καὶ T ω 8. 9 καθ. — ὕδωρ *om.* C^p ἔχ. καθ. A^t 10 *post* τινες: τοῦτο T A^t *m. 1ª* S 11 μήτε M^o T A^t ὅλον τὸν θώρακα ἢ A^t *m. 1ª* S (τὸν θώρ. ἢ *canc. sep. m. 2ª* S) τὸ ὑποχόνδριον A^t κατ' *om.* A^t 12 τῆς *om.* A P 13 ἐπίθ. (....ρριμα L^a ...ρρημα C^p ...ριμμα M^o) κάλλ. *om.* P^a ψ (*exc.* T) 14 *post* χυλ.: καὶ ὀξαλίδος A P T ὀξαλ. D ..φιτα ..τὰ ...έντα ψ (*exc.* T) 15 ποιεῖ *om.* ψ (*exc.* T) 17 χυλὸν φ 18—21 ἀγαθ. — ἐπιτίθ. *om.* A 20 μέχ. τακ.] καὶ τακερὰν δ' ἱκανῶς γενηθεῖσαν P^a καὶ *om.* P^a 21 μίγν. αὐτῷ (...ὸ M^o) M^o A D P αὐτῷ (...ὸ T S ...ὰ A^t) μίγν. (...ύναι P^a) P^a C^p T ω 22 *post* ῥοδ.: ποτὲ τῶν εἰρημένων ἑκάστῳ μῖξαι βουληθείς, οὐδὲν ἔσται σοι χεῖρον τὸ φάρμακον. ἔστω δ' ὀλίγιστόν τε τὸ μιγνύμενον καὶ ψυχρὸν ἱκανῶς P^a 22. 23 καλλ. ἐλάχ. *om.* P^a 24 ....νωμεν P^a C^p S 25 θέλ. M^o D P T *m. 2ª* S ....τος A ....όντων C^p βουλόμενοι *m. 1ª* S *om.* A^t 26 ...άστων (....ῶν) P^a C^p M^o P ...αστικῶν T A^t ...αστωδῶν S *post* δυναμ.: χρῆσθαι δ' οὐχ ὡς οἱ πολλοὶ καθ' ὅλου τοῦ θώρακος ἢ συμπάσης τῆς γαστρός, ἀλλὰ κατ' ἐκείνου μάλιστα τοῦ πρώτου πεπονθότος κτλ. P^a 27 ἐπιτιθέντος L^a χ A D P S ὑποτιθέντος A^t

μάκου παραχρῆμα δυcπνοήcαντα τὸν ἄνθρωπον, ἄλλον δὲ αὐτίκα βήξαντα καὶ μικρὸν ὕcτερον ἀμφοτέρων παυcάμενον τὸ cύμπτωμα τοῦ ψύχοντοc φαρμάκου ἀρθέντοc. λουτρὰ δὲ τῶν γλυκέων καὶ θερμῶν ὑδάτων, μᾶλλον δὲ εὐκράτων, ὠφελιμώτατα πᾶcι τοῖc ξηρὰν καὶ θερμὴν ἔχουcι κρᾶcιν. λούειν δὲ αὐτούc, ὥcπερ καὶ τοὺc ἑκτικούc, ἐν τῷ δευτέρῳ οἴκῳ περιχέονταc τῷ cώματι ὑδρέλαιον θερμὸν καὶ ἐμβιβάζονταc εὐθέωc τῷ εὐκράτῳ θερμῷ, ἔπειτα δὲ καὶ τῷ ψυχρῷ. οὐ μέντοι χρὴ ἐμβραδύνειν τῷ ψυχρῷ. εἰ δὲ φλεγμονή τινοc τῶν cπλάγχνων ἐπιγένοιτο, παραιτεῖcθαι δεῖ τὸ βαλανεῖον. εἰδέναι μέντοι χρή, ὡc εἴποτε cυνέλθοι φλεγμονὴ κυρίου μορίου τοῖc τοιούτοιc πυρετοῖc καὶ cώμαcι τεθνήξεται πάντωc καὶ μᾶλλον εἰ πνεύμονοc ἢ τοῦ τὰc πλευρὰc ὑπεζωκότοc ὑμένοc ἢ γαcτρὸc ἢ ἥπατοc· ὅcον μὲν γὰρ ἐπὶ ταῖc φλεγμοναῖc τούτων τῶν μορίων ἥκιcτα προcήκει τρέφειν, ὅcον δὲ ἐπὶ τῇ τῆc δυνάμεωc ἀρρωcτίᾳ πολλάκιc δεῖ τρέφειν, ὥcτε ἀναγκαῖον ἢ μὴ τρέφοντα καταλῦcαι τὴν δύναμιν ἢ τὰc φλεγμονὰc αὐξῆcαι τρέφοντα.

ϙγ̄ Περὶ ἑκτικῶν καὶ μαραcμωδῶν πυρετῶν. ἑκτικὸc ὀνομάζεται πυρετόc, ἐπειδὰν εἰc τοcαύτην ἀμετρίαν ἥκοι ἡ παρὰ φύcιν θερμότηc, ὡc ἐν ἕξει γενέcθαι αὐτῆc τῆc cτερεᾶc οὐcίαc τοῦ ὁμοιομεροῦc cώματοc τῆc καρδίαc καὶ διὰ τοῦτο δύcλυτον ἔχειν τὴν καταcκευήν. πρῶτον μὲν γὰρ ἐκτήκει καὶ ἐξικμάζει καὶ ἐκδαπανᾷ ἡ παρὰ φύcιν θερμότηc τὴν οἷον ὑγροπαγῆ οὐcίαν τὴν ἐν τοῖc μορίοιc, ὁποῖόν ἐcτιν ἡ πιμελὴ καὶ ἡ cάρξ, ἔπειτα δὲ τὴν οἰκείαν ὑγρότητα δαπανᾷ, ἐξ ἧc τρέφεται τὰ cώματα, ἥτιc παρακέχυται καὶ παρέcπαρται δροcοειδῶc περὶ πάντα τοῦ ζῴου τὰ μόρια. μεταβαίνει δὲ ἐντεῦθεν ἐπὶ τὸ cαρκῶδεc γένοc, ὃ ταῖc ἰcὶ καὶ τοῖc ὑμενώδεcι μορίοιc τῶν cτερεῶν cωμάτων περιπέφυκεν, ὅπερ ξαίνοντεc οἱ μάγειροι ἀφαιροῦcι, τὰc δὲ ἶναc ἀποβάλλουcι. τὸ δὲ ἀκριβὲc τῆc cυμπληρώcεωc ἐν τῷ τὴν cτερεὰν οὐcίαν αὐτὴν τῶν ὁμοιομερῶν γεγενῆcθαι ξηροτέραν, ὅ τε καὶ καλεῖται μαραcμώδηc πυρετόc. διττὸν δέ ἐcτι τὸ γένοc τῶν ἑκτικῶν πυρετῶν· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τοῖc καυcώδεcι πυρετοῖc ὡc τὰ πολλὰ γίγνον-

16—19 ἑκτικὸc — καρδίαc *cf. Gal. de inaeq. intemp. lib. cap. 5 (VII 743, 10sqq.) Or.ª VI 21 (196, 2. 3)* 19—21 πρῶτον — μορίοιc 22 - 23 τὴν οἰκείαν — τρέφεται 24—26 μεταβαίνει—περιπέφυκεν *Gal. meth. med. XII (X 730, 4—7)* *29—p. 78, 1* διττὸν—ἵcταται *Gal. de diff. febr. I 10 (VII, 313, 11—314, 6, 10—17) 11 (315, 18—316, 3, 5—8, 11—12, 14—317, 6)* *29—p. 77, 3* διττὸν – ἀνάπτονται *Or.ª VI 21 (196, 5—10)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 2 ἀμφότερα ...μενα τὰ ...πτώματα ψ (*exc.* T) 7 θερμῷ *om.* M^o T ω τῷ *om.* A^t *m. 1ª* S 8. 9 ...γίνοιτο P^a ...γένηται C^p 10 ...έλθη M^o A P ω cώματι A^t 11 ...ξονται $C^p M^o$ ψ ω 12 ἢ *pr.*] καὶ ψ (*exc.* T) 13. 14 ὅcον — τρέφειν *om.* P^a 13 τῇ *om.* A^t 14. 15 ...φονταc D P ....λύειν T ω 16 καὶ μαραcμ. *post* πυρετ. *transp.* A^t πυρ. ὀνομ. *transp.* $P^a M^o$ 17 ἥκη $P^a P^x$ ...ἥ (ει suprascr.) T ...ει A^t ....οι (η suprascr.) *suprascr. m. 2ª* S 19 ἔχει ψ (*exc.* T) 21 ὁποῖα T ω *post* ἐcτι: καὶ A^t 22 ἡ *om.* $C^p M^o$ 23 παρεγκέχυται ψ (*exc.* T) κ. παρέcπ. *om.* L^a 24 τὰ τοῦ ζ. μ. P^x τοῦ ζ. μ. A D P τὰ μ. τοῦ ζ. T ω 26 περιφύκαcιν T A^t *m. 1ª* S 28 γενέcθαι $P^x A^t$ ὅ τε] ὅθεν C^p *m. 2ª* S *recte*

ται μηκυνθεῖcιν εἰc τοcοῦτον, ὡc ἐκδαπανῆcαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆc καρδίαc cώματοc, οἱ δὲ ἔτι μενούcηc τῆc ὑγρότητοc γιγνόμενοι τὸ cῶμα τῆc καρδίαc καταλαμβάνοντεc ἐντεῦθεν ἀνάπτονται, καθάπερ ἡ τῶν λύχνων φλὸξ ἐκ τῆc θρυαλλίδοc ἔτι μένοντοc τοῦ ἐν τοῖc λύχνοιc ἐλαίου. καὶ ἡ μὲν μία γένεcιc αὐτῶν αὕτη, ἑτέρα δὲ ὅταν ἐξ ἀρχῆc εὐθέωc εἰcβάλλωcι, τὴν πρώτην γένεcιν ὁμοίαν ποιηcάμενοι τοῖc ἐφημέροιc ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι μετ᾽ ἐγκαύcεωc ἅμα γενομένῳ. τούτουc μὲν οὖν τοὺc πυρετοὺc οὐ χαλεπὸν ἰᾶcθαι, τοὺc δὲ ἐξ αὐτῶν εἰc μαραcμὸν ἀφικομένουc οὐ δυνατόν ἐcτιν ἰᾶcθαι. ἡ γάρ τοι φύcιc αὐτῶν ἐcτι θερμὴ καὶ ξηρά, παραπλήcιόν τι παcχούcηc τῆc καρδίαc, οἷόν περ ἡ θρυαλλὶc ἐν τοῖc λύχνοιc, ἐπειδὰν ἐπὶ πλεῖcτον ἐκκαυθῇ. θρύπτεται γὰρ ἡ οὕτωc φρυχθεῖcα, ὡc μηδ᾽ εἰ παραχέοιc ἄφθονον ἔλαιον ἀναφθῆναι δύναcθαι φλόγα δαψιλῆ· περιcπαίρει τοιγαροῦν αὕτη μικρὰ καὶ ἄτονοc ἡ φλὸξ ἀεὶ καὶ μᾶλλον ἐλάττων γιγνομένη, μέχρι περ ἂν ἀποcβεcθῇ. ἑτοιμότατοc δὲ διαγνωcθῆναι οὗτοc ὁ πυρετόc· πρὶν γὰρ ἅψαcθαι τῶν cφυγμῶν καὶ τῆc θερμαcίαc, τοὺc ὀφθαλμοὺc κοίλουc θεάcῃ ἀμέτρωc, καθάπερ ἐν βόθροιc τιcὶ κειμένουc καὶ λήμαc κατ᾽ αὐτοὺc ἐμφερομέναc ξηρὰc καί τινα αὐχμώδη διάθεcιν οἷα δὴ μάλιcτα τοῖc πολλὴν διελθοῦcι κόνιν δι᾽ ὅληc ἡμέραc ἐν ἡλίῳ θερινῷ γίγνεται. ἀπόλωλε δὲ καὶ τῆc χρόαc αὐτῶν τὸ ζωτικὸν ἄνθοc καὶ τὸ περὶ τὸ μέτωπον δέρμα ξηρὸν καὶ περιτεταμένον καὶ μέντοι μύουcι τὰ πολλὰ τὰ βλέφαρα καθάπερ ὑπνώττοντεc. ἔcτι δὲ οὐχ ὕπνοc τὸ πάθοc, ἀλλ᾽ ἐγρηγόρcεωc ἀδυναμία καὶ κρόταφοι cυμπεπτωκότεc εἰcίν, ὥcτε φαίνεcθαι κοῖλα τὰ χωρία. καὶ τί γὰρ ἄλλο ἢ ὀcτᾶ καὶ δέρμα εἰcὶ τοὐπίπαν; ὡc εἰ καὶ γυμνώcαc ἐπιcκέψαιο τὰ κατὰ τὴν γαcτέρα, δόξειέ cοι μήτε τῶν ἐντέρων τι μήτε τῶν cπλάγχνων μηδὲν ἀποcώζεcθαι καὶ τὸ ὑποχόνδριον ἀνεcπᾶcθαι cφοδρῶc εἰc τὸν θώρακα καὶ τὸ δέρμα ὅλον ξηρὸν καὶ καρφαλέον, καὶ εἰ ἀνατείνειc ἐπιλαβόμενοc

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t)   1 μήκιcτοι ψ (*exc.* T)   2 *post* μεν.: ἔτι cυχνῆc, ἐκεῖνοι μὲν οὐχ ἑκτικοὶ μόνον εἰcὶ ἀλλ᾽ εἴδη καὶ μαραcμωδῶν πυρετῶν. εἰ δὲ ἔτι μενούcηc P^x 3 τοῦ cώματοc A^t 5 γέννηcιc P^x M^o *ante* αὕτη: ἐcτιν ψ (*exc.* T)   6 εὐθ. *om* A^t ..άλωcι P^a C^p 7. 8 γιγνομένων P^x γενομένῃ T A^t 8 τούτοιc C^p M^o D S   8. 9 τοὺc δὲ — ἰᾶcθαι *om.* A^t 9 *post* ἀφικ.: ἀμαθία τῶν ἐπιcτατούντων ἰατρῶν οὐ μόνον οὐ ῥαδίωc, ἀλλ᾽ P^x οὐδὲ P^x ἐcτιν *om* ω   ἰάcαcθαι χ T *m. 2ª* S   *ante* ἡ: cυcτάντοc δὲ ἀκριβῶc ἤδη καὶ μηκέτι ἀρχομένου P^x 10 ἐcτι *om.* A^t 12 ἐγκ. P^x A   *post* φρυχ.: καὶ διαλύεται καὶ τὸ cυνεχὲc ἀπόλ⟨λ⟩υcιν ὑπὸ κραυρότητα P^x ...χέειc L^a 14 ἡ *ante* μικρὰ *transp.* P^a P^x ἀεὶ *om.* φ   ἔλαττον T ω   15 ....cθείη P^x M^o D   οὗτ. ὁ πυρ. διαγν. *transp.* T A^t 16 τ. θερμ. *om.* ψ (*exc.* T)   17 ἐγκειμένουc *(Gal.)* ἐξαπολωλυίαc ἁπάcηc αὐτῶν τῆc ὑγρᾶc οὐcίαc καὶ τῶν ὀcτῶν οἷc ἐπιπέφυκε τὰ βλέφαρα φαίνεcθαι τὰc ἐξοχὰc καὶ μὴν λῆμαι κατὰ τοὺc ὀφθαλμοὺc ἐμφερόμεναι ξηραὶ P^x 18 ...μένουc D P ἐμφαινομένουc *Gal. recte?*   19 *ante* ἡμ.: τῆc C^p T   20 χροιᾶc P^x M^o ψ (*exc.* T)   αὐτ. *post* ἀπόλ. δὲ T ω   *post* ἄνθοc: καί τιc ἄμετροc ξηρότηc ὅλου τοῦ δερματοc P^x 21 τὸ *alt. om.* P^x T S   *post* περιτ.: ἐcτὶν ψ (*exc.* T)   *post* μέντοι: καὶ P^a γε καὶ P^x 22 *post* πολλὰ: καὶ T ω   23 ξυμπ. P^x ψ (*exc.* T)   24 τὰ χωρ. κοῖλα (κ. *om.* P^x) T ω   κοῖλα φαίν. τ. χωρ. P^a 25 τοὐπ. εἰcί *transp.* P^a P^x ὡc *om.* ψ (*exc.* T)   27 ..αcπᾶcθαι T A^t 28 *post* καρφ.: ἐcτι ψ (*exc.* T)   ...τείναιc χ ψ (*exc.* D T) ω

τοῖc δακτύλοιc ὡc βύρcα τιc ἵcταται. ὁ μὲν οὖν ἀκριβὴc μαραcμώδηc πυρετόc, ὡc ἔφην, ἀνίατόc ἐcτι. μαραίνεται γὰρ ἐπ᾿ αὐτὸν τὸ cύμπαν cῶμα δίκην δένδρου ξηρανθέντοc ἐcχάτωc ἢ διὰ φλογὸc γειτνίαcιν ἢ διὰ cφοδρὸν καὶ ἄμετρον αὐχμόν. τοῦτο δέ ἐcτιν ὃ καλοῦcιν ἐκ νόcου γῆραc. τοιοῦτον γὰρ τὸ cῶμα γίγνεται ἐπὶ τῶν κατὰ φύcιν εἰc ἔcχατον γῆραc ἀφικνουμένων χωρὶc πυρετοῦ κατὰ βραχὺ cβεcθείcηc αὐτοῖc τῆc ἐμφύτου θερμότητοc. ἀλλὰ τῶν κατὰ φύcιν γεγηρακότων ὁ θάνατοc ἄλυπόc ἐcτι κατὰ φύcιν, ἐπὶ ψύξει καὶ ξηρότητι cυνιcτάμενοc. ὁ δὲ μαραcμώδηc πυρετὸc οὐ μόνον ξηρὸν ἀλλὰ καὶ θερμὸν πάθοc ἐcτίν· οὗτοc μὲν οὖν, ὡc ἔφην, ἀνίατοc. τῶν δὲ ἑκτικῶν πυρετῶν ἁπάντων κοινόν ἐcτι βληχροῖc τε εἶναι καὶ ἴcοιc διὰ παντόc, ἀπὸ τῆc πρώτηc ἀρχῆc ἕωc τῆc ἐcχάτηc τελευτῆc. μέγιcτον δέ cοι καὶ ἀναμφιcβήτητον γνώριcμα τῆc φύcεωc αὐτοῦ· τροφῆc γὰρ προcενεχθείcηc ἀνάπτεται ἡ θερμαcία καὶ ὁ cφυγμὸc ἐπιδίδωcιν εἰc μέγεθοc καὶ τάχοc. ἔοικε δὲ αὐτοῖc τοῦτο cυμβαίνειν οἷόν τι κἀπὶ τῆc τιτάνου καὶ τῶν τεθερμαcμένων λίθων· εἰ γὰρ καὶ ψυχρότατον ὕδωρ αὐτοῖc καταχέοιc, πολὺ θερμότεροι φαίνονται τῆc αὐχμώδουc ἐν αὐτοῖc θερμαcίαc ὑπὸ τῆc ὑγρᾶc οὐcίαc τεγγομένηc. ἄχρι μὲν οὖν τοῦ cῴζεcθαί τι τῆc ὑγραcίαc ἑκτικὸc μόνον ὁ πυρετόc ἐcτιν· ὅταν δὲ εἰc κίνδυνον ἥκῃ τοῦ μηκέτι εἶναι τῆc αὐτῆc ὑγραcίαc μηδέν, ὁ ἀκριβὴc ἤδη μαραcμὸc cυνίcταται. ἡμεῖc δὲ θεραπεύειν ἐπιχειροῦμεν τοὺc ἰαθῆναι δυναμένουc.

ϙδ Ἑκτικῶν πυρετῶν θεραπεία. ἐμψύχωμεν ἅπαντι τρόπῳ τοὺc ἑκτικοὺc πυρετοὺc αὐτίκα, πρὶν προελθόνταc εἰc μαραcμὸν τελευτῆcαι. τὸ δὲ κεφάλαιον τῆc ἰάcεωc αὐτῶν ἐν τοῖc ὑγραίνουcι καὶ ψύχουcι τίθεcθαι χρή, διά τε τῶν ἔξωθεν προcφερομένων καὶ τῶν εἴcω τοῦ cώματοc λαμβανομένων, ἐν οἷc ἐcτι καὶ ὁ εἰcπνεόμενοc ἀήρ· ἅπανταc μὲν οὖν τοὺc ἑκτικὸν νοcοῦνταc πυρετόν, κἂν ἤδη ἀρχὴν λάβωcι τοῦ μαραίνεcθαι, χωρὶc τοῦ ἐπιπεπλέχθαι αὐτοῖc ἕτερον πυρετόν, ἤτοι γε ἐπὶ

10—14 τῶν δὲ ἑκτ. — τάχοc *Gal. ib. 12 (ib. 322, 14—16) 11 (320, 6—9)* 18—20 ἄχρι — cυνίcταται *Gal. ib. 11 (317, 16—19)* 22. 23 ἐμψύχωμεν — τελευτῆcαι *Gal. meth. med. X 10 (X 720, 15—17)* 26 — *p. 79, 25* ἅπανταc — χρονίζοιεν *Gal. ib. (ib. 723, 5—9, 12—18, 724, 6—8, 14—725, 8, 11—17) 11 (728, 14—729, 3)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 ὥcπερ P^a P^x ....βῶc T ω 2 αὐτοῦ T ...ὸ A^t ῷ A D P ...ῶν P^a χ S 2. 3 cῶμα ἅπαν A^t *post* δένδ.: cτερηθέντοc τῆc ἰκμάδοc μαρανθέντοc τε καὶ P^x 4 ἄμαχον A^t 5 γῆραc *om.* A^t *m. 1ª* S ..ιοῦτο C^p M^o τοῦτο ψ (*exc.* T) cῶμα] cύμπτωμα ψ (*exc.* T) *post* φύc.: cωμάτων T S 6 ...ετῶν ψ (*exc.* T) αὐτῆc P^x A^t 7 ἐμφ.] ἐμψυχούcηc A ...ύχου P 10 *post* ἀν.: ἐcτι P^x T A^t *m. 1ª* S 10. 11 κοιν. ἁπάντ. *transp.* A^t 11 ...χροὺc D P ἴcουc D P 12 ἕωc] μέχρι A^t τελ.] ἀναπνοῆc T ω 13 *post* αὐτοῦ: θρέψαντα τὸν ἄνθρωπον A^t *canc. seps. m. 2ª* S 15 κἀπὶ] κατὰ L^a 16 γὰρ] δὲ *suprascr.* γὰρ T δὲ S 16. 17 πολὺ — φαίν.] ἐπαύξεται μᾶλλον καὶ ἀναζέει ἡ αὐτοῖc ὑποκειμένη θερμότηc P^x πολλῷ P^a ...οὶ C^p A A^t ἐν αὐτ.] αὐτῆc A^t 18 οὖν *supra scr. m. 1ª* P^x *om.* L^a ὑγρ.] ὑγρ. οὐcίαc L^a ὑγρ. οὐc., οὐc. *canc. seps.* M^o ὑγρᾶc οὐcίαc P^a P^x T ω 19 ἥκει M^o D P ...οι A A^t 20 ὑγρᾶc οὐcίαc P^a P^x ὑγρότητοc C^p M^o T ω οὐδέν P^x ψ (*exc.* T) 21 ἰᾶcθαι A^t *in marg.* T 22 ....χομεν C^p P^x ψ S 25 χρὴ τίθ. *transp.* T ω 27 οὖν *om.* A^t πυρ. νοc. *transp.* A^t

cήψει χυμῶν ἢ μετὰ φλεγμονῆc κυρίου μορίου, λοῦε θαρρῶν ἄνευ καμάτου παντός, ὥcτε μὴ καταλῦcαι τὴν δύναμιν. κομιζέcθω τοίνυν ὁ ἄρρωcτοc ἐπὶ τῆc κλίνηc εἰc τὸ βαλανεῖον, ἑτοίμωc δὲ αὐτῷ παρεcκευαcμένηc cινδόνοc θερμῆc, ἐπ᾿ ἐκείνηc ἐν τῷ πρώτῳ οἴκῳ τοῦ βαλανείου μεταφερέcθω. τέccαρεc δὲ ἔcτωcαν οἱ τὴν cινδόνα κρατοῦντεc, εἷc καθ᾿ ἕκαcτον πέραc, εἶτα ἐν τῷ πρώτῳ οἴκῳ γυμνωθεὶc εἰc τὸν δεύτερον κομιζέcθω· εἶτα ἔλαιον γλυκύτατον χλιαρὸν περιχέοντεc τῷ cώματι, εἰc τὸν τρίτον οἶκον εἰcφερέcθω καὶ ἐμβιβαζέcθω τῇ δεξαμενῇ. ἔcτω δὲ καὶ ὁ ἀὴρ τοῦ βαλανείου εὔκρατοc καὶ ὑγρὸc καταcκευαζέcθω, ἐπιρραινομένων τῶν τοίχων ὕδατι θερμῷ· ἐν αὐτῷ δὲ τῷ τῆc κολυμβήθραc ὕδατι εὐκράτῳ δαψιλῶc ἡcυχαζέτω, μετρίωc ὀχούμενοc ἐπὶ τῆc cινδόνοc, οὐδεμιᾶc ἐπαντλήcεωc τῷ cώματι γιγνομένηc οὐδὲ κατὰ τῆc κεφαλῆc καταχύcεωc. ἀναcπαcθεὶc δὲ ἐντεῦθεν ὑπὸ τῶν βαcταζόντων τὴν cινδόνα τεττάρων νεανίcκων, εἰc τὸ ψυχρὸν ὕδωρ ἀθρόωc βαπτιζέcθω, μηδ᾿ ἐπὶ βραχὺ χρονίζων ἐν αὐτῷ. εὐθὺc δὲ ἕτεροc ἑτοίμην ἔχων ἄλλην cινδόνα κατ᾿ αὐτὸν ἐπιβαλλέτω, κἄπειτα ἄλλοc ὁμοίωc. ἐπιβληθεὶc δὲ τῇ κλίνῃ ἀποματτέcθω μαλακοῖc ὀθονίοιc πραότατα. μετὰ δὲ ταῦτα ἐπαλείψαντάc τε καὶ περιθένταc τὰ ἱμάτια κομίζειν διὰ τῆc κλίνηc εἰc τὸν οἶκον. ἔcτω δὲ καὶ ὁ οἶκοc πληcίον τοῦ βαλανείου. τοὺc μὲν οὖν ἤδη μαραινομένουc, ὡc εἴρηται, λουcτέον. ὅcοι δὲ ἐν τοῖc ἑκτικοῖc εἰcι πυρετοῖc οὐδέπω μαραινόμενοι, τούτουc οἷόν τέ ἐcτι χωρὶc cινδόνοc λούειν, εἰcφέρειν μέντοι καὶ τούτουc εἰc τὸν οἶκον, ἤτοι γε ἐπὶ κλίνηc ἢ φορείου τινόc, εἶτα περιχέειν αὐτοῖc τὸ ἔλαιον, ὡc εἴρηται, κἄπειτα ἑαυτοῖc βαδίζονταc ἐπὶ τὸ θερμὸν ὕδωρ ἀκτέον, ὅπωc ἐν ἐκείνῳ χρονίζοιεν, εἶτα ἐπὶ τὸ ψυχρὸν ἄγειν μὴ χρονίζονταc παντάπαcιν ἐν αὐτῷ· εἶτα ἐκμάξανταc καὶ ἐπαλείψανταc ἀγαγεῖν εἰc τὸν οἶκον. περὶ μὲν οὖν λουτρῶν αὐτάρκηc ὁ λόγοc, ὑπόλοιπον δέ ἐcτι περὶ

27—*p. 80, 16* περὶ — κοιτῶνα *Gal. ib. (ib. 726, 1—8, 9—727, 1, 3—4, 6—8)*
27—*p. 80, 5* περὶ — ψυχρῷ *cf. Or.*[a] *VI, 22 (197, 2—5)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2*[a] S] ω(S A^t) 1 κυρίων μορίων P^x *om.* C^pψ (*exc.* T) 3 ἑτοίμηc $P^a C^p$ T A^t *m. 1*[a] S 5 φερέcθω P^a D T ω 6 εἷc—πέραc *om.* A^t 7 ....χεάντων A P ....ταc D παραχέονταc P^a 8 ἐμφ. A^t ἐμφ. *in marg.* εἰcφ. T *post* δεξ.: ἔχων δὲ ἐν τῶ βράcματι τοῦ θερμοῦ ἔcωθεν ταῦτα· cεύτλου κτλ. P^x 9 τοῦ βαλ. — καταcκευαζέcθω] τῶν οἴκων ἁπάντων μήτε θερμὸc ἄκραν μήτε ξηρόc, ἀλλ᾿ εὔκρατοc ἱκανῶc καὶ μετρίωc ὑγρόc. ἔcτω δὲ τοῦτο προεκχυθέντοc ὕδατοc εὐκράτου δαψιλοῦc ἐκ τῆc δεξαμενῆc, ὡc ῥυῆναι διὰ πάντων τῶν οἴκων P^a *post* καταcκ.: θὲc δὲ ἐν τῶ θερμῶ τοῦ τοιούτου βαλαν⟨ε⟩ίου ἰτέαc φύλλα καλάμου φύλλα P^x 11 εὐκρ. — ἡcυχ. *om.* P^a ....χάζοντα T A^t *m. 1*[a] S 13 ἐπιχ. T A^t 16 cινδ. ἄλλ. *transp.* P^xψ (*exc.* T) αὐτοῦ P^aψ (*in marg.* ...τὸν T) 17 ἀπομάτ.—πραότ.] διὰ cπόγγων μὲν ἀποματτέcθω τὰ πρῶτα, μαλακοῖc δ᾿ ὕcτερον ὀθονίοιc P^a πραοτάτωc *in marg.* T A^t *m. 1*[a] S 18 ὑπαλήψαν (τ supra) P^x ἐπαλείψαντεc $C^p M^o$ T ω τὰ ἱμ. καὶ περιθ. A P ...θένтεc $C^p M^o$ T (*in marg.* ...θέcθαι = A^t) S 18. 19 διὰ τ. κλ. *om.* A^t 19 καὶ *om.* A^t 20 οὖν *om.* A^t λουτέον L^a *post* λουcτ.: καὶ ἐπαλειπτέον. ἔcτι δὲ ἡ cκευαcία τοῦ ἀλείμματοc αὕτη· ἰέλαιον νενουφὰρ κτλ. P^x 21 ...νομένουc L^a ...τοιc $P^a P^x$ A P *ante* χωρὶc: καὶ $P^a M^o$ ψ ω 23 *ante* φορ.: καὶ A^t τινόc *om.* A^t 24 ἐν αὐτοῖc $P^x A^t$ *m. 1*[a] S ...δίζοντα A^t 25 ....ζειν C^p ....ζειεν $P^x M^o$ 26 ἐν] *in marg.* ἐπ᾿ T ἐπ᾿ A^t ἐξικμάcανταc P^a ἐκμάξαντα P^x ὑπαλ. P^a ἐπ....αντα P^x

δυνάμεως τροφῶν εἰπεῖν. ὅτι μὲν οὖν ὑγρὰς καὶ ψυχρὰς εἶναι προσήκει τροφὰς τὰς μελλούσας ὀνήσειν τοὺς ἑκτικοὺς πυρετούς, εὔδηλον παντί. τοιαῦται δέ εἰσιν· ὅ τε τῆς πτισσάνης χυλὸς ψυχρὸς λαμβανόμενος ὅ τε τοῦ ἄλικος χόνδρος ὁμοίως πτισσάνῃ σκευασθείς. ἐπιτήδειος δὲ τοῖς ὧδε κάμνουσι καὶ ὁ βραχεὶς ἄρτος ἐν ὕδατι ψυχρῷ. μηδενὸς δὲ αὐτῶν ἡ ψῦξις εἰλικρινὴς ἔστω, καθάπερ ἡ τοῦ ποτοῦ. τὰ γὰρ πινόμενα καὶ θερμαίνεται ταχέως καὶ διεξέρχεται τοὺς πόρους· τὰ δὲ ἐσθιόμενα ἢ ῥοφούμενα, ἐπὶ πλέον ἐν τῇ γαστρὶ διαμένοντα, καταψύχει αὐτήν, εἴγε ἀμέτρως εἴη ψυχρά. χρονίου δὲ ὄντος ἤδη τοῦ πυρετοῦ γάλα ὄνειον δοτέον, ἀκριβῶς προσέχοντα τὸν νοῦν, μήποτε τυρωθῇ κατὰ τὴν γαστέρα. τοῦτο δὲ ἐνίοτε μὲν καὶ αὐτὸς ὁ κάμνων ἡμᾶς διδάξει τῆς αὑτοῦ φύσεως ἐμπείρως ἔχων, ἐνίοτε δὲ καὶ ἡμᾶς αὐτοὺς ἐξευρίσκειν δεήσει κατὰ βραχὺ τῇ χρήσει προσερχομένους. φευκτέον δὲ εἰς ὅσον οἷόν τε τὴν μίξιν τοῦ μέλιτος κατὰ τοὺς ἑκτικοὺς πυρετοὺς πάντας· δοτέον δὲ τὴν μὲν πρώτην τὸ γάλα τῆς ὄνου κυάθου μὴ πλέον, εἰσαχθείσης τῆς ὄνου εἰς τὸν κοιτῶνα πρὸς τὸ θερμὸν ἔτι ὑπάρχον τὸ γάλα ποθῆναι. εἰ οὖν καλῶς πεφθείη καὶ μὴ διαφθαρείη, ἔξεστιν αὐξῆσαι τὸ πλῆθος προστιθέντας κατὰ δόσιν ἥμισυ κυάθου. τὴν δὲ λοιπὴν δίαιταν ποιεῖσθαι, ὡς ἐπὶ τῶν ξηρῶν τῆς γαστρὸς δυσκρασιῶν, ὡς ἐν τῷ οἰκείῳ τόπῳ ἐν τῷ $\overline{θ}$ λόγῳ ῥηθήσεται. ὅσῳ δέ ἐστιν ἡ τῶν ἑκτικῶν πυρετῶν θερμασία θερμοτέρα ἐκείνων, τοσούτῳ καὶ τῶν βοηθημάτων δεῖται ψυχροτέρων καὶ ἀκριβείας πλείονος, μὴ βλάβη τις παρέποιτο ἰσχυροτέροις βοηθήμασι χρησαμένων ἡμῶν.

$\overline{ϙε}$ Περὶ πανδήμων καὶ ἐπιδήμων καὶ λοιμωδῶν νοσημάτων. πανδήμους καὶ κοινὰς νόσους ὀνομάζουσι τὰς πολλοῖς ἀνθρώποις ἅμα συμ-

20—23 ὅσῳ — ἡμῶν *Gal. ib. (ib. 728, 11—14)* 24—*p. 81, 5* Περὶ — ἐπήνεγκε *Or.*[a] *VI, 24 (198, 4—10)* 24—*p. 81, 1* πανδήμους — καὶ ἡ αἰτία κοινή/

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2*[a] S] ω (S A^{t}) 1 τροφ. δυνάμ. P^{x} ψ (*exc.* T) 2 ὀνίνησι P^{x} ὠφελεῖν *in marg.* T A^{t} 3 πάντη L^{a} ....αῦτα P^{x} P 5 οὕτω L^{a} κάμν. *om.* A^{t} *m. 1*[a] S βραχὺς P^{a} ψ (*exc.* D) ω *post* ψυχρῷ: ἢ θριδακίνας ἡμέρους ἢ σεῦτλα λευκὰ κτλ. P^{x} 6 ἔστω εἰλ. P^{a} M^{o} *post* ποτοῦ: εὐκολώτερόν ἐστι διδόναι τὰ ἐμψύχοντα μᾶλλον καὶ ὑγραίνοντα τὴν φύσιν τοῦ κάμνοντος κτλ. P^{x} καὶ *om.* ψ (*exc.* T) 7 θερμαινόμενα ψ (*exc.* T) τάχιον· ἐμψύχει δὲ τὴν φύσιν ὡς ψυχρὰν καὶ ὑγρὰν οὐσίαν ἔχοντα κτλ. P^{x} *post* πόρους: τάχιον. τὰ ψυχρὰ δὲ καὶ ὑγρὰ τῇ φύσει ἔχοντα P^{x} τὰ δὲ *om.* P^{x} 8. 9 καταψ. — ψυχρά] τάχ' ἂν που καὶ καταψύξαιεν αὐτὴν ἀμέτρως ὄντα ψυχρὰ P^{a} 9 ὑπάρχοντος ἤδη P^{a} ἤδη *om.* P^{x} ψ (*exc.* T) 10 διδόναι P^{x} *om.* M^{o} ....χοντα ψ (*exc.* T) A^{t} *Gal.* ....χοντας *cett.* *ante* κατὰ: τὰ C^{p} M^{o} A^{t} *m. 1*[a] S 11 εἰ *post* διδάξει *add.* L^{a} P^{x} 12 *post* φύς.: ὡς D P καὶ *om.* C^{p} M^{o} ψ ω 13 *post* προσερχ.: ἕτοιμον μὲν οὖν ἤτοι μέλιτος αὐτῷ μόνον μιγνύντας ἢ καὶ βραχύ τι τῶν ἐδωδίμων ἁλῶν κωλῦσαι τὸ συ*** P^{a} 15 τῇ πρώτῃ ψ (*exc.* T) μὲν *om.* P^{a} P^{x} M^{o} ψ (*exc.* T) A^{t} *m. 1*[a] S 15. 16 κυάθου — τῆς ὄνου *om.* M^{o} A^{t} *m. 1*[a] S κύαθον ἕν⟨α⟩ P^{x} κύλικα D P 17 πεφθῇ φ ....φθαρείη ψ (*exc.* T) ῇ L^{a} P^{a} T ω ...ῆναι C^{p} ...φορεῖ P^{x} 18 κυάθου] κύλικος P *ante* τὴν: ἐπαλείφειν δὲ καὶ τὴν κοιλίαν (τῇ ...ίᾳ?) ῥοδέλαιον καὶ τὸ δεξιὸν ὑποχόνδριον (τῷ ....ῷ ....ίῳ?) ἰέλαιον ἢ ὀμφάκινον ἔλαιον κτλ. P^{x} 20 ἐν τῷ $\overline{θ}$ λόγῳ *post* ῥηθ. P^{a} A D P *om.* C^{p} M^{o} ω ἤγουν (ἐν) τῷ $\overline{θ}$ (λ. *om.*) *supra* τόπῳ *scr.* T *m. 2*[a] S $\overline{θ}$] $\overline{δ}$ L^{a} 20—23 ὅσῳ—ἡμῶν *om.* P^{x} 21 καὶ] δὲ L^{a} τῶν *om.* ψ (*exc.* T) 21. 22 δεῖται *om.* T ω 24 *cap.* $\overline{ϙε}$ *bis repet.* P^{x} 24 καὶ ἐπιδ. *om.* P^{x} A κ. λοιμ. *om.* P^{x} ...μικῶν T ω 25 ὀνομάζειν εἰώθασι $P^{x'}$ ψ (*exc.* T)

πιπτούσας, ὧν ὥσπερ ἡ γένεσις οὕτω καὶ ἡ αἰτία κοινή. κοινά τε οὖν ἐδέσματα πονηρὰ τίκτουσι νοσήματα κοινὰ καὶ ὕδατος μοχθηροῦ πόσις ταλαιπωρίαι τε ἄμετροι καὶ πόνοι συνήθεις ἐκλείποντες ἔνδειαί τε καὶ πλησμοναί, λιμοῦ καταστάντος καὶ εὐθηνίας ἐπιγενομένης. καὶ χωρίου δὲ φύσις κοινὰ νοσήματα πολλάκις ἐπήνεγκε τοῦ εἰσπνεομένου ἀέρος ὑπὸ σηπεδονώδους ἀναθυμιάσεως μιανθέντος. ἡ δὲ αἰτία τῆς τοιαύτης σηπεδονώδους ἀναθυμιάσεως ἤτοι πλῆθος νεκρῶν ἐστιν, ὡς ἐν πολέμοις γίγνεται, ἢ ἐκ τελμάτων τινῶν ἢ λιμνῶν ἢ βαράθρου τινὸς παρακειμένου καὶ ἀναθυμίασιν δηλητηριώδη καὶ πονηρὰν ἀναπέμποντος· ταῦτα μὲν οὖν συνεχῶς εἴωθε συμπίπτειν καὶ ὁ περιέχων δὲ ἡμᾶς ἀὴρ συνεχῶς παρατρέπει τὰς κράσεις, ἤτοι θερμότερος ἀμέτρως ἢ ξηρότερος ἢ ψυχρότερος ἢ ὑγρότερος γιγνόμενος· τοῖς μὲν γὰρ ἄλλοις αἰτίοις οὐ πάντες ἅμα περιπίπτομεν οὔτε δι᾿ ὅλης ἡμέρας ὁμιλοῦμεν, ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ ἔξωθέν τε περικέχυται πᾶσι καὶ διὰ τῆς εἰσπνοῆς ἕλκεται. ἀναγκαῖον οὖν συνδιατίθεσθαι ταῖς κατὰ τὴν κρᾶσιν αὐτοῦ μεταβολαῖς καὶ τὰ τῶν ζῴων σώματα. ἔστι δὲ ὅτε ὑγρότερος καὶ θερμότερος ὁ περιέχων ἡμᾶς ἀὴρ γιγνόμενος λοιμώδη κατάστασιν φέρει. τὸ δὲ εἶναι τοὺς ἐν τῷ σώματι χυμοὺς ἐκ μοχθηρᾶς διαίτης εἰς σῆψιν ἐπιτηδείους ἀρχὴ τοῦ λοιμώδους γίγνεται πυρετοῦ, ὡς ὅταν γέ τις συμμέτροις τε πόνοις καὶ βίῳ σώφρονι καὶ κεκολασμένῳ χρῆται, τὸ πάμπαν ἀπαθὴς διαμένει κατὰ πάσας τὰς τοιαύτας διαθέσεις. καὶ ἡμεῖς τοῦτο προγινώσκοντες εὐθὺς ἀρχομένης τῆς καταστάσεως, ὅσα μὲν ὑγρὰ τῶν σωμάτων ἑωρῶμεν, ἐκ παντὸς τρόπου ξηραίνειν ἐπεχειροῦμεν, ὅσα δὲ ξηρότερα φύσει, τὴν ἀρχαίαν φύσιν ἐπὶ τούτων ἐφυλάξαμεν, ὅσα δὲ περιττωματικά, καθάρσεσιν ἐξιώμεθα, τὰς δὲ ἐμφράξεις τῶν πόρων ἐξεφράττομέν τε καὶ διερρύπτομεν καὶ ἁπλῶς εἰπεῖν ὑγείαν τοῖς σώμασιν ἐφυλάττομεν τἀναντία προσάγοντες, καὶ ὁτὲ μὲν ἀναψύξεσι χρώ-

2—5 ὕδατος μοχθηροῦ — ἐπήνεγκε *Or.*^{e} *III 1 (396, 7—10)* 8—16 ἢ λιμνῶν — σώματα *Or.*^{a} *ib. (ib. 10—18) Or.*^{e} *ib. (ib. 11—20)* 26—*p.* 82, *4* καὶ ἁπλῶς — Ἀκραγαντῖνον *Or.*^{a} *VI 24 (198, 26—28, 199, 2—5) Or.*^{e} *III 1 (396, 27—397, 3)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 1 ἡ *pr. om.* ω οὕτω] τούτων T ω 3 ἐκλιφθέντες P^x ἐλλειφθέντες *Or.*^{a}, ἐαθέντες *Or.*^{e} τε] γε L^a 4 λοιμοῦ P^x A^t γιγνομ. A^t . . . γ^{ε}ινομ. T γενομ. P^x 6. 7 μιανθ. — ἀναθυμ. *om.* A T ἡ δὲ — ἀναθυμ. *om.* D P σηπεδόνος A^t πλήθους ψ ἐστιν *om.* ψ (*exc.* T) 8 *post* γίγν.: σαπέντων ψ (*exc.* T) *m. 2*^{a} S ἢ ἐκ — παρακ.] ἐνίοτε δὲ ἑλωδῶν, ἐνίοτε δὲ ἐχόντων βάραθρον παρακ. P^x 10 οὐ *post* οὖν *in fonte erat* οὐ *(cf. Paul. II 34 cod.* D, *Or.*^{e}*), sed non hic* (*cf.* καὶ ὁ π. δὲ . . .) συμπ. εἴωθε *transp.* T A^t δὲ *om.* A^t 11 ἀμέτρως *om.* ψ (*exc.* T) ἢ ξηρ. *post* ὑγρότ. $P^{x\prime}$ *om.* A P 12 γὰρ *om.* A^t οὐ] οὔτε *Or.* 16 καὶ *pr. om.* P^x *post* σώμ.: ⟨ταῦτα⟩ γοῦν ὁ γινώσκων οὐ προγνώσεται μόνον τὰς γεννησομένας νόσους ἐξ ἑκάστων (*l.* . . . . της) αὐτῶν καταστάσεως κτλ. *(Orib.*^{a} *v. sup. 19 sqq.)* P^x 16—26 ὅτε — εἰπεῖν *om.* P^x 18 τὸ] τῷ C^p M^o A D P ω τῷ *supra scr.* τὸ *m. 1*^{a} T 18. 19 ἐπιτηδ. πρὸς σῆψιν P^a $P^{x\prime}$ εἰς] πρὸς ψ (*exc.* T) τις *m. 2*^{a} S τοῖς $P^{x\prime}$ M^o *m. 1*^{a} S 21 σύμπαν A^t *in marg.* T 23 ἑωράκαμεν A ὁρῶμεν A^t ἐπιχειροῦντες $P^{x\prime}$ . . . ροῦμεν L^a C^p T ω 25 καθάρσεως L^a 26 ἐξεκφράττ. L^a . . . εμφρ. M^o *m. 2*^{a} S . . . . εφρ^{α}άττομ. T . . . τταμ. A^t ἀπεφράττομ. P^a *ante* ὑγ.: τὴν A D P ὑγίειαν C^p ἀργίαν A^t *m. 1*^{a} S 27 ἐφυλάξαμεν M^o T ω ἀναψύξει P^x χρώμενος P^a ἐχρώμεθα D A^t *post* χρώμεθα: καὶ L^a

μεθα, εἰ οὕτω τύχοι, ὁτὲ δὲ θερμάcμαcι. καὶ ἀνακαίων δέ τις πυρὰν πολλὴν δύναιτ᾽ ἂν μεταβάλλειν ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα ὡς ὑγρὸν γιγνόμενον καὶ ψυχρόν, καθάπερ ποιῆcαί φαcιν Ἱπποκράτην ἐν Ἀθηναίοιc καὶ Ἄκρωνα τὸν Ἀκραγαντῖνον.

ϟϛ Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ. πάντα δ᾽ ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα καὶ οὐδὲν ἀποκρύπτεται ὥcπερ καθ᾽ ἕκαcτον νόcημα. τὰ γὰρ πλεῖcτα καὶ ποικίλα καὶ παραφροcύναι διάφοροι γίγνονται καὶ χολῆc ἔμετοι καὶ ὑποχονδρίων ἐντάcειc καὶ πόνοι καὶ ἱδρῶτεc πολλοὶ καὶ ψύξειc ἀκρωτηρίων καὶ διάρροιαι χολώδειc λεπταὶ φυcώδειc καὶ οὖρα τοῖc μὲν ὑδατώδη λεπτά, τοῖc δὲ χολώδη, τοῖc δὲ μέλανα, ὑποcτάcειc κακὰc ἔχοντα καὶ ἐναιωρήματα κάκιcτα, ἀπὸ ῥινῶν αἵματοc cτάξειc, καύματα ἐν θώρακι, γλῶccαι καταπεφρυγμέναι, ἀγρυπνίαι, cπαcμοὶ βίαιοι καὶ ἄλλα δὲ πονηρά, ἕλκη καὶ ἀνθρακώδη καὶ πάνδεινα γένοιτ᾽ ἂν ἐν λοιμῷ κατά τε τὸ ἄλλο cῶμα καὶ ἐν προcώπῳ καὶ παριcθμίοιc. εἰ δέ τιc cυνετὸc εἴη, προγνώcεται τὸν μέλλοντα ἥξειν λοιμόν, προcέχων ταῖc τε ὥραιc πονηραῖc τε οὔcαιc καὶ τοῖc ἀλόγοιc ζῴοιc προαπολλυμένοιc. εἰ μὲν γὰρ ὁ περιέχων ἡμᾶc ἀὴρ αἴτιοc γένοιτο τοῦ λοιμοῦ, τῶν πτηνῶν ὀρνίθων ἡ θνῆcιc ἔcται πρότερον. εἰ δὲ ἐκ τῶν ἀπὸ γῆc μοχθηρῶν ἀναθυμιάcεων τοῦτο cυμβαίη, τῶν τετραπόδων ζῴων ἡ φθορὰ γίγνεται πρότερον. ὅταν δὲ ταῦτα ἐνθυμηθῇc; προcέτι δὲ κἀκεῖνο ἐνθυμοῦ, ποταπὴ μὲν ἡ παροῦcα ὥρα τοῦ ἔτουc, ποταπὸν δὲ τὸ cύμπαν ἔτοc· ἐντεῦθεν γὰρ τὰc διαίταc εὑρήcειc ποιεῖcθαι κάλλιcτα, οἷον τῆc μὲν ὥραc, εἴπερ ἦν ὀρθῶc γιγνομένη ξηρά, ἀλλὰ μὴν ὑγρὰ γεγένηται, ἀνάγκη καὶ τὴν δίαιταν ἐπιξηραίνειν, ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλίcκηται. προcεπιβλέπειν δὲ καὶ τὰ ἐπιτηδεύματα τῶν

1—4 καὶ ἀνακαίων — Ἀκραγαντῖνον *Acron. fr. 3 in M. Wellmann, Die Fragm. der sikel. Ärzte etc. p. 109 [Berlin 1901]* 3 Ἱπποκράτην *cf e. c. Soran. CMG IV p. 176, 16* 5—*p. 83, 15* Ἐκ τῶν — πρὸc τὰ ἔξω *Ruf. id. 351—354* Ἐκ τῶν — προαπολλυμένοιc *(17) Or.ᵃ VI 25 (199, 6—18) Paul. II 35* 20 ὅταν δὲ — ἀναλίcκηται *(25) Or.ᵃ ib. (ib. 18—29)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ᵃ* S] ω (S A^t) 1 ποτὲ P^x *post* θερμ.: ὕδατοc μὲν ἐπαγωγαῖc ἀναψύχων καὶ ἀργίαιc καὶ τροφῶν ἐνδείαιc κτλ. P^x ἀναγκαίων A P *m. 1ᵃ* S ....γκαῖον L^a χ T A^t *m. 2ᵃ* S *om.* P^a 1. 2 πεῖρα πολλὴ T A^t *om.* P^a 2 ...βαλεῖν P^a T ὡc] τέωc *Or. Paul* 3—4 φηcὶν P^x Ἱπποκρ. — καὶ] τὸν P^x 4 *post* Ἀκραγ.: (Ἀφήγηcιc Ἱπποκράτουc *in marg.*) ὁ γὰρ θαυμαcτὸc Ἱπποκράτηc καὶ διδάcκαλοc ἡμῶν ὁ τοcοῦτον καὶ τηλικοῦτον λοιμὸν κτλ. P^x 5 Ἐκ — λοιμοῦ *om.* P^x ὡcαύτωc δ᾽ ἂν πάντα P^x δ᾽ ἂν] δὲ δεῖ $C^p A^t$ δὲ δὴ T S 7 καὶ *alt. om.* T A^t 9 ψῦξιc $C^p P^x$ *ante* φυc.: καὶ P^x D P 12 cτάξιc $P^x M^o$ *m. 2ᵃ* S δὲ *post* γλ. *add.* L^a A D P 14. 15 *ante* παριcθμ.: ἐν $P^a P^x$ 15 *post* εἴη: καὶ ἄγαν μεμαθηκὼc ὁ ἰατρὸc P^x καὶ A P προγνώcει $C^p M^o$ P T ω *om.* A 16 τε pr. *om.* $P^a P^x A^t$ 17 προcαπ. L^a ...ολυμ. $P^a P^x$ ....λλομ. M^o P ...ναιc A^t *post* προαπ.: ὥc φηcιν Ἱπποκράτηc ἐν τῷ Γ̄ τμήματι τῶν Ἀφοριcμῶν κεφαλαίῳ ᾱ· "αἱ μεταβολαὶ τῶν ὡρῶν κτλ." *(III 1, 486, 4sqq.)* P^x 17. 18 γίνηται P^a γίγνοιτο A D P *m. 1ᵃ* S 19 *ante* γῆc: τῆc P^a D T ω 21 δὲ *om.* ψ (*exc.* T) ..κεῖνα M^o ...ῖνω̊ C^p ...ίνω T A^t 22 *post* ἔτοc: καθά φηcιν Ἱπποκράτηc ἐν τῷ ᾱ τμήματι τῶν Ἀφοριcμῶν κεφαλαίῳ β̄· "δεῖ δὲ ⟨οὐ⟩ μόνον ἑαυτ⟨ὸν⟩ τὰ δέοντα ποιέοντα παρέχειν κτλ." *(I 1, 458, 2sqq.)* — διὰ τοῦτο διδάcκει ἡμᾶc τρανῶc, ἵνα cυντηροῦμ⟨εν⟩ ἀκριβῶc ταῦτα, ὅπωc P^x ἐνταῦθα P^x γὰρ] καὶ P^x 23 ..ίcταc P^x ψ (*exc.* T) ξηρά *om.* A^t *m. 1ᵃ* S ἀλλ᾽ εἰ T A^t *m. 1ᵃ* S μὲν P^x T A^t *m. 1ᵃ* S νῦν *Or.* A 24 γέγονεν P^a γένηται C^p γίγνεται A P *post* ἵνα: καὶ $C^p P^x$ A P

ἀνθρώπων, μήποτε εἰς ὑγείαν οὐ συμφέρουσι καὶ ταῦτα κωλύειν. ἐπιμελητέον δὲ καὶ τῆς γαστρός. εἰ δὲ ἡ ἄνω κοιλία φλέγμα ἔχοι, ἐμέτοις κενοῦν, οἷς δὲ τὸ αἷμα ὑπερβάλλει, φλέβα τέμνειν. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις καὶ ὅσαι εἰσὶν ἄλλαι κατὰ πᾶν τὸ σῶμα καθάρσεις. εἰ δὲ καυσούμενος ὁ ἄνθρωπος εἴη καὶ φλὸξ ἄχρι στήθους ἀνίει, οὐκ ἀπὸ τρόπου ψυκτήρια τοῖς στήθεσι προσάγειν καὶ τὸ πόμα ψυχρὸν προσφέρειν, μὴ κατὰ μικρὸν προσφέροντας· νικώμενον γὰρ ὑπὸ τῆς πλείονος ἐν τῇ κοιλίᾳ θερμότητος συμμοχθηρεύεται καὶ ἀνακαίει πλείονα, ἀλλ' ἀθρόως καὶ πολὺ διδόναι, ὡς τῷ πλήθει σβέσαι τὴν φλόγα. εἰ δὲ ὁ καῦσος ἔχοι τὰ ἔνδον, ἄκρα δὲ καὶ τὰ ἐπιπολῆς ψυχρὰ εἴη καὶ τὸ ὑποχόνδριον συντείνοιτο καὶ ἡ γαστὴρ τὰς συντήξεις τὰς μὲν ἄνω πέμπει, τὰς δὲ κάτω, ἀγρυπνία τε εἴη καὶ παραφροσύνη καὶ γλώσσης τραχύτητες, τούτοις θερμάσματα δεῖ προσφέρειν, ὥστε ἑλκυσθῆναι τὸ θερμὸν ἐπὶ τὴν ἐπιφάνειαν τοῦ σώματος καὶ ὡς οἷόν τε ἄλλῳ τρόπῳ μηχανᾶσθαι ἀνάγειν τὸ θερμὸν ἐκ τοῦ βάθους πρὸς τὰ ἔξω.

Περὶ τῶν ἐπὶ πλήθει ὠμῶν χυμῶν συγκοπτομένων. ἄρχονται πυ- ϙζ
ρέττειν ἔνιοι πάμπολύ γε πλῆθος ὠμῶν ἠθροικότες χυμῶν ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρὸς ἤτοι ἐξ ἀπεψιῶν ἢ ἄλλως· ἐμπεφύσηταί τε τούτοις τὸ ὑποχόνδριον ἐν [τῷ] ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν ὅλον τὸ σῶμά ἐστι. καὶ ἡ χρόα τοῖς μὲν ἐπὶ τὸ λευκότερον καὶ οἰδαλεώτερον ἐκτρέπεται τοῦ κατὰ φύσιν, ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον καὶ πελιδνότερον, οὕστινας καλοῦσι μολιβδοχρῶτας. οἱ σφυγμοὶ δὲ πάντων μικρότεροί τέ εἰσι ⟨ἢ⟩ κατὰ λόγον τῆς θέρμης ἀμυδρότεροί τε καὶ πάντως ἀνώμαλοι. εἰ μὲν οὖν τῷ πλήθει βαρύνοιεν οὗτοι τὴν δύναμιν ἐμφράττοιέν τε διὰ τὸ πάχος καὶ πλῆθος τοὺς πόρους τοῦ ζῴου, κατὰ πολλὰς προφάσεις ὀλέθριος ἡ διάθεσις καὶ συγκοπτικὴ καὶ τῷ μὴ τρέφεσθαι τὸ ζῷον καὶ τῷ καταπνίγεσθαι καὶ ἀλλοιοῦσθαι καὶ τῷ διαφθείρεσθαι τὴν συμμετρίαν τῆς κράσεως. οἱ μὲν γὰρ ὠμοὶ χυμοὶ τρέφειν οὐ

1—7 ἐπιμελητέον — προσφέροντας *Or.*^{a} *ib.* *(ib. 23—200, 1)* 9—15 ἀλλ' ἀθρόως—ἔξω *Or.*^{a} *ib.* *(ib. 2—8)* 16—24 ἄρχονται — ἀνώμαλοι *Gal. meth. med. XII, 3 (X 820, 15—821, 8)* 16—21 Περὶ — μελάντερον *Or.*^{a} *VI 26 (200, 9—14)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A D P T) [*m. 2*^{a} S] ω(S A^t) 2 ἔχει P^xψω 4 κατὰ — καθάρς. *supra scr. m. 2*^{a} S *om.* P^a A D Pω 5 ἀνίη P^a ἀνείη (η supra scr., ει) C^p ἀνείη M^o T S ἀνίησιν A D P ἀνύει A^t οὐκ *om.* L^a P^x M^o *m. 1*^{a} S 6. 7 καὶ τὸ — προσφ. *om., sed in marg.* Cη$^{μ'}$ ποτὸν καὶ ἐπί τινων πολὺ τὸ ψυχρὸν διδόναι T 7 φέρειν L^a προσάγειν ω προσφέροντες L^aχ T S ....ντα A^t *om.* P^a 9 ἀλλὰ καὶ πολὺν καὶ ἀθρόον Tω ἀθρόον C^p P^x A D P 10 ἔχει P^xψω ἔσω P^x A P *ante* ἄκρα: τὰ D P ἄκρεα P^aχ D T S ἀκραῖα A P 13 ....ύτης ψ (*exc.* T) δεῖ θερμάσμ. Tω 14 ἄλλῳ] ὅλω ψ (*exc.* T) 15 ἀγαγεῖν P^xψ (*exc.* T) *post* ἔξω: ἐὰν δὲ καὶ γλῶσσα παντὶ τοῦ σου$^{μτ'}$ μετὰ θερμῶ εἴη καὶ ἤδη τινὶ ἄλλω τρόπω ἀναγαγεῖν τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω κτλ. P^x 17 γε] τι P^x μὲν A D P τε A^t χυμ. ἠθρ. *transp.* P^xψ (*exc.* T) ἅμα] ἀλλὰ Tω 18. 19 ἐκφύσηται L^a ἐπεμφυσα$^{τ'}$ P^x ἐμπεφυσῆσθαι (...σεῖσθαι) T A^t *m. 1*^{a} S 19 τε *pr. om.* L^a P^x Tω *Gal.* τῷ *delevit Deichgr. cum Gal. et Or.* 21 ὑδαλ. P^aχ A Tω 22—*p. 84, 14* καὶ πελιδν. — οἶνον *om.* P^x 23 τέ] γε P^a *om.* L^a M^o A D P A^t *post* εἰσι: καὶ L^a ἢ *add. ex Gal.* κατ' ὀλίγον L^a θερμασίας Tω 24 οὕτω A^t T (*in marg.* οὗτοι T) 26 τῷ] τὸ P^a M^oψ (*exc.* T) A^t 27 τῷ *pr.*] τὸ P^a C^p M^oψ (*exc.* D) ω ἀλλ.] λούεσθαι A P τῷ *alt. om.* α, *exc.* L^a 27. 28 διαφθ.] φθείρ. C^p M^oψω 28 οἱ] εἰ C^p A D

δύνανται πρὶν πεφθῆναι, οἱ δὲ πολλοὶ βαρύνουσιν ἢ ἐμφράττουσι τὰς διαπνοὰς καὶ σβεννύουσι τὸ θερμόν. εἰ δὲ μηδ' ἐμφράττοιεν μηδὲ βαρύνοιεν, οὐ συγκοπὰς οὗτοί γε φέρουσιν, ἀλλὰ τὰς καλουμένας λειποψυχίας. ἐκλύονται γὰρ εἰ μὴ τρέφοιντο συνεχέστερον οἱ τοιοῦτοι. διδόναι δὲ αὐτοῖς χρὴ οὐχὶ πλῆθος εἰσαπαξ, οὐ μὴν οὐδὲ παχείας ἢ ψυχρὰς τὴν δύναμιν τροφάς, ἀλλ' ἐκ τοῦ γένους τῶν λεπτυνουσῶν καὶ θερμαινουσῶν. οὕτως δὲ καὶ τὰ φάρμακα αὐτοῖς δοτέον, ὅσα δύναται ἄνθρωπος πυρέττων δέξασθαι, λεπτύνοντα καὶ θερμαίνοντα. τούτοις ὁ ὑδατώδης οἶνος ὁ λευκὸς καὶ λεπτὸς ἐπιτήδειος, εἰ μὴ σφοδρῶς πυρέττοιεν· ὅπερ οὐ πάνυ τι συμβαίνει κατὰ τὴν εἰρημένην διάθεσιν· βληχροὶ γὰρ τούτοις εἰσὶν οἱ πυρετοί, ἔτι δὲ μᾶλλον εἰ πρεσβῦται τύχοιεν ὄντες. οἶνον αὐτοῖς δοτέον ἐφ' ἑκάστῃ τροφῇ καὶ μᾶλλον εἰς ἑσπέραν καὶ νύκτα, οὐχ ἕωθεν καὶ μέχρι μεσημβρίας, ἐπὶ δὲ τῶν νέων οὐκ εὐθὺς ἐξ ἀρχῆς διδόναι τὸν οἶνον· οὐδενὸς τῶν τοιούτων αἵματος ἀφαίρεσις ἄνευ μεγίστης βλάβης εἴωθε γίγνεσθαι, καίτοι δέονται κενώσεως· ἀλλ' οὔτε φλεβοτομίαν οὔτε κάθαρσιν φέρουσιν, οἵτινες καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. πῶς οὖν χρὴ τοὺς τοιούτους ἰᾶσθαι, δεομένους μὲν κενώσεως, μὴ φέροντας δὲ τὰ κενωτικά; οὐδεμίαν εὗρον ἐπ' αὐτῶν κένωσιν πλὴν τῆς διὰ τρίψεως· ἄρχεσθαι δὲ εὐθέως ἐν ἀρχῇ τῆς νόσου προσήκει τὸ μὲν πρῶτον ἀπὸ τῶν σκελῶν ἄνωθεν, κάτω διὰ σινδόνων μετρίως τραχυτέρων, ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἀπὸ τῶν ὤμων ἄνωθεν κάτω τὸν αὐτὸν τρόπον τρίβειν. ἐπειδὰν δὲ ἱκανῶς ἅπαντα τὰ κῶλα φαίνηται θερμὰ καὶ φόβος ᾖ κοπώδη τινὰ αἴσθησιν αὐτοῖς γενέσθαι ἐπὶ τῷ πλήθει τῆς τρίψεως, ἐλαίῳ χαλαστικῷ χρηστέον, ὁποῖόν ἐστι τὸ γλυκύτατον, ἀπέχεσθαι δὲ ὀμφακίνου καὶ πάντων τῶν στυφόντων. χειμῶνος δὲ ὄντος καὶ διαφορητικῷ χρηστέον, οἷόν πέρ ἐστι τὸ Σικυώνιον ἔλαιον καὶ τὸ διὰ τοῦ χαμαιμήλου ἢ ἕτερον τῶν παραπλησίων, οἷόν ἐστι τὸ ἀνήθινον. μετὰ δὲ ταῦτα τὸ μὲν ἔλαιον ἀπομάττειν, ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην καὶ

14—*p. 86, 11* οὐδενὸς — κάμνοντα *Gal. ib. 3 (ib. 821, 9—18, 822, 2—11, 14, 823, 1—14, 16—824, 1, 5—16, 18—825, 15)* οὐδενὸς — πράττοντες *(p. 85, 3) Or.*^{a} *ib. (ib. 14—28)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 2 τῶ θερμῶ S τὸ ...όν, *in marg.* τῶ ...ῶ T μηδ'] μὴ A P μήτ' (...τε) P^a D T ω μήτε P^a D T ω 3 οὐ συγκ. — λειποψ. *om.* A P 4 δὲ *om.* A P 6 θερμ. κ. λεπτ. *transp.* ψ (*exc.* T) 7 αὐτ. κ. τὰ (τὰ *om.* P^a) φαρμακα αὐτοῖς (αὐτ. *om.* P^a) P^a C^p 8 δέξ.] λαβεῖν *post* δύναται P^a 9 ὁ *om.* C^p M^o S λεπτ. κ. λευκ. *transp.* C^p M^o ψ (*exc.* T) S σφόδρα A^t 11 *ante* μᾶλλ.: καὶ T ω *post* εἰ: καὶ P^a C^p M^o ψ (*exc.* T) S τυγχάνοιεν C^p T *post* οἶν.: δὲ M^o T A^t 13 καὶ *om.* C^p D 14 οὐδενὶ P^x οὐδενὶ δὲ ψ (*exc.* T) 14. 15 ἄνευ — γίγν.] προσήκει γίνεσθαι ἄνευ μεγίστης βλάβης ψ (*exc.* T) τῆς *post* μεγ. *add.* L^a C^p ψ ω βλάβ. *post* γίγν. P^a P^x 16 οἵτ.] οἵγε P^a εἰ δὲ P^x 17. 18 πῶς — πλὴν τῆς] θεραπεύειν οὖν αὐτοὺς χρὴ P^x τ. τοιούτ.] τούτους ψ ω 19 διατρίψ. α. *exc.* P^x 20—23 κάτω — ᾖ κοπ. *om.* *Ald.* μετρ. τραχυτ.] μὴ πάνυ μαλακῶν ἀλλά τι μέτριον ἐχουσῶν τραχύ. χρὴ γὰρ ἀμύττεσθαι τὸ δέρμα θερμαίνεσθαί τε καὶ διαφορεῖσθαι δεομένου τοῦ κάμνοντος P^a παχυτ. T A^t 24—26 τὸ γλυκ. — οἷόν πέρ ἐστι *om.* P^x A γλυκ.] Σαβῖνον P^a 26 *post* ἔλαιον: ἔστι δὲ ἡ σκευασία τοῦ σικυωνίου ἐλαίου αὕτη· ἔλαιον ⳨ ε̅ κτλ. P^x τὸ *alt. om.* T ω 26—28 τὸ διὰ τοῦ — ἔλαιον *om.* A P 27 ἑτέρων T S 28 τὸ μὲν] τὸ T S *om.* D A^t

ταύτην ἀνατρίβειν ὁμοίως, τὰ μὲν πρῶτα διὰ cινδόνων, ὕcτερον δὲ τῷ ἐλαίῳ, εἶτ᾿ αὖθις ἐπὶ τὰ cκέλη, εἶτ᾿ αὖθις ἐπὶ τὰς χεῖρας, εἶτ᾿ ἐπὶ τὴν ῥάχιν, ὅλης τῆς ἡμέρας οὕτω πράττοντες ἐν οἴκῳ φῶς ἔχοντι καθαρὸν καὶ ἄνικμον. ἔστω δὲ καὶ τῇ θερμότητι cύμμετρος ὁ οἶκος. ἐπιτηδειότατον δὲ τούτοις ἐστὶ τὸ μελίκρατον ἐναφεψηθέντος αὐτῷ ὑccώπου, μήτε δὲ cιτίον αὐτοῖς μήτε ῥόφημα διδόναι μήτ᾿ ἐπιτρέπειν πίνειν δαψιλές, ἀλλὰ τῷ μελικράτῳ μόνῳ χρῆcθαι κατὰ τὰς πρώτας τρεῖς ἡμέρας ἐκ διαδοχῆς τρίβοντα καὶ μόνον ἐκεῖνον ἀνιέντα τὸν καιρόν, ἐν ᾧπερ ἂν ὕπνος αὐτοὺς καταλάβῃ. cυνεργεῖ δὲ εἰς τοῦτο μάλιστα καὶ ἡ πλείων τρῖψις, οὐ μὴν οὐδ᾿ ὁ πλείων ὕπνος ἀγαθὸς τοῖς τοιούτοις· οὔτε γὰρ ἐπιτρέπει διαφορεῖcθαι τοὺς χυμοὺς καὶ βαρύνει τὰ cπλάγχνα. cυμμέτρων οὖν ἀμφοτέρων δεῖται ἡ φύσις ὕπνου τε καὶ ἐγρηγόρσεως. εἰ μὲν οὖν ὁ cφυγμὸς αὐτοῖς cφόδρα μικρὸς καὶ ἄρρωστος ᾖ καὶ πρὸς τούτοις ἀνώμαλος ἰσχυρῶς, ἔσχατος ὁ κίνδυνος καὶ χρὴ πράττειν τὰ λελεγμένα, μηδὲν ἄλλο περιεργαζόμενον. εἰ δὲ τόνου μετρίως ἔχοι καὶ μεγέθους ἄθλιπτός τε εἴη καὶ ὁμαλός, ἐπισκέπτου τὰ κατὰ γαστέρα καὶ κλύζε θαρρῶν, εἰ μὴ καλῶς αὐτόματα διεξέρχοιτο. cυμβαίνει γὰρ ἐπὶ τῷ πινομένῳ μελικράτῳ κενοῦcθαι καλῶς ἅπασαν τὴν περιουσίαν τὴν ἐν ταῖς πρώταις τῶν φλεβῶν εἰωθυῖαν ἀθροίζεcθαι, ταῖς κατὰ τὰ cιμὰ τοῦ ἥπατος καὶ τὸ μεσεντέριον. εἰ δὲ πλείων τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττωμάτων ἐπὶ τὴν γαστέρα γίγνοιτο, τὴν μὲν πρώτην ἐπὶ πλέον ἕψειν τὸ μελίκρατον· ἧττον γὰρ ὑπάγει τὸ τοιοῦτον. μετὰ δὲ ταῦτα φερομένης ἐπὶ πλέον τῆς περιουσίας τῶν ὑγρῶν μηδ᾿ οὕτως μὲν ἱστάναι, διδόναι δὲ ἀντὶ τοῦ μελικράτου πτισσάνης χυλόν. εἰ δ᾿ ἐπιμένοι φερομένη, τῷ

4—8 ἐπιτηδειότατον — τρίβοντα *Or.ª ib. (200, 28—201, 1)* 15—17 εἰ δὲ τόνου — διεξέρχοιτο *Or.ª ib. (201, 2—3)* 20 — *p. 86, 6* εἰ δὲ πλείων — κάμνων *Or.ª ib. (201, 3—11)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1. 2 διὰ cινδ. — ἐλαίῳ] ξηρᾷ τρίψει, τῷ λίπει δὲ ὕcτερον P^a τῷ *om.* ψ (*exc.* T) 2 *ante* ἐπὶ tert.: αὖθις P^a ἐπὶ *om.* P^x A^t *m. 1ª* S 3 ῥάχ.] ἀρχήν A^t *ante* ὅλ.: δι᾿ P^a P^x ψ (*exc.* T) ....ντα P^x ....τας P^a χ (*exc.* T) 3. 4 ἐν οἴκῳ — ὁ οἶκος *om.* P^x ...ντα L^a A^t ...αρῶ (= M^o) καὶ ...ίκμω ψ (*exc.* T) 4. 5 τούτ. ἐπιτ. P^x 5 δὲ *om.* L^a ψ P *post* μελίκρ.: κατὰ τὰς ἡμέρας τῶν τρίψεων A P T *m. 2ª* S *ead. post* ὑcc. D 6 cιτί$\overset{α}{ο}$ν T ...ία ω *post* διδ.: μήθ᾿ ὕδωρ P^a 7 κατὰ *om.* A^t 8 ...ντας ψ (*exc.* T) 8—15 καὶ μόνον — περιεργ. *om.* P^x ...ντας ψ (*exc.* T) 9 ....άβοι P^a T ω εἰς τοῦτο *post* τρῖψις D *om.* A P 10 οὐδ᾿] οὐ A P οὔτε] οὐδὲ ψ ω 11 ...ύνεται A P ...νειν ω 11. 12 cυμμ. — ἐγρηγ.] ἀλλ᾿ εἴπερ τις ἄλλη διάθεσις, ἑκατέρων δεῖται μετρίων ὕπνου τε καὶ ἐγρηγόρσεως οὕτως καὶ ἤδη. πέττει μὲν γὰρ ὁ ὕπνος, διαφορεῖ δὲ ἡ ἐγρήγορσις P^a 12 δεῖται] εἶναι A^t 13 cφόδρα *om.* A^t ἄρρωστ. — τούτοις *om.* A^t *m. 1ª* S εἴη M^o ψ S 14 ..χάτως A P 15 ἔχει C^p P^x ψ (*exc.* A) 16 ἄθλιπ. — ἐπισκ.] τὰ μὴ καθόλ⟨ου⟩ P^x τε] δὲ A^t *m. 1ª* S *post* γαστ.: εἰ διεξίου P^x κλῦcθαι θαρροῦντες P^x 17—20 εἰ μὴ — μεσεντ.: *om.* P^x αὐτόμ.] αὐτὰ A^t ...χοιντο ψ (*exc.* T) 18 τὴν *alt. om.* T A^t 19 ταῖς] τήν τε ψ τήν γε *m. 2ª* S *om.* C^p A^t *m. 1ª* S 20—22 εἰ δὲ — ἧττον γὰρ *om.* A πλείω P^x M^o T ω πλεῖον P^a πλέον C^p ἡ περιττ. ὁρμὴ T A^t 21 ἐπὶ] κατὰ M^o εἰς D P γένοιτο A^t 22 τῶ ...κράτω A^t *m. 1ª* S *supra scr.* T 22 *post* τοιοῦτ.: τρέφει μᾶλλον ὥcπερ γε τὸ ὠμόν, ἧττον μὲν τρέφει μᾶλλον δ᾿ ὑπάγει P^a 23 ἱστάναι P^a χ T S ἑστάναι *cett.* ἱστᾶν ψ (*exc.* T) *Or.* 24 τοῦ *om.* T S ....νει P^x D T

τε ἐκ χόνδρου ἄλικος ῥοφήματι τρέφειν, παρακολουθοῦντα δηλονότι τοῖς σφυγμοῖς. ἔσθ' ὅτε γὰρ ἐξαίφνης μεταβάλλουσιν εἰς ἀρρωστίαν ἢ ἀνωμαλίαν ἢ μικρότητα, καθ' ὃν καιρὸν ἄρτον ἐξ οἴνου κεκραμένου διδόναι προσήκει, μήτε γαστρὸς δηλονότι μήτε ἥπατος φλεγμαινόντων, ὡς εἴ γε φλεγμαίνοιεν ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος ἀνέλπιστος ὁ κάμνων ἐστὶν τῶν σφυγμῶν οὕτω τραπέντων. ἐπὶ μὲν οὖν τῶν τοιούτων ἀρρώστων προλέγων τὸν θάνατον ἀνέγκλητον φυλάξεις σαυτόν μηδενὶ γενναίως βοηθήματι χρώμενος. ἐφ' ὧν δὲ ἐλπὶς σωτηρίας, ἐπὶ πάντων δέ ἐστι τῶν χωρὶς φλεγμονῆς οὕτως νοσούντων, ὅταν ἐξ ἀρχῆς παραλάβωμεν αὐτούς, αἴσχρότατον εἶναί μοι δοκεῖ συγκοπῆναι τὸν κάμνοντα. εἰ δὲ αἰσθάνῃ ποτὲ παχεῖς ἱκανῶς εἶναι τοὺς χυμούς, ὀξύμελι δίδου διὰ παντὸς ἀντὶ τοῦ μελικράτου. καὶ εἰ μὲν θέρος εἴη καὶ ψυχροπότης ὁ νοσῶν, ψυχρὸν τούτῳ δίδου τὸ ὀξύμελι, χειμῶνος δὲ ὄντος ἅπασι θερμόν. ἐναντιώτατα δὲ τούτοις ἐστὶ τὰ βαλανεῖα καὶ ὁ περιέχων ἡμᾶς ἀὴρ ἱκανῶς θερμὸς ἢ ψυχρὸς γιγνόμενος, ὅθεν οὔτε λούειν προσήκει καὶ κατακλίνειν ὥρᾳ μὲν θέρους ψυχεινῷ οἴκῳ, χειμῶνος δὲ ἀλεεινῷ· βλάπτονται γὰρ ἱκανῶς ὑπὸ ἑκατέρας τῆς ἀμετρίας ἐν μὲν τοῖς βαλανείοις καὶ τῷ θέρει καὶ πάσῃ τῇ κατὰ τὸ θερμὸν αὐξήσει χεομένων τῶν ὠμῶν χυμῶν καὶ πάντη τοῦ σώματος ῥεόντων, ὡς κίνδυνον εἶναι καὶ πρὸς τὸν πνεύμονα καὶ καρδίαν ἀφικέσθαι καί ποτε καὶ εἰς τὸν ἐγκέφαλον ἀναδραμεῖν. ἄμεινον οὖν περί τε τὸ ἧπαρ αὐτοῖς ἐμμένειν καὶ τὰς φλέβας. ἐν δὲ τοῖς ἀμέτρως ψυχροῖς οἴκοις καὶ χειμῶνι καὶ ὅλως ψυχρῷ τῷ περιέχοντι δύσπεπτοί τε μένουσιν οἱ ὠμοὶ χυμοὶ καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις, εἰ μὲν εἶεν μικραί, παραυξάνουσιν, εἰ δ' οὐκ εἶεν, γεννῶσι διὰ πάχος ἰσχόμενοι καὶ σφηνούμενοι. καταπλασμάτων δὲ καὶ καταντλήσεων ἀπέχεσθαι χρὴ μέχρι τὸ πολὺ τοῦ πλήθους τὸ μὲν κενῶσαι, τὸ δὲ συμπέψαι. οἱ γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσι ταῦτα παραλαμβάνοντες αὐτοὶ κατασκευάζουσι τὰς φλεγμονὰς ἐξ ὧν πράττουσι, μὴ γιγνώσκοντες τοῖς ὑποχονδρίοις λωβώμενοι. ταῦτα μὲν οὖν οὕτω πρακτέον ἀπὸ τῆς πρώτης ἡμέρας, ὅταν αὐτὸς ἄρχῃ

11—*p. 87, 7* εἰ δὲ αἰσθάνῃ — συνεργοῦν *Gal. ib. (ib. 827, 6—8, 828, 4—6, 8—829, 5, 826, 5—7, 3—5, 829, 5—18)* 11—14 εἰ δὲ αἰσθ. — βαλανεῖα *Or.*[a] *ib. (ib. 11—14)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2*[a] S] ω(S A^t) 1 τε] γε ψ (*exc.* T) *om.* $P^a P^x$ ἄλικος *in marg.* T *om.* $C^p P^x A^t$ *m. 1*[a] S 1—3 παρακ. — καιρὸν] ἐὰν δὲ δι' ἀρρωστίαν ἐκ τοῦ σφυγμοῦ καταμάθωμεν πεπτωκυῖαν τὴν δύναμιν P^x 6 ἐστιν ὁ κάμν. $C^p M^o$ ψ (*exc.* T) 6—11 τῶν σφυγ. — κάμν. *om.* P^x 8 αὐτὸν M^o A A^t 9 οὕτω χ ψ ω 11 αἰσθ.] γε φθάσει A γε ...σοι P ...νῶς *post* χυμοὺς M^o ...νοὺς P^x *om.* D 12 διδόναι T ω 13 κ. ψυχροπ. ὁ νοσ. *om.* ψ (*exc.* T) τοῦτο T ω 14 πᾶσι ψ (*exc.* T) *om.* P^x *post* θερμ.: ψυχρὸν ὡσαύτως ψυχροπόταις τε καὶ θερμοπόταις, ὥσπερ εἰ καὶ ἄμετρον καῦμα θέρους ὥρα ψυχρὸν καὶ τοῖς θερμοπόταις, εἰ μηδὲν εὐπαθὲς ἔχοιεν τῶν σπλάγχνων P^a δὲ *alt. om.* φ χ (*exc.* P^x) ψ (*exc.* T) ω 14—*p. 87, 1* καὶ ὁ — θεραπείας *om.* P^x 15 ἱκανὸς A D γενόμ. T ω 18 *post* μὲν: γὰρ A^t 19 παντὶ C^p A 20 *ante* καρδ.: πρὸς τὴν P^a τὴν ψ (*exc.* T) 21 οὖν] ὑπάρχον μακρῷ P^a *om.* $L^a M^o$ 22 δὲ *om.* T A^t 23 τε *om.* C^p ψ (*exc.* T) 24. 25 ..ξουσιν $P^a C^p M^o$ ψ (*exc.* T) *m. 2*[a] S ...οξύνουσιν T A^t *m. 1*[a] S 26 δὲ *ins. m. 2*[a] S τε C^p δεῖ M^o ψ ω *om.* $L^a C^p$ μέχρι τὸ *exc. recte,* τοῦ *scribendum?* 28 λαμβ. ψ (*exc.* T) 30 οὖν *om.* $P^a C^p M^o$ ψ (*exc.* T) οὕτω *om.* T ω

τῆς θεραπείας. εἰ δὲ συγκοπτομένων ἤδη κληθείης, ἀφλεγμάντων ὄντων τῶν ὑποχονδρίων, διδόναι μὲν αὐτοῖς ἄρτου μὴ πολλοῦ οἴνῳ τῷ κιρρῷ βεβρεγμένου. καὶ εἰ μὲν εἴη θέρος ἢ χωρίον φύσει θερμὸν ἢ κατάστασις θερμή, μεθ' ὕδατος ψυχροῦ, εἰ δὲ τὰ ἐναντία, μετὰ θερμοῦ δοτέον τὸν οἶνον. μετὰ δὲ τὸ παύσασθαι τὸ τῆς τοιαύτης συγκοπῆς σύμπτωμα πειρᾶσθαι θερμὸν διδόναι τὸ ποτόν. εἰς γὰρ τὴν ὅλην θεραπείαν ἄμεινον τὸ θερμὸν ταῖς πέψεσι τῶν ὠμῶν χυμῶν συνεργοῦν. εὐθὺς δὲ καὶ τούτους ἐπὶ τὴν τρῖψιν ἰέναι τῷ προειρημένῳ τρόπῳ.

ϙη Περὶ τῶν διὰ ξανθὴν χολὴν ἀδικοῦσαν τὸ στόμα τῆς γαστρὸς συγκοπτομένων. ἐφ' ὧν δὲ διὰ ξανθὴν χολὴν ἀδικοῦσαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γίγνεται, ψυχρὸν προσφέρειν τὸ ποτόν, οἶνον μέντοι θερμὸν τῇ φύσει, κιρρὸν καὶ λεπτὸν καὶ παλαιόν.

ϙθ Περὶ τῶν ἐπὶ λεπτοῖς χυμοῖς συγκοπτομένων. οἱ δὲ ἐπὶ λεπτοῖς χυμοῖς ἱκανῶς συγκοπτόμενοι, ὡς διαφορεῖσθαι τάχιστα διά τε ἱδρώτων καὶ τῆς ἀδήλου διαπνοῆς, θεραπευέσθωιαν ἐναντίως τοῖς ἐπὶ τοῖς ὠμοῖς συγκοπτομένοις. ἐκείνους μὲν γὰρ ἐκκενοῦμεν κατὰ βραχὺ διὰ τὸ μὴ φέρειν τὴν δύναμιν ἀθρόαν τὴν κένωσιν, τοὺς δὲ ἐπὶ λεπτοῖς χυμοῖς θρέψομεν κατὰ βραχὺ συνεχῶς· εἰ δὲ ἐξ ἀρχῆς τούτους παραλάβοιμεν ἔτι τῆς δυνάμεως ἐρρωμένης, οὐ κατὰ βραχὺ θρέψομεν· δύνανται γὰρ οὗτοι καὶ πλείονος εἰσάπαξ δοθείσης περιγενέσθαι τῆς τροφῆς. ὥσπερ δὲ τοὺς προτέρους ἐλέγομεν ὀλεθρίως ἔχειν, ὅταν τι τῶν σπλάγχνων

1. 2 εἰ δὲ συγκοπτομένων — οἴνῳ $Or.^a$ *ib.* *(ib. 15—16)* 7. 8 εὐθὺς — τρόπῳ | 10. 12 ἐφ' ὧν — παλαιόν $Or.^a$ *ib.* *(ib. 16—20)* 10—*p. 88, 24* ἐφ' ὧν — λαμβανόμενος *Gal. ib. 4 (ib. 830, 1—3) 6 (846, 4—847, 9, 848, 2—3, 6—17, 849, 1—4)* 13 *cf. Paulus II 37* 13—18 Περὶ — συνεχῶς $Or.^a$ *VI 27 (201, 21—23)* ἐλέγομεν *cf. 86, 5*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m.* 2^a S] ω (S A^t) 1 συγκλ. ψ (*exc.* T) κληθείη $C^p P^x A^t$ 2 μὲν *om.* ψ (*exc.* T) ἄρτον ....πολὺν P^x ψ (*exc.* T) πολὺ *Or.* δι' οἴνου $P^a P^x$ *Or.* 2—7 τῷ κιρρ. — συνεργοῦν *om.* P^x τῶν κιρρῶν $C^p M^o$ T ω *om.* P^a 3 ..βρεγμένων C^p ...νῳ M^o (*in marg.* βρεχομένῳ) T *m.* 2^a S ...νον A D P βρεχομένῳ A^t *m.* 1^a S ἢ χωρ. — θερμόν *om.* ψ (*exc.* T) 4 *ante* θερμή: ἱκανῶς P^a φύσει ψ (*exc.* T) 5 τὸ *alt.*] τῶ C^p τὰ ψ (*exc.* T) τοιαύτ. *om.* ψ (*exc.* T) ....ώματι C^p ....α ψ (*exc.* T) 7 τὸ θερμ. *om.* A D εὐθ. — τρόπῳ] ἧς ἕνεκα καὶ τὰς τρίψεις παραλαμβάνωμεν P^a 7. 8 δ' ἐκ τούτου A P τὴν *om.* D τρίτην M^o T A^t 9—10 Περὶ — συγκοπτ. *post* παλαιόν *transp.* P^x 10 ἐφ' ὧν κτλ. *usque ad* ποτόν *rep. post tit.* P^x 11 ἡ *om.* A P ψυχρὰ $P^{x\prime}$ ψ (*exc.* T) *post* ψυχρ.: χρὴ P^x τὸ (τὸν P^x S) *om.* $P^{x\prime}$ ψ (*exc.* T) ποτὰ $P^{x\prime}$ ψ (*exc.* T) *post* ποτόν: παραλαμβάνοντα τὸν P^x [*post* ποτὰ ($P^{x\prime}$): οὐ συμφέρει, λουτρά τε θερμὰ οἷον μελοχ' δάφνην χαμαίμηλον ῥόδα — εἰ δὲ διὰ χολὴν ξανθὴν ἀδικοῦσαν ..... ποτὰ *(ll. 10—11)* καὶ ἐπιθέματα ὁμοίως, οἶνον μέντοι διδόναι ὀλίγον, ἐὰν ἀπύρετος εἴη ὁ κάμνων λεπτὸν καὶ ὑδαρῆ καὶ ὀ⟨λί⟩γον P^x] μέντοι *om.* P^x 12 κιρρὸν — παλαιὸν] θερμὸν εἰς ἀνάδοσιν ὁρμῶντα τοῖς συγκοπτομένοις ἅπασι δοτέον. ἀναδοθῆναι γὰρ βουλόμεθα τὴν ληφθεῖσαν τροφὴν κτλ. *(Gal. v. supra 830, 3 sqq.)* P^a καὶ λεπτὸν *om.* A P 13 *post* συγκοπτομένων: τοὺς δὲ ἐπὶ λεπτοὺς συγκοπτομένους χυμοὺς θεραπευτέον κτλ. Ἀετίου περὶ αὐτοῦ. καὶ Ἀέτιος δέ φησιν P^x οἱ] ὁ L^a εἰ $C^p P^a$ τὸν P^x 14 ἱκαν. χυμ. *transp.* M^o ψ (*exc.* T) ....όμενοι $P^a C^p M^o$ ψ ω ...ος L^a ...ον P^x 15 ....ευέσθωσαν φ χ ψ (*exc.* T) A^t ...έτωσαν S ...έσθωσαν, *in marg.* ....έτωσαν T ....ευέσθω L^a 16 κενώσωμεν ψ (*exc.* T) 17 ἐπὶ — χυμοῖς] οὕτως ἔχοντας P^a 18 ...ψωμεν P^a χ S 19 ...ωμεν $C^p P^x$ 20 καὶ *om.* L^a εἰς] ἢ C^p *om.* ψ (*exc.* T) 21 προτ.] ἐκ πλήθους ὠμῶν χυμῶν κινδυνεύοντας συγκοπῆναι πάνταπασιν P^a *(Gal. v. supra 846, 11—12)*

φλεγμαίνοι, κατὰ τὸν αὐτὸν τρόπον καὶ τούτους νομιστέον ἀνιάτως ἔχειν, εἰ φλεγμαίνοι τι τῶν σπλάγχνων, καμνούσης ἤδη τῆς δυνάμεως. οὔτε γὰρ οἷόν τε τρέφειν αὐτοὺς συνεχῶς, ἀλλ᾿ ἐν ταῖς παρακμαῖς μόνον, οὔτε μὴ τρέφοντας οἷόν τέ ἐστι διασώζειν αὐτούς. ἐπὶ ⟨μὲν⟩ τῶν τοιούτων διαθέσεων ἡ νεκρώδης κατάστασις ἐν τῷ προσώπῳ ἐν τάχει γίγνεται, ῥὶς ὀξεῖα ὀφθαλμοὶ κοῖλοι κρόταφοι συμπεπτωκότες καὶ τὰ ἄλλα ὅσα ἐφεξῆς λέλεκται. ἐάν τε ἐκκρίνωσι πλέον ἐάν τε ἀγρυπνήσωσιν ἢ λυπηθῶσιν ἢ μὴ θᾶττον τραφῶσιν, αὐτίκα τοιοῦτον ἴσχουσι τὸ πρόσωπον. εἰ μὲν οὖν δι᾿ ἀγρυπνίαν ἢ λύπην ἢ μείζονα ἔκκρισίν τινα τοιοῦτοι γένοιντο, μικρὸν εἶναι νόμιζε τὸ κακόν, εἰ δὲ ἄνευ τούτων, ὀλέθριον, ἔτι δὲ μᾶλλον, εἰ κατ᾿ ἀρχὰς τοῦ νοσήματος οὕτως ἔχοιεν· οὐ γὰρ ἐξαρκέσουσιν εἰς τὴν πέψιν αὐτοῦ. τρέφειν οὖν αὐτοὺς τότε ἀναγκαῖον καὶ πυκνοῦν τὴν ἐπιφάνειαν καὶ ψυχρὸν τὸν ἀέρα τοῦ οἴκου κατασκευάζειν, ὡς ἐπὶ τῶν κατὰ ξηρὰν δυσκρασίαν πυρεττόντων προείρηται· καὶ ἀλειπτέον αὐτοὺς τοῖς στύφουσιν ἀλείμμασι καὶ τροφὰς δοτέον οὐ πάνυ διαρρεούσας ἑτοίμως οὔτε μελίκρατον οὔτε χυλὸν πτισσάνης ἀλλ᾿ ἄρτους καὶ ῥοφήματα διὰ χόνδρου ἄλικος καὶ ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους, αὐτάς τε καθ᾿ ἑαυτὰς καὶ μετ᾿ ἄρτου καὶ χόνδρου δι᾿ ὕδατος ἡψημένου. δοτέον δὲ αὐτοῖς καὶ ᾠῶν ῥοφητῶν τὰς λεκίθους μόνας καὶ ἀλεκτρυόνων ὄρχεις καὶ ἐγκεφάλους ὑείους ὀπτηθέντας ἀκριβῶς ἢ καλῶς ἡψημένους· οἱ γὰρ ὠμότεροι ἐσχάτως βλάπτουσι. καὶ ὅλως ἅπαντα πρακτέον ὑπὲρ τοῦ παχυτέραν τὴν ὕλην ἐργάσασθαι καὶ πυκνῶσαι τὸ δέρμα καὶ κωλῦσαι τὰς διαπνοάς. ἀναγκαῖος δὲ τούτοις ὁ ὑδατώδης οἶνός ἐστιν ἐξ ἀρχῆς ἐπὶ τοῖς σιτίοις λαμβανόμενος.

ρ̄ Περὶ τῶν ἄλλων προφάσεων ἐφ᾿ ὧν γίνονται συγκοπαί. εἰσὶ δὲ καὶ ἄλλαι προφάσεις, ἐφ᾿ ὧν συγκόπτονται, τέτταρες· ἄλγημα σφοδρόν, ἀγρυπνία, κένωσις ἄμετρος, ἐπὶ δὲ τῶν παραπαιόντων καὶ κίνησίς ἐστιν ὅτε· πέμπτην δὲ εἰ βούλει προστίθει, τὴν δυσκρασίαν τῶν ἀρχῶν. τάχιστα μὲν οὖν ἀπώλεια γίγνεται τῆς καρδίας παθούσης, ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου.

1. 2 καὶ τούτους — δυνάμεως *Or.*[a] *ib.* *(ib. 23—25)* 4. 5 ἐπὶ ⟨μὲν⟩ τῶν τοιούτων — γίγνεται *Or.*[a] *ib.* *(ib. 25—26)* 12—20 τρέφειν — ὑείους *Or.*[a] *ib.* *(ib. 26—202, 4)* προείρηται *cf. 74, 8 sqq.* 23. 24 ἀναγκαῖος — λαμβανόμενος *Or.*[a] *ib. 27 (202, 4—5)* 25—28 Περὶ τῶν — ἀρχῶν *Gal. ib. 7 (ib. 850, 6—10)* *25—30* Περὶ τῶν — ἐγκεφάλου *(30) Or.*[a] *ib. 28 (202, 6—11) Paulus II 38*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2*[a] S] ω(S A^t) 1 ...αίνη A D P ...αι$^{ν'}$ P^x T *corr.* ....αίνοι S τούτοις M^o A D P ...το A^t τοὺς νῦν ὑποκειμένους *(Gal.)* P^a 4 οὐδέ L^a μὴ] μὴν P^xψω αὐτὸν A^t μὲν *add. ex Gal.* *om. diem Or.* 5 γίγν. ἐν τάχ. Tω 6 ξυμπ. ψ (*exc.* T) *ante* καὶ: ὦτά τε (τε *om.* T) ψυχρὰ P^xψS 7 *ante* ἐκκρ.: γὰρ *(Gal.)* P^a οὖν D P T *m. 2*[a] S 8 ἢ] εἰ P^x D T ω *om.* M^o 9 τινα *om.* ψω τοιοῦτον P^x ...το $C^p A^t$ 10 *post* ὀλέθ.: κάρτα P^xψ (*exc.* T) 12 ἀρκές. A A^t 13 *post* πυκν.: αὐτῶν Tω 15 αὐτοῖς $C^p P^x$ 19 *ante* μόνας: καὶ P^a Tω 20 καλ. ἡψημ.] διὰ τοῦ λευκοῦ ζωμοῦ ἡψημένους ἐμβεβλημένων καὶ πράσου καὶ ἀνήθου *(Gal.)* P^a 22 μὲν ἐργάσασθαι τὴν ὕλην τῶν χυμῶν *(Gal.)* P^a 23 τὰς] τε L^a ἐστιν *post* τούτ. Tω *om.* L^a 24 τοῖς *om.* P^x D T ω 25 ὑφ᾿ D P ...κοπτικοί Tω δὲ *om.* L^a 26 ὑφ᾿ ψ (*exc.* T) 27 καὶ *post* ἀγρ. *add.* $L^a C^p P^x$ A ...πνεόντων L^a 28 ὅτε *om.* A^t 29 τῆς καρδ. *supra scr. m. 2*[a] S *om.* ω δὲ] διὰ L^a 30 *post* ἐγκεφ.: βραχύ τε ἥπατος. Ἐκ πόσων διαγιγνώσκεται τὸ πάσχον μόριον κτλ. P^x

ρα

Περὶ ὀδύνης συγκοπὴν ἐπιφερούσης. ὀδύνη μὲν οὖν ἐστιν ἀθρόα μεταβολὴ κράσεως καὶ μελέτη λύσεως συνεχείας. οὐ γὰρ ἡ κατὰ βραχὺ γιγνομένη ἀλλοίωσις δύναιτ᾽ ἄν ποτε ὀδυνῆσαι τὸ ζῷον. φαίνεται γὰρ οὐ μόνον εἰς τὸ παρὰ φύσιν ἀθρόως ἀγόμενα τὰ σώματα λυπηρὰν ἴσχειν τὴν μεταβολήν, ἀλλὰ καὶ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον, εἰ μὴ κατὰ βραχὺ λαμβάνοιεν, κἀν τούτῳ πονοῦντα. τοὺς γοῦν ὁδοιπορήσαντας ἐν σφοδροτάτῳ κρύει θερμαινομένους ἀθρόως ἴσμεν ἀλγοῦντας οὕτως ἰσχυρῶς τὰ περὶ τὰς ῥίζας τῶν ὀνύχων, ὡς μὴ δύνασθαι φέρειν. ἐπιζητοῦμεν οὖν ὅπως οἱ νοσοῦντες ὀδυνῶνται μηδενὸς ἔξωθεν αὐτοῖς ὀδυνηροῦ πλησιάζοντος. ἀναγκαῖον οὖν ἐν τῷ σώματι ζητῆσαί, τί τῶν τοιούτων αἴτιον, ὃ θερμαῖνον σφοδρῶς ἢ ψῦχον ἢ διαιροῦν τὴν οὐσίαν τινὸς αἰσθητικοῦ σώματος ἀνιαρὸν ἡμῖν γίγνεται καὶ πρῶτόν γε θεασώμεθα, τίνος εἶναι χρὴ φύσεως ὃ τὴν διαίρεσιν τῶν σωμάτων ποιήσεται. ἀναγκαῖον οὖν ἤτοι ῥῆξιν ἢ θλάσιν ἢ διάβρωσιν εἶναι τὴν διάθεσιν ἐν τῷ διαιρεῖσθαι τὸ συνεχές. ἀλλ᾽ ἡ μὲν ῥῆξις ἐκ τάσεως, ἡ δὲ θλάσις ἐκ βάρους, ἡ δὲ διάβρωσις ἐκ δακνώδους γίγνεται ποιότητος. ὅταν οὖν ἔξωθεν μηδὲν ᾖ τὸ τεῖνον ἢ βαρῦνον ἢ δάκνον, ἀλλ᾽ ἐξ αὐτοῦ πάσχει τι τούτων τὸ σῶμα, παντί που δῆλον ὡς ὑπό τινος τῶν ἔνδοθεν γίγνεται· ἀλλ᾽ ἡ μὲν τάσις ὑπό τινος οὐσίας διατριβούσης τὸ περιέχον αὐτὴν σῶμα γίγνοιτ᾽ ἂν ἢ ἀμέτρου ξηρότητος, ἡ δὲ θλῖψις ἔκ τινος παρακειμένου ὄγκου σκληροῦ, ἡ δὲ δῆξις ὑπὸ χυμοῦ δριμέος. ἐπισκεπτέον οὖν ἡμῖν ἐν ταῖς ὀδύναις ἤτοι χυμὸν πολὺν ἢ πνεῦμα διέξοδον οὐκ ἔχον, ὡς ἐπὶ κωλικῶν, ἢ βαρὺν ὄγκον, ὡς ἐπὶ φλεγμονῶν ἢ σκίρρων, ἢ ὑγρὸν δακνῶδες ἢ διάθεσιν ξηράν, ὡς ἐπὶ τῶν σπωμένων, ἢ ψῦξιν σφοδρὰν ἢ θερμότητα καὶ τούτων ἑκάστου τὴν ἐπανόρθωσιν δεόντως ποιεῖσθαι. ἡ μὲν οὖν ναρκώδης ὀδύνη διὰ ψυχρὰν γίγνεται διάθεσιν, ὁ δὲ σφυγματώδης πόνος ἴδιός ἐστι μεγάλης φλεγμονῆς. ἐὰν δὲ ὡς ὑπὸ σκόλοπος ἐμπεπαρμένου ἢ ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι νομίζει, τοῦ παχέος

2. 3 λύσεως — ἀλλοίωσις *Gal. ib. (ib. 852, 8. 9)* 2—24 οὐ γὰρ — ξηράν *Gal. ib. (ib. 853, 5—14, 854, 16—855, 17)* 26—*p. 90,1* ἡ μὲν οὖν — ἐστὶ *Or.^{a} ib. 29 (202, 13—16)* ἡ μὲν οὖν — διάθεσιν *cf. Gal. de locis affectis II 2 (VIII, 70, 17—18)* 27. 28 ἐὰν δὲ ὡς — νομίζει *Gal. ib. (ib. 83, 12—14)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 3 ὀδυν. ποτε *transp.* T ω 5 *post* μή: τὸ C^p T A^t *m. 1^a* S 6 τοῦτο M^o S του (τ᾽ supra) *in marg.* T ....νοῦντες A P T *m. 2^a* S ...ι *in marg.* T A^t 7 οὕτως *post* ἰσχ. T *om.* C^p 8 ἰσχ. *supra scr. m. 2^a* S *om.* A^t 8. 9 ζητ. P^a ἐπ... τοῦντες T A^t 9 αὐτοὺς $C^p P^x$ P ἡμῖν P^a 10 τῶν τοιούτων *Gal.* τοιοῦτος α 11 ....νόμενον A^t *m. 1^a* S σφοδ.] ἰσχυρῶς C^p *supra scr. m. 1^a* T *m. 2^a* S 12 ....όμεθα T A^t 13 ὧ T A^t ....σηται $C^p M^o$ T ω ἐργάσεται D 17 *post* ᾖ: τι $C^p P^x$ A P S τι *om.* C^p P S 18. 19 γίγν.—τινος *om.* φ 19 ὑπό τιν. *om.* A^t *m. 1^a* S διατεινούσης $P^x M^o$ αὐτῇ A^t ...ῇ *supra scr.* ...ὴν T 20 γένοιτ᾽ C^p D P A^t *supra scr.* T θλάσις A D T *m. 2^a* S 20. 21 ἔκ τινος — σκληροῦ] ἔξωθεν ἐπιπεπτωκυίας οὐσίας σκληρᾶς ἢ μεγάλης ἢ συναμφοτέρων *(Gal.)* P^a 21 δριμ.] δακνώδη φύσιν ἔχοντος P^a 23 *ante* κωλ.: τῶν ψ (*exc.* T) σκίρρον $P^a P^x$ 26 οὖν *om.* T A^t διάθ. γίγν. T ω 28 ...ζη A D P ...ζει (η supra) *m. 1^a* P^a

ἐντέρου, ὃ δὴ κῶλον ὀνομάζομεν, τὸ εἶδος τῆς ὀδύνης ἐστὶ καὶ ἐπὶ νεφρῶν δὲ ὀδυνωμένων τὸ αὐτὸ εἶδος τῆς ὀδύνης ἐστίν, ἀλλ' ἐπὶ μὲν τῶν νεφρῶν μετὰ βάρους τινός ἐστιν ἡ ὀδύνη καθ' ἕνα τόπον ἡδρασμένη, κατὰ λαγῶνα δεξιὰν ἢ ἀριστεράν, ὄπισθεν μᾶλλον. ἐπὶ δὲ τοῦ κώλου μεταβαίνει ἡ ὀδύνη τόπον ἐκ τόπου. ὁ δὲ νυγματώδης πόνος συνίσταται περὶ τοὺς ὑμένας, ὁ δὲ διάττων λεγόμενος πόνος συμβαίνει ἐπὶ ταῖς σφοδραῖς ἡμικρανίαις. ἔστι δὲ τούτου διάγνωσις, ὅταν ὡς ἀπὸ ῥίζης τινὸς ἀρχομένη ἡ ὀδύνη τοῦ πρωτοπαθοῦντος μορίου φέρηται ταχέως εἰς τὰ παρακείμενα ἑκατέρωθεν· διὸ πρὸς ἄμφω τὰ πέρατα γιγνομένων τῶν διατάσεων καὶ τὰ νεῦρα ἑκατέρωσε διατείνεται· ἥκιστα γὰρ εἰς τὸ πλάτος ἐκτεταμένους ἔχει τοὺς πόνους τὰ νεῦρα. ὁ δὲ τῷ δέρματι παντὶ ὑποτεταμένος ὑμὴν τονώδεις καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους, οἱ δὲ μεταξὺ τῆς γαστρὸς οἷον διασπῶντές εἰσιν. εἰσὶ γὰρ καὶ ἄλλοι ὑμένες ἀνωμάλως ἐμφυόμενοί τε καὶ παραλαμβάνοντες τὴν γαστέρα ἔξωθεν. οἱ δὲ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων πόνοι βύθιοί τέ εἰσι καὶ αὐτῶν τῶν ὀστέων φαντασίαν ἐπάγουσιν ὡς ὀδυνωμένων. ὅταν μὲν οὖν μηδὲν ἔξωθεν αἴτιον τῆς ὀδύνης φαίνοιτο γιγνόμενον, ἐπίσκεψαι τὴν προηγησαμένην δίαιταν. εἰ γὰρ εἴη ἀργοτέρα παρὰ τὸ ἔθος ἢ σιτίοις πλείοσιν ἐχρήσατο ὁ ἄνθρωπος ἢ πολυτρόφοις ἢ συνήθης ἔκκρισις ἐπεσχέθη, εἰ γάρ τι τούτων ἢ πάντα φαίνοιτο, πλῆθος αἴτιόν ἐστι τῆς ὀδύνης καὶ δεῖ ὅτι τάχιστα κενοῦν τὸν ἄνθρωπον. οὕτω γὰρ ἔξεστί σοι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουομένοις τὰ ῥεύματα κατὰ τῶν ὀδυνωμένων χρῆσθαι μερῶν. εἰ μὲν οὖν πλῆθος εἴη τὸ διατεῖνον, δυνάμεως ἰσχυρᾶς ὑποκειμένης, φλεβοτομητέον καὶ ἐκ τῆς μεγάλης φλεβὸς ἀφαιρητέον τῆς πλησίον τοῦ φλεγμαίνοντος ἢ ὀδυνωμένου μέρους. εἰ δὲ ἀσθενὴς εἴη ἡ δύναμις, ἀντισπαστέον τε καὶ παροχετευτέον ἢ ἄνω ἢ κάτω ἢ παρ' ἑκάτερα ἢ διὰ τρίψεων. κακοχυμίας δὲ μόνης ἐνοχλούσης, καθαρτέον. συνελθόντων δὲ ἀμφοῖν, ἀμφοτέραις χρηστέον ταῖς κενώσεσι,

5—25 ὁ δὲ νυγματώδης — μέρους *Or.*^{a} *ib. (ib. 16—203, 7)* 6—9 ὁ δὲ διάττων — ἑκατέρωθεν *cf. Gal. ib. 8 (ib. 94, 1—5)* 15. 16 οἱ δὲ — ὀδυνωμένων *Gal. ib. (ib. 104, 2—5)* 17 ὅταν μὲν οὖν κτλ. *Gal. in Hipp. Epid. III comm. III 76 (XVIII, 1, 763—764) = CMG V 10, 2, 1, p. 175, 5—23* 17—21 ὅταν μὲν οὖν — ἄνθρωπον *Or.*^{e} *III 12 (405, 25—31)* 23. 24 εἰ μὲν οὖν — φλεβοτομητέον *Gal. meth. med. XII, 8 (X 861, 5—7)* 25—*p. 91, 9* εἰ δὲ ἀσθενὴς — παροχετευτέον | εἰ δὲ τούτων — θερμαίνοντα *Gal. ib. (ib. 7—9, 10—862, 1)* 25—28 εἰ δὲ ἀσθ. — καθαρτέον *Or.*^{e} *III 12 (405, 31—33)* 27—*p. 91, 11* κακοχυμίας — θερμῷ *Or.*^{a} *VI 29 (203, 7—19)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^{t}) 1 κόλον D P *post* ....ζωμεν: καὶ διὰ τοῦτο ἐπονομάζωμεν καὶ τὸ ὄνομα τῆς ὀδύνης κωλικὸν κτλ. P^{x} τὸ εἶδ. τ. ὀδ. ἐστὶ *om.* P^{x} *post* ἐστὶ: ὅμοιον A ...ίως D P 1. 2 καὶ ἐπὶ νεφρ. δὲ (ἐστὶ δὲ ἐπὶ νεφρῶν P^{x}) — τῆς ὀδ. ἐστίν *om.* M^{o} ψ (*exc.* T) A^{t} *m. 1*^{a} S 2 ἀλλ' ἐπὶ μὲν] καὶ ψ (*exc.* T) 3 ἐστί τινος A^{t} ἑδρας. χ T ω 5 κόλου ψ (*exc.* T) ἡ ὀδ. *om.* D P 10 ...τέρως L^{a} P^{x} ...θεν D P 11 ἔχ. ἐκτ. ψ (*exc.* T) 13 τῆς γαστ.] τῶν μυῶν P^{a} εἰσιν *om.* φ A *m. 1*^{a} S 13—15 εἰσὶ γὰρ — ἔξωθεν *om.* P^{a} 14 συμφ., *in marg.* ἐμφ. T συμφ. S 16 ὀστῶν C^{p} M^{o} T ω 18 *ante* δίαιτ.: αἰτίαν καὶ T A^{t} 19 *ante* συνήθ.: ἡ P^{a} ψ (*exc.* D) A^{t} 20. 21 εἰ γὰρ — δεῖ ὅτι *om.* A P 21 δεῖ ὅτι] διότι T ω κενοῖν L^{a} C^{p} οὕτως L^{a} P^{a} 26 ...χευτέον L^{a} ψ (*exc.* A) A^{t} *m. 1*^{a} S 28 ...φοτέρων P^{x} ω

φλεβοτομήσας πρότερον, ἔπειτα καθάρας. εἰ δὲ τούτων γενομένων ἐπιμένοι τὸ ἄλγημα, δῆλον δήπου κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν. εὔδηλος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς γιγνομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ πνεῦμα φυσῶδες ἢ φλέγμα γλίσχρον γιγνομένας ὀδύνας, ὡς καὶ ἐπὶ κωλικῶν, ἰώμεθα πυρίαις καταιονήσεσι καὶ τοῖς παραπλησίοις. εἰ δὲ ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον διὰ τῶν λεπτυνόντων καὶ ἀραιούντων. εἰ δὲ διὰ δακνῶδες ὑγρὸν ἡ ὀδύνη γίγνοιτο, ἐναντιώτατα τούτοις ἐστὶ τὰ λεπτύνοντα καὶ θερμαίνοντα. ἄνηθον δὲ ἐναφεψόμενον ἐν ἐλαίῳ καὶ μᾶλλον τὸ χλωρόν, ἀνώδυνον ὑπνοποιὸν ὑπάρχει, καταιονουμένου τοῦ πάσχοντος μορίου τῷ ἐλαίῳ θερμῷ.

Περὶ λειποθυμίας. τὸ μὲν ὄνομα τῆς λειποθυμίας ἕν ἐστιν, αἰτίαι δὲ ρ̅β̅
αὐτοῦ πλείους καὶ θεραπεία καθ' ἑκάστην ἴδιος. τοσοῦτον οὖν ὑπὲρ αὐτῶν νῦν ἐροῦμεν, ὅσον ἄν τις μαθὼν ἱκανὸς ἂν εἴη τοῖς ἐξαίφνης προσπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς. διαφέρει δὲ λειποθυμία συγκοπῆς, ὅτι ἡ μὲν λειποθυμία αἰφνίδιον ἐπιπίπτει, ἀναίσθητον καὶ ἀκίνητον τὸν ἄνθρωπον ἐργαζομένη καὶ οὐ πάντως ἱδροῦσιν· ἡ δὲ συγκοπὴ καὶ ἐγρηγορόσι καὶ καταφερομένοις συμπίπτει καὶ πάντως μεθ' ἱδρώτων τῶν συγκοπτικῶν συνήθως λεγομένων.

Περὶ τῶν ἐπὶ διαρροίαις ἢ αἱμορραγίαις ἢ ἱδρώτων ἀμέτροις κενώ- ρ̅γ̅
σεσι λειποθυμούντων. τοῖς μὲν οὖν ἐπὶ χολέραις καὶ κοιλίας ῥύσεσι καὶ ταῖς ἄλλαις ἀμέτροις κενώσεσι λειποθυμοῦσιν ὕδωρ τε προσραίνειν καὶ ἀνατρίβειν τήν τε ῥῖνα καὶ τὸ στόμα τῆς γαστρὸς ἢ σπαράττειν δακτύλων ἢ πτερῶν καθέσει καὶ ἀναγκάζειν ἐμεῖν σκέλη τε καὶ χεῖρας διαδεῖν πλείοσι καὶ σφοδροτέροις δεσμοῖς, τὰ μὲν ἄνω ἐπὶ ταῖς κάτω γιγνομέναις κενώσεσι, τὰ κάτω δὲ ἐπὶ ταῖς ἄνωθεν· βοηθεῖ δὲ ἐν ταῖς τοιαύταις

1—5 εἰ δὲ τούτων — ἰώμεθα | 6—9 εἰ δὲ ὄγκος — θερμαίνοντα *Or.*^{e} *ib. (405, 36—406, 6)* 9—11 ἄνηθον — θερμῷ *cf. Gal. de simpl. med. temp. etc. VI, 1, 45 (XI, 832, 5 sqq.)* 9. 10 ἄνηθον — ὑπάρχει *cf. Or.*^{e} *ib. (406, 11—14)* 12—15 Περὶ — παροξυσμοῖς *Gal. ad Glauc. de med. meth. I 15 (XI 47, 9—11, 50, 1, 2, 4—7) Or.*^{e} *III, 7 (401, 31—402, 2)* 21—26 τοῖς μὲν οὖν — ἄνωθεν *Gal. ib. (ib. 7—13; 51, 2—3) Or.*^{a} *VI 45 (208, 20—25)* τοῖς μὲν — προσοίσωμεν *(p. 92, 20) Or.*^{e} *III 7 (402, 2—27)* 26—*p. 92, 9* βοηθεῖ — ἀμπέλων *Gal. ib. (ib. 51, 13, 52, 18—53, 9)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^{t}) 1 φλεβοτομία .....καθάρσει ψ (*exc.* T) γιγνομ. P^{x} ἐπιγεν. T ω ...μένει P^{a} P^{x} ...μείνη A D P ...νει T *m. 2*^{a} S μένει A^{t} 4 τὰς *om.* χ ψ ω 5 ....μένης τῆς ...νης χ ψ ω καὶ *om.* α, *exc.* L^{a} *post* πυρ.: τε P^{x} καὶ T ω 6 βαρύν. *om.* L^{a} 9 *post* θερμ.: χρήζει γὰρ ἡ τοιαύτη διάθεσις, εἰ μὲν ἰαθήσεσθαι μέλλοι, τῆς κενώσεως τῶν λυπούντων κτλ. *(Gal. v. supra 862, 2 sqq.)* P^{a} 9—11 ἄνηθον — θερμῷ *om.* P^{a} 9 ...ψώμεθα P^{x} ...ούμενον A P ..φεψημένον C^{p} M^{o} ω ἐν *om.* M^{o} ψ καὶ μᾶλλον *om.* A^{t} *m. 1*^{a} S 12 *post* λειποθ.: καὶ τί διαφέρει λειποθυμία συγκοπῆς P^{x} οἷόν ἐστι λειποθυμία καὶ ἔκλυσις T ω 13 αὐτῆς P^{a} ...πεῖαι P^{x} T A^{t} καθ' ....στην αὐτῶν ἴδιος ἡ θεραπεία *(cf. Gal.)* P^{a} καθ' ...στην ἴδιος (...ίως) C^{p} M^{o} *in marg.* T κ. ἕ...ον εἶδος (ἴδιος *ex* εἶδος *ut vid.* S) *cett. codd.* 14 νῦν *om.* C^{p} P^{x} ἱκανῶς χ T ω εἴη *om.* A^{t} 17 ἱδροῦντα ψ (*exc.* T) *fort. recte* 20 ἢ *alt. om.* C^{p} M^{o} ἄμετρον C^{p} M^{o} A ...τρων P^{a} P^{x} D P T ω 20. 21 κένωσιν χ A ω 21 ῥύσει A P *m. 2*^{a} S (*in marg.* ...σεσι) T 22 *ante* ἢ: καὶ κελεύειν ἐμεῖν *(Gal.)* P^{a} 24 κ. ἀναγ. ἐμ. *om.* *(Gal.)* P^{a} 26 ἄνω T ω

ἐκλύcεcι καὶ οἶνος ὁ ὑδατώδης παλαιὸς ψυχρῷ κεκραμένος. λουτρὸν δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτήδειον, τοῖς δὲ δι' αἱμορραγίαν ἢ ἱδρώτων ἄμετρον κένωσιν λειποψυχοῦσι πολεμιώτατον· ψύξεως γὰρ οὗτοι καὶ στύψεως, οὐ χαλασμοῦ δέονται. ψυχρῷ δὲ κεκραμένος οἶνος, ὡς εἴρηται, ἐπιτήδειος καὶ τούτοις. οὔτε δὲ διαδεῖσθαι τὰ ἄκρα συμφέρει τούτοις οὔτε ἐμεῖν οὔθ' ὅλως κινεῖσθαι, πυκνοῦσθαι δὲ ἁρμόττει καὶ ψύχεσθαι· διὸ τὸν ἀέρα τοῦ οἴκου ψυχρὸν κατασκευάζομεν πνεύματα ψυχρὰ παρασκευάζοντες εἰς αὐτὸν πνεῖν καὶ τὰ ἐδάφη πληροῦντες τῆς στυφούσης ποιότητος, οἷον μυρρίνων ῥόδων ἑλίκων ἀμπέλων.

ρδ Περὶ τῶν ἐπὶ πλήθει χυμῶν λειποθυμούντων. τῶν δὲ διὰ πλῆθος χυμῶν λειποθυμούντων ἀνατρίβειν ἐπὶ πλεῖστον καὶ θερμαίνειν καὶ διαδεῖν καρπούς τε καὶ τὰ σφυρά, τροφῆς δὲ αὐτοὺς καὶ οἴνου καὶ λουτρῶν παντάπασιν εἴργειν εἰ πυρέττοιεν, διδόναι δὲ ποτὸν ὀξύμελι.

ρε Περὶ τῶν διά τινα διάθεσιν περὶ ὑστέραν λειποθυμουσῶν. ὁμοίως δὲ καὶ τὰς ἐφ' ὑστέρας πεπονθυίας ἐκλυομένας ἰᾶσθαι ἐκτὸς ὀξυμέλιτος καὶ διαδεῖν καὶ τρίβειν σκέλη μάλιστα ἐπὶ τῶν ὑστερικῶς πνιγομένων καὶ ἐφ' ὧν ἀνέσπασται ἢ παρέσπασται ἡ ὑστέρα, καὶ σικύας κολλήσομεν βουβῶσί τε καὶ μηροῖς. καὶ ταῖς μὲν ῥισὶν ὀσφραντὰ δυσώδη προσάξωμεν, ταῖς δὲ μήτραις τὰ εὐώδη καὶ χαλᾶν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν.

ρϛ Περὶ τῶν δι' ἄμετρον κένωσιν τῶν καταμηνίων λειποθυμουσῶν. ταῖς δὲ δι' ἄμετρον κένωσιν τῶν καταμηνίων λειποθυμούσαις τὰς χεῖρας μᾶλλον διαδήσομεν καὶ τρίψομεν καὶ σικύας παρὰ τοὺς τιτθοὺς ἐπιθήσομεν.

1—5 λουτρὸν — τούτοις *Or.*[a] *ib.* *(ib. 26—209, 2)* 10—13 τῶν δὲ διὰ πλῆθος — ὀξύμελι *Gal. ib. (ib. 53, 12—54, 1)* τῶν δὲ — διαδεῖν *Or.*[a] *VI, 46 (209, 4—5)* 12. 13 τροφῆς — ὀξύμελι *Or.*[a] *ib. (ib. 5—8)* 14—18 ὁμοίως — προσοίσωμεν *Gal. ib. (ib. 54, 1—3, 4—7)* 22—*p. 93, 12* ταῖς δὲ δι' ἄμετρον — πέπερι *Gal. ib. (ib. 54, 3—4, 8—16, 55, 2—6)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2*[a] S] ω (S A^t) 1 ἐκλ.] κενώcεcι T ω ὁ *om.* $P^a P^x$ ψ ω *recte?* *ante* παλ.: καὶ ψ (*exc.* T) ψυχ. κεκραμ.] καὶ τὸ πλῆρις ἀρχοντικὸν καὶ τὸ διάροδον. ὁ δὲ οἶνος διδόσθω ψυχρὸς καὶ ὑδατώδης μηλείας κεκραμένος P^x ...τρὰ P^a ω *supra scr.* T 2 ...ότατα P^a T ω ...γίας P^a A ἢ] δεινῶς παροξύνει *(Gal.)*, πολεμιώτατα δὲ καὶ τοῖς δι' P^a 3 ἀμέτρων T ω ....μιώτατα T ω *om.* P^a ψύξ.] στύψεως A^t 4 στύψ.] ψύξεως A^t 4. 5 ψυχρῷ — τούτοις] καὶ τὸν οἶνον ψυχρὸν μάλιστα τούτοις διδόναι *(Gal.)* P^a 6 δὲ *om.* A^t 7—9 διὸ — ἀμπέλων] ἔν τε τῷ πνευμάτων ψυχόντων εἰσόδους ἐπιτεχνᾶσθαι κἂν τῷ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψύχουσάν τε καὶ στρυφνὴν ποιότητα, καταστρωννύντας τὰ ἐδάφη μυρίναις τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις *(cf. Gal.)* P^a 8 κατασκ. χ T ω 11 *ante* χυμ.: τῶν C^p ψ 12 *post* σφυρά: φαμέν D P αὐτ. *om.* P^x ψ (*exc.* T) 14 Περὶ *om.* $P^a P^x$ *ante* ὑστ.: τὴν ψ (*exc.* T) ...θυμούντων T S ...μησάντων A^t 15 ...στέραις ....θυίαις $P^a C^p$ ψ (*ex* ...ρα....ία T) *m. 2*[a] S ...στέρα ....θυία A^t *m. 1*[a] S ἔκ τε A P T S τε πλὴν P^a χωρὶς P^x 16 μάλ. σκ. M^o T S (σκ. μάλ. *in marg.* T) 17 *post* ἀνέσπ.: γε ψ (*exc.* T) ....σομεν $P^a C^p$ ψ S ....σωμεν *cett.* 18 ....ξομεν $P^a C^p$ ψ ω ....ξωμεν *cett.* *exc.* ....οίσωμεν P^x 20 ....οίσομεν $P^a C^p M^o$ ψ (*exc.* T) A^t ....οίσωμεν *cett.* Περὶ τῶν — λειποθυμουσῶν] Πρὸς τοὺς δι' ἀτονίαν στομάχου λειποθυμοῦντας *(= p. 93, 1)* A *om.* φ $C^p P^x$ T ω 22 δὲ *om.* P^x T S 23 ....δήσομεν $P^a C^p$ ψ A^t ....δήσωμεν *cett.* ...ψομεν $P^a C^p$ ψ A^t ...ψωμεν *cett.* περὶ $P^a P^x$ D P T A^t τ. τιτθ.] τοῦ στήθους C^p τὸ στῆθος ψ ω 23. 24 ...σωμεν M^o S προσεπ. ...ωμεν P^x

Πρὸς τοὺς δι' ἀτονίαν στομάχου λειποθυμοῦντας. δι' ἀτονίαν δὲ ρζ
στομάχου λειποθυμίας γιγνομένης καταπλάσμασι χρησόμεθα κατὰ τοῦ στομάχου τονοῦσι διὰ φοινίκων καὶ οἴνου καὶ ἀλφίτων καὶ κρόκου καὶ ἀλόης καὶ μαστίχης, ἐμβροχαῖς δὲ ταῖς δι' ἀψινθίου καὶ μηλίνου καὶ μαστιχίνου ἐλαίου καὶ ναρδίνου καὶ οἴνου καὶ εἰ ἐγκαίοιντο τὸν στόμαχον μιγνύναι τι καὶ τῶν ψυχόντων, οἷον τῶν ξυσμάτων τῆς κολοκύνθης τὸν χυλὸν ἢ τῆς θριδακίνης ἢ ἀνδράχνης ἢ στρύχνου ἢ σέρεως ἢ ὀξυλαπάθου ἢ ὄμφακος. οὗτος δὲ οὐ μόνον ψύχει, ἀλλὰ καὶ στύφει. ὠφελεῖ δὲ αὐτοὺς γενναίως καὶ ἡ τῶν ἄκρων ἀνάτριψις. εἰ δὲ ἐπὶ τούτοις βελτίους γίγνοιντο, τοὺς μὲν ἐγκαιομένους ἐπὶ λουτρὸν ἄγειν εὐθέως, τοῖς δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι τοῦ διὰ τριῶν πεπέρεων βραχὺ διδόναι ἢ αὐτὸ τὸ λευκὸν πέπερι.

Περὶ τῶν διὰ μοχθηρὸν χυμὸν δάκνοντα τὸ στόμα τῆς γαστρὸς ρη
λειποθυμούντων. ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, πίνειν διδοὺς θερμὸν ὕδωρ ἐμεῖν κέλευε· εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ πρότερον τὰ περὶ τὸν στόμαχον καὶ πόδας καὶ χεῖρας, ἔπειτα δακτύλων ἢ πτερῶν καθέσει ἐμείτωσαν. εἰ δὲ μὴ γίγνοιτο ἔμετος, συνεργεῖν δεῖ τῇ διὰ τῆς γαστρὸς ἐκκρίσει προσθέτοις χρωμένους. εἰ δ' ἐπὶ τούτοις βέλτιον διατεθῶσι, κόμην ἀψινθίου ἐν μελικράτῳ συνέψοντας διδόναι πίνειν καὶ παντοίως ῥωννύναι τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων καὶ διὰ τῶν εἴσω λαμβανομένων. οὐ μὴν κατ' ἀρχάς γε τοῦτο προσῆκε ποιεῖν μηδὲ τὸ ἀψίνθιον διδόναι, ἀλλ' ὕστερον μετὰ τὴν κένωσιν τῶν μοχθηρῶν ὑγρῶν, ὅταν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν γένηται.

Εἰ δὲ διὰ φλέγμα ἀθροισθὲν ἐν τῷ στομάχῳ λειποθυμοῦσι. οἷς δὲ ρθ
φλέγματος πολλοῦ καὶ ψυχροῦ ἐν στομάχῳ ἀθροισθέντος τὰς ἐκλύσεις

1—*p. 94, 19* δι' ἀτονίαν *(alt.)*—πόματος *Or.*^{e} *III 7 (402, 27—403, 9—28)* 14—*p. 96, 4* ὅσοι δὲ—ἀναγκάζειν *Gal. ib. (ib. 55, 7—12, 17—56, 5, 7—59, 3, 11—17)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2*^{a} S] ω (S A^t) 2 ...σώμεθα P^x M^o 2. 3 κατὰ—τον.] τοῖς τονοῦν δυναμένοις οἷά τε *(Gal.)* P^a τοῦ *om.* A^t 4 τε T ω 5 ναρδίνου *corr.* νάρδου *(Gal.)* P^a νάρδου P^x 6 τι *om.* P^x A^t *m. 1*^{a} S 7 τῶν χυλῶν D P 9 ὠφ.—γενν.] καὶ ψυχρὸν δὲ ὕδωρ τοὺς διακαιομένους τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθέν, ἄλλως δὲ μεγάλως βλάπτει καὶ χρὴ μᾶλλον οἴνου θερμοῦ διδόναι τοῖς ἀρρώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύει. ὀνίνησι δὲ μεγάλως τοὺς τοιούτους στομάχους *(Gal. v. supra p. 54, 16—55, 2)* P^a 11 *ante* τριῶν: τῶν C^p ψ (*exc.* T) 12 βραχὺ—πέπ.] φαρμάκου καὶ αὐτοῦ πεπέρεως μόνου τοῦ λευκοῦ καὶ ἀψινθίου μόνου πινέτωσαν P^a *(Gal. 55, 6—7)* *post* πέπ.: πάντων δὲ τῶν λειποθυμούντων δίδου τὸ καστόριον πίνειν συνεχῶς καὶ ὀσφραίνεσθαι. τάχιον γὰρ κατασπᾷ τὰς λειποθυμίας P^x 13 *tit. om.* φ C^p T ω μοχθηροὺς χυμοὺς δάκνοντας (ἐνοχλοῦντας M^o) P^x M^o A 14 διὰ μοχθηρὸν χυμὸν δάκνοντα P^x ψ (*exc.* T) μοχθ. *om.* L^a 15 ὕδωρ θερμ. P^a T A^t 16 πρότ. χρὴ M^o ψ ω χρὴ *om.* L^a 17. 18 εἰ δέ—δεῖ τῇ *om.* P^x 18 γένοιτο T ω τῆς *om.* T A^t *m. 1*^{a} S 19 χρωμένοις L^a P^x M^o ....ους (οις' *supra*) T ..ώμενον A D P 20 συνέψοντα P^x ψ (*exc.* T) πάντα (*in marg.* ...τοίως T) T A^t ἐρρωνύναι T A^t 21 ἔσω D P *m. 2*^{a}, *ut vid.*, S 22 γε] δὲ L^a μηδὲ—διδόναι *om.* P^a μήτε α, *exc.* L^a ἐπιδιδ. T A^t 23 ὑγρ.] χυμῶν T ω 24 τὴν *om.* D P 25 Εἰ δὲ] Περὶ τῶν P^a D P Πρὸς τὸ P^x Περὶ τῆς A ἐν—στομ. *om.* M^o τῷ *om.* A^t ...θυμούντων P^a D P ...θυμίας A οἷς] εἰ L^a P^x P ὡς A^t T *in marg.*

ϲυμβαίνει γίγνεϲθαι, καταιονήϲομεν τὸν ϲτόμαχον ἐπὶ πλεῖϲτον ἐλαίῳ θερμῷ ἀψίνθιον ἐναφεψημένον ἔχοντι, εἶτα μελίκρατον διδόναι, ὕϲϲωπον ἤ τι τῶν ὁμοίων ἐν αὐτῷ ἀποβρέχων, ὀξυμέλιτόϲ τε καὶ πεπέρεωϲ καὶ τοῦ διὰ τριῶν πεπέρεων ἢ τοῦ διοϲπολιτικοῦ φαρμάκου, καὶ τὸ ϲύμπαν ϲοι κεφάλαιον τῆϲ διαίτηϲ τμητικὸν ἔϲτω.

ρι Τὰϲ δ᾽ ἐπὶ ταῖϲ ἰϲχυραῖϲ ψύξεϲιν ἐκλύϲειϲ ὁμοίωϲ τοῖϲ βουλίμοιϲ ἰᾶϲθαι παντὶ τρόπῳ θερμαίνονταϲ, οἶνόν τε οὖν διδόναι αὐτοῖϲ θερμῷ κεκραμένον καὶ τροφὰϲ θερμαινούϲαϲ ἀνατρίβειν τε καὶ θάλπειν παρὰ πυρί.

ρια Πρὸϲ τοὺϲ διὰ θερμαϲίαν πλείονα λειποθυμοῦνταϲ. ἐπὶ δὲ τῶν ἐπὶ θερμαϲίᾳ πλείονι λειποθυμούντων ἢ ἐν ἀέρι πνιγώδει διατριψάντων ἢ ἐν λουτρῷ χρονιϲάντων, ῥώϲειϲ αὐτοὺϲ ἐν μὲν τῷ παραχρῆμα τό τε ψυχρὸν ὕδωρ προϲραίνων καὶ ῥιπίζων καὶ πρὸϲ ἄνεμον τρέπων καὶ τρίβων τὸ ϲτόμα τῆϲ κοιλίαϲ καὶ ϲπαράττων, ἐφεξῆϲ δὲ ἤδη καὶ οἶνον διδοὺϲ καὶ τροφάϲ.

ριβ Πρὸϲ τοὺϲ διὰ μέγεθοϲ φλεγμονῶν ἢ κακοήθειαν πυρετῶν λειποψυχοῦνταϲ ἐν ταῖϲ εἰϲβολαῖϲ. τοὺϲ δὲ διὰ μέγεθοϲ φλεγμονῶν ἢ κακοήθειαν ϲφοδροῦ πυρετοῦ λειποψυχοῦνταϲ ἐν ταῖϲ εἰϲβολαῖϲ καὶ καταψυχομένουϲ τὰ κῶλα τρίβων ἰϲχυρῶϲ καὶ θάλπων καὶ διαδεϲμῶν ϲκέλη καὶ χεῖραϲ ἐγρηγορέναι τε κελεύων καὶ ϲιτίου παντὸϲ ἀπέχειν καὶ πόματοϲ. ἄριϲτον δὲ ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔϲεϲθαι καὶ παρηγορεῖν αὐτὸ πρὸ τοῦ παροξυϲμοῦ.

ριγ Πρὸϲ τοὺϲ διὰ ξηρότητα ἐν ταῖϲ τῶν παροξυϲμῶν ἀρχαῖϲ ϲυγκοπτομένουϲ. καὶ τοὺϲ διὰ ξηρότητα ϲυγκοπτομένουϲ ἐν ταῖϲ τῶν παρο-

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t)   2 ἀφεψημ. P^x D T ω   3 τινα A^t *om.* M^o ....βρέχονταϲ ἐν αὐτῶ ψ (*exc.* T)   ...μελι P^x ψ (*exc.* T) *m. 2ª* S   τε] δὲ T A^t *m. 1ª* S   πέπερι P^x D P   *ante* καὶ *alt.*: διδόναι ἢ τὸ διὰ καλαμίνθηϲ ἢ τὸ διὰ μόϲχου ἢ τὸ διὰ μαργαριτῶν P^x 4 τοῦ *pr. et alt.*] τὸ D P   ....τικὸν ...κον D P   5 κεφ. *post* διαίτηϲ T S *om.* A^t 6 *ante* τὰϲ: Πρὸϲ τὰϲ ⟨δι᾽⟩ ἰϲχυρὰϲ ψύξειϲ γιγνομέναϲ ἐκλύϲειϲ P^x Π. τ. δι᾽ ...ρὰν ....ξιν λειποθυμίαϲ (M^o) ψ (*exc.* T) Πρὸϲ D P   τὰϲ—ἐκλύϲ. *om.* P^x δ᾽ *om.* D P   *post* ἐκλ.: ταῦτά φαμεν D P   βουλιμιῶϲιν T *m. 2ª* S λυμεῶϲιν A^t 7 *ante* ἰᾶϲθ.: ταύταϲ D P   ...νοντα C^p T S ...τεϲ M^o ...τι A^t οὖν *om.* ψ (*exc.* T)   *post* οὖν: θερμαίνοντα C^p T ω   αὐτ. διδ. $P^a M^o$ 8 ...μμένω $M^o A^t$ 9 Πρὸϲ—λειπ.] Πρὸϲ τῆϲ ἐπὶ πλήθει θερμαϲία⟨ϲ⟩ λειποθυμία⟨ϲ⟩ P^x Περὶ τῶν (τῆϲ D P) ἐ. πλ. θερμ. (θερμ. πλ. T) λειποθυμούντων (...θυμίαϲ D P) ψ; *tit. om. cett. codd.; ex indice dedi*   9—11 ἐπὶ δὲ—χρονιϲ.] τὰϲ δ᾽ ἐπὶ θερμαϲία πλείονι γινομέναϲ λειποθυμίαϲ τοῖϲ ἐμψύχειν τε καὶ τονοῦν δυναμένοιϲ· ἐμπίπτουϲι γὰρ αὗται μάλιϲτα τοῖϲ ἐν ἀέρι πνιγώδει καὶ βαλανείω χρονίϲαϲι *(Gal. 56, 17—57, 2)* P^a ἐπὶ—λειποθ. *om.* P^x δὲ *om.* D P   δὲ τῶν *om.* A^t ἐπὶ *alt. om.* A^t 10 πλ. θερμ. *transp.* ψ (*exc.* T)   11 ἐν *om.* P^x ψ (*exc.* T)   *ante* ῥώϲ.: φαμὲν ὡϲ D P *m. 2ª* S *post* ῥώϲ.: δ᾽ P^a ἐμέτω μὲν τὸ A P ἐμέτῳ $L^a P^x$ τό τε *om.* D P   *post* ψυχρ.: τε D P   12 ....ραῖνον καὶ ....ζον L^a καὶ *tert. om.* $P^a P^x$ 13 ἤδη *om.* $P^a M^o$ *post* διδ.: μετὰ τὴν λύϲιν τοῦ πυρετοῦ καὶ ὅϲα περὶ τῶν ϲυνόχων πυρετῶν εἰρήκαμεν P^x 14. 15 Πρὸϲ τοὺϲ — εἰϲβ.] Περὶ τῶν διὰ μέγεθοϲ φλεγμονῶν ἢ κακοήθειαν πυρετῶν λειποθυμούντων P^a Πρὸϲ τοὺϲ $P^x M^o$ Περὶ τῶν A P D *de tit. v. ad lin. 9*   15 τοὺϲ δὲ] *om.* $P^x M^o$ A D P   φλέγματοϲ A ...ονῆϲ D P   16 λειποθυμοῦνταϲ P^a ...χούντων ψ (*exc.* T)   ....μένων ψ (*exc.* T) ...οιϲ P^x *post* καταψ.: ἐπὶ τούτοιϲ P^x 17 *post* κῶλα: τούτων ψ (*exc.* T)   18 *post* ϲιτίου: τε A^t ...χων L^a χ P ...εϲθαι P^a A   19 *post* πόματοϲ: ἰάϲει C^p ἀπέχων M^o ὠφελήϲειϲ D P   ....γνῶνταϲ P^a 19. 20 καὶ παρ. αὐτὸ] φθάνειν αὐτὰ πράξανταϲ *(Gal.)* P^a αὐτῶ T A^t *ex* ...ὸ S   21 Πρὸϲ—ἀρχ. ϲυγκ.] Περὶ τῶν (Πρὸϲ τοὺϲ M^o) διὰ ξηρότητα ἐν ταῖϲ τῶν παροξυϲμῶν ἀρχαῖϲ ϲυγκοπτομένων (....νουϲ M^o) M^o A D P *de tit. v. ad lin. 9*   22 *post* ξηρότ.: δὲ ψ (*exc.* T)

ξυςμῶν ἀρχαῖς ἄριςτον προγιγνώςκειν. εἰ γὰρ ὥραις που δύο ἢ τριςὶ πρόςθεν τοῦ παροξυςμοῦ θρέψας διακρατεῖςθαί τε τοὺς πόδας καὶ τὰς χεῖρας κελεύςειας, οὐκ ἂν ἀπόλοιντο. εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐςτομάχους. εἰ δὲ καὶ ςφοδρὸν τὸν κίνδυνον ὑπονοεῖς ἔςεςθαι, προδιδόναι καὶ ἄρτον ἐξ οἴνου ἢ χόνδρῳ ἄλικος ἑφθῷ οἶνον ἐπιχέων προςφέρειν· μετρίας δὲ τῆς ςυγκοπῆς προςδοκωμένης μὴ διδόναι οἶνον, ἀλλὰ ῥοιῶν ἢ μήλων ἢ ἄλλης τινὸς ςτυφούςης ὀπώρας ταῖς τροφαῖς μιγνύναι. μετὰ δὲ τὸν παροξυςμὸν οὐκ ἀναγκαῖον ὀπώραις χρῆςθαι. τοῖς ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπεςοῦςιν οἴνου τε διδόναι θερμοῦ καὶ ἄρτου καὶ χόνδρου ἄλικος παντελῶς ὀλίγου. εἰ γὰρ ἤτοι πλέον δῴης ἢ δυςπεπτότερα ςιτία τοῖς οὕτως ἔχουςι, πνιγήςονται.

ριδ Πρὸς τοὺς δι᾽ ἔμφραξιν κυρίου μορίου λειποθυμοῦντας. τοῖς δὲ δι᾽ ἔμφραξιν κυρίου μορίου λειποθυμοῦςιν ὀξύμελι διδόναι καὶ τὰ δι᾽ ὑςςώπου καὶ ὀριγάνου καὶ γλήχωνος καὶ μέλιτος πόματα καὶ τροφὰς τμητικωτέρας. τὰ γὰρ παχέα καὶ γλίςχρα μεγάλην ἐπὶ τούτων ἐργάζεται βλάβην, ὅθεν καὶ ἀπέχεςθαι τούτων χρή, τρίβειν δὲ τὰ κῶλα καὶ διαδεῖν καὶ τοῖς οὐρητικοῖς πόμαςι χρῆςθαι ςελίνου πετροςελίνου δαύκου καὶ τοῖς ὁμοίοις. φανερᾶς δὲ τῆς ὠφελείας γιγνομένης καὶ οἴνῳ τῷ ὑδατώδει χρῆςθαι παλαιῷ.

ριε Πρὸς τοὺς δι᾽ ἀθρόαν κένωςίν τινα λειποθυμοῦντας. εἰ δὲ δι᾽ ἀθρόαν ἀποςτήματος ῥῆξιν ἢ τομὴν ἢ κένωςιν, ὡς ἐν ὑδέροις, λειποθυμοῦςιν, ἐν μὲν τῷ παραυτίκα ὀςφραντοῖς ἀνακτήςαςθαι, ὕςτερον δὲ ῥοφήμαςιν εὐπέπτοις τρέφειν.

4—5 εἰ δὲ — χόνδρῳ *Or.*^{e} *ib. (ib. 28—29)* 12—15 τοῖς δὲ — τμητικωτέρας *Or.*^{e} *ib. (ib. 31—33)* 16—19 τρίβειν — χρῆςθαι | φανερᾶς — παλαιῷ *Or.*^{e} *ib. (ib. 33—36)* 20—*p. 96, 4* εἰ δὲ — ἀναγκάζειν *Or.*^{e} *ib. (ib. 36—404, 1)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 δυςὶν ψ (*exc.* T) 2 θρέψειας L^a χ *post* θρ. *add.* καὶ $L^a P^x$ 3 ...όλλυντο L^a ..όλυντο P^x S *in marg.* T ...ώλοντο T A^t 4 τε *om.* P^a A 5. 6 προδ. — προςφ.] ⟨φθ⟩άνειν οἴνου διδόντας, μάλιςτα δὲ εἰς χόνδρον ἑφθὸν οἶνον ἐπιχέας προςφέρειν. εἰ δὲ καὶ ἄρτον ἀντὶ τοῦ χόνδρου δοίης, ἴςον δύναται *(Gal. v. supra 57, 17—19)* P^a ...δρον D P ...ου A ...ω *supra scr.* ου T ἑφθὸν ψ (*exc.* T) 6 οἴνου ψ (*exc.* T) ...ω P^x 7 μὴ διδ. οἶνον] οὐδ᾽ οἴνου δεῖ *(cf. Gal.)* P^a ἀλλ᾽ ἀρκεῖ τηνικαῦτα P^a τινὸς *om.* T ω 7—8 *post* ὀπ.: μεταδιδόναι D P 8 ...νύντας D P 8. 9 μετὰ — χρῆςθαι] καὶ εἰ ἐπὶ τοῖςδε μετρίως τὸν παροξυςμὸν ἐνέγκοιεν, αὖθις τρέφοντας ταῖς ὀπώραις οὐκ ἀναγκαῖον τρέφειν. ταῦτα μὲν πράττειν, εἰ προγνοίης τὸ μέλλον ἔςεςθαι *(Gal. 58, 3—6)* P^a 9 τοὺς D P *post* τοῖς: δ᾽ P^a ...ςόντας D P οἶνον D P 10 διδ. τούτοις θερμὸν D P θερμοῦ διδ. T ω ἄρτον D P χόνδρον ....ὀλίγον D P 11 τοι D P πλεῖον P^a ..είω A δοίης P^a *Gal.* δώςεις (...ης M^o) P^x ψ ω ...πτότερον P^a A^t ...το$^{τρ'}$ P 12 Πρὸς τοὺς — λειποθυμοῦντας *om.* α, *exc.* M^b A D P 13 ἐπικαίρου P^a τὸ L^a 14 καὶ πόματος L^a 15. 16 ...ζονται T ω 16 *ante* βλάβ.: τὴν P^a T ω καὶ *om.* $P^a C^p M^o$ T ω 17 διουρητ. P^x T ω *post* χρῆςθαι: οἷα (οἷον P^x) τά τε δι᾽ ἀνήθου καὶ μαράθρου καὶ *(Gal.)* P^a ....λίνω D P *om.* A *ante* πετρ.: καὶ P^a τε καὶ P^x ....λίνω ψ (*exc.* T) δαύκω ψ (*exc.* T) *post* δαύκου. καὶ ἄμεως καὶ ναρδοςτάχυος *(Gal.)* P^a 18 γιγνομ. *om.* P^a T ω 18. 19 τῷ ὑδ. — παλαιῷ] χρῆςθαι λεπτῷ καὶ λευκῷ τῷ μὴ πάνυ παλαιῷ *(Gal.)* P^a 20 Πρὸς τοὺς — λειποθυμοῦντας *om.* α *exc.* M^o A D P τινα *om.* M^o D P 21 ὑδ.] ὑςτέραις A P ...ψυχοῦςιν $C^p P^x$ ψ ω

ρις Πρὸς τοὺς διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν λειποθυμοῦντας. εἰ δὲ διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν ἢ ἔκπληξιν ἔκλυσις γένηται, ὀσφραντοῖς καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησάμενον ἐμεῖν ἀναγκάζειν.

ριζ Περὶ καρδιακῶν καὶ βουλίμου ῥηθήσεται ἐν τῷ περὶ στομαχικῶν λόγῳ.

ριη Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας Φιλουμένου. ἐπὶ τῶν ἐν πυρετοῖς κεφαλαλγούντων τὸ μὲν πολὺ φῶς παραιτητέον· πλήττει γὰρ τὴν ὅρασιν καὶ εἰς κίνησιν ἄγει τὰς μήνιγγας. ποδῶν δὲ ψηλαφίᾳ χρηστέον καὶ διακρατήσει τῶν ἄκρων καὶ διασφίγξει. παραιτητέον δὲ καὶ θερμασίαν ἀπὸ ἀνθράκων ἢ λύχνου ἢ ἡλίου καὶ καπνῶν καὶ τὰς ἀηδεῖς καὶ νοτίδος ἐμπεπλησμένας ὀδμὰς καὶ κραυγὰς καὶ ὀργὰς καὶ τὴν συνέχειαν τοῦ ποτοῦ καὶ διακλύσματος παραιτητέον· ἢ γὰρ αὐτόθεν ἀπὸ τοῦ στόματος εὐθὺς ἢ καθυγραινομένου τοῦ στομάχου πλῆθος ἀτμῶν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται ἤδη διάπυρον αὐτὴν οὖσαν. προηγουμένως δὲ ἐμβροχαῖς δαψιλεστέραις χρηστέον, ἐλαίῳ ὀμφακίνῳ ἢ ῥοδίνῳ τῷ καλλίστῳ χρώμενοι δι' ἐρίου χειροπληθοῦς ἀναλαμβάνοντες καὶ τοῖς δακτύλοις ἐκθλίβοντες ἐξ ὕψους καὶ ὥσπερ κατακρουνίζοντες μετά τινος πληγῆς συμμέτρου. μὴ ἀντιπίπτοντος δὲ τοῦ περιέχοντος ψυχρὸν ἔστω τὸ ἐπίβρεγμα ἢ αὐτόθεν ἢ κατ' ἐπιτήδευσιν ἡμετέραν. ἐπαυξηθείσης δὲ τῆς ὀδύνης, καὶ εἰς τὸ οὖς ἐγχείσθω τὸ ῥόδινον. τῆς δὲ ὥρας ἐπιτρεπούσης σοι καὶ μετά τινος ἐγκαύσεως ἐρείδοντος τοῦ πόνου χυλὸς ὠκίμου ἢ πολυγόνου ἢ ἡδυόσμου ἐκ τρίτου ἢ τετάρτου μέρους τῷ ῥοδίνῳ συμμεμίχθω. τότε δὲ καὶ ὄξους ὀλίγον αὐτοῖς συναναμεμίχθω ἐπιμελῶς, μάλιστα τὸ ἔχον ἕρπυλον ἡψημένον. ἐπιμενούσης δὲ τῆς ὀδύνης, ἐπὶ τὴν φλεβοτομίαν καταντητέον, εἰ μηδὲν ἕτερον εἴη τὸ κωλῦον. καὶ ὀσφραντὰ δὲ οὐκ ἀναρμόστως παραλαμβάνεται, μυρρίνη ῥόδα γλήχων, κατάπλασμα δὲ κατὰ τοῦ βρέγματος καὶ τοῦ μετώπου, πολύγονον λεῖον μετὰ πάλης ἀλφίτου καὶ σέρεως φύλλα μετὰ ἀρνογλώσσου. βιαίως δὲ τῆς περιωδυνίας ἐγκειμένης καὶ ὑοσκυάμου φύλλα χλωρὰ ἢ μήκωνος μετὰ ψιχῶν. βέλτιον δὲ τὰ πικρὰ ἀμύγδαλα βρα-

5 ῥηθήσεται ἐν τῷ περὶ στομαχικῶν λόγῳ *sc. l. IX* 14. 15 προηγουμένως δὲ ἐμβροχαῖς κτλ. *cf. Gal. ad Glauc. de med. meth. I, 16 (XI 18 sqq.)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2*ª S] ω(S A^t) 1 Πρὸς τοὺς διὰ λύπην — λειποθυμοῦντας *om.* α, *exc.* M^o D P 2 *ante* ἔκλ.: ἡ A D ἢ P ....λυσιν P ἔκλ. γέν.] ἐκλυθεῖεν P^a 3 *post* ῥιν.: καὶ τοῦ (τοῦ *om.* M^o T A^t) στόματος M^o A T ω 4 *post* ἀναγκ.: ὡσαύτως δὲ καὶ τοῖς ἐπὶ τραύμασιν ἢ καθάρσεσιν ἢ ἀλγήμασι τοῖς κατ' ἄρθρα καὶ νεῦρα κτλ. *(Gal. v. supra 59, 17 sqq.)* P^a 5 Περὶ — λόγῳ *om.* $P^a P^x$ 6 Φιλ. *om.* P^x ψ ω *post* ἐπὶ: δὲ P^x T ω 8 ...αφήσει $P^a A^t$ 10 ..χνων C^p T ω καπνὸν M^o ψ (*exc.* T) ...οῦ T ω 12 *ante* διακλ.: τοῦ χ ψ ω 16 τῷ καλλ. — χειροπλ.] μετὰ σανδάλου καὶ ἀειζώου χυλοῦ χλιαροῦ P^x ...νοντα A ...ας D P καὶ *om.* L^a 17 ...βοντα A ...ας D P ...ζοντα A ...ας D P 19. 20 ἢ αὐτ. — ὀδύνης *om.* A^t ἡμετ.] ἢ μεταιώραν L^a 20 ἐκχ. D P T ω 21 σοι *om.* χ ψ ω 24 τὸ ἔχ.] ἔχοντος A D ..τα P τὸ ἕρπ. ἔχ. *transp.* A^t ἐνηψ. χ ψ ω 25 καταντ.] ἰτέον P^a 27 ...άσματα χ ψ ω τοῦ *pr. om.* $L^a M^o$ τοῦ *alt. om.* P^a A 28 φύλλων P^x ω 28—29 μετὰ — φύλλα *om.* P^a 30 *post* ψιχῶν (ψυχίων P^x *in marg.* T *m. 2*ª S): ἐπιτιθέμενα ψ (*exc.* D) *m. 2*ª S βέλτ. — ψιχ.] *om.* $C^p P^x$

χέντα καὶ λεπισθέντα καὶ μετὰ ψιχῶν ἐπιτιθέμενα κροτάφοις τε καὶ μετώπῳ. κάλλιστον δὲ καὶ ἀλόη καταχριομένη τῷ μετώπῳ μετ' ὄξους ἢ κροκομάγματος. καὶ γῆς ἔντερα δὲ λειωθέντα ἐπιχρίεται καὶ θαυμαστῶς παρηγορεῖ τάχιστα. ἡ δὲ κοιλία εὔλυτος ἐπ' αὐτῶν παρασκευαζέσθω. προσεπισκεπτέον μέντοι, μήπως ὁ στόμαχος σφοδρῶς ἐνοχλούμενος εἰς συμπάθειαν ἄγει τὴν κεφαλήν, καὶ σπουδαστέον ἐμέτοις ἐκκενῶσαι τὰ λυποῦντα καὶ ῥῶσαι τὸν στόμαχον.

Περὶ τῆς ἐν πυρετοῖς ἀγρυπνίας. Ἐκ τῶν Γαληνοῦ. ὑπερβαλλόντως ρ̅ι̅θ̅
δὲ ἀγρυπνούντων χεῖρας καὶ σκέλη διαδεσμεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν ἐπὶ τὸν ὕπνον τρέπεσθαι εἰώθασι, ⟨καὶ ἐγρηγορέναι⟩ κελεύομεν, ἀνοίγειν δὲ συνεχῶς καὶ μύειν τὰ βλέφαρα παραινοῦμεν, μέχρις ἂν ἱκανῶς κάμνωσιν, εἶτ' ἐξαίφνης λύομεν τοὺς δεσμοὺς καὶ τὸν λύχνον αἴρομεν. ἡσυχίαν δὲ πολλὴν εἶναι κελεύομεν.

Ἐκ τῶν Ἡροδότου καὶ Φιλουμένου περὶ ἀγρυπνίας ἐν πυρετοῖς. ρ̅κ̅
τοῖς δὲ προσκεφαλαίοις τῶν ἀγρυπνούντων ὑποθετέον κωδίας ἢ καὶ ῥίζας μήκωνος μελαίνης ἢ μῆλα μανδραγόρου ἢ ὑοσκυάμου καὶ ὀσφραντοῖς δὲ χρηστέον ταῖς τε μήκωσι χλωραῖς καὶ ταῖς καλουμέναις μηκωνίτισι θριδακίναις καὶ ἡδυόσμῳ καὶ κοριάνδρῳ καὶ ῥόδοις. ἡμεῖς δὲ ἀπληκτοτέρῳ χρώμεθα προσκλύσματι τοῦ προσώπου, τῷ ὕδατι ἐναφεψήσαντες κωδίας μελανὰς καὶ μελίλωτα ἢ καλαμίνθην ἢ γλήχωνα καὶ βέλτιον ποιεῖ· καὶ ὀσφραντὸν δὲ τοῦτο κάλλιστον· μήκωνος λευκῆς κωδιῶν πεφωγμένων μανδραγόρου ῥίζης φλοιοῦ τὸ ἴσον λεῖα ποιήσας καὶ φυράσας οἴνῳ καὶ ῥοδίνῳ βραχεῖ δίδου ὀσφραίνεσθαι. θυμιάματι δὲ ὑπνωτικῷ χρηστέον τούτῳ· στύρακος ἀμώμου ἀμμωνιακοῦ θυμιάματος βδελλίου Σκυθικοῦ μανδραγόρου ῥίζης φλοιοῦ ὀπίου ἴσον ἑκάστου σκεύαζε καὶ θυμία ἐπὶ ξύλων κυπαρισσίνων. παραδόξως δὲ ποιεῖ καὶ τὸ τῆς βερονίκης θυμίαμα ὑποθυμιώμενον ὁμοίως· ἄγει γὰρ εἰς ὕπνον· ἀναγέγραπται δὲ ἐν τῷ περὶ θηριακῶν λόγῳ, λέγω δὴ ἐν τῷ ι̅γ̅. μύρῳ δὲ

8—13 Περὶ — κελεύομεν *[Gal.] in Hipp. de hum. comm. III 19 (XVI, 434, 13—435, 1) ex Or.ᵃ VI, 31 (204, 4—9); Paulus II 41*   19—23 προσκλ. — ὀσφραίνεσθαι *cf. Or.ᵃ ib. 32 (ib. 11—14)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t)   1 λεπτυνθέντα *corr. m. 2ª* S ...υσθέντα A^t ψιχίων ψ (*exc.* T) *m. 2ª* S   *post* ἐπιτιθ.: ἐμβροχῶν διὰ ἀτμῶν γενομένων ἐν τῶ ἐγκεφάλω κτλ. P^x 3 δὲ *om* χ ψ ω   4 ἐπ'] παρ' T A^t 7 κ. ῥῶσ. τ. στόμ. *om.* A^t *m. 1ª* S   *post* στόμ.: Ἄλλη θεραπεία περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας κτλ. P^x 8 ἐκ τῶν *om.* P^a C^p P^x A P T ω   Γαλ. *ante* περὶ C^p *om* P^a 9 *ante* χεῖρας: ὑποθετέον κατὰ τὸ προσκεφάλαιον κωδίας (*l. 15*) P^x ὑποθετ. κωδ. — ὑοσκ. (*ll. 15—16*) A   καὶ ἐγρηγορ. *addidi ex Gal. Or.*   ...εύωμεν (o supra ω) P^a P^x 11 καὶ μύειν] εἰ μύσειεν *Or.*   13 αἴρωμεν P^x M^o 14 *tit. om.* P^x Ἐκ τῶν — Φιλουμ. *post* πυρετοῖς *transp.* T ω   15 τοῖς δὲ — ἀγρυπν.] ἰσχυρῶς δὲ μείναντος τοῦ παροξυσμοῦ ἐγκειμένης τῆς ἀγρυπνίας προσκλυστέον τὸ πρόσωπον ἀφεψήματι κωδιῶν μελαινῶν (*Or.*) καὶ ὑοσκυάμου φύλλων καὶ ἐπὶ τὸ προσκεφάλαιον πρὸς ὄσφρησιν P^x 16—18 ἢ ὑοσκυάμου — ἡμεῖς δὲ] καὶ τὰ μῆλα ῥόδα ἴα εἶτα ὑποθετέον κτλ. P^x 18 ...ριάνω P^a ψ A^t *m. 1ª* S   20 μελαίνας α, *exc.* L^a M^o 21 τοῦτο *om.* P^x ψ ω   22 ...φρυγμ. A^t 25 μανδραγ. — φλοιοῦ *om.* A^t *post* ὀπίου: ἀνὰ < τε̄ (= τὸ ἥμισυ) P^x 26 *post* κυπαρισσ.: εἶτα λαβὼν ταῦτα θυμία τὸν κάμνοντα. ἄλλο θυμίαμα κτλ. P^x 27 γὰρ *ante* ὁμ. *transp.* D P *fort. recte; om.* A A^t *post* ὕπνον: οὗ ἡ σκευασία ἐστὶν αὕτη κτλ. P^x 28 δὲ *supra scr. m. 1ª* T *om.* M^o S   *ante* θηρ: τῶν C^p A   *post* ι̅γ̅: λόγω ψ (*exc.* T)

ὑπνωτικῷ κέχρησο τούτῳ· στύρακος ℥ β̄ σμύρνης ℥ β̄ μανδραγόρου μήλων χυλοῦ ℥ ᾱ μανδραγόρου ῥίζης φλοιοῦ ℥ ᾱ ὑοσκυάμου σπέρματος μέλανος ℥ ᾱ μύρτων μελανῶν ℥ ᾱ ῥόδων ξηρῶν ℥ ᾱ ῥοδίνου ἐλαίου λιτρ´ ᾱ οἴνου παλαιοῦ εὐώδους τὸ ἀρκοῦν, κόψας σήσας λείου μετ' οἴνου καὶ ἐπίβαλλε τὸ ἔλαιον καὶ ἑνώσας χρῶ χρίων τὸ μέτωπον καὶ τοὺς μυκτῆρας ἔνδοθεν καὶ ἔξωθεν. καταπλαστέον δὲ τὸ μέτωπον ἑρπύλῳ μετὰ μελιλώτου ἐν γλυκεῖ ἡψημένῃ. καρπὸς ὠκίμου καὶ ἀτρακτυλίδος καρπὸς ὑοσκυάμου καρπὸς καὶ τὰ φύλλα καὶ ἁλικακάβου ὁμοίως ποιεῖ. κατάχριε δὲ τὸ μέτωπον καὶ κύφει μετ' οἴνου καὶ κροκομάγματι. εἰ δ' ἐπιμένοι τὰ τῆς ἀγρυπνίας συμπτώματα, ἐπίχριε τὸ μέτωπον καὶ τοὺς κροτάφους τινὶ τῶν ἀνωδύνων τροχίσκων. κἂν μηδὲν ἀνύῃ, προειπόντας τὴν ἐν τῷ πράγματι δυσχέρειαν, οὕτως ποτίζειν τινὰ τῶν ἀνωδύνων. ἀλυπότερον δὲ καὶ τῇ γεύσει ἡδύτερον πάντων τῶν ὑπνοποιῶν φαρμάκων ἐστὶ τὸ διὰ τοῦ ἀφεψήματος τῶν κωδιῶν καὶ τοῦ μέλιτος συντιθέμενον, οὗ τὴν σύνθεσιν μετὰ βραχὺ ἐροῦμεν ἐν τῷδε τῷ λόγῳ. χρῶ δὲ καὶ καταπλάσματι καλλίστῳ τῷ διὰ φοινίκων βεβρεγμένων ἐν οἴνῳ καὶ σὺν ἀλφίτοις λειωθέντων μετὰ βραχέος ῥοδίνου ἢ μηλίνου· κατὰ τοῦ στήθους γὰρ ἐπιτεθὲν παρασκευάσει πως πρὸς τὸ καθυπνῶσαι.

ρκᾱ Περὶ καταφορᾶς ἐκ τῶν Ἡροδότου. τὴν μὲν τελείαν ἐπιμέλειαν τῶν καταφερομένων ἐν τῷ μετὰ τοῦτον λόγῳ, ἐν τῷ περὶ τὴν κεφαλὴν συνισταμένων παθῶν λόγῳ δηλωθήσεται, ἐν ᾧ καὶ περὶ φρενίτιδος διδάξομεν· νυνὶ δὲ ἀναγκαῖον εἰπεῖν, ὅπως ἄν τις πρὸς τὰ κατεπείγοντα συμπτώματα ἐνίστασθαι δυνήσεται. ἀποσπογγίζειν μὲν οὖν χρὴ τὸ πρόσωπον ὀξυκράτῳ μὴ πάνυ ψυχρῷ καὶ διακρατεῖν εὐτόνως τὰ ἄκρα. ὀσφραντὰ δὲ προσαγέσθω τὰ τμητικὴν δύναμιν ἔχοντα καὶ διεγερτικὴν

6. 7 καταπλαστέον—ἡψημένῃ *Or.ª VI, 32 (204, 14—15)* 15 ἐροῦμεν ἐν τῷδε τῷ λόγῳ *cf. p. 113, 3 sqq.* 22 διδάξομεν *cf. p. 125, 27 sqq.* 23—25 ἀποσπογγίζειν—προσαγέσθω *Or.ª VI 33 (204, 25—205, 3)* ἀποσπογγ.—διαιρετική *(p. 99, 5) Paul. II 42 (I 114, 13—17)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 ℥ β̄ *pr. om.* P^x σμύρν. ℥ β̄ *om.* $C^p M^o$ T ω *post* σμύρν.: ἀνὰ P^x 2 χυλοῦ *om.* C^p A ℥ ᾱ *pr. om.* P^x μανδ. ῥίζ. φλ. ℥ ᾱ *om.* A S ℥ ᾱ *alt. om* $P^a P^x$ 2. 3 ὑοσκ.—ξηρῶν ℥ ᾱ *om.* M^o ὑοσκ. σπ. μέλ. ℥ ᾱ (μέλ. ℥ ᾱ *om.* P^x) *post* ῥόδ. ξηρ. ℥ ᾱ T ω *om.* A 3 μύρτ. μ. ℥ ᾱ *ante* ῥοδίνου T A^t *om.* C^p ℥ ᾱ *alt. om.* P^x *post* ξηρῶν: ἀνὰ P^x 4 ᾱ] c̄ P^x 5 ...βαλε $P^a C^p P^x$ 7 ....λώτων ψ (*exc.* T) ...κράτου A^t *in marg.* T ....μένοις α, *corr. ex Or.* *ante* καρπ.: ποιεῖ δὲ καὶ C^p καὶ P^a καρπ. *om.* D P *scribendum* καὶ *pro* καρπὸς? *(cf. P^a) Deichgr.* 8 ἁλικάκαβος P^x ψ (*exc.* T) 9 ....γματος P^x ψ A^t 10 ...νει P^a P T A^t ...η *vel* ει C^p τὸ ......πτωμα χ ψ ω 12 οὕτω $C^p M^o$ ψ ω *om.* P^x 12—16 τινὰ—καλλίστῳ] δὲ καὶ τὴν διὰ κωδιῶν, ὧν εἰρήκαμεν ἄνωθεν. ποίει δὲ καὶ ταύτην τὴν μηχανὴν—εἰς ἕτερον κατακαλύπτων. ἄλλο κατάπλασμα P^x 15 ...μένων D T A^t *m. 1ª* S τῷδε τῷ] δευτέρῳ A P 16 *ante* ἐν: ἢ ἡψημένων $C^p M^o$ ψ ω 18 *post* ἐπιτ.: τὸ κατάπλασμα D P ....σκευάσει P^a D παρεσκεύασε $C^p M^o$ A P T S *recte?* παρασκευάζει—καθυπν.] γὰρ καὶ αὐτὸ τὸν κάμνοντα πρὸς ὕπνον· P^x 19 Ἡροφίλου M^o 20 μετὰ—ἐν τῷ *om.* P^x ἐν—κεφαλὴν] τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ *scripserim Deichgr.* τούτων $P^a M^o$ P ω τουτ´ T ἐν τῷ] τῶν (τῶ P^a T S) περὶ τῶν P^a ψ ω ἐν τῶ περὶ τῶν M^o π. τ. κεφ] ἐν τῇ (τῇ *om.* P^a) κεφαλῇ $P^a M^o$ T ω 21 δηλωθ. λόγῳ *transp.* A T A^t λόγῳ *om.* P^a D P *fort. recte Deichgr.* δηλωθ. *om.* C^p ...λώσομεν *exspectaverim* 25 ...άγεσθαι C^p ...άγειν P^x ἔχ. δύν. $P^x M^o$

καὶ μάλιστα τὸ καστόριον. κἂν ταῖς ἀνέσεσι δὲ σικυαζέσθωσαν ἐναργῶς κατὰ μεταφρένου καὶ ῥάχεως. ἐπιμενούσης δὲ τῆς νόσου καὶ πταρμικὰ ἐν ἀνέσει τῶν παροξυσμῶν προσαγέσθω. φυλακτέον δὲ καὶ τὰς τῶν λύχνων ὑποθέσεις· πληρωτικοὶ γάρ εἰσι τῆς κεφαλῆς. ἔστω δὲ καὶ ἡ τῶν σιτίων ὕλη τμητικὴ καὶ διαιρετική· διεγερτικὴν δὲ δύναμιν ἔχει καὶ ἐπ' αὐτῶν προσαγόμενα ταῖς ῥισὶ καθ' ἑαυτὰ καὶ μετ' ὄξους τὰ ἐπὶ τῶν ληθαργικῶν ἐν τῷ μετὰ ταῦτα λόγῳ γραφησόμενα.

Πῶς ἐπιμελητέον γλώσσης τραχύτητος ἐν πυρετοῖς. ἐν πυρετοῖς ρκβ
ἡ γλῶσσα ποτὲ μὲν ξηραίνεται καὶ δεῖται καθυγρασμοῦ, ποτὲ δὲ τραχύνεται μᾶλλον ἢ ἧσσον καὶ καταρρήγνυται ἢ μελαίνεται ἢ ἀνθρακώδης ἀποτελεῖται· ἐπιγίγνεται δὲ τῇ τῶν σπλάγχνων φλεγμονῇ. εἰ δ' αὐτὴ μὲν ἡ γλῶττα, ὡς εἴρηται, πάσχει, μαλθακὰ δὲ εὑρίσκοιτο τὰ καθ' ὑποχόνδρια, κινδυνῶδές ἐστι τὸ σημεῖον· ὑγραίνειν δὲ αὐτὴν χρὴ διακρατοῦντα τῷ στόματι λινοσπέρμου ἀφέψημα· βέλτιον δὲ ἐνεργεῖ μυξῶν τῷ λινοσπέρμῳ συγκαθηψημένων καὶ δάκτυλον δὲ τούτῳ τῷ χυλῷ βρέχοντες τὴν γλῶσσαν ἀνατρίψωμεν, συναποσύροντες καὶ τοὺς τοῖς ὀδοῦσι προσκαθημένους ἐπιπάγους. καὶ ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ ἢ σπόγγῳ καθαρῷ ἀποματτέσθωσαν ἢ ὑδροροσάτῳ, εἶτα ῥοδίνῳ σπουδαίως ἐπαλειφέσθωσαν. καὶ αὐτὸ δὲ τὸ ῥόδινον μέλιτι συμμιγὲν σπουδαίως ἐνεργεῖ καὶ ὁ τῆς ἀνδράχνης δὲ χυλὸς διακρατηθεὶς ἐν τῷ στόματι καθυγραίνει τοὺς τόπους. καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα ὕδατι ἢ μελικράτῳ μιγεὶς καὶ δαμασκηνοῦ δὲ ἢ μυξαρίων τὸ ὀστέον κατεχόμενον ἐν τῷ στόματι παραμυθεῖται. πολλάκις δὲ θριδακίνης καυλὸν διαγλύψαντες ἡλίκον πυρῆνα ἐλαίας ἢ ἐκ τῆς τοῦ συμφύτου ῥίζης διακρατεῖν ἐδώκαμεν, καὶ τὸ δέον ἐποίησεν. ἔστωσαν δὲ καὶ αἱ προσφοραὶ τῆς

4. 5 ἔστω—διαιρετική *Or.*[a] *ib (205, 3—4)* 7 γραφησόμενα *cf. p. 129, 18 sqq.* 13—16 ὑγραίνειν—ἀνατρίψωμεν *Or.*[a] *VI 43 (208, 4—7) Paul. II 53* 17—23 ἀποκλυζέσθωσαν—καυλόν *Or.*[a] *ib. (ib. 8—12) Paul. II 53*

φ (L[a] P[a]) χ (C[p] P[x] M[o]) ψ (A D P T) [*m. 2*[a] S] ω (S A[t]) 1 *post* καστ.: ξηρίσας οὖν τὴν κεφαλὴν ἐπιτίθει καστόριον μετὰ ῥοδίνου ἐλαίου κτλ. P[x] κἂν—δὲ] εἰ δὲ ἐπιμένη πάλιν εἰς τοσοῦτον P[x] κἂν] καὶ φ ....ζέσθω P[x] ψ (*exc.* T) 2 ῥάχ.] ὁμοπλατῶν μετὰ ἀφαιρέσεως αἵματος τὸ ἀρκοῦν P[x] πταρμὸς A P 4 ....τικαὶ P[x] M[o] D P *m. 2*[a] S ...κὰ P[a] C[p] A T A[t] *m. 1*[a] S τῆς κεφ.] ἡ κεφαλὴ γενομένη ἐκ τῆς τοῦ λύχνου ⟨ὑποθέσεως πληρωτική⟩ καὶ σίνηπι μετὰ μέλιτος κατάχριε κτλ. P[x] 5 καὶ (κ. *om.* C[p]) διαιρ. *om.* A A[t] *m. 1*[a] S διεγερτ.] διαιρετικὴν (*praem.* καὶ A) A *m. 1*[a] S δὲ *om.* A 6 προσαγ. *ante* καθ' α, *exc.* L[a] *ante* ταῖς: αὐταῖς D P τῶν ῥινῶν (*corr.* ταῖς ῥισὶ T) T ω 7 γραφ.] ῥηθησόμενα, *inde multa aliena; inc.* Πυρία μετὰ σπόγγου ἀμολύντου κτλ. P[x] 8 τῆς ἐν γλώσσῃ P[a] γλώσσαις D A[t] ...τητα ψ (*exc.* D) S 10 καὶ *om.* P[a] A[t] 12 πάσχοι P[a] C[p] P S ἔχει A ....ονται A[t] 15 μύξαι ...ψημέναι A μύξον ....ψημένον P 16 .....ψωμεν P[a] P[x] ψ S ἀποτρ. A[t] 17 ...ζέσθω ἐν P[x] A P 18 *post* καθ.: ψυχρῷ ἢ ὀλίγον χλιαρὸν διὰ τὸ μὴ ἀποσχάσαι ἢ ὑδρορόσατον P[x] ....τέσθω A P *post* ἀποματτ.: ἢ ἀνδράχνην διαμασᾶσθαι κτλ P[x] ἢ ὑδρορος. *om.* χ ψ ω *Or. Paul. fort. recte* 19 ...φέσθω A P ἀπ. ...σαν T A[t] *post* συμμιγ.: τῶν ἴων τὴν σκευὴν διάχριε P[x] 20. 21 καὶ ὁ—ὕδατι] ἢ τὴν ἀνδράχνην ὀλμοκοπήσας καὶ τὸν χυλὸν ἐκθλίψας διάχριε κτλ. P[x] 22 ...σκηνῶν P[x] ψ (*exc.* T) ὀστοῦν P[x] ψ (*exc* T) 22. 23 κατεχ.—στόμ.] πρόσφατον καὶ ἄγαν ὡρίμου ὄντος P[x] 23 *ante* θριδ.: καὶ P[x] D P 23. 24 διαψήσαντες A[t] ....μασώμενοι P[x] 24 ἡλίκ.—ἐλαίας] παραμυθεῖ ἢ λευκῶν πυρήνους ἐλαιῶν P[x] ...ρῆνι P[a] T ω 25 *ante* ἔστ.: ἢ τὸν χυλὸν τοῦ γλυκυρίζου δίδου διακρατεῖν κτλ. P[x]

τροφῆς ἄδηκτοι καὶ ἄςτυφοι παντάπαςι καὶ λεῖαι καὶ ῥοφηματώδεις. ⸥εἰ δὲ καὶ τὰ ὑποχόνδρια ἐν φλεγμονῇ εἴη, τούτων τὴν ἐπιμέλειαν ποιεῖςθαι. ἀρχὴ γὰρ καὶ τελευτὴ τῶν ἐντοςθιδίων ἐςτὶν ἡ γλῶττα. εἰ δὲ ἐπὶ πολὺ ἡ τραχύτης ἐπιμένει τῆς γλώττης, χήνειον ςτέαρ εἰ παρείη, εἰ δὲ μή, ὀρνίθειον, βέλτιον δὲ φαςιανικὸν τήξας ἐπὶ διπλώματι καὶ δάκτυλον βρέχων ἀνάτριβε τὴν γλῶτταν ἱκανῶς. εἰ δὲ ἐπιμένοι ἡ τραχύτης, βουτύρῳ προςφάτῳ ὁμοίως χρῶ. ποιεῖ κάλλιςτα, ὅπερ οὐ χρὴ κατ' ἀρχὰς παραλαμβάνειν.

ρκγ Πῶς δίψος θεραπευτέον. Φιλουμένου. τὸ δίψος διττῶς γίνεται, τὸ μὲν γὰρ ὑγρότητος ἐνδείᾳ, τὸ δὲ πλεονεξίᾳ θερμότητος. ἐπὶ μὲν οὖν τῶν πυρεττόντων τὰ ἀμφότερα λυπεῖ· καὶ γὰρ ἡ θερμότης πολλὴ ἐπὶ τούτων καὶ ξηρότης ἐπιγίγνεται δαπανωμένης τῆς πολλῆς ὑγρότητος τῇ βίᾳ τοῦ πυρετοῦ. εἰ μὲν οὖν ἀβλαβὲς ἦν αὐτοῖς πίνειν ὅτε θέλουςιν, ἄντικρυς ταύτην οὖςαν τοῦ δίψους θεραπείαν παρελαμβάνομεν ἄν. ἐπεὶ δὲ καὶ μέτρον καὶ καιροὺς ὁρίζειν δεῖ τοῦ ποτοῦ, παρηγορίας τινὰς ἐπινοητέον τοῦ δίψους· τὸ γὰρ ἀκαίρως παραληφθὲν πόμα οὐ μόνον οὐκ ἔςβεςε τὸ δίψος, ἀλλ' ἐκ τῶν ἐναντίων ἐπέτεινεν. ἐν γὰρ ταῖς τῶν παροξυςμῶν ἀρχαῖς αἱ ἀνάπτουςαι τοὺς πυρετοὺς ὕλαι πᾶςαι παρὰ τὸ βάθος νεύουςι καὶ τούτου χάριν τὴν δίψαν ἐπιτείνουςι. δοθὲν δὲ τῷ καιρῷ ἐκείνῳ τὸ πόμα νικᾶται ὑπὸ τοῦ πλήθους τῆς ὕλης καὶ ςυμμοχθηρευόμενον προςθήκη γίγνεται τῷ κακῷ· ὅθεν ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἀναβάςεςι δεῖ κωλύειν τὴν δόςιν τοῦ ποτοῦ, ἐν δὲ ταῖς ἀκμαῖς κλύςμαςι πρῶτον καὶ ἀναγαργαρίςμαςι πραΰνειν τὸν αὐχμὸν τοῦ ςτόματος. εἶτα ἀρχομένης τῆς παρακμῆς διδόναι τὸ ποτόν, ἐν δὲ τῇ ἀνέςει καὶ μὴ βουλομένους ἐνίοτε ἀναγκάζειν προςενέγκαςθαι, ἵνα μὴ ἐνδεεῖς ὑγροῦ τῇ ἐπιςημαςίᾳ παραδοθέντες ἀναξηρανθῶςί τε καὶ ἐγκαυθῶςι. παρηγορεῖν δέ πως τὸ δίψος χρὴ ἐμβροχαῖς ψυχροτάτου ἐλαίου ἢ ῥο-

9 10 τὸ δίψος—θερμότητος *Gal. de simpl. med. temp. I 32 (XI, 437, 5—6) cf. id. de sympt. c. I 7 (VII, 731, 18—19)* 27—*101, 1* παρηγορεῖν—γιγνομέναις |

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m. 2ª* S] ω (S A^{t}) 1 *post* ῥοφημ.: οἷον κολοκύνθης νεαρᾶς χυλὸν κτλ. P^{x} 2 τὴν *om.* ψ (*exc.* T) 3 ...θίων P^{a} P^{x} D P ἐςτὶν *om.* A D 4 ἐπιμείνη P^{a} C^{p} M^{o} ψ (*exc.* T) S εἰ παρ.] διάχριε P^{x} *om.* D P 5 εἰ δὲ μή] ἢ P^{x} ψ (*exc.* T) ....ματος χ A T S 6 *post* δέ: ἔτι χ ψ ω ...μένει P^{x} ψ A^{t} 7 *ante* ποιεῖ: τοῦτο γὰρ μετὰ τὴν παρακμὴν P^{x} *post* ποιεῖ: δὲ ψ (*exc.* A) *m. 2ª* S 8 λαμβ. P^{x} λαβεῖν M^{o} παραλαβεῖν C^{p} T ω *post* παρ.: ἤτοι τουτέςτι πράττειν. Ἀρχιγένης δέ φηςι ἁλὸς ἰνδικὸς κτλ. P^{x} *(cf. Paul. II 53)* 9 Πῶς—Φιλ.] Περὶ ἐν πυρετοῖς δίψο⟨υς⟩ καὶ ἄνευ πυρετοῦ ἐκ τῶν Γαληνοῦ P^{x} *ante* Φιλ.: ἐκ τῶν D P *fort. recte* διττὸν T A^{t} *m. 1ª* S 12 *post* τούτ.: διὰ τοῦτο οὖν ψ (*exc.* T) 13 οὖν *om.* D P 14 παραλαμβ. L^{a} P 15 *ante* μέτρον: καὶ χ ψ ω μέτρα D P 16. 17 τὸ γὰρ—δίψος *om.* A^{t} 17 ἀλλὰ καὶ τοὐναντίον (τὸ ἐν.) ψ (*exc.* T) 18 παρὰ C^{p} A: περὶ *cett.* τὸ δίψος A^{t} 20 τῆς ὕλης τοῦ πλήθους A^{t} 20. 21 ςυμμ.] ςυμπορευόμενον τὸ ὕδωρ μετὰ τῆς ὕλης P^{x} 21 τοῦ κακοῦ C^{p} τὸ κακὸν P^{x} 23 κλυςματι L^{a} M^{o} 25 *ante* προςενέγκ.: τῷ ποτῷ οἷον δρόςατον τῶν ἴων τῶν λειμωνίων ν⟨ο⟩ερὸν ἐμβεβραςμένον κριθῆς P^{x} 26 τῆς ....ςίας M^{o} A^{t} *m. 1ª* S ἐκκ. P^{a} T ω 27—*p 101, 2* ἐλαίου—βοηθήμ.] προςφερομένων κατὰ τοῦ ςτομάχου καὶ τοῦ ἥπατος, ὡς τὴν θεραπείαν εἰρήκαμεν περὶ τούτ⟨ου⟩ ςαφὲς ἐπὶ τῶν ςυνόχων τε καὶ καυςωδῶν πυρετῶν P^{x}

δίνου μετὰ κρουνισμοῦ γιγνομέναις. καὶ τὰ ἐπὶ τῶν καύσων προειρημένα βοηθήματα καὶ ἐν τῷ στόματι δὲ διακρατούμενα τὰ ἐπὶ τῆς τραχύτητος τῆς γλώττης προειρημένα παρηγορικὰ τοῦ δίψους γίγνεται. πάντων δὲ ἄμεινον ποιεῖ τὸ τῆς θρίδακος σπέρμα διαμασηθὲν καὶ ἡ γλυκεῖα λεγομένη ῥίζα καὶ τὸ τοῦ σικύου σπέρμα. δεῖ δὲ μετὰ τὴν τῶν τοιούτων διαμάσησιν διακομίζεσθαι καὶ ἀναγαργαρίζεσθαι. καὶ αἱ τροφαὶ δὲ πᾶσαι ἔστωσαν ὑγραντικαί.

Ἐκ τῶν Διοσκορίδου καταπότιον ἄδιψον. σικύου σπέρμα < η̄ τραγακάνθης < δ̄, κόψας σήσας τὴν τραγάκανθαν διάλυε ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ καὶ συλλεάνας ἅμα ἀνάπλαττε καταπότια καὶ ξήραινε ἐν σκιᾷ καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον ὑγρὸν καταπίνειν δίδου δὲ καταρροφεῖν καὶ ἀπόβρεγμα μήλων κυδωνίων ἢ ἀπίων ἢ ὀμφακίου χυλὸν ἢ ὑδρορόσατον ἢ ῥοδόμελι μεθ' ὕδατος θερμοῦ. ἐπὶ δὲ τῶν ὑγιαινόντων τοῦ μὲν διὰ ξηρότητα γιγνομένου δίψους ἴαμα ὕπνος· πέττει γὰρ τοὺς χυμούς. τοῦ δὲ διὰ θερμότητα δίψους ἴαμα ἐγρήγορσις. περὶ γὰρ τὴν ἐπιφάνειαν ἐξαπλοῦται τὸ θερμὸν ἐν ταῖς ἐγρηγόρσεσι. τοῦ δὲ διὰ θερμότητα τῶν ἐδηδεσμένων ἢ διὰ πλείονα οἰνοποσίαν γιγνομένου δίψους ἴαμα τὸ ψυχρὸν πόμα.

Περὶ ὠταλγίας ἐν πυρετοῖς ἐκ τῶν Φιλουμένου. γίγνεται ὠταλγία ρκδ
ἐν πυρετοῖς ἢ αὐτὴ προκατάρχουσα τοῦ πυρετοῦ ἢ ἐπιγιγνομένη καὶ κινδυνωδεστέρους ἀποτελοῦσα τοὺς πυρετούς· ἐπιγίγνονται δὲ τῇ φλεγμονῇ καὶ ἀγρυπνίαι, εἰ δ' ἐπιμένοι καὶ ἐκστάσεις. Ἱπποκράτης δὲ καὶ ἀναιρετικὰς ἱστορεῖ γίγνεσθαι τὰς ἐπὶ τούτων ἀλγηδόνας. μετρίας μὲν οὔσης τῆς ὀδύνης καὶ ἐν ἀρχῇ ταῖς μὲν ἀκοαῖς ῥόδινον χλιαρὸν ἐνστάζειν ἢ τὸ λευκὸν καὶ ὑδαρὲς τοῦ ᾠοῦ μετὰ γάλακτος γυναικείου, ἔξωθεν δὲ σκέπειν πιλήματι ἐλαιοβραχεῖ, ἐν ᾧ ἄνηθον ἐναφέψηται καὶ ἐμβρέχειν τὴν κεφαλὴν διὰ ῥοδίνου ἢ ὀμφακίνου ἐλαίου. ἐπιτεινομένης δὲ τῆς ὀδύνης ἐπὶ πολὺ καὶ φλεβοτομίαν παραληπτέον καὶ τὴν κοιλίαν

3—5 πάντων δὲ—σικύου σπέρμα *Or.*^{a} *VI 38 (206, 13—16) Paul. II 52 (I 121, 12—15)* 8—12 Ἐκ τῶν—καταπίνειν *Gal. de comp. med. s. l. VIII, 3 (XIII, 145, 3—9) de rem parab. I 10 (XIV, 371, 5—11)* 8—13 Ἐκ τῶν—ὀμφακίου χυλὸν *Or.*^{a} *VI, 39 (206, 18—25) Paul. II 52 (121, 15—22)* 8—12 Ἐκ τῶν—καταπίνειν *Or.*^{a} *III 184 (112, 19—25) IX 10 (281, 14—19)* 14 *Cf. Gal. CMG V 10, 2, 2 p. 235, 15 sqq.* 22 *Hippocrates progn. I 102, 9 Kw.*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m* *2*^{a} S] ω(S A^t) 1 κατακρουν. ψ (*ex.* T) *Or.* ...μένου T *om.* D P 3 ....ρητικὰ ψ A^t 4 ἡ *om.* $P^a P^x$ 5 *post* σπέρμα: καὶ τἄλλα ὅσα μετὰ βραχὺ ἐροῦμεν P^x 6 *post* καὶ *pr.*: διακλύζειν κέλευε τὸ στόμα καὶ P^x δὲ *om.* φ 7 *post* ὑγραντ.: *multa aliena; inc.* δρόσατον· καλὸν γὰρ ἐπ' αὐτοῖς καὶ τὰ ἄδιψα (*suprascr.* διδόναι). ἐκ τοῦ (*suprascr.* πόματα) Διοσκορίδους κτλ. P^x 8 ...ρίδου ...ους ...κουρίδου *codd.* ....ματος P^a χ A D ω 9 δ̄] η̄ P^x κόψ.—τραγ.] σπόρον κυδωνίου καὶ μαρουλ⟨λίου⟩ ἀνὰ < γ̄ P^x 9. 10 ᾠῶν—λευκῷ] δι' ᾠοῦ τὸ λευκὸν πρόσφατον P^x ὠμ. ᾠῶν *transp.* M^o A^t 10 καὶ συλ.—καταπ. *om.* P^x 11 καὶ δίδ.—καταπ.] ἐπὶ δὲ τῆς χρείας δίδου ὁμ⟨οίως⟩, ὡς τὸ ἕτερον κτλ P^x 12 δὲ *post* καταρρ. M^o ψ (*exc.* T) 13 χυλοῦ L^a ὑδρόμ. $P^a C^p$ S 14 ψυχροῦ P^x ψ (*exc.* T) *m. 2*^{a} S 18 *post* πόμα: Περὶ δίψους Παύλου ἐξηγητοῦ πρό⟨ρ⟩ρησις καὶ θεραπεία κτλ. P^x 22 ...μένει $C^p P^x$ T S ἐκτάσεις $L^a P^x$ ἔκστασις ψ S 23 *post* μέν: οὖν $P^x M^o$ A T 25 καὶ ὑδ.] λεπτὸν καὶ ὑγρὸν A P 26 ἐλαίου βραχεῖ L^a ἐλαιοβροχείῳ C^p ....ίῳ βροχεῖ M^o ...ίῳ βραχεῖ P^x S ἐν *om.* C^p ψ ω

ἐρεθιστέον, ἔπειτα καὶ καταπλάσσειν ἔξωθεν κατὰ τῶν κύκλῳ τῆς ἀκοῆς τόπων δι᾽ ἄρτου ἢ λινοσπέρμου, συλλεαινομένων χλωρῶν φύλλων ὑοσκυάμου ἢ μήκωνος. βούτυρον δὲ ἀντὶ ἐλαίου τῷ καταπλάσματι ἐμβλητέον. κατὰ δὲ τοὺς τῶν ἀλγημάτων παροξυσμοὺς πυριᾶν χρὴ τοὺς τόπους διὰ σπόγγων ἐξ ὑδρελαίου θερμοῦ μέχρι ἀπονίας· σφόδρα γὰρ παρηγοροῦσι καὶ πάλιν καταπλαστέον τοῖς εἰρημένοις καὶ ἐνστακτέον τῇ ἀκοῇ ἀμυγδάλινον ἔλαιον ἢ ῥόδινον ἐν κωδίᾳ μήκωνος τεθερμασμένον ἐπὶ θερμοσποδίᾳ ἢ γῆς ἔντερα ἐναφεψήσας τῷ ῥοδίνῳ ἔνσταζε ἢ τοὺς ὑπὸ τὰς ὑδρίας ὄνους ἢ ἀράχνας.

ρκε Διαπυήσαντος ὠτὸς θεραπεία καὶ δυσηκοΐας. διαπυησάσης δὲ τῆς φλεγμονῆς καὶ ῥήξεως ἀπαντησάσης διὰ τοῦ πόρου δι᾽ ἐρίου μηλωτρίδι περιειλημμένου κομισάμενοι τὸ πῦον κλύζομεν μελικράτῳ πρότερον, ἔπειτα οἰνομέλιτι, ἔπειτα ὀξυμέλιτι, ἀφρονίτρου προσπλέξαντες τῷ ὀξυμέλιτι βραχύ· ἐνθήσωμεν δὲ τῷ πόρῳ ἀναλαμβάνοντες ἐρίῳ τὸ ἡμέτερον φάρμακον ἄκρως ἐνεργοῦν· ἔστι δὲ στυπτηρία ὑγρὰ καὶ μέλι καὶ ῥόδινον ἴσα ἐπ᾽ ὀλίγον καθηψημένα. κάλλιστα δὲ ἐνεργεῖ καὶ ὁ τοῦ Μοῦσα τροχίσκος ἀνιέμενος ἑψήματι καλλίστῳ καὶ ὄξει ὀλίγῳ. περὶ δὲ τῶν συμβαινόντων ἤχων καὶ δυσηκοϊῶν εἰρήσεται ἐν τοῖς καθολικοῖς βοηθήμασιν. εἰδέναι μέντοι χρὴ κάκιστον εἶναι σημεῖον ἐν τοῖς ὀξέσι πυρετοῖς τὴν δυσηκοΐαν· ληθάργους γὰρ ἢ κατόχους ἢ παρωτίδας ὀλεθρίους ἢ ἄλλως τινὰ κίνδυνον προμηνύει. σπανίως δὲ παρέμεινεν ἡ δυσηκοΐα τινὶ τῶν περιγιγνομένων τῆς νόσου, ἀλλ᾽ ὁμοῦ συναποκατέστη τῇ νόσῳ. καὶ γὰρ ἐνίοτε περιοδίζει κατὰ μὲν τοὺς παροξυσμοὺς ἐπιτεινομένη ἡ δυσηκοΐα, ἐν δὲ ταῖς ἀνέσεσιν συναποκαθισταμένη, ὅτε οὐ δεῖ ἐνοχλεῖν τῷ ἀκουστικῷ πόρῳ, ἀλλὰ τὴν κεφαλὴν μόνην ἐμβρέχειν τοῖς πρὸς κεφαλαλγίαν ἐν πυρετοῖς ἁρμόζουσιν.

13. 15 ἀφρονίτρου | στυπτηρία *cf. Gal. de comp. med. s. loc. III 1 (XII, 637, 10—11)* 15. 16 ἔστι δὲ — καθηψημένα *cf. Gal. de rem. parab II 3, 4—5, 14 (XIV 403, 17—18, 404, 5, 406, 1—2) id de comp med. s loc III 1 (XII 660, 12sqq.) ib. (ib. 648, 13sqq. etc.)* 16 ὁ τοῦ Μοῦσα τροχίσκος *cf. Or.^{a} III 94 CMG VI 3 cum adnotationibus Raederi* 18 εἰρήσεται *cf. VI 79, 80*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A D P T) [*m. 2^a* S] ω(S A^t) 1 καὶ *om.* P^a A *post* ἔξωθ : ἀψίνθιον βεβρασμένον ἐν ἐλαίω P^x κατὰ] ἀπὸ C^p διὰ P^x *om.* ψ (*exc.* T) τῶν] τὸν $P^a P^x$ ψ (*exc.* T) A^t κύκλον P^x κοῖλον ψ (*exc.* T) 2 τόπον P^a ψ (*exc.* T) A^t το$^{\pi'}$ P^x 3 *post* μήκ.: ἢ ναρδέλαιον ἢ δάφνης ἔλαιον ἐνστάζειν χλιαρὸν ἢ βάλσαμον ἔλαιον P^x ...τύρου P^x τὸ κατάπλασμα P^x 4 τὸν τόπον ψ (*exc.* T) 6 ἐνσταλακτέον A^t 7 *post* ἀκ.: ὅσα εἰρήκαμεν P^x ἢ ἔλαιον ἀμυγδάλινον θερμῆς οὔσης τῆς διαθέσεως P^x 9 ἢ τοὺς — ἀράχν. *om.* P^a τὰς] τοὺς $C^p A^t$ *m. 1^a* S *post* ἀράχν : εἰ δὲ ἀπὸ ψυχρότητος εἴη ἰδίως κτλ P^x 10 *tit. om.* P^x καὶ περὶ δυσηκ. $C^p M^o$ ψ (*exc.* T) *om* P^a T ω ...πτυησάσης A ...ήσαντος $P^x A^t$ *m. 1^a* S δὲ *om.* ψ (*exc.* T) 12 περιειλιγμένου ψ (*exc.* T) ...ζωμεν $P^a P^x$ 13 ἔπ. *pr.*] εἶτα $P^a C^p$ ψ (*exc.* T) ἢ (ἔπ. *supra scr.* ἢ T) A^t ἔπ. *alt.*] εἶτ᾽ αὖθις P^a *ante* ἀφρον. εἶτα P^x T ω 14 ...σομεν $P^a C^p$ ψ (*exc.* T) S δὲ *om.* L^a T A^t 17 ἐνιέμ. P T *post* ὀλίγ.: ἢ τὸν ὠτικὸν τροχίσκον εἰς τὸ ἀντικείμενον οὖς ἐγχυμάτιζε κτλ. P^x 17—*p. 103, 24* περὶ δ. τ. συμβ. — σύμπτωμα *post* ὡς ἔθος (*p. 104, 7*) *transp.* P^x 18. 19 ἐν τοῖς ....βοηθ. | ἐν τῷ μετὰ τούτου ῥηθησομένω βιβλίω P^x 19 σημ. εἶναι T ω 20 ἡ δυσηκοία χ T ω γὰρ *om.* $P^a P^x$ T ω κατοχὰς ψ (*exc.* T) 21 ἄλλον P^x ψ ω 23 ...ζειν $C^p P^x$ 24 ἀναποκαθ. L^a ἀποκαθ. $P^a C^p$ οὐ] οὐδὲ ψ (*exc.* T) 24. 25 δεῖ *post* πόρω ψ (*exc.* T)

Περὶ ὀφθαλμίας ἐν πυρετοῖς ἐκ τῶν Φιλουμένου. ἐν πυρετοῖς γιγνομένης ὀφθαλμίας ἀπέχεσθαι δεῖ παντοίας φαρμακείας, ἐγχυματίζειν δὲ ᾠοῦ τῷ λευκῷ καὶ γάλακτι καὶ ἐπιχρίειν ἔξωθεν τῷ γλαυκίῳ ἢ τῷ Νείλου διαρρόδῳ ἢ ἑτέρῳ τινὶ τῶν διὰ κρόκου ἀποκρουομένων τοὺς ῥευματισμοὺς μετὰ τοῦ ἐμψύχειν. περιωδυνίας δὲ σφοδρᾶς γιγνομένης πυριᾶν διὰ σπόγγων καὶ πτύγματα ᾠοβραχῆ ἐπιτιθέναι κατὰ τὸ ἔθος. εἰ δ' ἐπιτείνοιτο ἡ ὀδύνη καὶ καταπλάσσειν ἄρτον βεβρεγμένον ἐν ἀφεψήματι κωδιῶν καὶ μελιλώτων μετὰ ᾠοῦ λεκίθου ὀπτῆς ἢ ἑφθῆς καὶ βραχέος ῥοδίνου ἢ ψύλλιον ζέοντι ὕδατι βρέχων ἐπιτίθει. διαπυησάσης δὲ τῆς φλεγμονῆς χρηστέον τοῖς ἀνωδύνοις κολλυρίοις. ρκϛ

Περὶ ἀμαυρώσεως τῆς ἐκ νοσημάτων γιγνομένης. γίγνεται περὶ τὰς λύσεις τῶν νοσημάτων ἢ καὶ ἐν ταῖς ἀναλήψεσι περὶ τοὺς ὀφθαλμοὺς ἀμφοτέρους ἢ τὸν ἕτερον ἀμαύρωσις, ὥστε μόγις ὁρᾶν ὥσπερ δι' ὁμίχλης· ἐνίοτε δὲ καί τινα προφαίνεσθαι πρὸ τῶν ὀφθαλμῶν δοκεῖ, οἷον θριξὶν ὅμοια· κατανοούμενοι δὲ οἱ ὀφθαλμοὶ καθαροὶ φαίνονται. κατὰ τὸ σπανιώτατον δὲ ἐν ταύταις ταῖς περιστάσεσιν ἢ μικρότερος ὁ κύκλος τῆς κόρης ἢ πλατύτερος εὑρίσκεται. τὸ δὲ τῆς ἀμαυρώσεως σύμπτωμα ὡς ἐπὶ τὸ πλεῖστον ὀνειρωγμοῦ προηγησαμένου κατὰ τὴν ἀπόλυσιν τῆς νόσου ἢ τὴν ἀνάληψιν παραχρῆμα ἐπέπεσε καί ἐστι σημεῖον ἀτονίας τοῦ ὀπτικοῦ πνεύματος καὶ τοῦ νευρώδους. τῇ γοῦν τελείᾳ τοῦ σώματος ἀναρρώσει ὁλόκληρος ἀποδίδοται καὶ ἡ τῆς ὁράσεως ἐνέργεια· διὸ δεῖ τοπικῶν μὲν ἀπέχεσθαι βοηθημάτων μήτε πυριῶντες μήτε ὑπαλείφοντες. ἀναληπτικῇ δὲ τοῦ παντὸς σώματος ἀγωγῇ χρωμένους διορθοῦσθαι τὸ σύμπτωμα. ρκζ

Θεραπεία ἐφ' ὧν στάξις αἵματος ἀπὸ ῥινῶν ἐν πυρετοῖς παρακολουθεῖ. Ἐκ τῶν Φιλουμένου. τὴν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν πυρετοῖς γιγνομένην ἐκ τῶν ῥινῶν στάξιν τοῦ αἵματος κάκιστον σημεῖον Ἱπποκράτης λέγει· πλῆθος γὰρ δηλοῖ ἐν ὅλῳ τῷ σώματι ἢ ἐν τῇ κεφαλῇ. ἀποστάζει δὲ τὸ αἷμα ἢ διὰ θλῖψιν ἢ διὰ πύκνωσιν τῶν πόρων. ἡ δὲ ρκη

4 τ. Ν. διαρρ.] *cf. Or.^{a} III 127 (100, 12sqq.)* 25. 26 Θεραπεία—παρακολουθεῖ 27—*p. 104, 6* πλῆθος—ἀφαιρεῖν *Or.^{a} VI, 47 (209, 9—16) Paul. II 58 (I 124, 21—29)* τὴν ἐν τῇ τετάρτῃ—σημεῖον *Hippocr. Aphor. VII, 84 (606, 8—9)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 ἐκ—Φιλουμ. *om.* P^x ψ ω 2 ...κίας P^a P^x M^o 3 δὲ *om.* T S ᾠῶ (*corr.* ᾠοῦ P^a) P^a C^p P^x ψ ω τὸ λευκὸν P^x T ω *ante* καὶ *pr.*: καὶ λεπτῶ D καὶ ...ὸν P^x T ω γλυκείω P^a 4 τῶν (ν *eras.* S) A T A^t *om.* C^p P^x *ante* Νείλου: τοῦ (τὸ P^x) C^p T ω διάροδον P^x ...ρόδων A A^t ....ομένῳ L^a C^p M^o 6 πτύγμα ψ (*exc.* T) ὡσβραχῆ P^a ὡς βραχὺ M^o A ᾠῶν βραχὺ P^x ᾠοβραχὲς D P ᾠοβραχὺ A^t 7 ...νεται D P καὶ *om.* P^x A 9 καὶ] μετὰ C^p T ω 11 *tit. om.* T ω νοσήματος P^x ψ (*exc.* T) *ante* γίγνεται: ἐκ τῶν Φιλουμένου χ ψ ω *fort. recte* 13 μήτις L^a μόλις χ D P T ω 14 πρὸ *om.* A P δοκεῖν P^x A T A^t 18 προηγ. *post* νόσου T A^t ἀπόκρισιν T A^t 20 τοῦ πνεύμ. τοῦ ὀπτ. (τοῦ ὀπτ. *om.* C^p A P) D T ω ὀπτικοῦ *om.* M^o 22 μὲν *om.* P^a χ (*exc.* C^p) ψ A^t *m. 1^a* S ...ριῶντας C^p ψ (*exc.* T) ...φοντας C^p ψ (*exc.* T) 25—*p. 104, 7 bis rep.* P^x *tit.*: Περὶ ⟨σ⟩τάξεως αἵματος καὶ τῆς ἐκ ῥινῶν αἱμορραγίας κρι$^{T'}$ P$^{x'}$ ὧ C^p A D A^t *m. 1^a* S 26—28 ἐκ τῶν—λέγει *om.* P$^{x'}$ 26 *ante* τὴν: εἰρήκαμεν ἔμπροσθεν περὶ σημειώσεως καὶ θεραπείας, νυνὶ δὲ ἐροῦμεν καὶ περὶ κρισίμων ἡμερῶν, οἷον P^x 29 δὲ *alt.*] γὰρ M^o A^t *supra scr.* T

πλείων ἔκκριcιc ἱκανή ἐcτι καὶ χαλάcαι καὶ μειῶcαι τὸ πλῆθοc. κατὰ βραχὺ οὖν ποιῆcαι χρὴ τὴν κένωcιν ἐκεῖθεν μᾶλλον, ὅθεν ἡ φύcιc ὥρμηcεν. ταῦτα ἐπιλογιcάμενοc ἐτόλμηcα ἐπὶ τῶν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γιγνομένων ἀποcτάξεων διὰ κλωνίου ἀγρώcτεωc, ὡc ἔθοc, τρῶcαι τὰ ἐν τοῖc μυξωτῆρcιν ἀγγεῖα. δεῖ δὲ μὴ ἀρκεῖcθαι ὀλίγῃ ῥύcει, ἀλλὰ πρὸc δύναμιν ἀφαιρεῖν· κενώcεωc δὲ ἱκανῆc γενομένηc cτέλλειν, ὡc ἔθοc.

ρκθ Πῶc κύcτεωc ἐπιμελητέον καὶ δυcουρίαc. Ἐν πυρετοῖc ἐκ τῶν Φιλουμένου. ἐν ἀρχῇ τῶν πονηροτάτων πυρετῶν καὶ τοῦτο ἐπιφαίνεται τὸ cύμπτωμα, ὥcτε τὴν κύcτιν ἀλγεῖν καὶ κατὰ βραχὺ τὸ οὖρον προΐεcθαι καὶ μετ᾿ ὀδύνηc, καὶ οὐ μόνον ὀχληρόν ἐcτιν, ἀλλὰ καὶ cημεῖον τοῦ ὅλον πεπονθέναι τὸ νευρῶδεc. ἔτι γὰρ τὸ πᾶν cῶμα ἀνάμεcτον ὑπάρχον ὠμοτέρων χυμῶν, cυρρεῖ ἐξ αὐτοῦ ἀθρόον πλῆθοc εἰc τὴν κύcτιν καὶ διαταθεῖcα ἐπὶ πλέον ἀνενέργητοc γίγνεται κίνδυνόν τε τὸν ἐξ ἰcχουρίαc ἐπιφέρει. κατ᾿ ἐπιγαcτρίου μὲν οὖν καὶ κτενὸc καὶ βουβώνων καθαρὸν ἔριον ἐπικείcθω γλυκεῖ ἐλαίῳ θερμῷ βεβρεγμένον ἢ Cικυωνίῳ. βέλτιον δὲ εἰ καὶ πήγανον εἴη ἐναφηψημένον τῷ ἐλαίῳ καὶ ἄνηθον καὶ cελίνου cπέρμα ἢ κύμινον λεῖον ἐμπάccειν τῷ ἐρίῳ. εἰ δ᾿ ἐπείγοι τὰ τῆc ὀδύνηc, καὶ καταπλάcματα μετὰ τὰc ἐμβροχὰc παραλαμβανέcθω καὶ εἰc τὸ ἀπευθυcμένον ἔλαιον δι᾿ ἀφεψήματοc τήλεωc cὺν βουτύρῳ ἐνιέcθω· ἐπὶ δὲ γυναικῶν καὶ εἰc τὴν μήτραν καὶ εἰc τὸ ἀπευθυcμένον. εἰ δὲ φλεγμονὴ κατεπείγοι καὶ ἔρευθοc μετὰ πλείcτηc θερμαcίαc κατὰ τὸ ἐπιγάcτριον εἴη, καὶ φλεβοτομίαν παραλαμβάνειν. δίαιτα δὲ ἔcτω λεπτὴ καὶ ἀκριβὴc ῥοφήμαcι χρωμένοιc πτιccάνηc ἢ τοῖc πλυτοῖc χόνδροιc ἐκ μελικράτου ἢ ᾠοῖc ῥοφητοῖc. μετὰ δὲ ταῦτα καὶ ψίχεc καλῶc ἀποπλυθεῖcαι διδόcθωcαν· ἔπειτα μαλάχη τριπτὴ παραλαμβανέcθω καὶ κεφαλωτὸν πράcον πλείοcι καθηψημένον ὕδαcι καὶ ἰχθύεc οἱ ἁπαλώτατοι. ἐγκαθίcματα δὲ ἐπιτηδευέcθω ἄχριc ὀμφαλοῦ καὶ ὀcφύοc ὅληc δι᾿ ἀφεψήματοc ἀρτεμιcίαc τήλεωc γλήχωνοc ἐμβαλλομένου καὶ ἐλαίου πρὸc τὴν τοῦ ἔτουc ὥραν. χρόνου δὲ προιόντοc, καcτόριον ἐμπαccέcθω τοῖc πιλήμαcι· πόμα δὲ τοῖc οὕτω κάμνουcιν

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t)   1 *ante* χαλάcαι: καθόλου P^x 1. 2 κατὰ—οὖν] κατὰ λόγον δ᾿ ἐcτὶν $P^{x'}$ ποιεῖcθαι $P^{x'}$ 2 βραχὺ] λόγον *Gr. Paul.* χρὴ—κέν.] αὐτὴν $P^{x'}$ 3 ἐπιλογ.] ἐννοήcαc $P^{x'}$ *Or. Paul.*   3. 4 ἐν—γιγνομ.] τεταρταίων $P^{x'}$ 6 *post* ἀφ.: *multa aliena, inc.* τὰc δὲ αὐτομάτουc ἐν πυρετοῖc διὰ ῥινῶν αἱμορραγίαc κτλ. $P^{x'}$ 6. 7 κεν.—ἔθοc *om.* $P^{x'}$ 9 ἀρχαῖc T S   11 καὶ *pr. om.* P^x A *ante* ὀχλ.: μοχθηρόν ἐcτιν ἀλλὰ καὶ P^x ἐcτιν ἀλλὰ] ἢ P^x τοῦ] τὸ L^a 12 ὅλου M^o A ω ἔτι] ὅτι C^p ἐπὶ P^x ἔcτι P^a T A^t τοῦ παντὸc cώματοc ...cτου ...χοντοc D P   13 αὐτῶν P^x ἀθρόων P^x ...ου A ω   14 τε] δὲ $C^p P^x$ 15 κτ.] κενεῶνοc (*in marg.* T) A D P A^t *m. 1ª* S   17 καὶ εἰ T ω   18 *ante* cπέρμα: δὲ D P *post* cπ.: μετὰ τὰc ἐμβροχὰc P^x ψ *in marg. m. 2ª* S ...πάcει ἢ M^o ....cειν $P^a P^x$ S   19 ἐπείγει P^a ἐπιτείνεται D P ...νοιτο P^x A T ω ....πλαcμα $M^o P^x$ T ω   20 ἀπηυθιcμένον D P   20—22 ἔλαιον—ἀπηυθυcμ.] *multa aliena, inc.* ἐντέρω δεῖ προκαθαίρειν διὰ κλυcτῆροc κτλ. P^x 21 ἐνείcθω A^t 22 ...πείγει P^x D P ....γοιτο T ω   23 *post* παραλ.: κατὰ τὴν τοῦ ἀγκῶνοc τῆc χειρόc P^x 24. 25 ἢ τοῖc—ῥοφ.] ἀcπαράγγου ἢ χόνδρου ῥοφήμαcιν ἢ ᾠοῖc τὰ ἐρυθρὰ ῥυτοῖc P^x 26 ψίχαι T A^t 28 ...θιcμα T ω   29. 30 ἐμβαλλ. *om.* T ω   30 τοῦ ἔτ. *post* ὥραν P^x *om.* $C^p M^o$ ψ ω   31 πόμα—ἔcτι (*p. 105, 1*)] ἔcτι δὲ τοῖc οὕτω κάμνουcιν ἐπιτηδειότατον ψ (*exc.* T)

ἐπιτηδειότατόν ἐστι μετὰ τὸ παύσασθαι τὴν ἐπίδοσιν τὸ διὰ τοῦ ἡμέρου σικύου σπέρμα· προβραχὲν δὲ λεπίζεται, εἶτα τριφθὲν δίδοται μεθ' ὕδατος κυάθων τριῶν, ὅσον κοχλιάρια δύο καὶ κινεῖ μὲν τὴν οὔρησιν ἀλύπως, τὰς δὲ περιωδυνίας παραχρῆμα λύει. τῶν μέντοι ἄλλων διουρητικῶν, ἐφ' ὅσον οἱ πυρετοὶ διαμένουσιν, ἀποχὴ πᾶσα ἔστω, ἵνα μὴ πλῆθος οὔρων συνδιδόμενον εἰς τὴν κύστιν καὶ περιτεῖνον ἐπιτείνῃ τὸ σύμπτωμα.

Πῶς ἐπιμελητέον τῶν περὶ τὴν ὀσφὺν ἀλγημάτων. Ἐκ τῶν Φιλου- ρλ
μένου. ὀσφύος ἀλγήματα γίγνεται ὡς ἐπὶ τὸ πλεῖστον ἐν πυρετοῖς πονηροῖς εὐθὺς ἀπ' ἀρχῆς καὶ παραμένοντα μεγίστας ἐνοχλήσεις ἐπιφέρει καὶ αἰφνιδίως ἀφανισθέντα κινδυνωδεστέραν ἔσεσθαι τὴν νόσον προμηνύει. περὶ μὲν οὖν τὰς πρώτας ἡμέρας ἐμβροχῇ δι' οἰνελαίου χρηστέον λιπαρωτέρου, ἔπειτα ἀφρόνιτρον καὶ γλυκὺν τεθαλασσωμένον καὶ ἔλαιον ἅμα ἡνωμένα ἐπιρρίπτειν τοῖς τόποις δι' ἐρίων οἰσυπηρῶν. αἱ δὲ τοιαῦται ἐμβροχαὶ τὸ μὲν σφοδρὸν τῆς ὀδύνης παρηγοροῦσιν, οὐκ ἀναιροῦσι δὲ εἰς τὸ παντελὲς τὸν πόνον. προβαίνοντος δὲ τοῦ χρόνου φλεβοτομίᾳ χρηστέον, ἔπειτα σικυαστέον τὸν τόπον. μετὰ δὲ ταῦτα κατάπλασμα σκευάσαντες τὸ διὰ λινοσπέρμου καὶ τήλεως καὶ ἐμβαλόντες εἰς μάρσιπον ὑποθήσομεν τοῖς ἰσχίοις, ὥστε ἐπ' αὐτῷ τὴν κατάκλισιν εἶναι τῆς ὀσφύος· ἔπειτα ἐμβρέχειν δι' ἐλαίου πηγανίνου καὶ κηρωταῖς χρῆσθαι διὰ Κυπρίνου γεγενημέναις. ἡ δὲ γαστὴρ ἐξ ἀρχῆς εὔλυτος διὰ τῶν τροφῶν παρασκευαζέσθω. σφόδρα δὲ αὐτοὺς ὠφελεῖ καὶ κλυστὴρ δι' ἀφεψήματος σικύου ἀγρίου καὶ μέλιτος μόνου ἐνιέμενος· κενοῖ γὰρ φλέγμα καὶ κουφίζει τάχιστα, εἰ μὴ σφοδρὸς εἴη ὁ πυρετός.

Τῆς περὶ τὸ ἱερὸν ὀστέον ἐν πυρετοῖς γιγνομένης ἑλκώσεως θερα- ρλα
πεία ἐκ τῶν Φιλουμένου. ἐν τοῖς χρονίοις καὶ ἄλλως τὴν ἕξιν ἐκτήκουσι πυρετοῖς, περιδαπανηθείσης τῆς σαρκὸς ἐπὶ ψιλῶν τῶν ὀστέων ἡ ἀνάκλισις γίνεται καὶ μάλιστα αὐτῶν τὰ ἐξέχοντα καὶ δυσαλθεῖς ἑλκώσεις ἀναδέχεται καὶ ἐπωδύνους διὰ τὸ σύρεσθαι κατὰ τῶν ὑποστρωμάτων. οὐ μόνον δὲ διὰ τὸ δυσίατον χαλεπὰς συμβέβηκεν εἶναι τὰς ἑλκώσεις· πλατυνόμεναι γὰρ καὶ βαθυνόμεναι καὶ παχέα τὰ χείλη τρέφουσαι νέμονται καὶ μέχρι ψιλώσεως προίασιν, ἀλλὰ δὴ καὶ παραση-

25 Τῆς περὶ — θεραπεία *Or.^{a} VI 44 (208, 13)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2^a* S] ω (S A^t) 1 διὰ *om.* ψ (*exc.* T) 2 ...ματος L^a 5 ἔστιν A^t 6 ...νει φ M^o T ω 7 *post* σύμπ.: *multa aliena, inc.* δίδου τὰς ἀντιδότους ταύτας πρός τε δυσουρίαν κτλ. P^x 8 Ἐκ — Φιλουμ. *ante* Πῶς L^a *om* P^a 12 προμηνύει *usque ad finem libri manus recentissima ex ed. Aldina exscripsit* L^a 13 ....νιτρα M^o A 14 δι' ἐρίων τοῖς τόποις *transp.* D P 17 *post* τόπον: ἢ βδέλ⟨λ⟩ας θετέον κύκλωθεν τοῦ ὀδυνῶντος τόπου P^x 18 *post* τήλεως: καὶ ἰσχάδων καὶ ἀλθαίας P^x 19 ...βάλλοντες M^o A A^t αὐτῶν P^x A D P ω 20 βρέχειν ψ (*exc.* T) *post* πηγ: δι' ἀλθαίαν ἢ δάφνινον ἔλαιον P^x 23 δι' ἀφεψ. — ἐνιέμ.] ἔχων ταῦτα· κολοκύνθης τὴν ἐντεριώνην κενταύριον πολυπόδιον κτλ. P^x *post* ἀγρίου: ῥίζης M^o T *supra scr. m. 2^a* S 24 σφοδρῶς T ...ὸς *m. 2^a* S 25 ὀστοῦν φ P^x P 26 ἐκ τῶν (τοῦ A) Φιλουμ. *om.* P^x 28 γίν. *supra scr. m. 2^a* S *om.* A^t δυσιαθεῖς P^x ...σαφεῖς ψ (*exc.* T) 31 πλατυνομένας ....νομένας .....φούσας P^a 32 *ante* νέμ.: καὶ M^o νέμ. καὶ] αἳ δὴ καὶ νεμόμεναι P^a καὶ νεμόμεναι ψ (*exc.* T) *post* νέμ.: γὰρ (*corr.* καὶ *m. 2^a* S) T A^t

μειώσεως πρὸς τῶν ἀρχαίων τετύχηκεν, ὡς ὀλέθρου οὖσαν τὴν διάθεσιν μηνυτικήν· διόπερ πρὶν εἰς ἀνήκεστον ἥκειν, ἐσπουδακέναι δεῖ περὶ τὴν ἐπιμέλειαν αὐτῆς. τὸ μὲν πρῶτον ἡνίκα ἄρχεται ὁ τόπος ἐνερευθὴς καὶ ἐπαλγὴς γίνεσθαι, κύκλον ἐξ ἐρίου ποιήσαντες εὐμεγέθη ὑποθήσομεν τῷ τόπῳ, ἵνα διὰ κενοῦ τὸ πάσχον μέρος ἑδρασθὲν ἀπαλλαγῇ τοῦ θλίβεσθαι καὶ ἀταλαίπωρος ἡ κατάκλισις γένηται. μετὰ δὲ ταῦτα τὴν διὰ ῥοδίνου ἢ μυρσίνου κηρωτὴν σκευάσαντες ἔχουσαν λιθάργυρον ψιμύθιον κριθὰς κεκαυμένας ἐπιθήσομεν, ὑποκειμένου δηλονότι τοῦ κύκλου ἐξ ἐρίου. ταὐτὸν δὲ ποιοῦσι καὶ αἱ ἑδρικαὶ πᾶσαι κηρωταὶ καὶ ἔτι μᾶλλον τὸ ὑφιζάνον ἐν τοῖς χαλκίοις, ἐν οἷς τὸ ὕδωρ ἕψεται, ὃ προσκάθηται ὡς ὄστρακον τοῖς πυθμέσιν αὐτῶν, μιγνύμενον κηρωτῇ ῥοδίνῃ, εὑρίσκεται δὲ πλῆθος ἐν τοῖς τῶν βαλανείων χαλκίοις, καὶ τὸ διὰ μέλιτος ἴσα λαμβάνον τὰ τέσσαρα, λιθάργυρον ἔλαιον κηρὸν μέλι· ἀναλύεται δὲ ῥοδίνῳ καὶ ποιεῖ παραδόξως. παραλαμβανέσθω δὲ καὶ πυρία διὰ σπόγγων. φλεγμονῆς δέ ποτε γενομένης ἄρτῳ καταπλαστέον τοὺς τόπους μετὰ στρύχνου ἢ πολυγόνου ἢ ἀρνογλώσσου ἢ κράμβης φύλλοις· εἰ δὲ νομώδης ἡ ἕλκωσις γένοιτο, φακῷ ἑφθῷ μετὰ σιδίων καταπλασσέσθω. καὶ φαρμάκοις ποτὲ χρηστέον τοῖς πρὸς νομὰς πεποιημένοις, ἀνιεμένοις διὰ ῥοδίνου καὶ τῇ ἐπιγόνου χλωρᾷ καὶ τῷ κόρακι ἢ τῷ Ἄνδρωνος τροχίσκῳ ἢ τῷ Μούσα μεθ' ἑψήματος. τῆς δὲ νομῆς σταλείσης τοῖς πραοτέροις κοινοῖς βοηθήμασι χρηστέον.

ρλβ Θεραπεία τῆς περὶ τὸ ὄσχεον καὶ δακτύλιον ἑλκώσεως ἐν πυρετοῖς ἐκ τῶν Φιλουμένου. πολλάκις ἐπὶ τῶν νοσούντων ἑλκοῦται τὰ μέρη ταῦτα, ποτὲ μὲν διὰ μόνην τὴν ἀμέλειαν, ποτὲ δὲ καὶ ὑπὸ φαύλων καὶ δριμέων χυμῶν καὶ κακοήθων πυρετῶν. εὑρεῖν γοῦν ἐστι τοὺς οὕτω πάσχοντας καὶ τὴν φρόνησιν βεβλαμμένους καὶ μηδὲ παρακολουθοῦντας τῇ ὀδύνῃ μηδὲ ἀντιλαμβανομένους τῆς πυρώσεως, εἰ μὴ ὁ ἐπιμελούμενος αὐτῶν ἐκ τῆς ὀδμῆς διαγινώσκει. πρῶτον μὲν οὖν ἀποσπογγισμῷ τῶν τόπων χρηστέον ἐξ ὕδατος θερμοῦ προσηνοῦς, ἔπειτα ἀλειπτέον μυρσίνῳ ἢ ῥοδίνῳ ἐλαίῳ καὶ μετὰ ταῦτα διαπαστέον τὸ ὄσχεον μυρσίνῃ ξηρᾷ λειοτάτῃ, ἔπειτα ἐπιχριστέον ᾠῷ δεδευμένῳ μετὰ

1 πρὸς τῶν ἀρχαίων *quis?* 3—5 τὸ μὲν πρῶτον—τῷ τόπῳ 6—8 μετὰ δὲ ταῦτα—ἐπιθήσομεν *Or.*[a] *ib. (ib. 14—17) Paul II 60 (I 126, 22—26)* 15—18 φλεγμονῆς—καταπλασσέσθω *Or.*[a] *ib (ib. 17—19) Paul. ib. (I 126, 26—29)* 20 τῷ Ἄνδρωνος τροχίσκῳ ἢ τῷ Μούσα *Or.*[a] *III 93, 94*

φ (P[a]) χ (C[p] P[x] M[o]) ψ (A D P T) [*m. 2*[a] S] ω (S A[t]) 1 τὸν ἀρχαῖον C[p] P[x] ἀρχομένων A P τετυχήκασι φ ....χήκαμεν A P οὔσης (= A) τῆς διαθέσεως μηνυτικαὶ· φ 2 ἀνίατον φ 4 ὑποθήσωμεν P[x] ἐπιθήσομεν φ 7 κηρωτὴν *post* ῥοδίνου T ω ἔχ. | ἐκ D P ...γύρου D P 8 ...θίου D P ...θῶν ....μένων A D P ...σωμεν P[x] M[o] T S 9 ἐξ ἐρ. κύκ. T ω 10 τὸ *pr. om.* C[p] M[o] ...χείοις ψ (*exc.* T) 11 *ante* τοῖς: ἐν T A[t] *ante* κηρ.: σὺν T ω 12 ...χοῖς T S 13 ἴσον (supra scr. α) T ἴσον A[t] λαμβάνοντες (*om.* τὰ) φ 17 φύλλων ψ (*exc.* T) ...νηται C[p] D P 18 ....άσσεσθαι φ...στέον (*supra scr.* ...σέσθω T) P[x] T A[t] 19 διὰ] μετὰ φ C[p] κόρακος ψ (*exc.* T) 22 *ante* Θεραπ.: τίς C[p] ψ (*exc.* T) τὸν ὄρχεον (ὄσχ. M[o]) αἰδοῖόν τε φ M[o] 23 νοσ. ἑ....νται, *in marg.* ἑ...ντων ν...νται T ἑ...ντων ν...οῦται A[t] ἑ...νται S 25 ἐστι γοῦν T A[t] ἐστι *om.* C[p] 26 μηδὲν T ω 29 ....γισμῶ, *supra scr.* ...οῦ T ...οῦ A[t] τὸν τόπον φ P[x] T ω τῶ ...ω C[p] χριστ. P[x] 30 διασπ. φ P[x] A T ω τὸν φ M[o] ψ ω

ψιμυθίου καὶ ῥοδίνου ἐλαχίστου ἢ μυρσίνου, ὅπως μὴ ἀναξηραίνοιτο· εἰ δ' ἀνέχοιτο τοῦ μολυσμοῦ τῶν ἐπιχρίστων, κηρωτὴν σκευαστέον τρυφερὰν διὰ ῥοδίνου ψιμύθιον ἔχουσαν ἢ λιθάργυρον καὶ λεκίθους ᾠῶν ἑφθάς. ἁρμόζει δὲ καὶ ἡ βουτυρίνη κηρωτὴ καὶ ἡ διὰ στέατος χηνείου ἢ ὀρνιθείου συντιθεμένη καὶ ἡ διὰ κριθῶν καὶ αἱ ἑδρικαὶ πᾶσαι. εἰ δὲ νομὴ ἐπιγένοιτο, χρηστέον τῇ προειρημένῃ ἐπὶ τῆς τοῦ ἱεροῦ ὀστοῦ ἑλκώσεως ἐπιμελείᾳ. τὰς δὲ τροφὰς γλυκυτέρας αὐτοῖς προσενεκτέον ἐστοχασμένως ποιοῦντας τὴν μίξιν τῶν γλυκέων διὰ τοὺς ἐνοχλοῦντας πυρετούς, καὶ τῆς κοιλίας δὲ ἐπιμελητέον, μάλιστα τῶν περὶ τὴν ἕδραν τόπων κουφιζομένων.

ρλγ Τίς ἐπιμέλεια τῶν ἐν πυρετοῖς ἐξανθημάτων ἐν ὅλῳ τῷ σώματι ἢ ἔν τισι μέρεσι. Ἐκ τῶν Ἡροδότου. ἐπὶ τῶν πυρεττόντων συνεχέστατα γίγνεται ἐξανθήματα περὶ τὰ χείλη καὶ τὰς ῥῖνας περὶ τὰς λύσεις τῶν πυρετῶν ὡς ἐπίπαν, κατ' ἀρχὰς δὲ τῶν πυρετῶν οὐ τῶν ἁπλουστέρων, ἀλλὰ τῶν κακοχυμοτέρων περὶ ὅλον τὸ σῶμα ἢ τοῖς πλείστοις αὐτοῦ μέρεσιν ἐξανθήματα γίνεταί τισι μώλωψιν ἐμφερῆ τοῖς ἀπὸ κωνώπων δήγμασιν. ἐν δὲ τοῖς κακοηθεστέροις καὶ λοιμώδεσι πυρετοῖς ἑλκώδη ταῦτα γίγνεται, τινὰ δὲ καὶ ἄνθραξι παραπλήσια. πάντα δὲ πλήθους διεφθορότος καὶ τὴν ἕξιν διαβιβρώσκοντος χυμοῦ ἐστι σημεῖα· τὰ δὲ ἐν προσώπῳ γιγνόμενα κακοηθέστερα πάντων ἐστί· χείρω δὲ τὰ πλείονα τῶν ἐλαττόνων καὶ τὰ μείζονα τῶν βραχυτέρων καὶ τὰ ταχέως ἀφανιζόμενα τῶν πλείονα χρόνον ἐπιμενόντων, χείρω δὲ τὰ πυροῦντα τῶν κνησμοὺς ἐπιφερόντων. καὶ τὰ μὲν ἐπιγιγνόμενα τῆς κοιλίας ἐφεστώσης καὶ μέτρια τὰ διαχωρήματα ποιούσης ἀγαθά, τὰ δὲ ῥεούσης τῆς κοιλίας γινόμενα καὶ ἐμέτων ἐνοχλούντων πονηρά· εἰ δ' ἐπιγενόμενα ξηραίνοι τὴν κοιλίαν, ἀγαθά. παρέπονται δὲ τοῖς ἐξανθήμασι κακοήθειαι τῶν πυρετῶν, ἐκ τοῦ πλείστου δὲ καὶ συγκοπαί. τὰ μὲν οὖν περὶ τὰς λύσεις τῶν ἁπλουστέρων πυρετῶν γιγνόμενα περὶ τὰ χείλη καὶ τὰς ῥῖνας ῥοδίνῳ χριστέον κατ' ἰδίαν ἢ μετὰ ψιμυθίου ἢ λιθαργύρου. ἁρμόζει δὲ καὶ ὁ διὰ κρόκου καὶ σμύρνης καὶ στυπτηρίας τρο-

30—*p. 108, 1* τροχίσκος, ὃν Ἶσιν (?) ὀνομάζουσιν *cf. Gal. XIII 492, 518 al.*

φ (P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 1 μυρσινίνου ψ (*exc.* T) ...σίνης T S 2 ...χοιντο φ C^p M^o τοῦ μολ.] τὰ μέρη (...λη D P) A D P *ante* κηρωτ.: καὶ P^x ψ (*exc.* T) 3 ....γύρου P^x A^t ...ίθου P^x A^t 4 ἡ κηρ. ἡ βουτ. A^t 6 ...γίγνοιτο T ω ταῖς ....μέναις A^t 7 ὀστέου T A^t *om* M^o ...είαις A^t 11. 12 ἐν ὅλω—μέρεσι] ῥινῶν χειλῶν P^x *om.* ψ ω 12 *post* ἐπὶ: δὲ P^x T S 15—17 ἢ τοῖς πλείστοις—δήγμασιν *delevit Olivieri; interpolamentum iam in Herodoti textu ab Aetio lecto infuisse crediderim Deichgr.* 16 *post* μέρ.: ἢ τισιν ψ (*exc.* T) *post* γίν.: καὶ T A^t τισὶ] τοῖς A D P 17 δήγματος A D ...ήθεσι T ω 19 χυμοῦ *om* M^o ψ (*exc.* T) ἐστι *om.* C^p S σημ. *ante* χυμ. T A^t 20 ....ώποις M^o P εἰσὶ χ (*exc* M^o) ψ ω 21. 22 τῶν ταχ. ἀ...νων τὰ πλ. χρ. ἐ...οντα P^x ψ (*exc.* T) 22 μενόντων φ παραμ. C^p χείρονα φ ...ρότερα χ T ω *ante* τὰ: καὶ ψ (*exc.* T) 23 μὲν *om.* A^t ...γενόμ. P^x S ...γιγν. (γεν supra) T 24—26 τὰ δὲ—ἀγαθὰ *om* D ῥεπούσης P^x A P 25 ἐπιγιν φ A 26 ...νει φ A P T S ...νη P^x ...πεται ψ (*exc.* T) ....ήθεια ψ (*exc.* T) 27 ἐκ—συγκ. *om.* φ ...οπή ψ (*exc.* T) 28 παρὰ ψ (*exc.* T) τῶν πυρ. τ. ἁπλουστ. T A^t 29 χρηστ. φ χ A T *corr.* χριστ. P 29. 30 *ante* λιθαργ.: μετὰ ψ (*exc.* T) 30 δὲ] γὰρ A^t *post* κρόκου: ζζ T σμύρνης] ζζ C^p M^o *m. 2ª* S τροχ.] στρογγύλης C^p P^x

χίcκος, ὃν ἶριν ὀνομάζουcι, καὶ ὁ μέλας ὁ λαμβάνων ἴcα κροκομάγματος καὶ βαλαυcτίου καὶ χαλκάνθου καὶ cμύρνης καὶ ἀλόης· οἴνῳ δὲ λειοῦται ὡς κολλύριον καὶ ἀναπλάττεται εἰς τροχίcκους καὶ ἐπὶ τῆς χρείας cὺν ὕδατι ἢ γάλακτι ἐπιχρίεται ἢ cὺν οἴνῳ, ἐπὰν ἐπιτεῖναι τὴν cτύψιν βουλώμεθα. κατακολλάcθω δὲ μετὰ τὴν ἐπίχριcιν καὶ χωρὶς ταύτης ὑμὴν ἢ ὁ πρὸς τῷ τοῦ φοίνικος ὀcτῷ ἢ ᾠοῦ. τὰ δὲ περὶ τὸ ἄλλο cῶμα γιγνόμενα ἐξανθήματα μωλωπίζοντα ἰᾶcθαι χρή φλεβοτομοῦντας κατ᾽ ἀρχάς, εἰ μηδὲν κωλύοι. εἴωθε γὰρ ἀποcτραφέντα κινδύνους ἐπιφέρειν, εἰ μὴ δι᾽ ἐμέτων ἢ κοιλίας ἡ δριμύτης ὑπεξέλθοι. διὸ καὶ τὴν κοιλίαν διὰ πτιcάνης χυλοῦ καὶ ᾠῶν καὶ χαμαιμηλίνου ἐλαίου μαλακτέον· κατεχέτωcαν δὲ τὸ ἐνιέμενον ἑcπέρας πᾶcαν τὴν νύκτα. καὶ cυcτολῇ δὲ τῶν cιτίων χρηcτέον χάριν τοῦ πάντοθεν καθαιρεθῆναι τὸ πλῆθος· ἐν δὲ ταῖς ἐπιcημαcίαις χάριν τῶν ἐπιγιγνομένων περὶ τὸν cτόμαχον cφοδροτάτων δηγμῶν χλιαρὸν ὕδωρ ποτίcαντες ἐμεῖν κελεύομεν δακτύλων ἢ πτερῶν καθέcει. τροφὰς δὲ κατακεραcτικὰς παραθετέον, οἷον πτιcάνης χυλὸν ἢ χόνδρου μετὰ μελικράτου. καύcου δὲ πυρετοῦ ἐνοχλοῦντος, cυγχρίειν τὸ cῶμα ὑδρελαίῳ νίτρον βραχὺ ἔχοντι· τά τε γὰρ ἐξανθήματα περὶ τὴν ἐπιφάνειαν κρατεῖ καὶ τὴν ἐν τῷ βάθει ὕλην ἐφέλκεται καὶ ἐμψύχει τὸ βάθος καὶ πολλάκις ἱδρῶτας ἤνεγκεν ἐξατμίcαι τὸ πολὺ τῶν δριμέων ὑγρῶν δυναμένους. ἐπὶ δὲ τῶν λοιμωδῶν καὶ ἀνθρακωδῶν φλεβοτομίαν μὲν παραλαμβάνομεν εὐθὺς κατ᾽ ἀρχάς, τὰς δὲ ἀcιτίας οὐκέτι. φαυλοτέραν γὰρ τὴν ὕλην ἡ ἀcιτία ποιεῖ καὶ cυγκόπτει τὴν δύναμιν ἐπὶ τούτων, ἣν ἄθραυcτον βουλόμεθα τηρεῖν, ἐν πᾶcι μὲν πυρετοῖς, μάλιcτα δὲ ἐν τοῖς λοιμώδεcιν. εἰ μὲν οὖν ἐπιδέχοιντο οἱ τόποι, καταχρίειν τὰ ἐξανθήματα φαρμάκῳ παχεῖ διὰ ῥοδίνου καὶ ψιμυθίου καὶ λιβάνου καὶ οἴνου γλυκυτάτου ἢ λιθαργύρου καὶ μάννῃ μετὰ ῥοδίνου· τὰ δὲ ἄλλα μέρη κηρωτῇ καταλαμβανέcθω διὰ τῆς αὐτῆς ὕλης ἐcκευαcμένῃ. ἁρμόδιον δὲ ἐπ᾽ αὐτῶν καὶ πᾶcαι αἱ ἐπὶ τῶν πυρικαύcτων προcαγόμεναι. καὶ τὰ μὲν περὶ τὸ πρόcωπον ἐξανθήματα τοῖς διὰ θερμοῦ προcκλύcμαcι παρηγορήcομεν. τὰ δὲ ἐν λοιπῷ cώματι διὰ cπόγγων πυριατέον ἐπὶ πολὺ καὶ μάλιcτα τὰ κνηcμώδη. ἑρπηcτικῶν δὲ γιγνομένων τῶν ἑλκῶν καὶ ἀcβέcτου βραχὺ παραμικτέον· θαυμαcτῶς γὰρ ἀναξηραίνει καὶ τὸ

φ(P^a) χ(C^p P^x M^o) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t) Ἶcιν? *Deichgr.* 2 cμύρν.] ζιγγιβέρεως A^t *m. 1ª* S 5 ...όμεθα C^p M^o ω ....λλᾶcθαι M^o T ω 6 ὑμῖν C^p A ἡμῖν P^x *corr.* ὑμὴν *m. 2ª* S εἰ μείνῃ A^t ὁ *om.* P A^t 7 *ante* μωλωπ.: τὰ ω *supra scr.* T 8 ..λύει P^x ψ ω ὑποτραφ. ψ (*exc.* T) 9 ...λθῃ D P T S ἐπ...ῃ A 11 *post* μαλακ.: ὁμοῦ δὲ καὶ cεύτλου καὶ κριθ⟨ῶν⟩ καὶ ἐλαίου ζωμὸν P^x ...ρα M^o A^t *m. 1ª* S 12 τῶν *om.* ψ (*exc.* T) 15 ...ωμεν M^o P^x ...cομεν ψ (*exc.* T) 16 χόνδρον ψ 17 νίτρου ψ (*exc.* T) 18 *ante* περὶ: τὰ P^x D P εὐκρατεῖ A ...τοῖ D P ...τεῖ (οῖ) T κρατεῖ, *corr. m. 2ª* εὐκρατοῖ S 20 ...τμῆcαι φ χ T ω 22 *post* ἀρχὰς: καὶ (*om.* P^x) τὰς (τ. *om.* φ) λεπτὰς διαίτας φ P^x ἀcιτίας] ἀναcτάcεις C^p ω .ατάcεις P^x M^o ψ ἡ *om.* C^p M^o 24 βουλώμεθα *a correxi* 25 ...χονται D P 27 ...γύρω M^o D P καὶ μάννῃ μ. ῥοδ. *om.* A^t 28 ἁρμόδιαι *legendum?* 29 ἐπὶ] *in marg.* περὶ T περὶ A^t *om.* C^p 31 ...cωμεν M^o P^x ...cαμεν P cπόγγου (ων) T ...γου S 32 ..πητικῶν φ ..πυcτικῶν M^o D A^t 33 ξηραίν. T ω

νομῶδες αὐτῶν ἵστηcι. τὰ δὲ ἤδη νεμόμενα φακῷ ἑφθῷ μετὰ cιδίων καὶ μέλιτος ἢ ἀρνογλώccῳ ἢ πολυγόνῳ ἢ ῥοδίνῳ μετὰ ἄρτου καταπλάττειν. ἀγαθὸν δὲ καὶ τὸ αἴγειον γάλα διδόναι τοῖc τοιούτοιc χάριν τοῦ κατακερᾶcθαι τὴν φαυλότητα. δεῖ δὲ τὸ τέταρτον μέρος τοῦ γάλακτος μίξαντας ὕδατι καθέψειν ἅμα κινοῦντας cυνεχῶς, μέχρις ἥμιcυ λειφθῇ τοῦ παντός, ὅπως μήτε τυρωθὲν ἀποξυνθῇ μήτε πυρωθὲν κνιcωθῇ διὰ τὸν κατέχοντα πυρετόν. παρακμῆς δὲ γενομένης διὰ καθαρτηρίου φαρμάκου ἐπιτηδείου κενῶcαι τὰς ὕλας, μετέπειτα δὲ τὴν θηριακὴν ἀντίδοτον διδόναι ἢ τὴν Μιθριδάτειον ἢ ἄλλην τινὰ τῶν πρὸς τὰ θανάcιμα καὶ ἰοβόλα πεποιημένων ἀντιδότων. ἡ γὰρ τῶν χυμῶν ἰcχυρὰ τροπὴ κατὰ διαφθορὰν γιγνομένη ὁμοία δηλητηρίῳ φαρμάκῳ ἐcτί. γίγνεται δέ ποτε ἐξανθήματα ἱδρωτίοις ὅμοια περὶ τράχηλόν τε καὶ cτῆθος κατὰ τὰς ἀκμὰς τῶν πυρετῶν, ἅτινα λουτροῖc ὡς ἐπὶ τὸ πλεῖcτον καὶ γλυκυτέρᾳ διαίτῃ ῥᾷcτα θεραπεύεται. γίνεται δὲ ἐξανθήματα μεγάλα κατὰ χρόαν λευκά κνηcμὸν ὀλίγον ἐπιφέροντα, πλεονάζοντα ἔν τε μηροῖc καὶ γλουτοῖc πλευραῖc τε καὶ ἐπιγαcτρίῳ ὡς ἐπὶ τὸ πλεῖcτον, τὴν δὲ [κατ'] ἀρχὴν ἐκ πολλῆς καὶ ἀργῆς ὕλης λαμβάνει. ταῦτα δὲ cυνθεραπεύεται τῷ παντὶ cώματι, οὐδὲ γὰρ πάνυ τι χαλεπὴν ὑπογράφει τὴν νόcον, εἰ τῇ ὀλιγοcιτίᾳ χρήcεται. γιγνομένων δὲ τῶν κατὰ ταῦτα πυρετῶν ἐγκαυcτικῶν ἐπιτηδείως ἔχουcι πρὸς τὰς ἐν ταῖc ἀκμαῖc τῶν ἐπιcημαcιῶν ψυχροδοcίας ἀκμάcαντος τοῦ νοcήματος, εἰ μὴ τὰ cπλάγχνα εὐπαθῆ ἔχοιεν. γίγνεται δὲ ἐξανθήματα cτρογγύλα ἀνώμαλα ὑπόλευκα ἢ ὑπέρυθρα μετ' ἐπαναcτάcεως τῆς cαρκὸς ἢ ἰόνθοις τοῖc ἐν προcώπῳ παραπλήcια καὶ cκληρὰ κνηcμὸν πολὺν ἐμποιοῦντα, ὡς γίγνεcθαι ἀγρυπνίας αἴτια, προθυμίας αὐτοῖc παριcταμένης ἀπαύcτου πρὸς τὸ κνᾶcθαι. παρέπεται δὲ ταῦτα ἐκ τοῦ πλείcτου τοῖc διαλείπουcι πυρετοῖc καὶ χαλεπὴν οὐκ ἐμφαίνει τὴν νόcον· διόπερ ἐπιτρεπόντων μὲν τῶν καιρῶν ἐμβιβαcτέον εἰς ἐπιτεταμένον θερμόν, χρηcτέον δὲ καὶ τοῖc ἔξωθεν cυγχριcτοῖc, οἷον μυρcίνῳ ἢ cχινίνῳ μετὰ μυρcίνης ἢ μάννης ἢ κιμωλίας φρυκτῆς ἢ cτυπτηρίας ὑγρᾶς ἢ κυαμίνου ἀλεύρου ἢ cήcαμον λειοτριβήcας κατάχριε μετὰ βραχέος ὄξους. πρὸς δὲ τὰς τῶν κνηcμῶν ἐπείξεις πυριατέον ὠμολίνοις μάλιcτα ἢ

φ (P^a) χ (C^p P^x M^o) ψ (A D P T) [*m.* 2^a S] ω (S A^t) 1 δὲ] *supra scr.* μὲν T μὲν A^t *m.* 1^a S νεμ.] φαινόμενα T A^t 2 ....γλώccου ἢ ...γόνου P^x A D P ῥόδω C^p ..δων M^o ψ ω ...δίνου P^x 4 ...ράcαι M^o ψ (*exc.* T) A^t 5 ...ξαντα P^x A P μίcγοντας T S ὕδατος C^p M^o A T S ...νοῦντα φ C^p P^x *post* μέχρις: ἂν φ 6 ληφθῇ φ χ T ω ἀποξ.—πυρωθ. *om.* P^x ψ (*exc.* T) 7. 8 ....τικοῦ ψ (*exc.* T) *om.* φ 8 ἐπιτ. *om.* A P ἐπικεν. ψ (*exc.* T) 9 ....δάτου A T A^t ...θρι$^{\text{δτ}'}$ S 10 ..όλων T S ...ου M^o D A^t ...ίδοτον D A^t *m.* 1^a S 12—15 ἱδρωτ.—ἐξανθ. *om.* ψ A^t *m.* 1^a (*in marg. canc. sep. m.* 2^a) S 13 ἅτ.] ἃ φ 15 λευκὴν T S ἐπιφ.] περιέχοντα A^t πλεον. *om.* A^t 16 γλώττη ψ (*exc.* T) ...cτρίοις P^x T ω 17 τὸν P^x A^t κατ' *delevit Deichgraeber* 18 θεραπ. A^t 19 χρήcηται φ A D P A^t ....μένου δὲ κατὰ ταὐτὸν (κατ' αὐτὸν A κ. ταῦτα D) ....τοῦ ....κοῦ ψ (*exc.* T) 21 ....λουcίας A P 22 δὲ *om.* P^x M^o D T ω 23 ἢ *om.* P^x D 24 cκληρὸν A P *m.* 2^a S 25 ἐπιποιοῦνται A^t *m.* 1^a S 28 πρεπ. A^t 29 *in marg.* cυγχρίcμαcι T μυρcινίνω D P ἢ *om.* P^x T A^t μεταcχινίνω A^t μεταc. ἢ cχινίνω T 29. 30 μ. μυρc. *om.* A^t 30. 31 κυμ. φ T ω 31 ...cάμου φ P^x M^o 32 ...cτέον D P

διὰ cπόγγων ἐξ ὕδατος ζέοντος. εἰ δὲ ἑλκωθείη, χρηcτέον ταῖς ἐπὶ τῶν πυρικαύcτων κηρωταῖc καὶ μάλιcτα τῇ διὰ κριθῶν. τὰ δὲ πάνυ ἐξέρυθρα κάκιcτα, πονηρότερα δὲ τούτων τὰ πελιδνὰ καὶ μέλανα καὶ ἐξογκούμενα, ὅμοια ὄντα ταῖc ἐcτιγμέναιc capξί. πλεονάζοντα δὲ ἐν προcώπῳ καὶ θώρακι καὶ κοιλίᾳ καὶ πλευραῖc καὶ μεταφρένῳ, τοῖc τοιούτοιc οὐ δεῖ κατ᾽ ἀρχὰc ἐγχειρεῖν, ἀλλ᾽ ἀναβάλλεcθαι διαφόρωc. ἡ γὰρ ἀναφορὰ τῶν ἀποπτωμάτων ἐπὶ τὸν ἐγχειρήcαντα ἢ καὶ ὑποcχόμενον θεραπεύειν ἔcται. μένοντα δὲ ταῦτα μέχρι τῆc ἀκμῆc καὶ μὴ προβαίνοντα ἐπὶ τὸ κάκιον, οὐ δεῖ παρορᾶν παντάπαcιν, εἰ καὶ cπανίωc, ἀλλ᾽ οὖν γέ ποτε ὠφελήcαντα καὶ κατὰ καιρὸν ἕκαcτον προcάγειν καὶ μάλιcτα προcθετικῶc θεραπεύοντα. τὰ γὰρ ἐπὶ νεκρώcει τῆc ἐπιφανείαc ἐκ βάθουc γινόμενα, τί ἂν ἕτερον cημαίνοι ἢ τρόπον τινὰ ἐκφορούμενον ἔνδοθεν τὸ ζεῖν;

ρλδ Περὶ τρόμων ἐν πυρετοῖc ἐκ τῶν Ἡροδότου. γίγνονται ἐν πυρετοῖc κακοήθεcι τρόμοι· cυνίcτανται δὲ ἐκ φαύληc διαίτηc καὶ ψυχροῦ πόcεωc καὶ ὀξυκράτου καὶ οἴνου πλείονοc καὶ ἀφροδιcίων ἀμέτρων καὶ τῶν ὁμοίων. ἔcτω τοίνυν ἐπ᾽ αὐτῶν ἀποχὴ τῶν βλαψάντων, προcαγωγὴ δὲ τῶν ὠφελῆcαι δυναμένων. ἀνάγκη δὲ ὡc ἐπίπαν πεπονθέναι ἐπὶ πάντων τὸν νωτιαῖον. διὸ cκεπαcτέον τὴν ῥάχιν ὅλην καὶ τὰ πεπονθότα τῶν μερῶν ἐρίοιc βεβρεγμένοιc cικυωνίῳ ἢ γλευκίνῳ μᾶλλον ἢ κηρωτῇ ὑγροτέρᾳ διά τινοc τῶν τοιούτων cκευαcθείcῃ ἢ διὰ πηγανίνου ἐλαίου. ἐμβρεκτέον δὲ καὶ τὴν κεφαλὴν ἐν μὲν ταῖc πρώταιc ἡμέραιc ἐλαίῳ γλυκεῖ· εἰ δὲ μακρότερον γένοιτο τὸ νόcημα, ἀνηθίνῳ ἐν τοῖc διαλείμμαcιν, εἶτα προcβλητέον cικύαc ἀπὸ τοῦ πρώτου cπονδύλου μέχριc ὀcφύοc προκαταπλαccομένων τῶν μερῶν μετὰ τῶν ὑποχονδρίων, ᾧ μὴ λύcῃ. cκεπέcθω δὲ καὶ ταῦτα ἐρίοιc ἐκ παλαιοῦ ἐλαίου ἢ cικυωνίου. τροφὰc δὲ διδόναι ῥοφηματώδειc θερμάc. προνοητέον δὲ καὶ τοῦ εὔλυτον ποιεῖν τὴν κοιλίαν, ἐπιμενόντων ταύτῃ τῇ ἀγωγῇ, μέχρι μειώcεωc τῶν πυρετῶν ἢ λύcεωc. προβεβηκότων δὲ ἤδη τῶν χρόνων, εἰ ἐπιμένοιεν οἱ τρόμοι, κοινῷ τρόπῳ βοηθείαc τοῖc ἄλλωc γιγνομένοιc τρόμοιc ὑπακτέον, ἐμβιβάζονταc παρὰ μίαν εἰc ἔλαιον θερμόν, cυγχρίονταc δὲ πρὸ τῶν ἐμβάcεων καὶ μετὰ τὰc ἐμβάcειc cικυωνίῳ ἢ παλαιῷ ἐλαίῳ· ἐνίοτε δὲ καὶ καcτόριον τῷ ἀλείμματι

φ (P^a) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m. 2ª* S] ω (S A^t) 2 *post* κριθ.: καὶ παραπλήcια. ποίει δὲ καὶ ταύτην τὴν κηρωτὴν καὶ κατάχριε κτλ. P^a 4 ἐcφ. A P 6 διαφ. *usque ad fin. cap. om.* φ 7 ...ρίcαντα $C^p A^t$ καὶ *om.* P^x ψ (*exc.* T) *m. 2ª* S 8 ἔcτω P^x *om.* $M^o A^t$ *m. 1ª* S μὴ *om.* ψ (*exc.* T) 10 ὠφελήcειc εἰ ψ (*exc.* T) 10. 11 ...γαγεῖν χ ...γάγοιc D P ..cάγοιc A 11 προcεκτικῶc θεραπεύ͂ων ψ (*exc.* T) νεκρώcεωc ψ (*exc.* T) 12 ἂν *om.* P^x ψ (*exc.* T) cημαίνει P^x ψ ω 13 ...μενα P T S ζῆν C^p ψ ω 15. 16 ψυχρᾶc A^t 17 ἀπ᾽ ψ (*exc.* D) A^t βλαψόντων M^o 18 ἐπίπ. πεπ. *om.* $C^p M^o$ *ante* πεπ.: τῶν τοιούτων T *supra scr. m. 2ª* S 19 ἐπὶ πάντ. *om.* T *canc. seps. m. 2ª* S cκεπτέον A^t *m. 1ª* S 21. 22 πηγάνου A P 23 ...ηται ψ (*exc.* T) *in marg.* γένοιτο T ....θίνου T ω 24 προcακτέον A^t *m. 1ª* S 26 ..cει $C^p M^o$ A D P ...πάcθω M^o ....πτέcθω A 29 *ante* λύcεωc: τῆc χ A D P S ἤδη *post* χρόνων *transp.* P^x D *om.* A P 30 *post* εἰ: δὴ A P 31 ..ζοντεc T *m. 2ª* S ....ντα A *m. 1ª* S 32 cυγχρίοντε A ...ντα P χρίονταc P^x

προcπλεκτέον. ἐπιμενόντων δὲ τῶν ἀλγημάτων καὶ ποτιςτέον τὸ καςτόριον καὶ ἐπιρριπτέον κηρωτὴν δι' αὐτοῦ ἐcκευαcμένην καὶ τοῖc κοινοῖc πρὸc τὰc παρέcειc ἀλείμμαcι χρηcτέον.

Περὶ cπαcμῶν ἐν πυρετοῖc Γαληνοῦ. οἱ cπαcμοὶ τὰ πολλὰ γίγνονται διά τε πλήρωcιν τῶν νευρωδῶν μορίων, ᾧ λόγῳ καὶ τοῖc φλεγ- ρλε μαίνουcιν ἰcχυρῶc ἕπονται, καὶ προcέτι διὰ δακνώδη χυμὸν λεπτὸν ἀναβιβρώcκοντα τὰ νευρώδη μόρια καὶ διὰ ψῦξιν ἰcχυρὰν ὅμοιόν τι τῇ πήξει δρῶcαν· γίνεται δὲ καὶ δι' ὑπερβάλλουcαν ξηρότητα, ἕπεται δὲ μάλιcτα καὶ ταῖc ὀλεθρίαιc φρενίτιcι διά τε τὸ cφοδρὸν τοῦ πυρετοῦ καὶ διὰ τὰc ἐπιτεταμέναc καὶ ἀγριωτέραc κινήcειc. καὶ cωθέντα τινὰ τῶν οὕτω cπαcθέντων οὔτ' αὐτὸc εἶδον οὔτ' ἄλλου λέγοντοc ἤκουcα. οἱ μὲν οὖν προειρημένοι τρεῖc cπαcμοὶ θεραπεύονται πολλάκιc, ἀνίατοc δὲ ὁ διὰ ξηρότητα τῶν νευρωδῶν μορίων γιγνόμενοc. ἐνίοτε δὲ ἐν τῷ cτόματι τῆc γαcτρὸc ἀθροιcθεὶc χυμὸc λεπτὸc καὶ δριμὺc καὶ μάλιcτα ἰώδηc cπαcμοὺc εὐτόνουc καὶ cυγκοπτικοὺc ἐπιφέρει, ὡc νοτίδαc γίγνεcθαι ψυχράc· ἐπὶ τούτων ⟨δὲ⟩ χλιαρὸν ποτίcαντεc ὕδωρ, δακτύλων ἢ πτερῶν καθέcει ἔμετον κινήcομεν. εἰ δὲ περὶ τὰ ἔντερα ἡ αἴcθηcιc τῆc δήξεωc γένοιτο, ἐνιέναι μὲν διὰ κλυcτῆροc πτιccάνηc χυλόν, διδόναι δὲ τροφὰc δυcφθάρτουc, οἷον χόνδρον ἄλικοc μετὰ κόκκων ῥοιᾶc καὶ τὰ παραπλήcια. μηδενὸc δὲ τοιούτου γενομένου τοὺc μὲν καθ' ὅλον τὸ cῶμα γιγνομένουc cπαcμοὺc ἐμφερῶc τοῖc τετανικοῖc θεραπεύcομεν, τοὺc δὲ κατὰ μέροc, πρῶτον μὲν διακρατεῖν τὰ cυνελκόμενα τῶν μερῶν πειθηνίωc, ταῖc ἀπ' αὐτῶν ὀδύναιc ἀντιβαίνοντεc, ἀνατριπτέον δὲ μαλακῶc ἐλαίῳ cικυωνίῳ ἢ παλαιῷ τεθερμαcμένῳ. εἰ δ' ἐπιμένοι καὶ καcτόριον παραπλεκτέον καὶ τοῖc λοιποῖc ἀνετικοῖc χρηcτέον cυγχρίcμαcι. τοὺc δὲ ἐπὶ ξηρότητι μᾶλλον cπωμένουc

4—19 οἱ cπαcμοὶ — δυcφθάρτουc *Gal. meth. med. XII 8 (X 872, 9—13. 2—9, 13—15, 870, 18—871, 18 [breviata])* 8. 9 γίνεται δὲ — φρενίτιcι *Gal. de trem. palp. etc. 8 (VII 641, 6—10)*

φ (P^a) χ ($C^p P^x M^o$) ψ (A D P T) [*m.* 2ª S] ω (S A^t) 2 ...ρίπτειν T ω ...ωτῇ T ω ...μένῃ T ω 3 *post* χρηcτ.: τὰ λείποντα ἐν τῇ ἀπολυτῇ τετράδι $C^p M^o$ οἷον τὸ cικυώνιον ἔλαιον οὗ προεγράφη ἐν τῷ κεφαλαίῳ τῷ εἰρημένῳ, ἀλλ' ἐπὶ τὴν θεραπείαν κτλ. P^x Cκευαcία ὠμῆc λύcεωc. ὠμὴ λύcιc cκευάζεται (ἐcτὶν A) ἀπὸ κριθίνου ἀλεύρου καὶ τηλίνου καὶ λινοcπέρμου ἀλεύρου (ἀλ. *om.* T) μετὰ cιραίου ἑψηθέντων καὶ κρόκων ὠῶν β̄ ἢ τριῶν ἐμβληθέντων. ποτὲ δὲ (δὲ *om.* A P S) καὶ cπέρμα cελίνου τινὲc ἐπιτιθέαcιν, ὅτε πνευμάτων πλῆθόc ἐcτι, ποτὲ δὲ (μὲν A P T S) τὸ ἄλευρον τῶν τριῶν μετὰ τοῦ ἑψήματοc εἰc τραύλιον ἑψεῖται, ἄχριc (μέχρι T S) ἂν γένηται κολλῶδεc ψ *m.* 2ª S 4 *ante* Γαλ.: ἐκ τῶν T ω 9 ...θρίοιc $C^p P^x$ S 10 διὰ *om.* ψ (*exc.* T) 11 οὕτωc φ $P^x A^t$ *m.* 1ª S παθόντων $C^p P^x$ A D P 14 χυμ. ἀθρ. *transp.* P^x ψ (*exc.* T) 16 δὲ *addidi* 17 ...cωμεν $M^o P^x$ 18 αἴcθ.] ἔνδειξιc P^x A P *m.* 2ª S ἔνδ. *supra scr.* αἴcθ. T γίγνεται $P^x A^t$ ...νοιτο A D P γένοιτο, *supra scr.* γίγνεται T ἐνιέμεναι μὲν P^x ἐνίεμεν (*om.* μὲν) T A^t πτιcάνην μέλο^χ μέλι^τ ἴα ἄνηθον καὶ ἄνιcον κτλ. P^x 20 ῥοιᾶc (ῥοᾶc $C^p P^x M^o$) *om.* A P γιγνομ. $P^x M^o$ ψ ω 22 ....cωμεν $P^x M^o$ T ω τοῖc D P τὰc φ A ω 23 ἐπ' A^t ἐπ', *supra scr.* ἀπ' T 23. 24 ....νταc A ...τα D P 24 ἢ *om.* P^x T ω 25 ἐπιμένει P^x A 26 τοῦ ψ (*exc.* T) μᾶλλον cπωμ. *post* πυρετοῦ P^x *om.* ψ (*exc.* T)

διὰ τὴν βίαν τοῦ πυρετοῦ καὶ μάλιστα παραφροσύνης παρούσης λουστέον τὴν κεφαλὴν πολλῷ θερμῷ ὕδατι γλυκεῖ εὐκράτῳ καὶ τὰς χεῖρας δὲ καὶ τοὺς πόδας καταντλητέον πολλῷ τῷ θερμῷ, ἔπειτα ἐλαίῳ γλυκεῖ τεθερμασμένῳ τὴν κεφαλὴν ἐμβρέχοντας καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐπαλείψαντας, θάλπειν περιβολαίοις καὶ ἡσυχίαν ἐμποιεῖν. πλήθους δὲ αἵματος ὑποκειμένου καὶ τὸν σπασμὸν ἐπάγοντος φλεβοτομητέον, ἔπειτα σικυαστέον μετὰ κατασχασμοῦ. σκελῶν μὲν συνελκομένων, τῷ ὑστάτῳ σπονδύλῳ προσβαλεῖν τὴν σικύαν· χειρῶν δὲ σπωμένων τῷ ἑβδόμῳ σπονδύλῳ καὶ τῷ ὑποκειμένῳ τῷ τοῦ ὤμου ἄρθρῳ τὴν σικύαν προσβαλεῖν. εἰ δὲ ὅλου τοῦ σώματος ἀπαθοῦς ὄντος, συνέλκοι τὸ χεῖλος ἢ βλέφαρον, χαλεπὸν ἡγητέον τὸ σύμπτωμα. τὰς δὲ ἀφαιρέσεις ἐπὶ τούτων ἀπὸ τοῦ ἰνίου καὶ τῶν πρώτων δύο σπονδύλων ποιητέον, ἐμβρέχοντας τὴν κεφαλὴν ἀνηθίνῳ ἐλαίῳ θερμῷ. ἤδη δὲ καιροῦ φανέντος τῶν λουτρῶν λουστέον καὶ ἐφ' ὑδροποσίας ἔτι φυλακτέον. εἰ δὲ οἴνου δόσεως ἀνάγκη γένοιτο, ὀλίγον προσοιστέον τοῦ ὑδατώδους οἴνου.

ρλϛ Περὶ ἡδέων καὶ χρησίμων πομάτων ἐν πυρετοῖς ἐκ τῶν Φιλαγρίου. διπλῆ ἰσχὺς καὶ θαυμασία ἅμα βοηθήματος, ὃ καὶ τῇ φύσει διὰ τὴν ἡδονὴν ὑπάρχει φίλον. δεξαμένη γὰρ ἡ γαστὴρ τὸ προσηνὲς ὂν αὐτῇ, περισταλεῖσα κρατεῖ καὶ πέττει καλῶς εἰς δύναμιν καὶ μάλιστα ἂν ᾖ καὶ κατὰ τὸ ποσὸν σύμμετρον· ἐγείρει τε ἑαυτῆς ἡ φύσις ἀναζυπυροῦσα τὰς ἐνεργείας τεταλαιπωρημένας πολλάκις ὑπὸ τῆς ἀγριότητος τῶν παθῶν, ἀπομάχεταί τε τῷ νοσήματι κατὰ διττὸν τρόπον, αὐτό τε κολάζουσα τὸ κακὸν ἄντικρυς τῇ τῆς ἐναντιότητος φύσει, τάς τε διοικούσας τὸ ζῷον παραμυθουμένη τε καὶ ἐξεγείρουσα δυνάμεις, κατισχύειν τε παρεχομένη τοῦ νοσήματος. ἅπαντες μὲν οὖν ἄνθρωποι ὡς ἐπὶ τὸ πολὺ τοῖς γλυκέσι χαίρουσι ποτοῖς καὶ μάλιστα ἂν τύχῃ συμμιγῆ στύψει καὶ θερμασίᾳ καί τισιν ὁμογένεσι ποιότησιν, οἷός πέρ ἐστιν ὁ γλυκὺς οἶνος καὶ τὸ οἰνόμελι· ἀλλὰ ταῦτα οὐ πάνυ ῥᾴδιον παρέχειν ἐν πυρε-

6 πλήθους δὲ αἵματος κτλ. *cf. Gal. de venae sect. adv. Erasistrat. 5 (XI, 166, 11—12)* 27—29 καὶ μάλιστα ἂν τύχῃ — οἰνόμελι *cf. Or.^{c} V 17 (I 131, 23sqq.) 19 (ib. 134, 20sqq.)*

φ(P^a) χ(C^p P^x M^o) ψ(A D P T) [*m. 2ª* S] ω(S A^t) 1. 2 καταπλουστέον ψ (*exc.* T) 3 τῷ *om.* P^x ψ (*exc.* T) 4. 5 ...χοντα ....ψαντα P^x A 6 ἐγκειμ. C^p διακειμ. A^t 8 προσβάλλειν M^o T A^t τὴν *om.* ψ (*exc.* T) 9 τοῦ ....μένου C^p τῷ (ὁ) ....μένῳ (ον) T 10 ἄρθρον (ω) T ...ον S προσβάλλειν M^o T ω 11 συνέλκει P^x P S ..η A^t 13 ...θίνῳ (ου) ....ίου (ω) ...μοῦ (ῶ) T ...θίνου ...ίου ...μοῦ S 14 ἐφ' (ἐπὶ C^p P^x A) *om.* φ P *add. in marg.* D 15 ἀνάγχη] χρεία C^p T ω ...νηται φ P^x 17 Φιλουμένου T ω 18 ἅμα *post* ἰσχὺς C^p M^o τῷ βοηθήματι ψ (*exc.* T) ...ματα φ A^t *ante* ὅ: ἐστιν ψ (*exc.* T) 19 ὂν] ἐν C^p M^o A^t *m. 1ª* S 20 εἴη ψ (*exc.* T) 21 ...ρει τε] ...ρηται C^p ...ρεται *corr.* ...ρει *m. 2ª ut vid.* S ...ρεται P^x T A^t ...τὴν A D P *m. 2ª* S ...τῇ T 22 *ante* τὰς: καὶ A^t ταλαιπωρησαμένας T S 23 τε *om.* C^p P^x A^t *m. 1ª* S τε *alt.*] δὲ A^t *m. 1ª* S 24 τε] δὲ M^o T ω 26 οὖν] γὰρ P^x A D P 28 ποιότητος T A^t *m. 1ª* S 29 πάνυ οὐ S πάνυ *om.* C^p παρέχειν ῥᾴδιον C^p ἐν πυρ. παρέχ. A^t

τοῖς, τὰ δ᾽ ἄλλα τὰ λεχθησόμενα νῦν πόματα, κἂν εἰ συχνῆς χρήζοι τῆς ἀκριβείας, ἀλλ᾽ ἀπολιμπανομένης τε τῶν εἰρημένων.

Περὶ τοῦ διὰ τῶν κωδιῶν Γαληνοῦ. προχειριστέον δὲ τὸ διὰ τῶν ρλζ
κωδιῶν φάρμακον, ἄριστον μὲν πιεῖν ἡδονῆς χάριν, ἄριστον δὲ ἐπὶ θερμῶν καὶ μεγάλων ἰσχῦσαι παθῶν τῶν περὶ σπλάγχνα συνισταμένων ὅλον τε καταλαμβανόντων τὸ σῶμα ἐπὶ τῶν πυρεττόντων καὶ χολερικῶν παθῶν ὅσοι τε παρανοίαις ἐν πυρετοῖς καὶ ἀγρυπνίαις καταπονοῦνται, καὶ βηξὶ πυκναῖς διὰ λεπτὸν ῥεῦμα γιγνομέναις ἐκ κεφαλῆς θερμοτέρας εἰς τὸν θώρακα καταρρέον ὀνίνησι μεγάλως. ἔχει δὲ ἡ σκευασία οὕτως· κωδίας μήκωνος σὺν τῷ σπέρματι ῑ συμμέτρους τῷ μεγέθει· νεαρὰς μὲν μήτε πάνυ μαλακὰς μήτε σκληρὰς ταύτας βρέχειν δεῖ ὕδατι ὀμβρίῳ ξέστῃ ἑνὶ καλλίστῳ ἡμέραν καὶ νύκτα, ἔπειτα ἕψειν ἀκάπνῳ πυρί, μέχρι δοκιμάζοντί σοι τακεραὶ φαίνονται, εἶτα ἐκθλίψας τὸ ὑγρὸν καὶ διηθήσας ῥάκει ἀραιοτέρῳ μίσγε μέλιτος καλλίστου ἀπηφρισμένου τὸ ἥμισυ μέτρον τοῦ ὕδατος καὶ ἕψε κινῶν μέχρι συστάσεως Ἀττικοῦ μέλιτος. καὶ διὰ γλυκέος δὲ Κρητικοῦ ἢ δι᾽ ἑψήματος κάλλιον αὐτὸ ἀντὶ τοῦ μέλιτος σκευάζεσθαι, ὅταν ᾖ τὸ ῥεῦμα πάνυ λεπτόν· μίγνυμι δὲ ἐνίοτε ἑψομένῳ τούτῳ τῷ φαρμάκῳ καὶ γλυκυρίζης ῥίζαν, ὡς συνεψηθῆναι ταῖς κωδίαις· εἰ δὲ μὴ παρείη αὕτη, τὸν χυλὸν αὐτῆς ξηρὸν ἐμβάλλειν· ἐὰν δὲ περιέχηται κατὰ τὸν πνεύμονα κατερρυηκὸς ὑγρὸν ἀναγωγῆς δεόμενον, βέλτιον διὰ μέλιτος αὐτὸ σκευάζειν· ἡ δὲ σύμμετρος δόσις ἔστω δυοῖν κοχλιαρίων· αὐξήσεις δὲ καὶ μειώσεις τὸ πλῆθος ἀποβλέπων εἴς τε τὸ τοῦ σώματος μέγεθος, ᾧ προσφέρεις, καὶ τὴν ἡλικίαν καὶ τὴν ὥραν τοῦ ἔτους καὶ τὸ χωρίον. ἐν ἅπασι γὰρ

9—12 ἔχει—ξέστῃ ἑνὶ *Gal. de comp. med. sec. loc. VII 2 (XIII 43, 6—9, 15—16) cf. Or.*[e] *IV 134 (495, 20, 23—31)* 9—*p. 114, 3* ἔχει—δώσεις *Or.*[e] *V 18 (I 132, 15—19, 26—32, 133, 6—8, 10—12, 18—24)* 14—21 μίσγε—σκευάζειν *cf. Gal. ib. (ib. 46, 1—4, 7—11)* 18 μίγνυμι—ῥίζαν | 20—*p. 114, 3* ἐὰν δὲ—δώσεις *Or.*[e] *IV 134 (496, 3—5. 8—13)* 21—*p. 114, 3* ἡ δὲ σύμμετρος—δώσεις *Gal. de comp. med. sec. loc. VII 2 (XIII, 47, 1—8)*

φ (P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A D P T) [*m.* 2^{a} S] ω (S A^{t}) 1 τὰ *pr.*] τὸ φ C^{p} P^{x} A P T S *post* πόματα: ἐπὶ τοῖς συνεχέσιν πυρετοῖς τε καὶ καυσώδεσι P^{x} χρήζει A D A^{t} -η P 2 τε *om.* φ P^{x} A P *post* εἰρημένων: σαφῶς καὶ ἀκριβ⟨ῶς⟩ πάντα τὰ διειρημένα κατ᾽ ἀκρίβειαν διωρίσαμεν πάντως ἐν ϛ′ (*l.* ἐν οἷς?) τὴν θεραπείαν καὶ τὴν σύνθεσιν εἰρήκαμεν, *cetera huius libri om.* P^{x} 3 τοῦ] τῆς A D P τῶν *pr. om.* φ D P Γαληνοῦ] ἀντιδότου A D P *om.* φ χ τὸ *om.* A τῶν *alt. om.* D P 4 ποιεῖν φ M^{o} A^{t} *m.* 1^{a} S 5 *post* τῶν: τε A D P *post* περὶ: τὰ A D P *supra scr. m.* 2^{a} S σπλάγχνων A^{t} *post* συνιστ.: παθῶν *add.* A^{t} *m.* 1^{a} S 6 *ante* ὅλον: καὶ τῶν A D P τε *om.* A D P *post* σῶμα: ὡς A D P 7 παραν. *in marg.* παροινίαις T 8 βὴξ πυκνὴ ἐνοχλεῖ A D P γενομένης A ....όμενον D P 11 μήτε *pr.*] μὴ A D *post* μήτε *pr.*: δὲ φ χ, *id. post* πάνυ *transp* A D P βρέχειν ταύτας *transp.* A^{t} 12 δεῖ] δι᾽ A^{t} *om.* φ ὕδατος ὀμβρίου φ A^{t} ξέστην ἕνα χ S ξε ϛ′ ᾱ C P ξε′ ᾱ A^{t} καλλίστῳ *om.* D P νύκτα κ. ἡμέραν T ω 13 ...ζοντα A ...ζον τ P σοι *om.* A P τακηρὰ A P ...αὶ D ..ερὰ φ A^{t} 14 σμίγε T S *ante* μέλ.: μετὰ A μέλιτι ....στω ...σμένω D P 15 ἥμισυ *om.* T ω *post* ὕδατος: ἥμισυ μέρος T ω καὶ ἕ. κ.] κινῶν δὲ ἕψε A D P 17 σκευάζειν A D P *ante* λεπτὸν: τὸ *Ald.* 18 μίγνυμεν A D P ἑψημένω D P A^{t} 20 εἰ A^{t} περιεχεται A ω 22 δὲ *om.* A^{t} 23 τὸ *om.* T ω νοσήματος A D P 24 *post* ἅπασι: μὲν T ω

τούτοις ἐπὶ μὲν τὸ ψυχρότερον ῥέπουσι δώσεις ἐλάχιστον, ἐπὶ δὲ τὸ θερμότερον πλεῖον, καὶ πρὸς δὲ καὶ τὸ τοῦ κατάρρου ποσόν τε καὶ ποιὸν ἀποβλέπων ἢ πλέον ἢ ἔλαττον δώσεις. τοῦ δὲ διὰ τῶν Θηβαϊκῶν κωδιῶν σκευαζομένου ἡ τελειοτάτη δόσις ἐστὶν Γ° ᾱ. τοιαύτη μὲν ἡ παρὰ Γαληνῷ γραφὴ τοῦ φαρμάκου, ἐγὼ δὲ διὰ παντὸς τῷ διὰ γλυκέος ἐσκευασμένῳ διατελῶ χρώμενος, ποτὲ μὲν μέλιτος προσπλέκων τῇ δόσει, ποτὲ δὲ ὀξυμέλιτος ἢ ῥοδομέλιτος ἢ ὀμφακομέλιτος ἤ τινος ἑτέρου τῶν ἄλλων φαρμάκων ἡπατικῶν ἢ σπληνικῶν ἢ στομαχικῶν καὶ μεταποιῶν αὐτοῦ τὴν δύναμιν πρὸς τὴν παροῦσαν ἑκάστοτε διάθεσιν. παρέχω δὲ αὐτὸ οὐ μόνον τοῖς ὕπνου δεομένοις εἰς ἑσπέραν καὶ πρὸς βῆχα, ἀλλὰ καὶ μαινομένοις μετὰ τὴν φλεβοτομίαν καὶ πυρέττουσι σφοδρῶς καὶ διακαιομένοις ἀφορήτως τὸ στόμα τῆς γαστρός, ἐρυσιπέλατί τε καὶ ἄλλως θερμῷ παθήματι καὶ θώρακι καὶ πνεύμονι ὁμοίως κάμνοντι ἥπατί τε καὶ ἐντέροις καὶ μεσαραίῳ καὶ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δεύτερον καὶ οὐκ ἐν ἀκμῇ μόνον τῶν πυρετῶν, ἀλλ᾽ ἤδη καὶ πρὸ τῆς ἀκμῆς καὶ τῆς ἐναργοῦς πέψεως, ἐφ᾽ ὧν ἀγρυπνία τις καὶ θερμασία δριμεῖα καὶ μεγάλη καταπονεῖ τὸν ἄνθρωπον. βέλτιον δὲ ἅπερ ἔπραξα μυριάκις δηλῶσαι παρέχων τὸ διὰ τῶν κωδιῶν φάρμακον· ἐπί τε τῶν ἐπὶ σήψει πυρετῶν πρὸ τῆς ἀκμῆς τοῦ νοσήματος καὶ τῶν ἐπ᾽ ἐμφράξει ἥπατος ἢ σπληνὸς ἢ πνεύμονος ἀνακοπτομένων ὀξύμελι τὸ ἁπλοῦν μίγνυμι τῇ δόσει, κατὰ δὲ τὰς ἀκμὰς τῶν πυρετῶν ὀμφακόμελι ἢ ῥοδόμελι προσπλέκων· ἐπὶ μὲν τῶν ἀραιοτέρων σωμάτων καὶ στόμα κοιλίας ἀσθενέστερον καὶ ἀνόρεκτον ἐχόντων τὸ ὀμφακόμελι· τοῖς δὲ γλυκυπόταις καὶ τοῖς κατὰ κοιλίαν ἔχουσι φαρμακῶδές τι ὑγρὸν ἢ χολῶδες τὸ ῥοδόμελι. ταῦτα μὲν οὖν ἐπὶ τῶν πυρεκτικῶν παθῶν. στραγγουρίας δὲ τὰς ἐπὶ δριμύτητι τῶν οὔρων γιγνομένας καταστέλλει μεγάλως καὶ μάλιστα ἐν βαλανείῳ καὶ πρὸ βαλανείου μέλλουσιν εἰσιέναι διδόμενον δαψιλές, ἐφ᾽ ὧν καὶ τὴν δίαιταν ἁδροτέραν τε καὶ εὐχυμοτέραν εἶναι κελεύομεν, καὶ ἐπὶ νεφριτικῶν καὶ ψοῶν θερμοτέρων τὸ κράτος τῆς ἰάσεως ἔχει. ἐπὶ δὲ τῶν τῷ διαβήτῃ πάθει καμνόντων καὶ ἐπὶ χολερικῶν δίδου κεράσας ψυχρῷ καὶ μᾶλλον ἐπὶ τῶν θερμοτέρων κράσεων. δεῖ δὲ ἐπὶ τῆς χολέρας ῥωννύναι τὴν ἕξιν ἔξωθεν διὰ τῶν στυφουσῶν ἐμβροχῶν καὶ τῶν ὁμοίων καὶ οὕτως διδόναι τὸ φάρμακον σὺν ὀμφακομέλιτι θερμῷ κεράσας· θώρακα δὲ πεπληρωμένον

φ(P^a) χ(C^p M^o) ψ(ADPT) [*m. 2^a* S] ω(S A^t) 1 *in marg.* ὅρα περὶ τὴν σύμμετρον δόσιν τῆς διὰ κωδιῶν καὶ ἐπὶ τίνων ἐστὶν ἁρμόδιος T 2 πλείονα χ T ω δὲ καὶ *om.* φ C^p καὶ *alt. om.* ADP τε *om.* ADP 3 πλεῖον ADP δὲ *om.* TS 4 τελεία AD 5 Γαληνοῦ A^t 7 ἢ ῥοδ. ἢ ὀμφ. *om.* AP ἢ ῥοδ. ἢ] ἄλλοτε δὲ C^p ἄλλο δὲ M^o ἢ ὀμφ. *om.* φ *post* ὀμφακ.] ἢ ῥοδομ. χ 9 παρέχων T A^t παρέχεται φ 12 τὸ *om.* AP τῆς *om.* C^p AP 13 ἄλλω ADP 14 τε *om.* χ T ω καὶ μεσ. κ. ἐντ. *transp.* φ 15 καὶ πρὸ] ἀπὸ A 17 καὶ] ἢ M^o A^t *m. 1^a* S *om.* φ ὅπερ DP 18 παρέχω γοῦν A 20 ἀναπτομένων M^o ψ S ὀξυμέλιτος ἁπλοῦν AP 21 ὀμφακομέλιτος ἢ ῥοδομέλιτος ADP 22 προσπλέκω DP ἀραιοπόρων A^t ...τέρων T, *in marg.* ...πόρων T 23 τοῦ ὀμφακομέλιτος A 25 τοῦ ῥοδομέλιτος A οὖν *om.* χ DPT ω 26 δὲ] καὶ A δριμύτητας A^t 27 πρὸς βαλανεῖον AP 30 κράτος] κῦρος C^p ADP 31 ψυχρὸν T ω 32 ῥωννύειν ADP 33 στυφόντων χ T ω οὕτω M^o A^t 34 κεράσαντας A ...τα DP ...ρωμένων M^o TS

ὑγρῶν κενῶcαι βουλόμενος διὰ βηχὸς ὀξύμελι τὸ ποικίλον προςπλέξας τῇ δόcει δίδου θερμῷ κεράcαc.

Ὀμφακομέλιτος cκευαcία. βότρυας ὄμφακος προςήκει λαβεῖν ἀρχὴν ρλη
ἔχοντας τοῦ πέττεcθαι, κἄπειτα ἐν οἰκήματι ἁπλῶcαι τὴν κρᾶcιν cυμμέτρῳ δύο ἢ τρεῖc ἡμέρας, εἶτα μαρανθέντων αὐτῶν ἐκθλίβειν καὶ εἰc ἀγγεῖον ὑέλινον δέχεcθαι τὸ ὑγρὸν μίξαντάς τε καλοῦ μέλιτος ἀπηφριcμένου μέρος ἓν πρὸς τρία μέρη τοῦ χυλοῦ τιθέναι ἐν ἡλίῳ ἡμέρας τινάς, μέχρι περ ἂν καταcτῇ ζέον, κἄπειτα ἐν ὑπερῴῳ οἴκῳ φυλάττειν ἄcηπτον τὸ ποτόν. αὕτη δὲ ἡ cυμμετρία ἔcτω cοι κανὼν ἐπί τοῦ ἀρίcτου μέλιτος καὶ τοῦ καλλίcτου χυλοῦ τῶν ὀμφάκων. αὐξήcειc δὲ καὶ μειώcειc τὴν ποcότητα τοῦ μέλιτος πρὸς τὴν λεπτότητα ἢ παχύτητα τοῦ χυλοῦ. κέχρημαι δὲ αὐτῷ ἐπὶ τῶν λεπτῶν καὶ χρονίων κατὰ τὴν γαcτέρα ῥευμάτων ἐπὶ θερμαῖc διαθέcεcι γιγνομένων καὶ τοῖc ἀνόρεκτον ἔχουcι τὸ cτόμα τῆc κοιλίας διὰ θερμότητα καὶ τοῖc καθυγραινομένοιc τὸν cτόμαχον μετὰ τὸ δι' ἐμέτων κενῶcαι τὴν γαcτέρα καὶ ἐπὶ τῶν κιττωcῶν γυναικῶν καὶ τῶν γῆν ἢ ἄνθρακας ἢ ἕτερά τινα ἀλλόκοτα ἐcθιόντων, προκαθάρας τῇ δι' ἀλόηc πικρᾷ δίδωμι τὸ ὀμφακόμελι· ἀγαθὸν δὲ κἀπὶ τῶν cυγκοπτομένων δι' ἀcθένειαν τοῦ cτόματος τῆc γαcτρὸc κἀπὶ τῶν δι' ὑπερβάλλουcαν κένωcιν τῆc γαcτρὸc λειποθυμούντων.

Ῥοδομέλιτος cκευαcία. τὸ δὲ ῥοδόμελι τρία μὲν λαμβάνει μέρη τοῦ ρλθ
χυλοῦ διηθημένου τῶν ἐξωνυχιcμένων ῥόδων καὶ μέλιτος μέρος ἕν. ἕψεται δὲ ἐν ἡλίῳ θερμῷ τιθέμενον ἐπὶ πλείουc ἡμέρας τὸν αὐτὸν τρόπον τῷ ὀμφακομέλιτι καὶ μετὰ ταῦτα ἀποτίθεται. εἰ δὲ ταραχώδηc εἴη ὁ ἀήρ, ὅτε τὸ ῥοδόμελι cκευάζειc, ἢ ψυχρότερος, μίξας τὸ κάλλιcτον μέλι τῷ χυλῷ τῶν ῥόδων καὶ διηθήcας διὰ ῥάκουc ἀραιοῦ ἕψε ἐπὶ μαλακῶν ἀνθράκων, ἕωc τὸ τέταρτον μέρος τοῦ χυλοῦ ἀναλώcῃc ἢ τὸ τρίτον, καὶ οὕτωc ἀναλαβών, ὡc εἴρηται, φύλαττε· καὶ ὅταν θερμότερον ἴδῃc τὸν ἀέρα, ἡλίαζε ὡc τὸ ὀμφακόμελι. cτύφει μὲν οὖν

3—9 Ὀμφακομέλιτος — ποτόν. | 12—14 ἐπὶ τῶν λεπτῶν — καθυγραινομένοιc *Or.*[c] *V 21 (I 136, 13—24, 26—29 [ex Philagrio])* 18—20 ἀγαθὸν — λειποθυμούντων *cf. Or.*[c] *ib. (137, 2 sqq.)* 21—24 Ῥοδομέλιτος — ὀμφακομέλιτι *Or.*[c] *ib. (ib. 31—138, 1)* 29—*p. 116, 4* cτύφει — ῥεύματος *Or.*[c] *ib. (138, 1—3)*

φ(P[a]) χ(C[p] M[o]) ψ(A D P T) [*m. 2*[a] S] ω(S A[t]) 1 τῷ ποικίλῳ T ω 2 θερμὸν A[t] 3 ὄμφακας A D P *m. 2*[a] S 4 *verbis* τὴν κρᾶcιν cυμμέτρῳ *explicit liber* D cυμ. τ. κρ. *transp.* M[o] 5 μαρανθέντας, *om.* αὐτῶν P[a] 6 ὑελοῦν α *exc.* P[a] T 6. 7 δέχ. — μέρος *om.* A[t] μίξαντεc T ω ...αντα C[p] A P ...οντα M[o] 9 τὸν τόπον ἔχοντι A P ἐcτὶ S cοι *om.* A P 11 ἢ] καὶ A 12 κεχρῆcθαι T ω χρονίωc T S 13 τὴν *om.* χ T ω 16 κυουcῶν A[t] *post* γυναικῶν: ἢ κυουcῶν καὶ τῶν παιδίων M[o] *ante* τῶν *alt.*: ἐπὶ C[p] A P 17 καθάρας A[t] 18. 19 τῶν cυγκοπτ. — κἀπὶ τῶν *om. Ald.* 21 δὲ] μὲν A[t] *om.* φ τρία μέρη μ. λαμβ. A[t] 22 διηθουμένου M[o] T A[t] 23 ἑψεῖται A P 25 ὁ ἀὴρ εἴη T ω cκευάcειc A P ...ζειc (c) *supra scr. m. 2*[a] S ...άζεται φ 26 ἕψει P ..αι T S 27 ἕωc — ἀναλαβών *om.* A T *post* ἕωc: ἂν P[a] 27 ...λώc (c) P[a] S ...cειc A P A[t] 28 *post* ἢ: καὶ χ φυλάττων P ...όμενον A

ἠρέμα καὶ διὰ τοῦτο ψύχειν δύναται· ἔχει δέ τι καὶ ῥυπτικὸν ἐκ τοῦ μέλιτος, κέκτηται δὲ καί τι ὑπόπικρον καὶ ἠπίως δριμύ· διὸ καὶ στόματι μὲν ἁρμόδιόν ἐστι θερμήν τινα φλεγμονὴν δεδεγμένῳ δι' ἐπιρροὴν θερμοῦ ῥεύματος κἀπὶ τῶν ἐν γαστρὶ δριμέων καὶ χολωδῶν ῥευμάτων, προεμεσάντων δηλονότι τῶν πασχόντων. προσάγομεν δὲ αὐτὸ καὶ τοῖς ἐγκαιομένοις τὴν γαστέρα χωρὶς χυμῶν περιουσίας δίχα τοῦ ἐμέσαι καὶ τοῖς πυρέττουσιν ἤδη τῆς ἀκμῆς ἐνεστηκυίας τοῦ παντὸς νοσήματος καὶ τοῦ μερικοῦ παροξυσμοῦ. πολλάκις γὰρ ἐν τοῖς πυρεκτικοῖς νοσήμασιν ἀρκεῖ καὶ μία πόσις δαψιλὴς ἐν τῷ προσήκοντι καιρῷ διδομένη λῦσαι τὸ πάθος ἱδρώτων τε καταρρήξεσι καὶ γαστρὸς ὑπάξεσι. τῶν γὰρ ἄλλων ποτῶν μάλιστα τὸ ῥοδόμελι ἁρμοδιώτερον, οἷς ὑπελθεῖν τι τῶν δριμέων χυμῶν κατὰ γαστέρα θέλοις.

ρμ̄ Ὑδροροσάτου σκευασία. ῥόδων νεαρῶν ἐξωνυχισμένων καὶ προμαρανθέντων ἐν σκιᾷ ἡμέραν καὶ νύκτα λ,ᾱ μέλιτος ℥ ᾱ ὕδατος ὀμβρίου ἀποτριτωθέντος ἐν τῇ ἑψήσει ℥ τρία· βαλὼν ὕδατος ὀμβρίου ℥ θ̄ ἕψε μέχρι λειφθῶσι ℥ γ̄, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔμβαλε παραχρῆμα τῷ ζέοντι ὕδατι τὰ προμαρανθέντα ῥόδα καὶ σκεπάσας ἀκριβῶς ἐπιβλήμασι πλείοσι τὸ ἀγγεῖον φύλαττε· τῇ δὲ ἑξῆς διηθήσας τὸ ὕδωρ ἀπόρριπτε τὰ ῥόδα, μὴ ἐκπιέσας, ἵνα μὴ τραχὺ γένηται, κἄπειτα ἐμβαλὼν ἐν θυίᾳ τὸ μέλι καὶ λεάνας εὖ μάλα ἕνωσον αὐτῷ τὸ ὕδωρ καὶ ἀναλάμβανε ὀστρακίνοις ἀγγείοις μάλιστα ὀμφακηροῖς καὶ ἡλίαζε ἡμέρας ὀλίγας καὶ φύλαττε ἐν οἴκῳ, ἐν ᾧ οἶνος ἀπόκειται· ἐμψύχει δὲ τοῦ ῥοδομέλιτος πολλῷ μᾶλλον.

ρμᾱ Ἀπομέλιτος σκευασία. ἀπόμελι δὲ σκευάζειν χρὴ τούτῳ τῷ τρόπῳ· μελικηρίδια λαβὼν πεπληρωμένα μέλιτος, λευκὰ μὲν τὴν χρόαν, διαυγὲς δὲ παρεχόμενα τὸ μέλι, ἔκθλιβε τὸ μέλι διὰ τῶν χειρῶν καὶ μίγνυε

7—10 τοῖς πυρέττουσιν — ὑπάξεσι *Or.*[c] *ib.* (*138, 10—11, 16—18*)
24—*p. 117, 15* ἀπόμελι δὲ — ἀπόκειται *Or.*[c] *V 17* (*I 131, 15—132, 1*)

φ(P^{a}) χ(C^{p} M^{o}) ψ(A P T) [*m.* 2^{a} S] ω(S A^{t}) 1 ἔχειν A 2 τι] τὸ A^{t} 4 ῥεύματος] ὕδατός A^{t} *in marg.* T 6 χυμῶν *om.* T ω 7 *ante* παντὸς: τε A P νοσήμ. *om.* C^{p} A P 8 πυρεκτ.] παροξυντικοῖς M^{o} 9 δόσις M^{o} A P 10 ἱδρῶτι φ *post* τε: καὶ S καταρρ. (*ex* ....σει S) *om.* φ ὑπάξεως C^{p} *m.* 2^{a} S ..άρξεως M^{o} ἐκταράξεσι A P τῶν γὰρ — ἁρμοδιώτερον] μάλιστα δὲ τῶν ἄλλων ποτῶν ἁρμοδιώτερον τὸ ῥοδόμελι φ 11 ἁρμοδιώτατον A^{t} *in marg.* ...τερον T *post* οἷς: ἂν καὶ φ 12 ἐθέλοις α, *exc* φ C^{p} 13 *in marg.* ἀντὶ τούτου νῦν συνήθως τὸ λεγόμενον ὑδρορόσατον σκευάζεται οὐκ ἐν ἡλίῳ, ἀλλ' ἐν ἀκάπνῳ πυρὶ ἑψούμενον μέχρις ἂν σχῇ μέλιτος λεπτοτέρου σύστασιν P Ὑδροῤῥόδου C^{p} A P 14 ἐν σκιᾷ *om.* T ω *post* νύκτα: μίαν A S μέλιτος λίτραν ᾱ *ante* βαλὼν *transp.* φ 15 ℥ *pr. et alt.*] λίτρας φ τρεῖς φ T θ̄] ε̄ C^{p} ἕψει C^{p} P -αι φ T S 16 ℥] λίτραι φ ἀπὸ] ἐκ A ἔμβαλλε A P A^{t} 19 μὴ *prius om.* φ χ P T *del. m.* 2^{a} S ἐκπιάσας χ A A^{t} ἵνα — γένηται *om.* χ A P 20 ἀυ^{τ'} C^{p} ...τὸ M^{o} T S 21 μάλιστα *om.* φ 25 μελικηρία C^{p} ...ρίδας A P *m.* 2^{a} S κηρίδας *in marg.* ...ίδια T ...ίδια A^{t} κηρία *Or.* ...ρωμένας A P *m.* 2^{a} S ...$\overset{α}{ν}$ας T λευκὰς A P *m.* 2^{a} S ...$\overset{ὰ}{ά}$ς T τὴν] *in marg.* τῇ T τῇ A^{t} χροιὰν C^{p} A P χρόα *in marg.* T χρόα A^{t} 26 ...χομένας A P *m.* 2^{a} S ...$\overset{α}{μ}$ένας T θλῖβε C^{p} A P *m.* 2^{a} S τὸ μέλι *alt. om.* C^{p} A P *m.* 2^{a} S

ὕδατι πηγαίῳ καλλίστῳ· παχυτέρου μὲν ὄντος τοῦ μέλιτος τέσσαρα μέτρα τοῦ ὕδατος πρὸς ἓν τοῦ μέλιτος μίγνυμεν· ὑγροτάτου δὲ ὄντος τοῦ μέλιτος τρία μέρη τοῦ ὕδατος βάλλομεν καὶ τοῦ μέλιτος μέρος ἕν. εἰ δὲ ξηρότερα δόξει σοι εἶναι τὰ κηρία, διαθρύψας αὐτὰ εἰς λεπτὰ μόρια ἐπίβαλλε τῷ ὕδατι μεμετρημένῳ καὶ τρῖβε ταῖς χερσὶν ἐφ' ἱκανόν, ἔπειτα ἐκθλίψας καὶ διηθήσας καὶ μετρήσας γνώσῃ τὴν ποσότητα τῆς προσθήκης τοῦ μέλιτος· ἔπειτα βαλόντες εἰς κενὴν χύτραν, ἐν ᾗ προαπεζέσθη ὕδωρ διὰ τὴν γεώδη ποιότητα, ἕψομεν πυρὶ ἀκάπνῳ, ἀφαιροῦντες ἑκάστοτε τὸν ἐφιστάμενον ἐν τῇ ζέσει ἀφρὸν ἢ τὸ κηρῶδες· ἐπὰν δὲ μηκέτι μηδὲν ἀφροῦ ἢ κοπρίων τινῶν ἐφίστηται καὶ μειωθῇ ὅσον τὸ ὄγδοον μέρος ἢ τὸ ἕβδομον τοῦ παντὸς μέτρου, ἀφαιροῦντες τὴν χύτραν καὶ ἐάσαντες ψυγῆναι, μετὰ τὴν τελείαν ψῦξιν τῇ ἑξῆς ἀφαιροῦντες τὸ ἄνωθεν ἐποχούμενον ἐμβάλλομεν εἰς ἀγγεῖα ὀστράκινα τὰ ὀμφακηρὰ καλούμενα καὶ φυλάττομεν ἐν οἴκῳ, ἐν ᾧ οἶνος ἀπόκειται. ῥυπτικῆς δὲ καὶ τμητικῆς δυνάμεως ὑπάρχει τὸ ἀπόμελι καὶ κατὰ κοιλίαν ἄγει τὰ χολώδη καὶ πρὸς οὔρησιν δὲ συντελεῖ. παρασκευαστικὸν δὲ γίγνεται λύσεως τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν. φύσεσι δὲ θερμαῖς καὶ ξηραῖς καὶ νοσήμασι τοιούτοις ἐναντίον καὶ ὑποχονδρίοις φλεγμαίνουσι βλαβερὸν καὶ οὐδὲ τὴν δίψαν παύει, μή τί γε καὶ ἐπιτείνει. δοτέον δὲ αὐτὸ πρὸ τῶν ῥοφημάτων. μετὰ γὰρ τὴν τροφὴν διδόμενον βλαβερὸν γίγνεται.

Ὑδρομήλου καὶ κουστομηνάτου σκευασία. ἐσκεύασα δὲ καὶ οὕτως· ρμβ
μήλων χυλοῦ λ̄, ε̄ μέλιτος λ, ιβ̄ ὕδατος ἀποτριτωθέντος λ, ιη. ἄλλως· μήλων τῶν γλυκυτάτων καὶ εὐωδεστάτων καὶ ψαφαρὰν τὴν σάρκα κεκτημένων λαβὼν περίελε τὸν φλοιὸν καὶ τὴν ἐντεριώνην, ἔπειτα κόψας χύλιζε καὶ διήθει διὰ ῥάκους καθαροῦ καὶ πυκνοτέρου· βλητέον δὲ τοῦ μὲν χυλοῦ ξ ᾱ, τοῦ δὲ μέλιτος ξ β̄ καὶ ὕδατος ὀμβρίου ἀποτριτωθέντος ἐν τῇ ἑψήσει ξ γ̄. προαφεψήσας οὖν τὸ ὕδωρ ἐπίβαλε αὐτῷ τὸ μέλι καὶ ὅταν ἀναζέσῃ ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ψυγῆναι ποσῶς καὶ

17. 18 παρασκευαστικὸν — πυρετῶν *cf. Gal. meth. med. XI 9 (X 756, 13—14)* 22. 23 Ὑδρομήλου — λ, ιη̄ *cf. Or.*[c] *V 25 (I 141, 24—27)*

φ(P^{a}) χ(C^{p}M^{o}) ψ(A P T) [*m. 2*^{a} S] ω(S A^{t}) 1 *post* μὲν: οὖν A 1. 2 μέτρα τέσσαρα *transp.* φ 2 μέρη A P τοῦ *pr. om.* φ χ P μίγνυε$^{\text{μεν}}$ T ..υε A^{t} 4 δόξῃ C^{p}P A^{t} 5 μέρη M^{o}T ω ἐπίβαλε φ T ἐπὶ χ T ω 6 γνώσει M^{o}T S 7 βάλλοντες φ A A^{t} ...όντων P λαβόντες C^{p} ἐπιβάλλοντες M^{o} καινὴν A P A^{t} 8 διὰ — ποιότητα *om.* φ ἕψωμεν φ ἑψῶμεν C^{p} ἕψει P 9 ἀφαιρῶν P 10 ἐπειδὰν φ κοπρίου τινὸς φ ἐφίσταται φ ...ιστῇ M^{o} 11 ...ροῦμεν A ...αίρει P ...ροῦνται T A^{t} 12 καὶ *om.* C^{p}A P ἐάσας P *post* μετὰ: δὲ ψ 13 ἀφαιρῶν P ἐμβαλλόμενον φ ἔμβαλλε P 14 φύλαττε P ..ωμεν M^{o} 16 τὰ *ante* κατὰ *transp.* P *om.* χ A 18 δὲ *om.* M^{o}A^{t} *post* νοσήμασι: θερμοῖς M^{o}A^{t} *m. 1*^{a} S 20 μή τί — ἐπιτείνει *om.* φ 21 τὴν *om.* A P 22 κουστομινάτου C^{p} κεστομήλου A ...μηλάτου P T κουστομηνάτου *canc. seps. m. 2*^{a}*, quae suprascr.* κεστομηλάτου S κουστουμηνάτου M^{o}A^{t} ἐσκεύασα — οὕτως *om.* P ἐσκ. δ. κ.] σκευάζεται A δὲ *om.* χ *m. 2*^{a} S 23 χυλὸν C^{p}T A^{t} λ̄, ε̄ μέλιτος *om.* A ε̄] ϛ̄ P λ, *alt.*] < M^{o} ιβ̄] β̄ M^{o} ιη̄] η̄ M^{o} ἄλλως *om.* χ A P 26 καὶ χυλίσας φ καὶ *pr. om.* φ βλητέον] βέλτιον T A^{t} 28 ἐπίβαλλε χ ψ ω

οὕτως ἀφελὼν τὸν ἀφρὸν ἅπαντα ἐπίβαλε τὸν χυλὸν τῶν μήλων καὶ ἑνώcας ἀναλάμβανε εἰς ὀςτράκινα ἀγγεῖα καὶ χρίcας φύλαττε ἐν οἴκῳ θερμῷ, ἐν ᾧ οἶνος ἀπόκειται, καὶ χρῶ μετὰ ἡμέρας μ̄. ὅταν δὲ μίξῃς ῥόδα τῷ ὑδρομήλῳ, ῥόδων ξηρῶν ἀπωνυχισμένων ℔ ᾱ ἡμέραν καὶ νύκτα ἀπόβρεξον, εἶτα διηθήσας φύλαττε· εὔχροον γὰρ γίνεται καὶ οὐκ ὀξίζει. τῷ αὐτῷ δὲ τρόπῳ σκεύαζε καὶ ἀπὸ κουστουμήνων καὶ ἀπίων.

ρμγ Κυδωνάτου σκευασία. σκευάζεται δὲ καὶ διὰ μήλων κυδωνίων μεγάλων προαιρεθέντος τοῦ φλοιοῦ καὶ τῆς ἐντεριώνης, ἔπειτα κοπέντων καὶ χυλισθέντων καὶ διηθέντος τοῦ χυλοῦ διὰ ῥάκους. βλητέον δὲ τοῦ μὲν χυλοῦ ξ δ̄ μέλιτος δὲ ξ η̄ καὶ ὕδατος ὀμβρίου ἀποτριτωθέντος ἐν τῇ ἑψήσει ξ ιβ̄. ἕψομεν δὲ πρῶτον βαλόντες τοὺς λϛ̄ ξ τοῦ ὕδατος· ὅταν δὲ ὑπολειφθῶσιν οἱ ιβ̄ ξέσται, ἐπιβάλλομεν τὸ μέλι, καὶ ὅταν ἀναζέσῃ, ἀφελόντες τὴν χύτραν ἀπὸ τοῦ πυρὸς ἐῶμεν ψυγῆναι ποσῶς κἄπειτα ἀφελόντες τὸν ἐφιστάμενον ἀφρὸν ἐμβάλλομεν τὸν χυλὸν τῶν κυδωνίων· καὶ ἑνώσαντες ἀναλαμβάνομεν καὶ φυλάττομεν ὡς τὸ ὑδρόμηλον. ἐνίοτε δὲ πρὸς τὸ μὴ τραπῆναι τὸ σκευαζόμενον κατὰ τὸν χειμῶνα διὰ τὸ κρύος, προαπαφρίσαντες τὸ μέλι καλῶς ἐμβάλλομεν αὐτῷ τὸν χυλὸν διηθέντα καὶ χρίσαντες φυλάττομεν ὅλον τὸν χειμῶνα· μετὰ δὲ τὸ ἔαρ ἀποτριτώσαντες τὸ ὕδωρ, ὡς προείρηται, μίγνυμεν αὐτῷ τὸ μέλι σὺν τῷ χυλῷ καὶ οὕτω χρώμεθα. τὸ δ' αὐτὸ ποιοῦμεν κἀπὶ τῶν μήλων καὶ τῶν κουστομήνων καὶ τῶν ἀπίων. ὅπως δ' ἂν σκευάσωμεν τὸ κυδωνάτον καὶ τὸ ὑδρόμηλον καὶ πρὸ τοῦ χειμῶνος καὶ μετὰ τὸν χειμῶνα, ἡλιοῦμεν αὐτὸ ἡμέρας μ̄, φυλαττόμενοι ἐξ ὄμβρων καὶ ἀνέμων καὶ οὕτως ἀποτιθέμεθα ἐν οἴκῳ, ἐν ᾧ οἶνος ἀπόκειται. βέλτιον οὖν σκευάζειν τὸ σὺν τῷ μέλιτι φυλαχθὲν ἐν τοῖς ὑπὸ κύνα καύμασι δυνατὸν δὲ καὶ τὰ ῥόδα ἐξονυχίσαντας καὶ μαράναντας ἡμέραν μίαν

8.9 σκευάζεται—ἐντεριώνης *Or.*^{c} *V 20 (1135,29—30)* 25 ἀποτιθέμεθα ἐν οἴκῳ |

φ (P^a) χ (C^p M^o) ψ (A P T) [*m.* 2^a S] ω (S A^t) 1 ἐπίβαλλε M^o A P ω 3 θερμῷ *om.* A^t ἐν—ἀπόκ.] ὅπου ἦν οἶνος A^t χρῶ μετὰ] χρώμεθα *Ald.* δὲ] οὖν, *in marg.* Γρ' δὲ T οὖν A^t *om.* χ A P 4 ῥόδα] ὅλα α *correxi* *ante* τῷ: βρέχε φ σὺν C^p ξηρῶν *om.* A ἐξωνυχ. T ω 5 ἀπόβ *ante* ἡμέραν C^p A P *om.* φ M^o 6 σκευάσεις A P ...άζεται φ 8 *post* μήλων: καὶ T ω 9 περιαιρεθέντος C^p A P A^t ...ων M^o T S 10 διηθισθέντος M^o ....θη^{c}θέντος S δὲ] μὲν A^t *om.* φ 11 μὲν *om.* A^t 12 ἑψῶμεν C^p ...οῦμεν P δὲ *om.* χ A βάλλοντες χ A^t 13 ἀπολειφ., *in marg.* ὑπολειφ. T ἀπολειφ. A^t *ante* τὸ: ποτε A P 15 κἄπειτα, *in marg.* ἔπειτα T ἔπ. A^t 16 ἑνώσας *Ald.* ὡς τὸ ὑδρόμη^{λ} καὶ φυλάττομεν *transp.* φ 16. 17 ὑδρόμελι A P 17 πρὸς] ἐπὶ φ 18 *ante* διὰ: τὸ M^o προαποφρίσ. ω προαφεψήσαντες φ καλῶς] οὕτως C^p A P καὶ ὡς M^o 19 διηθέντα *supra scr.* *m.* 2^o S ....θη^{θη}σθέντα T 21 οὕτως χ P ω δ' *om.* T A^t 22 τῶν *pr. om.* φ κουστουμίνων φ χ ....μήνων *m.* 1^a S κεστομήλων ψ *supra scr.* *m.* 2^a S κουστομηνάτων A^t τῶν *alt. om.* φ δ' ἂν] τε, *in marg.* δ' ἂν T τε A^t 23 καὶ *alt.*] κἂν M^o A T S καὶ *tert.*] κἂν χ A P S καί, *supra scr* κἂν T 24 ἡλιάζομεν P *m.* 2^a S ἐξ *om.* α, *exc.* φ ὄμβρον καὶ ἄνεμον χ A P 26 *post* οὖν: ἐστι A^t 27 δυνατὸν] βέλτιον C^p A T ....χίσαντες M^o T ω μαράναντες T ...αίροντες M^o λαμβάνο^{τ}ν A^t μείναντες *Ald.*

ἐμβάλλειν λίτραν μίαν τῷ ξέστῃ τοῦ μέλιτος ἀπηφριcμένου καὶ ἐν τοῖc ὑπὸ κύνα καύμαcιν ἀφεψεῖν, ὡc προείρηται, τὸ ὕδωρ καὶ ἑνῶcαι καὶ οὕτως διηθεῖν καὶ ἡλιοῦν τὰc $\bar{μ}$ ἡμέραc. ἁρμόδιον δέ ἐcτι τὸ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων cκευαζόμενον τοῖc cτύψεωc ἅμα καὶ ῥύψεωc δεομένοιc νοcήμαcιν, ὅcαπερ τῶν ἡλκωμένων ἐντόc ἐcτι μερῶν, cτόματοc καὶ cτομάχου καὶ κοιλίαc καὶ ἐντέρων. βοηθεῖ δὲ καὶ ταῖc κατὰ τὰc φλέβαc ψωριάcεcι καὶ νεφροῖc καὶ κύcτει, ἐφ' ὧν πιτυρώδειc καὶ λεπιδώδειc καὶ τριχοειδεῖc εἰcιν αἱ ὑποcτάcειc τῶν οὔρων.

'Οξυμέλιτοc cκευαcία. ὀξύμελι δὲ cυντίθεται ἔκ τε τοῦ καλλίcτου ρμδ μέλιτοc καὶ τοῦ διαυγεcτάτου ὄξουc, ὡc εἶναι δύο μὲν μέρη μέλιτοc, ἓν δὲ μέροc τοῦ ὄξουc. αὕτη μὲν ἡ cυμμετρία πλείοcιν ἁρμόττει cώμαcιν. ἡ παραλλαγὴ δὲ ἑκάcτοτε τῇ γεύcει τοῦ κάμνοντοc κρινέcθω, ἵνα ἔχῃ τὸ προcηνὲc καὶ φίλον τῇ φύcει. ἕψεται δὲ μέχρι cυcτάcεωc μέλιτοc καὶ δίδοται θερμῷ κιρνώμενον. πινόμενον δὲ ῥύπτει τὰ γλίcχρα τῶν ὑγρῶν καὶ λεπτύνει τὸ πάχοc καὶ διὰ ταῦτα ἐκφράττει τὰ cπλάγχνα πάντα, ἧπάρ τε καὶ cπλῆνα καὶ κοιλίαν καὶ μεcάραιον καὶ νεφρούc· ἀγαθὸν γὰρ ἐπὶ τούτων καὶ ἐν πυρετοῖc καὶ χωρὶc πυρετῶν διδόμενον. ὕδατοc δὲ πολλοῦ μίξει τὸ cφοδρὸν τῆc δυνάμεωc αὐτοῦ ἐκλύεται· βῆχα δὲ κινεῖν τὴν οὐκ οὖcαν τὸ ὀξύμελι καὶ τὸ ἔντερον ξύειν εἴρηκεν Ἱπποκράτηc τε καὶ Γαληνὸc οὐκ ἐπὶ cωμάτων παχέcι καὶ κολλώδεcιν ὑγροῖc ἐνοχλουμένων, ἀλλ' ἐπὶ τῶν καθαρῶν καὶ ἀπερίττων ἢ ἐπὶ τῶν ἐπὶ λεπτῷ καὶ δριμεῖ ῥεύματι καμνόντων καὶ τῶν εὐαίcθητα cφόδρα τὰ νευρώδη μόρια κεκτημένων.

1 ἐμβάλλειν ...τοῦ μέλιτοc ἀπηφριcμένου 3—6 ἁρμόδιον — κοιλίαc *Or.*^{c} *ib. (ib. 136, 1, 4, 7—10)* 9—10 ὀξύμελι — ὄξουc *Or.*^{c} *V 24 (I 139, 30—31, 140, 17—18) Or.*^{e} *IV 144 (498, 20—21)* 10. 11 ὡc εἶναι — cώμαcιν *Or.*^{e} *IV 144 (498, 30—32, 26—27)* 14—16 πινόμ. — cπλῆνα *cf. Or.*^{c} *ib. (139, 3—5)* 19 βῆχα *etc. Hippocr. de acut. morb. victu 53 (136, 4sqq. Kühl.) et Gal. comm. III, 10 in hunc libr. (XV, 653 = CMG V 9, 1 p. 232, 1 sqq.)*

φ(P^a) χ($C^p M^o$) ψ(A P T) [*m.* 2^a S] ω(S A^t) 1 ἐμβαλεῖν C^p A P S τῷ *om.* A^t 3 τὰc *om.* φ τοῦ *om.* ψ ω 4 τοῖc] τῆc C^p T ω cτύψεωc] ῥύψεωc φ cτύψεωc, *in marg.* ΓΡ' ψύξεωc T ψύξεωc A^t ῥύψεωc] cτύψεωc φ ῥώcεωc ψ 5 ὅcα περὶ χ T ω ὅ. τε A P ἐcτὶν ἐντὸc *transp.* A^t ἐντὸc *om.* C^p A P 6 δὲ *om.* χ S 7 ψωριάc.] περιcτάcεcι A P πυριάcεcιν C^p 8 καὶ τριχ. *om.* C^p A P 9 *post* cκευαcία: ἁπλοῦ A 12 *post* γεύcει: τοῦ cώματοc καὶ A^t 13 ἵνα] ἣν P *m.* 2^a S ἔχει M^o P S 16 καὶ *alt. om.* χ T ω κοιλίαc φ καὶ *tert. om.* φ T ω 17 γὰρ] δὲ A P χωρὶc] ἄνευ T A^t 18 μίξει *om. Ald.* 19 τὴν οὐκ οὖcαν *om.* C^p τὰ ἔντερα A P εἴρηκεν *post* κινεῖν M^o 20 ὑπὸ παχέων καὶ κολλωδῶν ὑγρῶν (*in marg.* παχέcι — ὑγροῖc T) ψ 21 ἐνοχλ.] cυνεχομένων *in marg.* T ω ἐπὶ *alt. om.* A T 23 *post* κεκτημένων: ἐπὶ δὲ τοῖc κεφαλὴν ἢ ὀφθαλμὸν ἢ κρόταφον ὀδυνωμένοιc μετὰ βάρουc cυναιcθήcεωc cίνηπι πλεῖον μίξαντεc τῷ ὀξυμέλιτι ἐπετρέψαμεν ἀνακογχυλίζειν καὶ εὐθέωc ἐκουφίcθηcαν. — τέλοc τοῦ $\bar{ε}$ λόγου φ τέλοc τοῦ $\bar{ε}$ λόγου περὶ τῆc τῶν πυρετῶν διαγνώcεωc καὶ θεραπείαc χ τέλοc τοῦ $\bar{ε}$ λόγου P τέλοc τοῦδε λόγου A^t — *Hic desin.* T

ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ

ΒΙΒΛΙΟΝ Ϛ

Τάδε ἔνεστιν ἐν τῷ ϛ̄ λόγῳ.

φ(P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) ΑΕΤΙΟΥ—ΒΙΒΛΙΟΝ Ϛ *addidi* 1 Τάδε—λόγῳ] Ἀρχὴ τοῦ ἕκτου λόγου φ A^t Ἀρχὴ τοῦ ἕκτου βιβλίου Ἀετίου Ἀμηδινοῦ P^x Πίναξ τοῦ ἕκτου τμήματος Ἀετίου Ἀμηδινοῦ A Πίναξ τῶν κεφαλαίων τοῦ ϛ̄ λόγου P 3 Περὶ—Λεωνίδου *om.* φ C^p M^o P *post* Λεωνίδου: σὺν τούτοις δὲ καὶ ἑρμηνεία· τίς ἡ κεφαλὴ καὶ κατὰ τί εἴρηται κεφαλὴ κτλ. P^x 4 ἐκ τῶν Ποσειδωνίου *om.* φ C^p M^o P Ποσειδῶνος ω 5 Ἀρχιγένους καὶ Ποσειδωνίου *om.* φ C^p M^o P 7 καὶ καταλήψεως *om.* φ 8 Ποσειδωνίου *om* φ C^p M^o P 9 Ποσειδωνίου *om.* φ C^p M^o ψ 10. 11 ἐκ τῶν—Ποσειδ. *om.* φ C^p M^o P ἐκ τῶν *om.* P^x *post* Ποσειδ.: Θεραπεία σκοτωματικῶν Ἀρχιγένους καὶ Ποσειδωνίου P^x 13 *post* Ποσειδ : Θεραπεία μανίας κτλ. P^x 14. 15 *hic est tit.*: Μελαγχολίας διάγνωσις C^p ἐκ τῶν—Ποσειδ. *om.* φ M^o P 15 καὶ Ποσειδ. καὶ Ῥούρου P^x A 16 Θεραπεία.... Γαληνοῦ Ποσειδωνίου καὶ Ῥούφου P^x Θ. μελαγχολίας Γαληνοῦ A Θ. μελαγχολίας P Περὶ θ...ας μελαγχολικῶν M^o ω 17 Π. λυκανθρώπου ἤτοι κυνανθρωπίας ω *post* λυκανθ.: Μαρκέλλου P^x A 18 Ποσειδωνίου *om.* φ χ P S *Sqr.* Θεραπεία ἐφιάλτου P^x 19 *post* ἐπιληψίας: Γαληνοῦ καὶ Ποσειδωνίου P^x Γαληνοῦ P *Sqr.* Θεραπ. ἐπιληψίας P^x 20 *om.* φ P^x *ante* ὅσα: περὶ ω 21 *om.* P^x καταπεσόντων ω 21. 22 *post* ἐπιληπτικῶν: Διδύμου ψ 23 *om.* P^x ἐπιληπτικοῖς C^p M^o A πρὸς ἐπιληπτικοὺς Διοσκορίδου P 24. 25 πρωτοπαθούντων P^x A^t *om.* φ C^p M^o 25 ἐπιληπτικῶς φ C^p ...ῶν ω τρόμω P^x τρόπος ω *om.* φ C^p M^o 25. 26 *post* παροξυνομένων: Γαληνοῦ P^x A 27 *hic est tit.*: Περὶ τῶν ἀπό τινων μορίων βλαβέντων P^x *ante* Περὶ: Ποσειδωνίου P *id. post* αἰτίαν A 27. 28 ἐχόντων—αἰτίαν] ἀλλ' οὐ τὴν αἰτίαν τῆς ἐπιληψίας ἐχόντων φ C^p M^o 29. 30 ἁλισκομένων—πάθει] ἐπιληπτικῶν φ C^p M^o *post* πάθει: ποσειδωνίου P^x ψ 31 (= 33) Περὶ θεραπείας S *Ald.* 32 ἐπιληπτικῶν C^p P^x M^o δέ. Ποσειδωνίου P *post* ἐπιληπτ.: δὲ A 33 παίδων A ω βρεφῶν P^a C^p M^o ἐπιληπτικῶν α *correxi (cf. text.)* 34 σπωμένων *om.* φ M^o *post* σπωμ.: τοῦ αὐτοῦ P

κγ Περὶ μνήμης ἀπολωλυίας ἐκ τῶν Ῥούφου καὶ Γαληνοῦ

κδ Περὶ λυϲϲοδήκτων ἤτοι ὑδροφόβων Γαληνοῦ καὶ Ῥούφου

κε Περὶ φλεγμονῆς ἐγκεφάλου

κϛ Περὶ ἐρυϲιπέλατοϲ ἐγκεφάλου

κζ Περὶ ἀποπληξίαϲ ἐκ τῶν Ἀρχιγένουϲ

κη Περὶ παραλύϲεωϲ ἐκ τῶν Ἀρχιγένουϲ

κθ Περὶ ὀφρύοϲ ἢ βλεφάρων παραλυθέντων

λ Περὶ κυνικοῦ ϲπαϲμοῦ

λα Περὶ γλώϲϲηϲ παραλυθείϲηϲ

λβ Περὶ τῆϲ τοῦ φωνητικοῦ παρέϲεωϲ

λγ Περὶ καταπόϲεωϲ παραλυθείϲηϲ

λδ Περὶ κύϲτεωϲ παρεθείϲηϲ

λε Περὶ καυλοῦ παρεθέντοϲ

λϛ Περὶ ἀπευθυϲμένου παρεθέντοϲ

λζ Ϲκέλουϲ ἢ ἑτέρου τινὸϲ κώλου παρεθέντοϲ ἐπιμέλεια

λη Περὶ ϲπαϲμῶν ἢ τετάνων

λθ Περὶ τετάνου ἐκ τῶν Ἀρχιγένουϲ

μ Ἐκ τῶν Γαληνοῦ διοριϲμοὶ περὶ κεφαλαλγίαϲ

μα Πρὸϲ κεφαλαλγίαν δι' ἔγκαυϲιν ἢ θερμότητά τινα γιγνομένην

μβ Περὶ τῆϲ ἐν πυρετοῖϲ κεφαλαλγίαϲ

μγ Πρὸϲ κεφαλαλγίαν διὰ μέθην

μδ Ἐψυγμένηϲ κεφαλῆϲ ἰάματα

με Περὶ τῶν ἀπὸ ϲτομάχου κεφαλαλγιῶν

μϛ Ὅϲα φύϲει κεφαλαλγεῖ

μζ Πρὸϲ κεφαλαλγίαϲ διὰ πληγήν

μη Περὶ κεφαλαίαϲ Γαληνοῦ

μθ Περὶ ἡμικρανίαϲ ἐκ τῶν Γαληνοῦ

ν Κοινὴ θεραπεία κεφαλαίαϲ καὶ ἡμικρανίαϲ ἐκ τῶν Ἀρχιγένουϲ

να Ἐπιθέματα πρὸϲ κεφαλαλγίαν

νβ Ἔρρινα κεφαλῆϲ καθαρτικά

νγ Ἀποφλεγματιϲμοὶ καθαίρονтεϲ τὴν κεφαλήν

νδ Ϲμήγματα καὶ πάϲματα πυκνωτικὰ τῆϲ κεφαλῆϲ

νε Περὶ ἀλωπεκίαϲ

νϛ Περὶ ῥεουϲῶν τριχῶν

νζ Πρὸϲ ὀφρῦϲ λειποτριχούϲαϲ

νη Μελάϲματα τριχῶν

νθ Περὶ τοῦ πυρρὰϲ ποιῆϲαι τρίχαϲ

ξ Λευκὰϲ ποιῆϲαι τρίχαϲ

ξα Οὐλὰϲ ποιῆϲαι τρίχαϲ

ξβ Περὶ τῶν φθειρόντων τὰϲ τρίχαϲ

ξγ Ἀφανιϲτικὰ τριχῶν

φ (P^a) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t)   1 ἀπωλείαϲ P^x A A^t 1. 2 ἐκ τῶν — Γαληνοῦ *om.* φ $C^p M^o$ 4 Γαληνοῦ καὶ *om.* A P Γαληνοῦ — Ῥούφου *om.* φ χ *ante* Ῥούφου: ἐκ τοῦ A ἐκ τῶν P *post* Ῥούφου, καὶ Ποϲειδωνίου ψ   6 ἐν ἐγκεφάλῳ φ $C^p M^o$ 7. 8 ἐκ τῶν Ἀρχιγένουϲ *om.* φ $C^p M^o$ 7 Ἀρχιγένουϲ] Γαληνοῦ P^x ψ   9 βλεφάρου φ χ A   9. 10 παραλύϲεωϲ φ παρέϲεωϲ θεραπεία P^x παρέϲεωϲ A P παρεθέντων ω   11 *om.* P^x 12 Περὶ *om.* P^x A παραλυθείϲηϲ] παρεθείϲηϲ P ω *sqr.* θεραπεία A ω   14 Περὶ *om.* P^x A A^t *post* παραλυθείϲηϲ: θεραπεία P^x A ω   15 Περὶ *om.* P^x ψ A^t *post* παρεθείϲηϲ: θεραπεία P^x ψ ω   16. 17 Περὶ *om.* P^x ψ A^t 16 *post* παρεθέντοϲ: ἐπιμέλεια P^x A ω θεραπεία P   17 *post* παρεθέντοϲ: θεραπεία $P^x A^t$ θεραπεία ἐκ τῆϲ πρὸϲ Μαρϲε^π' ἐπιϲτολῆϲ Ἀρχιγένουϲ S   18. 19 παρεθέντοϲ κώλου A A^t θεραπεία P^x P S *sqr.* Ἐκ τῆϲ πρὸϲ Μάρϲου ἐπιϲτολῆϲ Ἀρχιγένουϲ ἀπὸ προϲθήκηϲ πόμα θαυμαϲτὸν κτλ. P^x 20 *fere tit.*: Περὶ τρόμου καὶ ϲπαϲμοῦ ἐν πυρετοῖϲ ἐγράφη ἐν τῷ πρὸ τούτου λόγῳ A   21 *hic est tit.*: Τί ἐϲτι ϲπαϲμὸϲ καὶ τί τέτανοϲ ϲαφὲϲ καὶ πόθεν γίγνεται Ἀρχιγένουϲ καὶ περὶ τετάνου ἤτοι ϲπαϲμοῦ P^x *post* τετάνου (...ων M^o A^t) ἤτοι ϲπαϲμοῦ (...ῶν A^t) ψ ω   22 διοριϲμοὶ *om.* ω   24 Περὶ κεφαλαλγίαϲ ω   25 τινα *om.* P^x A   26 τῶν ....κεφαλαλγιῶν A^t 27 Περὶ κεφαλαλγίαϲ ω *post* μέθην: καὶ περὶ ἀμεθύϲων καὶ πρὸϲ τὸ ϲβέϲαι μέθην M^o ἢ ἀκρατοποϲίαν P^x ψ ω   28 κεφαλαλγίαϲ A^t 32 Γαληνοῦ *om.* φ $C^p M^o$ 33 ἡμικρανίαϲ, ...κραίραϲ, ...κρέραϲ ...κριρᾶϲ *codd.*   34 κεφαλαλγίαϲ ω   35 *post* Ἀρχιγένουϲ: καὶ Γαληνοῦ A^t 36 Ἐπίθεμα $C^p P^x A^t$ *post* κεφαλαλγίαν: ϲφόδρα καλόν A^t ἐκ τῶν Ἀϲκληπιάδου P^x P   37 *post* καθαρτικά: Πταρμικὸν Ἡρακλί⟨δ⟩ου Ταραντίνου P^x 38. 39 *om.* P^x 40 *ante cap.* νδ: Ϲάπων Κωνϲταντίνου ἀναξηραντικὸϲ ῥευμάτων P^x 42 Περὶ παθῶν τριχῶν διαίρεϲιϲ Ἱπποκράτουϲ καὶ περὶ ἀλωπεκίαϲ καὶ ὀφιύϲεωϲ (ὀφρυώϲ. ?) Πρὸϲ φαλακρώ⟨ε⟩ιϲ καὶ τριχῶν αὐξήϲ⟨ε⟩ιϲ ἐκ τῶν περιττώνων (κρειττόν..?) κτλ. P^x 43. 44 *om.* P^x 44 ὀφρύαϲ A ω   45 *post* τριχῶν: ἐκ τῶν Γαληνοῦ P^x ψ ω   46 *om.* P^x Περὶ τοῦ *om.* φ $C^p M^o$ ψ τοῦ *om.* ω   47 *ante* λευκὰϲ: περὶ τοῦ A^t περὶ S   48 *ante* οὐλὰϲ: περὶ τοῦ $P^x A^t$ 50 *om.* P^x

ξδ Ψίλωθρα τριχῶν
ξε Λεπτυντικὰ τριχῶν
ξϛ Περὶ πιτυριάσεως
ξζ Περὶ φθειριάσεως
ξη Περὶ ἀχώρων καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γιγνομένων αὐτομάτων ἐξανθημάτων
ξθ Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη
ο Πρὸς τὰ σμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ θηλαῖς μασθῶν παραπλήσια
οα Πρὸς τὰ ἐξέρυθρα ἐξανθήματα ἐν τῇ κεφαλῇ
οβ Ἀναξηραντικὰ καὶ ἐπουλωτικὰ τῶν ἐν τῇ κεφαλῇ ἀχώρων
ογ Σμήγματα πρὸς ἀχῶρας
οδ Πρὸς τὰ ἐν ὠσὶ πάθη
οε Πρὸς τὰς διὰ ψῦξιν ὀδύνας
οϛ Πρὸς τὰς ἐξ ὕδατος φαρμακώδους ὀδύνας τοῦ πόρου τοῦ ὠτός
οζ Πρὸς τὰς ἐν ὠσὶν ὀδύνας διὰ πάχος χυμῶν
οη Πρὸς ῥύπου σκληρότητα
οθ Περὶ τῶν ἐν ὠσὶν ἤχων
π Πρὸς δυσηκοΐας καὶ κωφώσεις
πα Πρὸς φλεγμονὰς ὤτων
πβ Πρὸς τὰ χωρὶς ἑλκώσεως καθυγραινόμενα ὦτα
πγ Πρὸς ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτός
πδ Πρὸς φθορὰς καὶ δυσωδίας ὤτων
πδ' Πρὸς τὰ ἐν ὠσὶν ὑπερσαρκώματα
πε Πρὸς σκώληκας ἐν ὠσίν
πϛ Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας
πζ Πρὸς ψηφῖδα ἐμπεσοῦσαν τῷ πόρῳ τοῦ ὠτός
πη Πρὸς τὰ ἔξωθεν τοῦ πόρου τῶν ὤτων πάθη
πθ Περὶ παρωτίδων
ϙ Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν
ϙα Ὀζαινῶν θεραπεία
ϙβ Πολυπόδων θεραπεία
ϙγ Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη
ϙδ Πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας
ϙε Πρὸς τὸ αἷμα ἀπὸ ῥινῶν κατασπάσαι
ϙϛ Περὶ ἐμφράξεως μυκτήρων καὶ ὀσφρήσεως βεβλαμμένης
ϙζ Περὶ πταρμικῶν
ϙη Περὶ τοῦ πλεονάζοντας πταρμοὺς παῦσαι

φ (P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 Ψιλωθρωτριχῶν φ ψιλωτ⟨ρ⟩ικά P 2 *post* τριχῶν: καὶ σμήγματα λαμπρυνόντων τὸν χρῶτα M^{o} 3 *post* πιτυριάσεως: τῆς ἐν τῇ κεφαλῇ γιγνομένης P^{x} 5. 6 ἐν τῇ κεφαλῇ A^{t} αὐτομάτων *om.* φ P^{x} A^{t} *post hunc tit. alii nonnulli in* P^{x} 8—18 ξθ—οε *om.* P^{x} 9 Πρὸς] Περὶ P ω *ante* τά: δὲ A^{t} καὶ ἐρυθρά *om.* φ 10 ἐν τῇ κεφαλῇ] κεφαλῆς S τῇ *om.* C^{p} M^{o} P 10. 11 θηλαῖς—παραπλήσια *om.* φ C^{p} M^{o} ψ 11 *post* παραπλήσια: ἀφ' ὧν καὶ ἰχὼρ ἀπορρεῖ ω 12 Πρὸς] Περὶ φ A A^{t} ὑπέρυθρα ω 13 τῇ *om.* C^{p} M^{o} P 14 ἀπουλωτικὰ ψ ω 14. 15 τῶν—ἀχώρων *om.* P ω τῶν—κεφαλῇ *om.* A 16 Σμῆγμα C^{p} M^{o} Περὶ σχήματος A^{t} Π. σμήγματα S *post* ἀχῶρας: καὶ πιτυριάσεις καὶ τραχύτητας καὶ ψωριάσεις ω 17 Πρὸς] Περὶ A ω τῶν παθῶν ω 18 Πρὸς] Περὶ A ω τῶν ...ὀδυνῶν A^{t} 19 Πρὸς τὰς] Περὶ τῶν (τὰς S) ω ὀδυνῶν A^{t} 21 Πρὸς τὰς] Περὶ τῶν (τὰς P^{x} S) P^{x} ω ὀδυνῶν A^{t} πάχους P^{x} S 23 Πρὸς τὸν ἐν ὠσὶ ῥύπον P Περὶ τῶν ....ῥύπων ω 24 Πρὸς ἤχους φ C^{p} M^{o} Πρὸς ἐμπασόμενα ὦτα Πρὸς τὰ ὑπερσαρκώματα ὤτων κτλ. P^{x} 25 Περὶ C^{p} A ω κωφώσεως C^{p} A A^{t} 26 Περὶ (πρὸς P^{x}) φλεγμονῶν (...ὰς S) P^{x} ω φλεγμονὴν P 27. 28 *om.* P^{x} ὑγραινόμενα ὦτα χωρὶς ἑλκώσεως ω 30 Περὶ φθορᾶς P^{x} ω 31 *om.* P^{x} ω 32 Περὶ σκωλήκων (...ικας S) ω 33 Περὶ τῶν (τὰς S) .....αἱμορραγιῶν (....ίας S) ω 34 Περὶ ψηφῖδος ἐμπεσούσης P Περὶ τοῦ (τῶν A^{t}) ψηφῖδα (ἐκ ψηφῖδος A^{t}) κυάμου ἐμπεσοῦσαν (ἐκπ. A^{t}) ω 35 *post* ὠτός: ἢ ἄλλο τι C^{p} M^{o} ἤ τινος τῶν παραπλησίων P^{x} 36 Περὶ (πρὸς P) τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη P ω *post* πάθη: ἤγουν τὰς φλεγμονὰς τῶν τρημάτων τῶν λοβῶν καὶ πρὸς τὰς θλάσεις τῶν ὤτων M^{o} 38 *post* παρωτίδων: Παύλου P^{x} 39 *post* παθῶν: καὶ ὀσφρήσεως P^{x} 40 περὶ ὀζαίνων (...ένης P^{x}) παθῶν θεραπεία (καὶ ἡ τούτου θεραπεία Αἰτίου P^{x} θεραπείας παθῶν A^{t}) P^{x} ω 41 Περὶ πολυπόδων θεραπείας ω 42 Περὶ τῶν (τὰ S) ...ἑλκῶν (ἕλκη S) ω 43 Πρὸς] Περὶ ω τῶν A^{t} *ante* ῥινῶν: τῶν P αἱμορραγιῶν A^{t} 44 Περὶ τοῦ P^{x} ω πρὸς *om.* C^{p} M^{o} A P *post* ἀπό: τῶν P^{x} M^{o} A^{t} ῥινῶν] μυκτήρων P^{x} ψ ω 45. 46 *ante* Περί: Γαληνοῦ P^{x} *id. post* βεβλαμμ. A μυξωτήρων P^{x} ψ 48 *ante* Περί: Ἀπολλωνίου P^{x} Περὶ

Ἀρχὴ τοῦ ἕκτου λόγου

Περὶ ὑδροκεφάλων Λεωνίδου. τὸ ὑδροκέφαλον πάθος προςαγορεύεται ā ἀπὸ τοῦ ἐν τῇ κεφαλῇ ὑδατώδους ὑγροῦ cυλλεγομένου· κατὰ τὸ πλεῖcτον μὲν οὖν τὸ ὑδατῶδες cυλλέγεται, ἐνίοτε δὲ τρυγῶδες ἢ δίαιμον cυνίcταται, ἀεὶ δὲ ἀργόν. γίγνεται δὲ τοῦτο ἢ ἐξ ἀδήλου ἢ ἐκ προδήλου αἰτίας· ἐξ ἀδήλου μὲν ἐκ τοῦ αὐτομάτου ἀραιουμένων τῶν τοπικῶν ἀγγείων καὶ τῆς ἐν αὐτοῖς ὑδατώδους οὐσίας τῆς cυγκεκραμένης τῷ αἵματι παρωθουμένης καὶ εἰς ἕνα τόπον cυνιcταμένης· ἐκ δὲ τῆς τοιαύτης αἰτίας ὑδατῶδες cυλλέγεται ὑγρόν. ἐκ προδήλου δὲ αἰτίας γίγνεται ἐκ πληγῆς ἢ θλάσματος ῥηγνυμένων τῶν τοπικῶν ἀγγείων καὶ τοῦ ἐν αὐτοῖς αἵματος παρεγχεομένου, ἔπειτα δὲ ἀργευομένου, εἰς λεπτὴν οὐσίαν τρυγώδη ἢ δίαιμον ἀναλυομένου· cυνεχέστατα δὲ γίγνεται τὸ πάθος ἐκ τῆς τοιαύτης αἰτίας ἐπὶ νηπίων, ὅταν ἡ μαῖα ἀπείρως μαιουμένη σκληροτέρᾳ τῇ χειρὶ χρησαμένη κατὰ τὸ τοῦ ἐμβρύου κεφάλαιον θλάσῃ τινὰ cώματα. cυνίcταται δὲ τὸ ὑγρὸν ἐπὶ τῶν ὑδροκεφάλων ἢ μεταξὺ τοῦ δέρματος καὶ τοῦ περικρανίου ὑμένος ἢ μυὸς τοῦ κροταφίτου ἢ ὑπὸ τὸν περικράνιον ὑμένα μεταξὺ αὐτοῦ καὶ τοῦ τῆς κεφαλῆς ὀστοῦ ἢ ὑπὸ τὸ κρανίον μεταξὺ τῆς μήνιγγος καὶ τοῦ ὀστέου. οἱ δὲ πρὸ ἡμῶν φασι καὶ μεταξὺ τῆς μήνιγγος καὶ αὐτοῦ τοῦ ἐγκεφάλου cυνίcταςθαι, ὅπερ ἐστὶν ὀλέθριον. ἀργοῦ μὲν οὖν ὑγροῦ cυλλεγομένου κατὰ τὸ δέρμα ἔξωθεν μεταξὺ τοῦ περικρανίου καὶ τοῦ ὀστέου ὄγκος cυνεδρεύει κατά τι μέρος τῆς κεφαλῆς, καθ' ὃν ἡ γεγονυῖα cυλλογὴ ὁμόχρους ἀναλγὴς εὐαφής, εἴκοντος καὶ μεθιcταμένου κατὰ τὴν τῶν δακτύλων ἐπαφήν. καὶ εἰ μὲν αὐτόματος γένηται, ἐξ ἀρχῆς ἀνώδυνος καὶ ὁμόχρους ἔσται ὁ τόπος, εἰ δὲ ἐκ πληγῆς ἢ θλάσματος, κατ' ἀρχὰς

2—5 ὑδροκέφαλον — cυνίcταται *cf. [Gal.] def. med. 390 (XIX, 442, 15—17)*
12—25 cυνεχέστατα — τόπος *cf. Or.[c] XLVI 28 (III 237, 26—27, 30—37)*
15—20 cυνίcταται — cυνίcταςθαι *cf. Gal. ascrip. int. s. med. 19 (XIV, 782, 14—17)*

τοῦ *om.* χ A P τοῦ *om.* S 49 λῦcαι φ *post* παῦcαι: φυcικὸν περὶ πταρμοῦ P[x] Περὶ τῶν περὶ τὴν κεφαλὴν παθῶν καὶ τῶν περὶ τὰ ὦτα καὶ τὰς ῥῖνας ω Περὶ τῶν — παθῶν πάντων λόγος ϛ̄ M[o]

φ (L[a] P[a]) χ (C[p] P[x]) ψ (A P) [*m. 2[a]* S] ω (S A[t]) 1 Ἀρχὴ ἕκτου βιβλίου P[x] Ἀετίου βιβλίον ἕκτον περὶ τῶν ἐν τῇ κεφαλῇ cυνιcταμένων πάντων παθῶν P Λόγος ἕκτος C[p] S *om* L[a] M[o] A A[t] 2 *totum cap.* ā *om.* M[o] P Λεωνίδους L[a] P[x] A S ...δος A[t] Ἀετίου *ex* Λεωνίδους *ut vid.* C[p] *post* Λεωνίδου: Ἔμπλαστροι λέγονται (...άστρου ..γοντος C[p]) διαφορεῖν τὰ ὑγρὰ ταῦτα ἡ διὰ καππάρεως καὶ ἡ διὰ τοῦ ἀγαρικοῦ L[a] C[p] 3 τὸ *om.* P[a] P[x] A A[t] cυστέλλεται P[x] 5 γίγνεται δὲ] cυνίcταται (δὲ *suprascr. m. 2[a]* S) ω 6 τοῦ] τῶν S αὐτομάτος (*l.* -τως) A ....των S 7 ...μμένης φ S 8 παρηθουμένης χ A S 9 *ante* ὑγρὸν: ὕδωρ *add.* A[t] *m. 1[a]* S 10 *post* θλάσμ.: ἢ ἐξ ἄλλων τινῶν ἢ καὶ πάλιν P[x] 11 ....χυνομένου P[a] C[p] ....κεχυμένου ω ἀραιουμένου A[t] *ante* εἰς: καὶ C[p] *m. 2[a]* S 12 *post* ἀναλυομένου: εἰς λεπτὴν οὐσίαν τρυγώδη L[a] 13 τῆς *om.* C[p] ω 14 μαιευομένη C[p] *m. 2[a]* S μετιομένη L[a] ω χρηcαμ.] μετερχομένη ω *ante* κατὰ: καὶ ω τὸ] τὴν P[a] τῆς A *om.* C[p] A[t] *m. 1[a]* S 15 κεφαλὴν P[a] ...ῆς A θλάσει L[a] P[x] ω *post* τινὰ: ποιοῦcαν ἐν τῷ τοιούτῳ P[x] 17 τοῦ κροταφ.] που κροτάφου A[t] *m. 1[a]* S τοῦ *alt. om.* ω 18 μεταξὺ *om.* ω 20 ἀργοῦ — ὑγροῦ] ὑγροῦ μὲν οὖν A[t] 21 *post* ἔξωθεν: τοῦ περικρανίου ὑμένος ἢ χ A ω 22 καθ' ὃν *sc.* τόπον 24 αὐτομάτως χ A

μὲν ἐνερευθὴς καὶ ἐπώδυνος γίνεται ὁ ὄγκος, ὕςτερον δὲ ἀργευομένου τοῦ ὑγροῦ καὶ μεταβαλλομένου εἰς λεπτὴν οὐςίαν, τότε ὁ ὄγκος ὁμόχρους καὶ ἀνώδυνος γίνεται. τῆς δὲ ςυλλογῆς ὑπὸ κρανίον γεγενημένης μεταξὺ τοῦ ὀςτέου καὶ τῆς μήνιγγος κατ' ἀρχὰς ὀλίγου ὄντος τοῦ ὑγροῦ ἡ κεφαλὴ βαρύνεται καὶ ςκοτιςμοὶ γίγνονται ςυνεχεῖς καὶ αἱ αἰςθήςεις ἀμβλύνονται, λέγω δὲ ὅραςις ἀκοὴ καὶ αἱ λοιπαί. ὅταν δὲ πλεονάςῃ τὸ ὑγρὸν, αἱ ῥαφαὶ τῆς κεφαλῆς διὰ τὸ πλῆθος διίςτανται ἀπ' ἀλλήλων καὶ διὰ τοῦτο ἡ κεφαλὴ μεγάλη γίγνεται καὶ πρόδηλος ὁ τόπος τῆς ςυλλογῆς· τῷ γὰρ δακτύλῳ ἐπειγομένῳ εἴκει τὸ ὑγρόν. χειρουργία· κοινῶς μὲν οὖν ἐπὶ τῆς ὑπὸ τὸ δέρμα ςυλλογῆς καὶ τῆς μεταξὺ τοῦ περικρανίου ὑμένος καὶ τοῦ ὀςτέου ταῖς αὐταῖς ἐπιβολαῖς χρώμεθα πρὸς τὴν τοῦ ὑγροῦ ἔκκριςιν καὶ μικροῦ μὲν τοῦ ὄγκου ὄντος διαίρεςις μία μικρὰ κατὰ τῆς τοῦ ὄγκου κορυφῆς διδόςθω, μείζονος δὲ τοῦ ὄγκου γεγονότος δύο ἢ τρεῖς ἢ πλείους διαιρέςεις διδόςθωςαν κατ' ἀναλογίαν τοῦ μεγέθους ἐν τοῖς καθ' ὑπόρρυςιν τόποις· οὐ δεῖ δέ, ὡς ἐπὶ ἀποςτημάτων, μετὰ τὴν χειρουργίαν λημνίςκους διεκβάλλειν, ἀλλ' αὐτὰς μόνας τὰς διαιρέςεις τοῖς μοτοῖς διαςτέλλειν· μετὰ γὰρ τὴν τοῦ ὑγροῦ ἔκκριςιν ῥᾳδίως ἐπὶ τούτων παρακολλᾶται τὰ ςώματα· διὸ ἀρκούμεθα ἐπ' αὐτῶν τῇ διαμοτώςει, μετὰ δὲ τὴν διαμότωςιν, ἐὰν μὲν ᾖ νήπιον τὸ κεχειριςμένον, διὰ τὸ βάρος τὴν ἐπίδεςιν παραιτούμεθα. ὠοβραχὲς δὲ ἔριον ἐπιτιθέςθω καὶ πιλαρίῳ ςκεπάςθω τὸ κεφάλαιον. ἐπὶ δὲ τῶν ἰςχυροτέρων μοτοφυλάκιον ἔξωθεν ἐπιτιθέςθω καὶ ἐπίδεςις ἐκκρινέςθω. δυνατὸν δὲ ἀπὸ τῆς τρίτης ςυνεργεῖν τῇ παρακολλήςει διά τινος τῶν κολλητικῶν ἐμπλάςτρων. τῆς δὲ ςυλλογῆς ὑπὸ τὸν κροταφίτην μῦν γενομένης, ἵνα μὴ τμηθῇ ὁ μῦς, ἐκδέξαςθαι χρὴ ἕως πλεονάςει τὸ ὑγρόν, ἔπειτα ἐκ πλαγίων τοῦ μυὸς δοῦναι τὴν διαίρεςιν. ἐὰν δὲ ςυνέχηται τὸ ὑγρὸν ἐν τῷ βάθει ὑπὸ τὸν μῦν, δύο διαιρέςεις διδόςθωςαν ἐκ τῶν δύο πλαγίων τοῦ μυός, ἑκατέρωθεν αὐτοῦ μία, ἔπειτα ὑποδιαιρεῖν τὸ ςῶμα διὰ τοῦ λαβιδίου τοῦ ςμιλαρίου ἀςφαλῶς. μετὰ δὲ τὴν τοῦ παντὸς ὑγροῦ ἔκκριςιν θεραπεύειν, καθὼς προδεδήλωται. καὶ

9—15 κοινῶς — τόποις *cf. Gal. ascrip. int. s. med. ib. (ib. 783, 4—5)*

φ($L^a P^a$) χ($C^p P^x$) ψ(A) [*m. 2ª* S] ω(S A^t) 1 τόπος, *supra scr.* ὄγκος *m. 1ª* P^a 3 γίνεται *om.* A^t *m. 1ª* S *post* ὑπὸ: τὸ χψω 5 αἱ *om.* ψS 7 ςυνίςτανται $L^a P^x$ 8 *post* πρόδηλος: γίγνεται P^a χψ A^t *canc. seps.* S 9 ....κτυλίω $L^a A^t$ ἐπερειδομένω P^a χψ *m. 2ª* S *om.* A^t *m. 1ª* S χειρουργία *om.* C^p ψω 10 ἐπὶ *om.* ω τὸ δέρμα] δένδρου P^x τῆς *alt*] τοῦ A^t τοῦ *om.* P^x ψ 13 μικρὰ μία ω δίδοται α, *exc.* L^a 14 δίδονται ω κατὰ χψ 15 καθυπορύςι L^a κατυπορύςεις P^x 16 διεκβαλειν C^p S ἐμβάλ(λ)ειν P^x ψ ἀλλὰ ταύτας ψ ἀ. τοῦ τὰς P^x 17 τῶ μρτῶ P^a 18 διαρκούμεθα L^a 19 δὲ *om.* L^a 20 ἐγχειριςμ. P^a κεχρηςμ. ψ κεχριςμ. P^x κεγχριςμ. A^t 21 ςκεπέςθω α, *exc.* L^a 22 μοτὸν ἔξωθεν φυλάκιον ω ἐπιθέςθω ψ καὶ—ἐκκρ. *om.* P^a ἐγκρ. C^p ψ 24 ἐπὶ P^a ψ A^t *post* ὑπὸ: τὴν ἐνέργειαν τὸν ὑπὸ P^x μῦν] μὴν L^a μυῶν ψ μὲν A^t *m. 1ª* S 25 γιγνομ. α, *exc.* φ 26 ἐκπλαγείων P^a ψ δὲ *om.* $L^a P^x A^t$ *m. 1ª* S 26. 27 ςυνέχη L^a 28 τῶν μυῶν P^x ψ αὐτοῦ *om.* L^a μία *om.* ω 28. 29 ὑποδέρειν α, *exc.* φ τὰ ςώματα α, *exc.* φ διὰ] ὑπὸ α, *exc.* φ 30 ὑγροῦ *om.* P^x ψ *supra scr. m. 2ª* S

ἐπὶ δὲ τῶν ὑπὸ τὸ κρανίον ἀναμένειν δεῖ καὶ ὅταν πλεονάσῃ τὸ ὑγρὸν καὶ διαστῶσιν αἱ ῥαφαὶ καὶ φανερὸν γένηται τὸ ὑγρόν, διαιρεῖν τὸν κορυφούμενον τόπον καὶ τὰ ἀκόλουθα ποιεῖν.

β̄ Περὶ φρενίτιδος ἐκ τῶν Ποσειδωνίου. ἡ φρενῖτις φλεγμονή ἐστι τῶν περὶ τὸν ἐγκέφαλον μηνίγγων μετὰ πυρετοῦ ὀξέος παρακοπὴν καὶ παραφορὰν τῆς διανοίας ἐπιφέρουσα. σπανίως δὲ ἡ φρενῖτις ἐξ ἀρχῆς συνεισβάλλει τῷ πυρετῷ· τοῖς δὲ πλείστοις ἀπὸ τῆς δ̄ ἄρχεται καὶ ε̄ καὶ ϛ̄ καὶ ἔτι ὀψιαίτερον αὐτῷ σχεδὸν τῷ κινδύνῳ συνάπτουσα, ὥστε ἤδη οἱ μὲν ἑβδομαῖοι, οἱ δὲ ἐναταῖοι ἤρξαντο παραφρονεῖν. διαφοραὶ δὲ τῆς φρενίτιδος πλείους μέν, αἱ δὲ κυριώταται τρεῖς· ἢ γὰρ τὸ φανταστικὸν μόνον εἰσὶ βεβλαμμένοι, σῴζεται δὲ αὐτοῖς τὸ λογιστικὸν καὶ ἡ μνήμη, ἢ τὸ λογιστικὸν μόνον ἠδίκηται, σῴζεται δὲ τὸ φανταστικὸν καὶ ἡ μνήμη, ἢ καὶ τοῦ φανταστικοῦ καὶ τοῦ λογιστικοῦ ἐστιν ἡ βλάβη, σῴζεται δὲ ἡ μνήμη. μνήμης δὲ ἀπολλυμένης ἐπὶ τῶν πυρεκτικῶν νοσημάτων συναπόλλυται ὡς ἐπίπαν καὶ τὸ λογιστικὸν καὶ τὸ φανταστικόν. τοῦ μὲν οὖν ἐμπροσθίου μέρους τοῦ ἐγκεφάλου βλαβέντος τὸ φανταστικὸν μόνον ἠδίκηται, τῆς δὲ μέσης κοιλίας τοῦ ἐγκεφάλου βλαβείσης παρατροπὴ γίγνεται τοῦ λογιστικοῦ, τοῦ δὲ κατὰ τὸ ἰνίον ὀπισθίου ἐγκεφάλου βλαβέντος ἀπόλλυται τὸ μνημονευτικόν, σὺν αὐτῷ δὲ ὡς ἐπίπαν καὶ τὰ ἕτερα δύο. ὅσοις μὲν οὖν βέβλαπται τὸ φανταστικόν, κρίνουσι μὲν ὀρθῶς, φαντάζονται δὲ ἀλλόκοτα· ὅσοις δὲ ἠδίκηται τὸ λογιστικὸν μόνον, φαντάζονται μὲν ὀρθῶς, κρίνουσι δὲ οὐκ ὀρθῶς· ὅσοις δὲ τὸ μνημονευτικὸν ἠδίκηται, οὐδενὸς τῶν πρόσθεν γεγενημένων μνημονεύουσιν ὀρθῶς, ἀλλ᾽ οὐδὲ φαντάζονται οὐδὲ κρίνουσιν ὀρθῶς ὡς ἐπίπαν. προσήκει τοίνυν τῷ μᾶλλον ἠδικημένῳ μέρει, μᾶλλον τὰ βοηθήματα προσάγειν, μὴ μέντοι μηδὲ τῶν ἄλλων ἀμελεῖν. περὶ μὲν οὖν τῆς ἀπολλυμένης μνήμης κατ᾽ ἰδίαν μετὰ βραχὺ ἐροῦμεν, νυνὶ δὲ ὅπως χρὴ τῶν φρενιτικῶν

4. 5 ἡ φρενῖτις—ὀξέος *cf. Gal. ascrip. int. s. med. XIV 732, 18—733, 1 de symptom. caus. II 7 (VII, 5—6)* ἡ φρενῖτις—ἐπιφέρουσα *(6) [Gal.] def. med. 234 (XIX, 412, 16 sqq.)* ἡ φρενῖτις—μηνίγγων *(5) Paul. III 6 (I 144, 3—5)* 9 διαφοραὶ κτλ. *cf. Gal. de loc. aff. IV 2 (VIII, 225, 13 sqq.)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 ἐπὶ δὲ (δὲ *om.* C^p) τῶν (τὸ L^a τὸν S) ὑπὸ] ἔπειτα ὑπὸ A^t ὅτε A 2 καὶ διαστ.—τὸ ὑγρόν *om* A^t 3 *post* ποιεῖν: ὡς ἐπὶ τῶν διισταμένων ῥαφῶν τῆς κεφαλῆς (συνισταμένων παθῶν πάντων *add.* A) *add.* $C^p P^x$ A S 4 *ante* Περὶ: Περὶ τῶν περὶ τὴν κεφαλὴν συνισταμένων παθῶν πάντων λόγος ϛ̄ $C^p P^x$ *sqr. multa:* Ἑρμηνεία τίς ἡ κεφαλὴ καὶ κατὰ τί εἴρηται κεφαλὴ κτλ.—καὶ ταῦτα τοίνυν διερμηνεύσαμεν ἅπαντα περὶ τῆς κεφαλῆς· λοιπὸν διερευνήσομεν καὶ περὶ τῶν παθῶν αὐτῆς. Ἀρχὴ σὺν θεῷ ἁγίῳ περὶ τῶν ἐν τῇ κεφαλῇ παθῶν κεφάλαιον β̄ P^x ἐκ τῶν *om.* L^a φλεγμονὴν ἐμποιεῖ A^t 5 τ. ἐγκ.] τὴν κεφαλὴν P ω 8 αὐτοσχεδὸν C^p αὐτὸ M^o συνέπουσα L^a 9 ἤδη *om.* L^a παραφέρειν M^o ω 11. 12 καὶ ἡ μνήμη ἢ τὸ λογ. *om.* A^t 12. 13 ἢ τὸ λογ.—καὶ ἡ μνήμη *om.* P 15 καὶ *pr.*] οὐ L^a 16 οὖν *om.* M^o P προσθίου $P^a P^x A^t$ *m. 1ª* S 20 ὅσους . . . βλάπτεται L^a 21 *ante* ὀρθῶς: οὖν A^t ὅσον $L^a M^o$ 22 ὅσον L^a 23 οὐδὲ C^p . . . ἐν P μνημονεύσουσι P κρίνουσι A^t 24 κρίν.] μνημονεύουσιν A^t 25 μᾶλλον *alt. om.* $P^x M^o$ ψ A^t *m. 1ª* S 26. 27 μνήμης *om.* ω

ἐπιμελεῖcθαι ῥητέον. κατακεκλίcθαι τοίνυν προcήκει τὸν νοcοῦντα ἐν οἴκῳ χειμῶνοc μὲν ἀλεεινῷ, θέρουc δὲ ψυχεινοτέρῳ, ἡcυχίαν δὲ ἄγειν κελεύειν καὶ τὸν νοcοῦντα μὲν αὐτὸν καὶ τοὺc ἐπὶ τῆc οἰκίαc ἅπανταc καὶ τοὺc πληcίον· καὶ τοὺc μὲν πρὸc τὸ φῶc ἀγριαινομένουc ἐν cκοτεινοτέρῳ οἴκῳ κατακλίνειν, τοὺc δὲ πρὸc τὴν αὐγὴν μᾶλλον cωφρονοῦνταc ἐν φωτεινῷ οἴκῳ διαιτᾶν. εἰ μὲν οὖν ἡ φρενῖτιc cὺν τῷ πυρετῷ ἐξ ἀρχῆc ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ ἢ μέχρι τῆc τετάρτηc εἰcέβαλε καὶ μὴ ἐκ μεταπτώcεωc ἑτέρου νοcήματοc ἐπεγένετο οὔρων τε ὑφαίμων ὄντων καὶ τοῦ προcώπου ἐρυθροῦ καὶ ἡλικίαc ἀκμαζούcηc καὶ εὐεξίαc τοῦ cώματοc παρούcηc καὶ πάντων ἅμα τῶν cημείων ὑπαγορευόντων αἵματοc πλῆθοc, φλεβοτομητέον ἀπ᾿ ἀγκῶνοc. τέμνειν δὲ τὴν μέcην φλέβα καὶ κενοῦν πρὸc δύναμιν καὶ μὴ μέχρι λειποθυμίαc, ἔλαττον μᾶλλον τοῦ δέοντοc ἀφαιροῦνταc διὰ τὴν ἐκ τῆc cφοδρᾶc κινήcεωc γιγνομένηc ἐπ᾿ αὐτῶν πλείcτην διαφόρηcιν καὶ τὸν κόπον. καὶ ἡ διαίρεcιc δὲ cύμμετροc ἔcτω, μή πωc λάθρᾳ ὁ κάμνων λύcῃ τὸν δεcμὸν τοῦ βραχίονοc· κίνδυνοc γὰρ ἐκ τῆc αἱμορραγίαc παρέπεται. παραλειφθέντοc δὲ διά τινα αἰτίαν τοῦ τῆc φλεβοτομίαc βοηθήματοc, κλυcτῆρcι χρὴ κενοῦν τὴν γαcτέρα διὰ χυλοῦ πιτύρων ἢ πτιcανῶν ἀφρονίτρου τε βραχέοc καὶ μέλιτοc ὀλίγου, τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μᾶλλον χλιαρῷ. φλεγμαινούcηc γὰρ τῆc μήνιγγοc, οὐκ ἀβλαβὲc τὸ ψυχρόν οὐδὲ μὴν τὸ πάνυ θερμόν. τὸ μὲν γὰρ ψυχρὸν πυκνοῖ τοὺc πόρουc καὶ οὐ cυγχωρεῖ διαφορεῖcθαι τὰ ἐν τῇ κεφαλῇ περιττώματα· τὸ δὲ πάνυ θερμὸν διπλαcιάζει τὴν πύρωcιν, ὥcτε θέρουc μὲν ἄκρωc χλιαρὸν τὸ ῥόδινον

1—6 κατακεκλίcθαι — διαιτᾶν *Aret. V 1 (91, 12—15 cf. 92, 2—8) Paul. ib. (ib. 145, 12—13)* 11—19 φλεβοτομητέον — χλιαρῷ *cf. Paul. ib. (ib. 145, 1—9)* 11 τέμνειν — φλέβα *cf. Aret. ib. (92, 16—17, 21)* 19 τὴν δὲ — ῥοδίνῳ *cf. Gal. meth. med. XIII 21 (X 928, 14—16) cf. Aret. ib. (93, 31sqq.)* 23 τὸ ῥόδινον — ὄξουc *(p. 127, 1) cf. Gal. meth. med. XIII, 21 (X 928, 15—16, 930, 11—12) de simpl. med. temp. ac fac. III 9 (XI, 559, 16—17)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 *post* ῥητέον: Ἄλλη ἑρμηνεία περὶ φρενίτιδοc Παύλου· ἡ κυρίωc φρενῖτιc φλεγμονή ἐcτι τῶν μηνίγγων — οἱ δὲ παλαιότεροι τοῦ Γαληνοῦ κάτοχον τοῦτο προcαγορεύουcιν Θεραπεία φρενίτιδοc Ποcειδωνίου P^x ....κλεῖcθαι χ A ω χρὴ P^a *om.* P^x 2 ψυχικωτέρῳ P^x ψυχοτέρῳ (ει *supra scr. m. 2ª* S) ..χροτέρῳ A^t 3 τῆc *om.* A^t 5 κατακλείειν P S ...κλίειν (...κλύειν A^t) L^a 6 *ante* φωτ.: τῷ ω διαιτεῖν L^a διάγειν (αιτᾶν *supra scr. m. 2ª* S) διάγειν A^t 7 τῇ *alt om.* P ω ...βαλλε P^x P *m. 2ª* S ..cβάλλει A^t *m. 1ª* S 11 *post* ἀγκῶνοc: ἢ καὶ ἀπὸ τῆc ἀνωτέραc φλεβὸc τῆc κεφαλῆc· εἰ δὲ μὴ ηὑρίcκομεν τὴν μέcην — ἤδε τῆc χειρὸc φλεβοτομία P^x 11. 12 τέμνειν — φλέβα καὶ *om.* P^x 12 κένωcον αἷμα πρὸc τὴν τοῦ κάμνοντοc δύναμιν P^x *ante* ἔλαττον: ἀλλ᾿ P^x *post* ἔλαττ.: δὲ ω 13 ....ροῦντεc $P^a M^o$ A S -τοc $L^a P^x$ ...ται A^t ....μένην α, *exc.* L^a 14 τὸν *om.* P^x A ἡ *om.* L^a P A^t *m. 1ª* S 15 λύcαc (...αντοc A) $P^x M^o$ P A^t 16 γὰρ *om.* $P^x M^o$ A P *ante* ἐκ: ὁ χ ψ ω παρέπηται A S ...έψοιτο P 18. 19 διὰ χυλοῦ — χλιαρῷ] οἷον cεύτλου ἴων δαμαcκίνων πτιcάνηc κριθῆc μελοχ καὶ μαρουλίων — ταῦτα γὰρ πάντα πρόcφερε χλιαρ⟨ά⟩ P^x χυλῶν $C^p P^x$ ω πτιcανων $C^p M^o$ ...ccάνηc (...cάνηc) $P^a P^x$ ψ ω τε *om.* $L^a P^x$ ω *supra scr. m. 2ª* S 23 ἀκροχλιαρὸν $C^p M^o$ P *m. 2ª* S ἄκρῳ P^x A 23 χλιαρὸν — ὄξουc] *(p. 127, 1)* χλιαρ⟨ὰ⟩ τὰ ἐπιθέματα πάντα τῆc κεφαλῆc καὶ τοῦ παντὸc cώματοc P^x

προcφέρειν μετὰ βραχέος ὄξους· χειμῶνος δέ, μετρίως θερμόν. εὔθετον δὲ καὶ τὸ χαμαιμήλινον αὐτῷ μιγνύμενον ἐξ ἴcου ψυχροτέρου ὄντος τοῦ περιέχοντος· εἰ δὲ cφοδροτέρα εἴη ἡ παραφορά, προκενώcας, ὡς εἴρηται, τῇ φλεβοτομίᾳ ἢ κλυcτῆρcι καὶ ἀφεψήcας ἐλαίῳ κωδίας καταιόνα τὴν κεφαλὴν καὶ τὸ πρόcωπον καὶ cυνεχῶς δίδου προcκλύζεcθαι ὕδατι, ἀνεφεψημένων αὐτῷ κωδιῶν καὶ τὸ μέτωπον χρῖε ὑπνωτικῷ τινι τροχίcκῳ οἷον τῷ παγχρήcτῳ ἢ τῷ διὰ cπερμάτων, καὶ ὀcφραίνειν δὲ cυνεχῶς ὑπνοποιοῖς τοῖς προγεγραμμένοις ἐν τῷ πρὸ τούτου λόγῳ πρὸς τοὺς ἀγρυπνοῦντας· καὶ ὑπὸ τὸ προcκεφάλαιον κωδίας ὑποτιθέναι ἢ μανδραγόρου μῆλα. ἐπιταθέντων δὲ τῶν κακῶν, διδόναι καὶ τοῦ διὰ τῶν κωδιῶν ὑπνωτικοῦ φαρμάκου ὅcον κοχλιάριον, ἢ πλέον ἢ ἔλαττον πρὸς δύναμιν. δοτέον δὲ τοῦ διὰ μέλιτος ἐcκευαcμένου, οὐ τοῦ διὰ τοῦ γλυκέος διὰ τὸ οἰνῶδες· ἐν παρακμῇ δὲ τοῦ παροξυcμοῦ δίδου τὸ φάρμακον. ἐν γὰρ τῇ ἀκμῇ εἰ δοθείη τὸ μὲν φάρμακον ἕλκει πρὸς ὕπνον, ὁ δὲ πυρετὸς διανίcτηcι καὶ μεριζόμενος ὁ κάμνων εἰς ἄμφω χαλεπώτερον φέρει τὸ γιγνόμενον· δοὺς δὲ τὸ φάρμακον ἡcυχίαν εἶναι κέλευε. βέλτιον δὲ τοῦ ῥοδομέλιτος προcπλέκειν τῷ διὰ κωδιῶν· κατακεραcτικὸν γὰρ τῆς δριμύτητος ὑπάρχει καὶ τῆς κοιλίας ὑπαγωγόν· διὸ καὶ τῷ πινομένῳ ὕδατι ἐν τῇ τοῦ παροξυcμοῦ ἀκμῇ καλὸν ἐπιφέρειν τὸ ῥοδόμελι. φυλάττεcθαι δὲ χρὴ τὴν cυνεχῆ χρῆcιν τῶν ναρκωτικῶν πάντων φαρμάκων, πομάτων τε καὶ καταντλημάτων καὶ ἐπιχρίcτων. ῥᾳδίως γὰρ ἐπὶ τῶν ἀμέτρως ψυχομένων μετάπτωcις γίγνεται ἀπὸ φρενίτιδος εἰς λήθαργον, ὅτε καὶ ὀλέθριον γίγνεται τὸ νόcημα· ὅθεν ὅταν ἡ παραφορὰ ἐμβραδύνῃ, ἕρπυλλον ἢ cπονδύλιον ἐναφεψεῖν δεῖ τῷ καταιονουμένῳ τῇ κεφαλῇ ἐλαίῳ. διαπνευcτικὰ γὰρ τῶν παχέων ἀτμῶν τυγχάνει. μένοντος δὲ τοῦ προcώπου καὶ μετὰ τὴν φλεβοτομίαν ἀcυμπτώτου καὶ ἐρυθροῦ cικύας κολλήcας τῷ ἰνίῳ χάραccε ἀμυχαῖς

4. 5 ἀφεψήcας — κεφαλήν | 5. 6 ὕδατι — κωδιῶν *cf. Paul. ib. (ib. 145, 10) Gal. meth. med ib. (ib 17)* 8 ὑπνοποιοῖς *cf. supra p. 97, 23 sqq. et Gal. ascrip. int. s. med. 13 (XIV, 733, 7)* 24—26 ὅταν — τυγχάνει *cf. Aret. ib. (94, 1—6)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 *post* θερμόν: εἰ δὲ καὶ ὀλίγον ὄξος ἐπιβάλλ⟨ης⟩ οὐκ ἀβλαβές P^x 1—3 εὔθετον — περιέχ] εἰ δὲ χειμὼν cφοδρ⟨ὸς⟩ εἴη cὺν † τῶν καταπλαcμάτων μίγνυε ὀλίγον χαμαιμήλινον ἔλαιον P^x 3 παραφροcύνη ω 4 τῇ *om.* A 5 καὶ *alt. om.* χ ψ ω δίδου *om.* P^a P 7 οἷον — cπερμάτων *om.* C^p P ω *post* cπερμ.: ἔcτι δὲ ἡ cκευαcία τοῦ παγχρήcτου αὕτη· χυλὸν γλυκυρίζης — ὑοcκυάμου cπέρμα δρμ c̄, ὕδατι δεῦcον P^x 10 μήλων A^t -ου S *post* μῆλα: δίδου ὀcφραίνεcθαι P^x τοῦ] τὴν ἀντίδοτον τὴν P^x 11 τῶν *om.* P^x A A^t *m. 1ª* S κοχλ.] ου ΓΓʹ C^p *post* κοχλ.: ἔcτι δὲ ἡ cκευαcία αὐτῆς (τ)αὔτη· γλυκύριζον τετράγκανθον — καὶ δροcάτον τῶν ἴων τὸ ἀρκοῦν P^x 11—13 ἢ πλέον — οἰνῶδες *om.* P^x 12 πρὸς] εἰς A^t *ante* μέλιτ.: τοῦ C^p M^o P τοῦ *alt.*] τὸ ψ A^t *m. 1ª* S τοῦ *tert. om.* A A^t 15 εἰς ἄμφω (ἄφνω A^t) ὁ κάμνων P A^t ὁ κάμνων *om.* P^a 17 *post* διά: τῶν P ω 19 ἐπιφ.] ἐπιρραίνειν χ A ω 20 *post* ῥοδόμελι: κατακείcθω δὲ ὁ κάμνων ἐν τόπω φωτιcτ⟨ικῷ⟩ καὶ κράcεως cυμμέτρου ἔχοντι — ἐπίθες βδέλ⟨λ⟩ας καὶ τῆς ῥινὸς καὶ τοῦ ** ὦπʹ P^x χρὴ *om.* P ω 21 πάντων *om.* ω *post* φαρμάκων: τῶν πλέον τοῦ δέοντος χρηcαμένων οἷον P^x 24. 25 δεῖ — κεφαλῇ *om.* P A^t *m. 1ª* S 25 . . . . νωμ.? διαφορητικὰ P^a 26 *post* φλεβ.: καὶ τῶν βδελλῶν P^x 27 καὶ cυκίας κούφας P^x κωλύcας (κολλήcας) τῇ ῥάχει ἀπὸ τοῦ ᾱ cπονδύλου καὶ ἕως τοῦ κ̄ ἔνθεν κἀκεῖθεν, εἶτα κώλυcον (κόλληcον) καὶ P^x *ante* χάραccε: cυκίαν P^x

μετρίωϲ τὸ δέρμα καὶ κένωϲον ὅϲον λίτραν τοῦ αἵματοϲ. τροφὴν δὲ δοτέον πτιϲάνηϲ χυλὸν ἢ ἄλικοϲ ἢ ψίχαϲ πλειϲτάκιϲ πλυθείϲαϲ μετὰ ῥοδομέλιτοϲ· πραϋνθέντοϲ δὲ τοῦ πυρετοῦ διδόναι ᾠὰ ῥοφητὰ καὶ θριδακίναϲ ἀπεζεϲμέναϲ καὶ ὅϲα ὑγραίνει καὶ ψύχει μετρίωϲ μετὰ τοῦ τρέφειν διὰ τὴν ἀϲθενήϲαϲαν δύναμιν.

ι̅ Περὶ ληθάργου κατὰ τῶν Ἀρχιγένουϲ καὶ Ποϲειδωνίου. ληθάργου ἀρχαὶ δύο· οἷϲ μὲν γὰρ τὰ περὶ τὰϲ φρέναϲ καὶ τὰ ϲπλάγχνα πρωτοπαθήϲαντα εἰϲ ϲυμπάθειαν ἄγει τὸν ἐγκέφαλον, οἷϲ δὲ τὰ περὶ τὸν ἐγκέφαλον κατάρχει καὶ οἷϲ μὲν εὐθέωϲ ἐξ ἀρχῆϲ τὸ πάθοϲ ἐπιπίπτει, οἷϲ δὲ ἐκ μεταπτώϲεωϲ τινὸϲ τῶν ὀξέων νοϲημάτων. μάλιϲτα μὲν γὰρ ἀπὸ φρενίτιδοϲ τοῖϲ ϲφοδρότερον διὰ τῶν ναρκωτικῶν φαρμάκων ψυχθεῖϲιν ἡ μετάπτωϲιϲ εἰϲ τὸν λήθαργον γίγνεται, ἤδη δὲ πλειϲτάκιϲ καὶ ἀπὸ τοῦ ϲυνόχου πυρετοῦ ἡ μετάπτωϲιϲ εἰϲ τὸν λήθαργον γέγονε καὶ ἐξ ἑτέρων δὲ πλείϲτων νοϲημάτων, ἐφ᾽ ὧν μάλιϲτα κενώϲειϲ πλείουϲ παρηκολούθηϲαν. ἐνίοτε δὲ καὶ ἐπὶ τῶν χρονίων πυρετῶν ϲυμβαίνει κατὰ περίοδον βαπτίζεϲθαι αὐτοὺϲ τῷ ὕπνῳ, οἷον πολλάκιϲ γίνεται ἐπὶ ἀμφημερινῶν πυρετῶν καὶ ἡμιτριταίων, ἔϲτι δ᾽ ὅτε καὶ ἐπὶ τεταρταίων καὶ οἱ μὲν μετὰ ϲπαϲμοῦ καὶ ϲυνολκῆϲ τῶν νεύρων καταφέρονται, οἱ δὲ δίχα ϲπαϲμοῦ καὶ οἱ μὲν ἀθρόωϲ καταφέρονται, οἱ δὲ ἐκ προϲαγωγῆϲ καὶ οἱ μὲν ἕνα τὸν βαπτιϲμὸν ὑπομένουϲιν, ἐφ᾽ ᾧ τὰ ἔϲχατα κινδυνεύουϲιν, οἱ δὲ ἐν ταῖϲ περιόδοιϲ καταφέρονται καὶ πάλιν ἀνακαλοῦνται. ϲκοπεῖν μὲν οὖν χρὴ τὸ εἶδοϲ τῆϲ καταφορᾶϲ· οἱ μὲν γὰρ κατὰ περίοδον τῷ ὕπνῳ βαπτιζόμενοι ϲομφότερον τὸν ϲφυγμὸν ἔχουϲιν, οἱ δὲ ἀεὶ τὸ πάθοϲ ἔχοντεϲ ϲμικρότατον καὶ δυϲκίνητον. οὗτοι δὲ καὶ διεγειρόμενοι ἀλλόκοτα φθέγγονται καὶ ἐπιλήϲμονέϲ εἰϲιν· οἱ δὲ κατὰ περίοδον οὐδὲν τοιοῦτον ὑπομένουϲι καὶ οἱ μὲν μετὰ βαρείαϲ καὶ ἐπηρ-

1—5 τροφὴν — δύναμιν *cf. Aret. ib. (93, 6 sqq.) Paul. ib. (ib. 145, 17—19, 23—25)* 22 — *p. 129, 1* οἱ μὲν γὰρ — καταφέρονται *cf. Paul. III 9 (I 147, 10—13)* 24—25 οὗτοι — εἰϲιν *cf. Gal. ascr. int. s. med. 13 (XIV 741, 10—11)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) [*m. 2ª* S] ω(S A^t) 1 μετρίαιϲ A *om.* P^a P *post* ὅϲον: ἡ δύναμιϲ ἐπιτρέπει, εἶτα, εἰ μὲν βούλῃ, ἐπίθεϲ ὄρνιθ⟨αϲ⟩· εἰ δέ γε ὁ καῦϲοϲ καὶ ἡ ἀγρυπνία ἐπιμένῃ, ἐπίθεϲ βατράχουϲ κατὰ τῆϲ κεφαλῆϲ *(subscr. in marg.)* P^x λίτραν τοῦ αἵματοϲ *om.* P^x *post* λίτραν: μίαν ω τροφῆϲ L^a P ω 2 ψιχίαϲ L^a *post* πλυθείϲαϲ: ἐν ὕδατι ψυχρῷ ἢ ὀμ′ καὶ P^x 3 *post* ῥοδομ.: μετὰ δὲ τὴν παρακμὴν τοῦ νοϲήματοϲ καὶ P^x δὲ *om.* P^x *post* ῥοφητὰ: ἢ ὄρνιθαϲ τοὺϲ λίαν τρυφεροὺϲ ἔχον⟨ταϲ⟩ ἐν τῇ ἑψήϲει κριθ⟨ά⟩ρ⟨ιον⟩ P^x 5 *post* δύναμιν: προκοπτούϲηϲ δὲ τῆϲ παρακμῆϲ καὶ ὥρα χρηϲτέον καὶ τῇ προϲηκούϲῃ — μέθαϲ ὀργὰϲ ϲιτίων διαφορὰϲ καὶ πρὸ πάντων ἡλιοκαΐαϲ P^x 6 ἐκ τῶν P^a M^o ἐκ τοῦ P^x *om.* C^p ψ ω 12. 13 γίγνεται — εἰϲ τὸν λήθαργον *om.* φ *add. in marg. m. 2ª* S *post* γίγνεται: ὡϲ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ εἰρήκαμεν ἐπὶ τῶν φρενιτικῶν, ὅτε καὶ ὀλέθριόν ἐϲτι *add.* P^x ἤδη — εἰϲ τὸν λήθαργον *om.* P^x 13 γέγονε] γίγνεται (δὲ *add.* P^x) P^x C^p A ω 14 δὲ *om.* P^x νοϲ. πλ. *transp.* P^a 16 αὐτ. βαπτ. *transp.* P^a 17 *ante* ἀμφημ.: τῶν *add.* P^x M^o A 17. 18 *post* τεταρταίων: ἱϲτορεῖ δὲ ὁ Ἀρχιγένηϲ ὅτι καὶ ἐν τριταίῳ τιϲ ὤφθη καταφερόμενοϲ C^p 19 δίχα ϲπαϲμοῦ (. . .ῶν C^p S) — καταφ. οἱ δὲ *om.* M^o P S 19. 20 προαγωγῆϲ P^x A 20 ὧν P A^t ὅϲον L^a τὸ ἔϲχατον P^a τὸν . . .τον P^x A τοὔϲχατον M^o καὶ εἰϲ ἔϲχατον P 21 ὑποκινδ. S 23 τῷ *om.* A^t *m. 1ª* S ϲοφότ. P^a ϲφοδρότ. P ϲαμφότ. A^t 24 μικρότατον C^p ϲμικρότερον A^t 26 τοιοῦτο C^p M^o

μένης ἀναπνοῆς καταφέρονται, ὥςτε καὶ ῥέγχειν καὶ νυγμοὺς καὶ στεναγμοὺς ἀναφέρειν ἐκφαντιστικοὺς τῆς ὀδύνης, ἣν οὐδὲ ἐξειπεῖν δύνανται ἀνακληθέντες διὰ τὸ βεβλάφθαι τὸν λογισμόν· οἱ δὲ ἡσυχέστατα δοκοῦσιν ὑπνοῦν καὶ οἷς μὲν περιέψυκται τὰ κῶλα καὶ ῥυσὰ καὶ ὠχρά ἐστι καὶ πέπηγε σχεδὸν ἡ σύγκρισις, οἷς δὲ διακέχυται καὶ οἷον δροσίζει περὶ τὰς παρακμὰς τῶν παροξυσμῶν. τοῖς μὲν οὖν κατεχομένοις τῷ πάθει ταῦτα συνεδρεύει· ἀνέσπαται τὸ ὑποχόνδριον καὶ συνῆκται ἡ κοιλία καὶ διεγειρόμενοι βίᾳ ὑπὸ τῶν προσεδρευόντων πάλιν εἰς ὕπνον ἕλκονται καὶ λήθη αὐτοῖς συνεδρεύει· καὶ γὰρ πρὸς οὔρησιν πολλάκις ἐπειγόμενοι, ἐπιδοθέντος αὐτοῖς οὐρητήρου σκεύους κατέχοντες αὐτὸ τῇ χειρὶ ἐπιλανθάνονται. ἐπιτεινομένου δὲ τοῦ κακοῦ σύμπαν τὸ σῶμα νωθρὸν καὶ οἷον νεκρῶδες γίγνεται, ὕπτιοι κατακείμενοι ἐπὶ πόδας καταρρέουσι, διερριμμένοι τὰς χεῖρας καὶ τὰ σκέλη, μυκτὴρ ἐνίοις ἀποστάζει, κέχηνεν αὐτοῖς τὸ στόμα καὶ ῥωγμὸς ἰσχυρότερος ἐπιγίγνεται, ἡ κάτω γένυς οἷον παρειμένη καὶ κεχαλασμένη ὁρᾶται. τὰ μὲν συνεδρεύοντα τῷ ληθαργικῷ πάθει ταῦτα. θεραπεύοντες δὲ κατακλινοῦμεν αὐτοὺς ἐν οἴκῳ φωτεινῷ πρὸς αὐγήν· ἔστω δὲ ὁ οἶκος ἀλεεινός· ψηλαφητέον δὲ πόδας καὶ χεῖρας καὶ ὀσφραντὰ διεγερτικὰ προσάγειν, οἷόν ἐστι τὸ καστόριον ἐλλύχνιον ἐσβεσμένον πίσσα ὑγρὰ ἄσφαλτος χαλβάνη· καὶ ὑποθυμιώμενα δὲ διεγείρει τοὺς ληθαργικούς· λίθος γαγάτης ἄσφαλτος καστόριον πευκέδανον θεῖον χαλβάνη σαγαπηνὸν κέρας ἐλάφειον τράγου ῥύπος ἀβρότονον σίλφιον· προσάγειν δὲ ταῖς ῥισὶ καὶ τὰ πταρμικά πλήθους δὲ ὑποκειμένου, εἰ μὲν αἷμα εἴη τὸ πλεονάζον, τέμνειν φλέβα τῇ δευτέρᾳ τῶν ἡμερῶν καὶ κενοῦν πρὸς δύναμιν. εἰ δὲ φλεγματώδης καὶ ὑγροτέρα ἡ ὕλη εἴη, ὥςπερ καὶ εἴωθεν ἐπὶ τῶν ληθαργικῶν πλεονεκτεῖν, προσφέρειν δεῖ τὰ λεπτύνειν δυνάμενα καὶ τέμνειν τὸ πάχος,

6. 7 τοῖς μὲν — συνεδρεύει *cf. Gal. ib. (ib. 11)* 9. 10 πρὸς οὔρησιν — σκεύους *cf. Paul. ib. (ib. 16)* 13. 14 κέχηνεν — στόμα *cf. Paul. ib. (ib. 13—14)* 16—19 κατακλινοῦμεν — καστόριον *Aret. ib. 98, 8—9, 11, 13—14, 20 Paul ib (147, 27—29)* 19 καστόριον ἐλλύχνιον *cf. Gal. de simpl. med. XI, 15 (XII, 341, 3—6)* 22—23 προσάγειν — φλέβα *Gal. meth. med. XIII 21 (X 931, 9—15, 22—23) cf. Paul. ib. (148, 16 sqq.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m. 2ᵃ* S] ω (S A^t) 1 ῥόγχην C^p P 2 ἐμφαντικοὺς (. . . φατ. ω) P^a χ ψ 3 ἀνακληθέντας C^p M^o ψ S . . . κλυθ. A^t 5 σύγκρασις P . . . κρησις S δροσίζου⟨σι⟩ν τὰ ἄκρα P^x . . . σίζειν A^t 6 *post* παροξ.: παρέπεται δὲ τοῖς ληθαργικοῖς σημεῖα ταῦτα P^x *in marg.* σημεῖα ληθάργου P^a 8 συνεδρευόντων P . . . όντων μᾶλλον δὲ προεδρευόντων P^x 9 συνεδ.] ἐπιγίγνεται ω 10 οὐροδόχου P^a (τοῦ C^p P) οὐρητικοῦ χ ψ οὐρηροῦ ω 13 *ante* κέχηνεν: καὶ P^a 14 ῥωχμὸς P^a C^p S ῥυγμὸς P^x A ῥογχμὸς P ῥοχμός A^t ἰσχυρότατος P^a χ ψ S 15 *post* ὁρᾶται: ὑπάρχει δὲ βλάβη τις τοῦ λογιστικοῦ · ὁ λήθαργος — τινὲς δὲ καὶ τρέμουσιν καὶ περιιδροῦσιν *add.* P^x *post* μὲν: οὖν P^a χ P ω 16 *post* ταῦτα: θεραπεία ληθάργου Ἀρχιγένους καὶ Ποσειδωνίου P^x κατακλίνομεν P^x A ω . . . νωμεν C^p 17 *ante* ὁ: καὶ P^x A *ante* ἀλεειν.: καὶ P^a C^p M^o 18 χεῖρας καὶ πόδας P^a P^x ψ A^t χεῖρ. κ. πόδ. C^p (γ̄ β̄ ᾱ) *post* ὀσφρ.: δὲ S 20 γάγατος P^a ω *post* γαγ.: καὶ τὰ ὅμοια οἷον P^x 22 *post* πταρμ.: οἷον ἐλλέβορον μέλαν πέπερι καστόριον εὐφόρβ⟨ιον⟩ καὶ ὅσα τοιαῦτα P^x 25 ὑγροτ.] ψυχροτέρα P^a ἀργοτ. *(recte?)* χ ψ ω ληθάργων χ ψ S 26 λεπτύνοντα καὶ τέμνειν δυνάμενα ω

καὶ ἐπὶ μὲν τῶν μὴ κεκακωμένων τὸ νευρῶδες ὀξύμελι διδόντας, ἐπὶ δὲ τῶν κεκακωμένων ἀφέψημα σελίνου μαράθρου ἀδιάντου καὶ τῶν ὁμοίων καὶ κλύζειν δὲ τὴν κοιλίαν δραστικωτέρῳ κλύσματι καὶ βαλάνοις χρηστέον τοῖς διὰ πηγάνου καὶ νίτρου καὶ κυμίνου καὶ μέλιτος ἑφθοῦ· ἐμβρέχειν δὲ τὴν κεφαλὴν κατ᾽ ἀρχὰς μὲν ἕρπυλλον ἐναφέψοντες σὺν ὄξει καὶ ἐλαίῳ· ἐν δὲ ταῖς ἐπιτεταμέναις κατοχαῖς πευκεδάνου ῥίζα ἀντὶ τοῦ ἑρπύλλου ἐναφέψεται τῷ ὄξει καὶ σὺν τῷ ἐλαίῳ προσάγεται τῇ κεφαλῇ· ἀγαθὸν δὲ ἐπ᾽ αὐτῶν καὶ τὸ ἴρινον ἔλαιον. τρόμων δὲ καὶ συνολκῶν ἐπιγιγνομένων καστόριον σὺν ὀλίγῳ ὄξει λεαίνοντες σὺν τῷ ἐλαίῳ τὴν κεφαλὴν ἐμβρέχομεν. εἰ δὲ φλεγμαίνοι τὰ ὑποχόνδρια, καταπλάσσειν ἐν ἀρχαῖς διὰ γύρεως ἢ ἄρτου ἢ κυδωνίου μήλου ἑφθοῦ ἢ ἑλίκων ἀμπέλου. προελθόντων δὲ λινόσπερμον τῇ γύρει ἢ τῷ ἄρτῳ προσπλεκτέον καὶ ἀψινθίου καὶ τῆς ἀλθαίας τὰ φύλλα κάτεφθα, ὕστερον δὲ διὰ κριθίνου ἀλεύρου καὶ τήλεως καὶ ἀλθαίας ῥίζης, πᾶσι δὲ ἀψίνθιον προσπλέκειν. ἔστω δὲ πλατὺ τὸ ῥάκος, ὥστε περιλαμβάνειν ἑκατέρωθεν τὰς πλευρὰς καὶ τοῦ θώρακος τὰ ὑπὸ τοὺς μασθούς· μετὰ δὲ τὸ κατάπλασμα οὐ χρὴ γυμνὰ τὰ μέρη καταλιμπάνεσθαι, ἀλλὰ κηρωτῇ ναρδίνῃ ἢ κυπρίνῃ σκέπειν αὐτά, ὄπισθεν δὲ κατὰ τοῦ μεταφρένου κηρωτὴν διὰ Σικυωνίου γεγενημένην ἐπιθεῖναι, ἔχουσαν δὲ τερεβινθίνην καὶ δαφνίδων λείων ἐμπεπασμένων. καὶ εἰ μὲν ἐμπνευματώσεις συνεδρεύοι, προσπλέκειν τοῖς καταπλάσμασι τὰ ἄφυσα, οἷον κύμινον δαφνίδας πήγανον καὶ τὰ ὅμοια. εἰ δὲ σκληρῶδές τι ὑποπίπτει καὶ λιβανωτίδος προσπλέκειν καὶ κυάμινον ἄλευρον. ἐπὶ δὲ τῶν ἤδη χρονιζόντων ληθαργικῶν, δυνάμεως ὑποκειμένης, διδόναι τὴν διὰ κολοκυνθίδος ἱερὰν καὶ πταρμικὰ προσάγειν ταῖς ῥισὶ δι᾽ ἐλλεβόρου λευκοῦ καὶ στρουθίου καὶ πεπέρεως καὶ καστορίου καὶ ταῖς ῥισὶν ἐγχέειν ἐλατήριον μετὰ γάλακτος ἢ κυκλαμίνου χυλὸν ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσᾶν

5 ἐμβρέχειν δὲ τὴν κεφαλὴν κτλ. *cf. Gal. asc. int. s. med. 13 (XIV, 732, 6 sqq.) id. meth. med. ib. (ib. 14 sqq.)* 23 ἐπὶ δὲ τῶν *sqq. cf. Gal. meth. med. ib. (ib. 8 sqq.)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) [*m. 2^a* S] ω(S A^t) 1 καὶ *om.* α, *exc.* L^a *post* διδόντας: ἔχον σελίνου μακιδωνισσίου ἀσπαράγγου ὑσσώπου ἀδιάντου κτλ. P^x 2 μαράθ. ἀδ. *om.* P^x 3 *post* ὁμοίων: οὐχὶ δὲ μέλι ἀλλὰ σάχαρ P^x *post* κλύσμ.: οἷον κενταυρίου πολυποδίου ἐντεριώνης ἀψινθίου—ἐπίθες ἀλεκτρυόνα ἢ κύωνα μικρὸν καὶ τοῦτο ποίει πλειστάκις συχνῶς διαλλάσσων P^x 3—5 καὶ βαλάνοις—κατ᾽ ἀρχὰς *om.* P^x βαλανείοις P^a ω 4 χρῆσθαι ω 5 ...ψήσαντες P A^t ...ψῶντες (εἶτα ἕψε ἑρπ. P^x) L^a S σὺν *om.* A P 6 ῥίζαν P^a M^o ω 7 ἐπαφέψ. L^a ἐν ....ψεῖται P ..έψει (..εψεῖν P^a) A^t προσάγειν P^a ...αγάγηται M^o πρόσαγε A^t 8 τὴν κεφαλὴν A^t αὐτῶ A^t *post* ἔλαιον: καὶ προεγράφη ἐν τῶ πρὸ τούτου ῥηθησομένω (*l.* εἰρημένω) βιβλίω ἐπὶ τῶν τεταρταίων P^x 9 ἐπιγενομ. P^a A 10 *post* ἐμβρέχ.: ἢ καστόριον καὶ ἔλαιον χλιάνας ἐπάλειφε τὸ ἰνίον καὶ τὴν ῥάχιν ὅλην P^x φλεγμαίνει M^o P S 12 ἀμπέλων A ω 14 δὲ *pr. om.* L^a κριθῆς A ω 16 μαστούς C^p M^o A ...$\overset{\theta}{\tau}$ούς P 17 μέλη C^p ω 18 ὄπιθεν C^p P^x ω 19 δὲ] καὶ P^a χ S *om.* P A^t 20 ἐμπεπλασμένων L^a (P) ω 20. 21 συνεδρεύει C^p P^x ψ ω 22 πήγανον *om.* A σκηρῶδες A ...ἠρῶδες C^p ...ηρῶδες *corr.* σκιρῶδες S σκιρρ. P^x P A^t ὑποπ.] ὑπάρχει ω 24 *ante* κολοκ.: τῆς A 26 κ. καστορίου *om.* A^t *post* καστ.: καὶ εὐφορβίου P^x 27 ἐμφύσα L^a

καὶ διαχρίειν τὸ cτόμα καὶ τὸν οὐρανίcκον cινήπει μετὰ μέλιτοc, ἔπειτα cικυαcτέον τὰ ὀπίcθια τῆc κεφαλῆc μετὰ φλογὸc πλείονοc καὶ τὰ περὶ τὸν πρῶτον καὶ δεύτερον cπόνδυλον καὶ ἀφαιρεῖν αἷμα ἐκ τοῦ ὀπιcθίου τῆc κεφαλῆc, εἶτα ξυρίcαντac τὰc τρίχαc τῆc κεφαλῆc cιναπίζειν ἰcχάcι μετὰ τοῦ νάπυοc ὄξει βεβρεγμένου. ἐπὶ δὲ τῶν τρομωδῶν καὶ καcτόριον cυνεχῶc ποτίζειν ὅcον < ᾱ μετὰ μελικράτου κυάθων Γ̄c. παρακμάcαντοc δὲ τοῦ πάθουc ἐπὶ λουτρὸν ἄγειν cμήγματι δηκτικωτέρῳ χρωμένουc, οἷόν ἐcτι τρύγη κεκαυμένη νᾶπυ πύρεθρον πέπερι δαφνίδεc ἄcβεcτοc· νίτρου δὲ τὸ διπλοῦν ἐμβαλλέcθω. τροφαὶ δὲ ἔcτωcαν λεπτομερεῖc καὶ τμητικαὶ καὶ ξηραντικαὶ καὶ δι' ἀρτυμάτων cελίνου καὶ κυμίνου καὶ ἀνήθου πεπέρεώc τε καὶ δαφνίδων, καὶ πτηνῶν μὲν ὄρνιc κατοικίδιοc περιcτερὰ καὶ τῶν cτρουθίων οἱ ὄρειοι καὶ πέρδιξ, ἰχθύων δὲ οἱ πετραῖοι, λαχάνων πράcα ἀcπάραγοc πετροcέλινα χαμαιδάφναι, οἶνοc ὁ ὑδατώδηc λεγόμενοc λεπτὸc καὶ λευκὸc ὑποcτύφων καὶ ἡ λοιπὴ ἐπιμέλεια ὁμοία γιγνέcθω.

δ̄ Περὶ κατοχῆc καὶ καταλήψεωc ἐκ τῶν Ἀρχιγένουc καὶ Ποcειδωνίου. μέcον τι φρενίτιδοc καὶ ληθάργου πάθοc εὑρήcειc, ὅ ἐcτιν εἶδοc παρανοίαc ἢ παρακοπῆc. καλεῖν δὲ τοῦτο εἰθίcθηcαν οἱ ἰατροὶ κατοχὴν καὶ κατάληψιν ἐπὶ χυμῷ cυμβαίνοντι μᾶλλον μελαγχολικῷ. ἐπιcφαλέcτερον δὲ τοῦτο τὸ πάθοc ἐcτὶ ληθάργου. ἐπὶ πυρετοῖc δὲ cυνίcτανται παρομοίοιc ληθάργῳ καὶ ὁτὲ μὲν δοκοῦcιν ὑπνώττειν, ὁτὲ δὲ ἀνεῳγότα ἔχοντεc τὰ βλέφαρα ἢ cκαρδαμύττουcιν ἢ ἀτενὲc ὁρῶcι καὶ ὡc πεπη-

9 τροφαὶ κτλ. *cf. Aret. de morb. ac 2, 4 (99, 3sqq.)* 18. 19 καλεῖν — κατάληψιν *cf. Gal. de caus. pulsuum IV, 16 (IX 189, 5—7) de puls. 12 (VIII, 485, 9—11) Paul. III, 10 (I 149, 27—29)* 21. 22 ὁτὲ δὲ — cκαρδαμύττουcιν |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A Γ) [*m. 2ª* S] ω (S A^t) 1 *post* μέλιτοc: εἶτα ἐπιμένοντοc τοῦ πάθουc πυρίαν πρόcφερε διὰ κέγχρου τοῖc ὄπιθεν εἰρημένοιc ἐν τῷ πρὸ τούτου βιβλίῳ ἐν τοῖc καταφερομένοιc ἐν πυρετοῖc P^x 2 *post* cικ.: cυκίαc κούφαc P^x 2—4 τὰ ὀπίcθια — τὰc τρίχαc τῆc κεφαλῆc] μετὰ πολλῆc φλογώcεωc, ἔπειτα δὲ καὶ μετ' ἐγχαράξεωc κατὰ τὰ ὀπίcθια τῆc κεφαλῆc καὶ αὐτὴν μετὰ φλογὸc ἀπὸ τοῦ ᾱ ἕωc τοῦ δευτέρου· εἶτα πάλιν P^x 4 ξυρήcαντac C^p ...τεc M^o A A^t ξηρίcαντεc $L^a P^x$ P S *(in mg. add. m. 2ª)* 6 ὅcον — μετὰ μελικράτου (μέλιτοc P^a μέλιτοc ἀκράτου S) κυάθων (...θουc P^x) Γ̄c *om.* C^p P A^t *m. 1ª* S *post* c: τάc τε φυcικὰc ἐκκρίcειc φυcικῶc ὑπομιμνήcκειν — μερῶν τε καὶ cκελῶν πολλ͂ εὐχριcτοῦcιν P^x 7 ...νοιc P^x ω 8 τρὺξ $P^a P^x$ τρυγία A 9 ..βαλέcθω $C^p M^o$ A S 10 καὶ *alt. om.* $P^a C^p$ S καὶ (*om* $P^a A^t$) ἀνίcου (...ήcου M^o ...ήθου P^a) καὶ (κ. *om.* $P^a A^t$) κυμίνου α, *exc.* L^a 11 ὄρνειc κατοικειδίων περιcτερίων νεοc⟨c⟩οὺc ἡμέρουc P^x 12 cτρουθῶν $P^a C^p P^x$ ψ ω δὲ *om.* $L^a M^o$ ω 12. 13 *post* πετραῖοι: οἷον βούγλωcc⟨οι⟩ cίκκια γομβρίδ⟨εc⟩ καὶ ὅcα ὅμοια P^x 13 πράccα (= A) δίcεφθα P^x *post* πετροc.: μάραθ⟨ον⟩ P^x *ante* χαμαιδ.: καὶ P^a ω *ante* οἶνοc: πόμα δὲ P^x ὁ *om.* L^a P 14 λεγόμ. *om.* P ω οἱ λοιποὶ *Ald.* 15 ὁμοίωc M^o P A^t γενέcθω P^x A *sq.* ὡc ἐν τοῖc καταφερομένοιc ἐν πυρετοῖc, καθὼc ἐν τῷ πρὸ τούτου βιβλίῳ ἀνιcτορήcαμεν ἅπαντα P^x 16 κατόχου $C^p P^x$ A ἐκ — Ποcειδ. *om.* $C^p M^o$ P ω 17 *ante* μέcον: ἤδη μὲν ἐν τῷ περὶ φρενίτιδοc λόγῳ τὴν cύcταcιν τούτου τοῦ νοcήματοc εἰρήκαμεν· τὰ δὲ cημ⟨εῖα⟩ καθόλου μὲν εἰπεῖν κ ι ά P^x τι] τῆc L^a ω *post* εὑρήc.: πρὸc τὴν ἐπικρατοῦcαν ὕλην ἐξαλλαc⟨c⟩όμ⟨ε⟩ν⟨ον⟩ P^x 18 *post* παρακοπῆc: κατὰ μέροc δέ, καταλαμβάνεται δὲ ὁ κάμνων ὕπτιοc ὑποτεταμένοc κτλ. P^x 19 cυμβαῖνον P^a ψ 20 *ante* cυνίcτ.: τὸ πλεῖcτον P^x 22 ἔχουcι P ω

γότας ἔχουσι τοὺς ὀφθαλμοὺς καὶ ἀκινήτους, ὡς ἐνίοτε οὐδ᾽ εἰ τὴν χεῖρά τις φέροι κατὰ τοὺς αὐτῶν ὀφθαλμοὺς μύουσιν· ἄφωνοί τέ εἰσι καὶ ἀναίσθητοι μηδ᾽ ἀκούοντες μηδ᾽ ἀποκρινόμενοι. φέρουσι δὲ τὰς χεῖρας αὐτῶν ἐνίοτε περὶ κεφαλὴν καὶ ὀφθαλμοὺς καὶ ῥῖνας, ὡς κνώμενοι, οὐ μετ᾽ αἰσθήσεως· σφυγμοὶ μικροὶ νωθροὶ ὀλίγου δεῖν ἐκλείποντες· πνεῦμα ποτὲ μὲν πυκνὸν ποτὲ δὲ ἀραιὸν καὶ ἐκ διαστημάτων τινῶν ἀναπνέουσι μεγάλως, κοιλίας καὶ οὔρων ἐποχὴ οὐχ ὑπὸ ξηρότητος· ἔχει γὰρ ὑγρὸν καὶ πολύ, ἀλλὰ διὰ τὴν ἀναισθησίαν· λῆμαι τούτοις ὑπόξηροι τοῖς κανθοῖς προσπεπήγασιν· ἐνίοτε δὲ καὶ προσάπτονται τῶν πλησίων τοίχων καὶ ἁπλῶς εἰπεῖν οὔτε φρενιτικοῖς τὸ πᾶν ἐοίκασιν οὔτε ληθάργοις. γίγνεται δ᾽ ἐνίοτε τὸ πάθος καὶ διὰ πλῆθος αἵματος ἀθρόαν τὴν ὁρμὴν ἐπὶ τὴν κεφαλὴν λαμβάνοντος καὶ ὑπερπληροῦντος ταύτην, ὥσπερ ἐθεασάμεθα ἐπί τινος νεανίσκου πολυαίμου. διατελέσας γὰρ οὗτος τρεῖς ἡμέρας μήτε μύων τὰ βλέφαρα μήτε πρὸς τὰς σφοδρὰς ἐκβοήσεις μετακινῶν τοὺς ὀφθαλμοὺς μήτε μὴν ὑποκρινόμενος, τῇ δὲ τετάρτῃ αἰφνίδιον αἱμορραγία λάβρος διὰ ῥινῶν γέγονε πλείστη καὶ παραχρῆμα πάντων τῶν ὀχληρῶν ἀπηλλάγη. ὅθεν εἰ μὲν πολύαιμός σοι φαίνοιτο ὁ κάμνων, ἀνυπερθέτως τέμνειν ἐν ἀγκῶνι φλέβα τὴν ἀνωτέραν καὶ ἄφελε πρὸς δύναμιν. ἐπὶ δὲ τῶν ἄλλων, πρῶτον μὲν κλύζειν χρὴ τὴν κοιλίαν τοῖς ἁπλουστέροις κλύσμασιν, οἷον πιτύρων χυλῷ καὶ ἀφρονίτρῳ καὶ μέλιτι, ἔπειτα καὶ πολυποδίου ῥίζαν συνεψεῖν τοῖς πιτύροις. τὴν δὲ κεφαλὴν πρῶτον μὲν ἐμβρέχειν ἐλαίῳ γλυκεῖ χλιαρῷ, ἔπειτα δὲ εἰ μὲν θερμοτέρα φαίνοιτο ἡ κεφαλὴ κωδίαν ἐναφεψεῖν τῷ ἐλαίῳ, εἰ δὲ ψυχροτέρα, ἕρπυλλον· καὶ εἰ μὲν εὔλυτος γένοιτο ἡ κοιλία ἐπὶ τοῖς εἰρημένοις κλύσμασιν, ἐπιμένειν αὐτοῖς· εἰ

2. 3 ἄφωνοι—ἀποκρινόμενοι | 5 σφυγμοὶ μικροὶ | 7 κοιλίας καὶ οὔρων ἐποχὴ *cf. Paul. ib. (ib. 149, 8—11)* 17—20 εἰ μεν πολύαιμος—κλύσμασιν *cf. Paul. ib. (ib. 150, 2—4)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 *post* ἔχ.: βλέφαρα ἢ *Ald.* 2 φέρει P^a ψ A^t ..$\overset{οι}{ει}$ P^x 4 περὶ κεφ. ἐνίοτε *transp.* A 5 *post* μικροὶ: καὶ ἀμυδροὶ P^x 5—7 νωθροὶ—ἐποχὴ] καὶ σφόδρα πυκνοί, τὰ δὲ οὖρα καὶ ἡ κοιλία ἐπέχεται P^x τὸ δὲ πνεῦμα ποτὲ—μέγα *(vide ad lin. 8)* P^x 7 μέγα α, *exc.* L^a 8 *post* ἀναισθησίαν: ἢ ἐπ᾽ ὀλίγον ἐκφέρεται, *sqr.* τὸ δὲ πνεῦμα—μέγα *(ll. 6—7)* καὶ οἱ μὲν μετρίως ἔχοντ⟨ες⟩ ἐγχυθέντ⟨ος⟩ αὐτοῖς τινος ὑγροῦ καταπίνουσιν ἢ καὶ κρατηθέντ⟨ες⟩ ἀνακόπτουσιν ἐπὶ τὰς ῥῖνας P^x 11 ληθαργικοῖς P^a P *ante* γίγνεται: τὸ οὖν φλεγ$^{μτ'}$ ἐπικρατοὺν^{τ} τῆς χολῆς συνισταμένης διακρίνομ⟨εν⟩ ἐπὶ τῶν ληθαργικῶν κτλ. P^x ἐνίοτε δὲ γίγνεται ω γίγνεται τὸ πλεῖστον P^x 12 ἀθρόως A ἀθρόον ω τὴν ὁρμὴν *om.* ω *post* κεφαλὴν: τῷ πλήθει ω 13 αὐτὴν ω 14 διετέλεσε ψ οὕτω ω 15 τὰς *om.* L^a ἐμβοήσεις χ A ἐμβολὰς P μήτε κινῶν P^x 16 λάβρως C^p A^t λαῦρος φ P^x P A^t λάθρως S 18 ...νηται A^t τέμνε C^p M^o P ω *ante* ἐν: τὴν χ ψ ω ἐπ᾽ L^a ἀπ᾽ P^a.. ῶνος P^a 19 ἀνωτέρω P^a P *post* δύναμιν: εἰ δὲ γυνὴ εἴη τὴν ἐν τῷ σφοιρῷ (*l.* σφυρῷ) τέμνειν δεῖ τὴν ἀνωτέραν τοῦ ἑνὸς ποδός, ἐπὶ τῇ ἑξῆς ἐὰν ἐπιφέρῃ ὁ κάμνων κατὰ τοῦ ἑτέρου σφοιροῦ (*l.* σφυροῦ) P^x 20 χρὴ κλύζειν P^a A τοῖς ἁπλουστέροις—τοῖς πιτύροις] καὶ ἐπιθετ⟨έον⟩ ὅσα ἐπὶ τῶν ληθαργικῶν εἰρήκαμεν. ἐπιθετ⟨έον⟩ δὲ ἐπὶ τοῖς ἐνέμασι ἀφόνιτρον καὶ πολυπόδιον P^x 21 χυλῷ (...ὸν φ P^x ω) πιτύρων (....ρου A^t) P^a χ ψ ω ἀφο- (ἀφρο...)νίτρου P^x ω μέλιτος P^x ω 23 φαίν.] γένοιτο A^t 24 *post* ἕρπυλλον: ἐπιθέτην (*l.* ..ετέον) δὲ καὶ ὄρνιθ⟨ας⟩ καὶ κυ⟨δ⟩ώνια μικρὰ καὶ συκίας καὶ καταπλάσματα κτλ. P^x 25 αὐτοὺς L^a M^o

δὲ ἐπέχοιτο, ἐλλεβόρου μέλανος ῥίζαν συναφεψεῖν τοῖς πιτύροις. πόμα δ' αὐτοῖς ἁρμόδιον τὸ ἀπόμελι ἢ μελίκρατον ἐπὶ πολὺ ἑψημένον πρὸς τὴν ὥραν. εἰ δὲ πάχος ἐν τοῖς οὔροις εἴη καὶ ἀνήθου ἀφέψημα καὶ σελίνου διδόναι. τροφαὶ δ' ἔστωσαν πτισσάνης χυλὸς καὶ τὰ παραπλήσια. ὕδωρ δὲ τούτοις πολέμιον πινόμενον· ἐπιτείνει γὰρ τὴν ἐμπνευμάτωσιν καὶ κλύδωνας ἐργάζεται καὶ σπλῆνας ἐγείρει καὶ τὴν δίψαν οὐ παύει. ἀλειφέσθωσαν δὲ τὸ πᾶν σῶμα ἀνηθίνῳ καὶ μάλιστα χειμῶνος· ἐφ' ὧν δὲ καὶ τρόμος ἐπιγίγνεται καὶ καστόριον λεαίνων ὅσον < ᾱ σὺν τῷ μελικράτῳ ἐγχεῖν τῷ στόματι.

ε Περὶ κάρου Ποσειδωνίου. ψυχρῶν καὶ ὑγρῶν καὶ φλεγματικῶν χυμῶν καταλαμβανόντων τὸν ἐγκέφαλον ὁ κάρος ἐπιγίγνεται μετὰ πυρετοῦ βληχροῦ· παρέπεται δὲ αὐτοῖς ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν. μεμύκασι δ' αὐτῶν διὰ παντὸς οἱ ὀφθαλμοί. διαφέρει δὲ κάρος ληθάργου τῷ τοὺς μὲν ληθαργικοὺς ἐρωτωμένους ἀποκρίνεσθαι καὶ μὴ παντελῶς ἀφώνους κατακεῖσθαι, τοὺς δὲ κάρῳ περιπεπτωκότας ὕπνῳ βαθυτάτῳ κατέχεσθαι, ὡς νυττομένων αὐτῶν αἰσθάνεσθαι μέν, μὴ μέντοι φθέγξασθαι μηδ' ἀνοίγειν τοὺς ὀφθαλμούς. θεραπεύειν δὲ τούτους παραπλησίως τοῖς ληθαργικοῖς, λεπτυντικωτέραν καὶ τμητικωτέραν τὴν ἀγωγὴν ποιουμένους. μετεχέτω δὲ καὶ καταπλάσματα καὶ τὰ ἐπιθέματα τοῦ στομάχου σὺν τῷ θερμαίνειν καὶ τῆς τονωτικῆς δυνάμεως.

ϛ Περὶ κώματος ἐκ τῶν Ποσειδωνίου. ἀτμοὶ ὑγροὶ καὶ θερμοὶ ἐκ τῶν ὑποκειμένων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενοι ἐν πυρετοῖς καὶ πληροῦντες ταύτην πάθος ἐργάζονται, ὅπερ ὀνομάζουσιν οἱ ἰατροὶ κῶμα. διάγνωσις δέ σοι σαφὴς ἔσται ὕπνου γιγνομένου πλείονος τοῦ κατὰ φύσιν καὶ φθέγγονται ἐν τοῖς ὕπνοις ἀλλόκοτα καὶ τὸ σῶμα ἀνωμάλως

8. 9 καστόριον — τῷ στόματι *cf. Aret. V 3 (102, 16 sq.)* 10. 11 ψυχρῶν — ἐπιγίγνεται *cf. Gal. de loc. aff. III 6 (VIII 162, 14—15)* 12. 13 παρέπεται — σώματος *cf. Gal. de locis aff. IV 3 (VIII, 231, 7—8)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) [*m. 2ª* S] ω (S A^{t}) 1 ἐπέχοιντο ω τοῖς πιτ.] εἰς τὸ ὕδωρ τοῦ κλυστῆρος P^{x} 2 *ante* ἁρμόδ.: ἁρμόζει πάντα τὰ διουρητικὰ P^{x} *post* ἁρμόδ.: δὲ P^{x} ἡψημ. P^{a} C^{p} P ...νω M^{o} 3 *post* εἰή: σκεύασον τὸ τοιοῦτον δρόσατον καὶ δίδου ἔχων (..ον?) ῥίζας πάσας οἷον P^{x} 3. 4 καὶ ἀνήθου — διδόναι] μαράθ⟨ου⟩ ἀνήθ⟨ου⟩ σελίνου μακιδωνισσίου ἀσπαράγγου βουγλώσσου κτλ. P^{x} 5 δὲ *om.* α, *exc.* P^{x} A 6 σπλῆνα P πλείωνας P^{x} 7 ἀλειφέσθω P^{x} P καὶ *om.* ω *post* μάλ.: δὲ S 8 καὶ *pr. om.* P^{a} A λεαίνοντα P ...ες χ A ω 9 ἐγχέομεν A *post* στόματι: καὶ ἡ λοιπὴ ἐπιμέλεια ὡς τῶν ληθαργικῶν τε καὶ τῶν φρενιτικῶν ὁμ⟨οία⟩ P^{x} 10 *ante* Ποσειδ.: ἐκ τῶν P^{a} καὶ φλεγμ. *om.* M^{o} ω 13 *post* βλάβης: καὶ P^{a} χ ψ 14 διὰ παντὸς *om.* L^{a} *post* ὀφθ.: ὡς τῶν ληθαργικῶν παρόμοια πάντα P^{x} δὲ| γὰρ ω *post* ληθ: ὅτι τὸ τῶν μὲν πυρετῶν ἡγεῖσθαι μὲν τοῦ κάρου — τὸν δὲ λήθαργον ἰδίαν τινὰ σύστασιν ἔχειν οἷον P^{x} τῷ] τὸ P^{x} A *om.* C^{p} 17 *post* μέντοι: γε χ P ω 18 *post* δὲ: καὶ χ ψ S 19 *post* ληθ.: μόνον μὲν P^{x} τμητικ. καὶ λεπτ. (κ. λεπτ. *om.* P^{a}) *transp.* χ ψ ω 19. 20 ποιούμενος P^{x} M^{o} A ....οι P ω 20 μετέχειν δὲ δεῖ ω *ante* καταπλ.: τὰ P^{a} P^{x} M^{o} A ω καὶ τὰ ἐπιθ. *om* P ω 22 ἐκ τῶν *om.* χ ψ ω *ante* ἀτμοὶ: μόνοι χ ψ ω 24 αὐτὴν χ ψ ω *post* κῶμα: κῶμα δὲ ἐπονομάζεται βάθος καὶ παρὰ φύσιν ὕπνος κτλ. P^{x} 25 ἔστιν σαφὴς ω ἐφῆς ἔσται P^{a} ἐπὶ τουτ' σαφ' παραθῶμεν P^{x} γενομένου P^{x} A A^{t}

ἔχουσι καὶ τὴν κάτω γένυν ἐν τῷ καθεύδειν χαλωμένην καὶ διεγερθέντες πολλάκις ἀθρόως πάλιν ἐπικαταφέρονται τῷ ὕπνῳ καὶ τὴν κεφαλὴν ὑγροτέραν ἔχουσι. θεραπεία δὲ ἐμβροχὴ διὰ ῥοδίνου τὸ εἰκοστὸν μέρος προσλαβόντος ὄξους· μὴ παρόντος δὲ τοῦ ῥοδίνου χαμαιμηλίνῳ χρηστέον σὺν τῷ ὄξει· ἔστω δὲ δριμύτατον τὸ ὄξος. εἰ δὲ ψυχροτέρα ἡ κεφαλὴ φαίνοιτο, ἀνήθινον σὺν γλυκεῖ ἐλαίῳ προσπλέξας ἐξ ἴσου καὶ θερμάνας ἔμβρεχε καὶ συντόμως εἰπεῖν ἐφ' ὅσον ἐπιτέταται ἡ ψῦξις, ἐπὶ τοσοῦτον καὶ τὰ θερμάσματα ἐπιτείνειν, ὥστε καὶ γλήχωνά ποτε καὶ πήγανον ἐναφεψεῖν τῷ ἐλαίῳ· βαλανιστέον δὲ καὶ τὴν ἕδραν τοῖς ἱκανῶς ἐρεθίζειν δυναμένοις, τρέφειν δὲ χυλῷ πτισσάνης σὺν ἀπομέλιτι.

ζ̄ Περὶ σκοτωματικῶν Ἀρχιγένους καὶ Ποσειδωνίου. ἀτμῶν θερμῶν καὶ δριμέων ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων καὶ τρεπόντων τὸ ψυχικὸν ἐν τῷ ἐγκεφάλῳ πνεῦμα, πρῶτον μὲν ἀμβλυωγμοί τινες τοῖς ὀφθαλμοῖς ἐγγίγνονται, ἔπειτα καὶ ὤτων ἦχοι συνηχεῖς καὶ δυσηκοΐαι. μάλιστα δὲ τοῦτο συμβαίνει περὶ τὰς τῶν σιτίων πέψεις καὶ ἀνισταμένοις ἐξ ὕπνου. ἐπιτεινομένου δὲ τοῦ πάθους ἐπιγίγνονται ἴλιγγοι καὶ σκοτώματα, ὡς δοκεῖν πάντα ὁρᾶν περιστρεφόμενα. καὶ τοῦτο δὲ συμβαίνει ἐπειδὰν ἀθρόως ἐξαναστῶσιν ἐκ τῶν καθεδρῶν, ἀπεψίας προηγησαμένης τινός. χρονίζοντος δὲ τοῦ πάθους καὶ ἐπὶ μικραῖς προφάσεσι σκοτοῦνται, ὥστε καὶ καταπίπτειν ἐνίοτε, μάλιστα μὲν ὅταν αὐτοί ποτε ἐν κύκλῳ περιστραφῶσιν· ὅπερ γὰρ ἄλλοις ἐπὶ πολλαῖς περιστροφαῖς γίγνεται, τοῦτ' ἐκείνοις ἐπὶ μιᾶς, κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι σκοτοῦνται, κἂν τροχὸν ἤ τι τοιοῦτον περιδινούμενον θεάσωνται, ταὐτὸ ὑπομένουσι· τὸ γὰρ ὀπτικὸν πνεῦμα προσπῖπτον τῷ περιδινουμένῳ τροχῷ κινεῖται καὶ αὐτὸ συμπεριφερόμενον ἐκείνῳ καὶ οὕτως ἀνώμαλον καὶ ταραχώδη καὶ ἄτακτον τόν τε χυμὸν καὶ τοῦ πνεύματος τὴν κίνησιν ἐργάζεται. εὐάλωτοι δὲ τῷ πάθει οἱ ἐπεσχημένοι τὰς συνήθεις ἐκκρίσεις καὶ ἀπεψίαι δὲ καὶ ἐγκαύσεις συνεχεῖς καὶ μέθαι ἀποτελεστικαὶ τοῦ πάθους εἰσί. παρακολουθεῖ δ' αὐτοῖς καὶ ἐποχὴ τῆς κοιλίας καὶ διὰ τοῦτο ἐμπνευμάτωσις ἱκανὴ καὶ οὔρων λεπτῶν καὶ ὀλίγων

11—13 ἀτμῶν—πνεῦμα *cf. Gal. de loc. aff. III 12 (VIII, 203, 5—6)* 14 ὤτων—δυσηκοΐαι *Gal. ib. (ib. 203, 18) cf. Aret. III 2 (37, 25sqq) Paul. III 12 (I 152, 1)* 19—27 χρονίζοντος—ἐργάζεται *Gal ib. (ib. 202, 2—14)* 22—27 κἂν ἕτερον—ἐργάζεται *cf. Paul. III 12 (I 151, 25—27)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 2 τῷ ὕπνῳ *om.* ω 3 τὸ εἰκοστὸν (εἰκ.] κατὰ L^a) μέρος (*ante* μ.: δὲ P^x) προσλαβόντος (...λαβὼν τὸ L^a ...λαβὼν P^x M^o S ...λαβοῦσα A A^t) ὄξους (...ος P^x)—ῥοδίνου *om. Ald.* 5 *post* ὄξει: χλιαρῷ P^x 6 *ante* ἀνήθ.: τὸ M^o A^t 7 ...μήνας P^a ....μανθὲν M^o 8 ..τείνει L^a 9 *post* ἐλαίῳ: ἢ πήγανον ἔλ⟨αιον⟩ μετὰ καστορίου καὶ ὄξους ξηρίσας ὅλην τὴν κεφαλὴν ἐπιτίθει κτλ. P^x 10 *post* δυναμ.: εἰ δὲ μὴ κλυστῆρι χρᾶσθαι δριμυτέρῳ P^x *post* ἀπομ. ἡ δὲ λοιπὴ τούτ⟨ου⟩ θεραπεία ὅσα καὶ ἥτοινα (*l.* ἅτινα?) διωρίσαμεν παντοῖα ἐπὶ τῶν ληθαργικῶν P^x 11 *ante* Ἀρχιγ.: ἐκ τῶν P^a C^p M^o ψ ω 13 πρῶτοι C^p M^o P S ἀμβλυωσμοὶ C^p M^o ...οσμοὶ L^a P^x ....υσμοὶ A ...υωπισμοί ω 15 ταῦτα A^t 15. 16 ἐξανισταμένοις M^o ψ S ...σταμένων P^x A^t 20 ὅτι P^a P ω 21 ἐπιστροφαῖς P^x A 23 τὸ αὐτὸ P ταὐτὸν P^a ψ 26 τῶν τε χυμῶν P^a χ 27 ἐπισχημ. χ ω .....σχεθέντες P^a 30 πνευμάτ. χ ψ ω

ἔκκριcιc τῆc ὕληc ἐπὶ τὴν κεφαλὴν τὴν ὁρμὴν ἐχούcηc. ἰcχνοὶ δὲ ὡc ἐπίπαν γίγνονται καὶ νωθροὶ πρὸc πᾶcαν ἐπιβολήν. οἱ μὲν οὖν ἐναιμότερα τὰ προφαινόμενα τῶν ὀφθαλμῶν δοκοῦντες ὁρᾶν πρὸc μανίαν μᾶλλον ἐπιτηδείωc ἔχουcιν, οἱ δὲ πορφυρίζοντα ὁρῶντεc πρὸc ἐπιληψίαν. τῆc μὲν οὖν δυνάμεωc ἰcχυρᾶc ὑπαρχούcηc καὶ μηδενὸc ἑτέρου ἐναντιουμένου φλεβοτομητέον, ἄν τε ἀρχὴ τοῦ πάθουc εἴη ἄν τε καὶ προκόψαντοc ἤδη τοῦ χρόνου. ἐν δὲ τῇ φλεβοτομίᾳ φυλακτέον [χρὴ] μὴ ἀθρόον κενοῦν διὰ τὸ ἐκ τῆc τυχούcηc προφάcεωc αὐτοὺc καταπίπτειν, ὅθεν πλείοcιν ἀφαιρέcεcι χρώμενοι ἐκ διαcτημάτων τινῶν ἀναπληρώcομεν τὴν cυμμετρίαν. ἐμβρεχέcθω δὲ ἡ κεφαλὴ κατὰ τὸν καιρὸν τῆc φλεβοτομίαc ὀξυροδίνῳ, προcπλέκοντεc πολυγόνου χυλὸν ἢ κιccοῦ καὶ πιλήματα δὲ ἐξ ἐρίου διάβροχα ῥοδίνῳ ἢ οἰνανθίνῳ τῇ κοιλίᾳ ἐπιτιθέcθω κατὰ τοῦτον τὸν καιρόν. εἰ δὲ τὴν ἀφαίρεcιν τοῦ αἵματοc εἴη τι κωλῦον, ὥcπερ ἰcχνότηc ἢ ἕτερόν τι τῶν πλειcτάκιc εἰρημένων, ὑποcυρέcθω ἡ κοιλία, πρῶτον μὲν τῷ διὰ πιτύρων καὶ μέλιτοc καὶ ἀφρονίτρου κλυcτῆρι, ἔπειτα δὲ τὴν δι' ἀλόηc πικρὰν διδόναι cυνεχῶc. εἰ δ' ἐπιμένοι τὰ cυμπτώματα, δεήcει καὶ cφοδροτέροιc καθαρτηρίοιc χρῆcθαι. ὁρῶν δὲ τὸν πλεονάζοντα χυμὸν πρὸc τοῦτον ἅρμοζε τὸ φάρμακον. τῶν δὲ δραcτικωτέρων καθαρτηρίων εὐδοκιμεῖ ἅτινα μάραθρα cυναφεψόμενα τῷ ὀξυμέλιτι ἔχει καὶ τὸ διὰ φοινίκων καὶ πηγάνου καὶ cκαμμωνίαc, ὧν αἱ cυνθέcειc προείρηνται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. καὶ ἀποφλεγματιcμοῖc δὲ χρηcτέον καὶ ἀναγαργαρίcμαcι τοῖc δι' ὀριγάνου καὶ γλήχωνοc καὶ ὀξυμέλιτοc, ἔπειτα καὶ ταῖc ῥιcὶν ἀναγαλλίδοc χυλὸν ἐγχεῖν ἢ κυκλαμίνου ἢ cεύτλου ῥίζηc ἢ ἐλατήριον μετὰ γάλακτοc καὶ νίτρον δὲ cὺν μελανθίῳ λειωθὲν καὶ ἐλαίῳ παλαιῷ ἀναμιχθὲν γενναίωc διὰ τῶν ῥινῶν ποιεῖται τὴν κάθαρcιν. μετὰ δὲ ταῦτα ἐπὶ βαλανεῖον διάγειν. τριμμάτιον δ' αὐτοῖc ἁρμόζει τονωτικὸν τῆc

6 φλεβοτομητέον κτλ. *cf. Or.^{a} VIII 4 (247, 24 sqq.) Paul. ib. (ib. 152, 6 sqq.)* 17—18 καθαρτηρίοιc χρῆcθαι *cf. Gal. de purg. med. fac. 5 (XI, 341, 4—5)* 21. 22 ἐν τῷ π. καθ. λόγῳ *cf. III 25 etc (I 296, 6 sqq.)* 23—24 ταῖc ῥιcὶν—κυκλαμίνου *cf. Aret. VII, 3 (149, 27—28)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) [*m. 2^a* S] ω(S A^t) 1 ἐκκρίcειc C^p M^o *ante* τῆc: καὶ ἀπεψίαι M^o τὴν ὁρμὴν *om.* ω 2 *post* ἐπιβολήν: Ἕτεροι δὲ τῶν παλαιῶν φαcιν ὅτι τὸ cκοτωματικὸν πάθοc πονηρότατόν ἐcτι — νωθροὶ πρὸc πᾶcαν ἐπιβολήν P^x οἱ] εἰ ω 3 δοκοῦνται ω 4. 5 *post* ἐπιληψίαν: Cκοτωματικῶν θεραπεία Ἀρχιγένουc καὶ Ποcειδωνίου. τοὺc cκοτωματικοὺc ἐν ἐπιθέcει μὲν γενομένουc διεγερτέον τοῖc τε ἐπιτηδείοιc ὀcφραντοῖc χρωμένουc καὶ τρίψεcιν καὶ τοῖc τοιούτοιc· ἐν ἀνέcει δὲ τυγχάνονταc πρὸc ἀναcκευὴν τοῦ πάθουc P^x 6 ἢ P^x M^o ψ 7 προκόψαν ἢ (ἤδη *om.*) P ...κόψοντοc M^o τῷ χρόνῳ P^a P χρὴ *delevi* 8 μὴ *om.* P^a C^p P A^t *m. 1^a* S ἀθρόωc P^a P 9 ...μένοιc P^x A διαιτημ. A^t 10 ...ρώcωμεν P^x M^o A ω 11 ..κονταc A ...κόντων P χυλῷ L^a ω 12 δὲ *om.* A^t 14 *post* τι *pr.*: τὸ C^p P^x ψ τι *alt. om.* χ P ω 15 πρῶτον μὲν τῷ| διὰ κλυcτῆρ⟨οc⟩ οἷον P^x 15. 16 διὰ — κλυcτῆρι] πιτύρων ἀφρονίτρου πολυποδίου ἐντεριώνηc κενταυρίου — ὡc ἐν τοῖc χειρουργουμένοιc τὰ τοιαῦτα εἰρήcεται P^x ἀφρονίτρων C^p M^o A 16 δι'| διὰ τῆc C^p M^o P 17 καθαρτ. *om.* P^a P 18 χρήcαcθαι P^x M^o A τούτοιc L^a ω 20 τῷ ὀξυμ.] cὺν μέλιτι P^x ἔχουcι P ...ειν P^x A^t *post* διὰ: τῶν ἑτέρων πάντων ῥιζῶν καὶ cκολοπενδρίου — ἁρμόζει δὲ καὶ τὸ διὰ P^x 21 *post* περὶ: τῶν C^p P^x A 22 δὲ] τε M^o *om.* A^t 24 ἐγχεῖν *ante* ἀναγαλλ. *transp.* P^x *om.* P^a 25 λεανθὲν χ ψ ω 26 γενναίαν χ ψ ω

κεφαλῆς τοῦτο· λίθου Ἀσίου Γο ᾱ ἀφρονίτρου λευκοῦ Γο ᾱ ἴρεως Γο ᾱ σχοίνου ἄνθους Γο β̄ ῥόδων ξηρῶν Γο β̄· ἐκ τούτου λαβὼν τὸ ἀρκοῦν ἐπίπασσε τῷ βρέγματι τῆς κεφαλῆς, ἐπιρραίνων ὕδατος θερμοῦ βραχύ· εἶτα λουσάμενος καὶ μὴ βρέχων τὴν κεφαλὴν τῷ θερμῷ, ἀλλὰ μόνον ἀποπλύνων, ἐξελθὼν βρεχέτω τῷ ψυχρῷ τρίτον ἢ πλεονάκις. τοῖς δὲ ἄγαν θερμὴν ἔχουσι τὴν κεφαλὴν καὶ ῥόδινον σὺν ὄξει πολλάκις ἐπιβάλλειν καὶ ψύχειν αὐτὴν τῷ ἐκ τῶν κρουνῶν ὕδατι ἐν τοῖς βαλανείοις. εἰ μὲν οὖν ἐπὶ τούτοις εἴκοι τὸ πάθος, παύειν τὴν ὀχληρὰν προσαγωγήν· εἰ δ' ἐπιμένοι, τέμνειν τὰς ἐν τῇ κεφαλῇ κατὰ τοὺς κροτάφους ἀνωτέρω τῶν ὤτων ἀρτηρίας προκενώσας τὴν κοιλίαν ἢ τῇ ἱερᾷ ἢ κλυστῆρι. μετὰ δὲ ταῦτα τριμματίοις ἰσχυροτέροις κεχρῆσθαι τοῖς ἐπὶ τῶν μαινομένων ῥηθησομένοις. τροφαὶ δ' ἔστωσαν εὔχυμοι εὐδιοίκητοι ἄφυσοι παντάπασιν εὐστόμαχοι εὐκοίλιοι· οἶνος δ' ὀλίγος μὲν λευκὸς δὲ καὶ λεπτότατος καὶ μὴ πάνυ παλαιός· ἁρμόδια δὲ τούτοις τὰ στυπτηριώδη αὐτοφυῆ λουτρά. μεγίστη δὲ καὶ πρώτη καὶ ὑστάτη τούτων προφυλακὴ καὶ θεραπεία ἐστὶν ἡ ὑπόμνησις τῶν ἐπεσχημένων ἐκκρίσεων, μάλιστα ἐπὶ γυναικῶν.

η̄ Περὶ μανίας ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου. γίγνεται μανία χωρὶς πυρετοῦ αἵματος πολλοῦ ἀσαποῦς ἐπιρρεύσαντος τῷ ἐγκεφάλῳ, ποτὲ μὲν εὐκράτου, τῷ πλήθει μόνον λυποῦντος, ὡς ἐπὶ τῶν μεθυόντων, ποτὲ δὲ ξανθοχόλου. προηγεῖται δὲ τῆς μανίας ἀσθένεια τῆς κεφαλῆς, ὡς ἐπὶ τῶν ποδαγρῶν ἡ ἀσθένεια τῶν ποδῶν ἀεὶ μὲν πάρεστι. τότε δ' ὀδυνῶνται, ὁπόταν ἡ ὕλη ἐπιρρεύσῃ τοῖς τόποις. ἐπὶ μόνῳ τοίνυν τῷ αἵματι γιγνομένης τῆς μανίας ταῦτα παρέπεται τοῖς πάσχουσι· γέλως ἄσχετος αὐτοῖς κινεῖται θεωμένοις πολλάκις πρὸ τῶν ὀφθαλμῶν εἴδωλά τινα γέλωτος ἄξια φαιδρόν τε αὐτοῖς ἐστι τὸ πρόσωπον καὶ ᾄδουσι συνεχῶς· ἐνίοτε γὰρ ἐκ τῶν γιγνομένων ἀναθυμιά-

9—11 τέμνειν—κλυστῆρι *cf. Paul. III 12 (I 152, 8—9)* τέμνειν—ἀρτηρίας *cf. Gal. de loc. aff. ib. (ib. 202, 16sqq.) Aret. VII, 3 (149, 23—29)* 12 τοῖς ἐπὶ τῶν μαινομένων ῥηθησομένοις *cf. p. 150, 15* 18—21 γίγνεται—ξανθοχόλου *cf. Gal. de symptom. caus. II 7 (VII 202, 6—10) Paul. III 14 (I 157, 1sqq.)* 19 χωρὶς πυρετοῦ *(Gal.) def. med. 246 (XIX, 416, 8) Aret. III 6 (41, 12—13)* 21 ποτὲ δὲ ξανθοχόλου *cf. Gal. ascrip. introd. s. med. XIV 740, 16—17*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) [*m. 2ª* S] ω ($S A^t$) 1 τοῦτο] τὸ (*om.* P) τοιοῦτον (...το $C^p M^o$) χψω ἀφο(ἀφρο...) νίτρων λευκῶν $C^p M^o$ ἴρ. Γο ᾱ *om.* A 1. 2 σχίνου P A^t 2 ἄνθος $C^p A^t$ β̄ *pr.*] ᾱ M^o ῥόδων ξηρῶν Γο β̄ (ᾱ M^o) *om.* ψ A^t *m. 1ª* S τούτων P^a P A^t 2. 3 ἐπίπασαι *ex.* ...σσαι C^p ...ασε M^o ω ....παττε P 4 κεφ.] κοιλίαν L^a τῷ θερμῷ *om.* L^a τῷ *om.* $P^x A^t$ μόνον] μᾶλλον A μᾶλλον μόνον P^x 5 βρέχε P ω τὸ ψυχρὸν $L^a A^t$ τῶ ψυχρῶ *ex* τὸ ψυχρὸν P^a *ante* τρίτον: δεύτερον καὶ P^a *ante* πλεον.: καὶ P^a 8 οὖν *om. Ald.* 9 ἐπιμένει P^x P ...ειεν A^t κατὰ τοὺς] καὶ P^a 9. 10 κροτάφοις P^a 10 ἀνωτ. τ. ὤτων *om.* P^a ὄντων $L^a A^t$ 13 *post* εὐκ.: διουρητικαὶ χψω δ' *om.* P^x A 14 δὲ *pr. om.* $L^a P^x$ ψω δὲ *alt. om.* $C^p M^o$ P ω 16 ἡ *om.* L^a ἐπισχ. $C^p M^o$ A ω ἐπησχ. P ἐπισχομ. P^x 21 ξανθηχ. A ...οχώλου P^x ξανθὴ χολή ω *ante* προηγ.: ὡς ἐπὶ τῶν φρενοβλαβούντων φρενιτικῶν P^x 22 ποδαγρικῶν P^a A *ante* ἀεὶ: ἥτις A 23 τότε] ποτὲ A ω ὅταν P^a ω 24 *post* μανίας: Τίνα δὲ σημεῖα P^x ταῦτα *post* πάσχ. P^x 25 *post* αὐτοῖς: καὶ ἄδουσιν καθάπερ οἱ μεθύοντες P^x 26 εἰδώλια P S ...λεῖα $C^p M^o A^t$ τε] δὲ P^x P

ϲεων ἦχοι περὶ τὰ ὦτα ϲυνεδρεύουϲιν, ὡϲ δοκεῖν αὐτοὺϲ αὐλητῶν τινων ἀκροᾶϲθαι. ϲῴζεται δ' αὐτοῖϲ ἡ μνήμη, ὡϲ ἐξ ὧν ᾄδουϲι ϲυνήθη αὐτοῖϲ ὄντα ἔνεϲτι τεκμαίρεϲθαι· βέβλαπται δὲ τὸ φανταϲτικὸν καὶ τὸ λογιϲτικόν. μιχθείϲηϲ δὲ τῷ αἵματι τῆϲ ξανθῆϲ χολῆϲ καὶ δακνῶδεϲ αὐτὸ ἀποτελεϲάϲηϲ, οἷον κεντουμένου καὶ νυττομένου ἐξ αὐτῆϲ ἔνδοθεν τοῦ ἐγκεφάλου καὶ τῶν μηνίγγων, ὀργίλοι καὶ θραϲεῖϲ γίνονται καὶ πλῆκται καὶ ὑβριϲταί. ἐφ' ὅϲον γὰρ ἡ χολὴ ἀναμέμικται τῷ αἵματι, ἐπὶ τοϲοῦτον παραλλάξει τὰ τερπνὰ καὶ ἐπιτείνει τὰ ἀηδῆ καὶ θυμικά· ὑπεροπτωμένηϲ δὲ ἐπὶ πλέον τῆϲ ξανθῆϲ χολῆϲ καὶ παχυνομένηϲ καὶ οἷον προϲπλαττομένηϲ αὐτῷ τῷ ϲώματι τοῦ ἐγκεφάλου καὶ τῶν μηνίγγων ἰξωδῶϲ καὶ νυττούϲηϲ καὶ διαϲπώϲηϲ, τὰϲ θηριώδειϲ παραφροϲύναϲ ἐργάζεται. ἤδη γάρ τινεϲ καὶ τῆϲ ἰδίαϲ ϲαρκὸϲ ἐγεύϲαντο καὶ τοὺϲ οἰκείουϲ ὡϲ ἐπιβούλουϲ ἐτύπτηϲαν ἢ ἐτραυμάτιϲαν ἢ διεχειρίϲαντο· ἐγχωρεῖ δὲ καὶ τὸν αὐτὸν ἄνθρωπον ποτὲ μὲν γέλωτι παραλόγῳ κατέχεϲθαι, ποτὲ δὲ θυμοῖϲ καὶ ὀργαῖϲ. ἐν γὰρ ταῖϲ ἀϲιτίαιϲ καὶ ταῖϲ δριμυτέραιϲ καὶ ἁλυκωτέραιϲ τροφαῖϲ καὶ ἐν ταῖϲ πλείοϲι κινήϲεϲι καὶ ταραχαῖϲ δριμύτερον ἑαυτοῦ ἀποτελεῖται τὸ αἷμα, ἐν δὲ τῇ ἐναντίᾳ καταϲτάϲει ἠπιώτερον. πολλάκιϲ δὲ καὶ μηδενὸϲ βοηθήματοϲ προϲαχθέντοϲ ταῖϲ ὀλιγοϲιτίαιϲ καὶ ἐπιτηδείαιϲ τροφαῖϲ ἀναλωθέντοϲ τῷ χρόνῳ τοῦ παρενοχλοῦντοϲ καὶ μένοντοϲ τοῦ ἐγκεφάλου ἀπερίττου διάλειμμα καθαρὸν τῆϲ ἐκϲτάϲεωϲ γίγνεται. τιϲὶ δὲ καὶ κατὰ περίοδόν τινα ἐπιπίπτει τὸ πάθοϲ, τιϲὶ δὲ ἅπαξ τοῦ ἔτουϲ, τιϲὶ δὲ δεύτερον ἢ πλεονάκιϲ, ἀθροιζομένου κατὰ βραχὺ δηλονότι τοῦ ἐνοχλοῦντοϲ. ἁλίϲκονται δὲ τῷ πάθει, ὀλίγοι μὲν πρὸ τῆϲ ἀκμῆϲ, οἱ πλεῖϲτοι δὲ ἐν τῇ ἀκμῇ καὶ μετὰ ταύτην, ἄνδρεϲ δὲ μᾶλλον γυναικῶν καὶ τούτων οἱ παθήμαϲί τιϲι ψυχικοῖϲ ἐνοχλούμενοι, οἷον οἱ ϲκῶπται οἱ φιλογέλωτεϲ ἢ ἀκαιρογέλωτεϲ οἱ δυϲπειθεῖϲ οἱ ὀργίλοι οἱ φροντιϲτικοὶ οἱ φιλάργυροι, ἤδη δὲ καὶ οἱ πολυπόται καὶ οἱ ϲυνεχῶϲ ἀπεπτοῦντεϲ καὶ οἱ τὰϲ ϲυνήθειϲ ἐκκρίϲειϲ ἐπεϲχημένοι· διὰ τοῦτο καὶ γυναῖκεϲ ἐνίοτε μαίνονται, αἷϲ

12—15 ἤδη γ.—ὀργαῖϲ *cf. Aret. ib. (ib. 42, 12—14)* 29—*p. 138, 1* διὰ τοῦτο—

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) [*m. 2^a* S] ω(S A^t) 1 αὐτοῖϲ P^x P 2 *post* ἀκροᾶϲθαι: ποτὲ δὲ ξανθοχολικοῦ καὶ δριμαίου τοῦ αἵματοϲ καὶ γίνονται οὗτοι θραϲεῖϲ καὶ ὀργίλοι καὶ τῶν ἰδίων ϲαρκῶν ἐμφορούμ(ε)ν⟨οι⟩ P^x 2. 3 ϲῴζεται—ὄντα *om.* P^x ὧν *om.* L^a ϲυνήθων ...ὄντων P^x P ϲυνήθωϲ P^a A^t 3 τεκμήραϲθαι P^a καὶ τὸ λογ. *om.* L^a 6 τῶν *om* ω *post* μηνίγγ.: γίγνεται δὲ ἐπὶ τούτοιϲ τὸ πάθοϲ καὶ κατὰ περιόδουϲ τιϲί· οἱ τοιοῦτοι δὲ P^a 7 ἀναμ. ἡ χολὴ A 8 παραλλάξηϲ P ....ϲϲει M^o A^t ...τείνηϲ P 10 αὐτὸν L^a ...ὸ A ...τῶν P^a A^t ϲτόματι P^y A 12 *post* τινεϲ: τῶν τοιούτων καμνόντων P^x τῶν ἰδίων ϲαρκῶν, ὡϲ εἰρήκαμεν, πλειϲτάκιϲ P^x 13 ἐτύπτ. ἢ ἐτραυμ. *om.* P^a A διεχειρίϲαντο (...ώϲαντο ἢ C^p) ἐτύπτηϲαν (ἢ C^p) ἐτραυμάτ. C^p P ω ...ρώϲαντο M^o A 14 γέλωτα ω παραλόγωϲ ω 19 ...δείοιϲ χ S ἀναλωθὲν χ P ω τῷ *om.* ω 20 τὸ παρενοχλοῦν χ P ω μένων (...ον A S) χ P A^t ὁ ἐγκέφαλοϲ ἀπέριττοϲ χ ψ ω 21 δὲ μὲν χ ψ ω 23 δὲ] μὲν L^a 25 μετ' αὐτὴν P^a P^x M^o ω πάθεϲι ω 26 οἱ *pr.*] ἢ P^x *om.* ψ οἱ *alt.*] ἢ P^x P ἢ ἀκαιρογ. *om.* P^a 27 οἱ *pr. alt. tert. quart.*] ἢ P^x P 28 *ante* πολυπ.: φιλοπόται καὶ οἱ P οἱ *alt. om.* P^a ἀπαιτοῦντεϲ C^p ἀποπτύοντεϲ P 29 ἐπιϲχημ. L^a C^p P^x A P S ...ϲχόμενοι M^o A^t

ἐπίςχηται τὰ καταμήνια. μυρίαι δὲ ἰδέαι μανίας εἰςίν, ἃς ἐκθεῖναι περιττόν. τοῖς μὲν οὖν μέλλουςι περιπίπτειν τῷ πάθει προηγεῖταί τινα προοίμια τῶν προρρηθέντων οἷον γέλως παράλογος οὐχ οὕτως εἰθιςμένοις καὶ ὀργίζονται ἐπὶ τῇ τυχούςῃ προφάςει καὶ ἦχοι ὤτων καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνονται, ἀγρυπνίαι τε ςύντονοι καὶ φροντίδες ἐπάλληλοι καὶ ἀλλόκοτοι, βάρος καὶ παλμὸς τῆς κεφαλῆς. προκόπτοντος δὲ τοῦ χρόνου πάντα ταῦτα ἐπιτείνεται καὶ λυςςωδέςτεραι αὐτοῖς αἱ ὀρέξεις γίγνονται καὶ πρὸς τὰ ἀφροδίςια προθυμίαι· διὰ τοῦτο καὶ ὀνειρωγμοὶ ςυνεχεῖς, ὀφθαλμοί τε κοιλαίνονται μετὰ τοῦ ἀτενῶς ἵςταςθαι καὶ ταῦτα παρακολουθεῖ μέχρι τελείας ἐκςτάςεως. δεῖ οὖν τὸν ἐπιςτήμονα ἰατρὸν ἐπιμελούμενον τοῦ κάμνοντος τούτων προφανέντων ἤ τινων αὐτῶν τὰ δέοντα πρᾶξαι· προςημαίνοντος τοίνυν τοῦ πάθους ἢ καὶ ἤδη ἐνεςτηκότος τὴν μὲν δίαιταν λεπτὴν ἁρμόζειν ῥοφηματώδη ὑγρὰν ἄπληκτον εὐκοίλιον, οἷον ςεμίδαλιν [θαςίφορον θαςύγαλα] τρέφουςαν ςεμιδαλιθάςιον χυλὸν πτιςςάνης ἢ τρόγαλα καὶ ψίχας μετὰ ἀκρατομέλιτος. τοιαύτην οὖν τὴν δίαιταν ἁρμόζειν ἢ οὐδαμῶς ἢ ἥκιςτα γεννᾶν αἷμα δυναμένην καὶ οἴνου παντάπαςιν ἀπέχειν. τριῶν δὲ οὕτως ἡμερῶν διαιτήςας τὸν ἄνθρωπον τέμνε τῶν ἐν ἀγκῶνι φλεβῶν, προηγουμένως μὲν τὴν ἄνω, εἰ δὲ μὴ φαίνοιτο, τὴν μέςην, εἰ δὲ μηδ' αὐτή τὴν κάτω. μὴ φαινομένων δὲ τούτων τὰς ἐπὶ τῶν ςφυρῶν ἐπιζητεῖν, καὶ μάλιςτα ἐπὶ γυναικῶν. προτρέπεται γὰρ τῇ ῥοπῇ καὶ τὰ καταμήνια, εἰ δὲ μηδ' αὗται φαίνοιντο, τὰς ἀπ' ἄκρων χειρῶν ἢ ποδῶν. ςπουδαςτέον γάρ ἐςτι πρότερον ἀπὸ φλεβὸς γενναίαν κένωςιν γενέςθαι καὶ οὕτως τῶν πεπονθότων μερῶν τὴν ἐπιμέλειαν ποιεῖςθαι. τέμνοντα δὲ τὴν φλέβα πρὸς δύναμιν τὴν κένωςιν ποιεῖςθαι χρή· ἀποςβεννυμένου γὰρ τοῦ φλογώδους, παραχρῆμα μὲν ἐπιςτατικοὶ γίγνονται, ἅμα δὲ καὶ χώρα γίγνεται τοῖς ἄλλοις βοηθήμαςιν. ἐπειδὴ δέ τινες ἐν μὲν τῇ πρώτῃ ἀφαιρέςει γενναίως φέρουςι τὴν κένωςιν, ἐν δὲ ταῖς μετὰ ταῦτα ἐπαφαιρέςεςιν εἰώθαςι λειποθυμίαις ἁλίςκεςθαι, προςήκει τούτους ἐν

περιττόν | 5 ἀγρυπνίαι τε ςύντονοι | 6 βάρος κεφαλῆς | 8 πρὸς τὰ ἀφροδ. προθυμίαι *cf. Aret. ib. (ib. 42, 5—7, 43, 8, 42, 5)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) [*m. 2ª* S] ω(S A^t) 1 ἐπίςχεται ψ ...ονται P^a ...ςχεῖται P^x ...έςχηται ω 3 προρηθ. χ ω 4 ....ζεται ω 5 φαίνονται P^x A *m. 1ª* S 6 ἀλλόκοτον P^a C^p 7 ταῦτα πάντα P^a *ante* ἐπιτ.: ἐπιγίγνεται καὶ P^x λυςωδέςτεροι P^x M^o λυςςηδ. ...οι A δυςωδέςτεραι L^a ω αὐτοῖς *om.* L^a 8 πρόθυμοι ω 10 *post* ἐκςτ.: Θεραπεία ἐκ τοῦ Ἀρχιγένους καὶ Ποςειδωνίου μανίας. χρὴ τοίνυν τοιγαροῦν ἐπὶ τῶν τοιούτων νοςημάτων ςκληροτάτων καὶ ⟨ὀ⟩δυνηροτάτων καὶ πονηρευόντων ὄντων καὶ P^x δεῖ οὖν *om.* P^x 10—11 τὸν—κάμνοντος] τὸν ἰατρὸν ἐπιςτήμονα ὄντα ἀςχολούμενον καὶ ἐπιμελούμενον P^x 12 τινα L^a χ ω 13 ἁρμόζει L^a P^x A^t *m. 1ª* S (ἐκ A) ῥοφημάτων διύγρων P^x A 14—16 οἷον—ἁρμόζειν *om.* χ ψ ω 14 θαςόφορον θαςόγαλα P^a *canc. sepsi* 15 τρωγάλια *legendum?* 16 εὐκρατομέλιτος P^a ἢ *pr.*| καὶ α, *exc.* φ ἢ *alt. om.* C^p A ω 17 *ante* ἀπέχειν: ἁρμόζει P^x ἀπέχεςθαι δεῖ P^a τρεῖς ...ἡμέρας P^a 18 τὴν ....φλέβα P^x A 19 εἰ δὲ μηδ' (μὴ P^x ...δὲ C^p) αὐτή (...ήν P^a P^x M^o), τὴν κάτω *om.* P ω 22 δὲ *om.* C^p A A^t αὐτὸ φαίνοιτο L^a ἐπ' C^p ψ ω 23 φλεβοτομίας ω ποιεῖςθαι P^x A 24 οὕτω (ταύτῃ A) χ P ω τέμνοντες (....τας P) P^x ω τέμνοντα—τρόπος τῆς χρήςεως *(p. 141, 4) om.* M^o 27 *ante* μὲν: δὲ L^a μὲν *om.* P^a 28—*p. 139, 1* γενναίως—ἀφαιρέςει *om.* A^t

τῇ πρώτῃ ἀφαιρέσει κενοῦν ὅσον ἡ χρεία ἀπαιτεῖ· συγκενοῦνται γὰρ οὕτως πολὺ τοῦ φυσώδους καὶ ἀτμώδους πνεύματος. δεῖ τοίνυν συνεχῶς ἅπτεσθαι τῶν σφυγμῶν ἐν τῷ ῥεῖν τὸ αἷμα καὶ εἰ καταπίπτοιεν, τότε ταμιεύεσθαι εἰς ἐπαφαιρέσεις. πολλάκις γὰρ ἀνακτησάμενοι τὴν δύναμιν τῇ δευτέρᾳ τῶν ἡμερῶν τὴν ἐπαφαίρεσιν ἐποιησάμεθα, ἔσθ' ὅτε δὲ καὶ τῇ τρίτῃ φυλάξαντες τὴν διαίρεσιν ἄλῳν ἐπιθέσει. ἐμβρέχειν δὲ τὴν κεφαλὴν χρὴ ῥοδίνῳ σὺν ὄξει ἢ χυλῷ πολυγόνου ἢ κισσοῦ ἢ οἰνανθίνῳ ἐλαίῳ ἢ μηλίνῳ. ῥυπαρὸν δ' ἔριον δευθὲν τῷ ἐλαίῳ ἐπιτιθέσθω καὶ συνεχέστερον νεαροποιεῖσθαι τῷ βρέγματι. παντὶ δὲ τρόπῳ μετὰ τὴν κένωσιν εἰς ἑσπέραν ὕπνον μηχανητέον· κενωθέντος γὰρ τοῦ αἵματος εἰ ἐπιγένοιτο ἀγρυπνία, δριμυτέρους καὶ ἀγριωτέρους αὐτοὺς ἀποτελεῖ. διὸ θαρροῦντες προσενέγκωμεν τὸ διὰ τῶν κωδιῶν ὑπνωτικὸν φάρμακον σὺν χυλῷ πτισσάνης ἢ ἄλικος ἢ σὺν τῷ πινομένῳ ὕδατι. ἀσμενὲς γὰρ εἰ καὶ μετὰ ταῦτα γενήσεται ὕπνος· οἱ γὰρ πλεῖστοι αὐτῶν περιφρονοῦσι παντὸς ὑπνωτικοῦ. διὸ κἂν τὴν πρώτην λαβόντες ὑπνώσωσι, διαλείποντες ἡμέραν μίαν πάλιν διδόναι τὸ διὰ κωδιῶν ὅσον κοχλιάριον. εἴωθε γὰρ καὶ μόνη μετὰ τὴν φλεβοτομίαν τελείαν ἀποκατάστασιν τῷ πάθει διδόναι μετὰ τῆς προσηκούσης διαίτης· παραφυλάττεσθαι μέντοι ἐφεξῆς αὐτὴν προσφέρειν· ναρκοῖ γὰρ τὴν αἴσθησιν. σπουδαστέον δὲ καὶ τὴν κοιλίαν εὔλυτον ποιεῖν διά τε τροφῶν καὶ κλυστήρων· τούτων προγεγενημένων ἄρχεσθαι χρὴ τῶν τοπικῶν βοηθημάτων ἐνθένδε· αἷμα προσήκει ἀφαιρεῖν ἐκ τῶν ἐν μετώπῳ κυρτουμένων φλεβῶν τῆς μεσαιτάτης, φλεβοτόμῳ αὐτὴν διαιροῦντες οὐκ ἐπικρουστικῷ, ὥς τινες ποιοῦσι, διὰ τὰς ἐπιγιγνομένας πολλάκις μεγίστας φλεγμονὰς τοῦ περικρανίου ὑμένος τρωθέντος. ἀφαιρεῖν δὲ ὡς μίαν λίτραν αἵματος· μετὰ δὲ τὴν κένωσιν ταύτην ἐπὶ τῶν χολερικώτερον ἐχόντων τὸ αἷμα, διαστήσαντα ἡμέρας πέντε, διδόναι τὴν διὰ ἀλόης πικρὰν κοχλιαρίου μεγάλου πλῆθος σὺν μελικράτῳ, εἶτα καὶ διὰ ῥινῶν καθαίρειν τὴν κεφαλήν, σεύτλου ῥιζῶν χυλὸν ἐγχέοντα

6. 7 ἐμβρέχειν — ὄξει *cf. Paul. III 14 (I 158, 15—16)* 26—28 μετὰ δὲ τὴν κένωσιν — πικρὰν *cf. Paul. ib. (ib. 16)*

φ (L^a P^a) χ (C^p P^x) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 συγκενοῦται P^a P^x A ω 2 πνεύμ.] περιττώματος ω 3 ...πίπτειεν P^x A 4 ἐπαφαίρεσιν P ω 5 ἀφαίρεσιν P^x A ποιησόμεθα (...ώμεθα S) A^t 6 τὴν τρίτην L^a P^x ω 7 χυλὸν P^x ω ἢ κισσοῦ *om.* χ ψ ω 8 *post* ἔριον: ἔλαιον (...ίω A^t) χ P ω S τῷ ἐλαίῳ *om.* ω 9 τῷ βρέγματι (τὸ βρέγμα S) *post* ἐπιτιθέσθω χ ψ ω 12 ...νέγκομεν A S τὸ] τῷ P^x A 13 ὑπνωτικὸν *om.* L^a ὑπ. ...κῷ ...κω P^x A φάρ. ..ον ὑπν. ...ὸν ω *ante* σὺν *pr.*: καὶ προεγράφη ἐν τῷ περὶ φρενίτιδος λόγῳ P^x 14 εἰ] ἂν εἰ P^a P εἶ εἰ P^x ἂν (*om.* A^t) εἴη ω γίνεται P^x A γένοιτο A^t γένηται C^p P S 16 ...νώσουσι S ...λιπόντες C^p ....ας A τὸ] τῆς C^p A S τ̿ P^a τοῖς A^t τὸ — κωδιῶν] ἐκ τῆς αὐτῆς ἀντιδότου P^x 17 *post* κοχλ.: ἕν P^x A 20 δὲ *om.* A ω κοίλην P^x ω 21 ...στηρίων χ ψ ω *post* ἀρχ.: δὲ P^x A^t 22 ἔνθεν L^a κἀντεῦθεν δὲ P^x *ante* αἷμα: γὰρ L^a *tantum* 23 μεσωτάτης C^p ...οτάτης P^x A 24 ...κρουστίῳ α *exc.* L^a 26 δὲ *alt. om.* A^t *m. 1ª* S 27 χολερικωτέρων L^a P^x S χορητικωτέρων A^t χολωδέστερον P^a ...στήσαντας P ...ες P^x ω 29 χυλὸς L^a (τοῦ P^x) χυλοῦ C^p A *om.* S ἐγχυόμενος L^a ..χέοντες ω ...ας P ...ος P^a

ἢ ἐλατήριον ἢ χάλκανθον cὺν γάλακτι καὶ πταρμικὸν προcφέρειν δι' ἐλλεβόρου λευκοῦ καὶ cτρουθίου καὶ ἀποφλεγματίζειν διά τε μαcτίχηc καὶ cταφίδοc ἀγρίαc διά τε ἀναγαργαριcμάτων δι' ὀξυμέλιτοc γιγνομένων, ἐν ᾧ ἕψηται γλήχων ὕccωπον. ὑποcυρέcθω δ' ἡ κοιλία κλύcμαcι δριμέcι τοῖc διὰ κενταυρίου καθαρτηρίοιc καὶ τοῖc διὰ γεντιανῆc· καὶ αὐτὴ δὲ καθ' ἑαυτὴν ἡ γεντιανὴ ῥίζα χρηcίμη προποτιζομένη δραχμῆc μιᾶc ὁλκῆc cὺν μελικράτῳ· δίδοται δὲ καὶ ἀριcτολοχία ὡcαύτωc. μάλιcτα δ' αὐτοὺc ὠφελεῖ ἱππομαράθου ῥίζα καὶ τὸ cπέρμα πινόμενον cὺν ὕδατι καθ' ἡμέραν καὶ βρυωνίαc ῥίζηc < ᾱ καὶ βδέλλαc δὲ μετὰ ταῦτα κολλητέον τῇ κεφαλῇ πάcῃ κατὰ κύκλον καὶ μάλιcτα τῷ βρέγματι. ἐπὶ δὲ τῶν γυναικῶν cπουδαcτέον τὰ καταμήνια κινεῖν, εἶτα ἀναλαβόντα τὴν δύναμιν ἐπὶ ἡμέραc ζ̄ πρόcαγε τὴν Γαληνοῦ ἱεράν, ἥτιc μάλιcτα κεφαλὴν κενοῖ τῷ πλήθει τῆc cτοιχάδοc· δίδου δὲ < δ̄ μετὰ μελικράτου· ἔπειτα τὰ ἔρρινα πάλιν προcάγειν. παρακμάζοντοc δὲ τοῦ πάθουc ἐπὶ λουτρὸν ἄγειν· τριμμάτιον δ' αὐτοῖc ἐν τῷ λουτρῷ ἁρμόδιον τοῦτο· ἴρεωc Ἰλλυρικῆc λίθου Ἀcίου μάννηc ἀφρονίτρων λευκῶν κιccήρεωc κηρύκων κεκαυμένων cχοίνου ἄνθουc cελίνου ἑλενίου καccίαc ῥόδων ξηρῶν ἀνὰ 𐅻 ᾱ, κόψαc cήcαc χρῶ ἐν τῷ πρώτῳ οἴκῳ τοῦ βαλανείου ἐπιπάττων τῷ βρέγματι ὅcον ἐξαρκεῖ, καὶ ἐπιρραίνων ὕδατοc χλιαροῦ καὶ ἐφ' ἱκανὸν χρόνον διατρίβων ἐν τῷ οἴκῳ, ὥcτε διαδοθῆναι τὴν δύναμιν τοῦ φαρμάκου μέχρι τῶν ἐν βάθει. εἶτα cμηξάμενοc ἠρέμα τὴν κεφαλὴν καὶ ἀποπλύνων καὶ λουcάμενοc μὴ βρέχων τὴν κεφαλὴν ἐν τῷ θερμῷ ἐν τῇ ἐμβάcει, ἐξίτω καὶ βρεχέτω τῷ ψυχρῷ δεύτερον καὶ τρίτον. εἰ δὲ κατὰ θερμὸν ἔχοιεν τὴν κεφαλὴν πάνυ, καὶ πλεονάκιc βάπτειν τῷ ψυχρῷ· μετὰ δὲ ταῦτα τῷ διὰ cινάπεωc καὶ ἰcχάδων φοινιγμῷ τόνον διδόναι τῇ κεφαλῇ καὶ ἐκ διαcτημάτων

8—10 μάλιcτα—πάcῃ *Paul. ib. (ib. 17—19)* μάλιcτα—ῥίζηc < ᾱ *Or.^{a} VIII 7 (249, 28—30)*

φ($L^a P^a$) χ($C^p P^x$) ψ(A P) [*m. 2^a* S] ω(S A^t) 1 ἢ *pr.*] καὶ P^x *om.* ω *post* ἐλατ. cὺν γάλακτι P^xψ c. γάλ.] ὁμοίωc P^x ...μικῶν P^x ...μοὺc P 3 ἀcταφ. P^x P ....ρίcματοc ω 3. 4 γεγενημένων P^x *om.* A 4 ἥψηται $C^p P^x$ P *m. 2^a* S ἑψῆται P^a ...ήτε A *post* κοιλία: καὶ L^a 4. 5 κλ. δριμ. *om.* C^p P ω 5 καὶ] ἢ P *om.* P^a ω 6 ἑαυτῇ P^x αὐτὴν A χρήcιμοc P^x A ω τοῖc ποτιζομένοιc P^a 6—7 < μίαν P^a 𐅻 C^p 7 ὁλκὴ χ ψ ω 8 μᾶλλον P^x A ....ράθρου P^a P A^t τῷ cπέρματι P^x cπέρματι A 9 *post* καθ': ἑκάcτην A^t ῥίζα L^a δὲ *om.* P ω 10 κατὰ κύκλ.] κύκλῳ P^x ω 12 ...βόντεc C^p ...βὼν A P ...βόντοc P^x S ...λαμβάνοντοc A^t 13 κεφ. *om.* ω cτυχάδοc ψ S δὲ *om.* ψ *post* δ̄: ἢ τὸ πολὺ τὸ κατὰ τὴν δύναμιν καὶ ἔλαττον τούτων ὅcον < δ̄ P^x 14 τὰ *om.* P^a ψ 15 *post* ἄγειν: cπαcμοὶ ω ἐπὶ λουτρὸν P^x A 16 ἀφο(ἀφρο)νίτρου $P^a P^x$ P λευκοῦ $P^a P^x$ P 17 cχίνου P A^t ἄνθοc P^x ω cελίνου *om.* P^a χ A ἑλεν. *om.* P ω 18 𐅻] δρ$^{μ'}$ P^x ᾱ] β̄ P *ante* cήc.: καὶ P^x P 19 ἐπὶ πάντων P^a ἐπιπλάττων ω ἐπ(ε)ιραίνειν P^x A ὕδατι χλιαρῷ P^x 20 κοχλιαροῦ $P^a P^x$ P ἐνδιατρίβων P^a ἐ̇ν̇διατρίβων C^p διατρίβειν A ἐν *om.* $P^a C^p$ 22 ἀποπλύναc P^a 23 ἐν *pr* *om.* $P^a C^p$ψ ἐν τῇ ἐμβ. *om.* P^a ἐκβ. A^t ἐξείτω A S ἐξέίτω C^p τῷ ψυχ.] τὸ ψυχρωδέcτερον L^a 24 *post* δεύτ.: ἢ P^a 25 τῷ *alt.*] τὸ P^a A ω ...πεοc L^a ...ήπεοc P ω 26 *post* φοινιγ.: χρηcτέον ὥcτε P^a ἐκ *supra scr. m. 1^a* C^p *om.* L^a

τινῶν ἀποφλεγματίζειν, καὶ τοῖς ἐρρίνοις κεχρῆσθαι. δίαιταν δὲ θετέον λεπτοτέραν εὐδιοίκητον εὐκοίλιον ἄφυσον κατακεραστικήν, οἴνου δὲ σπάνιος ἡ χρῆσις ἐπὶ τούτων· εἰ δ᾽ ἐγκατάλειμμα εἴη τῆς διαθέσεως ἐπὶ τὸν λευκὸν ἐλλέβορον ἐλθέ· ὁ δὲ τρόπος τῆς χρήσεως προείρηται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. ἀπέχεσθαι δὲ τοῦ λοιποῦ παραινεῖν πάντων τῶν χολὴν γεννώντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ἐπιτηδευμάτων. φλεβοτομείσθωσαν δὲ καθ᾽ ἕκαστον ἔαρ προφυλακῆς χάριν, ἔπειτα καὶ καθαιρέσθωσαν καὶ μάλιστα εἰ πλεονάζοι μᾶλλον ἡ χολή· ταῖς δὲ γυναιξὶ καὶ καταμήνια παρασκευάζειν κατὰ τὸν εἰωθότα καιρὸν ἀπαραποδίστως κενοῦσθαι καὶ τοῖς ἄλλοις τὰς συνήθεις ἐκκρίσεις.

Περὶ μελαγχολίας ἐκ τῶν Γαληνοῦ καὶ Ῥούφου καὶ Ποσειδωνίου. θ̄

ὥσπερ ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν καχέκταις τε καὶ κατὰ τὸν καλούμενον ἐλέφαντα καὶ τοὺς ὑδέρους, ἐνίοτε δ᾽ ἕν τι μόριον ἤτοι πικρόχολον ἢ μελαγχολικὸν ἢ φλεγματικὸν ὑποδεχόμενον χυμὸν αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν, οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον ἐνίοτε μὲν παντὸς τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γεναμένου τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ τὸν ἐγκέφαλον βλαβῆναι, καθ᾽ ἕτερον δὲ τρόπον καὶ καιρὸν ἀπαθοῦς διαμένοντος τοῦ καθ᾽ ὅλον τὸν ἄνθρωπον αἵματος ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον. καὶ συμβαίνει τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν, ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ. γεννᾶται δὲ ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου κατοπτώσης ἤτοι τὴν ξανθὴν χολὴν ἢ τὸ παχύτερόν τε καὶ μελάντερον αἷμα. ὡς ἐπίπαν δὲ τὰ κατὰ τὰ ὑποχόνδρια μέρη πρωτοπαθοῦντα εἰς συμπάθειαν ἄγει τὴν κεφαλὴν καὶ τὴν παραφροσύνην ἐργάζεται, ἤτοι αὐτῆς τῆς χολῆς καταλαβούσης τὸν ἐγκέφαλον, ἤ τινος ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει καὶ ἐν τῷ ὑποχονδριακῷ προσαγορευομένῳ. οὐδὲν γὰρ παρεμ-

5 ἐν τῷ περὶ καθαρτηρίων λόγῳ *cf. III 121 etc. (I 309, 10 sqq.)* 11—*p. 152, 12* Περὶ μελαγχολίας—ὑπνωτικῶν *(Gal.) de melancholia ex Gal. Ruf. Posidonio etc. XIX, 699—720* 14 ἐνίοτε δ᾽ ἕν τι μόριον κτλ. *cf. Paul. III 14 (ib. 156, 9 sqq.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m 2ª* S] ω (S A^t) 1 *post* κεχρ.: καὶ ἀποφλεγματίζειν διὰ τῆς μαστίχης καὶ σταφίδος ἀγρίας· δίδου δὲ καὶ τὸ ἀφέψημα τῆς στοιχάδος πίνειν καὶ τὴν γεντιανήν P^x 3 σπανία A ...ίως L^a P^x P ω 4 ἐλθετέον (ἰτέον P) C^p P^x A ω 6 καὶ (*om.* P^a) ἐπιτηδ. *om.* P A^t *m. 1ª* S 7 ...τομήτωσαν A ...τομείσθω P 8 ...ρέτωσαν A ...έσθω P ...ζει P^x M^o ψ S *post* χολή: τὸ εἰρημένον βοήθημα ἐν τοῖς συνεχέσι πυρετοῖς τε καὶ καυσώδεσιν ἐν τῷ πρὸ τούτου βιβλίῳ κτλ. P^x 9 *ante* καταμ.: τὰ χ ψ S 10 *post* ἐκκρίς.: Ἀπόζεμα εἰς μελαγχολίαν ὅταν οὐ φύσει ὑπάρχ⟨η⟩ μέλαινα χολὴ—οἶνον δὲ λεπτὸν καὶ λευκὸν καὶ ὀλίγον P^x 11 *tit. om.* M^o καὶ Ποσειδ. *post* Γαληνοῦ P^x A *om.* S *post tit.*: τὸ πάθος τὸ καλούμενον μελαγχολία παραφροσύνη τίς ἐστιν—οὓς καὶ ἐνθεαστικοὺς ἰδίως ὀνομάζουσιν P^x 12 μέλεσι χ ψ S 13 κατὰ (*om.* L^a χ A) τὸν—ἐλέφ.] τῷ καλουμένῳ ἐλέφαντι ω *(Gal.)* 14 τοῖς ὑδέροις P^x ω *(Gal.)* 17 γινομ. P^a γενομ. P^x M^o ψ ω 19 τρόπον καὶ *om.* α *(Gal.)*, *add. tant.* L^a

20 τὸ] τοῦ P^x αὐτὸ A^t συμβῆναι P^a 21 ἑτέρω^θ P^n S ..θι P^x A^t 23 ...πτούσης P^x A ...σπώσης A^t τε *om.* P^x A 24 τὰ *pr. om* P^x A A^t 26 ....λαμβανούσης ω *(Gal.)* 27 ἀτμοῦ—νοσήματι τῷ *om.* L^a 27. 28 φυσώδους L^a 28 ἐν τῷ *om.* α *(Gal.)*, *exc.* L^a ...εμποδὸν C^p P^x A προσεμποδὼν P

ποδῶν γίγνεται τῷ λόγῳ ἑτέρωθεν ἐξ ἄλλου τε μορίου εἶναι τὴν ἀρχὴν καὶ γένεσιν τοῦ πάθουc. ῥᾳδίωc γὰρ τὸ cτόμα τῆc γαcτρὸc ὁτιοῦν πάcχον εἰc cυμπάθειαν ἄγει τὸν ἐγκέφαλον τῇ cυγγενείᾳ διὰ τῶν καθηκόντων εἰc αὐτὸν ἄνωθεν μεγίcτων δύο νεύρων· εἰc cυμπάθειαν δὲ ἄγει καὶ τὴν καρδίαν τῇ γειτνιάcει, ὁμοίωc δὲ καὶ τὸ διάφραγμα, ᾧ καὶ cυμπέφυκε. κοινωνία δ' ἐcτὶ τῷ cτομάχῳ καὶ πρὸc τὸν νωτιαῖον, καθ' ὃ μέροc καὶ cύγκειται καὶ cυνδέδεται τοῖc τοῦ τραχήλου cπονδύλοιc. ἀρχὴ τοίνυν τῆc τοιαύτηc μελαγχολίαc ὡc ἐπίπαν ἐξ ἀπεψιῶν γίγνεται· φῦcαι γὰρ αὐτοῖc ἐπιγίγνονται πολλαὶ καὶ ἐπὶ τῷ τυχόντι cιτίῳ μετέωροι καὶ περὶ τὰ ὑποχόνδρια ἐπὶ πολὺ διατρίβουcιν, ἐρυγαί τε ὀξώδειc καὶ βρομώδειc καὶ οἷον ἰχθυώδειc αὐτοῖc ἐπιγίγνονται, μηδενὸc τοιούτου ἐδηδεcμένου· ξηραὶ ὡc ἐπίπαν αὐτοῖc αἱ κοιλίαι, ὕπνοι μικροὶ διεcπαcμένοι, ἐνύπνια ταραχώδη καὶ ἀλλόκοτα, παλμοὶ ἄλλοτε ἀλλαχοῦ ἄλλοι τοῦ cώματοc, ἴλιγγοι τῆc κεφαλῆc καὶ πνευμάτων ἦχοι κατὰ τὰ ὦτα. δοκεῖ δὲ τοῖc μὲν αὐτῶν μεcτὴ καὶ βαρεῖα εἶναι ἡ κεφαλή, τοῖc δὲ κενὴ ἢ κούφη, τοῖc δὲ ξηρά. ˉὁ δέ τιc οὐδὲ κεφαλὴν ἔχειν τὸ παράπαν ᾤετο, πρὸc ὃν ἐξευρεῖν ὁ Φιλότιμοc λέγεται πρὸc τῇ ἄλλῃ θεραπείᾳ τὸν πῖλον τὸν μολύβδινον, ὑφ' οὗ βαρυνόμενοc cυνίει τῆc κεφαλῆc. γίγνονται δὲ οἱ πολλοὶ τῶν μελαγχολικῶν καὶ ἀκόλαcτοι πρὸc ἀφροδίcια, γίγνονται καὶ τὴν γνώμην ἐπίλυποι καὶ δειλοὶ καὶ ἐλεήμονεc καὶ δακρυτικοὶ καὶ διώκουcι τὰ ἔρημα. τινὲc δὲ καὶ δαίμοναc ἀπὸ γοητειῶν τῶν ἐχθρῶν ἐπῆχθαι αὐτοῖc ὑπολαμβάνουcιν, ἕτεροι δὲ δηλητήριον φάρμακον εἰληφέναι ὑποπτεύουcι καὶ βεβαίαν αὐτῶν τὴν ὑποψίαν ἐργάζονται αἱ cυνεδρεύουcαι αὐτοῖc βρομώδειc καὶ ἀλλόκοτοι ἐρυγαί. δοκεῖ δὲ ἄλλα ἄλλοιc καί ἐcτιν ἡ νόcοc παντοδαπὴc καὶ οὐκ εὐαρίθμητοc, οἷον αὐτίκα περὶ τοὺc φόβουc καὶ ὁ μὲν δέδοικε τοὺc φιλτάτουc, ὁ δὲ ὅλουc τοὺc ἀνθρώπουc, καὶ ὁ μὲν δέδοικεν εἰc φῶc ἰέναι, τὰ δὲ cκοτεινὰ διώκει, ὁ δὲ φεύγει τὰ ζοφώδη. οἱ πλείουc μέντοι ἐν cκοτεινοῖc τόποιc χαίρουcι διατρίβειν καὶ ἐν μνήμαcι καὶ ἐν ἐρήμοιc. ἔνιοι δὲ καὶ τὸ ὕδωρ δεδοίκαcι καὶ οἶνον καὶ ἔλαιον

8—11 ἀρχὴ — βρομώδειc *cf. Paul. ib. (ib. 27—32) Aret. III 5 (41, 1—2)* 9 φῦcαι — ἐπιγίγνονται | 10 ἐρυγαὶ . . . | 12 ξηραὶ — κολίαι | 13 ἐνύπνια ταραχ. καὶ ἀλλόκ. *Aret. ib. (39, 15; 40, 29, 30, 16—17, 18)* 26—30 οἷον — ἐρήμοιc *cf. Aret. ib. 2—3, 23*

φ($L^{a}P^{a}$) χ($C^{p}P^{x}M^{o}$) ψ(A P) [*m. 2*^{a} S] ω(S A^{t}) 1 *ante* ἐξ: καὶ P^{a} χ A ω *(Gal.)* ἢ P τε *om.* α *(Gal.), exc.* L^{a} μορίου — ῥᾳδίωc γὰρ *om.* L^{a} 2 ῥᾳδίωc — γαcτρὸc *om* A 5 δὲ *pr. om.* P^{x} A 6 ᾧ] ὃ L^{a} ω 7 ἔγκειται α *(Gal.), exc.* L^{a} οὐ δέδεται L^{a} 10 cιτίῳ *om.* ω . . .τρίβουcαι $P^{a}C^{p}M^{o}$ ω *(Gal.)* 11 *ante* ὀξ.: αὐτοῖc P ω καὶ βρομ. (*om.* L^{a}) — αὐτοῖc (. . .ὶ L^{a}) *om.* P ω 13 ἀλλοκώτατα *Gal.* 14 . . .χοῦ *om.* $P^{a}C^{p}M^{o}$ ω *(Gal.)* ἄλλη $C^{p}M^{o}$ . . .η *corr.* . . .οι P^{a} ἀλλ' ἢ P^{x} ὅλου A *om.* P πνεύματοc L^{a} 16 κενὴ καὶ κούφη P^{x} ψ κούφη ἢ (ἡ) κενὴ ω *(Gal.)* ὁ] ἤδη *Gal.* 17 φυλότ. χ 18 *ante* τὸν *pr.*: καὶ P^{x} A 19 cυνείη P^{x} . . .νήει A . . .νίηcι P οἱ (*om.* L^{a}) πολλοὶ . . . .ικῶν (. . . .χόλων P^{x} A) καὶ (κ. *om.* L^{a}) — γίγνονται (*sq.* δὲ P^{a}) *om.* C^{p} ω 20 γίγνονται καὶ *om* *Gal.* . .ληπτοι P ω 21 καὶ *pr. om.* P^{x} A διακριτικοὶ ψ 22 γοητίαc P^{x} A 25 (καὶ A) ἄλλοιc ἄλλα α, *exc.* L^{a} τοῖc ἄλλοιc ἄλλα *(Gal.) Ald.* 26 καὶ *alt. om.* $L^{a}P^{x}$ A *(Gal.)* 27 *ante* ὅλουc: καὶ *add.* ω τοὺc *om.* P^{a} χ ψ *(Gal.)* 29 μνημείοιc (μνήμη A^{t}) M^{o} S *(Gal.)*

καὶ πᾶν ὑγρὸν ὁτιοῦν, ὥςπερ οἱ δηχθέντες ὑπὸ λυττῶντος κυνὸς καὶ συντόμως εἰπεῖν αἱ μελαγχολικαὶ παράνοιαι πολυειδεῖς μέν εἰςι ταῖς κατὰ μέρους ὑπούλοις φαντασίαις· ἐν δ' αὐταῖς ἁπάςαις ὑπάρχει κοινὸν ὁ φόβος καὶ ἡ δυςθυμία. δυςθυμοῦςι μὲν γὰρ ἅπαντες ἀλόγως, οὐδ' ἂν ἐρωτήςῃς ἔχοντες εἰπεῖν ἐφ' ὅτῳ λυποῦνται· δεδίαςι δὲ ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατόν τε καὶ ἕτερά τινα μηδενὸς ἄξια δείματος· εἰςὶ δ' οἳ καὶ ςφοδρῶς ἐπιθυμοῦςι τὸν θάνατον.

Γαληνοῦ. τὸ μὲν οὖν ἐπὶ μελαίνῃ χολῇ καταλαβούςῃ τὰς ἀρχὰς τῆς λογικῆς ψυχῆς φόβους τε γίγνεςθαι καὶ δυςθυμίας καὶ θανάτου προςδοκίας οὐδὲν θαυμαςτόν· ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ ςώματος οὐδὲν οὕτως ἡμῖν φοβερὸν ὡς τὸ ςκότος. ὅταν οὖν οἷον ζόφος τις περιςχεθῇ τὸ λογικὸν μόριον ὃ τῆς ψυχῆς, ἀναγκαῖον ἀεὶ φοβεῖςθαι τὸν ἄνθρωπον, ὡς ἂν τὴν αἰτίαν τοῦ φόβου ςυμπεριφέροντα τῷ ςώματι· ὡς γὰρ ἐν ςκότῳ βαθεῖ τὰ παιδία φοβεῖται καὶ τῶν τελείων οἱ ἀπαίδευτοι, οὕτως καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπληςίως ςκότῳ τὸν φρονοῦντα τόπον ἐπιςκιάζον ἐργάζεται τοὺς φόβους.

Πάντων μὲν οὖν τῶν παρεπομένων ἑκάςτῳ ςυμπτωμάτων τὰς αἰτίας εἰπεῖν ἀδύνατον· ἀπορίαν γὰρ πολλὴν ἔχει τὰ πλεῖςτα, οἷον διὰ τί τὰ μὲν φεύγουςιν ὡς δεινὰ μὴ ὄντα δεινά, τὰ δὲ διώκουςιν ὡς χρηςτὰ μὴ ὄντα χρηςτά, καὶ διὰ τί ὁ μὲν τοὺς οἰκείους φοβεῖται, ὁ δὲ ὅλους ἀνθρώπους καὶ τὰ τοιαῦτα. τῶν πλείςτων δὲ ςυμπτωμάτων εἰπεῖν τὰς αἰτίας τὸν ἰατρὸν οὐ χαλεπόν, οἷον ὁ δοκῶν ἑαυτὸν κέραμον εἶναι, διὰ τὴν ξηρότητα τοῦτο πάςχει· ψυχρὸς γὰρ καὶ ξηρὸς ὁ μελαγχολικὸς χυμός. ὁμοίως δὲ καὶ ὁ τὸ ἑαυτοῦ δέρμα δοκῶν εἶναι ταῖς ξηραῖς διφθέραις ὅμοιον. ὁ δὲ οἰόμενος μὴ ἔχειν κεφαλὴν ἴςως διὰ κουφότητα τῆς κεφαλῆς τοῦτο ᾤετο, τὴν δὲ κουφότητα τὸ ἀναφερ'μενον πνεῦμα παρεῖχεν αὐτῇ. διὰ τί δὲ ὀρέγονται οἱ μελαγχολικοὶ πλειόνων ςιτίων, ἢ ὅτι ψύχεται αὐτοῖς τὸ ςτόμα τῆς γαςτρός; διὰ τί δὲ ἔνιοι αὐτῶν οἰνοπόται, ἢ ὅτι ψυχρὸν ὂν θερμανθῆναι χρῄζει; διὰ

2—13 αἱ μελαγχολικαὶ — ςώματι *Gal. de symptom. caus. II 7 (VII 202, 18, 203, 2, 3, 4—15)* 3—4 ἐν δ' αὐταῖς — δυςθυμία | 5—6 δεδίαςι — θάνατον *Paul. ib. (ib. 16, 19—20 [Aret. ib. 23—24])* 14—16 ὡς γὰρ — φόβους *Gal. de loc. aff. III 10 (VIII, 190, 2—3, 5—8)* 17—*p. 145, 12* πάντων — τοιοῦτος *Ruf. id. 354—358*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) [*m. 2ª* S] ω (S A^t) 1 *ante* πᾶν: τὸ L^a 2 ταῖς *om* L^a 4 ὁ *et* ἡ *om.* L^a μὲν *om.* φ 5 ...ςεις ω ἔχονται A^t ...τας P^x S *post* λυπ.: Γαληνοῦ P^x *id. in mg.* A δεδοίκαςι P^x A ...δοίαςι P A^t δὲ] τε P^a C^p τ' M^o γὰρ P 7 τὸν φ *tantum* ...νάτου C^p M^o ω *(Gal.)* 8 Γαλ. *om.* P^a χ ψ S *post* ἐπὶ: τῇ *Gal.* ...νης ...ῆς ....βούςης L^a 11 ἡμῖν οὕτως ω οἷον *om. Gal.* ζόφῳ L^a 12 τῷ ...γικῷ (...γιςτικῷ A) ..ρίῳ χ ψ ω *(Gal.)* ὃ L^a *tant.* 13 ....φέροντες P ...φέρον S ....φέροντος P^a P^x περιφέρον͞ A^t 14 ςκότει P A^t ...βοῦνται ω 15 οὕτω χ ψ ω *(Gal.)* καὶ] δὲ L^a 16 φόβ.] τόπους L^a 17 *ante* Πάντων: Ῥούφου P^x A A^t *(Gal.)* 19 τὰ *pr. om.* A^t 21 *post* ὅλους: τοὺς A^t 22 τὰς αἰτίας *ante* ςυμπτωμ. ω *post* P^a 24 δὲ *om.* P^x M^o ψ ω *(Gal.)* ἐπ' αὐτοῦ L^a αὑτοῦ P 25 μὴ ἔχειν] ςμήχειν ω 26 τῆς κεφ. — κουφότητα] ἣν P *om.* P^a ω 26—27 τὸ ἀναφ. — αὐτῇ] τοῦ ἀναφερομένου ἐκ τοῦ χυμοῦ πνεύματος P^a 28 ἢ *om.* P^x A 29 ἢ *om.* A *ante* ψυχρὸν: τὸ χ ψ ω *(Gal.)* ὂν *om.* χ ψ ω *(Gal.)*

τί δὲ ἀποκτενοῦϲι cφᾶc αὐτῶν, ἢ ὅτι μειζόνων κακῶν ὑπολαμβάνουϲιν ἀπαλλάττεcθαι; εἰ μὴ ἄρα δόξα τοιαύτη ὑπογίγνεται αὐτοῖc, ἢ ὅτι τὸ ἀποθνήcκειν ἐcτὶ καλόν, ὥcπερ τῶν βαρβάρων ἐνίοιc; διὰ τί δὲ ἀπεψίαι cυνεχεῖc αὐτοῖc γίγνονται, ἢ ὅτι θολερὸν καὶ περιττωμάτων μεcτόν ἐcτιν αὐτῶν τὸ cῶμα καὶ διὰ τοῦτο καὶ δύcκρατοc ἡ γαcτὴρ ψυχομένη διὰ παντὸc ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ; διὰ τί δὲ αἱ κοιλίαι ὡc ἐπίπαν αὐτοῖc ξηραίνονται, ἢ ὅτι τὸ πνεῦμα τοῖc ἄνω περὶ τὰ ὑποχόνδρια προίcταται καὶ οὐ πάνυ κάτω διαχωρεῖ; ἀνάγκη τοίνυν δι᾽ αὐτὸ τοῦτο καὶ τὰc γαcτέραc εἶναι ξηράc· ἐκ δὲ πολλῆc τῆc ἐπιcχέcεωc ἀθρόα ποτὲ καὶ περιτετηκότα διαχωροῦcι. cκαρδαμυκταὶ δὲ καὶ ἐξόφθαλμοι καὶ παχύχειλοι ὡc ἐπίπαν γίγνονται διὰ τὸ παχὺ πνεῦμα, μελανόχροεc δὲ διὰ τὴν φύcιν τοῦ χυμοῦ. δαcεῖc δὲ οἱ πλείουc αὐτῶν διὰ τὸ πλῆθοc τῶν παχέων περιττωμάτων, ταχύγλωccοι δ᾽ ὡc ἐπίπαν εἰcὶ καὶ τραυλοὶ καὶ ἰcχνόφωνοι τῷ ἀκρατεῖ τῆc γλώττηc. αἱ γὰρ cυντονίαι τῆc κινήcεωc κατὰ τὸ πνεῦμα γίγνονται· πᾶν δὲ τὸ cυντόνωc κινηθὲν ἀπορρεῖ ταχέωc. εὐπετὲc μὲν τῷ βουλομένῳ καὶ τῶν λοιπῶν cυμπτωμάτων ἀποδοῦναι τὰc αἰτίαc ἐκ τούτων ὁρμωμένῳ. μελαίνεται δὲ ὁ χυμὸc οὗτοc ποτὲ μὲν ὑπερθερμαινόμενοc, ποτὲ δὲ ὑπερψυχόμενοc· οἷον γάρ τι πάcχουcι οἱ καιόμενοι ἄνθρακεc, διαυγέcτατοι μὲν ὄντεc τῇ φλογί, cβεννυμένηc δὲ τῆc φλογὸc ἀπομελαίνονται, τοιοῦτόν τι καὶ ἡ ψῦξιc περὶ τὸ φαιδρὸν χρῶμα τοῦ αἵματοc ἐργάζεται. ὁρῶμεν γὰρ κἀπὶ τῶν ἐκτὸc πελιδνὰ γιγνόμενά τινα τῶν cωμάτων καὶ μελαινόμενα ὑπὸ ψύξεωc. ἡ δὲ ὑπερβολὴ τοῦ θερμοῦ πάλιν ξηράναcα καὶ δαπανήcαcα τὰc ὑγρότηταc, ὑφ᾽ ὧν τρέφεται τὸ θερμόν, μελαίνει τοὺc χυμούc, ὥcπερ καὶ ὁ ἥλιοc τοὺc καρποὺc καὶ τὰ τῶν ἀνθρώπων cώματα. γινώcκειν τοίνυν χρὴ ὡc διττὸν τὸ εἶδοc τῆc μελαγχολίαc. τινὲc μὲν γὰρ αὐτῶν ἐκ φύcεωc καὶ τῆc ἐξ ἀρχῆc κράcεωc ἔχουcι τὸ μελαγχολικόν, τινὲc δὲ ἐκ διαίτηc φαύληc εἰc ὕcτερον τὴν κρᾶcιν ταύτην ἐπεκτήcαντο. καί ἐcτι τὸ εἶδοc τοῦτο νωθρὸν καὶ κατηφὲc ἀεί. ὅτι δὲ ἐξ ὑπεροπτήcεωc τῆc ξανθῆc χολῆc τῇ παραφροcύνῃ περιπίπτουcι, θραcύτεροι καὶ ὀργιλώτεροι τῶν ἄλλων εἰcὶ καὶ πλῆκται καὶ τὰ πάνδεινα πράττοντεc κατὰ τὸν καιρὸν ἐκεῖνον μάλιcτα, ἐν ᾧ ὑπεροπτᾶται

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 ἀποκτείνουcι P^a *Gal.* ...κτιννύουcι C^p P ...κτενύουcι P^x A ....κτεννυ οὔcηc M^o ...κταινίουcι A^t 4 γίγν. αὐτοῖc P A^t θολερῶν $L^a P^x$ A καὶ *om.* P^x A μεcτῶν C^p *om.* ω 5 αὐτῶν ἐcτι $P^a M^o$ cῶμα] cτόμα τῆc γαcτρὸc P^x 6 χυμοῦ *om.* L^a 7 τὰ πνεύματα α, *exc.* L^a 8 cυνίcταται P^x A ω ἕπεται L^a κάτω *om.* $P^x M^o$ A χωρεῖ P^x A δι᾽ *om.* L^a 9 αὐτῷ L^a *om.* P^x A 10 cκάρδαμοι $L^a A^t$ cκαρδαμύται C^p ....δομύτται M^o ...δαμίται A ....μμύται S ...δάμυτται P ...μύττουcι $P^a P^x$ ....μυκταὶ *correxi* δὲ] τε L^a 12 μελάγχροεc (...χολεc A^t) α, *exc.* L^a μελάγχρουc *Gal.* 13 δ᾽ (δὲ) *om.* $P^x M^o$ ω 14 γλώccηc C^p P ω 16 καὶ ταχέωc ἀπορρεῖ A μὴν ω λοιπ.] ἄλλων P^a ὅλων P 17 τὰc αἰτ. ἀποδ. P^a ....μέγαc L^a ....νων $C^p P^x A^t$ 17. 18 Διττῶc μελαίν. ὁ. χ. οὕτωc P^x 19 πάcχουcι γάρ τι ω 20 δὲ] μὲν ω μελαίν. P^a ὑπομ. A^t ἀπομελαινόμενοι P τοιοῦτο C^p A 22 τ. cωμ] cώματα P ω 25 *post* cώμ.: Ποcαχῶc τὸ εἶδοc τῆc μελαγχολίαc; P^x 26—*p. 145, 2* γινώcκ. — ἐπίφ. γίγν. *om.* C^p P χρὴ τοίνυν ω *Gal.* χρὴ *ante* γιγνώcκ. P^x 27 τὸν μελαγχ. χυμὸν P^x A 28 ἐcύcτερον P^a ω *(Gal.)* ταύτην *om.* ω *(Gal.)* 29 ὅτι] ὅcοι $P^a P^x$ A 31 πάντα δεινὰ $P^a M^o$ *m. 2ª* S 32 ἐν ᾧ] καθ᾽ ὃν P^a

ἡ χολή· τῷ χρόνῳ δὲ ὅταν καὶ αὐτὴ ἀποςβεςθῇ, κατηφεῖς καὶ ἐπίλυποι καὶ ἐπίφοβοι γίγνονται. τὰ μὲν οὖν πρὸ τῆς θεραπείας εἰς τοςοῦτον διεγνωκέναι χρὴ τὸν ἰατρόν· ἃ δ' ἄν τις μαθὼν ἔχοι βοηθεῖν τοῖς οὕτω νοςοῦςιν, ἤδη καιρὸς ἐκτίθεςθαι. διαφέρει δὲ εἰς τὴν θεραπείαν οὐ ςμικρὰ τὸ εἰδέναι ὅθεν τὴν ἀρχὴν ἔςχε τὸ νόςημα. Γαληνοῦ. ὅταν μὲν γὰρ ὅλον τὸ ςῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας ποιεῖςθαι προςῆκον· ὅταν δὲ τὰ κατὰ μόνον τὸν ἐγκέφαλον οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων, εἰ μήτι γε πολύαιμος εἴη καὶ χάριν προφυλακῆς τὴν ἀφαίρεςιν ποιούμεθα. ἡ δ' οὖν διάγνωςις ἀπὸ τῶνδέ ςοι γιγνέςθω, πότερον ὅλον τὸ ςῶμα μελαγχολικὸν ἔχει τὸ αἷμα ἢ κατὰ τὸν ἐγκέφαλον μόνον ἤθροιςταί τις τοιοῦτος. οἱ ⟨μὲν⟩ μελάντεροι καὶ δαςεῖς καὶ φλέβας εὐρείας ἔχοντες ἐπιτηδειότατοι πρὸς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ γένεςιν, ἔςθ' ὅτε δὲ καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι μεταπίπτουςιν ἀθρόως εἰς τὴν μελαγχολικὴν κρᾶςιν· ἐφεξῆς δὲ αὐτῶν οἱ ξανθοὶ καὶ μάλιςθ' ὅταν ἀγρυπνίαις καὶ πόνοις πλείοςι καὶ φροντίςι καὶ λεπτῇ διαίτῃ ἢ μελαγχολικοῖς ἐδέςμαςι διῃτημένοι τύχωςιν ὄντες· πρὸς τούτοις εἰ ἐπέςχηταί τις αἱμορροῒς ἐν ἕδρᾳ ἢ ἄλλη τις ςυνήθης κένωςις αἵματος ἢ καταμήνια ταῖς γυναιξίν. οὐ μικρὰ δὲ ςυντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ κατάςταςις τοῦ ἀέρος καὶ τὸ χωρίον ἥ τε τοῦ κάμνοντος ἡλικία καὶ τὸ ἐπιτήδευμα. ταῦτα δὲ πάντα προςδιαςκεψάμενος, ὅταν ἐλπίςῃς ἐν ταῖς καθ' ὅλον τὸ ςῶμα φλεψὶ μελαγχολικὸν αἷμα περιέχεςθαι, τὴν βεβαιοτάτην ἐπάγειν διάγνωςιν ἐκ τοῦ τεμεῖν τὴν κατ' ἀγκῶνα φλέβα· βέλτιον δὲ τὴν μέςην τέμνειν· εἶτα εἰ μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον αἷμα, ἐπίςχειν εὐθέως· εἰ δὲ τοιοῦτον φαίνοιτο, κένωςον ὅςον ἂν ὑπολάβοις ἄνταρκες ἔςεςθαι τῇ τοῦ κάμνοντος ςώματος ἕξει.

2—5 τὰ μὲν οὖν — νόςημα *ante* γινώςκειν *(p. 144, 26) transp. Gal. de melanchol. etc.* 6—19 ὅταν μὲν γὰρ — γυναιξίν *Gal. de loc. aff. III 10 (VIII, 182, 7—10, 12—14, 17—183, 8)* ὅταν — ὁ κάμνων *(8) Or.*^{a} *VIII 6 (248, 12—14)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 καὶ *pr. om.* P^x A καὶ *alt. om.* S *(Gal.)* ἐπίληπτοι A^t *m. 2*^{a} S 2 γενόμενοι ω *(Gal.)* 2—5 τὰ μὲν οὖν — νόςημα *ante* γινώςκειν τοίνυν *(p. 144, 26) transp.* M^o ω 3 ἐκγινώςκειν M^o χρὴ] δεῖ P^a *om.* L^a ἔχει P^x A A^t 4 τίθεςθαι P^a C^p P ὑποτίθ. ω *(Gal.)* 5 μικρά L^a τὸ *(om. Gal.)* εἰδ. *om.* ω Γαλ. L^a *tantum* 6 ἔχει P^x M^o ω *(Gal.)* ..$\overset{Η}{ε}$ C^p 7 ποιεῖςθαι *om.* L^a M^o ω ...ήκει P ...ῆκεν C^p M^o A ω *(Gal.)* τὰ] τὸ P *om.* P^x 8 χρήζῃ ω εἰ *om* L^a χ μὴ P^a μήποτε S μήτοι ψ A^t *(Gal.)* γε *om.* P^a S 9 ποιούμ. τ. ἀφ. *transp.* P^a 9. 10 δ' οὖν] γοῦν P^a P A^t 10 τῶνδέ] τῶν τότε *Gal.* *post* γιγν.: τῶν ςημείων P^x 11 τις] ὁ A *om.* A^t 12 *post* τοιοῦτ.: διάγνωςις Γαληνοῦ A χυμὸς P καὶ ἀξιῶ ςε πρῶτον μὲν ἐπιςκέπτεςθαι τὴν τοῦ ςώματος ἕξιν, ὁποία τίς ἐςτιν, μεμνημένον ὡς οἱ μὲν ἁπαλοὶ καὶ λευκοὶ καὶ πίονες ἥκιςτα μελαγχολικόν, οἱ δ' ἰςχνοὶ καὶ P^a οἱ *om.* P^a μὲν *add. ex Gal.* *post* μελάντ.: δὲ C^p ω 13 χυμοῦ *om.* P^x A 14 χροιὰν P^a A 15 *post* ὅταν: ἐν P^a 17 προδεδιῃτ. P^a εἰ] ἵν' P^a ἐπίςχηται P^a C^p M^o *(Gal.)* ...εται P A^t ...ςχεῖται P^x A 18 ςυνήθης *om.* L^a ἔκκριςις αἵματος S ἔκκριςις A^t 19 ςμικρὰ P^a P 22 περιχεῖςθαι A^t 23 ἔπαγε P^a M^o ψ ..άγαγε C^p ἀπαγάγῃ *Gal.* τέμνειν α *(Gal.), exc.* L^a 25 τὸ αἷμα τὸ ἐκ τῆς φλεβὸς ῥέον P^x εἰ] ἐπεὶ ω τοιοῦτο C^p M^o 26 ...λαμβάνῃς P^a ...λάβῃς χ ψ ω *(Gal.)* *post* ἕξει: Τρίτη διάγνωςις Γαληνοῦ P^x

ἡ δὲ τρίτη διαφορὰ τῆς μελαγχολίας, ἧς τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχειν ἐλέγομεν, ὑποχονδριακὸν πάθος ὀνομαζομένη, διαγιγνώσκεται ἐκ τῶν προειρημένων πολλάκις. πρῶτον γὰρ ἄρχεται τὰ κατὰ τὴν γαστέρα συμπτώματα, οἷον ἐμπνευματώσεις βορβορυγμοὶ ἐρυγαὶ[ὀρέξεις] ὀξώδεις καὶ βρομώδεις καὶ τὸ ἐπιξηραίνεσθαι τὴν γαστέρα καὶ τὸ ἐπὶ ταῖς διαχωρήσεσι καὶ τοῖς ἐμέτοις καὶ ταῖς ἐρυγαῖς ἐπικουφίζεσθαι καὶ τὸ τοὺς κάμνοντας αὐτοὺς συναισθάνεσθαι τῶν ὀχληρῶν πάντων περὶ τὰ ὑποχόνδρια συνεδρευόντων. ὥσπερ οὖν τισι πολλάκις ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς ἢ καπνώδους ἀναθυμιάσεως ἢ ὅλως ἀτμῶν τινων παχέων, ὅμοια τοῖς τῶν ὑποχεομένων δοκεῖ φαίνεσθαι πρὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν, ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως, οἷον αἰθάλη ἢ καπνὸς τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. ὅταν μὲν οὖν τὰ τῆς μελαγχολικῆς παρανοίας ἴδια σημεῖα φαίνηται μεγάλα, κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν ὀχλεῖν ἢ σμικρότατον τοῦτο εἴη, τὸν ἐγκέφαλον ἡγητέον ἐπὶ τούτων πρωτοπαθεῖν, καθὼς προείρηται.

ī Θεραπεία μελαγχολικῶν Γαληνοῦ. τὴν μὲν οὖν ἐξ ἐγκεφάλου πρωτοπαθοῦντος συνισταμένην μελαγχολίαν διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς καὶ ἀφύσου ἐκθεραπεύειν χωρὶς ἑτέρου δραστικοῦ βοηθήματος, ὅταν γε μήπω διὰ χρόνου μῆκος δυσκένωτος ᾖ ὁ λυπῶν χυμός, ἡνίκα ποικιλωτέρας καὶ ἰσχυροτέρας προσάγειν χρὴ τὰς ἰάσεις. ἀρχόμενον δὲ τὸ πάθος θεραπεύειν προσήκει. χρονίσαν γὰρ καὶ αὐξηθὲν δυσμεταχείριστον γίνεται.

Ῥούφου. κοινὰ δέ ἐστι, κἂν ὁ ἐγκέφαλος πρωτοπαθῇ κἂν τὰ ὑποχόνδρια, τὰ ὑπακτικὰ τῆς γαστρὸς βοηθήματα. πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή, ἔπειτα δὲ καθαίρειν πρῶτον μὲν ἐπιθύμῳ καὶ ἀλόῃ. τούτων γὰρ εἰ καὶ ὀλίγον ἐφ᾽ ἑκάστης ἡμέρας λαμβάνοι, ὠφελεῖται τὰ μέτρια καὶ ἡσυχῇ ὑπάγειν.

1—4 ἡ δὲ τρίτη — συμπτώματα | 5. 6 καὶ τὸ ἐπὶ ταῖς — ἐπικουφίζεσθαι *Or.*^{a} *ib. (ib. 14—20)* 13—16 ὅταν — πρωτοπαθεῖν *Gal. ib (ib. 192, 8—10) Or.*^{a} *ib. (ib 22—24)* 17—23 τὴν μὲν οὖν — γίνεται *Or*^{a} *ib. (ib. 25—30)* τὴν μὲν — ἰάσεις *(22) Paul. III 14 (I 157, 5—10)* 24—28 Ῥούφου — ὑπάγειν *Ruf. id. 359* 26—28 καθαίρειν — ὑπάγειν *Or.*^{a} *ib. (ib. 30—249, 1) Paul. ib. (ib. 10—12)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 ἡ δὲ — μελαγχ.] ἡ δὲ τρίτη διάγνωσις τῆς θεραπείας τῆς μελαγχολικῆς διαφορᾶς P^{x} τὴν δὲ τρίτην διαφορὰν A τῇ δὲ τρίτῃ διαφορᾷ ω ἣν P^{a} P S *om.* A 2 ἔχειν P A^{t} ...ζομένην α *corr. ex Gal.* *ante* διαγιγν.: ἣ ω 3 *post* πρῶτον: μὲν P^{x} A ω ἄρχ. *om.* P^{x} A 4 ὀρέξ. *om.* P^{a} χ ψ S *(Gal. Ruf.)* 5 ὀξώδ. *om.* S 6 *post* ἐπικ.: ἢ P^{x} A 7 τὸ *om.* ω *(Gal.)* αἰσθάν. P^{x} A 9 ἢ καπν. *om.* P^{a} 14 τῆς μελαγχ.] μελαγχολικὰ A^{t} σημ.] συμπτώματα ω ...νεται P^{a} ...νονται P 15 ἐνοχλεῖν P^{x} ...χλοῦν A ὀχλῇ P^{a} ὀχληρὸν C^{p} P ω *(Gal.)* τὸν] τῶν P^{x} A 16 ἐπὶ *ante* τὸν *transp.* L^{a} 17 ...χολίας ω *(Gal.)* Γαληνοῦ *om.* A^{t} 18 *ante* συνεχ.: καὶ A^{t} *(Gal.)* 20 μήπου C^{p} M^{o} A S μῆκος χρόνου A^{t} 21 εἴη P^{a} P^{x} *m. 2*^{a} S εἶ C^{p} λοιπὸς A λοιπ᾽ P^{x} 22 προσήκ. θεραπ. *transp.* P^{a} 24 Ῥούφου *om.* P^{a} C^{p} M^{o} ψ 25 *ante* ὑποχ. *add.* καθ᾽ M^{o} A 27 ἐφ᾽] καθ᾽ P^{x} A 27. 28 λαμβάνει P^{a} A 28 τὸ M^{o} ψ A^{t} τῷ P^{a} C^{p} P^{x} S μετρίως P^{x} ω

Ποcειδωνίου. ἐφ' ὧν δὲ αἷμα πλεονάζειν φαίνοιτο, εὐθὺc ἐξ ἀρχῆc φλέβα τέμνειν προcήκει τὴν ἐν ἀγκῶνι καὶ μάλιcτα ἐφ' ὧν cυνήθειc ἐκκρίcειc εἰcὶ τοῦ αἵματοc ἐπεcχημέναι. ἐπὶ δὲ γυναικῶν, αἷc ἐκλείπει τὰ καταμήνια, τὴν ἐν τῷ cφυρῷ φλέβα τέμνειν χρή, κενοῦν δ' ἕκαcτον πρὸc δύναμιν· ἐφ' ὧν δὲ ἡ κακοχυμία μᾶλλον πλεονεκτεῖ, προδιαιτήcαc τὸν πάcχοντα κάθαιρε τῇ ἱερᾷ Ῥούφου ἢ Ἀρχιγένουc ἢ Ἰούcτου. εἰ δ' ἄμφω πλεονάζοι, προφλεβοτομήcαc κάθαιρε. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέραc τινὰc κλυcτῆρcι τὴν κοιλίαν κενοῦν, πρῶτον μὲν διὰ χυλῶν πιτύρων καὶ κενταυρίου τοῦ μικροῦ καὶ ἀφρονίτρου καὶ μέλιτοc, μετέπειτα δὲ καὶ πολυποδίου ῥίζαc τεθλαcμέναc cυνέψειν τοῖc πιτύροιc καὶ ἐπίθυμον. μετὰ δὲ τρεῖc ἡμέραc τοῦ κλυcτῆροc δοτέον αὐτοῖc τὴν δι' ἀλόηc πικρὰν προcειληφυῖαν πρὸc τοῖc ἄλλοιc πᾶcι καὶ ἐπιθύμου. cκευάζειν δὲ αὐτὴν ὡc Θεμίcων βούλεται· ἀλόηc μὲν βαλὼν < ρ̄ μαcτίχηc δὲ καὶ κρόκου καὶ ναρδοcτάχυοc κινναμώμου τε ἢ καccίαc τὸ διπλοῦν ἀcάρου καὶ καρποβαλcάμου ἑκάcτου ἀνὰ Γ° ᾱ. προcτιθέναι δὲ τούτοιc καὶ ἐπιθύμου Γ° β̄ καὶ cχοίνου ἄνθουc Γ° ᾱ καὶ διδόναι κοχλιαρίου μεγάλου τὸ πλῆθοc μετὰ μελικράτου. δοτέον δὲ αὐτοῖc ἐκ διαcτημάτων ὀλίγων δεύτερον ἢ τρίτον, εἶτα πάλιν διαιτήcαc καὶ ἀναλαβὼν τὰc δυνάμειc δίδου πάλιν τὴν ἱερὰν Ῥούφου ἢ Ἀρχιγένουc ἢ Ἰούcτου. πλῆθοc δὲ ἔcτω τὸ ξηρίον διδόμενον ὡc < δ̄ μετὰ μελικράτου καὶ ἁλῶν ὅcον κοχλιάριον· βέλτιον δὲ καὶ τοῖc ἐφ' ἡμέραν κενοῦcι πρᾴωc ὑπάγειν τὴν γαcτέρα· μελάνων δὲ ἀγωγά ἐcτιν ἀμάρακον καὶ ἡ κονίλη λεγομένη διδόμενα ὅcον < β̄ ἐπιπαccόμεναι μελικράτῳ καὶ πινόμεναι· cυμφέρει δὲ καὶ τῷ ὀρρῷ τοῦ γάλακτοc ὑπάγειν τὴν κοι-

1. 2 ἐφ' ὧν — ἀγκῶνι *cf. Or.*^{a} *ib. (ib. 249, 7—8)* 2—5 φλέβα — δύναμιν *cf. Aret. VIII 5 (156, 4, 7—8)* 6 τῇ ἱερᾷ Ῥούφου ἢ Ἀρχιγένουc ἢ Ἰούcτου *cf III 115—117 (I p. 304 sqq.)* 11. 12 δοτέον — ἐπιθύμου *Or.*^{a} *ib. (ib. 10—11)* δοτ. — προcειληφυῖα *Aret. ib. (157, 7 sqq.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 Ποcειδ.] *in marg. m. 2*^{a} *ut vid.* P^a *om.* χψ 2 ἀγκῶcι ω 3 ἐπιcχ. φ P^x M^o ψ ω ἐκλείποι P^a 4 τὸ ...μήνιον χ A 6 πάcχ.] κάμνοντα ω καθαίρειν ω 7 ...νάζει P^a M^o ω *(Gal.)* *ante* μετὰ: Ποcειδωνίου A διαλοιπὸν A ...πὼν P A^t διὰ λειπὼν P^x 8. 9 χυλοῦ...ρων P^a χ ψ *(Gal.)* πιτύρων χυλῶν ω 9 κ. κενταύριον μικρὸν *in marg.* M^o κ. κενταυρίου τοῦ μικροῦ *post* ἀφρονίτρου A *om.* C^p P^x P ω *(Gal.)* ἀφονίτρου P^a ...νίτρων C^p ....φρονίτρων M^o P ω *post* μέλιτοc: κἄπειτα δὲ καὶ κενταύριον μικρὸν P 9. 10 μετέπ. *om.* P 10 δὲ *om.* P^x P ω 11 καὶ] ἢ χ ψ ω *(Gal.)* 12 πρὸc — ἐπιθύμου] μετὰ τὴν κάθαρcιν καὶ τὸν κλυcτῆρα P 13 *post* βούλεται: Cκευαcία τῆc πικρᾶc. Θεμίcων P^x ἡ πικρὰ ὡc Θεμίcων M^o βάλλων A ω 14. 15 τε — διπλοῦν *om.* P^x ἢ] καὶ A ω 15 ἑκ. *om.* P^o P^x ἀνὰ *om.* C^p M^o ψ ω Γ°] δρ̅^{μ} P^x ᾱ *om.* P^x προcτιθ. δὲ τούτ. κ.] καcίαc δρ̅^{μ} β̄ P^x 16 καὶ cχ. — ᾱ *add. ex Gal.* 17 μεγ. τὸ] μεγάλου P S μέγα L^a A^t αὐτὸν L^a ...τὴν P^a ...τοῖc *corr.* ...ῆc (αὐτ̃ C^p) M^o 18 ὀλίγον A^t 19 ἢ Ἰούcτου ἢ Ἀρχιγ. P^a 20 *post* Ἰούcτου: ὧν τὰc cκευαcίαc ἐροῦμεν ἐνταῦθα. Cκευαcία τῆc ἱερᾶc Ῥούφου δέχεται· κολοκυνθίδοc κτλ. P^x ξηρίον *om.* χ ψ ω *(Gal.)* ὡc] ὅcον P^x *om.* C^p M^o ψ ω *(Gal.)* 21 *post* κοχ.: μικρόν χ ψ ω *(Gal.)* δὲ *om.* L^a ἐφ' ἡμέρα (..αc) κεν. P^a P ἐφήμερον κεν. P^x A *(Gal.)* κεν...ιν ἐφ' ἡμέραν κεν...cι ω 22 μέλανοc P ...αντέρων P^a ...αγχολικοῦ A ..λαίνηc ω ἀγωγὸν ω ἀμαράκινον L^a 23 κονία L^a κονίλα A^t ...νήλη C^p S *ante* λεγ. ἡ P^x M^o A διδόμ. *om.* χ ψ ω *(Gal.)* ...ccόμενα P^x A παccόμενα P παc...αι P^a M^o ω καὶ *om.* P^a 24 ...νόμενα P^x A *om.* P^a

λίαν, ἀλλὰ μὴ ἀπὸ τῶν τυρῶν δοτέον τὸν ὀρρόν· ἄμεινον γὰρ τὸ ἐκ τοῦ ἑψημένου γάλακτος ἀποχωριζόμενον· μᾶλλον δὲ ἵππειον ἔστω τὸ γάλα, εἰ δὲ μή, βόειον. ἐμβλητέον δὲ τὸ γάλα ἐν καινῇ χύτρᾳ κινοῦντα κλάδῳ συκῆς. ὅταν δὲ ἀναζέσῃ τρὶς ἢ τετράκις καταρραίνειν ὀξυμέλιτι, εἶτα διηθήσας δίδου πίνειν τὰ μὲν πρῶτα μέλι προσμίσγων· ὅταν δὲ ἄρξηται ὑπέρχεσθαι ἡ γαστὴρ μηκέτι βάλλειν τὸ μέλι. λαμβάνεται δὲ κατὰ κοτύλην μὴ ἔλαττον τῶν πέντε κοτυλῶν. χρῆσθαι δὲ ἐπὶ πάσῃ κενώσει μαλάχης σπέρματι ἢ τῆς ἡμέρας ἢ τῆς ἀγρίας λειοτάτης διδόντα ὅσον < β̄ μεθ' ὕδατος κυάθων τριῶν· ἄκρως γὰρ ποιεῖ, ὅθεν πολλάκις αὐτῷ χρηστέον. κράτιστον δὲ καὶ γλήχωνος ἀφεψήματος πίνειν συνεχῶς καὶ πρὸ τῶν καθαρτικῶν καὶ μετὰ καθαρτικὰ καὶ τοῦ μικροῦ κενταυρίου ὁμοίως. τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα καὶ συνεχῶς καὶ ἐφεξῆς δίδου· στομάχῳ γὰρ καὶ γαστρὶ κατάλληλον ἐπὶ τούτων καὶ οὔτε φῦσαν συγχωρεῖ ἐγγίγνεσθαι τῇ γαστρὶ πολλὴν οὔτε εἰς τέλος ἀποξηραίνεσθαι τὴν διαχώρησιν καὶ οὔρησιν κινεῖ καὶ πέττειν ἀκριβέστερον παρασκευάζει, ὥστε ἐγὼ καὶ μόνῳ τούτῳ τινὰς οἶδα ἀπηλλαγμένους τῆς νόσου. διδόναι δὲ καὶ τῶν διουρητικῶν ἀνίσου δαύκου πετροσελίνου ἀσάρου καὶ νάρδου καὶ μᾶλλον τούτων τὸ τοῦ ἱππομαράθου σπέρμα καὶ τὴν ῥίζαν. τὴν δὲ χαμαιπίτυν καὶ τὴν χαμαίδρυν προθυμότερον λαμβάνειν, ἕκαστον τούτων ἕψοντα σὺν ὕδατι ἢ ξηρὸν λεῖον ἐπιπάσσοντα τῷ ποτῷ. ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων καθάρσεις διά τε πόνων καὶ λουτρῶν γιγνόμεναι καὶ χρίσμασιν ἐν ἡλίῳ, οἷον τό τε διὰ τοῦ χαμαιμήλου ἔλαιον καὶ νίτρον σὺν ἐλαίῳ. καὶ ὅταν ἐπιδιδῷ ἡ ἕξις, πάλιν καθαίρειν τῇ ἱερᾷ· προσήκει δὲ μηδὲ τῶν ὑποχονδρίων ἀμελεῖν ἀρχόμενον τῆς θεραπείας καὶ μάλιστα προεληλυθότα.

7—9 χρῆσθαι — τριῶν *cf. Aret. ib. (158, 12—13)* 12 τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα *cf. Or.^{a} ib. (ib. 249, 1 sqq.) Paul. ib. (ib. 157, 13 sqq.)* τοῦ δὲ ἀψινθ. κτλ. *Aret. ib. (157, 5 sqq.)* 17 διδόναι — διουρητικῶν *cf. Or.^{a} ib. (ib. 249, 12) Paul. ib. (24)* 21. 22 ἀγαθαὶ — καθάρσεις *Or.^{a} ib. (ib. 12—13) Paul. ib. (24—25)* 24—*p. 149, 18* προσήκει — χρῆσθαι *cf. Or.^{a} ib. (ib. 13—24 [nonn. om. vel mut.]) Paul. ib. (25—158, 6)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 γὰρ] δὲ P^a P ἐκ] ἀπὸ ω 2 ἑψομ. χ A S ἑψουμ. P 3 κενῇ P^a C^p M^o S κινῶν ω 4 μεταρραίνειν L^a 5 ...μιγνύων P^a ...μίγου A ..μίγων M^o P ω *(Gal.)* 6 βαλεῖν A S *(Gal.)* ....ανέτω *Gal.* 8 ἢ τῆς ἡμ. — ἀγρίας *post* διδ. P^x *om.* C^p M^o ψ ω *(Gal.)* ...τάτοις M^o A ...τω C^p P ω *(Gal.)* 8. 9 διδοῦντα L^a C^p P S ..δοῦντας A M^o ..δόναι A^t *post* β̄: ἔστω δὲ ξηρὸν τὸ σπέρμα, πλεῖόν ἐστιν καὶ ὑπακτικώτερον τοῦ χλωροῦ κτλ. P^x 10 ἀφέψημα P ω 11 πρὸς ω *post* μετὰ: τὰ χ P ω *(Gal.)* 12 *post* κεντ.: ὁ χυλὸς *add.* P^x 14 γίγν. P^a P ω 15. 16 ἀκριβῶς ω ....άζειν ω τούτω μόνω L^a 17 *post* διουρ.: πάντων οἷον P^x 18 *supra* πετροσ.: σύνες, *supra* ἀσσάρου: πουραγγίου *scripsit* P^x νάρδων M^o P ω 19 μαράθρου P^a P^x P *(Gal.)* τὴν *pr. om.* α *(Gal.), exc.* L^a δὲ (τε P) *om.* φ 20 ἕψοντας P^a ....ῶντας P^x A ...ῶντα C^p P ω συνέψοντες M^o 21 ...σσοντας P^a 21. 22 καθ.] κενώσεις ω 22 ἡλίῳ] ἐλαίω L^a P 23 ἔλαιον] ἐλαίου L^a ω νίτρων C^p ...ου L^a P^x A ω 24 τῇ ἑξῆς P^x A *post* ἱερᾷ: ὡς (ἢ S) εἴρηται Ῥούφου ἢ Ἀρχιγένους ἢ Ἰούστου M^o *supra scr. m. 2^a* S *sq.* εἴρηται δὲ ἡ σ⟨κευασία⟩ αὐτῶν ἐν τῷ τρίτῳ λόγῳ κεφαλαίῳ ρ̄ιε̄ (ρ̄ις̄ *supra scr. m. 2*) S Ἔμπλαστρος εἰς τὸ προσκαλεῖν ἱδρῶτας δέχεται σάνδαλα λευκὰ κτλ. P^x μηδὲν τὴν P^x μὴ *tant.* M^o *(Gal.)* 25 ...μένης P^x ψ στοχαζόμενον ω *(Gal.)* προσεληλυθυίας P προσ...θότα L^a C^p P ω *om. sed spat. vac.* M^o

πυρίαι μὲν οὖν ἁρμόδιοι δι' ἐλαίου ἐναφεψημένων αὐτῷ πηγάνου κυμίνου ἀνήθου ἑρπύλλου ἀψινθίου ἀρτεμιcίας γλήχωνος ἄγνου cπέρματος δάφνης τοῦ καρποῦ ἢ τῶν φύλλων ἁπαλῶν· ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύςας μειοῖ. ἐπὶ δὲ τῶν μετὰ δήξεως τοῦ cτομάχου ἐκπνευματώcεων ὄξει ἀφεψήcαντες κύμινον καὶ γλήχωνα cπόγγοις πυριᾶν τὸν cτόμαχον, ἐνίοτε δὲ καὶ cτυπτηρίαν ἐπιπάccομεν τῷ ὄξει καὶ θερμαίνοντες πυριᾶν τὸν cτόμαχον. τὰ δὲ καταπλάcματα ἐχέτω προαπεζεcμένον ἐν τῷ ἐλαίῳ ἢ ἄνιcον ἢ cελινόκοκκον ἢ κύμινον καὶ κύπερον λειοτάτην καὶ ἶριν καὶ λιβανωτίδα ἐμβάλλων τῷ καταπλάcματι. cυγχωρεῖν δὲ ἐπιπολὺ προcκεῖcθαι καὶ ἀcίτῳ καὶ τραφέντι. ἀφαιρεθέντος δὲ τοῦ καταπλάcματος cκέπειν τὰ ὑποχόνδρια ἢ ἐρίῳ πλατυτάτῳ ἢ κουφοτάτῃ καὶ καθαρᾷ ἀρνακίδι προυποχρίων τοὺς τόπους ναρδίνῳ· χρήcαιο δ' ἂν καὶ cικυῶν προcθέcει, πρὸς μὲν τὰ ἀφλέγμαντα κούφαις, πρὸς δὲ τὰς φλεγμονὰς καὶ cκληρίας μετὰ καταcχαcμοῦ μετὰ δὲ ταῦτα ταῖς διὰ κυπρίνου κηρωταῖς χρῆcθαι καὶ τῷ πολυαρχίῳ καὶ τῷ διὰ cτύρακος καὶ τῷ διὰ cπερμάτων μάλιcτα καὶ τοῖς ὁμοίοις· προιούcης δὲ τῆς θεραπείας καὶ τῷ διὰ τῶν ἰcχάδων καὶ νάπυος φοινιγμῷ χρῆcθαι· πάνυ γὰρ ὀνίνηcι· καὶ γὰρ καὶ τὰς πέψεις ἀνακαλεῖται ῥώμην τῇ γαcτρὶ ἐντιθεὶς καὶ εἴ τις πόνος ἐγκαταλείπεται τῷ ὑποχονδρίῳ, τοῦτον ἐξαίρει. χρῆcθαι δὲ καὶ τοῖς δριμέcι cμήγμαcι κατὰ τῶν ὑποχονδρίων καὶ τῷ τῶν πιττωτῶν φαρμάκῳ, τουτέcτι πίccῃ ξηρὰ τετηκυῖα καθ' ἑαυτὴν ἢ μετὰ βραχυτάτου ἐλαίου. θερμὴ δὲ ἐμπλάττεται δέρματι καὶ ἐπιτίθεται τῇ γαcτρὶ καὶ τῷ μεταφρένῳ καὶ ἐᾶν μέχρις αὐτόματον ἀποπέcῃ, ὥcτε καὶ cυλλούεcθαι αὐτῷ ἐγχωρεῖ καὶ τὸ κατὰ βραχὺ ἀφιcτάμενον ψαλίδι ἀφαιρεῖν. πάνυ δὲ ὠφελοῦνται καταπλαccόμενοι βολβίτοις ἀγελαίας βοὸς ξηροῖς ἐμπαccομένοις ὀξυμέλιτι καὶ βολβοὶ δὲ μετὰ νίτρου ἢ cτυπτηρίας λεῖοι καταπλαccόμενοι μεγάλως ὠφελοῦcι. καὶ μιγνύμενον δὲ τοῦτο τοῖς βολβίτοις ὠφέλιμον γίγνεται καὶ μάλιcτα

20—23 χρῆcθαι — μεταφρένῳ *cf. Or.*^{a} *ib. (ib. 25—26)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 ....ψημένου C^p ...ηψημ. P ...εψημένω M^o ἀφεψ...νων A^t *ante* αὐτῶ: ἐν C^p ω *(Gal.)* αὐτῆ A^t *om.* P *spat. vac.* M^o 1. 2 *ante* κυμίνου: καὶ L^a κυμ. *om.* $C^p P^x A^t$ *(Gal.) supra scr. m.* 2^a S 2. 3 cπέρμα M^o A ...ατα ω 3 τοὺς καρποὺς M^o ω 5 ἀφεψ. ὄξει *transp.* P^a 6 ....ccωμεν $P^a P^x M^o$ 7 καὶ θερμ. πυριᾶν (...ιῶμεν $P^x M^o$ A) τ. cτ. *om.* C^p P ω *(Gal.) deleverim* 8 ...μένων A ....νω P^x ἢ *pr. om.* $C^p P^x$ P cέλινον α *(Gal.), exc.* L^a 9 ἐμβάλλειν $P^a C^p M^o$ P ..βαλεῖν P^x ....ὼν A ω *(Gal.)* 10 προκ. P^a *om.* A^t *m.* 1^a S *(Gal.)* 12 καὶ] ἢ P *om.* S καθ. ἀρνακ. καὶ κουφ. *transp.* P^a καθαρῶ P ω 13 ῥοδίνω L^a χρήcαιc M^o προχρίcαιο P χρίcαιc *(ex* χρήc. *ut vid.)* S χρήcεων A^t -cτέον *Gal.* cυκυιῶν A cυκιῶν P 13. 14 ἀφλέγμ.] πνεύματα α *(Gal.), exc.* L^a 14 κούφειc L^a ...εων P A^t ...φων *Gal.* 16 *post* ὁμ.: ὧν τὰς τοιαύτας cκευαcίας νυνὶ ἐροῦμεν. τῶν νῦν ῥηθέντων κηρωτῶν καὶ ἐμπλάcτρων cκευαcία· ἡ διὰ κυπρίνου κτλ. P^x 18 γὰρ *pr. om.*, ὀνήcει ω *(Gal.)* γὰρ καὶ *om.* ω *(Gal.)* 19 ἀντίθηcι P^x A ....λείπηται P^x ἐγκαλύπτεται P 21 πιπτόντων P^x πιττώντων A 24 ...πέcει P^x A ω ...cοι *(Gal.) Ald.* 26 ἀγελαίου P *om.* C^p ω *(Gal.)* ἐμπλαcc. P^x A ω *(Gal.) om.* P 27 *ante* μετὰ: πυροὶ M^o πυρροὶ A πυρὶ P^x 28 μιγνυμένων ω *(Gal.)* τούτων ω *(Gal.)* ὠφέλιμοι γίγνονται *Gal.*

ἐπὰν δήξεως αἴϲθηϲιϲ αὐτοῖϲ περὶ τὸν ϲτόμαχον εἴη. ἐφ' ὧν δὲ ϲυνεχῶϲ παλμοὶ τοῦ ϲώματοϲ ἐνεδρεύουϲι, ϲυμφέρει καὶ τοῦ καϲτορίου πίνειν καὶ χρίειν τὸ ϲτόμα καϲτορίῳ ϲὺν ἐλαίῳ καὶ τῷ Ϲικυωνίῳ. προϲήκει δὲ καὶ κινεῖϲθαι καὶ γυμνάζεϲθαι αὐτοὺϲ πρὸϲ δύναμιν πρὸ τῶν ϲιτίων. λουτρὰ δὲ τῷ μὲν καλῶϲ πέττοντι οὐ πάνυ ἀναγκαῖα, εἰ μὴ κόπον τινὰ θεραπεῦϲαι βουληθείηϲ. ὅϲτιϲ δὲ οὐκ ἀγαθὴν ἔχει τὴν κοιλίαν εἰϲ πέψιν, τούτῳ ϲυμφέρει λούεϲθαι ϲυνεχέϲτερον ἢ νήϲτει ἢ μετὰ τὴν τελείαν πέψιν· μετὰ δὲ τὰ λουτρὰ ϲιτία διδόναι εὔπεπτα ἄφυϲα διαχωρητικὰ ἀκριβῶϲ κατανοῶν ὅπωϲ ἐφ' ἑκάϲτου διατίθεται ὁ πάϲχων· οὐ γὰρ πάντεϲ πρὸϲ ἅπαντα τὰ ϲιτία ὁμοίωϲ διάκεινται. τὸ δ' ἐπίπαν ἁρμόδια τούτοιϲ ἄρτων μὲν οἱ κλιβανῖται καλῶϲ ἐϲκευαϲμένοι, πτηνῶν δὲ τὰ ἀπίμελα καὶ ἄβρομα καὶ ὄρεια, ᾠὰ ἀλεκτορίδων ἁπαλά, ἰχθύων οἱ πετραῖοι καὶ οἱ ἁπαλόϲαρκοι, ἐχῖνοι δὲ θαλάττιοι πλεῖϲτον προὔχουϲιν εἰϲ ἡδονὴν καὶ εἰϲ ὠφέλειαν· παραιτεῖϲθαι δὲ τὰ ἐν ταῖϲ λίμναιϲ διαιτώμενα πάντα καὶ τὰ ἐν τοῖϲ ἕλεϲι. κρέα δὲ ἁρμόδια ἐρίφεια καὶ γαλαθηνὰ καὶ τούτων αὐτῶν μᾶλλον τὰ ἄκρεα μόρια καὶ κάτεφθα. οὐκ ἀχρεῖον δὲ καὶ μῆτραι καὶ γαϲτέρεϲ καὶ πόδεϲ ὑῶν. λαχάνων δὲ πρὸϲ μὲν τὴν κοινὴν δίαιταν τὰ γλυκέα, τὰ δὲ δριμύτερα ὡϲ φάρμακόν ποτε δοτέον, οἷον ἕλειοϲ ἀϲπάραγοϲ πετροϲέλινα καὶ τὰ ὅμοια. μέτρια δὲ ἔϲτω τῷ πλήθει τὰ λαμβανόμενα πάντα. οἶνοϲ δὲ λεπτὸϲ καὶ λευκὸϲ καὶ μὴ πάνυ παλαιόϲ. μὴ ἀθρόον δὲ διδόναι ἐπὶ τῇ τροφῇ τὸ ποτόν, μηδὲ πλῆθοϲ ἔϲτω τὸ πινόμενον, ἵνα μὴ ἐπιπολάζῃ τὰ ϲιτία· οὐ χεῖρον δὲ πρὸϲ τὰ παρόντα καὶ ὄξουϲ ἐπιρροφεῖν δριμυτάτου ὅϲον κοχλιάριον καθεύδειν μέλλοντα μετὰ πᾶϲαν τροφὴν καὶ τὰ πολλὰ τῶν ὄψων εἰϲ αὐτὸ ἀποβάπτοντα ἐϲθίειν. ἄμεινον δὲ μεμῖχθαι τῷ ὄξει ϲκίλληϲ βραχὺ καὶ πηγάνου καὶ τῆϲ λεπτῆϲ ἀριϲτολοχίαϲ ἢ τῆϲ ϲτρογγύληϲ < ᾱ· ϲὺν οἴνῳ δοτέον.

Ποϲειδωνίου. ἁρμόδιον δὲ πρὸϲ τὰϲ γιγνομέναϲ ἐμπνευματώϲειϲ ὀξυπόριον τοιοῦτον ϲκευάζειν· Λιβυϲτικοῦ ϲελίνου ϲπέρματοϲ ζιγγιβέρεωϲ

11. 12 πτηνῶν δὲ τὰ ἀπίμελα *cf. Aret. ib. (158, 28)* 23—26 καὶ ὄξουϲ — ἀριϲτολοχίαϲ *Or.*[a] *ib. (ib. 4—6) Paul. ib. (157, 15—18)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 εἴη *ante* περὶ *transp.* P^a 2 ϲπαϲμοὶ ω *(Gal.)* ϲυνεδρ. χ ψ ω *(Gal.)* 3 καὶ (*om.* P^a) τῷ *om.* ω *(Gal.) fort. recte* 6 ...θείη C^p A^t ...θῇ P 7 τοῦτο χ A^t νήϲτηϲ P^x A νῆϲτιϲ L^a C^p M^o ω *(Gal.)* 8 δίδομεν A^t *(Gal.)* 8. 9 *ante* διαχ.: καὶ P^x A 9 πῶϲ M^o *om.* L^a ἀφ' C^p M^o ω *(Gal.)* ...ϲτω P^a ...η A^t 11 αὐτοῖϲ ω *(Gal.)* 12 ἄβρωμα P^a χ P S ᾠὰ] ὡϲ L^a A^t 13 καὶ οἱ ἁπ. *om.* P οἱ *alt. om.* A *post* πλεῖϲτον: ἃ L^a 14 εἰϲ *alt. om.* P^a A A^t δὲ *om.* A^t *(Gal.)* 15 δὲ *om.* ω *(Gal.)* 16 γαλαθήνεια L^a χ ω τούτων *om.* L^a αὐτ. *om.* P^a P ω *(Gal.)* ἀκροκωλ' P^a ἀκραῖα P 17 ἀχρεῖαι ω *(Gal.)* 19 ...αγγοϲ P^x A ....ϲέλινον P^x A ...λιν' P 20 ἐϲτι ω *(Gal.)* λευκὸϲ καὶ λεπτὸϲ M^o A A^t 21 δὲ *om.* P^x A 22 ἔϲτωαι *m. 1*[a] P 23 παρ.] πάντα M^o S 24 *post* καθεύδ.: δὲ P^x A 25 μιχθὲν ω *(Gal.)* 26 ....ϲτολοχ' P^a P ..χηϲ C^p P^x A ω *(Gal.)* 26. 27 ἢ τῆϲ — δοτέον *om.* C^p ω *(Gal.)* 28 Ποϲειδ. *om.* P^a C^p P^x A *in marg.* Ποϲειδ. ὀξυπόριον ἄφυϲον M^o *in marg.* Π. ἄφυϲϲον P 29 λιγ. P^x M^o ϲελ. ϲπέρμα P^a M^o ϲπέρματοϲ (...μα A^t) ϲελίνου P ω ζιγγ. — Γ° ᾱ] μαράθρου θύμου ἀνίϲου πετροϲελίνου ϲίνωνοϲ ζιγγιβέρεωϲ ἀνὰ < δ̄ ἄρτου καθαροῦ *(= p. 151, ll. 4—5)* P^a

θύμου ἀνὰ Γο α̅ μέλιτος ἀπηφριςμένου τὸ ἀρκοῦν· δίδου κοχλιαρίου τὸ ἥμιcυ ἕωθεν καὶ ἑcπέρας ὁμοίως· εἰ δὲ ἀποστρέφοιντο τὴν τοῦ μέλιτος γλυκύτητα, ἅλας πεπτικὸν αὐτοῖς σκευάζειν τοιοῦτον· σκίλλης ὀπτῆς Γο α̅ ἁλῶν ἀμμωνιακῶν Γο ε̅ σελίνου σπέρματος μαράθου θύμου πετροσελίνου ἀνίσου σίνωνος ζιγγιβέρεως ἀνὰ < δ̅ ἄρτου καθαροῦ ξηροῦ Γο ε̅ πεπέρεως Γο α̅ϲ̅· ἐκ τούτου δίδου ὅσον κοχλιάριον ἐσθίειν σὺν τῇ τροφῇ ἢ ὡς βούλεται. διδόναι δὲ αὐτοῖς χρὴ ἐκ διαστημάτων τινῶν καὶ τῆς θηριακῆς ἀντιδότου καὶ μάλιστα χειμῶνος καὶ ἔαρος ἀρχομένου.

Ῥούφου. ἐμείτωσαν δὲ ἐκ μειζόνων διαστημάτων μὴ ἀπὸ σιτίων, ἀλλ' ἀπὸ ῥαφανίδων νήστεις ἢ ὀριγάνου ἢ θύμου, μὴ μέντοι τοῖς δραστηρίοις ἐμετικοῖς κεχρῆσθαι· βλαβερὰ γὰρ τὰ τοιαῦτα ἐπὶ τούτων ταλαιπωρίαν προστιθέντα τῇ γαστρὶ καὶ τῷ στομάχῳ ἤδη προπεπονηκόσι τῇ νόσῳ. ὁρῶνται γάρ τινες ἐκ τῶν δραστικωτέρων ἐμετικῶν ἁλισκόμενοι τῇ μελαγχολίᾳ. εὖ γε μὴν εἰδέναι χρὴ ὅτι πολλοὶ τῶν οὕτω νοσούντων ἐν μὲν τῷ καιρῷ τῆς θεραπείας οὐδέν τι ὠφελήθησαν, ἀφεθέντες δὲ κατέστησαν τῷ προθεραπεύεσθαι καλῶς ἰσχυσάσης τῆς φύσεως κατὰ τῶν νοσημάτων ἀσθενῶν τῇ βοηθείᾳ γεγενημένων. διόπερ χρὴ ἄνεσιν διδόναι τῇ φύσει. ἔοικε γὰρ συνταλαιπωρεῖσθαι ταῖς θεραπείαις, ἰσχύειν δὲ ἐν τῇ ἀναπαύσει καὶ κρατεῖν τῶν νοσημάτων ἤδη προλεπτυνθέντων.

Περὶ λυκανθρωπίας ἤτοι κυνανθρωπίας Μαρκέλλου. οἱ τῇ λεγο- ια̅
μένῃ κυνανθρωπίᾳ ἤτοι λυκανθρωπίᾳ νόσῳ κατεχόμενοι κατὰ τὸν Φευρουάριον μῆνα νυκτὸς ἐξίασι τὰ πάντα μιμούμενοι λύκους ἢ κύνας καὶ μέχρις ἡμέρας περὶ τὰ μνήματα μάλιστα διατρίβουσι. γνωρίσεις δὲ τοὺς οὕτω πάσχοντας διὰ τῶνδε· ὠχροὶ τυγχάνουσι καὶ ὁρῶσιν ἀδρανὲς καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς ἔχουσι καὶ οὐδὲν δακρύουσι. θεάσῃ δὲ αὐτῶν καὶ κοίλους τοὺς ὀφθαλμοὺς καὶ γλῶσσαν ξηρὰν καὶ οὐδὲ ὅλως σίελον προχέουσιν. εἰσὶ δὲ καὶ διψώδεις καὶ τὰς κνήμας ἔχουσιν ἡλκωμένας ἀνιάτως διὰ τὰ συνεχῆ πτώματα καὶ τῶν κυνῶν τὰ δήγματα.

9—20 Ῥούφου — προλεπτυνθέντων *Ruf. id. 359—360* 21 *Cap.* ια̅ *Or.*[a] *VIII, 9 (250) Paul. III 16 (I 159—160)*

φ (L[a] P[a]) χ (C[p] P[x] M[o]) ψ (A P) ω (S A[t]) 3 τοιοῦτο C[p] M[o] 4 σπέρμα L[a] M[o] 5 ζιγγιβ.] σμυρνείου P *om.* A[t] 6 ϲ *om.* C[p] M[o] ψ 7 ἢ *om* χ ψ ω *ante* χρή: ὡς ω *(Gal.)* *post* χρή: κοχλιάριον ἐσθίειν σὺν τῇ τροφῇ *Gal.* 9 Ῥούφου *in marg.* M[o] P *om.* P[a] C[p] μὴ] καὶ *Gal.* 10 νήστης A S ...ις C[p] M[o] A[t] *(Gal.)* 12 προτιθ P[x] A 14 *ante* χρή: δὲ P[x] A 15 τοι P *om.* P[a] A[t] 16 τῷ] τὸ P[a] P[x] A ω *(Gal.)* προτεθεραπεῦσθαι P[a] P[x] P ..ύεσθαι M[o] ...πευσθῆναι C[p] 19. 20 προλελεπτυνθέντων L[a] ω *post* προλεπτ.: Βοήθημα εἰς μελαγχολικούς· ἀγαρικὸν ἐξ ϲ ℔“ τούρπετον ἐξ ϲ ℔“ ἐπίθυμον ἐξ ϲ κτλ. P[x] 21 λυκανθρώπου ἤτ. ..ανθρώπου ω 22 λυκανθρωπία ἤτ. κ..ανθρωπία P[a] P κυνανθρώπῳ ἤτ. λ...ανθρώπῳ S *(Gal.)* 23 κύρας A κύκις L[a] 24 περὶ *om.* ω *(Gal.)* διανύουσι S διανοίγουσι A[t] *(Gal.)* γνώσεις L[a] 25 τὸν — πάσχοντα χ ψ ω *(Gal. Ruf.)* 26 καὶ *pr. om.* ω *(Gal.)* θεάσει M[o] ω 26. 27 αὐτοῖς L[a] ω ...οὺς *Gal.* 27 *post* ὀφθ.: ἔχοντας ω *(Gal.)* οὐδόλως χ ψ ω μηδόλ. *Gal.* 28 προχέουσαν P[a] C[p] *(Ruf.)* προσχ...σιν P 29 πόματα P[x] ἀπτώμ. A[t] συμπτώμ. S *(Gal.)* καὶ τῶν κυνῶν τὰ δήγματα *om. Ruf.*

τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίcματα· γινώcκειν δὲ χρὴ μελαγχολίαc εἶδοc εἶναι τὴν λυκανθρωπίαν, ἣν θεραπεύcειc κατὰ τὸν χρόνον τῆc ἐπιcημαcίαc τέμνων φλέβα καὶ κενῶν τοῦ αἵματοc ἄχρι λειποθυμίαc καὶ διαιτῶν τὸν κάμνοντα ταῖc εὐχύμοιc τροφαῖc. κεχρήcθω δὲ λουτροῖc γλυκέcιν, εἶτα ὀρρῷ γάλακτοc χρηcάμενοc ἐπὶ τρεῖc ἡμέραc κάθαιρε τῇ διὰ τῆc κολυκυνθίδοc ἱερᾷ Ῥούφου ἢ Ἀρχιγένουc ἢ Ἰούcτου, δεύτερον καὶ τρίτον παρέχων ἐκ διαcτημάτων. μετὰ δὲ τὰc καθάρcειc καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρηcτέον. καὶ τὰ ἄλλα παραληπτέον ὅcα ἐπὶ τῆc μελαγχολίαc προείρηται. εἰc ἑcπέραν δὲ ἐπερχομένηc ἤδη τῆc νόcου τοῖc ὕπνον εἰωθόcιν ἐμποιεῖν ἐπιβρέγμαcι τῆc κεφαλῆc χρῆcθαι καὶ ὀcφραντοῖc τοιούτοιc καὶ ὀπίῳ διαχρίειν τοὺc μυκτῆραc, ἐνίοτε δὲ καὶ ποτίζειν τινὰ τῶν ὑπνωτικῶν.

ιβ̄ Περὶ ἐφιάλτου Ποcειδωνίου. οὐκ ἔcτιν ὁ καλούμενοc ἐφιάλτηc δαίμων, ἀλλὰ μελέτη καὶ προοίμια ἐπιληψίαc ἢ μανίαc ἢ ἀποπληξίαc· καὶ γὰρ ἀπεψίαι ἐξ ἀδηφαγιῶν προηγοῦνται τοῦ πάθουc. ἀτμῶν γὰρ παχέων καὶ ψυχρῶν πληρούμεναι αἱ κοιλίαι τοῦ ἐγκεφάλου κωλύουcι τὰc δυνάμειc διὰ τῶν νεύρων ἐξιέναι καὶ δυcδιέγερτον τὸ νόcημα καταcκευάζουcι καὶ μόλιc εἰc ἐνέργειαν ὀρθὴν ἀγόμενον· ὅθεν καὶ ἀκίνητοι παντάπαcι μένουcιν οἱ τοιοῦτοι· προηγεῖται γὰρ τοῦ ἐφιάλτου πνὶξ καὶ ἀφωνία καὶ βάροc καὶ ἀκινηcία. τῇ δὲ πολλῇ ἀγωνίᾳ λεπτυνομένου τοῦ πνεύματοc καὶ διαφορουμένου καὶ ἐκφραττομένων τῶν πόρων διεγείρονται αἰφνίδιον. φυλακτέον οὖν τὸ δεινὸν ἀρχόμενον· χρονίcαν γὰρ καὶ cυνεχῶc ἐπιπῖπτόν τινα τῶν προρρηθέντων νοcημάτων ἐπιφέρει, ἀθροιζομένου κατὰ βραχὺ ἐν ταῖc κοιλίαιc τοῦ ἐγκεφάλου παχέοc χυμοῦ. ὅcα γὰρ οἱ ἐπίληπτοι ἐπὶ τοῖc παροξυcμοῖc πάcχουcι, ταῦτα οἱ ἐφιαλτικοὶ καθεύδοντεc. εἰ μὲν οὖν αἷμα πλεονάζοι, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα· εἰ δὲ κακοχυμία μᾶλλον ἐπικρατεῖ, καθαίρειν τῇ Ἀρχιγένουc ἱερᾷ. μάλιcτα δὲ αὐτοῖc βοηθεῖ τοῦτο· ἐλλεβόρου μέλανοc φλοιοῦ < ᾱ cκαμμωνίαc ὀβολοὶ γ̄ ἀνίcου ἢ δαύκου ἢ πετροcελίνου βραχύ. ἡ δίαιτα δὲ ἔcτω λεπτὴ καὶ ἄφυcοc παντάπαcι. βοηθεῖ δὲ αὐτοῖc ὁ μέλαc καρπὸc τῆc παιωνίαc, ιε̄ κόκκοι λεῖοι διδόμενοι μεθ'

13. 14 Περὶ ἐφιάλτου—δαίμων | 14 προοίμια—ἀποπληξίαc *Or.*[a] *VIII 2 (ib. 245, 1—2 cf. ib. 4)* 19. 20 προηγεῖται—βάροc *Or*[a] *ib. (ib. 3—4)* προηγ.—αἰφνίδιον *(22) cf. Paul. ib. (ib. 159, 2sqq.)* 22—24 φυλακτέον—ἐπιφέρει | 25—*p. 153, 1* ὅcα γὰρ—ποτῷ *Or.*[a] *ib. (ib. 5—6, 7—15) Paul. ib. (ib. 6—9, 10—18)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω(S A^t) 1 αὐτῶν *om.* χψω *(Gal.)* ...χολικὸν P^x A 4 διαιτᾶν L^a 6 *post* Ἰούcτου: καὶ προεγράφηcαν ἐν τῷ πρὸ τούτου κεφαλαίῳ τῷ μελαγχολικῷ πάθει· κάθαιρε ἐκ τούτων P^x 11 ὄπιον *codd., corr.* 12 *post* ὑπνωτικῶν: οἷον τὸ διὰ κωδιῶν καὶ τοῖc ὁμοίοιc P^x 13 Ποc. περὶ ἐφ. L^a *om.* P^x 14 *post* δαίμων: καθὼc τινεc δοκοῦcιν A *post* ἀλλὰ: μᾶλλον ω προοίμιον P ω 17 νόημα*? Deichgräber cf. l. 20sqq., imprimis* διεγείρονται 19 οἱ τοιοῦτ. μέν. P^x 25 *ante* οἱ: καὶ $P^a C^p$ ω 26 *post* καθεύδ.: ὡc γὰρ φρίκη θαλάccηc προαγγέλ⟨λ⟩ει τὸν μέλλοντα γενέcθαι χ⟨ε⟩ιμῶνα, οὕτω καὶ ἐφιάλτηc νυκτὸc ἐμπίπτων cυνεχεcτέραν ἀποπληξίαν ἢ ἐπιληψίαν cημαίνει κτλ. P^x εἴη τὸ πλεονάζον P^x πλεονάζει $C^p M^o$ ψω 28 *post* ἱερᾷ: προεγράφη ἐν τῷ κεφαλαίῳ τῶν μελαγχολικῶν P^x 29 ὀβολοὺc $L^a P^x M^o$ A A^t 30 βραχέωc P^x A

ὕδατος ἐν ποτῷ· ἐμβρέχειν δὲ καὶ τὴν κεφαλὴν ἀνηθίνῳ ἐλαίῳ θερμῷ καὶ σκέπειν πιλήματι καθεύδειν μέλλοντι.

Περὶ ἐπιληψίας Γαληνοῦ. τρεῖς εἰσι τῆς ἐπιληψίας διαφοραί· πασῶν δὲ αὐτῶν κοινόν ἐστι πάσχειν τὸν ἐγκέφαλον, ἤτοι δὲ ἐν αὐτῷ πρῶτον συστάντος τοῦ πάθους ἢ κατὰ συμπάθειαν τοῦ στόματος τῆς γαστρός. ἐν δὲ τῷ σπανίῳ γίγνεται καὶ τὸ τρίτον εἶδος τῆς ἐπιληψίας ἀπὸ μορίου τινός, οὗ ἔτυχεν ἀρχομένου τοῦ πάθους, εἶτ' αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ κεφαλὴν ποιουμένου. καὶ τοῦτο ἐθεασάμην ἐπὶ παιδὸς τὴν ἀρχὴν διαθέσεως ἐν τῇ κνήμῃ ἔχοντος, ἐντεῦθεν δὲ κατὰ καιρόν τινα ἀνιέναι διὰ τοῦ μηροῦ καὶ τῆς λαγόνος καὶ τῆς ῥάχεως ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς, ἐπειδὰν δὲ τῆς κεφαλῆς ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τοιοῦτόν τι συμβαίνει κἀπὶ τῶν ὑπὸ σκορπίου ἤ τινος ἑτέρου τῶν ἰοβόλων πληγέντων. πεπληγὼς οὖν τις ὑπὸ σκορπίου χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι καὶ ἦν ὅλος ὑπόψυχρος ἵδρου τε ψυχρὸν ἐσώθη τε μόγις βοηθούμενος. οὐκ ἀδύνατον οὖν κατά τινα τῶν ἀκύρων μορίων τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι χωρὶς τῆς ἔξωθεν αἰτίας, καὶ ταύτην, ὅταν μάλιστα ἐν νευρώδει μορίῳ τὴν σύστασιν ἔχῃ, κατὰ τὸ συνεχὲς ἐπὶ τὴν ἀρχὴν ἀναπέμπειν τὴν δύναμιν. Ποσειδωνίου. σπασμὸς δὲ παρέπεται τοῖς ἐπιλητικοῖς τῷ ἀνιᾶσθαι τὴν ἀρχὴν τῶν νεύρων ὑπὸ τῶν ἐνοχλούντων· ὥσπερ γὰρ ὁ στόμαχος ἢ τροφῆς πλήθει βαρυνόμενος ἢ δακνόμενος ὑπὸ δριμέος χυμοῦ οὐ μόνον λυγμόν ἀλλὰ καὶ σπασμὸν ἐπιφέρει, οὕτως οὖν καὶ ἡ ἀρχὴ τῶν νεύρων εἰς τοιαύτην κίνησιν ἄγεται, ἀποβαλεῖν σπεύδουσα ὅ τι περ ἂν ᾖ τὸ ἐπ αὐτὴν ἀπὸ τοῦ πρωτοπαθοῦντος ἀναφερόμενον. τεταγμέναι δὲ ἢ ἄτακτοι αἱ περίοδοι αὐτῆς γίγνονται παρὰ τὸν τρόπον τῆς διαίτης, ἢ γὰρ κατὰ πάντα ὁμαλῶς διαιτῶνται οἱ πάσχοντες ἢ ἀνωμάλως καὶ ἀτάκτως. εἰσβάλλοντος τοίνυν τοῦ παροξυσμοῦ τῶν ἐπιληπτικῶν, διακρατεῖν δεῖ τὰ σπώμενα καὶ περιστρεφόμενα μόρια λιπαίνειν τε καὶ ἀπευθύνειν, εἶτα διαστήσαντα τὸ στόμα καθιέναι πτερὸν κεχρισμένον ἐλαίῳ μάλιστα κυπρίνῳ ἢ ἰρίνῳ ἢ ναρκισσίνῳ καὶ ἔμετον ἐρεθίζειν, πρὸς τὸ κομίσασθαι τοὺς παρακειμένους ἐν τῷ στομάχῳ χυμούς. χρὴ δὲ καὶ ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν, οἷον πευκεδάνῳ ἢ ὀπῷ Κυρηναικῷ. ἐμβρα-

3—18 τρεῖς εἰσι — δύναμιν *Gal. de loc. aff. III 11 (VIII 193, 11—13, 16, 18—194, 5, 8—12, 195, 5—6, 17—196, 5)* πασῶν — ποιουμένου *(8) cf. Paul. III 13 (I 152, 18—24)* 27—*p. 155, 2* εἰσβάλλοντος — διαλειμμάτων *Or.^{a} ib. (ib. 17—21, 26—246, 24) Or.^{c} (Ecl. med.) 36 (IV, 199, 1—5, 8—9, 14—200, 6) Paul. III 13 (I 153, 26—154, 17, 21—30, 31—155, 1, 4—5)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 2 μέλλοντα $P^a A^t$ 3 Περὶ ἐπιληψίας *om.* L^a χ P Γαλ. *om.* M^o S *ante* διαφ.: αἱ P^a A 4 πρώτως P^a χ ψ S 9 ἔχ. ἐν τ. κνήμῃ P^a κἄπειτα ἐντεῦθεν P^a κἄπειτα *Ald.* δὲ *om.* P^a *Ald.* 10 ἀνιέν. *ante* κατὰ *transp.* P^a 11 τῆς κεφ. *alt.*] πρῶτον ἐκείνης P^a *(Gal.)* ταύτης πρώτως P 12 αὐτὸ P^x A τοιοῦτο $C^p M^o$ A S ὑπὸ] ἐπὶ A^t *om.* M^o 13 γοῦν P^a *om.* A ω 14 ὅλως $P^x M^o$ ἰδροῦν P^x ἴδρος A ὕδρου A^t 15 οὖν] ἔφασκεν ὁ Πέλοψ καὶ P^a *(Gal.)* 18 ἔχει $P^x M^o$ ω σχῇ P^a *(Gal.)* 19 τὸ $P^a C^p P^x$ A 22 οὖν] γὰρ P^x *om. cett. codd., exc.* L^a 23 *ante* τοιαύτ.: τὴν P^x A A^t 25 αὐτοῖς χ ψ S *om.* A^t 26 καὶ] ἢ L^a 28 διαστρεφ. P^a χ ψ 30. 31 κομίζεσθαι P^a P 31 ἐν *om.* $P^a C^p M^o$ ψ 32 πευκέδανον P^a ...δάνου P^x

δύνοντος δὲ τοῦ παροξυσμοῦ θαρσαλέως ὁ ἰατρὸς βιαζόμενος καὶ διιστῶν τὰς γνάθους καστόριον ἐγχεῖ τῷ στόματι καὶ ὀπὸν Κυρηναικὸν μετ' ὀξυμέλιτος. ἀνακληθέντων δὲ αὐτῶν κλύζειν δι' ἕδρας κενταυρίου καὶ καλαμίνθου ἀφέψημα ἢ ἀριστολοχίας· εἶτα ἀναλαβόντας τὴν δύναμιν καθαίρειν τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Γαληνοῦ. τοιαύτη μὲν δή τίς ἐστιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία, ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μακρᾷ συνέχειν, ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ, εἰ μηδὲν κωλύοι, φλεβοτομεῖν καὶ διαλιπόντας ἡμέρας δ̄ ἢ ε̄ ἀναλαβεῖν τὸ σῶμα καὶ οὕτως ὑποκενοῦν, μάλιστα μὲν δι' ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος. δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου τὸν φλοιὸν ξηρὸν κόψαντας καὶ σήσαντας διδόναι μετὰ μελικράτου ὅσον < ᾱ ἢ μέλιτι ἑφθῷ ἀναλαβόντας μετ' ὀλίγου πεπέρεως καταπότια διδόναι. τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐξελών, καταλιπὼν δὲ τὴν ἐντεριώνην, πλῆσον οἴνου γλυκέος καὶ ἔα ὅλην τὴν νύκτα. ἕωθεν δὲ διηθήσας τὸ γλυκὺ καὶ χλιάνας δίδου πίνειν. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν αὐτούς, τῇ δὲ τρίτῃ σικυαστέον ὑποχόνδριόν τε καὶ μετάφρενον μετ' ἀμυχῶν, εἶτα διαστήσαντας ἡμέρας τινὰς καὶ ἀναλαβόντας τὸ σῶμα καθαίρειν τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Γαληνοῦ. εἶτα μετὰ τοῦτο σικυαστέον τὴν κεφαλὴν καὶ τῇ ἑξῆς καταπλάττειν αὐτὴν ἄρτῳ ἡψημένῳ μετὰ μελικράτου, συλλελειωμένοις πικροῖς ἀμυγδάλοις, ἢ ἑρπύλλου ἢ καλαμίνθου ἢ ἡδυόσμου ἢ πηγάνου καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας καὶ μετὰ ταῦτα ξυρᾶν μὲν τὴν κεφαλὴν καὶ καταχρίειν αὐτὴν πευκεδάνου ὀπῷ ἐν ὄξει διειμένῳ, ἐν ᾧ σπονδύλιον ἢ ἕρπυλλον ἐναφέψηται, καὶ διαστήσαντα πάλιν διδόναι τῆς ἱερᾶς < γ̄ μόνας, εἶτα πταρμικοῖς χρῆσθαι καὶ ἀποφλεγματικοῖς καὶ ἐρρίνοις, κυκλαμίνου χυλὸν ταῖς ῥισὶν ἐγχέοντα ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσῶντα ἢ ἐλατήριον μετὰ γάλακτος καὶ διαστήσας

7—*p. 155, 2* χρὴ τοίνυν — διαλειμμάτων *Ruf. id. 360—362*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 2 τοὺς L^a S ἐγχείτω C^p P^x ψ ...χεῖν A^t 3 ...κλυθέντων M^o P ...κλιθ. P^a ω *post* κεντ.: κολοκυνθίδος μελ^χ ἀνθεμίδος ἀλθαίας P^x 4 ...μίνθης C^p M^o P ...μινθίου A ....μιν$^{θ'}$ P^a S ....στολο$^{χ'}$ P^a P^x ....όχης A^t *ante* εἶτα: μέλιτος πηκαας^μ γλυκοκαλάμ⟨ου⟩ καὶ ἰελαίου P^x ....λαβόντες L^a 7 παρασκευὴν ω ....δώσωμεν P^x M^o A *ante* χρὴ: Ἡ ἐπιληψία σπασμός ἐστιν ὅλου τοῦ σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν — αὕτη μὲν δή τίς — κεχρονισμένης παραδώσομεν *(ll. 5—7 repet.)* Ῥούφου P^x *(ed. A. Olivieri, Framm. medic., Nap. '40—XVIII)* 8 τὴν θεραπείαν φ 9 κωλύει P^x ψ ...ειν A^t ...λείποντες ω ...λιπόντες P^a P^x 10 οὕτω χ μὲν] δὲ ω 13 λαβόντα P^a C^p M^o S 15 τὸ γλυκὺ] τὸν οἶνον P 17 σικ. P^a P^x ψ A^t τε *supra scr. m. 2ª* P^x S *om* A^t 19 σικ. P^a P^x ψ ω 20 ἑψημ. L^a S ἡψομ. A^t 21 συλλελειωμένῳ P ....νον ω ἑρπύλῳ ψ ....μίνθης C^p M^o ...θη A ....ιν$^{θ'}$ P^a P S ἡδυόσμῳ ἢ ...γάνῳ ψ 23 *post* καταχρ.: δὲ P^x A ὀπὸν P^x ..ὴν A 23. 24 διημ. L^a S ...νον P^x A ...μμένῳ A^t 24 ἐν ᾧ] ἢ P A^t *m. 1ª* S *post* ἕρπυλλον: ἢ ἶριν (ἔριον M^o) M^o ω ...εψῆται P^x A ....εψεῖται C^p P ...εψῆσαι A^t 26 ἐκχέοντας P^x ἐγχ...τας ψ ἐγχ...τες M^o ω 27 ...σῶντες (...σσῶντας P ....σόνται M^o) P^x ω

κλύζε τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδοϲ, εἶτα ϲινάπιζε τὴν κεφαλὴν καὶ δριμυφαγίαιϲ χρῶ ἐκ διαλειμμάτων.

"Οϲα ἐλέγχει τοὺϲ ἐπιληπτικοὺϲ Διδύμου. ἐλέγχει ἐπιληπτικοὺϲ ιδ̅
ὑποθυμιώμενα καὶ καταπίπτειν αὐτοὺϲ παραϲκευάζει ἄϲφαλτοϲ γαγάτηϲ λίθοϲ κέραϲ αἴγειον καὶ ἡ ὀϲμὴ τοῦ αἰγείου ἥπατοϲ ὀπτωμένου καὶ αὐτὸ τὸ ἧπαρ ἐϲθιόμενον.

Διεγερτικὰ τῶν καταπεϲόντων ἐπιληπτικῶν Διδύμου. ἐὰν διέλῃϲ ιε̅
τὸν μέγαν δάκτυλον τοῦ ποδὸϲ αὐτοῦ ἐξ οἱουδήποτε μέρουϲ καὶ τῷ ἀπορρέοντι αἵματι διαχρίϲῃϲ τὰ χείλη αὐτοῦ τοῦ καταπεϲόντοϲ, εὐθέωϲ διεγερθήϲεται.

Ἀϲκληπιάδου ὀϲφραντὸν διεγερτικὸν ἐπιληπτικοῖϲ. ϲαγαπηνοῦ πεπέρεωϲ καϲτορίου ἀμυγδάλων πικρῶν πευκεδάνου ῥίζηϲ ϲπονδυλίου χαλβάνηϲ ἀνὰ < β̅ ϲιλφίου < α̅ ὀποβαλϲάμου < α̅, ὄξει διαλύων ἀνάπλαϲϲε τροχίϲκουϲ· ἐν δὲ τῇ χρήϲει ὄξει διαλύων ὑπόχριε τοὺϲ μυκτῆραϲ. Ἄλλο διεγερτικὸν ἐπιληπτικῶν. ἡ χρῆϲιϲ ἐν τοῖϲ παροξυϲμοῖϲ, ποιεῖ καὶ ταῖϲ ὑϲτερικῶϲ πνιγομέναιϲ. ἔϲτω δὲ τὸ φάρμακον ἀποκείμενον εἰϲ χαλκὴν πυξίδα, ἣν προϲάξειϲ τῇ ὀϲφρήϲει τοῦ πάϲχοντοϲ· χαλβάνηϲ ϲπονδυλίου ἢ ἑρπύλλου ἰοῦ ξυϲτοῦ καϲτορίου ἀκόρου ἀνὰ < δ̅ ὀποῦ πευκεδάνου < β̅ ἢ τῆϲ ῥίζηϲ < γ̅ ὀποῦ Κυρηναικοῦ < α̅ ὀποβαλϲάμου πεπέρεωϲ κόκκοι κ̅δ̅ ἀμύγδαλα πικρὰ λελεπιϲμένα λ̅ πίϲϲηϲ ὑγρᾶϲ ὅϲον ἐξαρκεῖ, ὄξουϲ τὸ ἴϲον, χρῶ.

Διοϲκορίδουϲ πρὸϲ ἐπιληπτικὸν βοηθήματα. πηγάνου ἀγρίου ϲπέρμα ιϛ̅
ϲὺν ὕδατι πινόμενον, ϲπονδύλιον ὁμοίωϲ, βρυωνίαϲ ῥίζηϲ < α̅ βαλϲάμου καρποῦ < γ̅ καρδαμώμου < α̅ λωτοῦ τοῦ δένδρου πριϲμάτων τὸ ἀπόβρεγμα πενταφύλλου φύλλα λʹ καθʼ ἑκάϲτην ἡμέραν πινόμενα, χελώνη χερϲαία ἑψηθεῖϲα καὶ ἐκλειχομένη λάϲαρ ϲὺν τῇ τροφῇ. ἄκρωϲ δὲ ὠφελεῖ τοὺϲ ἐπιληπτικοὺϲ καϲτόριον μετά τινα κάθαρϲιν παραλαμβανόμενον

3—6 "Οϲα—ἐϲθιόμενον *Ruf. id. p. 363*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 τὸ P^x ω *post* κολοκ.: καὶ τῶν ἑτέρων τῶν προρρηθέντων ὁμοίωϲ P^x 2 *post* διαλ.: Ἀντίδοτοϲ ἡ ἀνακάρδιοϲ μέλαινα ποιοῦϲα πρὸϲ ἱερὰν νόϲον—ἔθλιβε τὸν χυλὸν καὶ κρεῖττον ποιήϲειϲ P^x 3 "Οϲα—6 ἐϲθιόμενον *post* καθεύδειν μέλλοντι *p. 153, l. 2* P Διδύμου *om.* χ ψ ω *ante* ἐπιληπτ. *alt.*: τοὺϲ P^x M^o 4 ὑποθυμιώμενοϲ P^x A^t παραϲκευάζειν P^x S ...ζων A^t 5 *post* ἥπατοϲ: ὡϲ ἔμπροϲθεν εἰρήκαμεν P^x 7 ...πιπτόντων P^a C^p P^x ψ ω Διδ. *ante* διεγερτικὰ ω *om.* L^a 9 ...χρίϲειϲ P^a ...χρήϲειϲ ω 12 ϲπονδύλου P^a P^x 13 < *pr.*] ϝ̊ C^p < α̅ *pr. om. sed post* ὀποβ.: ἀνὰ P^x P ...λύϲαϲ α, *exc.* L^a ...πλαττε P^x A S 14 ...λύϲαϲ ω ἐπίχριε P^x A ἀπόχ. P 15 Ἄλλο—ἐπιληπτ.] Διεγερτικὰ ἐπιληπτ. *in marg.* P *om.* M^o ω 16. 17 ἀποκ. *om.* M^o A 17 πάϲχοντοϲ] κάμνοντοϲ *sq.* τὰ γὰρ ὀϲφραντὰ ἀπανεχθέντα (ἀν. A) ἐπὶ τὸν ἐγκέφαλον τοὺϲ παχεῖϲ ἀτμοὺϲ ἢ χυμοὺϲ τέμνειν καὶ λεπτύνειν πέφυκεν καὶ θερμαίνειν. ἔχει δὲ οὕτω (ἔχει—οὕτω *om.* A) P^x A 18 ...ύλου P^a P^x 19 δ̅] β̅ P^x β̅] α̅ P^x γ] α̅ ϲ P^x α̅] ϲ̅ P^x 20 κ̅δ̅] ι̅β̅ P^x λ̅] ι̅ε̅ P^x 21 χρῶ *om.* P^a P 22 Διοϲκ.—βοηθ.] Βοηθ. (...ήθημα P^x) ἐπιληπτικοῖϲ Διοϲκορίδουϲ (...κουρίδου L^a P^x M^o). Πρὸϲ ἐπιληπτικοὺϲ (πρὸϲ ἐπ. *om.* P^a P^x A) P^a χ A ω Διοϲκορίδου πρὸϲ ἐπιληπτικούϲ P 23 ϲπονδυ^{λʹ} P^a P ...δυλίου M^o 24 καρπὸν M^o P ω πρίϲματοϲ ω 25 φύλλων L^a λʹ] < α A^t 26 *post* ἑψηθ.: καὶ ἐϲθιομένη ἢ P^x

ἐπὶ ἡμέρας ε̅ ἢ πλείονας <α̅ μετὰ μελικράτου καὶ τὸ τοῦ ἐλέφαντος ῥίνισμα μεγάλως ἐπιβοηθῆσαν ἔγνωμεν, ἐπὶ ἡμέρας ε̅ ἢ πλείονας ὅσον κοχλιάρια β̅ καθ' ἑκάστην ἡμέραν μετὰ τοῦ μελικράτου πινόμενον.

Ἐκ τῶν Ἀσκληπιάδου πρὸς ἐπιληπτικούς. ὀξαλίδα, ἤτοι ὀξυλάπαθον, χλωρὰν μάλιστα, πλεῖστον δίδου καθ' ἑκάστην ἡμέραν ἀπὸ πρώτης τῆς σελήνης ἕως τριακάδος. ἡ δὲ αὐτὴ ὀξαλὶς βοτάνη χλωρὰ διδομένη μετ' οἴνου τοῖς ἀπομωρουμένοις ἀποκαθίστησιν εἰς τὸ κατὰ φύσιν.

Ἄλλο ὥστε μὴ συνεχῶς καταπίπτειν, φησὶν Ἀρχιγένης. ἠρυγγίου τοῦ ὀρείου καλουμένου, οὗ τὰ φύλλα στενὰ καὶ μικρότερα καὶ ἄνθη χρυσοειδῆ καὶ ὀφθαλμοειδῆ, τούτου τὴν ῥίζαν κόψας καὶ σήσας ἐπιμελῶς ἀπόθου κἀκ τούτου δίδου μύστρα δύο ἐπὶ ἡμέρας θ̅, προσβαλὼν μέλι τὸ αὔταρκες, ὡς ἔχειν πάχος ἐλίγματος καὶ τοῦτο ποίει ἐκ διαλειμμάτων, ὡς συμπληρῶσαι τξε̅ ἡμέρας. ὁ γὰρ τοῦτο λαμβάνων ἐπ' ἐνιαυτόν, ὡς εἴρηται τξε̅ ἡμέρας, οὐ ληφθήσεται τῷ πάθει.

Ἄλλο Ἀρχιγένους. ἵππου λειχῆνος τοῦ παρὰ τὰ γόνατα <ιβ̅ καστορίου <ϛ̅ χαλβάνης <ϛ̅ ἑρπύλλου <δ̅, λεάνας μετ' ὄξους ποίει τροχίσκους τριοβολιαίους καὶ δίδου α̅ μετ' ὀξυμέλιτος κυάθων β̅ ἐπὶ ἡμέρας μ̅ ἐν τοῖς διαλείμμασιν.

Ἄλλο. σκίλλης ὀπτῆς τοῦ ἐντὸς λείου καὶ ἀνήθου τῶν ἀμφοτέρων ὀξύβαφον καὶ σελίνου ὀξύβαφα γ̅· φυράσας μέλιτι δίδου καρύου Ποντικοῦ μέγεθος μετ' ὀξυμέλιτος καὶ πιών, εἰ μὲν δύναιτο, δραμέτω, εἰ δὲ μή, συντόνως περιπατείτω.

Ἄλλο Ἀσκληπιάδου. φύλλα ἐλαίας κε̅ καστορίου σὺν ὀξυμέλιτι, ᾧ Θεμίσων ἐχρήσατο. ποιεῖ ἐπιληπτικοῖς [καὶ ἐλεφαντιῶσιν], ἔστι δὲ καὶ θηριακὴ ἀγαθὴ ἐλεφαντιῶσι· σεσέλεως <ε̅ σκορδίου καστορίου κινναμώ-

16. 17 ἵππου λειχῆνος ....λεάνας μετ' ὄξους *cf. Gal. de simpl. med. temp etc. XI, 21 (XII, 342, 15—16)* 20—24 σκίλλης—ὀξυμ. *Or.^{c} (Ecl. med.) 2 (IV 186, 22—26)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 *post* μετὰ: τοῦ S 2 ῥίνημα P^{a} M^{o} ἐπιβοηθεῖ ὡς P^{x} A 3 ἡμ. *om.* α, *exc.* L^{a} τοῦ *om.* P^{x} ψ ...μενα P^{a} P^{x} ω 4 ὀξαλ. *vel* ὀξαλλ. *codd.* ἤτοι] ἢ P^{a} A^{t} 5 χλωρὸν P^{x} A ω πλείστην P^{a} C^{p} 6 *post* ἕως: τῆς ω τριακοστῆς A ...κοντάδος P^{x} P ω 7 ἀπομεμωρωμένοις A εἰς τ. κ. φ. ἀποκ. P^{a} 9 Ἄλλο *om.* C^{p} P^{x} A S φησὶν *om.* A Ἀρχιγ. *om.* χ ψ ἠριγγίου, ...ύου, ἠρυγγίου *codd.* 10 στενότερα M^{o} P 12 ἀπόθου κἀκ] ἐπὶ δὲ τῆς χρείας ἐκ P^{x} θ̅] ε̅ A^{t} πρὸςβᾶλλον P^{a} προβάλλων S προςλαβὼν M^{o} 13 μέλι *om.* P^{x} A 14 συμπληρῶν ω πληρῶσαι A 15 *post* εἴρ.: τουτέστι (τῶν *add.* P^{x}) P^{a} C^{p} P^{x} P τξε̅ ἡμ. *om.* A ἡμερῶν C^{p} ω *om.* P^{x} 16—19 Ἄλλο—διαλείμμασιν *om.* A^{t} *m. 1^{a}* S λειχῖνος L^{a} λιχῆνας P^{a} λιχῆνος C^{p} M^{o} S ληχῆνος P^{x} ληχῆνας A λειχηνῶν P περὶ L^{a} 17 < ϛ̅ *pr. om. sed post* χαλβ.: ἀνὰ P ϛ̅ *alt.*] ζ̅ P 18 κυάθους L^{a} κύλικας P 21 ὀξύβαφοι φ δίδου μέλ. ω 22 *ante* μέγ.: τὸ P^{x} ω δύναται P^{x} ω 23 ...τόμως L^{a} ω 24 Ἀσκληπ. *om.* P^{a} P ω *aute* καστ.: καὶ P^{x} ψ ω *post* καστ.: ὀγκία C^{p} M^{o} *post* ὀξυμ.: ἄλλο Ἀσκληπιάδου P^{a} ἄλλο χ A ᾧ] ὃ P^{x} M^{o} P ω *post* ᾧ: ὁ A 25 *post* ποιεῖ: καὶ P ω καὶ ἐλεφ. *om.* L^{a} *delevi* 26 ἐλεφ. *om.* χ ψ ω

μου τριφύλλου cπέρματος ἀνὰ < ϛ̅ cταφίδος ἀγρίας < γ̅ γεντιανῆς < η̅ ἀριcτολοχίας < ϛ̅ πυρέθρου < η̅ εὐφορβίου < ε̅ πεπέρεως λευκοῦ < ι̅ ὀποβαλcάμου < γ̅ ὀποῦ Κυρηναικοῦ < γ̅· ὀξύμελι ἁπλοῦν cκευάcας ἀναλάμβανε ἐν αὐτῷ καὶ δίδου τοῖς μὲν ἐπιληπτικοῖς μεθ' ὑδρομέλιτος κυάθων τριῶν, τοῖς δὲ ἐλεφαντιῶcι δίδου < α̅ς.

Ἄλλο, ᾧ Cερῆνος ἐχρήcατο, φάρμακον ἐπιληπτικοῖς, ᾧ οὐδὲν ἴcον· τὸ αὐτὸ cυμπεπτικὸν καὶ κενωτικόν. καcτορίου ἐλλεβόρου μέλανος cκαμμωνίας ἀνὰ < β̅ ὀποπάνακος κυμίνου Θηβαικοῦ κενταυρίου νίτρου θείου ἀπύρου ἀβροτόνου ἀμμωνιακοῦ θυμιάματος πηγάνου ἀγρίου cπέρματος ἀψινθίου ἀνὰ < α̅, κόψας cήcας ἀναλάμβανε ὕδατι καὶ ἀνάπλαττε cφαιρία κυάμου Αἰγυπτίου τὸ μέγεθος καὶ δίδου ἓν τῆς ἡμέρας μετ' ὀξυμέλιτος κυάθων δ̅. θεία ἐcτὶν ἡ δύναμις. [ἔχει δὲ μίγματα ιβ̅ < ιε̅].

Ἄλλο. λαγωοῦ πυτίαν πινέτω καθ' ἡμέραν νῆcτις ὅcον ὄροβον ἐν ὕδατι διειμένην, μὴ παρούcης δὲ λαγῴας ἐριφείᾳ χρηcτέον.

Ἄλλο Ἀρχιγένους ἐπιληπτικοῖς καὶ τοῖς περιοδικῶς cπωμένοις ἢ εἰλεωδῶς ὀχλουμένοις ἢ χρονίως κεφαλαλγοῦcι. καcτορίου ἀβροτόνου πάνακος ῥίζης πυρέθρου κρόκου ἀνὰ < η̅ πηγάνου ἀγρίου cπέρματος cμύρνης πεπέρεως ἀνὰ < δ̅, ὄξει λειώcας cκιλλιτικῷ καὶ πλάcας τροχίcκους δραχμιαίους δίδου ἕνα ἀπυρέτοις ὀξυμέλιτι, πυρέccουcι δὲ ἐν τῇ ἀνέcει ἢ ἐν τῷ διαλείμματι μεθ' ὑδρομέλιτος ἐπὶ ἡμέρας γ̅· εἶτα διαλιπὼν τρεῖς, δίδου ἐπὶ ἄλλας γ̅· πάλιν διαλιπὼν ἡμέρας γ̅, δίδου ἐπὶ ἡμέρας γ̅, ὡς ὁμοῦ γίγνεcθαι δόcεις θ̅· ποιεῖ γὰρ καὶ ἀρθριτικοῖς, ἄγει καὶ ἔμμηνα γυναιξίν, ἐννάκις, ὡς εἴρηται, ποτιcθέν.

Ἄλλο ὁμοίαν ἔχον τὴν χρῆcιν. καcτορίου πεπέρεως πάνακος ῥίζης ἀνὰ < η̅ πυρέθρου cταφίδος ἀγρίας ἀβροτόνου πηγάνου cπέρματος ζιγγιβέρεως ἀκόρου δαύκου ἀνὰ < δ̅ κρόκου ἴρεως καρδαμώμου ἀνὰ < β̅· δίδου ξηροῦ κοχλιάριον μελικράτῳ· ποιεῖ ἐπιληπτικοῖς παρέτοις τρομώδεcιν.

14. 15 λαγωοῦ πυτίαν—χρηcτέον *cf. Gal. de simpl. med. temp. etc. X, 2, 11 (XII 274, 3sqq.)* 16—24 Ἄλλο—ποτιcθέν *Or.*^{c} *ib. (ib. 27—34)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1. 2 γεντιανῆς—εὐφορβ. < ε̅ *om.* ψ (*sed post* γ̅ *pr. l. 3:* πυρέθρου < η̅ εὐφορβίου < ε *add.* P) 4 ἐν αὐτ.] αὐτὸ (ἑαυτῷ M^o) P^x ψ ω *post* ἐπιληπτ.: ὀβολὸν P^x A κυάθους τρεῖς P ω 5 α̅ς] ε̅ P 6 Cερῖνος $C^p P^x$ ψ A^t Cίρινος S ἐχρᾶτο P^a ...ῆτο $C^p P^x$ P ω ...μάκω A^t 10 α̅] β̅ A^t 12. 13 ἔχει—ιε̅ *delevi* 14 νήcτης A S 15 διημ. P^a διακείμενον P^x A διειμένον M^o διημ. $L^a C^p$ ω ἐρίφου P^x A 18 cπέρμα (= $L^a M^o$) ἀγρίου P ω 19 λειώcας ὄξει χ ψ ω 20 δραγμ. L^a P A^t ἓν L^a P *ante* ὀξυμ..cὺν P^a μετ' ὀξυμέλιτος P^x τῇ *om.* χ A ω 21 ἐν τῷ *om.* χ A ω εἶτα] καὶ πάλιν A *post* εἶτα: πάλιν P^x 22 *ante* τρεῖς: ἡμέρας P^x A *id. post* ω ἐπὶ *om.* α, *exc.* P^x A ἄλλας] ἡμέρας P^x A ἄλλαι S 22. 23 πάλιν—δόcεις θ̅] *supra scr. m. 2*^{a} (ἡμ. *l. 22 om.*) S πάλ. διαλ. ἡμ. γ̅ ὡς ὁμοῦ γενέcθαι δόcεις θ̅ P^a ὥcτε (*om.* P^x) ὁμοῦ γίγνεcθαι δόcεις θ̅, εἶτα διαλιπ. τρεῖς δίδου ἄλλας τρεῖς P^x A ἡμέρας *tant.* A^t *m. 1*^{a} S *om.* $C^p M^o$ P 24 ἐν, άγκης P^x ἐννεάκις ψ ω ποτίζεcθαι A^t *m. 1*^{a} S 26 η̅] γ̅ A 28 *ante* ...κράτῳ: cὺν P^a A μετὰ μελικράτου P^x P 29 *ante* τρομ.: καί P^x P

ιζ Περὶ τῶν ἀπὸ στομάχου πρωτοπαθοῦντος ἐπιληπτικῷ τρόπῳ παροξυνομένων Γαληνοῦ. εἰ δὲ πρωτοπαθοῦντος τοῦ στομάχου γίγνοιτο ἐπιληψία, κελεύειν χρὴ εὐπεψίας προνοοῦντα τὸν πάσχοντα περὶ τρίτην ὥραν ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου παλαιοῦ λευκοῦ καὶ λεπτοῦ κεκραμένου τῶν ἠρέμα στυφόντων. δίδου δὲ αὐτοῖς καὶ τοῦ δι' ἀλόης πικροῦ φαρμάκου πλειστάκις τοῦ ἔτους. εἰρήσεται δὲ ἐπὶ πλεῖον περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶς παροξυνομένων ἐν τῷ περὶ τῶν στομαχικῶν λόγῳ. ὠφελεῖ δὲ αὐτοὺς ἱκανῶς σέσελι καὶ τοῦ σπονδυλίου ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ ἡ ἀριστολοχία μεθ' ὕδατος λεία πινομένη. βοηθεῖ δὲ τούτοις μεγάλως καὶ ἡ ἀπὸ τῶν σφυρῶν ἢ τῆς ἰγνύος φλεβοτομία συνεχῶς γιγνομένη. οἶδα δέ ποτε παιδίον οὐδόλως ἐπιληφθέν, ἐξ οὗ τῆς ῥίζης τῆς παιωνίας ἐφόρει μέγα καὶ πρόσφατον ἐξηρτημένον τοῦ τραχήλου, ὡς ἀδιαλείπτως ἅπτεσθαι τοῦ στομάχου.

ιη Περὶ τῶν ἀπὸ μορίου τινὸς ἐχόντων τὴν τῆς ἐπιληψίας αἰτίαν. ὅσοις δὲ ἀπό τινος ἑτέρου φανεροῦ μορίου τὴν ἀρχὴν ἔχει ἡ ἐπιληψία, καθάπερ ἐπὶ τοῦ προειρημένου ἀπὸ τῆς κνήμης, μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, χρίσμασιν ἐκθερμαίνειν τὸν τόπον χρὴ πρότερον, εἶτα ἐπιθεῖναι τὸ διὰ σπερμάτων ἐπίθεμα καὶ τῶν ἐμπλάστρων τὰ ἀραιωτικά τε καὶ μεταβλητικὰ τῆς δυσκρασίας, οἷά ἐστιν ἡ μέθη καλουμένη καὶ ἡ δι' ἀλθαίας καὶ ἡ Μνασαίου, μετὰ δὲ ταῦτα καὶ ἡ φοινικίνη. μετὰ δὲ χρόνον ἱκανὸν δρωπακίζειν τὸν τόπον καὶ σιναπίζειν. οὕτως μὲν νεανίσκους τε καὶ μειράκια καὶ παρακμάζοντας ἰσχυροτέρους θεραπεύεσθαι δεῖ.

ιθ Θεραπεία γερόντων καὶ παιδίων ἁλισκομένων τῷ τῆς ἐπιληψίας πάθει Ποσειδωνίου. γέροντας δὲ καὶ παιδία πάσχοντα τοιῶσδε θεραπεύεσθαι χρή. τὰς μὲν οὖν τοῦ σώματος κενώσεις παραιτητέον ἐπὶ τούτων διὰ τῶν καθαιρόντων ποιεῖσθαι φαρμάκων. ἄτονον γὰρ καὶ γέρουσι

2—6 εἰ δὲ πρωτοπαθοῦντος — ἔτους *Gal. de loc aff. V 6 (VIII 340, 6—10, 14—15) Or.^{a} VIII 3 (247, 10—14) Paul III 13 (I 155, 15—19)* 6 εἰρήσεται κτλ. *l. IX, c. 17* 8—11 ὠφελεῖ — γιγνομένη *Paul. ib. (ib 22—24)* 10. 11 βοηθεῖ — γιγ ομένη *Or.^{a} ib. (ib. 17—20)* 11—13 οἶδα — τραχήλου *cf. Gal. de simpl. med. VI 3, 10 (XI 859, 12—14, 860, 1—2) Paul. ib. (ib. 19—21)*

φ(L^{a} P^{a}) χ(C^{p} P^{x} M^{o}) ψ(A P) ω(S A^{t}) 2 Γαλ. *ante* Περὶ P *om.* P^{a} M^{o} A^{t} εἰ] ἐπεὶ A ω γίγνεται ω 3 *post* προνοοῦντα: τὸν ἄνθρωπον A^{t} 5 αὐτοὺς ω 7 ἐπιπλέον α, *exc.* L^{a} ...ληπτικῶν A A^{t} 9 σπονδύλου P^{a} P ἡ *pr. om.* L^{a} A καπνὸς A^{t} 10 πινόμενα χ A ω τούτους P^{x} M^{o} P ω *(Or.)* 11 *post* ἢ: ἀπὸ M^{o} ω ἰγνύας (ος *supra*) *m. 1^{a}* P^{a} ἰγνύας ω 14 *post* στομ.: καὶ τὸ ἀγαρικὸν δὲ τοὺς ἐπιληπτικοὺς μεγάλως ὀνίνησι — βραδύνειν ἐν βαλανείῳ καὶ τὴν ἔκκαυσιν τῆς κεφαλῆς P^{x} 15 *ante* Περὶ: Ποσειδωνίου C^{p} P^{x} P A^{t} *id. post* αἰτίαν M^{o} A (αἰτίαν ἐχόντων Ποσειδωνίου *transp.* S) τῆς ἐπιλ.] ἐπιληψίαν L^{a} P^{x} A^{t} 16 ἔχῃ *Ald.* 18 εἶτα] ἥτις P^{x} A 19 ...θῆναι P^{a} P^{x} A A^{t} *post* ἐπίθ.: καὶ προεγράφη ἔμπροσθεν P^{x} 20 τε *om.* ψ καταβλητικὰ L^{a} 21 Μνασέου? καὶ *extr. om* ω *post* φοινικ.: ὧν τὰς σκευασίας τοιούτων νυνὶ ἐροῦμεν. Σκευασία τῆς μετὰ λιθαργυρίου ἐλαίου κτλ. P^{x} 22 ἱκανὸν *om.* ψ A^{t} *m. 1^{a}* S οὕτω χ ψ ω 25 παίδων α, *exc.* L^{a} 26 Ποσειδ. *in marg.* A *om.* ω παῖδας P^{a} P^{x} S πάσχοντας (..σχον^{T} P^{x}) P^{a} ω 27 οὖν] δὴ P ω *om.* P^{a} χ A 28—*p. 159, 1* ἄτονα γὰρ καὶ παισὶ κα γέρ. τὰ σώματα P^{a}

καὶ παιcὶ τὸ cῶμα πρὸc τὴν τῶν καθαρτηρίων ἰcχὺν ἀντιβαίνειν. κλυcτῆρι δὲ κενοῦν αὐτοὺc καὶ μάλιcτα τοὺc γέρονταc διὰ κενταυρίου ἀριcτολοχίαc πολυποδίου τε καὶ ἀνήθου καὶ διαμαcᾶcθαι δὲ τοῖc γέρουcι προcήκει καὶ ἀναγαργαρίcμαcι κεχρῆcθαι καὶ ἐρρίνοιc. τοῖc δὲ παιcὶ τὰ ἁπλούcτατα τῶν κλυcτήρων ἐνιέναι καὶ τριμμάτια δὲ καὶ cιναπιcμοὶ ἁπλούcτεροι μὲν ἔcτωcαν ἐπὶ τῶν παίδων, δραcτικώτεροι δὲ ἐπὶ τῶν γερόντων· τοῖc δὲ γέρουcι καὶ ἀντιδότουc διδόναι τὰc προγεγραμμέναc.

κ̅ Θεραπεία τῶν ἄγαν γεγηρακότων ἐπιληπτικευομένων δὲ Ποcειδωνίου. τοὺc δὲ ἄγαν γεγηρακόταc διαίταιc μόναιc θερμοτέραιc cυμβουλεύειν κεχρῆcθαι καὶ εὐπεψίαc προνοεῖcθαι· ἀμήχανον γὰρ τοὺc cυγγηράcανταc τῷ πάθει ἀνθρωπίνωc θεραπευομένουc ἀπαλλαγῆναι τοῦ νοcήματοc. οἷc δὲ πρόcκαιρόc ἐcτιν ἡ διάθεcιc, ἀπό τινων προφάcεων cυμπίπτουcα, κἂν πάνυ γέροντεc τύχωcιν, οὐκ ἀπελπιcτέον τῆc θεραπείαc αὐτῶν.

κ̅α̅ Θεραπεία νεογενῶν παιδίων ἐπιληπτικῶc cπωμένων Ποcειδωνίου. πάcχει καὶ τὰ νεογενῆ παιδία τὸ τῆc ἐπιληψίαc πάθοc καὶ δυcμεταχείριcτον ἔχει τὴν θεραπείαν, πλὴν οὐκ ἀνίατον. ἐγχωρεῖ γὰρ τὰc αὐτῶν μητέραc ἢ τὰc θηλαζούcαc διαιτᾶcθαι θερμοῖc cιτίοιc καὶ ποτοῖc, ὅπωc ἂν τὸ γάλα θερμότερον γένοιτο καὶ λεπτότερον καὶ πάcμαcι δὲ καταπάττειν τὰc κεφαλὰc τῶν βρεφῶν θερμοτέροιc, οἷον κύπερα ἀδίαντον ἶριν καὶ ἀλείφειν ἐλαίῳ ἀνηθίνῳ cυνεχῶc καὶ ἰρίνῳ καὶ ἀμαρακίνῳ θερμοῖc. λούοντα δὲ μὴ βρέχειν τὴν κεφαλὴν μηδὲ τῷ θερμῷ μηδὲ τῷ ψυχρῷ, πλὴν εἴποτε δέοι ῥύπον ἀποcμήχειν ἀφρονίτρῳ καὶ μέλιτι καὶ οὕτωc ἀποπλύνειν μόνην τὴν κεφαλὴν τῷ θερμῷ, μὴ βάπτειν δέ. διδόναι δὲ καὶ μέλι ἀπηφριcμένον ἐκλείχειν, περιάπτειν δὲ καὶ τῷ τραχήλῳ τὴν τῆc παιωνίαc ῥίζαν πρόcφατον, ὥcτε ἅπτεcθαι ἀεὶ τοῦ cτομάχου.

κ̅β̅ Περὶ μωρώcεωc καὶ λήρου Ποcειδωνίου. καὶ τὰc μωρώcειc δὲ καὶ τοὺc λήρουc μετὰ τὴν ἐξ ἀρχῆc γένεcιν ἐγχειρητέον ἰᾶcθαι, εἰ τὰ μόρια

29—*p. 160, 6* καὶ τὰc μωρώcειc — τῷ ἐγκεφάλῳ *cf. Gal. de loc. aff. III 6 (VIII, 160, 17sqq.; 162, 14sqq.) 7 (164, 15sqq.); de praesagit. ex puls. IV 8 (IX, 407, 4—5); de symptom. diff. 3 (VII, 60, 8sqq.); de symptom. caus. II 7 (VII, 201, 6sq.) Paul. III 11 (I 150, 18sqq)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t)   3 *post* ἀνήθου: καὶ τῶν ἄλλων τῶν προρρηθέντων P^x ἀναμαcᾶcθαι C^p διαμαcήματα P ....μαccήcαcθαι (...μαcήc.) ω   4 δὲ *om.* C^p A^t 5 κλυcτηρίων A ω   6 παιδίων ω   9. 10 Ποcειδ. *om.* C^p P^x A   10. 11 ...βουλεύω P^x A προτρέπει P   12 γηράc. P^x A A^t 13 νοcήμ.] cυμπτώματοc L^a πρόcκ.] τοῦ νοcήματοc M^o *post* ἐcτι: τοῦ νοcήματοc P^x A   14 τυγχάνουcι A^t εἶεν P   16 παίδων P^a ψ S   Ποcειδ. *om.* P^x M^o A   17 τῷ .....πάθει ω   19 διαιτ.] ἰᾶcθαι L^a 20 γένηται P^a γίνοιτο P   21 ....πλάττειν ω   κυπρι^ν′ P κύπερον P^x ω   22 ἀδίαντα C^p ἀδιάντω P   ἶριc χ ἴρειc A ...ιδι P   ἐλ. ἀνηθ. ἀλείφ. φ   cυνεχ. *om.* P^a P^x 22. 23 *post* ἀμαρακ.: ὧν τὰc cκευαcίαc νυνὶ ἐροῦμεν· λάβε τὰ ἄνηθα ἀποτέμ⟨νων⟩ τοὺc καλαθίcκουc τῶν βλαcτῶν — ἕψε τῷ τρόπῳ τῆc νάρδου P^x 23 θερμοῖc *om.* P^x λούοιντο ω   23. 24 μήτε ...μήτε P^x A   24 δέοιντο P^x A   ἀφον. P^a χ   27 τὴν *om.* A ω   28 τὸν cτόμαχον P^x τῷ .....μάχῳ S   29 καὶ λήρου *om. Ald.* Ποcειδ. *om.* M^o 30 ἐγχειριcτέον P^a ω

σύμπαντα τοῦ σώματος καὶ μάλιστα τῆς κεφαλῆς σύμμετρα ἔχωσι καὶ τὸν λογισμὸν πρότερον μὲν σώφρονα ἔσχον, ὕστερον δὲ ἀνόητοι φαίνονται. γίγνονται δὲ ἀμφότερα τὰ πάθη ψυχροτέρου τοῦ ἐγκεφάλου γιγνομένου, ποτὲ μὲν ἐκ ποιοτήτων μόνων, οἷον γίγνεται ἐν ταῖς ὁδοιπορίαις ὑετοῦ ψύχοντος τὴν κεφαλὴν ἢ ἀνέμου σφοδροῦ, ποτὲ δὲ καὶ βραχέος φλέγματος παραρρυέντος τῷ ἐγκεφάλῳ. διαφέρει δὲ μώρωσις λήρου τῷ τὴν μώρωσιν μὲν ἀκόλουθα καὶ λέγειν καὶ πράττειν, λῆρον δὲ μετάβασιν ἀνακόλουθον ποιεῖσθαι καὶ λόγον ἄλλον ἄλλῳ συμπλέκειν οὐδὲν ἐχόμενον τοῦ πρώτου. καὶ λῆρον μὲν γέρουσιν ὡς ἐπὶ τὸ πλεῖστον, μώρωσιν δὲ καὶ παισὶ καὶ μειρακίοις καὶ ταῖς ἄλλαις ἡλικίαις ἐκ νοσημάτων τινῶν προηγησαμένων ἐπιγίγνεσθαι. ἡ δὲ θεραπεία ἀμφοτέρων τῶν νοσημάτων παραπλησίως τῇ προειρημένῃ ἐπὶ τῶν ἐπιληπτικῶν, διὰ τῶν θερμαινόντων μὲν ὁμοίως βοηθημάτων γιγνομένη, οὐ μὴν ὁμοίως γε ξηραινόντων.

κγ Περὶ μνήμης ἀπολωλυίας ἐκ τοῦ Ῥούφου καὶ Γαληνοῦ. ἡ τῆς μνήμης βλάβη φαίνεται πολλάκις ἐν νοσήμασί τισι γιγνομένη, συμβεβλαμμένου καὶ τοῦ λογισμοῦ, τῆς μὲν διαθέσεως ἀμφοτέροις τῆς αὐτῆς οὔσης, ἐπιτεταμένης δὲ ὁπότε τῇ μνήμῃ συναπόλωλεν ὁ λογισμός, ὅπερ ὀνομάζεται μώρωσις. ἀπόλλυται δὲ ἄμφω ταῦτα κατὰ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα, ὅτε καὶ ἡ θεραπεία ἡ ἐπὶ τῶν προειρημένων παθῶν ἀναγεγραμμένη παραλαμβάνεται ἤδη ἐνεστηκότων τῶν νοσημάτων. εἰ δὲ ἀποσκήψῃ ποτὲ ἔκ τινος τῶν προειρημένων νοσημάτων — καὶ γὰρ καὶ τοῦτο γίνεται [ἢ] ἐκ λοιμοῦ, ὥσπερ οὖν καὶ ἐνέπεσεν ἐν τῷ γενομένῳ ἐν Ἀθήναις λοιμῷ —, τῶν μὲν νοσημάτων ὡς ἐπίπαν λυομένων, ἀφισταμένων δὲ εἰς λήθην, ἐπὶ τούτων σκοπεῖσθαι χρὴ τὴν μᾶλλον ἐπικρατοῦσαν ποιότητα οὕτως· μόνη μὲν ὑγρότης πλεονάσασα βαθεῖς καὶ μακροὺς ὕπνους ἐργάζεται, μόνη δὲ ξηρότης πλεονεκτοῦσα ἀγρυπνίας ἐργάζεται. εἰ δὲ ἡ ψυχρότης προσγένηται μεθ' ὑγρότητος ἱκανῶς, τὰ καταφορητικὰ καὶ καρώδη πάθη συνίσταται· εἰ δὲ ὑγρότης μετ' ὀλίγης ψύξεως προσγένηται, αἱ τῆς μνήμης ἐπιγίγνονται βλάβαι καὶ αἱ μωρώσεις· οὔσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλόν τε

15—*p. 163, 30* Περὶ μνήμης — μνημονεύοι *Ruf. id. 363—371* 15—20 ἡ τῆς μνήμης — πάντα *Gal. de loc. aff. III 6 (VIII 160, 13—161, 2)* 24 *cf. Thuc. II 49, 8* 26—*p. 161, 2* μόνη — αἰτίων *Gal. ib. (ib. 162, 10—12, 14—163, 1)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ἔχουσι P^a χ ψ S 2 μὲν πρότ. ω 2. 3 φαίνοιντο P^a χ ψ 4 γενομ. χ A π. μόνον C^p M^o ποιότητος μόνης ω 6 φλέγμ.] ῥεύματος P^a 7 τῷ] ὅτι τὸ P^x τὸ P^a *ante* λῆρον: τὸν δὲ (δὲ *post om.*) P^a τὸν P^x P 8 ἀκόλουθον L^a P^x P *om.* A^t ἄλλῳ] ἄλλως L^a M^o 9 τὸ *om.* P ω 12 ...πλησία P ....πλήσιως (ο *supra* ι) *corr. m. 2ª ut vid.* C^p 13 μὲν *om.* P^x A 15 ἀπολωλείας P^a ἀπωλείας A ἀπολύας P^x ἐκ — Γαλ. *om.* M^o τοῦ] τῶν C^p P^x ψ A^t 18 ....ταμένη (ταμμ.) L^a P^x A^t *m. 1ª* S *ante* ὁ: καὶ ω 19 κατὰ] καὶ A^t 20 πάντα πάθη P^a P ἡ *alt. om.* ω 21 εἰρημ. L^a 22. 23 εἰ δὲ — νοσημάτων *post* νοσημάτων *(24)* C^p M^o A ω *om.* P ἀποσκήψει P^a C^p P^x ψ ω εἰρημένων χ ψ ω ἢ *delevi* 24 συνέπεσε ω ἐν *pr. om* C^p ω 25 ἐφισταμ. ω ἐπισκοπεῖσθαι P^a σκοπεῖν C^p 26 οὕτω C^p A οὕτω γὰρ P 29 ...φορικὰ P^a P^x M^o ψ ω ....σтανται ω 29. 30 εἰ δὲ — προσγέν.] χωρὶς δὲ ταύτης P^a ...γένοιτο C^p M^o A S ....γένητο (οι *supra* η) P^x ...γίγνεται A^t

καὶ ἧττον τῶν κράcεων, ποικιλία πολυειδὴc γίγνεται τῶν βλαπτόντων τὰc ψυχικὰc ἐνεργείαc αἰτίων. παραφυλάττειν οὖν χρὴ τοὺc ὕπνουc τῶν ἀπολωλεκότων τὴν μνήμην ἢ τὴν cύνεcιν — ἀπώλεια γὰρ τῆc cυνέcεωc ἡ μώρωcίc ἐcτι —, πότερον ὑπνώδειc οἱ κάμνοντέc εἰcι cφόδρα ἢ μέτριοc αὐτοῖc ἐcτιν ὁ ὕπνοc. οὕτωc γὰρ ἂν ἐξεύροιc τὴν ἐπικρατοῦcαν δυcκραcίαν. ἐπιθεωρητέον δὲ καὶ εἰ πότερον ἐκκρίνεται πολλὰ διὰ ῥινῶν καὶ cτόματοc ἐκ τῆc κεφαλῆc καταφερόμενα ἢ ξηρὰ φαίνεται τὰ μέρη ταῦτα. εἰ μὲν οὖν ψῦξίc ἐcτι μόνη, θερμαίνειν μόνον προcήκει, μὴ μέντοι ξηραίνειν μηδὲ ὑγραίνειν. εἰ δὲ μεθ᾿ ὑγρότητοc ἡ ψῦξιc γένοιτο, θερμαίνειν καὶ ξηραίνειν· εἰ δὲ μετὰ ξηρότητοc, θερμαίνειν καὶ ὑγραίνειν. ἐγὼ γοῦν οἶδά τινα μνήμην ὀλίγου δεῖν ἀπολέcαντα καὶ τὸν λογιcμὸν βλαβέντα διὰ φιλοπονίαν καὶ ἀγρυπνίαν διὰ μαθημάτων, ἕτερον δὲ ἀμπελουργὸν ἐπὶ τοῖc κατὰ τὴν ἀμπελουργίαν πόνοιc τὰ αὐτὰ παθόντα· καὶ προφανῶc ἑκάτεροc αὐτῶν ὑπὸ μὲν τῶν θερμαινόντων τε καὶ ξηραινόντων ἐβλάπτετο, ὑπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν ὠφελεῖτο. τούτων προcδιωριcμένων, τῆc θεραπείαc ἐχώμεθα. εἰ μὲν ἐπὶ καθάρcεcί τιcιν ἢ ἄλλαιc ἀμέτροιc κενώcεcιν ἢ cυγκοπαῖc θραυcθείcηc τῆc δυνάμεωc ἐπιγένοιτο βλάβη τῆc μνήμηc, τῇ ἀναληπτικῇ ἀναγωγῇ κεχρῆcθαι προcῆκε, μηδὲν ἕτερον περιεργαζόμενον. ῥωννυμένων γὰρ τῶν cωμάτων καὶ cυλλεγομένων τῶν δυνάμεων ἀποκαθίcταται καὶ ἡ μνήμη. ὡcαύτωc δὲ καὶ διὰ γῆραc ἔcχατον εἰ ἐπιγένοιτο βλάβη τῆc μνήμηc, οὐ χρὴ περιεργάζεcθαι, μόνῃ τῇ καταλλήλῳ διαίτῃ ἀρκούμενον. ὅcοιc δὲ αἰφνίδιον ἐκλείποι ἡ μνήμη, τὰ δ᾿ ἄλλα

2—16 παραφυλάττειν — ὠφελεῖτο *Gal. de loc. aff. III 7 (VIII, 164, 15—165, 4, 13—16, 17—166, 5)* 8—11 εἰ μὲν — ὑγραίνειν *Or.ᵃ VIII 1 (244, 4—7) Paul. III 11 (151, 7—9)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 4 εἰcὶν οἱ κάμνοντεc ω 5 ἐcτιν *ante* αὐτοῖc $C^p A^t$ *om.* P^x A αὐτ. — ὕπνοc] ὑπνώδειc, ἢ τὴν ἀρχὴν οὐδ᾿ ὑπνώδειc, ἀλλ᾿ ὅcον ἐπὶ τούτῳ κατὰ φύcιν ἔχουcιν P^a *(Gal.)* ...ρηc A A^t 6 πρότερον φ πολὺ P τι P^a 7 ...μένων α *correxi* 8—11 μέρη — ὑγραίνειν] χωρία. δυνήcῃ κἀκ τούτου cτοχάζεcθαι τὴν διάθεcιν, ὥcπερ ἐπὶ κατάρρου καὶ κορύζηc· καὶ γὰρ ἐπὶ τούτων ἥ τε ποιότηc καὶ ἡ ποcότηc τῶν ἐκκρινομένων, μετὰ τοῦ προεπιcκέψαcθαι τὰc προηγηcαμέναc αἰτίαc, ἐνδείκνυται τὴν διάθεcιν τῆc κεφαλῆc, ἤτοι θερμὴν οὖcαν ὡc ἐπ᾿ ἐγκαύcεωc ἢ ψυχρὰν ὡc ἐπὶ ψύξεωc. ἄνευ γὰρ τοῦ διορίcαcθαι ταῦτα πάντα, τὴν προcήκουcαν ἑκάcτῃ διαθέcει θεραπείαν ἀδύνατον εὑρεῖν. ἐπὶ γοῦν τῆc ἀπολωλυίαc ἢ μεγάλωc βεβλαμμένηc μνήμηc, ψυχρὰ μὲν δυcκραcία πάντωc ἐcτὶ καὶ θερμαίνειν αὐτὴν προcῆκεν, οὐ μὴν ἐξ ἀνάγκηc καὶ ξηραίνειν, ὥcπερ οὐδ᾿ ὑγραίνειν· ἀλλ᾿ εἰ μὲν μεθ᾿ ὑγρότητοc εἴη, ξηραίνειν, εἰ δὲ μετὰ ξηρότητοc, ὑγραίνειν, εἰ δ᾿ ἐν τῷ μέcῳ τούτων, ἐν ταύτῃ τῇ καταcτάcει φυλάccειν *(Gal. v. supra in font. p. 165, 4—17)* P^a 8 μόνη ἐcτὶ A^t 9. 10 μηδὲ — ξηραίνειν *om.* M^o ω 10 *post* θερμ. *alt.*: μόνον ω 11 *ante* μνήμην: τὴν P^a P *(Gal.)* 12. 13 μάθηcιν P^a μαθήματοc A^t ...θήματα $C^p M^o$ A S 13 *post* πόνοιc: καὶ διαίτῃ λεπτῇ P^a *(Gal.)* 15 τε *om.* P^x A 16 ὠφελοῦντο L^a ...λεῖν P^a προδιοριcμ. χ ψ 17 ἐχόμεθα χ A 19 ἀγωγῇ $P^x M^o$ A A^t *sqq.* χρηcτέον (χρ. *om.* P^x), ἀναλήψεωc δὲ (δὲ *om.* P^x) cτοιχεῖα γυμνάcια καὶ τροφαί, δι᾿ ὧν μὲν καθαιρομένων τῶν cωμάτων καὶ τοῦ διοικοῦντοc αὐτὰ πνεύματοc ἀναριπιζομένου (ἀρτιζ. A), δι᾿ ὧν μὲν προcπλάcεωc μὲν ἐκείνηc ἰcχύοc μὲν γιγνομένηc τῇ φύcει, ὥcτε ἅμα δοκεῖν ἐρύματί (...ύcματί A) τε καὶ ἀμυντηρίοιc ἠcφαλεῖcθαι P^x A ....γαζόμενοι $L^a P^x M^o$ A S ...ζομένουc P^a P 22 καταλλήλων P^x A 23 ...κούμενον C^p ...οι $P^x M^o$ ω ...μένοιc L^a ...κουμένουc P^a ψ ἐκλείπει P^a χ ψ S

ὑγιαίνειν δοκοῦϲιν, ἐπὶ τούτων προϲδοκᾶν δεῖ ἐπιληψίαν ἐπιγίγνεϲθαι ἢ πάρεϲιν ἢ καὶ ἀποπληξίαν ἢ καὶ ὅλωϲ μέγα τι εὕροιϲ ἐπ᾽ αὐτῶν κακόν. τούτοιϲ μὲν οὖν ἐξαρκοῦϲί ποτε καὶ αἱ τῶν προϲδοκωμένων νοϲημάτων προϲφυλακαί. ἐν ᾧ γὰρ κωλύομεν ἐλθεῖν τὴν νόϲον, ἐν τούτῳ καὶ ἡ μνήμη ἀναϲῴζεται· κωλύει δὲ τὰ εἰρημένα νοϲήματα πρῶτον μὲν ἡ λεπτύνουϲα καὶ τμητικὴ δίαιτα, ἔπειτα δὲ καὶ καθάρϲειϲ ἁρμόδιοι καὶ τὰ παραπλήϲια. εἰ δ᾽ ἐκ νοϲημάτων, ὡϲ εἴρηται, ἀποϲκήψῃ ποτὲ οἷον ληθάργου ἢ λοιμοῦ, ἐπιχειρεῖν προϲήκει ἀγωνιϲτικώτερον τῇ τούτων θεραπείᾳ. τὸ δὲ κεφάλαιον τῆϲ ἰάϲεώϲ ἐϲτιν ἐν τῷ θερμαίνειν αὐτῶν τὸ ϲύμπαν ϲῶμα ἔνδοθέν τε καὶ ἔξωθεν πρὸϲ τὸ μέτρον τῆϲ ἐκτροπῆϲ τοῦ κατὰ φύϲιν. θερμάϲματα δὲ ὡϲ ἐπίπαν τοῖϲ τοιούτοιϲ ἁρμόδια, θέρουϲ μὲν ἔλαιον καθ᾽ αὑτὸ θερμόν, χειμῶνοϲ δὲ ἴρινον ϲὺν ὄξει δριμυτέρῳ, ἐνίοτε ἑρπύλλου ἢ ϲπονδυλίου ἢ καλαμίνθηϲ αὐτῷ ἐναφεψημένων, ἔϲτι δ᾽ ὅτε καὶ νίτρου ἐμβάλλοντεϲ καὶ πεπέρεωϲ ἢ δαφνίδων. ἀγαθὸν δὲ καὶ τὸ καϲτόριον ϲὺν ἐλαίῳ τῷ ἰνίῳ προϲαγόμενον. βοηθεῖ δὲ τούτοιϲ μειζόνωϲ ἡ διὰ τῆϲ ἱερᾶϲ ῾Ρούφου κάθαρϲιϲ. ἔϲτι γάρ, φηϲίν, ὅτε τούτῳ μόνῳ καθαίροντι τούτουϲ τὰ μέγιϲτα ὠφέληϲα, τῷ ἐν ταῖϲ καθάρϲεϲι μηδὲν τῶν χρηϲτῶν ϲυναποφέρειν αὐτῇ. ἄρχεται γὰρ ἄνωθεν ἀπὸ κεφαλῆϲ καταϲπᾶν, ἔπειτα καὶ τὰ ἄλλα μόρια διέρχεται, οὐδὲν βίαιον οὐδ᾽ ἀλγεινὸν ἐπιφέρουϲα, οὐ φλόγωϲιν οὐ καρδιαλγίαν οὐ δίψαν· ἀεὶ δὲ πρὸϲ λόγον τῆϲ κενώϲεωϲ κουφίζει, ὅθεν καὶ ϲτόμαχοϲ ῥώννυται ἐπὶ τῇ καθάρϲει, ὥϲτε καὶ ἐπιτείνεϲθαι τὴν τῶν ϲιτίων ὄρεξιν. πεπίϲτευται δὲ μετὰ τὴν τῆϲ ἱερᾶϲ κάθαρϲιν καὶ τὸ τοῦ ἐλέφαντοϲ ῥίνιϲμα τῇ μνήμῃ βοηθεῖν πινόμενον ὅϲον κοχλιάρια β̄ μετὰ μελικράτου καὶ κέραϲ ἐλάφειον ὁμοίωϲ. καὶ τὸ καϲτόριον δὲ ὁμοίωϲ μετὰ τὴν κάθαρϲιν πινόμενον ὅϲον < ᾱ μετὰ μελικράτου μειζόνωϲ βοηθεῖ. μεγίϲτη δὲ καὶ ἡ τοῦ λευκοῦ ἐλλεβόρου πόϲιϲ, οὐχ ὥϲπερ οἴονταί τινεϲ τὸ ἔϲχατον τῆϲ βοηθείαϲ, ἀλλά τιϲ ὀρθῶϲ ἄρξαιτο ἐντεῦθεν. τί γὰρ δεῖ μακρὰ καὶ πολλὰ κάμνειν, ἐξὸν ἤδη παρὰ τοῦ μεγίϲτου βοηθήματοϲ τὰ μέγιϲτα τῆϲ ἰάϲεωϲ ἔχειν; ὅθεν μηδὲν ὑφορωμένουϲ διδόναι χρὴ τὸν ἐλλέβορον, πρὶν κρατηθῆναι τῷ νοϲήματι τὸν κάμνοντα καὶ

15 ἀγαθὸν δὲ καὶ τὸ καϲτόριον *(v. p. 163, 2) cf. Or.*^{s} *ib. (ib. 23)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) 1 ἐπιγενέϲθαι P γίγνεϲθαι M^o 2 ἢ *alt. om.* P^a C^p M^o ψ ω εὕρηϲ (...ειϲ) ψ A^t αὐτοῖϲ P^x A 3 προϲδοκουμένων P^x M^o A ω 4. 5 ἐκ τούτου (...ων S) ω 6 δίαιτα] δύναμιϲ ω 7 ὑποϲκήψει P^a ἀποϲκ..ει P^x P ω 10 αὐτῶ A A^t ...οὺϲ P μέτριον P^x A 12 καθ᾽ αὑτὸ] κατὰ τὸ L^a 13 ϲπονδύλου P^a ...ου$^{Δλ'}$ A^t ....μιν$^{θ'}$ P ω ...θου L^a P^x 14 ...ψημένω A^t ..φηψημένων P ἀφηψ...ων C^p 15 τὸ *om.* P^x A A^t 16 τούτουϲ M^o ...τω A^t *post* κάθ.: καὶ προεγράφη ἡ αὐτῆϲ ϲκευαϲία ἐπὶ τῶν μελαγχολικῶν P^x 17 τοῦτο μόνον P^x ταύτῃ μόνῃ P καθάραϲ P καθαίρειν A^t ...ροντεϲ M^o ...ρων P^a *m. 1*^{a} S ὠφ. τῷ]...λήϲατο M^o ὠφέληϲεν A^t 18 αὐτὴν C^p ἑαυτὴν P^x A αὐτῇ M^o ἐν αὐτῇ P A^t ἑαυτῇ P^a S 20 οὐδ᾽] οὐδὲν ω 21 λόγον] ὅλον L^a 23 *ante* τῆϲ: διὰ C^p M^o ω 24 τῇ *om.* P^x M^o ψ πινόμ. *om.* L^a κοχ. β̄] < ᾱ P ω 28 ἄρξοιτο P^a ...ηται A^t ...εται P 29 πολλὰ καὶ μακρὰ P^x A ἐξ ὧν χ A^t *m. 1*^{a} S περὶ L^a P ω 31 τῷ νοϲ. τῷ κάμνοντι P^x τὸν κάμνοντα τῷ νοϲήματι ω

ἐξίτηλον τὴν ἰσχὺν ἐργάσηται τοῦ βοηθήματος. ὠφέλιμα δὲ καὶ τὰ δι᾽ ἐλλεβόρου λευκοῦ καὶ καστορίου πταρμικὰ προσαγόμενα ταῖς ῥισὶ μετὰ τὰς κενώσεις, καὶ τὰ ἔρρινα προσαγόμενα ταῖς ῥισὶ καὶ ἀποφλεγματισμοί· τροφὴ δὲ ψαφαρὰ ἐπιτήδειος καὶ ποσῶς θερμαντικὴ καὶ λεπτυντική· λαχάνων δὲ ὡς ἐπίπαν τῶν ψυχόντων πάντων ἀποχὴ ἔστω καὶ ὀπώρας καὶ τραγημάτων τυρῶν τε καὶ γάλακτος καὶ τῶν παχυνόντων τε καὶ πνευματούντων σιτίων· τὰ μὲν γὰρ θολοῖ, τὰ δὲ πήγνυσι τὸ πνεῦμα. τῆς δὲ δριμυτέρας ὕλης ἐκ διαστημάτων προσαγέσθω, οἷον σκόρδα θύμβρα ὀρίγανα γλήχων καὶ ῥαφανίδες. φείδεσθαι δὲ καὶ τούτων τοῦ πλήθους, ἀεὶ δὲ τὴν ἀπεψίαν παραφυλάττεσθαι. πάντως γὰρ μᾶλλον αἱ ἀπεψίαι τῇ γνώμῃ κακόν. οἶνος δὲ τούτοις ἁρμόδιος λευκὸς καὶ λεπτὸς καὶ μὴ πάνυ παλαιός· τῇ γὰρ μετρίᾳ θερμότητι ἄλλα τε δύναται οὐκ ὀλίγα καὶ ψυχὴν ἀνθρώπου ἡμερῶσαι καὶ πρὸς σοφίσματα οἰκείαν ἐργάσασθαι κίνησίν τινα αὐτῇ διδοὺς ἐμμελῆ καὶ καθεστηκυῖαν. πολυποσία δὲ ὕδατος καὶ πολλῷ μᾶλλον οἴνου παντὸς κάκιστον· ὑγραίνει γὰρ σφόδρα τὴν κεφαλήν· ἡ δὲ ὑγρότης ἡ πλείστη ἐστὶν ἐπιλησμονεστάτη. ὕπνος σύμμετρος ἔστω καὶ μὴ ἐπὶ πλησμονῇ παραλαμβανέσθω. ἀφροδισίων δὲ σπανιωτάτη ἡ χρῆσις ἔστω· οὔτε γὰρ τῇ ὅλῃ ὑγείᾳ λυσιτελεῖ οὔτε τοῖς τῆς ψυχῆς λογισμοῖς, ἀλλὰ καὶ ἀθυμίαν ἐμποιεῖ· σπασμῷ τε γὰρ πώς ἐστι συγγενὴς ὁ κατὰ τὰς συνουσίας σπαραγμὸς καὶ ἡ ἐπιγιγνομένη κατάψυξις πήγνυσί πως καὶ ναρκοῖ τὴν διάνοιαν. μετὰ δε τὰς καθάρσεις τάς τε καθολικὰς καὶ τὰς τοπικὰς καὶ σιναπισμὸς τοῦ ἰνίου ἐπιτήδειος καὶ μετὰ τὸν σιναπισμὸν λουτρὸν παραλαμβανόμενον. ἀπεψίαν δὲ καὶ κόπον φυλακτέον παντάπασι τῶν τε ἄλλων σωμάτων καὶ μάλιστα τῆς κεφαλῆς καὶ αὐτῆς τῆς διανοίας. ἐγκαύσεις σφοδρὰς καὶ ψύξεις — ἀμφότεραι γὰρ πληρωτικαὶ τῆς κεφαλῆς — φυλακτέον. ⟨φυλακτέον⟩ δὲ καὶ τὰ παχύνοντα τῶν σιτίων καὶ τὰ ἐμπνευματοῦντα καὶ τὰ ὑγραίνοντα. ἐκ τούτων δέ τις ὁρμώμενος καὶ ἐπὶ ὑγιαινόντων μέν, ὑγροτέραν δὲ τὴν κεφαλὴν κεκτημένων, τὴν δίαιταν ὑποτυπώσειεν, ὡς ἂν τις κάλλιστα μνημονεύοι.

κδ

Περὶ λυσσοδήκτων ἤτοι ὑδροφόβων ἐκ τῶν Ῥούφου καὶ Ποσειδωνίου. οἱ κύνες θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνοντες ἐπικτῶνται κατὰ

2 πταρμικὰ προσαγόμενα *cf. Or.*^{a} *ib. (244, 20)* 32—*p. 164, 5* οἱ κύνες — ὑπερβάλλον *cf. Philum. de ven. anim. 1 (p. 4. 9—11)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 ἐργάσεται P^{a} ...σασθαι A διὰ τοῦτο γενέσθαι P^{x} 2 πταρμ.] καὶ τῶν ὁμοίων P^{x} 3 ταῖς ῥισὶ *om.* P^{a} χ ψ S 4 *ante* ψαφ.: τὰ L^{a} 5 πάντων τῶν ψυχόντων ω ἐστι M^{o} ω *om.* P^{a} 6 τυροῦ ψ 6—8 καὶ τῶν παχ. — πνεῦμα *om.* C^{p} P 9 σκόροδα P^{a} P ὀρίγανος P^{a} ...νον P^{x} ω γλήχωνα C^{p} A ...ας P ...νίδας C^{p} P 10 τὸ πλῆθος P^{x} A A^{t} παντὸς χ 11 γλώττῃ L^{a} κακοί P^{x} κακ̑ M^{o} κακαί A ὑπερνικᾶν P 12 λεπτὸς καὶ λευκὸς P^{a} S 14 σοφίαν C^{p} ὀρχήσματα ω τινα *om.* A^{t} 25. 26 ἔγκαυσις L^{a} ἐκκαύσεις C^{p} P^{x} A 26 σφοδρὰ καὶ ψῦξις L^{a} ἀμφότερα ... πληρωτικὰ ψ A^{t} 26. 27 *post* κεφ.: καὶ αὐτῆς τῆς διανοίας P^{x} 27 φυλακτέον *alt. addidi* 29 ὑγραινόντων P^{x} A 31 τῶν] τοῦ L^{a} 32 *ante* οἱ: τῶν περὶ λυσσοδήκτων λόγ⟨ον⟩ βουλόμεθα διδάξαι· ἐπειδὴ τὸ ζῶόν ποτ⟨ε⟩ καὶ σύνηθές ἐστι καὶ συνεχῶς ἁλίσκεται νόσῳ ταύτῃ — καὶ τῶν ὑπὸ κυνὸς δηχθέντ⟨ων⟩ ἐσώσησαν. Ἀετίου Ἀμιδυνοῦ περὶ αὐτοῦ P^{a}

τὸ θέρος ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἑτέραν θερμότητα καὶ ξηρότητα καὶ τῇ ἀμετρίᾳ τῆς δυσκρασίας ὑπομένουσι μανίαν, ὃ καλεῖται λύσσα. μάλιστα δὲ τοῦτο πάσχουσι κατὰ τὰς χώρας ἐκείνας, ἐν αἷς μέγισται καὶ ἀνώμαλοι μεταβολαὶ τοῦ περιέχοντος ἀτάκτως γίνονται, ἐν αἷς καὶ χειμῶνες σφοδροὶ γίνονται καὶ καῦμα ὑπερβάλλον. μανέντες δὲ οἱ κύνες καὶ δίψει σφοδρῷ ἁλισκόμενοι ποτὸν οὐ προσίενται διὰ τὸ παραφρονεῖν, ὅθεν καὶ μᾶλλον αὐτοῖς ἐπιτείνεται ἡ τοῦ ἰοῦ κακία. σημεῖα δέ ἐστι λυττώντων κυνῶν τοιάδε· ἄφωνοί εἰσι καὶ ἔκφρονες, ὥστε μηδὲ τοὺς οἰκειοτάτους γνωρίζειν, ἀλλὰ καὶ τούτων πρῶτον ἅπτεσθαι· ἀπόσιτοι δὲ καὶ διψώδεις μέν, οὐ ποτικοὶ δέ, καὶ ἀσθμαίνουσιν ἐπὶ πολύ, κεχηνότες δὲ τὸ στόμα καὶ τὴν γλῶτταν προβάλλοντες, σίαλον δὲ δαψιλὲς καὶ ἀφρῶδες προχέουσι τά τε ὦτα ἐπικλίνουσι καὶ τὴν οὐρὰν κεχαλασμένην ἔχουσι. βαδίζοντες δὲ νωθρότεροί τε καὶ οἷον κωματωδέστεροί εἰσιν· εἰ δὲ καὶ τρέχοιεν ὀξύτερον τοῦ εἰωθότος, τρέχουσι μετὰ τοῦ ἀκαίρου καὶ ἀτάκτου. τοὺς τοιούτους οὖν κύνας ἐκκλίνειν δεῖ. πάντες γὰρ ὡς ἐπίπαν οἱ δηχθέντες ὑπὸ κυνὸς λυσσῶντος ἀμεληθέντες ἢ κακῶς θεραπευθέντες ἐμπίπτουσι τῷ ὑδροφοβικῷ πάθει, καὶ μάλιστα οἱ κακόχυμοι τοῦτο πάσχουσιν, ὅθεν τινὲς αὐτίκα δηχθέντες ἔδεισαν τὸ ὕδωρ καὶ ἄλλα ὑγρά, τινὲς δὲ μεθ' ἡμέρας $\bar{\mu}$, ἕτεροι δὲ καὶ μετὰ πλείονα χρόνον. γίγνεται δὲ αὐτοῖς χαλεπωτέρα ἡ ἔκστασις, ὅταν ὕδωρ ἢ ἕτερόν τι διαυγὲς θεάσωνται οἷον ἔσοπτρον· ὁρῶσι γὰρ τὸ ἑαυτῶν πρόσωπον ἐνερευθὲς ὂν καὶ δριμὺ βλέπον καὶ πλῆρες ὀργῆς. δυνατὸν δὲ αὐτούς, ὥς φασί τινες, καὶ τοῦ δάκνοντος κυνὸς τὸ εἴδωλον φαντάζεσθαι φαινόμενον κατὰ τῶν ὑγρῶν· ἀναμιμνησκόμενοι δὲ τῆς μορφῆς τοῦ κυνός, ἀθρόως αὐτοὺς καταλαμβάνει φόβος ἄμετρος· τοῦτο δὲ πάσχουσι τῇ ἀμετρίᾳ τῆς ξηρότητος. φιλόσοφος γάρ τις δηχθεὶς ὑπὸ λυττῶντος κυνὸς καὶ γενναίῳ φρονήματι πρὸς τὸ πάθος ἀντισχὼν καὶ ἀνακόλουθον εὑρὼν τὸ ἐν βαλανείῳ φαίνεσθαι κύνα, — ἐφαίνετο γὰρ αὐτῷ καθάπερ καὶ τοῖς ἄλλοις τοῖς τοῦτο παθοῦσιν, — ἐπιλογισάμενος οὖν καὶ ἐν ἑαυτῷ εἰπών· τί κοινὸν κυνὶ καὶ βαλανείῳ; κατεκράτησε τοῦ πάθους καὶ ἰάθη λουσάμενος καὶ πιὼν ἀφόβως. δηχθέντος μὲν οὖν τινος ὑπὸ κυνὸς λυσσῶντος, ὅτι τάχιστα χρὴ τούτῳ βοηθεῖν τῇ νενομισμένῃ ἐπιμελείᾳ, κἂν μικρὸν κἂν ἐπιπόλαιον εἴη τὸ δῆγμα,

8—12 σημεῖα — ἐπικλίνουσι *Or.*[a] *VIII, 12 (251, 14—17) Paul. V 3 (II 8, 1—5)* 10—12 ἀπόσιτοι — προχέουσι *cf. Philum. ib. (ib. 11—12)* 19—25 τινὲς δὲ — ἄμετρος *cf. Paul. ib. (II 8, 27—9, 1, 8, 19—21)* 31—33 δηχθέντος — δῆγμα *Or.*[a] *ib. (ib. 17—19)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 3 μᾶλλον ω 6 δίψη S σφοδρᾷ φ P 8 *ante* σημ.: Τίνα σημεῖα παρέπονται τῶν λυττώντων κυνῶν P^x ἔστι μὴ *om.* P^x P 9 οὐδὲ *supra sc. m. 2*[a] S οὐδὲ A^t 9. 10 ἅπτεσθαι πρῶτον ω 12 σίελον P^a P ω δὲ *om. α. exc.* L^a 13 δὲ] τε χ ψ ω τε *om.* χ P ω 15 οὖν *ante* τοιούτ. A *om* P^a χ P ω 18 μᾶλλον P^x A 20 ἔντασις L^a ω 21 τι *om.* M^o P ω οἷον *om.* M^o P ω 22 ὂν *om.* α, *exc.* L^a 23 αὐτοῖς P^x A δακόντος $C^p P^x$ 24 ....σκομένους P^a ψ 27 λυσσῶντος χ P ω 28 τὸ] τῶ P^x A 29 αὐτὸ P^x P 31 λουσάμ.] τοῦ πάθους A^t *m. 1*[a] S ἀπιὼν L^a 32 οὖν *om.* L^a τούτω χρὴ $C^p M^o$ ω 33 τὴν νενομισμένην ἐπιμέλειαν P^x A S κἂν *alt. om.* ω καὶ *Or.* ἐπὶ πλέον P^x ψ ἐπὶ πλεῖον L^a

εἰδότας ὅτι οὐδεὶς τῶν μὴ καλῶς θεραπευθέντων ἐξέφυγεν. δεῖ οὖν πρῶτον μὲν τὸ τραῦμα μεῖζον ἐργάζεσθαι σμιλίῳ τὸ στόμιον ἐπιδιαιροῦντας καὶ εὐρύνοντας, ἔπειτα δὲ καὶ ἀμυχαῖς κνίζειν ἅπαντα τὸν ἐν κύκλῳ τόπον, μηχανώμενον ῥύσιν αἵματος πολλοῦ διὰ τοῦ τόπου γίγνεσθαι, καίειν δὲ τὸ ἕλκος καυτηρίοις διαπύροις πλατυτέροις, ἔπειτα καταπλάσσειν πράσου ἢ ἄρτου μεθ' ἁλῶν τετριμμένων ἢ κρόμυα ἢ σκόροδα καὶ μετὰ τὴν ἔκπτωσιν τῶν ἐσχαρῶν ἐπὶ ἡμέρας μ̄ ἢ καὶ ξ̄ φυλάττειν ἀκατούλωτα τὰ ἕλκη. καὶ εἰ ταχύνει πρὸς ἀπούλωσιν, πάλιν τῇ ἀμπελίνῃ τέφρᾳ καὶ τῇ συκίνῃ καὶ τοῖς ὁμοίοις ἀναλύειν τὰ ἕλκη. καλὸν δὲ καὶ πράσου φύλλοις διὰ τοῦτο καταπλάσσειν καὶ τῇ ἀναγαλλίδι· αὕτη δὲ καὶ τοῖς ὑπὸ κεράστου δηχθεῖσι μεγάλως βοηθεῖ. καταντλεῖν δὲ χρὴ τὸ ἕλκος ἑψῶντα ἐν ὕδατι τὰ χαμαίμηλα καὶ τὴν τοῦ ὀξυλαπάθου ῥίζαν· καλεῖται δὲ ὀξαλίς. οἶδα δέ τινα πρεσβύτην, ὁπότε δηχθείη τις ὑπὸ κυνός, τῇ ὀξαλίδι μόνῃ θεραπεύοντα· καὶ γὰρ κατέχεε κατὰ τοῦ ἕλκους τὸ ἀφέψημα καὶ κατέπλαττε τῇ πόᾳ καὶ πίνειν ἐδίδου ἀπ' αὐτῆς καὶ σφόδρα ἐπῄνει ὡς ἰσχυρὸν τὸ φάρμακον. οὐροῦσι δὲ οἱ λαβόντες αὐτὴν ἄνθρωποι πολλὰ καὶ ἄκρατα· διὰ τοῦτο καὶ ἰκτερικοὺς αὐτῇ ἐκάθηρεν. ἡμεῖς δὲ καὶ λειχῆνας ἀφιστῶμεν αὐτῇ μετ' ὄξους τρίβοντες καὶ τοῖς κνησμοῖς ἐπιβοηθοῦμεν τῇ αὐτῇ ῥίζῃ. χρώμεθα δὲ αὐτῇ καὶ ἐπὶ λυσσοδήκτων σὺν τοῖς ἄλλοις βοηθήμασι. παραπλησίως δὲ ποιεῖ καὶ τὸ ἄγριον λάπαθον τὸ κεντρῶδες ῥίζαν ἔχον ὑπομήκη, οἷον ῥαφανὶς μικρά. εὐδόκιμον δὲ ἐπ' αὐτῶν φάρμακον τὸ Γαλήνειον τὸ διὰ τῆς Βρυττίας πίσσης· ἔστι δὲ τοῦτο· πίσσης Βρυττίας λι ᾱ ὀποπάνακος ℥ γ̄ ὄξους κοτύλαι β̄· μέρει τινὶ τοῦ ὄξους τὸν ὀποπάνακα λείου, τὸ δὲ λοιπὸν βαλὼν σὺν τῇ πίσσῃ, ἕψε ἕως δαπανηθῇ τὸ ὄξος καὶ ἐπίχεε τῷ λειωθέντι ἐν τῇ θυίᾳ ὀποπάνακι καὶ ἑνώσας ἀναλάμβανε καὶ ἐμπλάσας ἐπιτίθει τῷ τραύματι, χρώμενος αὐτῷ ἡμέρας μ̄ ἢ καὶ ξ̄. οὐκ ἐάσει γὰρ συνουλωθῆναι τὸ ἕλκος. ἀγαθὸν δὲ καὶ τῆς

1—5 δεῖ οὖν πρῶτον — γίγνεσθαι *cf. Philum. ib. 2 (6, 15—18) cf. Gal. de antid. II 15 (XIV, 198, 2)* 5 καίειν δὲ — πλατυτέροις *cf.* $Or.^a$ *ib. (ib. 19—20)* 22—25 εὐδόκιμον — λείου *cf.* $Or.^e$ *III 72 (432, 18—21)* 23—28 πίσσης *(alt.)* — ἕλκος $Or.^c$ *117 (IV 291, 2—5)* πίσσης — μ̄ *(28) Gal. de antid. II 11 (XIV, 172 15—173, 3)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω(S A^t) 2 ἐργάσασθαι P ω καὶ *post* ἐργ. *add.* L^a 2. 3 ...ροῦντες ω 3 ....νοντες ω 6 ἢ *pr.*] καὶ $P^a P^x M^o$ A ἄρτων L^a καρπῶ C^p ..πῶν P κρομμύοις P 7 σκοροΔ' P 8 ταχύνη $C^p P^x$ ...ναι ω 9 συκυίνη A σικύνη $M^o A^t$ 10 πρασσίου P^x πρασίου $P^a M^o$ ψ ω 11. 12 καταντλᾶν α, *exc.* P^a P 12 ἕψοντα P^a χ S ἑψοῦντας P ...ῶντας A^t 13 *ante* καλ.: δ P^x ω δὲ *om.* $P^x M^o$ ω 14 θεραπεύειν ω 15 κατὰ *om.* χ ψ ω κατέπαττε P^x A 16 ἐπαίνει P^x A οὔρουν $P^a M^o$ P οὖρον C^p 18 αὐτοὺς C^p αὕτη (αὐτὴ) $P^a P^x M^o$ ψ ω ἐκάθαιρεν $L^a M^o$ P S καθέρει P^x ..ίσταμεν C^p ...στᾶμεν P(M^o) 19 ...βοηθεῖν L^a 20 ....πλήσιον L^a 22 ῥαφανίδα A^t ῥεφανὶς $L^a C^p$ ..φάνης P^x A μικρᾶς P^x A A^t 23 βρυττίας *vel* βρυτίας *codd.* πίττης ψ ω 24 κοτύλου L^a ...λας P^a κοτυλ' A^t κοχ' P^x κ̄ο M^o P 25 λείοι C^p A ω ἕψαι P^x A ...ει P 26 ἐν *post* ἐπίχεε *add.* $L^a M^o$ 27 τῷ τραύματι *om.* ω αὐτῷ] ἀπὸ L^a 28 ἢ *om.* $M^o A^t$

δι᾽ ἐχιδνῶν θηριακῆς ἀντιδότου ἀναλύσαντας σὺν ῥοδίνῳ ἐλαίῳ ἐπιτιθέναι τῷ τραύματι καὶ πίνειν δὲ αὐτῆς οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρίς. καὶ ξηρὸν δὲ ἁρμοδιώτατον αὐτοῖς τοῦτο· ἁλῶν ὀρυκτῶν < κ̄ χαλκίτεως < ιϛ̄ σκίλλης < ιϛ̄ πηγάνου χλωροῦ < δ̄ ἰοῦ ξυστοῦ < δ̄ πράσου σπέρματος < ᾱ, ἀποτιθέναι ξηρανθὲν ἐν τῇ ἡλιώσει ἐν πυξίδι χαλκῇ. χρῶ πρῶτον ξηρῷ, ἵνα ἐσχαρωθῇ, εἶτα μετὰ ῥοδίνου, ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. καὶ ποταμογείτων μεθ᾽ ἁλῶν καταπλαττόμενος οὐκ ἐᾷ ἐμπίπτειν τῷ ὑδροφοβικῷ πάθει· χρῶ δὲ τῇ βοτάνῃ καὶ ὑγρᾷ καὶ ξηρᾷ. διδόναι δὲ τοῖς λυσσοδήκτοις καὶ πίνειν τῆς θηριακῆς ἀντιδότου ἐπὶ ἡμέρας τρεῖς τὰς πρώτας, καρύου Ποντικοῦ τὸ μέγεθος. οὐκ οἶδα γὰρ οὐδένα τῶν λαβόντων αὐτὴν ἁλόντα τῷ ὑδροφοβικῷ πάθει, οὐ μὴν οὐδὲ τῶν ἄλλων βοηθημάτων χρὴ ἀπέχεσθαι, ἀλλὰ διδόναι μάλιστα τὴν διὰ τῶν ποταμίων καρκίνων εὐδόκιμον ἀντίδοτον. ἔστι δὲ ἡ σύνθεσις αὕτη· καρκίνων ποταμίων εὐμεγέθων ζώντων ἐπὶ χαλκῷ ἐρυθρῷ ἀγγείῳ κεκαυμένων τῆς τέφρας ℔ ῑ γεντιανῆς ℔ ε̄ λιβανωτοῦ ℔ ᾱ. δεῖ δὲ σκευάζειν τὸ φάρμακον ἐν μηνὶ Αὐγούστῳ, ἡνίκα ὀκτωκαιδεκαταία ἐστὶν ἡ σελήνη. εἰ δὲ μὴ παρείη τὸ οὕτως σκευασθέν, οὐδενὸς τούτων φροντιστέον, ἀλλὰ σκευάσαντα τῷ τυχόντι καιρῷ, ὡς εἴρηται, διδόναι. καλὸν μέντοι ξύλοις ἀμπελίνοις ὑποκαίειν· δίδου δέ, εἰ ἀπ᾽ ἀρχῆς χρήσαιο τῷ προποτισμῷ, κοχλιαρίου πλῆθος σὺν ὕδατι θερμῷ ἄχρις ἡμερῶν μ̄. εἰ δὲ οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μεθ᾽ ἡμέρας τινάς, δίδου καθ᾽ ἑκάστην κοχλιάρια δύο, ἕως ἂν πληρώσῃς τὰς μ̄ ἡμέρας. ποιεῖ δὲ καὶ καθ᾽ ἑαυτὴν ἡ τέφρα τῶν καρκίνων πινομένη καὶ τῷ τραύματι ἐπιτιθεμένη μετὰ μέλιτος. Ἀντίδοτος ἡ διὰ καρύων. σκευάζεται δὲ ἀντίδοτος ἡ διὰ καρύων λεγομένη καὶ τοῖς ἤδη πυρέττουσι λυσσοδήκτοις ἁρμόζουσα· πρὸς γὰρ τῷ ἀντιπάσχειν τῷ πάθει ἐστὶ καὶ ὑπνοποιός. ἡ δὲ σύνθεσις αὕτη. σαγαπηνοῦ < β̄ ὀπίου Θηβαικοῦ < β̄ κρόκου γρ´ ᾱ ς λυκίου Ἰνδικοῦ γρ´ ᾱ ς σαρκὸς καρύων μὴ πάνυ παλαιῶν < μ̄, ἀναλάμβανε καὶ δίδου

3—6 ξηρὸν — ἐσχαρωθῇ *Paul. V 3 (9, 19—22)* 9 διδόναι — ἀντιδότου *cf. Paul. ib. (ib. 10, 12—13)* 12—22 διδόναι — κοχλιάρια δύο *cf. Or*ᵉ *ib. (ib. 11—18) Or.*ᶜ *ib. (ib. 291, 21sq.) Paul. ib. (ib. 10, 7sqq.)* 14—24 καρκίνων ποταμίων — μέλιτος *cf. Philum. ib. (5, 16sqq.) Gal. de simpl. med. temp. etc. XI, 24 (XII, 356, 9sqq.); de antid. II 15 (195, 12sqq. [ex Damocrate])*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 *post* ἀντιδ.: τῆς μεγάλης P^x ἀναλύσαντες S ....τα P^a χ ψ A^t 2 *post* τραύμ.: Ἄλλη σκευασία θηριακῆς πρὸς λυσσοδήκτους· ναρδοστάχ⟨υος⟩ παιωνίας κινναβάρεως — ἐπιχρίειν δὲ καὶ τὸ δῆγμα ἀπὸ τῆς ἀντιδότου P^x καὶ πίνειν — τρίς *om* χ ψ ω 3 <] οὐλκὰς P^x κ̄] η̄ ω 4 ιϛ̄ *pr.*] ιγ̄ P^a ῑ P^x A ἰοῦ ξ. < δ̄ *om.* M^o P πράσου *v. supra* 5 σπέρμα M^o A^t λειώσει α, *correxi* 6 ξηρὸν ω 9 καὶ πίνειν *om.* P^x *post* ἀντιδ.: τῆς μεγάλης καὶ τῆς ἑτέρας τῆς διυπαγορευούσης πίνειν P^x 12 οὐδὲ *om.* C^p M^o P δεῖ P^a χ ψ *om.* ω 15 λιβάνου ἢ τίμου L^a λ. ἀτόμου P^a χ A *m. 2ª* S λ. αὐτομάτ⟨ου⟩ P λ. *tantum* A^t λιβανωτοῦ *corr. ex Or.*ᵉ 17 οὕτω χ P τοισύτω A 18 ...σαντι C^p ...τας P 19. 20 ...σαιτο φ C^p M^o A ω ἡμέρας χ P ω δόσεις L^a 21. 22 καθ' ἑκ. *om.* C^p P^x A 22 ἕως — ἡμ. *om.* C^p M^o P 24 Ἀντίδ. — καρύων] ἡ διὰ κ. ἀντίδ. S *om.* P^a χ ψ A^t *ante* ἀντίδ. *alt.*: ἡ M^o ω ἀντίδ. *post* λεγομ. P^x P 26 τῷ *pr.*] τὸ C^p P^x A 27 αὕτη] αὐτῆς ἐστιν αὕτη (M^o) P^x ω 27. 28 λυκίου — γρ´ ᾱ ς *om.* P^x A 28 ᾱ] ῑ ᾱ A^t *om.* P σαρκῶν P^x A

< ᾱ cὺν ὕδατι ὀμβρίῳ θερμῷ εἰc νύκτα, μετὰ τὴν ἀκμὴν τοῦ πυρετοῦ, ὥcτε ἕωθεν μὲν τῆc διὰ καρκίνων, εἰc ἑcπέραν δὲ τῆc διὰ καρύων. μὴ παρόντων δὲ τούτων δίδου τοῦ κύφεωc, εἴτε τοῦ διὰ τῶν λϛ̄ ἔχοιc, εἴτε τοῦ διὰ τῶν κη̄. ὠφέλιμοc δὲ καὶ ὁ Κυρηναικὸc ὀπὸc ἢ ὁ Παρθικὸc ὅcον κυάμου μέγεθοc καταπινόμενοc. τινὲc δὲ τὸ ἧπαρ αὐτοῦ τοῦ δακόντοc κυνὸc ἑφθὸν διδόαcι τῷ δηχθέντι καὶ τῆc αἰθυίαc δὲ τοῦ ὄρνιθοc τὸ ἧπαρ ὀπτὸν διδόμενον cὺν ἐλαίῳ καὶ ἅλατι ὀλίγῳ ὠφέλιμον γίγνεται· φαcὶ γὰρ οὕτωc ἐνεργὲc αὐτὸ εἶναι, ὥcτε τὸν πάcχοντα παραχρῆμα αἰτεῖν ὕδωρ· καὶ ἱππόκαμποc δὲ θαλάττιοc ὀπτὸc ἐcθιόμενοc ὠφελεῖ· ἔρωτα γάρ φαcιν ὕδατοc παρέχειν τὸ αὐτοῦ αἷμα καὶ ἀντιπάcχειν τῷ φόβῳ τοῦ ὕδατοc, ὅθεν καὶ δεύτερον καὶ τρίτον ἀναγκάζουcιν ἐcθίειν τὸν ἱππόκαμπον. καὶ αὐτοὺc δὲ τρίψαντεc τοὺc ἱπποκάμπουc μετ᾽ ὄξουc δριμέοc καταπλάccουcι τὸ ἕλκοc καὶ ἐκράτηcαν τούτῳ τῷ φαρμάκῳ πολλάκιc τῆc λύττηc καὶ cκύλακοc δὲ πυτία cὺν ὕδατι διδομένη ὠφελιμώτατον αὐτοῖc ἐcτι τὸ ποτόν, κἀπειδὰν ἅπαξ αὐτῷ προcάρωνται, κινεῖ cυνεχῶc αὐτοῖc ἐπιθυμίαν ποτοῦ καὶ πίνουcιν καὶ ἕτερόν τι τῶν ὑγρῶν ἀδεῶc· δεῖ δὲ οὐ πολλῶν ἡμερῶν τὸν cκύλακα εἶναι, ἀλλὰ νεωcτὶ τεχθέντα καὶ τεθηλακότα τὴν μητέρα. ὠφελεῖ δὲ αὐτοὺc καὶ ἡ λευκάνθεμοc πόα ποτιζομένη· τοcαύτη δὲ δύναμιc αὐτῇ ὑπάρχει, φαcίν, ὅτι καὶ ὑποχριομένου αὐτῇ τοῦ πυθμένοc τοῦ ποτηρίου καὶ διδομένου δέχεcθαι αὐτοὺc τὸ ποτὸν ἡδέωc. τὸ αὐτὸ λέγεται ποιεῖν καὶ τὸ χαμαίμηλον. ὠφελιμωτάτη δὲ αὐτοῖc ἐcτι καὶ ἄcφαλτοc Ἰουδαικὴ πινομένη μεθ᾽ ὕδατοc κυάθων γ̄· δίδου αὐτοῖc τοῖc τελείοιc Γρ ᾱ, ἐν ἄλλῳ < ᾱ· ἄκρωc ποιεῖ. ὠφελίμωc δὲ δίδοται καὶ τῆc ἀγρίαc cυκῆc ὁ φλοιὸc τῶν ῥάβδων ξηραινόμενοc καὶ κοπτόμενοc καὶ ποτιζόμενοc cὺν ὕδατι καὶ τὸ λύκιον τὸ Ἰνδικὸν καὶ τὸ ἀψίνθιον καὶ τὸ cκόρδιον καὶ τὸ μικρὸν κενταύριον ἀριcτολοχία ἀρτεμιcία χαμαίδρυc

5. 6 τινὲc δὲ — δηχθέντι *cf. Gal. de simpl. med. temp. etc. XI, 10 (XII, 335, 12sqq.) Or.*^{a} *ib. (ib. 30—252, 1) Paul. ib. (ib 10, 15—16)* 25—*p. 168, 2* ποτιζόμενοc — cυνεψομένου *cf. Or.*^{a} *ib. (ib. 251, 22—25)*

φ(L^{a}P^a) χ(C^{p}P^{x}M^o) ψ(AP) ω(SA^t) 2 τῆc *pr.*] τὴν ω τῆc *alt.*] τὴν A^t 3 *post* δίδου; τὴν τοιαύτην ἀντίδοτον ἥτιc ἐcτὶν P^x εἴτε τοῦ *om.* P^x λϛ̄] λε̄ P πεντήκοντα δηλονότι ιδ̄ P^x 3. 4 ἔχοιc — κη̄] (*in marg.* Ἀντίδοτοc τοῦ κηφέου) λίθ⟨ου⟩ γαγάτ⟨ου⟩ ου^{ΓΓ} γ̄ ἐλενίου ου^{ΓΓ} ϛ̄ ἀcπαλάθου φλοιοῦ ου^{ΓΓ} ζ̄ κτλ. P^x ἔχειc P A^t 5 ὅcον κυάμου] ὀώcκυάμου A^t ὅων κυάμου S ὑοcκυάμου *Ald.* 6 δάκνοντοc P^x A αἰθυίηc χ ψ ω 7 ἅλατοc ὀλίγου φ χ ω 10 ἔρωτα — αἷμα] ἐφίεται γάρ φηcιν ὕδατ⟨οc⟩ παρέχον τὸ αὐτοῦ αἷμα, *in marg.* Γ^p′ ἔρωτα — αἷμα P 10. 11 ...πάcχει S 12 τριψαντας ω 13 ...πλάττουcι L^a *tant.* ἐκράτηcαc L^a *tant.* τούτῳ *om.* ω 14 λύccηc P^a P ω πιτύα φ A A^t πιτύαc P^x M^o πηττία P 15 τὸ *om.* P^a P^x M^o ψ ω αὐτὰ P^x A ...τὸ M^o P ...τῶν A^t 15. 16 προcᾰρειν τε P^x ...cάρονται M^o ....ηνται A ...cάγωνται S 17 ἡδέωc C^p P^x 19 ...θερμοc L^a ....θεcμοc C^p τοcαύτην ..δύναμιν C^p P^x ψ 20 ...άρχειν L^a C^p M^o A ἐνυ...χειν P φηcιν ω ὑπο....μένη P^a P^x A S ὑπο-....μένην (*ex* ὑπερχ. *ut vid.*) M^o αὐτὸ L^a ...ὴν M^o A^t 21 *ante* αὐτὸ: δὲ A *id. post* P 22 καὶ *pr. om.* P ω καὶ *alt. om.* χ ψ ω 23 κο$^{χ′}$ P^x κοτύλαc A αὐτῆc C^p P *id. ex* ...οῖc P^a 24 ὠφέλιμοc C^p P^x *m. 1*^{a} S 27 cκόροδον P^a cκορ$^{Δ′}$ P χαμαίδρυον A ...μαι$^{δρ′}$ A^t ....δρίου P^x

βρυωνίας ῥίζα πόλιον λάcαρ καρκίνων ποταμίων ἀφέψημα ἀνήθου πολλοῦ cυνεψομένου. ὑποcτρώννυται δ' αὐτοῖc ὠφελίμωc καὶ ἐπιβάλλεται ἄρκτου δέρμα καὶ φώκηc, μάλιcτα δὲ ὑαίνηc· ἐναργέcτατον δέ ἐcτιν, ὥcτε ἐπιβληθὲν αὐτοῖc ταχεῖαν τὴν τῆc γνώμηc ἀποκατάcταcιν ποιεῖcθαι καὶ καιόμενον δὲ τὸ δέρμα τῆc ὑαίνηc καὶ διδομένηc τῆc τέφραc ἐν ποτῷ παύει τὸ ὑδροφοβικὸν πάθοc. διάγνωcιc δέ cοι ἔcτω τοῦ ἀπηλλάχθαι τοῦ κινδύνου τὸν ἄνθρωπον ἐκ τούτων· κατάπλαττε τὸ ἕλκοc καρύοιc βαcιλικοῖc λειοτάτοιc, τῇ δὲ ἑξῆc ἐπιλύcαc, παράθου τὸ κατάπλαcμα εἰc βρῶcιν ἀλεκτρυόνι ἢ ἀλεκτορίδι· εἰ γὰρ φαγοῦcα ἡ ὄρνιc μὴ ἀποθάνῃ, τότε εἰc οὐλὴν ἄγε τὸ ἕλκοc, ὡc ἀπηλλαγμένου τοῦ κινδύνου τοῦ πάcχοντοc. χρῶ δὲ εἰc διάγνωcιν τῷ αὐτῷ ἐξ ἀρχῆc. εἰ γὰρ ἡ φαγοῦcα ὄρνιc τὸ ἐκ τῶν καρύων ἐν τῇ πρώτῃ ἡμέρᾳ ἐπιτιθέμενον τῷ ἕλκει κατάπλαcμα μὴ ἀποθάνῃ, γίγνωcκε μὴ ὑπὸ λυccῶντοc δηχθῆναι· εἰ δὲ ἀποθάνῃ, τοὐναντίον· ὡc ἐπίπαν γὰρ τοῦ πρώτου οὐδ' ἅψεται. εἰ δὲ ὑπὸ λιμοῦ βιαcθεῖcα φάγοι, τελευτήcει, εἴ γε λυττῶν εἴη ὁ κύων. τοῦτο οὖν καθ' ἑκάcτην ἀλλάccειν χρή, μέχριc οὗ φαγοῦcα ἡ ὄρνιc μὴ ἀποθάνῃ. cυνουλοῖ δὲ τὸ ἕλκοc κάλλιcτα καὶ ἀcφαλέcτατα ἡ θηριακὴ ἀντίδοτοc μετὰ ῥοδίνου ἀνιεμένη. cυνουλωθέντων δὲ τῶν ἑλκῶν ἐλλέβορον τὸν λευκὸν διδόναι πρὸc ἀναcκευὴν παντὸc τοῦ πάθουc. καὶ γὰρ οἱ λυccῶντεc κύνεc τοῦτον μετὰ ἀλφίτων φαγόντεc ἐμοῦcι καὶ αὐτίκα cωφρονοῦcιν ἀπαλλαγέντεc τῆc λύττηc. γένοιτο δ' ἂν τὸ δέον καὶ εἰ κάτω καθαίροιc τῇ 'Ρούφου ἱερᾷ, ὅταν τι κωλύῃ λαβεῖν τὸν ἐλλέβορον· διδόναι δὲ καὶ ἐφ' ἡμέρᾳ πίνειν τῆc ἱερᾶc, οὐκ εἰc κάθαρcιν, ἀλλ' ὥc τι ἀλεξίκακον φάρμακον ὅcον καρύου Ποντικοῦ τὸ μέγεθοc μετὰ κυάθου ἀφεψήματοc ἐλελιcφάκου ἢ τῆc cιδηρίτιδοc πόαc τῆc 'Ηρακλείαc καλουμένηc. χρῶνται δὲ αὐτῇ τινεc καὶ μόνῃ καί φαcιν ἱκανῶc βοηθεῖν, διὰ τοῦτο καὶ ἄλυccον ταύτην τὴν πόαν ὀνομάζουcι. διαιτᾶν δὲ ἐνδείαc καὶ πληcμονὰc φυλαccόμενον, καὶ μᾶλλον τὰc ἐνδείαc· ἐπιτείνουcι γὰρ αἱ ἔνδειαι τὰc κακίαc

6—*p. 169, 15* διάγνωcιc — τρεῖc *Ruf. id. 371—375* 24—29 διδόναι — ὀνομάζουcι *Or.^{a} ib. (251, 26—29) cf. Paul. ib. (ib. 10, 13—15)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 2 cυνεψουμένου P ...ψημένον S 3 *ante* ὑαίνηc: καὶ M^{o} ω ἐνεργ. P^{a} χ A δέ] γάρ P *om.* P^{a} χ A ω 4 *post* ταχ.: αὐτοῖc ω 5 ποιῆcαι ω 6 παύεται P ..ύειν ω 7 τοῦ κινδ. *om.* P^{a} A^{t} 7—11 τὸν ἄνθρωπ. — κινδύνου *om.* A 8 *post* λειοτ.: ἐπίπαccε τὸ ἕλκοc ἑcπέραc καὶ δῆcον P^{x} 10 ἡ *om.* P^{x} ....θάνει P^{a} S ...νοι A^{t} 11 ἐξαχῶc L^{a} 12 ἡ *om.* P^{a} ω *ante* ὄρνιc: ἡ P^{a} A^{t} 13 τῷ ἕλκει *om.* L^{a} ...θάνει A^{t} ...θα(ν΄) S ...νοι *Ald.* 14 ...θάνει ω ...ο(θν΄) P^{x} ..νοι C^{p} A τοὐναντ.] ὑπὸ λυccῶντοc κυνόc ἐcτι καί ἐcτι τἀναντίον φανέρωcιc P^{x} *post* γὰρ: ἐάν ἐcτιν λυccῶντοc κυνόc P^{x} τοῦ πρ. *om.* P^{x} 15 ἅψηται φ λοιμοῦ P^{a} λοἱμοῦ P^{x} βιαcθεὶc P^{a} ...ὲν C^{p} M^{o} ω 16 εἶ M^{o} ἦν P 17 ...άνοι ω 20 'Ρούφου *post* πάθουc *add.* φ ω *in marg.* P 21 λύccηc C^{p} ω 23 κωλύει P^{a} A ω ...ειν P^{x} ἐφημέραν P^{a} P ω πίνειν *om.* P^{a} A^{t} τὴν ἱερὰν P 24 ὅc τι P^{a} ὥτε P^{x} ὅτι A ω 25 τὸ *om.* P^{a} C^{p} M^{o} A 28 τὴν πόαν *om.* P^{a} ω 29 αἱ *om.* M^{o} ω

τῶν χυμῶν, ὅπερ οὐδαμῶς ἐπιτήδειον ἕλκει πονηρῷ. ὅθεν μετριάζειν δεῖ τὴν τροφήν, ὡς ἂν καὶ πέσσοιεν καλῶς καὶ εὐχυμότατον γένηται τὸ σῶμα. ἐπιμελεῖσθαι δὲ καὶ διαχωρήσεων τῶν πρὸς ἡμέραν καὶ οὐρήσεων. τοῦτο δὲ ποιοῦσι καὶ αἱ προειρημέναι ῥίζαι καὶ σκάνδιξ ἐσθιόμενον καὶ μάραθρον. τὸ δὲ κρῆθμον καὶ τὴν γαστέρα καὶ τὰ οὖρα κινεῖ. τὸ δὲ κιχώριον μάλιστα τὸ ἄγριον καὶ εὐστόμαχόν ἐστιν ὠμὸν ἐσθιόμενον· καλοῦσι δὲ αὐτὸ ἔνιοι σέριν ὅ ἐστι πικρίς. ἐπιτήδειος δὲ καὶ ὁ τῆς κράμβης ἀσπάραγος καὶ ὁ ἕλειος καὶ τὸ λάπαθον τὸ κηπαῖον καὶ τὸ ἄγριον καὶ τὸ ὀξυλάπαθον καὶ τῶν ἰχθύων οἱ ἁπαλόσαρκοι καὶ ἀστακοὶ καὶ καρκῖνοι καὶ ἐχῖνοι πρόσφατοι μετ᾿ οἰνομέλιτος· κρεῶν δὲ τὰ ἄκρεα καὶ ὄρνιθες πάντες οἱ ὄρειοι καὶ εὔπεπτοι καὶ εὔχυμοι, οἶνος λευκὸς καὶ λεπτὸς μὴ πάνυ παλαιός· προφυλακῆς δὲ χάριν κατ᾿ ἐνιαυτὸν ἐγγίζοντος τοῦ καιροῦ προκαθαίρεσθαι δεῖ τῇ ἱερᾷ καὶ ἐνστάσης δὲ τῆς ἡμέρας λαμβάνειν τῆς θηριακῆς ἀντιδότου ἐπὶ ἡμέρας τρεῖς.

Περὶ φλεγμονῆς ἐγκεφάλου. φλεγμαίνων ὁ ἐγκέφαλος οἰδᾷ κε
πολλάκις, ὥστε καὶ τὰς ἐν τῇ κεφαλῇ ῥαφὰς διίστασθαι. καὶ ὀδύνην μεγίστην καὶ διακαῆ ἐπιφέρει θλιβομένων τῶν μηνίγγων. παρέπεται δὲ καὶ ἄση πολλὴ τοῦ στομάχου καὶ χολῆς ἔμετος ἔρευθός τε πολὺ κατὰ τοῦ προσώπου συνίσταται καὶ οἱ ὀφθαλμοὶ προπετεῖς γίγνονται καὶ οἰδᾷ τὸ πρόσωπον καὶ ἡ κεφαλὴ πᾶσα. φλεβοτομεῖν δὲ χρὴ τούτους ἀπ᾿ ἀγκῶνος· δεῖ δὲ καὶ ἀπὸ ῥινῶν καὶ τῶν ὑπὸ τὴν γλῶτταν φλεβῶν αἷμα κενοῦν. χρῶ δὲ καὶ ταῖς πρὸς φλεγμονὰς κατὰ τῆς κεφαλῆς διαβροχαῖς καὶ καταπλάσμασι τοῖς ὑγραίνειν καὶ πεπαίνειν δυναμένοις.

Περὶ ἐρυσιπέλατος ἐγκεφάλου. γίγνεται δὲ καὶ ἐρυσίπελας ἐν κς
ἐγκεφάλῳ καὶ πάσχει ὁ κάμνων τάδε· ἀλγεῖ τὴν κεφαλὴν πᾶσαν καὶ δοκεῖ φλόγα ἐν αὐτῇ ἔχειν καὶ τὸ πρόσωπον αὐτοῦ ψυχρόν ἐστι καὶ τὰ ὑποχόνδρια καὶ ξηραίνεται τὸ στόμα. φλεβοτομητέον οὖν καὶ τούτους καὶ μάλιστα τὰς ὑπὸ τὴν γλῶτταν φλέβας δίελε καὶ πρόσφερε

5. 6 τὸ δὲ κρῆθμον — κινεῖ *Or.*^{a} *ib. (ib. 251, 29—30)* 16 *Cap.* κε = *Or.*^{a} *VIII cap. 10 [ex Philum.] (250—251) Paul. III 7 (I 146)* 26 *cap.* κς = *Or.*^{a} *VIII cap. 11 (251) Paul. III 8 (ib. 146—147)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 2 πέσοιεν L^{a} P^{x} πέττοιεν P^{a} C^{p} ψ πέσοι μὲν M^{o} πέψοιε A^{t} ...ειε S *correxi* 3 προημέραν P^{x} A A^{t} 4. 5 ἐσθιόμενος P^{a} χ ψ ....μένη *(recte)* A^{t} 5 κρῖθμον C^{p} P^{x} ψ S 7 σέριν *om.* C^{p} M^{o} A ὅ ἐστι] ἔνιοι δὲ P *om.* χ A πικρίδα C^{p} M^{o} ψ ω ..κράδα P^{a} ἐστι *post* δὲ *alt add.* L^{a} 8 τὸ *pr. om.* P^{x} ψ 9 καὶ τὸ ἄγριον *om.* L^{a} 12 λεπτὸς καὶ λευκὸς P ω 15 *post* τρεῖς: ἐφορ⟨μ⟩αίνων δὲ ὁ ἱερεὺς ἐπεύχεται καὶ σφαγίζει τὸ ὕδωρ — ὕβρισα δέδι *[ed. A. Olivieri, Phil. Woch. 1938, 621—622]* Περὶ μὴ λυττῶντος — λιθάργυρον λεῖον μεθ᾿ ὕδατος κατάχεε P^{x} 16 ἤδη P^{x} οἶδα P^{a} A ω οἰδιᾷ *cett. corr.* 18 *ante* μεγ.: δὲ C^{p} P^{x} ψ διαρκῆ (...εῖ) C^{p} M^{o} P *(Or.)* ἐπιφέρη P^{a} ...ρειν P 19 ἄσης πολλὰ (πολλὰ *om.* A^{t}) A^{t} *Ald.* πολὺς α *correxi* 21 οἰδεῖ A *Or.* οἰδαίνει P^{a} ω οἰδιᾷ *cett. v. ad l. 16* 22 *ante* ῥινῶν: τῶν ω *post* ῥιν.: ἀφαιρεῖν αἷμα P^{x} 23 *post* καὶ: ὅσα P^{x} ταῖς *om.* P^{x} 23. 24 κατὰ — καταπλάσμασι] ἐμβροχαῖς οἷον σάνδαλον ἀείζωον — καὶ τὰ τούτοις ὅμοια καὶ ὅσα P^{x} *ante* κατὰ: καὶ ω 24 ὑγραίνουσι P^{x} ω 25 *post* δυναμ.: καταπλάσμασιν P^{x} 26 ἐγκεφάλου] ἐν ἐγκεφάλω P^{a} C^{p} *(Or.)* δὴ P^{a} *om.* C^{p} M^{o} ω 28 ψυχρόν] ὠχρόν P^{x} 29 τὰ ὑποχόνδρια] ὕπωχρον *Or.* καὶ *pr. om.* ω 30 τῇ γλώττῃ C^{p} M^{o} ψ S τῇ ...σσῃ A^{t}

ἔξωθεν τῇ κεφαλῇ τὰ ψύχοντα χρίσματα καὶ τροχίσκους δὲ οἷς ἐπὶ τῶν ἐρυσιπελάτων χρώμεθα.

κζ Περὶ ἀποπληξίας ἐκ τῶν Γαληνοῦ. ἡ ἀποπληξία διὰ τὴν ἐξαίφνης γένεσιν ἐνδείκνυται χυμὸν ψυχρὸν ἢ παχὺν ἢ γλίσχρον πληροῦντα τὰς κυριωτέρας τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν, οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίγνεσθαι. τεκμαίρου τοίνυν τὸ μέγεθος τοῦ κινδύνου τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὅταν γὰρ ἱκανῶς ἐμποδιζομένην ἴδοις τὴν ἀναπνοὴν καὶ μόγις γιγνομένην, οὐ σμικρὰν τεκμαίρου τὴν νοσώδη διάθεσιν τῷ ἐγκεφάλῳ γεγονέναι. ἔστι δὲ ἡ ἀποπληξία ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν αἰφνιδίως ἐπιπίπτουσα.

Περὶ ἀποπληξίας ἐκ τῶν Ἀρχιγένους. τὸ τῆς ἀποπληξίας πάθος μέγα τέ ἐστι τῇ φύσει καὶ δεινῶς ὀξὺ καὶ συμβαίνει τοὺς τὸν κίνδυνον ἐκφεύγοντας πρῶτον μὲν χρονίῳ περιπεσεῖν νόσῳ, παραλύσεως τινῶν μορίων ἢ καὶ τοῦ παντὸς σώματος ἀπολειπομένης ἢ καὶ τῆς διανοίας ἀπομωρώσεως. πρεσβύταις δὲ μᾶλλον τὸ πάθος συμπίπτει καὶ ἐν χειμῶνι μᾶλλον καὶ καταστάσει ψυχρᾷ καὶ ἐξ ἀπεψιῶν σφοδρῶν καὶ ἐγκαύσεων καὶ οἰνώσεων ἀμέτρων· καταψύχει γὰρ τὰ τοιαῦτα τὴν ἕξιν καὶ ἁπλῶς εἰπεῖν οἱ τῷ πάθει περιπεσόντες ζῶντές εἰσι μετὰ νεκρώσεως ἢ καὶ παντελοῦς ἀναισθησίας. πρῶτον μὲν οὖν τὸ σῶμα ἐλαίῳ θερμῷ λιπαίνειν, τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μετ' ὄξους. προαφεψεῖν δὲ τῷ ὄξει ἕρπυλλον ἢ σπονδύλιον καὶ ὀσφραντὰ δὲ προσάγειν καστόριον καὶ ὀποπάνακα χαλβάνην. διανοίξαντας δὲ τὸ στόμα μελίκρατον ἐνστάζειν καὶ πτερὰ μάλιστα ἐλαίῳ κυπρίνῳ ἢ ἰρίνῳ ἢ ναρκισσίνῳ διάβροχα καθιέναι καὶ ἔμετον ἐρεθίζειν καὶ τὴν ἕδραν διαχρίειν συνεχῶς πηγάνῳ καὶ κυμίνῳ μετὰ νίτρου καὶ μέλιτος, προσκαλουμένους τὰ πνεύματα. εἰ δὲ μηδὲν ἀνύῃ ταῦτα, χρῆσθαι κλυστῆρσι δι' ἀφεψήματος πιτύρων καὶ σικύου ἀγρίου ῥίζης καὶ κενταυρίου νί-

3—9 ἡ ἀποπληξία — γεγονέναι *Gal. de loc. aff. III 11 (VIII 200, 9—13, 17—18, 201, 13—16)* 9—11 ἔστι — ἐπιπίπτουσα *cf. Gal. de symptom. diff. 3 (VII, 59, 1—5); [id.] def. med. 244 (XIX, 415, 10 sqq.)* 20—*p. 171, 1* πρῶτον — πηγανίνῳ *cf. Or.*[a] *(ex Philum.) VIII 5 (248, 1—9)* 20—27 πρῶτον — πνεύματα *cf. Paul. III 18 (162, 3—10)* πρῶτον κτλ. *cf. Aret. V 4 (104, 7 sqq.)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 δὲ *om.* χψω 2 ἐρυσιπελατωδῶν P^x A 4 ψυχ. παχὺν P παχὺν ἢ ψυχρὸν ω *post* γλίσχρον: ἀθρόως P^x A *(Gal.)* πληροῦντας $L^a A^t$ 5 κοιλίας P^x A 8 μόνης L^a μόλις P ω 10 τοῦ *om.* L^a 11 βλάβης] καὶ $P^x M^o$ P *post* ἐνεργ.: καὶ τῆς ἀναπνοῆς P^x *post* ἐπιπίπτ.: Περὶ ἀποπληξίας Ποσειδωνίου + Περὶ ἀποπληξίας καὶ ἡμιπληγίας Ποσειδωνίου + Τῆς μὲν κοινῆς ἀρχῆς τῶν νεύρων — μεγάλην δηλοῖ τὴν ἀνάγκην *[ed. A. Olivieri, Framm. med. Nap. 1940]* P^x 12 Περί — Ἀρχιγένους] Ἀρχιγένους (*in marg.* Θεραπεία ἀποπληξίας καὶ ἡμιπληττίας Ποσειδωνίου καὶ Ἀρχιγένους) P^x Ἐκ τῶν Ἀρχιγένους περὶ ἀποπληξίας $P^a C^p M^o$ A ω 13 τέ *om.* ω 15. 16 ἀπολειπ. — ἀπομωρώς.] τῆς μωρώσεως τῆς διανοίας λειπούσης P^a 16 *post* μᾶλλον: καὶ καταστάσει ψυχρᾷ P^x A 17 *post* ἀπεψιῶν: ψυχρῶν καὶ L^a 18 *post* ἐγκ.: σφοδρῶν *m. 1*[a] S *(Ald.)* γὰρ] δὲ P A^t 20 καὶ *om.* P^x A 22—*p. 172, 18* καὶ ὀσφραντὰ — οὐκ ἔστι δὲ ἐπὶ *om.* P^a 23 *ante* χαλβ.: καὶ ω διανύξαντες L^a ...νοίξαντα (νύξ. $C^p M^o$) P^x A ω 26. 27 προκαλ. M^o προσ...ούμενοι *cett. codd., exc.* P 27 εἰ δὲ — ταῦτα *om.* P^x A ἀνύοι $C^p M^o$ *ante* κλυστ. δὲ P^x A

τρου τε καὶ μέλιτος ἢ ἅλμῃ cὺν μέλιτι καὶ ἐλαίῳ πηγανίνῳ. ἀγωνιcτέον δὲ ὅπωc ἐκδοθῇ τὸ ἐνεθέν, τρίβονταc τὴν ὀcφὺν καὶ τὴν κοιλίαν καί, εἰ δέοι, καὶ δακτύλουc ἐν τῇ ἕδρα καθιέναι καὶ τὰ ἐμφράγματα κομίζειν. τούτων δὲ πραχθέντων φλεβοτομεῖν χρὴ προειπόνταc ὑπὲρ τοῦ κινδύνου. ἡ δὲ ἀφαίρεcιc τῆc δεξιᾶc χειρὸc γιγνέcθω καὶ μεμερίcθω τὸ πλῆθοc τοῦ ἐκκρινομένου. cυγκινεῖν cε γὰρ χρὴ μόνον, οὐ καταλῦcαι τὴν δύναμιν καὶ τὸ θερμὸν ἀποcβέcαι. ἐφορᾶν δὲ δεῖ καὶ τοὺc cφυγμοὺc ἐν τῇ κενώcει καὶ τὸ χρῶμα τοῦ προcώπου καὶ τὴν ἀναπνοήν· καὶ εἰ μηδὲν χεῖρον ἐπακολουθοίη, καὶ ἐπαφαιρεῖν. μετὰ δὲ τὴν φλεβοτομίαν ὀcφραντὰ διεγερτικὰ προcάγειν καὶ ἐμβοᾶν. τό τε cῶμα ὅλον λελιπάνθω· καὶ εἴ τι μέλοc παρεθείη ἐπιcήμωc, πιλήμαcι κατειλήφθω τοῖc ἀπὸ Cικυωνίου ἢ λιπαροῦ τε καὶ παλαιοτέρου ἐλαίου. τοὺc δὲ οὐκ ἐπιτηδείωc ἔχονταc πρὸc φλεβοτομίαν πρῶτον μέν, ὡc εἴρηται, τὸν ἔμετον κινήcαντεc καὶ διαχρίcαντεc τὴν ἕδραν, ὡc εἴρηται, τοῖc πνευμάτων ἀγωγοῖc, cικύαιc διαcείειν ἐπειράθημεν μετὰ τὰ διαχρίcματα, ὄπιcθεν κατὰ τῶν κενεώνων ἤτοι λαγόνων κολλήcαντεc μεγάλαc καὶ cφοδρὰc καὶ χρόνον τινὰ παρελκύcαντεc μετεθήκαμεν αὐτὰc ἑκατέρωθεν περὶ τὸ ἦτρον φέροντεc. ἐξέθλιψαν γὰρ πολλάκιc τὰ κατὰ τὴν κοιλίαν καὶ ἅμα ὑπὸ τῆc θλίψεωc ἀνεκαλέcαντο τοὺc κατειλημμένουc. μηδὲν δὲ ἀνυουcῶν, αὐτοῖc ποτε ἐτολμήcαμεν ἐγχέαι τῷ cτόματι τῆc ἱερᾶc. ἀδυνατούντων δὲ παραδέχεcθαι ὅcον δεῖ διὰ κλυcτῆροc ἐνείκαμεν καὶ πρὶν φθάcαι τὰ τῆc ἐκδόcεωc, cυνδραμόντα ἀνεκαλέcαντό μοι τὸν μεταχειριcμόν. καὶ ἐπιτρέπει τὸ πάθοc καὶ ἀναγκάζει παραβόλωc ἐπιχειρεῖν. ταῦτα μὲν οὖν ὡc ἐπὶ τῆc ἀνάγκηc οἰκονομεῖται. δυνηθέντων δὲ ἀνενεγκεῖν, cυναπτέα τὰ λοιπὰ βοηθήματα. πυρετὸc μέντοι καταλαμβάνει τοὺc μὲν ἐπὶ τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ καὶ γίγνεται πρὸc ἐλπίδα τῆc cωτηρίαc ἡ τοῦ πυρετοῦ cυμφορά, ἀλλ᾽ οὐδ᾽ ἀμελητέον· ἀλλ᾽ ὑποκειμένων τινῶν τοῖc ἐντέροιc

4 τούτων δὲ — χρὴ *Gal. de cur. rat. per venae sect. 7 (XI, 271, 4—5) Or.*[a] *ib. (ib. 9)* 9. 10 μετὰ δὲ — προcάγειν *Or.*[a] *ib. (ib. 9—10)* 26—28 πυρετὸc — cυμφορά *cf. Gal. in Hippocr. Praedict. l. I Comm. II 84 (XVI, 673, 8sqq. = CMG V 9, 2 p. 90, 18sqq.)*

φ (L[a]) χ (C[p] P[x] M[o]) ψ (A P) ω (S A[t]) 1 ἅλμηc C[p] P ἅλαc P[x] ἅλμην ω ἐλαίου ....νίνου φ C[p] P[x] ψ S 2 *post* δὲ: καὶ πολλ⟨ὰ⟩ cπουδαcτέον P[x] 3 καὶ *alt. om.* C[p] M[o] ἐκφραγ. L[a] 4. 5 ὑπ. τ. κινδ.] πρὸ τ. κινδ. P[x] τὸν κίνδυνον ω 5 *post* ἀφ.: τοῦ αἵματοc ἐκ P[x] 6 τῷ πλήθει A[t] cυγκ. cε] ...κινῆcαι χ ψ ω ...κινεῖcθαι *Ald.* χρὴ] δεῖ χ ψ ω 7 δεῖ *om.* ω 9 ....λουθείοι P[x] A ....θείη ω 10 ὀcφραντικὰ ω ἐκβοᾶν A ω 11 ἐκπιλήμμαcι (...λήμαcι) ω 12 ἄγαν παλαιοτ. P[x] παλαιοῦ ω *post* ἐλαίου: Cκευαcία cυκυωνίου ἐλαίου κόμητοc Ἀνδρέου. ἐλαίου γλυκέοc ξ F̄ τήλ⟨εωc⟩ ουΓΓ´ δ̄ λιβανωτίδοc ουΓΓ´ ᾱ — ἀπόθου ἐν ἀγγείῳ καὶ χρῶ P[x] 14 κινήcαν^T P[x] κινῆcαι ω καὶ *om.* M[o] ....χρίcαν^T P[x] ...cανταc C[p] ω *om.* M[o] 15 τοῖc] τῆc A A[t] *ante* πνευμ.: τῶν P ω ἀγωγῆc ἕνεκα A ἀγωγῆc A[t] cυκίαιc P[x] P cυκυίαιc A 18 ἐξεθλίψαμεν φ 19 τὰ *om.* M[o] P 20 αὐτῶν P αὐτοὶ C[p] M[o] A ω 21 ἔδει P[x] M[o] ψ 23 ἐπιτρέποι ω 25 cύναπτε M[o] P ...άπτει A[t] ...ειν S 26 μέντοι] μὲν P[x] A *post* καταλ.: τὸν ἄνθρωπον ω ἐπὶ] ἐν χ ψ ω τῶν ἡμ. *post* δευτέρα χ ψ ω 27 καὶ *om.* φ

κομίcαcθαι ταῦτα προcήκει. εἰ μὲν κάτω εἴη ῥοπή, διὰ κλυcτῆρος, εἰ δὲ μετέωρα, ὑπηλάτῳ φαρμάκῳ καὶ μάλιcτα τῇ ἱερᾷ Ἀρχιγένους· μετὰ δὲ τὰς καθάρcεις cικυαcτέον τὸ ὑποχόνδριον καὶ τὴν κεφαλὴν μετ' ἐγχαράξεως. εἰ δέ τις παράπρηcις καὶ κατωτέρω φαίνοιτο, ἀμυκτέον κἀκεῖθεν, μάλιcτα δὲ ἐπὶ γυναικῶν κατὰ τὴν τῆς ὑcτέρας χώραν. εἰ δὲ εἰς ἕτερόν τι πάθος ἡ μετάπτωcις γένηται, τὴν θεραπείαν πρὸς ἐκεῖνο ἁρμόζειν. καθόλου δὲ προνοητέον ἐπὶ τῶν ἀποπλήκτων εὐκόλου τῆς κατὰ κοιλίαν ἐκκρίcεως καὶ δι' οὔρων· φροντιcτέον δὲ τοῦ λαμβάνειν cιτία καθ' ἡμέραν μέν, ὀλίγα δὲ καὶ κοῦφα καὶ θερμὰ καὶ cμηκτικὰ ἡδυνθέντα μέλιτι τὰ πολλά, ἀλλὰ χυλώδη.

κη Περὶ παραλύcεως ἐκ τῶν Ἀρχιγένους. πάντων μὲν ἅμα τῶν νεύρων ἀπολεcάντων αἴcθηcίν τε καὶ κίνηcιν, ἀποπληξία τὸ πάθος ὀνομάζεται· κατὰ θάτερον δὲ μέρος, ἤτοι ⟨τὸ⟩ δεξιὸν ἢ τὸ ἀριcτερόν, εἰ cυμβαίη, παράλυcις καλεῖται, τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ cυνέcτη. cυνίcταται δὲ τὸ πάθος ὑγρῶν πολλῶν γλίcχρων καὶ παχέων ἐμφραττόντων τὰ νεῦρα, δι' ὧν αἱ κατὰ προαίρεcιν κινήcεις ἐκτελοῦνται. πρόδηλον οὖν ὡς ἐκκενῶcαι δεῖ τὸν πλεονάζοντα χυμόν. οὐκ ἔcτι δὲ ἐπὶ τούτων ἀρχὴν ἐπιτηδειοτέραν εὑρεῖν τῆς ἀπὸ φλεβοτομίας, εἴ γε ἐπιτρέπει ἡ ἡλικία ἡ ἕξις ἡ ὥρα καὶ τὸ ἐπιτήδευμα καὶ ἡ προγεγραμμένη δίαιτα καὶ τὰ λοιπὰ τὰ ⟨μηδαμῶς⟩ κωλυτικὰ τῆς φλεβοτομίας. δεῖ δὲ cύμμετρον τὴν ἀφαίρεcιν ποιεῖcθαι, ὥcτε μὴ καταψυγῆναι· ψῦξις γάρ, καθὼς προείρηται, cὺν ξηρότητι ἀποτελεῖ τὸ πάθος, ὥcτε μόνον ἐλαττωτέον ἐπ' ὀλίγον τὴν ὕλην διὰ τῆς φλεβοτομίας, καὶ μάλιcτα εἰ προβεβηκότες εἶεν τῇ ἡλικίᾳ. γιγνέcθω δὲ ἡ ἀφαίρεcις ἀπὸ τῶν ὑγιεινοτέρων μερῶν· ἐν δὲ τῷ καιρῷ τούτῳ κατεcκεπάcθαι χρὴ τὰ μέλη πιλήματι βεβρεγμένῳ ἐλαίῳ Cικυωνίῳ ἢ γλευκίνῳ. ἐπὶ δὲ τῶν προβεβηκότων καὶ καcτόριον ἐμπάccειν τῇ ἐμβροχῇ. ἐπὶ δὲ τῶν αἰφνιδίως παρεθέντων, οἷον ἐξ ἐγκαύcεως, ἀμείνων ἐμβροχὴ ἡ δι' οἰcυπηρῶν ἐρίων καὶ ἐλαίου καὶ ὄξους, ἐνίοτε δὲ καὶ νίτρου· δεῖ δὲ πολλάκις νε-

2—4 μετὰ δὲ — μετ' ἐγχαράξεως *Paul. ib. (ib. 13—14) cf. Aret. V 4 (105, 8—9)* 11—15 πάντων μὲν — cυνέcτη *Gal. de loc. aff. III 14 (VIII, 208, 7—13)* 11—17 πάντων — χυμὸν *Or.*^{a} *VIII 13 (252, 7—13)* 15—16 cυνίcταται δὲ — ἐκτελοῦνται *cf Gal. de symptom. caus. II 2 (VII 152, 6—8)* 17 πρόδηλον — χυμόν *Paul. III 18 (I 162, 26)* 17—22 οὐκ ἔcτι — πάθος | 25. 26 ἐν δὲ — γλευκίνῳ |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 *ante* ῥοπή: ἡ A^t 2 μᾶλλον P^x A 3 cυκιαcτέον, cυκυιαcτ., cυκυαcτ. *etiam codd* 4 παράπρηcις *(compunctio Corn.)*] ....πριcις $C^p M^o$ S πράπριc. A παρατρήcεις P 5 τὴν *om.* P^x P 7 ἐκείνου C^p ....νω P^x 8 *ante* κοιλ.: τὴν P^x S 10 ἀλλὰ χυλ] ἀ. καὶ χυλ. P^x καὶ χυλ. A *om.* $C^p M^o$ P ω *post* χυλ.: *multa. Inc.* Ὁ δέ γε Ποcειδώνιός φηcι· τὸ τῆς ἀποπληξίας πάθος οὐδαμοῦ θεραπεύεται κτλ. *(A. Olivieri o. l.) Explic.* καθ' ἕκαcτον αὐτῶν ἃς ὑποτάξωμεν P^x 11 ἅμα *post* αἴcθηcίν τε C^p ω *om* P^x ψ 13 δὲ *om.* C^p ω τὸ *pr. addidi ex Gal.* τὸ *alt. om* $C^p P^x$ A ω 14 καθὼς $P^x A^t$ 14. 15 cύνεcτι $C^p A^t$ 15 *ante* γλίcχρ.: καὶ ω 19 ...τρέποι $P^x A^t$ *(Or.)* ἡ *pr. alt. tert. om* M^o P καὶ τὸ *om.* P τὸ *om.* M^o 19. 20 ...γεγενημένη α, *exc.* L^a 20 τὰ *alt. om.* φ A^t μηδ. *addidi* κωλυτ. *om.* L^a 22. 23 ἐλατῶcαι A ἐλαττοῦν P ἐλαττώτερον $L^a P^x$ 23 *post* εἰ· καὶ P^x A 24 ἦcαν P^x A 25 καταcκέπτεcθαι P^a κατεμπλᾶcθαι P^x A 26 πηλίματι P^x A 27 ..πάcειν P ω αἰφνίδιον $C^p M^o$ P ω 28 ἄμεινον $C^p P^x$ A ω δι' *om.* L^a ὑccηπυρῶν, ὑccωπηρ., οἰccυπηρ., ὑcηπ., ὑcηπυρ. *etiam codd.*

αροποιεῖν τὴν ἐμβροχήν. ὀλιγοςιτία δὲ παραλαμβανέςθω· ἔςτω δὲ ῥοφήματα χόνδρου πλυτοῦ καὶ πτιςςάνης χυλοῦ· διαγενομένων δὲ ἡμερῶν τινων ἀπὸ τῆς φλεβοτομίας ἡ κοιλία ὑποςυρέςθω κλυςτῆρςι πρῶτον, ἔπειτα δὲ καὶ δι᾽ ἀλόης καὶ πολυποδίου καὶ κολοκυνθίδος ἀποβρέγματι καθαίρειν. ἁρμόςει δὲ καὶ ἡ ἱερὰ Ἀρχιγένους πρὸς δύναμιν λαμβανομένη· μετὰ δὲ τὴν κάθαρςιν ςικυαςτέον τὰ πεπονθότα μέρη· εἰ δ᾽ ἀνεπιτήδεια ταῦτα, τοῖς γειτνιῶςι κολλητέον αὐτάς· μετὰ δὲ τὰς ςικύας καταπλάςμαςι χρῆςθαι [τοῖς διὰ λινοςπέρμου καὶ τήλεως καὶ κριθίνης ςὺν ἐλαίῳ παλαιῷ ἑψόμενα καὶ μιγνύμενα μετὰ τῶν καταπλαςμάτων ἢ καὶ ἀλειφόμενα] προςειληφόςι πίςςαν ῥητίνην μάννην, ἐνίοτε δὲ καὶ ἄςφαλτον. ἄκρως δὲ ποιεῖ ἀρτεμιςία ςυνεψομένη καὶ καλαμίνθη καὶ πήγανον καὶ κόνυζα, ὕςτερον δὲ καὶ νίτρον παραμίγνυμεν. καὶ ἐν ἅλμῃ τὰ καταπλάςματα ἑψοῦμεν. ὀλίγον δὲ δεῖ τὸ ὕδωρ εἶναι, ὃ καὶ αὐτὸ ἐν τῇ ἑψήςει ἀναλιςκέςθω. ἁρμόζει δὲ ἀντὶ τοῦ λινοςπέρμου παραλαμβανόμενον μετὰ ταῦτα τὸ αἴρινον ἄλευρον καὶ τὸ κυάμινον. κάλλιςτον δὲ καὶ τὸ ἐρύςιμον, εἶτα κηρώματα καὶ ςυγχρίςματα παραλαμβάνειν. ἡ κοιλία δὲ ἀεὶ εὔλυτος ἔςτω.

Συγχρίςματα καὶ ἐπιθέματα καὶ πόματα. ςυγχρίςματα δὲ ἐπιτήδειά ἐςτι τὰ τοιαῦτα· ἐλαίῳ τινὶ τῶν προειρημένων ςκίλλαν ταριχεύειν δεῖ ἐν ἡλίῳ ἐπὶ ἡμέρας μ̄, εἰ δὲ μὴ παρείη τοιοῦτον, ἑψῆςαι πρὸς τὸ παρὸν Γ° β̄ τῆς ςκίλλης ξεςτία ἐλαίου, ὁμοίως δὲ καὶ τῷ κάγχρυι κεχρη-

1. 2 ἔςτω—χυλοῦ | *3* ἡ κοιλία ὑποc. κλυcτ. | *6* ςικυαςτέον | *8—14* καταπλάςμαςι—ἀναλιςκέςθω | *15* τὸ αἴρινον ἄλευρον | *16. 17* κηρώματα, ςυγχρίςμ. | *18 p. 174, 11* Συγχρίςματα—χρηςιμώτατοι *Or^c 73 (IV 234, 16—235, 10)* 3—5 ἡ κοιλία—καθαίρειν | 7—14 κολλητέον—ἀναλιςκέςθω | 18—*p. 174, 4* ςυγχρίςματα—ςκευαζομένη *Paul. ib. (ib. 163, 5—8, 14—15, 9—14, 15—22)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 2 χυλὸς ψ 4. 5 ἔπειτα—καθαίρειν] διὰ κενταυρίου καὶ πολυποδίου κολοκυνθίδος καὶ δι᾽ ἀλόης μελο$^{χ'}$ ἀνθεμίδος μελιλώτ⟨ου⟩ κριθῆς κυμίνου κράμβης—καὶ ἐλαίου παλαιοῦ μετὰ μέλιτος καὶ νίτρου P^x 6 ςικ *v. supra* 7 *post* ταῦτα: εἴη $P^a C^p$ P ω *post* αὐτάς *sc.* ςικύας): Καταπλάςματα τὰ διὰ λινοςπέρμου καὶ τήλεως καὶ κριθῆς ἐπονομαζόμενα P^x *ante* μετὰ: Ἀρχιγένους A 7. 8 μετὰ—χρῆςθαι *post* κριθίνου *(sic) transp.* A χρηςτέον C^p ω 8—10 τοῖς διὰ—ἀλειφ. *om.* φ P *delevi* (ἑψόμενα ... μιγνύμ.... ἀλειφόμ. *casum servavi*) 9. 10 ςὺν ἐλαίῳ—ἀλειφόμ. *post* κόνυζα *('2) transp.* $P^x M^o$ A 10 μάνναν M^o ψ μάννα P^x μάνην $L^a C^p$ ω 11 ....ψουμ. P ....ψημ. C^p ω 13 ἕψωμεν $P^a P^x$ S ἕψομ. $C^p M^o$ A A^t 15 αἴρινον, ἔρριν., ςερινον *etiam codd.* 17 ἡ κοιλία—ἔςτω] πάντων δὲ τὴν κοιλίαν ςπουδάζειν εὔλυτον ποιεῖν P^x *Sqr* ἐκ τῶν Ἀλεξάνδρου καθάρςιον παραλελυμένων ἀλόης < ᾱ εὐφορβίου < ᾱς κολοκυνθίδος ἐντεριώνης < ᾱ πολυποδίου < ᾱ ἐλλεβόρου μέλανος < ᾱ νίτρου δραχμῆς τὸ ἥμιςυ βδελλίου < ᾱ κόμμεως < ᾱ (καὶ ςάχαρ ου$^{ΓΓ'}$ ᾱ ἄνιςςον ἐξ$^{Γ'}$ β̄ καρυόφυλλον ἐξ$^{Γ'}$ Γ̄ τζιντζίβερι ου$^{ΓΓ'}$ ᾱ *add.* P^x)· δεῖ δὲ δοῦναι (δίδου P^x) πρῶτον γραμμάρια (γράμματα P^x) β̄ καὶ πάλιν γραμμάρια (γράμματα P^x) γ̄, καὶ τότε ἐπὶ τὴν τελείαν δόςιν ἐλθεῖν γραμμάρια (γράμματα P^x) ς̄ P^x A *Sqr* εἰρήκαμεν δὲ καὶ ἄλλα πολλὰ ἐπὶ τῶν ἐν πυρετοῖς ςπαςμῶν κτλ. *(cf. A. Olivieri Phil Woch. 1938, 622—623)* P^x 18 Συγχρίςματα—πόματα] Συγχρίςμ. καὶ καταπλάςματα καὶ ἐπιθέματα *in marg.* P *om.* $C^p P^x$ A ω 19 δεῖ (*om.* P) ταριχεύειν C^p ω 20 *ante* τοιοῦτ.: τὸ P^x A τοῦτο P^a P ἕψηςε M^o ...ςον P 21 ξέςτην P^a A ξ$^{ε'}$ P^x S κάχρυι $P^a M^o$ κέγχρυι S

cθαι· προcπλέκειν δὲ κηροῦ βραχὺ καὶ χαλβάνης καὶ προπόλεως, ἐνίοτε δὲ καὶ καcτορίου ὅcον Γ α̅ καὶ ἀδάρκης καὶ εὐφορβίου ἀνὰ < δ̅ καὶ νίτρου < δ̅ ἐμβάλλειν τῷ εἰρημένῳ cυγχρίcματι· εὐθετεῖ δὲ ἄκρως καὶ ἡ βατράχιος βοτάνη ὁμοίως cκευαζομένη. δῆλον δὲ ὅτι ἀπὸ τῶν πραοτέρων ἄρχεcθαι προcήκει, καὶ τὰ κηρώματα δὲ ἐκ τούτων cκευάζειν, προcεμβάλλοντες πύρεθρον δαφνίδας νίτρον νᾶπυ. μαλάγματα δὲ ἁρμόcει τὸ διὰ δαφνίδων καὶ τὸ χλωρόν, πολλάκις δὲ ἤρκεcεν κυπρίνη κηρωτὴ ἀναλαβοῦcα νᾶπυ δαψιλὲς τὴν μαλάγματος παραcχεῖν χρείαν. εὐθετεῖ δὲ καὶ cμήγματα διὰ τρυγὸς οἴνου ἢ ὄξους κεκαυμένης καὶ ἀδάρκης εὐφορβίου τε καὶ ἀcβέcτου cκευαζόμενα καὶ οἱ δρώπακες δὲ αὐτοῖc χρηcιμώτατοι. κοῦφα δὲ ἔcτω πάντα τὰ ἐπιτιθέμενα διὰ τὴν τῶν cωμάτων ἀcθένειαν. ἀνακαλεῖται δὲ τὰς αἰcθήcεις καὶ θαψία καταχριομένη cὺν ὕδατι ἢ ὄξει μετὰ τοὺς δρώπακας καὶ τὸ διὰ κανθαρίδων κατάπλαcμα. τάχιον δὲ δεῖ τὰς ἐκ τῶν τοιούτων γιγνομένας ἑλκώcεις ἀπουλοῦν καὶ cιναπιcμοὶ δὲ ἐπ' αὐτῶν χρήcιμοι καὶ μετὰ ταῦτα βαλανεῖον. χρηcτέον δὲ καὶ ποτήμαcιν ἁρμοδίοις· τό τε οὖν καcτόριον ἄκρως ἁρμόζον αὐτοῖc cυνεχῶc διδόcθω μετὰ μελικράτου < α̅ καὶ ὀποπάναξ ὅcον κυάμου μέγεθος cὺν τῷ καcτορίῳ καὶ cαγαπηνοῦ ὅcον ὀρόβου μέγεθος καταπίνειν, καὶ ὀπὸν Κυρηναικὸν τὸ αὐτὸ μέγεθος καταπίνειν καὶ ἀφέψημα δὲ κλημάτων ἀμπέλου χλωρῶν πινόμενον νῆcτις cυνεχῶc cφόδρα βοηθεῖ τοῖc παρειμένοις μέρεcι τοῦ cώματος. χρηcιμωτάτη δὲ μετὰ τὰς καθάρcεις καὶ τὰς ἄλλας κενώcεις καὶ ἡ διὰ ἐχιδνῶν θηριακὴ ἀντίδοτος διδομένη καὶ ἡ Μιθριδάτειος· ἔcτι δὲ καὶ ἁπλούcτερον φάρμακον cφόδρα μοι δεδοκιμαcμένον πρὸς τὰς τοιαύτας διαθέcεις τοῦτο· καcτορίου πηγάνου ἀγρίου cπέρματος ὀποπάνακος ἀνὰ ὀβολοὺς β̅ πυρέθρου ὀβολὸν α̅ ἀκόρου τὸ ἴcον πεπέρεως κόκκους ι̅ μεθ' ὑδρομέλιτος κυάθων β̅, δίδου τὸ ἥμιcυ τοῦ παντὸς τὴν πρώτην, εὐτονήcαντι δὲ τὸ ὅλον. ἡ δὲ cύμπαcα θεραπεία ἀπὸ κεφαλῆς ἄρχεcθαι

16—19 χρηcτέον — καταπίνειν *Or.*[c] *ib. (ib. 235, 12—16) Paul. ib. (163, 22—25)* 22—. 23 χρηcιμωτάτη — θηριακὴ ἀντίδοτος *cf. Gal. ad Pison. de theriaca lib. XV 276, 14—15*

φ (L[a] P[a]) χ (C[p] P[x] M[o]) ψ (A P) ω (S A[t]) 2 δὲ *om.* L[a] C[p] ω ὅcον *om.* M[o] P καὶ ἀδάρκης — ἀνὰ < δ̅ *post* cυγχρίcματι P[a] *om.* L[a] 3 ἐμβαλεῖν M[o] A ω ταῦτα ...βαλεῖν P[x] 3. 4 ἄκρως — δῆλον δὲ *om.* C[p] S 4. 5 πραοτ.] πρεcβυτέρων C[p] A[t] 6 ....βάλλοντας P[a] ....βαλόντες A 7 τὸ *pr.*] τό τε M[o] A τὰ P τά τε C[p] ω *post* χλωρόν: ὧν τὰς cκευαcίας ἐροῦμεν. Cκευαcία τοῦ μεγάλου διὰ δαφνῶν — τὰ δὲ λοιπὰ προcλάμβανε P[x], 8 τὴν] ἃ C[p] ω *om.* P παρέχει C[p] P[x] ω *post* χρείαν: ἔcτι δὲ τῆς κυπρίνης κηρωτῆς ἡ cκευαcία αὕτη· κολοφωνίας ου ΓΓ′ η̅ — καὶ ὄξους τὸ ἀρκοῦν P[x] 9 cμίγμ. L[a] χ A μίγμ. ω *ante* κεκαυμ. (....νου P[a]): καὶ C[p] A[t] καὶ *om.* C[p] ω 12. 13 κατάχριcμα C[p] P S 14 τάχειον P[a] A S *post* δὲ: (καὶ P[x]) μετὰ τὴν κάθαρcιν C[p] M[o] ψ ω 15 ἐπουλοῦν P[a] 16 καὶ *om.* P[x] A ποτίcμαcιν ψ ...τίμαcιν L[a] P[x] 16. 17 ἁρμοδίοις — ἄκρως *om. Ald.* 17 ἁρμόζει P[x] A cυνεχ. διδόμενον A c. διδόναι S διδόcθω αὐτοῖc cυν. (cυν. *om.* A[t]) C[p] A[t] *(Ald.)* α̅] β̅ C[p] P A[t] 18 cαγαπηνῷ C[p] P ω 20 ἀμπέλων P[x] A A[t] χλωρὸν P ...οῦ S 21 νήcτεις P[x] ...cτει ψ ...cτι M[o] ...cτης S *om.* P[a] 22 καὶ *alt. om.* L[a] 24 μοι *om.* C[p] P[x] A[t] 26 ὀβολῶν P[a] C[p] P[x] ψ ω πύρεθρον C[p] P[x] ω 27. 28 ...νήcαντος A A[t]

δεήσει· αὕτη γὰρ ῥίζα καὶ ἀρχὴ τῆς ὅλης ἐστὶ διαθέσεως. διόπερ τά τε συγχρίσματα αὐτῆς καστόριον ἔστω καὶ πευκέδανον καὶ δαφνίδες καὶ ἡδύοσμον· ὄξους δὲ βραχὺ δριμέος προσειληφέτω καὶ ἰρίνῳ μύρῳ ἀναλαμβανέσθω, ὡς ἔχειν κηρωτῆς ὑγροτέρας πάχος καὶ ἐναλειφέσθω πᾶσα ἡ κεφαλὴ ἄχρι μετώπου. καὶ ὀσφραντὰ δὲ τοῦ αὐτοῦ γένους προσαγέσθω. τῆς δὲ κοιλίας ἐνεργεστέρῳ κλύσματι προκενωθείσης καὶ ἤδη ἀπεριττοτέρου τοῦ παντὸς σώματος ὄντος σικυαζέσθω ἡ κεφαλὴ μετ᾽ ἀμύξεως, τὴν μὲν πρώτην ἱκανὸν αἷμα δυναμένης ἀποκρῖναι, ὕστερον δὲ μετριώτερον· πλεονάκις δὲ παραληπτέον τοῦτο τὸ βοήθημα, ἐν κύκλῳ μὲν τῇ κεφαλῇ περιτιθεμένων τῶν σικυῶν κούφων καὶ ἐφεξῆς κολλωμένων τοῖς τόποις· οὐδὲν γὰρ χεῖρον ἐπαφαιρέσεως ὠφελεῖ οὕτως προσαχθέν. κουρὰ δὲ μὴ μόνον τῶν σικυῶν χάριν, ἀλλὰ καὶ καθ᾽ ἑαυτὴν συνεχῶς παραλαμβανέσθω. εἰ δὲ τὸ περιέχον μὴ εἴη ψυχρόν, καὶ ξύρησις ὠφέλιμος. εὐθὺς δὲ τοῖς εἰρημένοις συγχρίσμασιν ἐπ᾽ ὀλίγον ἀνατριπτέον τὴν κεφαλήν. προσαφειλκυσμένης δὲ τῆς ὕλης καὶ πταρμικοῖς χρῆσθαι καὶ ἀποφλεγματισμοῖς. ἐγὼ δὲ καὶ ἐσχάρας ἐμβαλεῖν οὐκ ὀκνήσαιμι διὰ φαρμάκου, μίαν μὲν κατὰ τὸ κοῖλον τοῦ ἰνίου, καθ᾽ ὃν τόπον ὁ νωτιαῖος ἔχει τὴν ἀρχήν, δύο δὲ ἑκατέρωθεν αὐτοῦ, τρία δὲ ἢ τέσσαρα αὐτοῦ κατὰ τῆς κορυφῆς, μίαν μὲν κατὰ τὸ μεσαίτατον τῆς κεφαλῆς, τρεῖς δὲ ἐν κύκλῳ. ῥευματισθέντων δὲ ἐπὶ πολὺ τῶν ἑλκῶν, οὐκ ἀπελπίζω τελείαν ἀποκατάστασιν. ἡ δὲ λοιπὴ δίαιτα ἔστω λεπτυντικὴ καὶ εὐκοίλιος μηδὲ γλίσχρον ἢ βρομῶδες ἔχουσα. καὶ οὐρητικὰ μάλιστα προσπλεκέσθω ταῖς τροφαῖς. χρηστέον δὲ καὶ τοῖς πρὸς ἐπιληψίαν προειρημένοις πόμασι καὶ τοῖς ἐπὶ τῶν ἀρθριτικῶν ῥηθησομένοις ἀλείμμασι. κοινὰ γὰρ ὄντα τὰ τοιαῦτα περιττὸν κἀνταῦθα αὐτῶν μνημονεύειν. δεήσει δέ ποτε καὶ τέλεον ἐλευθερῶσαι τοὺς τόπους γυμνώσαντας καὶ τῷ ἀέρι παραδώσαντας· ἐνίοις γὰρ καὶ κατὰ τοῦτον τὸν καιρὸν ἀρχὴ τῆς ἐπιλήψεως τῶν ἐνεργειῶν γέγονεν.

Πόμα πρὸς παρέσεις καὶ τρόμους καὶ ὀπισθοτονικούς. ὀποῦ Κυρηναικοῦ πεπέρεως χαλβάνης ἀνὰ < ᾱ διαλύσας γλυκεῖ, ποίει καταπότια καὶ δίδου ὀβολοὺς β̄ καὶ ἐπιρροφείτωσαν ὑδρομέλιτος κοχλιάρια γ̄. Ἄλλο.

23. 24 τοῖς ... προειρημένοις πόμασι καὶ τοῖς ... ῥηθησομένοις ἀλείμμασι *cf. l. XII c. 59 sqq. et p. 154, 13 sqq.*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t)   1 διαθέσεως] ὕλης καὶ γέννησις τοῦ νοσήματος ἡ διάθεσις P^x 2 *post* αὐτῆς: τὰ προρρηθέντα ἕτερα ἄλημα τὸ μαρκιΤ′ — ἐλαίου κ⟨ο⟩ινοῦ παλαιοῦ λίτρας δέκα. Ἄλλο σύγχρισμα αὐτῆς P^x ἔστω καὶ *om.* P^x δαφνίδας L^a P^x 3 βραχέως P^x A   9 πολλάκις C^p ω   11 οὐδὲ P^x A   12 προσαχθεῖσα α, *corr. Deichgraeber*   οὐ C^p ω   13 αὐτὴν P^x M^o ψ S   ἣ *Ald.*   15 προαφ. P^a C^p M^o ψ ω   17 *ante* διὰ: διὰ πυρὸς ἢ P^x M^o A ω   18 τρόπον L^a P   δὲ *om.* A^t 18. 19 τρεῖς .... τέσσαρες (... ας A) P^a χ A   τρίτον .... τέταρτον A^t 20 τρίτον A^t δὲ *alt.*] γὰρ χ A ω   21 οὐκ ἀφελπ. χ A S   οὐ κατελπίζω *Ald.*   ἔστω *om.* L^a 22 καὶ *pr. om.* χ ψ ω   καὶ *alt. om.* L^a 23 μᾶλλον ω   26 *ante* δεήσει (... σῃ L^a): εἰ A^t *(Ald.)*   τότε L^a ψ ω   τέλεων C^p S   ... ειον M^o P A^t 26. 27 γυμνώσαντα L^a P   27 καὶ *alt. om.* P^a M^o P ω   κατὰ *om.* L^a P^x A   28 *post* γέγ.: ὀφρύος ἢ βλεφάρου πάρεσις (... έσεως P^x M^o) P^x M^o ψ   29—*p. 176, 5* Πόμα — μελικράτου κυάθων γ̄ *post* ἔστω *p. 173, l. 17* P^a C^p M^o ψ ω, *post* κολλυρίῳ *p. 177, l. 3* A (P^x *v. adn. p. 177, 3*) *ibique repet.* C^p P   Πόματα P^x P   .... τονικοῖς P^x M^o A   30 διαλύσας *om.* L^a γλυκὺ P^x S *om.* M^o 31 δίδου]

cμύρνηc καcτορίου cτύρακοc πεπέρεωc ἴcα χρῶ <καὶ μελικράτου ἐπιρροφείτωcαν. Πόμα παρέτοιc τρομώδεcιν ὀπιcθοτονικοῖc. ὀποπάνακοc cαγαπηνοῦ καcτορίου cμύρνηc ὀποῦ Κυρηναικοῦ πεπέρεωc πηγάνου ἀκρεμόνων ἀνὰ <α̅· cκεύαζε καταπότια καὶ δίδου <καὶ ἐπιρροφείτωcαν μελικράτου κυάθων γ̅.

κθ̅ Περὶ ὀφρύοc ἢ βλεφάρου παραλύcεωc. ὀφρὺc δὲ ἢ βλέφαρον εἰ παρεθείη, θεραπευθήcεται καταχρίcμαcι θερμοτέροιc καὶ δριμυτέροιc κατὰ τοῦ μετώπου· τὸ δὲ βλέφαρον τῷ διὰ cάνδυκοc καὶ θαψίαc χυλῷ ἐπιχριέcθω. κάλλιcτον δὲ ἐπ᾽ αὐτῶν καὶ μάλιcτα ἐπὶ ὀφρύοc χαλαcθείcηc τοῦτο· μαcτίχην λεάναc μετὰ χυλοῦ κράμβηc ἀπλύτου καὶ ἀνατείναc τὸ τοῦ μετώπου δέρμα, ἐπίχριε τὸ μέτωπον παχύτερον. ἐπιμένοντοc δὲ τοῦ πάθουc τὸ μὲν βλέφαρον ἀναρραφῇ ἰᾶται, τὴν δὲ ὀφρὺν ταινιδίου ἀφαίρεcιc ἀπὸ μετώπου.

λ̅ Περὶ κυνικοῦ cπαcμοῦ. κυνικὸν cπαcμὸν καλοῦcι τὴν τῶν cιαγονιτῶν μυῶν παράλυcιν. παράγεται μὲν οὖν εἰc τὰ πλάγια τό τε cτόμα καὶ ἡ ῥὶc καὶ ὁ ὀφθαλμὸc καὶ ἁπλῶc εἰπεῖν τὸ ἥμιcυ μέροc τοῦ προcώπου. τὰ μὲν οὖν βοηθήματα τῷ παρεθέντι μέρει προcαγέcθω, οὐ τῷ ἀντικειμένῳ· πλανῶνται γάρ τινεc ὑπολαμβάνοντεc ἕλκεcθαι τὴν cιαγόνα ὑπὸ τῆc ἀντικειμένηc. κοινῶc μὲν οὖν καὶ ἐπ᾽ αὐτῶν εὐθετεῖ τὰ προειρημένα ἐπὶ τῆc παραλύcεωc ἅπαντα· καὶ γὰρ ἀφαίρεcιc αἵματοc, εἰ μηδὲν κωλύοι, καὶ κάθαρcιc καὶ κλυcτὴρ καταπλάcματά τε καὶ cυγχρίcματα καὶ μαλάγματα καὶ cιναπιcμοὶ καὶ κατάχριcιc θαψίαc, ἰδίωc δὲ ἐπίδεcιc ἡ εἰc τὰ ἀντικείμενα παράγουcα καὶ ἀφαίρεcιc ἐκ τῶν ὑποκειμένων ἀγγείων τῶν ὑπὸ τὴν γλῶτταν καὶ cικύα κατὰ τοῦ

5. 6 ὀφρὺc—καταχρίcμαcι | 10. 11 ἐπιμένοντοc—ἰᾶται *cf. Paul. ib. (ib. 165. 10—11)* 18—*p. 177, 7* κοινῶc—γλώccηc | *(177, 15—16)* τῷ θώρακι—βοηθήματα | *(17—18)* ἰδίωc—ἐμμελεῖ | *(20—28)* Καταπόcεωc—ἐπιθέματα *(nonn. om. et mut.) 178, 1 - 26* Κύcτεωc—cκιλλίνῳ *(nonn. mut. vel om. vel compend.) Or.[c] 73 (IV 235, 17—24, 32—38, 25—32, 236, 1—12)* 22—*p. 177, 2* ἰδίωc—ἔρρινα |

ποίει M^o ω κοχλ.] κυάθουc P^a χ ψ *ante* γ̅: β̅ ἢ A^t *post* ἄλλο: (πόμα A^t, *in marg.* ἄλλο πόμα P) πρὸc τρομώδεcι παρέτοιc καὶ ὀπιcθοτονικοῖc ω

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 cμύρνηc] ʒʒ́ C^p M^o <] ἢ διδοὺc καταπότια C^p διδοὺc M^o ψ ἀνὰ ὀβολὸν α̅ ποίηcον ὁμ⟨οίωc⟩ καὶ δίδου P^x *om.* P^a ω καὶ μελ. ἐπιρ.] καὶ ἐπιρροφείτωcαν ὕcτερον κυ̅θ′ γ̅ μελίκρατον P^x *om.* P^a C^p M^o ψ ω μελίκρατον L^a *correxi* *ante* πόμα: ἄλλο P^a χ A *in marg.* P Πόμα παρέτοιc (πάρεχε τοῖc C^p πρὸc παρέτουc M^o) —ὀπιcθοτ. *in marg.* P *om.* P^x ω 3 cμύρνηc] ʒʒ́ C^p M^o 4 *post* καταπ.: < β̅ P < *alt om.* α, *exc.* L^a καὶ *alt.*] ὕcτερον δὲ P^x *om.* L^a κυάθ. γ̅] κ° γ̅ C^p κυ′ M^o *om.* P^x ω 5 παραλύc.] παρέcεωc θεραπεία P^x παρεθέντοc M^o παρέcεωc C^p ψ ω 6 ...πευθήcονται A^t καὶ δριμυτ. *om.* ψ 7 *post* cανδ.: ἔcτι δὲ ἡ cκευαcία αὐτῆc τοιάδε· κηροῦ λίτραν α̅—μάλαττε αὐτὰ ὁμ⟨οίωc⟩ P^x θαλίαc P^x ...ύαc A^t ...λλίαc C^p M^o S χυλοῦ P^a χ S 10 τὸ ...πον] τῶ ....πω ω 12 *post* μετώπου: Τίc ἐcτιν ἀποπληξία Γαληνοῦ. Ἀποπληξία ἐcτὶ κατοχὴ διανοίαc—ἢ τὰ ἀριcτερὰ ἐν παρέcει γίγνονται P^x 14 *post* cτόμα: *multa. Inc.* καὶ τέμνοντα δὲ τὴν φλέβα πρὸc δύναμιν τὴν κένωcιν ποιεῖcθαι χρὴ *Explic.* εἰ δὲ κατάλλειμα εἴη τῆc διαθέcεωc, ἐπὶ τὸν λευκὸν ἐλλέβορον ἐλθετέον. ὁ δὲ τρόποc τῆc χρήcεωc M^o 15 ἡ ῥὶc] ἱρὶc P^x A ἶριc A^t 15. 16 *post* προcώπου: ἢ τοῦ ὅλου ἡμιcείου τοῦ cώματοc P^x

20 κωλύει P^a ψ A^t *ante* καταπλ.: καὶ P ω 21 ...χρῆcιc P ...χρηcιc ω 22 ἐπίδοcιc ω παρακείμ. S κείμ. M^o A^t 23 ὑποκειμ. *om.* α *exc.* L^a ὑπὸ τὴν γλῶτταν (...ccαν ω) ἀγγείων α, *exc.* L^a κατὰ—cπονδύλου] καὶ δύο cπόνδυλοι ω

πρώτου καὶ δευτέρου cπονδύλου ἐπιτιθεμένη καὶ ἀποφλεγματιcμοὶ καὶ ἔρρινα. ἤδη δὲ καὶ κατὰ τοῦ πεπονθότοc ὀφθαλμοῦ ἐπιχρίcτοιc δριμέcι χρῆcθαι, μάλιcτα δὲ τῷ διὰ cάνδυκοc καὶ θαψίαc χυλοῦ κολλυρίῳ.

Γλώccηc παρεθείcηc θεραπεία. εἰ δὲ γλῶccα παρεθείη, τὰc ὑπ' αὐτὴν λα φλέβαc τέμνειν πρότερον κενώcαc τὸ πᾶν cῶμα καὶ cικύαc ὑπὸ τὸν ἀνθερεῶνα τιθέναι καὶ ἀποφλεγματιcμοῖc χρῆcθαι καὶ διακλύcμαcι τοῖc διὰ νάπυοc γυμναcίοιc τε τῆc γλώccηc καὶ τὰ λοιπὰ προcάγειν τῷ τένοντι καὶ τῷ τραχήλῳ παντί, οἷον ἐπίχριcτα δριμέα καὶ ἐπιθέματα καὶ cιναπιcμούc.

Περὶ τῆc τοῦ φωνητικοῦ παρέcεωc. παρίεται δὲ καὶ τὸ φωνητικὸν λβ ὄργανον ἔνδοθεν, λέγω δὴ οἱ τῆc φάρυγγοc μύεc, μάλιcτα δὲ οἱ τοῦ λάρυγγοc, ἤδη δὲ καὶ οἱ τοῦ θώρακοc ἀνώτεροι. κατοχὴ μὲν οὖν ἐπ' αὐτῶν γίγνεται τοῦ πνεύματοc· τινὲc δὲ ἰcχνόφωνοι γίγνονται, ἕτεροι μογίλαλοι, τουτέcτιν οἱ μόγιc λαλοῦντεc καὶ ἄλλοιc ἄλλωc παραποδίζεται ἡ φωνή. μετὰ τὰ καθολικὰ τοίνυν βοηθήματα καὶ τῷ θώρακι καὶ τῷ τραχήλῳ προcαγέcθω τὰ βοηθήματα, ἃ προκατηριθμήμεθα· ἤδη δὲ καὶ ἀναγαργαρίcματα δριμέα δοτέον. ἰδίωc δὲ ἐπ' αὐτῶν χρῆcθαι πνεύματοc κατοχῇ καὶ ἀθρόᾳ ἐκπνοῇ καὶ ἀναφωνήcει ἐμμελεῖ καὶ μετὰ ταῦτα τῇ διαίτῃ καὶ γυμναcίοιc ῥωννύναι τὸ cύμπαν cῶμα.

Καταπόcεωc παραλυθείcηc θεραπεία. εἰ δὲ ἡ κατάποcιc παρεθείη λγ (τουτέcτιν ἡ ἐνθετικὴ τῶν cιτίων προθυμία, ὁ γὰρ cτόμαχοc εἰ παρεθείη ὄλεθρον ἐπιφέρει), παραλαμβάνειν μὲν οὖν τὰ θερμὰ πάντα, ἰδίωc δὲ cπουδάζειν ἐντιθέναι τὰ cιτία ὡc ὅτι ἐcωτάτω ὑπὲρ τοῦ μὴ ἐμπίπτειν εἰc τὴν τραχεῖαν ἀρτηρίαν καὶ cικύαc τῷ ἀνθερεῶνι ἐπιτιθέναι καὶ διαχρίcτοιc τῶν κατὰ παρίcθμια μερῶν χρῆcθαι δριμείαιc ταῖc διὰ καcτορίου cαγαπηνοῦ ὀποῦ κυρηναικοῦ cκευαζομέναιc. καὶ ἀναγαργαρίcματα διὰ νάπυοc καὶ διαμαcήματα φλεγμαγωγὰ καὶ ἔξωθεν προcάγειν τῷ ἀνθερεῶνι τὰ προλελεγμένα κοινὰ cυγχρίcματα καὶ ἐπιθέματα.

4—7 εἰ δὲ γλῶccα — τῆc γλώccηc | 15. 16 τῷ θώρακι — βοηθήματα | 17. 18 χρῆcθαι — ἀναφωνήcει *p. 178, 1—26* Κύcτεωc — cκιλλίνῳ *[nonn. om vel mut. vel compend.] Paul. ib. (ib. 164, 29—165, 20)* 16 τὰ βοηθήματα, ἃ προκατηριθμήμεθα *cf. ll. 7sqq.* 18 ἀναφωνήcει *cf. H. Schoene Hermes 65, 1930, 92sqq.*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 ἐπιτιθέμενοι ω 2. 3 *ante* δριμ.: τοῖc ω 3 θαλίαc $P^x A^t$ ...λλίαc $C^p M^o$ S χυλῷ L^a χυλῷ καί P^x *post* κολλ. Ἐπίχριcτα ἐκ τῶν Διοcκορίδουc. Πευκεδάνου ὀπὸc cὺν ὄξει καὶ ῥοδίνῳ — ποδαλγικοὺc καὶ καθόλου περὶ τὰ νευρικὰ πάθη *sqr.* Πόμα — μελικράτου *(v. p. 175, 29—176, 5 et adn.)* P^x 4 Θεραπεία γλώcc. παρεθ. ω 5 ὑπὲρ L^a ω 6 ἀθ. L^a A ω 7 *post* νάπυοc: καὶ τοῖc ἄλλοιc τοῖc προειρημένοιc P^x τε] δὲ P^x A τῆc *om.* L^a γλώττηc $P^a P^x$ ψ ω *post* προcάγ.: ὅcα εἰρήκαμεν ποιεῖν P^x 8 τένοντι] τε ἰνίῳ P^a P ω κατάχριcτα P^a P χρίcματα C^p 10 παρείεται L^a ...ρείητε P^x πάρεcιc M^o παρεῖνται P ..ρεῖται A ω 11 ἔνδοθ. *om.* ω 12 δὲ *om.* L^a 13 *post* ἕτεροι: δὲ P^a *in marg. scr. m. 2ª* S 14. 15 παρεμπ. P^x P 16 καὶ τῷ τραχ. *om.* A^t *(Or.)* προκατηριθμήcαμεν P ....τηγοριθμηcάμεθα A^t .....τηριθμηθηcάμεθα C^p S 20 ἡ *om.* M^o ω 22 ...λαμβάνει L^a .....η A οὖν *om.* ψ 23 *post* cιτία: πάνυ $P^x M^o$ A 25 διαχρίcμαcι ω *ante* τῶν: τοῖc $P^a P^x$ P ω *ante* παριcθ.: τὰ $P^a P^x$ P A^t 26. 27 ἀναγαργαρίcματι P^a P .....cι M^o ω 28 κοινὰ *om.* L^a P 28. 29 καὶ ἐπιθ. *om.* P ω

λδ Κύστεως παρεθείσης θεραπεία. ἡ δὲ τῆς κύστεως πάρεσις, εἴτε κατέχοι τὰ οὖρα εἴτε ἀπροαιρέτως ἐκκρίνοι, θεραπευθήσεται τοῖς αὐτοῖς βοηθήμασι τοῖς κοινοῖς κατά τε τοῦ ἤτρου καὶ μάλιστα τοῦ περινέου παραλαμβανομένοις, καθ' ὃ μέρος τέτακται ὁ τράχηλος τῆς κύστεως, ὃν τόπον τινὲς σειρὰν καλοῦσι. χρηστέον δὲ πρὸς τοῖς εἰρημένοις κατὰ τοῦ ἤτρου ἐμβροχαῖς ναρδίνῳ μύρῳ καὶ μαλαβαθρίνῳ καὶ σουσίνῳ καὶ Σικυωνίῳ, ἐν ᾧ ἥψηται ἠρυγγίου ἡ ῥίζα κύπερα καρδάμωμον πήγανον. καὶ τὴν ἕδραν δὲ διαχριστέον τούτοις. μετὰ δὲ τὰ κοινὰ βοηθήματα καὶ διὰ τῶν εἰς τὸν δακτύλιον ἐνεμάτων σπουδαστέον ἀνακαλεῖσθαι τὰς τῆς κύστεως ἐνεργείας. ἔστι δὲ ταῦτα κατ' ἀρχὰς μὲν καστόριον μετ' ἐλαίου Σικυωνίου ἢ πηγάνου ἐνεψομένου ἐλαίῳ ἢ κυμίνου ἢ ἀνήθου, εἶτα τὸ διὰ κενταυρίου καὶ τῆς κολοκυνθίδος ἀφέψημα, νῦν μὲν ὕδατι, νῦν δὲ χυλῷ πτισσάνης συνεψομένων. καὶ ὁ τῆς ἀναγαλλίδος δὲ χυλὸς ἄριστα ποιεῖ καὶ ὀριγάνου καὶ θύμου ἀφέψημα. πᾶσι δὲ τὸ Σικυώνιον ἔλαιον μικτέον καὶ καστόριον, ἐνίοτε δὲ καὶ ὀποπάνακα, εἰ ψύξεως αἴσθησις αὐτοῖς προσγίγνεται, καὶ χαλβάνην ἐναποτήκειν. ἐνείκαμεν δὲ καὶ διὰ τοῦ καυλοῦ τὸ Σικυώνιον ἔλαιον μετὰ τοῦ καστορίου ἢ καὶ τοῦ ὀποπάνακος, ἐνίοτε δὲ καὶ τὸ σίλφιον ἐναφεψήσαμεν τῷ ἐλαίῳ. ἰδίως δὲ ἐπὶ τῶν κατεχόντων τὰ οὖρα καθετηρισμῷ χρησόμεθα καὶ μετὰ τὴν τοῦ ὑγροῦ ἀποκένωσιν, ἔτι ἐγκειμένου τοῦ καθετῆρος, τῶν προειρημένων τινὶ ἐνεματίσομεν, στενώτατον αὐλίσκον τῷ ἀσκίῳ κατασκευάσαντες δυνάμενον ἁρμοσθῆναι τῷ καθετῆρι· καὶ θαυμαστὴ ἐπιγίγνεται ὠφέλεια· ἐκ τῆς μετὰ τὴν ἔκκρισιν τῶν οὔρων ἐνέσεως. χρῆσθαι δὲ ἐπ' ἀμφοτέρων καὶ διουρητικοῖς ἐκ διαλειμμάτων — οἷόν ἐστι σίον σχοῖνος καὶ τὰ ὅμοια — καὶ σκιλλίνῳ ὄξει καὶ οἴνῳ σκιλλίνῳ. ῥηθήσεται δὲ ἔτι περὶ αὐτῶν ἐν τῷ περὶ τῶν τῆς κύστεως παθῶν λόγῳ καὶ κεφαλαίῳ κη̅.

λε Καυλοῦ παρεθέντος ἐπιμέλεια. ἐπὶ δὲ τῆς τοῦ καυλοῦ παρέσεως αἱ μὲν τοῦ οὔρου ἐκκρίσεις οὐκ ἐμποδίζονται, ἡ δὲ τοῦ σπέρματος ἐκ-

26 ἐν τῷ περὶ τῶν τῆς κύστεως παθῶν λόγῳ *cf. XI, 4–5* 28—*p. 179, 23* Καυλοῦ—ἐπέτυχον *[nonn. om. vel mut.] Or.^c ib. (ib. 19—237, 1)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 2 κατέχει P^a ψ ω ἀποκρίνοι χ ....ει P^a ψ S ....εται A^t ..νοιτο *Ald.* 3 περιναίου φ περιτονέου A περιναίου *m. 1^a*, ...τοναίου (= A^t) *m. 2^a* S ἐφηβαίου P 4 παραλαμβανομένων φ χ ω ....μένη P 5 συρὰν A σιραν M^o A^t 7 ἕψηται P^x M^o A S ἡ *om.* α, *exc.* L^a ...περι P^a κυ^{πρ'} P A^t κυπέρου S 8 χριστέον P^x A 11 πηγανίνου P^x A πήγανον P ἐν ἑψημένω L^a ἐνεψωμένου M^o ἐνηψημένον P ἑψομένου S ἑψημένου A^t ἐλαίου P^x M^o 12 ἀνηθίνου φ C^p ψ ω 12. 13 ...εψήματος φ χ A 13 ...εψόμενον A ....εψημένω P ....νων A^t 14 δὲ *om.* ω 16 *ante* εἰ: καὶ P^x ψ προσγίγ.] ἐπιλάβοι M^o γίγν. *cett. codd.*, *exc.* L^a 17 ἐνήκαμεν α, *exc.* L^a καὶ *om.* L^a τοῦ *om.* P^x A 19 δὲ *om.* A^t 20 ...σώμεθα C^p P^x A S τοῦ *om.* L^a ὑγροῦ] οὔρου *legendum?* 21 ...τίσωμεν L^a C^p M^o (ι *ex* η *ut vid.* P) ἐναιματισμῶν A ἐνεματησμῶν P^x ἐνεματήσομεν *supra scr.* ἐνεμ'τ˜ *m. 2^a* S ἐνεματήσομεν A^t στενότ. *codd.* 23 *post* θαυμ.: ὅση (σοι A) χ ψ ω γίγν. χ ψ ω κατὰ C^p P 25 σχῖνος A σχῖνος, *in marg.* ⁺σχοῖνος *m. 1^a ut vid.* P σχοίνου ἄνθος ω *post* ὄξει: σκευασία τοῦ σκιλλίνου ὄξεος τοῦ συνθέτου — δίδου δὲ καὶ οἴνου σκιλλίνου τὴν σκευασίαν P^x 25. 26 καὶ οἴνῳ — κη *om.* P^x 27 λόγῳ *om.* C^p ψ καὶ κεφ. κη̅ | κεφ. κη A ια̅ κεφ. M^o *om.* P^a C^p P^x P ω *fort. delend.* 28 ἐπιμέλ.] θεραπεία P *id. ante* καυλοῦ *pr.* P^a

κρισις καὶ ἡ συνουσία ἐμποδίζεται. χρὴ μὲν οὖν τοῖς ἐπὶ τῆς κύστεως βοηθήμασι χρῆσθαι, ἐξαιρέτως δὲ νῦν καὶ κατὰ τῶν ἰσχίων τὰ θερμάσματα προσάγειν, ἤδη δὲ καὶ τὰ ῥηθησόμενα ἐν οἰκείῳ τόπῳ ἐντατικὰ διδόναι. ποιεῖ δὲ σὺν τοῖς λοιποῖς καὶ τὸ αἰδοῖον τοῦ ἐλάφου προσδεσμούμενον μηρῷ, ὥσπερ ζώνη καὶ τὰ κρέα αὐτοῦ ἐσθιόμενα καὶ πολύποδες θαλάττιοι καὶ ἐχῖνοι καὶ τῶν πτηνῶν οἱ ψᾶροι· τὸ δὲ καστόριον ἐπὶ πάσῃ παρέσει ἐπιτήδειον. παραφυλάττεσθαι δὲ ἐπ' αὐτῶν πάντα τὰ ψύχοντα ἐδέσματα καὶ πόματα.

Ἀπευθυσμένου παρεθέντος θεραπεία. καὶ τοῦ ἀπευθυσμένου δὲ λϛ
παρεθέντος ὡς ἐπίπαν ἀπροαιρέτως τὰ σκύβαλα ἐκκρίνεται, ἐνίοτε δὲ καὶ ἐπέχεται. καὶ τὰ βοηθήματα οὖν τὰ αὐτὰ ἔστω τὰ ἐπὶ τῆς κύστεως εἰρημένα, κατὰ τῶν ἰσχίων παραλαμβανόμενα. ἰδίως δὲ ἐπὶ τούτων διὰ κλυστῆρος ἐνίεμεν νῦν μὲν στύφοντα καὶ τονωτικά, νῦν δὲ λιπαρὰ πραΰντικὰ καὶ αὖθις δάκνοντα καὶ ἀμύσσοντα· τό τε οὖν ἀφέψημα τῆς κυπαρίσσου καὶ τῆς βάτου στύφει, μάλιστα ὅταν ἐκκρίνῃ ἀμέτρως· ὕειον δὲ καὶ χήνειον στέαρ καὶ μαλάχινον ἔλαιον λιπαίνει μάλιστα, ὅταν κατέχοιτο τὸ σκύβαλον ἢ δριμύττοιτο· ἅλμη δὲ καὶ κολοκυνθίδος ἀφέψημα καὶ κενταυρίου καὶ ἀρτεμισίας καὶ κονύζης καὶ θύμου ἀμύσσει καὶ δάκνει. ποιεῖ δὲ ἄκρως καὶ τὸ τῆς ἀσφαλτίτιδος τριφύλλου ἀφέψημα. ἐὰν δὲ ψύξεως αἴσθησις εἴη, ἁρμόδιον τὸ σίλφιον καὶ γεντιανὴν καὶ βρυωνίας ῥίζαν καὶ σικύου ἀγρίαν ῥίζαν ἐμπάσσειν τοῖς κλύσμασιν. ἐγὼ δέ ποτε καὶ τὸ διὰ τοῦ εὐφορβίου ἄκοπον ἀνιεὶς παρέπεμψα διὰ κλυστῆρος μετὰ ἀφεψήματος τήλεως καὶ ἐπέτυχον.

Ἐκ τῆς πρὸς Μάρσον ἐπιστολῆς Ἀρχιγένους. πόμα παραλυτικοῖς, περὶ οὗ φησιν οὕτως· „ἔστι δὲ καὶ λιτὸν φάρμακον σφόδρα μοι δεδοκιμασμένον πρὸς τὰς τοιαύτας διαθέσεις τοῦτο· καστορίου πηγάνου ἀγρίου σπέρματος ὀποπάνακος ἀνὰ ὀβολοὺς β̄ πυρέθρου ἀκόρου ἀνὰ ὀβολὸν ᾱ πεπέρεως κόκκους ῑ μεθ' ὑδρομέλιτος κυάθων δύο· δίδου τὸ

1—4 χρὴ — διδόναι | 9—23 Ἀπευθυσμένου — ἐπέτυχον *cf. Paul. ib. (ib. 165, 28—166, 4)* 3 τὰ ῥηθησόμενα ἐν οἰκείῳ τόπῳ ἐντατικά *cf. XI, 35 etc.* 24 *De Archigenis ad Marsum epistola cf. supra III 115, Gal. VIII 150, M. Wellmann, Die pneumat. Schule p. 21*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 4 *post* λοιποῖς: τὸ τοιοῦτον· ἰχθὺς ὁ ἐπιλεγόμενος στικ' σαρακοινηστί, γρηκιστὶ δὲ σαγιτ'· ἔστι δὲ σμικρότατον — ἐπὶ τῶν παρεθέντων. ὠφελεῖ δὲ P^x 6 ψαφαροὶ P^x A ψᾶρες P 8 *post* πόματα: ὅτι πάνυ βλαπτικά εἰσιν· δίδου δὲ καὶ τὴν σκευὴν τοῦ ὕδατος — διὰ τριῶν πεπέρεων καὶ τῶν ἑτέρων ἄλλων τῶν προρρηθέντων P^x 9 θεραπ. *om.* ω 11 ταὐτὰ P^x A ἐπὶ] κατὰ P^x 13. 14 νῦν δὲ — πραΰντικὰ *om.* L^a λιπ. πραΰντικὰ] λιπαρυντικὰ ω 14 *ante* ἀφέψ.: τὸ P^x ω 15 στύφει — ἀμέτρως] πεντανεύρου ἀρνογλώσσου ῥοῦ μαγειρικοῦ — ὅταν δὲ πάλιν ἐπέχεται τὸ σκύβαλον P^x 16 μαλάχιον P^x A 16. 17 μάλιστα — σκύβαλον] ἐνὲς τὸ σκύβαλον τὸ ἔντερον κατέχει P^x 17 ...χηται P^a P ...χοι C^p 19 ...τίδος φ ...τιζούσης *Or.* 20 εἰ P^x A ὅταν P^a C^p M^o P ω ἢ C^p A 20. 21 γεντιανὴ ῥίζα ...ῥίζα (...ν P^x) P^x P A^t ἐμπάσς.] ἐμπᾶσιν C^p ἐμπάσσειν *ex* ἐμπᾶσιν P^x ἐν πάσιν M^o ἐν πᾶσι P ω 22 ἐνιεὶς P^x ἀνανιεὶς A^t *m. 1ª* S 23 μετὰ — σὺν τῷ παρηγορεῖν *(p. 182. 6) om.* P^a 24—*p. 180, 2* Ἐκ τῆς — κέρατα τρία (— ὅλον A) *post* πολυοινίαν *(p. 180, 11) transp.* P^x M^o A ω 24 *ante* πόμα: ἀπὸ προσθήκης P^x A 25 οὗτος P^x A καὶ λιτ.] κάλλιστον P^x M^o A ω 26 καστόριον P^x P A^t 27 ὀβολῶν A S 28 ὀβολοῦ S

ἥμιcυ τὴν πρώτην, εὐτονήcαντι δὲ τὸ ὅλον“ [ὅτι ὁ ὀβολὸc ἔχει κέρατα τρία].

λζ Cκέλουc ἢ ἑτέρου τινὸc κώλου παρεθέντοc ἐπιμέλεια. εἰ δὲ cκέλοc ἢ χεὶρ ἢ ἕτερον κῶλον παρεθείη, τὰ προειρημένα ἐπὶ τῆc παραλύcεωc κοινὰ βοηθήματα παραλαμβανέcθω καὶ γυμνάcια cύμμετρα τὰ ἑκάcτῳ μορίῳ ἁρμόδια. χρῆcθαι δὲ ἐπὶ πάcηc παραλύcεωc καὶ τοῖc ἀλείμμαcι τοῖc ἐπὶ τῶν ἀρθριτικῶν ῥηθηcομένοιc. τροφαὶ δὲ ἐπὶ πάντων εὐδιοίκητοι ἔcτωcαν λεπτυντικαὶ καὶ εὐκοίλιοι μηδὲν γλίcχρον ἢ παχύχυμον ἔχουcαι, οἶνοc λεπτὸc καὶ λευκὸc καὶ μὴ πάνυ παλαιόc. καθόλου δὲ φυλάccεcθαι δεῖ φθορὰν ψῦξιν ἔγκαυcιν, ἀργίαν καὶ κόπον, cυνουcίαν πολυοινίαν.

λη Περὶ cπαcμῶν ἢ τετάνων. ὅταν εὐθὺc ἐξ ἀρχῆc ἢ οὐ μετὰ πολὺ τῆc ἀρχῆc τοῦ νοcήματοc γίγνωνται cπαcμοὶ καὶ διαμείνωcιν, ὑπὸ πληρώcεωc ἔχουcι τὴν γένεcιν. ὅταν δὲ ἱδρώτων πολλῶν προγενομένων ἢ ἐμέτων ἢ διαχωρήcεων γαcτρὸc ἢ αἱμορραγίαc cφοδρᾶc ἢ λιμὸc ἢ κινήcειc cφοδραὶ καὶ πολλαὶ ἢ ἐπιτεταμένηc ἀγρυπνίαc, ἐπὶ ξηρότητι δηλονότι cυνίcτανται, καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων ἐξαίφνηc cυμβῇ cπαcθῆναί τινα τῶν μορίων, ἀναγκαῖον ἐπὶ πληρώcει γεγονέναι. εἰ δὲ ἐκ πυρετῶν διακαῶν ἐπιγένηται cπαcμόc, δηλονότι ἐπὶ cφοδρᾷ ξηρότητι τοῦ παντὸc cώματοc καὶ μάλιcτα τῶν νευρωδῶν μορίων γίγνεται, καί ἐcτι τὸ τοιοῦτον μεγίcτων κακῶν αἴτιον καὶ cχεδὸν ἀνίατον. ὅταν μὲν οὖν εἰc τὰ πρόcω τείνηται τὰ μόρια τοῦ cώματοc, ἐμπροcθότονοc καλεῖται· |ὅταν δὲ εἰc τοὐπίcω, ὀπιcθότονοc· ὅταν δὲ ἰcοcθενῶc ἐφ' ἑκάτερα τὰ μέρη τείνηται, τότε τέτανοc ὀνο-

4 τὰ προειρημένα ἐπὶ τῆc παραλύcεωc κοινὰ βοηθήματα *cf. p. 177, 17 sqq.* 7 τοῖc ἐπὶ τῶν ἀρθριτικῶν ῥηθηcομένοιc *cf. XII 50 sqq.* 12—*p. 181, 9* Περὶ—ἁρμόδιον *Or.*ª *VIII cap. 15 (253, 4—23)* 12. 13 ὅταν—διαμείνωcιν *cf. Gal. de trem. palp. etc. VII 640, 4—23* 12—22 ὅταν—ἀνίατον *Paul. ib. (ib. 166, 19—27)* 17—19 δηλονότι—γεγονέναι *cf. Gal. ib. 641, 4—7* 17 ὅταν κτλ. *Gal. in Hipp. Aphor. comm. II 26 (XVII 2, 514—515)* 22—*p. 181, 4* ὅταν—θεραπεύων *Gal. de trem. etc. 641, 13—16, 18—642, 3* 22—*p. 181, 1, 2—9* ὅταν—ὀνομάζεται | τοὺc δὲ—ἁρμόδιον *Paul. III 20 (ib. 167, 24—26, 4—11)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1. 2 *post* ὅλ. cημαίνει δὲ P A^t ἔχει P^x ὅτι—τρία *om.* A *delevi* ὅτι *om.* χ S ἔχει] καμπανὸν P^x κεράτια C^p M^o 3 παρεθ. κώλου M^o ω 4 παραλ.] παρέcεωc α, *exc.* φ 6 καὶ *om.* P^x A 8 καὶ *om.* C^p P^x ψ ω κακόχυμον ω 9 *post* οἶνοc: δὲ P^x P λευκὸc καὶ λεπτὸc P^x M^o A ω 10 ...λάττεcθαι P^x M^o A δεῖ *om.* χ A ω διαφθορὰν χ A ω ἔκκαυcιν ω 11 *ante* πολυοιν.: καὶ A τε καὶ P 12 *ante cap.* λη *multa. Inc.* Περὶ τῆc ἐπὶ κωλικῷ νοcήματι γινομένηc παρέcεωc / Περὶ cπαcμοῦ *Explic.* γίγνεται δὲ καὶ ἐπὶ πυρετοῖc κακοήθεcιν ἢ P^x *ante* Περὶ: Περὶ τρόμου (...μων C^p M^o) καὶ cπαcμῶν ἐν πυρετοῖc ἐγράφη ἐν τῷ πρὸ τούτου (...ων M^o) λόγῳ A M^o *ead. ante* ὅταν C^p *in marg.* P. Περὶ—τετάνων *om.* P^x ἢ *alt.*] καὶ P^x ἤτοι A οὐ] οὕτωc P^x A 13 γίγνωνται C^p M^o ψ ...ονται *cett.* 14. 15 ...γιγνομένων ω 15 αἱμορραγία cφοδρὰ ω 15—17 ἢ λιμὸc—δηλονότι *om.* A^t 16 πολλαὶ καὶ cφοδραὶ α, *exc.* φ ἢ ἐπιτ. ἀγρ. *om.* α, *exc.* φ; *ante* ἢ λιμὸc *transposuerim cf. Or.* 17 ...cτατα: ω ὑγραινόντων φ A^t 18 ἀνάγκη P^x A 19 ...γίγνεται ω *post* cπαcμόc ὡc εἰρήκαμεν ἄνωθεν P^x 22 *post* cχεδὸν: ὡc ἐπίπαν P^x τείνη α *correxi* τὰ *om.* φ 24 τὰ *om.* C^p P^x P τείνεται P^x A^t γίνηται φ γίνεται S τότε *om.* α, *exc.* φ 24—*p. 181, 1 post* ὀνομάζ.] Ἐρώτηcιc. Τί δέ ἐcτιν ἐμπρόcθοτον; Ἐμπρόcθοτόν ἐcτι cπαcμόc—βαλcάμου ουΓΓ′ ᾱ. τοῦτο δὲ πρὸc παρεθένταc ποιεῖ. Ῥούφου *(extrem. verbum in marg.)* P^x

μάζεται. τοὺς μὲν οὖν ἐπὶ σφοδρᾷ ξηρότητι σπασμοὺς οὐκ ἄν τις ἰάσαιτό ποτε· τοὺς δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γιγνομένους ἰάσῃ, τὸ μὲν πλῆθος κενῶν, τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτῆς βοηθήμασι θεραπεύων. γίγνεται δέ ποτε σπασμὸς κἀπὶ τῶν σφόδρα σπαραττομένων ἐμέτοις, καὶ καθίσταται ἐμεθέντων τῶν λυπούντων. βοηθεῖ δὲ τοῖς ἐπὶ πλήθει σπωμένοις ⟨ἀκανθίου ῥίζα⟩ πινομένη, ἀκάνθης λευκῆς τὸ σπέρμα πινόμενον, κενταυρίου τοῦ λεπτοῦ ὁ χυλός, σέσελι μετ' ὀξυκράτου· καστόριον δὲ οὐ μόνον πινόμενον, ἀλλὰ καὶ ἔξωθεν συγχριόμενον ἁρμόδιον. ταῦτα δὲ προσφέρομεν τοῖς ἐπὶ πλήθει σπωμένοις.

Περὶ τοῦ τετάνου ἤτοι σπασμοῦ ἐκ τῶν Ἀρχιγένους. τί μὲν λθ
σημαίνει τὸ τετάνου ὄνομα, ἤδη προείρηται. ἁλίσκονται δὲ τῷ πάθει καὶ ἄλλως μέν, καθὼς προείρηται, καὶ ἀπὸ τραυμάτων δὲ καὶ γυναῖκες ἐν ταῖς ἐκτρώσεσιν. οἱ δ' ἐπὶ τραύματι γιγνόμενοι τέτανοι οὐ μάλα διασῴζονται. οὔτε δὲ νηπίοις οὔτε γέρουσιν ὁ τετανικὸς σπασμὸς γίγνεται· τοῖς γὰρ νηπίοις ἡ ἐπιληψία μᾶλλον ἐνοχλεῖ. οὔκουν μὴ ἀμελητέον, ἀλλὰ φλεβοτομεῖν, εἰ ἐπὶ τραύματι μάλιστα ὁ τέτανος γέγονε. πλῆθος δὲ ἀφαιρεῖν ἱκανὸν μέν, μὴ μέντοι μέχρι λειποθυμίας, καὶ τρέφειν χόνδρῳ μετὰ μελικράτου· ὀλίγον δὲ ἔστω τὸ διδόμενον. ὑδρελαίῳ τε λιπαρῷ χλιαρῷ συγχριστέον αὐτοὺς καὶ ἐμβιβαστέον μέχρι κατωτέρου τοῦ ὀμφαλοῦ. δεῖ δὲ καὶ προλιπανθῆναι καὶ τὰ μὴ βρεχόμενα μέρη καὶ μάλιστα καὶ τὴν κεφαλὴν καὶ σκέπτεσθαι καλῶς, ὅπως μὴ συμπληροῖτο. χρίσματα δὲ καὶ πιλήματα παραλαμβάνειν δι' ἐλαίου σικυωνίου καὶ γλευκίνου ἰρίνου ἢ παλαιοῦ μύρα ἄκοπα συμμέτρως θερμαίνοντα, οἷον τὸ διὰ σαμψύχου τὸ δυσῶδες τὸ διὰ τῆς αἰγείρου

1—6 τοὺς μὲν — σπωμένοις *Ruf. id. 375—376* 6. 7 ἀκάνθης — πινόμενον *cf. Gal. de simpl. med. VI, 15 (XI 818, 16—18)* 11 προείρηται *180, 24* 16—17 φλεβοτομεῖν — λειποθυμίας *cf. Aret. V, 6 (107, 21—26)* φλεβοτομεῖν — ἱκανόν *cf. Gal. ascr. int. s. m. 13 (XIV, 738, 6—7)* 17 πλῆθος — λειποθυμίας *cf. Paul. III 20 (168, 25—26)* 22—*p. 182, 4* χρίσματα — ἐλαίου | καταπλάσματα κτλ. *cf. Gal. ib. (ib. 11—14)*

φ(L^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) 2 ἰάσῃ] ....ει C^p M^o S 3 αὐτοῖς P^x ω 4 θεραπ. *om.* P^x A ποτε] καὶ P *om.* χ A ω 5 δὲ *om.* φ 5. 6 ἐπὶ πλήθει *om.* C^p M^o P ω 6 ἀκανθίου ῥίζα *ex Or. supplevi* 6—8 πινομενη — συγχριόμ] τὰ προρηθέντα ἄνωθεν, οἷον τὸ διὰ κάστρου ἡ ἀνακάρδιος — καὶ τἄλλα ὅσα εἰρήκαμεν ἔμπροσθεν ἐν τῶ προτέρω βιβλίω ἐν τῶ περὶ ἐν πυρετοῖς σπασμ⟨ῶν⟩ P^x πινόμενα φ χ: *om* ψ ω *Or. Paul.*: *corr.* ἀκάνθης — σπέρμα *om.* ω 7 πινομένου C^p ω *post* μετ': ὀξυμέλιτος ἢ (ἢ *om.* A^t) ω ὀξυκρ. *om.* A^t 8. 9 ἁρμόδιον — προσφ.] ταῦτα πάντα ἁρμόδια τὰ ῥηθησόμενα P^x 10. 11 Τί μὲν — προείρηται.] Τί ἐστι σπασμός; Σπασμός ἐστι πάθος περὶ νεύροις κτλ. *(A. Olivieri, Br. gr. s. polso arter. e framm. di Archig.)* ὁ δὲ ὀπισθότονός ἐστι σπασμὸς καὶ σύντασις τοὐπίσω κτλ. ὁ δὲ ἐμπροσθότονος ὅταν ἔμπροσθεν ἕλκεται ὁ τράχηλος κτλ. P^x 11 *ante* τετ.: τοῦ C^p M^o ψ 15. 16 μελητέον C^p P S 16 *post* φλεβοτ.: τί δὲ ἐστιν ἡ ἐπιληψία τῶν παίδων; ἐπίληψις διανοίας καὶ τῶν αἰσθητηρίων — κατὰ τὴν ἄνεσιν τοῦ σώματος P^x εἰ *ante* ὁ M^o 17 μὲν ἱκανὸν ω μέν *om.* C^p P *ante* μέχρι: καὶ ω ἄχρι C^p P 18 *post* τρέφ.: μετὰ βραχὺ C^p P ω 19 ὑδρέλαιον ...ρὸν ...ρὸν α *corr.* 19—22 ὑδρ. — συμπληροῖτο *in marg. m. 2ª* M^o *om.* φ C^p 20 καὶ *pr. om.* M^o P 21 καὶ *alt. om.* P^x M^o ψ S καλὸν M^o P^x A ....λαμβανέσθω ω 23 καὶ] ἢ P^x A *om.* M^o λευκίνου ω (λευκίου *Ald.*) *ante* ἰρίνου: ἢ P^x ψ 24 τὸ δυσ. τὸ δ. σαμψ. ω

καὶ τὰ παραπλήσια, ὧν αἱ συνθέσεις ῥηθήσονται ἐν τῷ περὶ τῶν ἀρθριτικῶν λόγῳ. ἐὰν δὲ μὴ ἀπὸ τραυμάτων, ἀλλ' ἀπὸ πληρώσεως γένηται ὁ τέτανος, μετὰ τὴν φλεβοτομίαν τοῖς ἀμυκτικωτέροις ἀλείμμασι κεχρῆσθαι, ὅσα ἀδάρκην ἔχει καὶ ὅμοια. εἶτα καταπλάσματα τοῖς πεπονθόσι τόποις προσάγειν, χαλᾶν καὶ διαφορεῖν δυνάμενα σὺν τῷ παρηγορεῖν· μάλιστα δὲ τοῖς κατὰ τὸν τράχηλον καὶ σιαγόνας μυσὶ καὶ τοῖς τῆς ῥάχεως ταῦτα προσάγειν. ἡ δὲ τούτων ὕλη τῆλίς ἐστι καὶ λινόσπερμον κρίθινον ἄλευρον αἴρινον. περιπεπλέχθω δὲ τερεβινθίνη ῥητίνη καὶ χαλβάνη καὶ μέλι ἱκανὸν καὶ ἔλαιον, ἐν ᾧ ἀφέψηται πήγανον ἢ κόνυζα ἢ ἀρτεμισία ἢ λιβανωτίς. συνεμπλασσέσθω δὲ ἐνίοτε καὶ ἀμμωνιακὸν θυμίαμα. εὐαφέστατα δὲ ἔστω καὶ κουφότερα τὰ καταπλάσματα. καὶ πυρία δὲ προσαγέσθω ὑποκειμένου τοῦ καταπλάσματος διὰ κύστεως εὐμεγέθους ἡμιπλήρους ἐλαίου θερμοῦ ἢ ἁλὸς φρυκτοῦ ἢ κέγχρου ἐν μαρσίποις. καὶ τὰ καταπλάσματα δὲ ἐν μαρσίποις ἐμβληθέντα ἐπιτιθέσθω ἕνεκα τοῦ ἀμολούντως πυριᾶν καὶ μάλιστα εἰ τῇ κεφαλῇ προστιθέναι δέοι. παραπεφυλάχθαι δὲ τὰς συνεχεῖς ἐμβροχὰς ἐπὶ κεφαλῆς· πληρωτικαὶ γὰρ τυγχάνουσι. περιλαμβανέτω δὲ τὰ καταπλάσματα καὶ αἱ ἐμβροχαὶ αὐχένας σιαγόνας καὶ ῥάχιν ὅλην μέχρι ψοῶν. παραπεπάσθω δὲ ταῖς ἐμβροχαῖς καστόριον καὶ σικύαι μετ' ἀμύξεως προσκολλάσθωσαν τοῖς πεπονθόσι μέρεσιν ἅπασι. χρόνου δὲ ἐγγιγνομένου καὶ εἰς ἔλαιον ἐμβάσεις παραληπτέαι καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας συμμέτρως. δεῖ δὲ τὸ μὲν πέμπτον μέρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν, τὸ δὲ λοιπὸν ἐμβαλεῖν τῇ ἐμβάσει. κατασκευαζέσθω δὲ καὶ ὁ οἶκος θερμός· ποτὰ δὲ ἁρμόδια, τό τε κάλλιστον ὀξύμελι καὶ σιλφίου ῥίζης ἀφέψημα καὶ αὐτὴ λεία καὶ ὑσσώπου ἀφέψημα, ὀποῦ

1 ἐν τῷ περὶ τῶν ἀρθριτικῶν λόγῳ *cf. XII, 50 etc.* 17—22 περιλαμβανέτω — συμμέτρως *Or.*^{a} *ib. (254, 2—7)* 20—22 χρόνου — συμμέτρως *Paul ib. (ib. 168, 27—28)* 23. 24 κατασκ. — θερμός *cf. Aret. ib. (107, 18—19)* 24—*p. 183, 3* ποτὰ — κοχλιάριον *Aret. V 6 (109, 11 sqq.) Paul. ib. (ib. 169, 2—7)* 25—*p. 183, 1* ὀποῦ—ὄροβος

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 *post* παραπλήσια: Σκευασία τοῦ διὰ σαμψύχου τὸ δυσῶδες· ῥητίνης λ' ᾱ κηροῦ ου$^{ΓΓ'}$ ἓξ κτλ. Σκευασία τὸ διὰ τῆς αἰγείρου ἐ^χ *sqr. spat. vac. unius et mediae lineae* P^x 1. 2 ὧν — λόγῳ *om* P^x αἱ *om.* A^t *m. 1*^{a} S 4 *ante* ὅμοια: τὰ C^p A^t *ante* καταπλ.: καὶ C^p A ω 5 *ante* χαλᾶν: τὰ P^x A 5. 7 χαλᾶν — προσάγειν *om.* A^t δυναμένοις S 8 ....σπερμα P^a M^o ω *ante* κρίθ.: καὶ P ω παραπεπλ. χ ψ 9 καὶ *pr. om.* P^x P 10 ἢ *pr.*] καὶ P^x *om.* ω συνεμπλακέσθω A συμπασέσθω A^t συνεμπασσέσθω (...ασέσθω M^o) C^p P S 11 ...φότατα P κοῦφα ω 13 *ante* ἡμιπλ.: καὶ A^t 13. 14 ἁλὸς φρυκτὸν L^a ἅλας φρυκτὸν C^p P^x ἁλῶν φρυκτὸν P^a M^o ἅλες φρυκτοὶ A 14 κέγχρος A ...ρων P^x P ....ον φ ω 14. 15 μαρσυπίοις A ...σιπίοις P^a P^x ...ί^{π}ποις C^p ...ίπποις M^o ....ήπποις A^t ....ίππω P καὶ τὰ — ἐν μαρσίποις *om.* P^a P τὰ *om.* P^x M^o μαρσ. *v. supra* 15 ..βληθέντων P^x P 16 δέε^{οι} P^x δέει P παραφυλάχθω P παρα^{πε}φυλάχθαι *supra scr. m. 2*^{a} S παραφυλάχθαι L^a A^t *m 1*^{a} S 17 παραλαμβ. A^t 18 τὸ κατάπλασμα χ A ω αἱ (ἡ C^p) *om.* A^t *m. 1*^{a} S ...βροχὴ C^p αὐχένος P^x A ...να C^p P ω *ante* σιαγ.: καὶ ω 19 ψωῶν P^a ψιῶν P^x ψοιῶν A 20 μετὰ μύξεως P A^t μ. σμίξεως A μορίοις ω 21 *ante* εἰς: αἱ P^a C^p A *m. 2*^{a} S τὰς P ...ληπτέον P ω 23 ...βάλλειν C^p M^o P S δὲ *om* L^a καὶ *om.* ω 24 ἀπόμελι α, *exc.* L^a 25 καὶ αὐτὴ — ἀφέψημα *om.* L^a καὶ αὐτὴ *usque ad fin. cap. om.* P *ante* ἀφέψ. δὲ P^x A

κυρηναικοῦ ὅσον ὄροβος καταπινόμενος, cμύρνης τρωγλίτιδος κυάμου μέγεθος καταπινόμενον. πάντων δὲ ἀπληκτότατον καὶ ἀνυcιμώτατόν ἐcτι τὸ καcτόριον λεῖον διδόμενον κοχλιάριον. μετὰ δὲ ταῦτα διαχρίcειc τῆc ἕδραc χρήcιμοι διὰ πηγάνου καὶ ὀποπάνακοc. βοηθεῖ δὲ καὶ ἔνεcιc ἐλαίου πηγανίνου μετὰ τερεβινθίνηc. διδόναι δὲ αὐτοῖc καὶ τῆc Ἀρχιγένουc ἱερᾶc <β̄ μετὰ καcτορίου ἴcου cὺν πτιccάνηc χυλῷ καὶ μέλιτι· εἶτα τῶν ἄλλων τινὰ διδόναι ἢ αὐτὸ τὸ καcτόριον καθ' αὐτό.

μ̄ Ἐκ τῶν Γαληνοῦ διοριcμοὶ περὶ κεφαλαλγίαc. ὅcοι μὲν οὖν ἔγραψαν ἄνευ διοριcμοῦ κεφαλαλγίαc ἰάματα, πλείονα βλάβην ὠφελείαc εἰργάcαντο τοῖc πιcτεύcαcιν. οὐ γὰρ ἐν μιᾷ διαθέcει πάντεc ἀλγοῦcι κεφαλήν, ἀλλὰ πλείουc εἰcὶν αἱ διαθέcειc ἥ τε ἴαcιc ἑκάcτηc αὐτῶν ἰδία. μία μὲν γὰρ διάθεcίc ἐcτι κατὰ δυcκραcίαν ἁπλῆν ἄνευ χυμῶν, ἑτέρα δὲ ἐπὶ τῇ τούτων ποιότητι, τρίτη δὲ διὰ τὸ πλῆθοc αὐτῶν μόνον γιγνομένη, τετάρτη δὲ ὅταν ἐμφράξῃ τὸ πλῆθοc τὰc διεξόδουc τῶν τε ὑγρῶν καὶ τῶν ἀτμῶν, καὶ πρὸc ταύταιc ἑτέρα, ὅταν δι' ἀcθένειαν ἔν τιcι τῶν κατὰ τὴν κεφαλὴν μορίων πνεῦμα φυcῶδεc ἐγγεννηθῇ. cφοδρόταται μὲν οὖν κεφαλαλγίαι γίγνονται κατὰ θερμότητα καὶ ψυχρότητα, μέτριαι δὲ κατὰ ξηρότητα, ταῖc δὲ ὑγρότηcιν οὐδεὶc ἕπεται πόνοc. ὡcαύτωc δὲ κἂν ἐπὶ χυμοῖc πλεονάcαcιν ἤτοι κατὰ πάντα τὰ μόρια τῆc κεφαλῆc ἢ καθ' ἓν ὁτιοῦν cυνέβη τὸ ἄλγημα, καὶ cφοδρότερον μὲν ἐγγίγνεται διὰ τοὺc θερμούc τε καὶ ψυχροὺc χυμούc, μέτριον δὲ ἐπὶ τοῖc ξηραίνουcιν ἄνευ θερμότητοc ἐπιφανοῦc. οἱ δὲ ὑγραίνοντεc χυμοὶ ἀνώδυνοι τελέωc εἰcίν, ὅcον γε ἐπὶ τῇ ποιότητι· διὰ γάρ τοι τὸ πλῆθοc ἄνευ μὲν ἐμφράξεωc βαρύνουcι τὴν κεφαλήν, cὺν ἐμφράξει δὲ ὀδύναc ἐπιφέρουcιν. ἐὰν δὲ δακνώδη ποιότητα τὸ πλῆθοc ἔχῃ,

2—5 πάντων — πηγανίνου *Or.*^{c} *72 (IV 233, 25—26, 31, 33—34, 234, 4—5)* 3 μετὰ κτλ. *cf. Aret. ib. 20sqq.* 3. 4 μετὰ — ὀποπάνακοc *Paul. ib. (ib. 169, 11—12)* μετὰ — πηγάνου 4—5 βοηθεῖ — τερεβινθίνηc *Or.*^{a} *VIII, 16 (254, 7—8)* *9—p. 184, 1* ὅcοι μὲν — ὀδύνην *Gal. de comp. med. sec. loc. II 1 (XII 498, 1—499, 4, 6—15, 500, 1—3, 4—6)* 13 μία μὲν γὰρ κτλ. *cf. Paul. III 4 (I 137, 15 sqq.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ....νόμενον M^o ω διδόμενοc P^x A 3 λεῖον *om.* P^x A ...άριοc ᾱ ω 4 *post* ὀποπ.: καὶ τερεβινθίνηc P^x A *sqr.* καὶ τῆc καλλίcτηc καὶ τῆc ἱερᾶc — cυκίου ἀγρίου ῥίζηc μετὰ μέλιτοc καὶ ἐλαίου P^x 5 δὲ *om.* M^o A 6 ἴcου] ὅcον ᾱ P^x 7 καὶ] ἢ C^p A τινὰ (*om.* P^x A) τῶν ἄλλων A ω *post* διδόναι: ἀντιδότων, οἷον τὸ διὰ καcτορίου καὶ τῶν ὁμ⟨οίων⟩ — τὴν ἐπονομαζομένην cυριcτὶ μαιμπελαγχαία P^x ἢ] καὶ χ A ω 8 *post* αὐτό: Ποcειδωνίου· κράτιcτον δὲ βοήθημα ἐπὶ τοὺc τετανικοὺc — καὶ ἔρευθον αὐτοῖc τὸ πρόcωπον ἠχοῦcιν *[cf. A. Olivieri, Framm. med.]* P^x 9 Περὶ κεφαλ. ἐκ τ. Γαλ. διοριcμοί ω οὖν *om.* P^x M^o ψ ω 10 τῆc ὠφ. A ἢ ὠφέλειαν ω *(Gal.)* 13 ἐcτι διάθεcιc P ω *ante* κατὰ: αὐτῆc P^x M^o ω 14 τῇ *supra scr. m. 2*^{a} S *om.* L^a A^t αὐτὸ ω 15 μόνων C^p P^x ...φράξει M^o A A^t ...$\overset{H}{ει}$ C^p 16 τε *om.* A^t 17. 18 γεννηθῇ P^a P 20 καὶ α *corr. ex Gal.* *post* πλεονάc.: (οὐδεὶc ἕπεται) *Ald.* 21 *post* ὁτιοῦν *add.* ἢ δύο *Gal.* 22 χυμούc *om.* ω 23 ἢ ψύξεωc *post* θερμ. *add. Gal.* 24 τελείωc A παντελῶc P 26 ἔχει A^t ...$\overset{H}{ει}$ C^p ...$\overset{o}{ει}$ M^o ...οι P^a S

αὐξήσει τὴν ὀδύνην. τὸ δὲ φυσῶδες καὶ ἀτμῶδες πνεῦμα διάτασιν ἐργάζεται χωρὶς δήξεως.

μα Πρὸς κεφαλαλγίαν δι' ἔγκαυσιν ἢ θερμότητά τινα γιγνομένην· τὰς δὲ δι' ἔγκαυσιν ἤ τινα θερμότητα κεφαλαλγίας ἰᾶται τὰ ψυκτικὴν ἔχοντα δύναμιν ἄνευ τοῦ στύφειν ἐπιφανῶς· ἄριστα δὲ αὐτῶν ἐστιν ὅσα λεπτομερέστερα ταῖς οὐσίαις [αὐτῶν] ἐστί· διὸ κατ' ἀρχὰς οὐδὲν ἄμεινον τοῦ καλλίστου ῥοδίνου ψυχροτάτου γιγνομένου καὶ κατὰ τοῦ βρέγματος καταχεομένου. ἔστω δὲ τὸ ῥόδινον αὐτοετὲς ἐξ ὀμφακίνου ἐλαίου ἁλῶν μὴ ἔχοντος ἐσκευασμένον. ἐφεξῆς δὲ τῷ ῥοδίνῳ τὸ χαμαιμήλινον ἔλαιόν ἐστιν, ἐφ' ὧν μετρίαν δεῖ τὴν ἔμψυξιν ἐργάζεσθαι. ἐπειδὰν δὲ σφοδρῶς ψῦξαι βουληθῶμεν τὸ ῥόδινον, μιγνύναι προσήκει χυλὸν ἀειζῴου ἢ πολυγόνου ἢ θριδακίνης ἢ ὄμφακος σταφυλῆς ἢ ἀνδράχνης ἢ ἑλίκων ἀμπέλου ἢ ψυλλίου ἢ σέρεως· μήκωνος δὲ καὶ μανδραγόρου χυλὸς σφοδρῶς ἐμψύχει· διὸ βλαβερά. Ἐρασίστρατος δέ φησι μεγίστην εἶναι προφυλακὴν ἐπὶ τῶν θερμοτέρων ἕξεων, ὅταν ἡλιοῦσθαι μέλλῃ τις· [εἰ] σπόγγον πλατὺν πυκνὸν καὶ κοῖλον βρέξας εἰς ὕδωρ καὶ ἐκπιέσας σφόδρα ἐπιτίθει τῇ κεφαλῇ. ὀδυνώδους δὲ ἐπικρατούσης θερμότητος κατὰ τὴν κεφαλὴν ἅμα φυσώδει πνεύματι κατ' ἀρχὰς μὲν ἀποκρουστικῇ θεραπείᾳ χρηστέον ἐκ τῆς τῶν ψυχόντων καὶ στυφόντων δυνάμεως γιγνομένης. μετὰ δὲ ταῦτα τῶν παρηγορικῶν τι καὶ πεπτικῶν φαρμάκων μιγνύναι χρὴ τοῖς ἀποκρουστικοῖς, εἶτα καὶ τῶν διαφορητικῶν καὶ λεπτυνόντων τι προσθετέον, ἀφαιροῦντα κατὰ βραχὺ τῶν ἀποκρουστικῶν φαρμάκων.

3—17 Πρὸς — κεφαλῇ *Or.^{a} VIII 17 (254, 15—28)* 6—10 διὸ κατ' ἀρχὰς — ἐργάζεσθαι | 12—17 χυλὸν — κεφαλῇ *Gal. de comp. med. s. loc. II 1 (XII, 507, 2—7, 10—11, 508, 15—509, 1, 511, 3—7)* 6—13 κατ' ἀρχὰς — σέρεως *Or.^{e} IV, 1 (436, 5—6, 9, 10—11, 15—16)* 6—12 κατ' ἀρχὰς — σταφυλῆς *cf. Gal. de rem. parab. I 1 (XIV 314, 17 sqq.)* 17—22 ὠδυνώδους—προσθετέον *cf. Or.^{a} VII 17 (255, 14—17)*

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 2 *post* δήξεως: περὶ μὲν οὖν τῆς ἐν πυρετοῖς γιγνομένης κεφαλαλγίας ἐν τῷ πρὸ τοῦδε βιβλίῳ ἐν τῷ περὶ πυρετοῦ λόγῳ διεδηλώσαμεν· περὶ δε τῶν ἄλλων νῦν λέγωμεν P^{x} 3 Περὶ κεφαλαλγίας L^{a} ω θερμ. γιγνομ. P^{x} A ...μότητος ...μένης A^{t} *m. 1^{a}* S 4 δὲ *om.* P^{a} M^{o} ψ S ἢ *post* τινα M^{o} *om.* ω ...μότητος *Ald.* *post* κεφαλαλγ.: σημεῖα παρέπονται τούτων, ὧν τὸ δέρμα θερμὸν τῇ ἁφῇ — καὶ ὠφελοῦνται πρὸς αὐτὸν P^{x} *post* ἰᾶται: δὲ P^{x} 6 ταῖς οὐσ. ἐστὶ P^{a} C^{p} M^{o} τ. οὐσ. εἰσὶ P^{x} ψ ἐστὶ τ. οὐσ. ω αὐτῶν *om. et Paul.* *post* διὸ: καὶ P^{x} A 9 τὸ] δὲ *Ald.* 9. 10 χαμαίμηλον L^{a} P^{x} ω *post* ἐργάζ.: ἢ ζωμὸν σελίνου — πυρίαζε ἐπὶ τούτοις P^{x} 11 τὸ ῥόδ. *om.* C^{p} M^{o} P ω *post* μιγνύναι: αὐτῷ P^{x} A *(Gal.)* 12 *post* πολυγ.: χυλὸν P^{x} S 13 ἀμπελίου P^{a} ...λων P^{x} A ω *post* ψυλλίου: ἢ σανδάλου, *post* σέρεως: ἢ στρύχνου P^{x} 15 προσφ. P^{x} S 16 ἀλλοιοῦσθαι A^{t} εἰ C^{p} M^{o} ψ *Gal.* εἰς L^{a} P^{x} *om.* P^{a} ω *canc. sepsi* καὶ κοῖλον *om.* P^{a} M^{o} P ω 17 πιέσας P^{a} C^{p} M^{o} P ω ...τίθη A ...ης P ἐπίθη M^{o} ἐπιθήσεις *Gal.* δὲ *om.* P^{a} C^{p} 19 ....κρουστικῶν ω ψυχ. καὶ *om.* A^{t} 19. 20 στυφ. κ. ψυχ. M^{o} A S 20 δυνάμεων A *om.* C^{p} M^{o} P ω γιγνομένη P^{a} A *post* γιγν.: οἷον πεντανεύρου ἀρνογλώσσου ζωμὸν ῥοδοστάγματος καὶ τῶν ὁμοίων P^{x} ...γορητικῶν ψ 21 τι] τε L^{a} A τι *post* πεπτ. P *om.* χ ω 22 καὶ λεπτυν. *om.* α, *exc.* L^{a} 23 *post* φαρμ.: ἐκ τῶν Γαληνοῦ *(in marg.)*. Χρονιζούσης δὲ τῆς κεφαλαλγίας καί ἐστιν ὁ πόνος σφυγματώδης ἢ ἐρυθροῦν τὸ πρόσωπον — ἐπίθες κατὰ τοῦ μετώπου P^{x}

Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας. ἐπὶ δὲ τῶν ἐν πυρετοῖς συν- μβ
εισβαλλουσῶν ἐξ ἀρχῆς κεφαλαλγιῶν, φλεβοτομεῖν τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ ἀνέσει, εἰ μηδὲν κωλύοι, καὶ μάλιστα ἐπὶ τῶν εὐεκτῶν καὶ πολυαίμων. προσέχειν δὲ μὴ διὰ τὰς ἐκ τῆς γαστρὸς ἀναθυμιάσεις γίγνεται ἢ διὰ ἐποχὴν κοιλίας ⟨τὰ τῆς κεφαλαλγίας⟩. εἰ δὲ ὕστερον μετὰ τὴν ἑβδόμην εἰςβάλλοι, προκενώσας τὴν κοιλίαν διὰ κλυστῆρος ἀξιολόγως, σικυαστέον ἀπὸ ἰνίου ἢ αὐχένος καὶ παρηγορητέον τὴν κεφαλὴν ταῖς δι᾿ ἐλαίου ἐμβροχαῖς, ῥοδίνῳ μὲν ἐπὶ τῶν θερμοτέρων καὶ ὥρᾳ θερινῇ μετὰ βραχέος ὄξους, χαμαιμηλίνῳ δὲ ἐπὶ τῶν μὴ πάνυ θερμῶν, ἀνηθίνῳ δὲ ἐπὶ τῶν ψυχροτέρων ἕξεων καὶ ἐν χειμῶνι πέμπτον μέρος ὄξους προσειληφότι. ἐπιχρίειν δὲ τὸ μέτωπον κύφει μὲν ἐπὶ τῶν ψυχροτέρων, κροκομάγματι δὲ ἐπὶ τῶν θερμοτέρων. ἐπὶ μεγέθει δὲ πυρετῶν γιγνομένης κεφαλαλγίας ἰάματα προγέγραπται ἐν τῷ περὶ πυρετῶν λόγῳ.

Πρὸς κεφαλαλγίαν διὰ μέθην ἢ ἀκρατοποσίαν. οἱ θερμοὶ μάλιστα μγ
τῇ κράσει οἶνοι κεφαλαλγίαν γεννῶσι πληροῦντες πάντως μὲν ἀτμῶν τὴν κεφαλήν, ἔστι δ᾿ ὅτε καὶ χυμῶν θερμῶν. χρεία τοίνυν ἐστὶ τὸ μὲν πλῆθος κενῶσαι, ἐμψῦξαι δὲ τὴν θερμότητα. ῥόδινον οὖν ἤ τι τοιοῦτον μὴ πάνυ ψυχρὸν, ἀρκεῖ προσφερόμενον τῇ κεφαλῇ ὕπνος τε καὶ ἡσυχία. κἀπειδὰν τοιαῦτα πραχθῇ, δι᾿ ὅλης ἡμέρας εἰς ἑσπέραν χρὴ λούσαντα θρέψαι τροφαῖς εὐχύμοις μέν, οὐ μέντοι θερμαινούσαις, οἷόν ἐστι πτισσάνης χυλὸς ἢ ἄλικος καὶ ἄρτος μεθ᾿ ὕδατος καὶ τὰ ῥοφητὰ ᾠὰ ἄνευ γάρου καὶ θριδακίναι ἀπεζεσμέναι. ποτῷ δὲ ὕδατι πάντως χρηστέον. διδόναι δὲ μετὰ πᾶσαν τροφὴν ῥοᾶς βραχὺ ἢ μήλου ἢ ἀπίων ἢ σταφίδων, τῇ δὲ ἑξῆς λούειν καὶ τρέφειν εὐχύμῳ τροφῇ καὶ οἶνον λεπτὸν καὶ λευκὸν ὀλίγον διδόναι. προπινόμενα δὲ ἀμέθυστά ἐστιν ἀμύγδαλα πικρὰ ε̄ ἢ ζ̄ νῆστις ἐσθιόμενα, οἶνος ἀψινθίτης ἢ μυρτίτης προσλαμβανόμενος καὶ αὐτὰ τὰ μύρτα προεσθιόμενα, κράμβης καυλοὶ προεσθιόμενοι· ἐπιπινόμενα δὲ μέθην σβέννυσι κενταυρίου λεπτοῦ ἀφέψημα ἐλάφειον κέρας περιστερεῶνος ὀρθοῦ σπέρμα μεθ᾿ ὕδατος.

1—14 Περὶ — λόγῳ *Gal. de comp. med. s. loc. ib. (ib. 560, 8—561, 5)* Περὶ — ἐμβροχαῖς *(8) (nonn. om. vel mut.) Or.*[c] *1 (IV 185, 4—11)* 6—8 προκενώσας — θερμοτέρων *cf. Paul. II 43 (I 114, 20 sqq.)* 13—14 προγ. — λόγῳ *cf. V 118 (p. 96, 6 sqq.)* 15—25 οἱ θερμοὶ — σταφίδων *Gal. ib. (ib. 515, 8—11, cf. 12—16; 516, 2, 4, 5—10, 13—15. 17, 517, 6)* οἱ θερμοὶ — λούειν *(25) cf. Or.*[e] *IV, 1 (437, 25—32)* 17—21 χρεία — θερμαινούσαις *Or.*[a] *VIII 17 (255, 20—23)* 24—25 διδόναι — ἀπίων *cf. Paul. III 4 (I 140, 14—15)* 27 ἀμέθυστα — ἐσθιόμενα *Gal. de rem. parab. III (XIV 540, 10)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω ($S A^t$) 1. 2 εἰσβαλουσῶν P^x A ἐξ ἀρχῆς *om.* ω 3 κωλύει ψ A^t 5 τὰ — κεφαλαλγ. *add. ex Gal.* 6 εἰσβάλοι $P^a C^p$ ...λει A ...αλ' P^x ....άλοιεν P προκενώσαντες *Gal. (fuitne* προκενώσαντι*?)* 8 ἐπιβροχαῖς P^x A 11 κύφι $L^a M^o$ A ...η $C^p P^x$ 12. 13 ἐπιμεγέθη $P^a C^p$ 13 προεγράφησαν P^x 14 *post* λόγῳ: Περὶ τῶν ἐπὶ ψυχρᾷ δυσκρασίᾳ κεφαλαλγούντων. τούτοις ἕπεται ναρκῶδες βάρος – ἀπράκτη γὰρ χρονίσαντ⟨ι⟩ P^x 17 θερμῶν χυμῶν P^x ψ 20 ταῦτα P^a P *(Gal.)* πραχθῇ] προσαχθῇ *Ald.* *ante* ἡμ.: τῆς A ω 22 ἢ *om.* L^a 23 θριδακίνης ἀπεζεσμένης M^o ω 24. 25 μήλων C^p P 26 λευκ. κ. λεπτ. $P^a P^x A^t$ προσπιν. $P^a A^t$ 27 νήστεσιν P^a ...εις P^x ...ης A S ...ει P νῆστις *indecl.?* 28 μυρσίτης ω προλαμβ. $C^p M^o$ ἐσθιόμενα L^a 29 σβεν(ν)ύουσι(ν) P^x ψ 30 ὀρθοῦ] ...ῆς ω

$\overline{\mu\delta}$ Ἐψυγμένης κεφαλῆς ἰάματα. ἐπὶ δὲ τῆς προσφάτως ἐψυγμένης κεφαλῆς πηγανίνῳ ἐλαίῳ θερμῷ ἐμβρέχειν δεῖ τὸ βρέγμα, εἰ δὲ σφοδροτέρας δεήσῃ θερμασίας, ἐπεμβάλλειν εὐφορβίου βραχέος τῷ ἐλαίῳ. καὶ μύρῳ ἰρίνῳ ἀλείφειν ἢ ἀμαρακίνῳ ἢ ναρδίνῳ ἢ δαφνίνῳ ἢ ἑρπυλλίνῳ· ἐπιχρίειν δὲ καὶ τὸ μέτωπον τοῖς τοιούτοις καὶ διαχρίειν τῶν ῥινῶν καὶ τῶν ὤτων τοὺς πόρους.

$\overline{\mu\epsilon}$ Περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγιῶν. ἔνιοι κἂν βραχύς τις ἐν κοιλίᾳ καὶ μάλιστα κατὰ τὸ στόμα αὐτῆς χυμὸς ἀθροισθείη δριμύς, αὐτίκα κεφαλαλγοῦσι, τῶν ἐν τῇ γαστρὶ χυμῶν ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἐγειρόντων μοχθηρούς, ὥς τισιν αὐτῶν ὅμοια τῶν ὑποχεομένων συμπτώματα γίγνεσθαι ἐκ τῶν ἀναθυμιάσεων, εἰ μὴ φθάσωσι τροφὴν δέξασθαι. καὶ διὰ τοῦτο βλάπτονται ἀσιτοῦντες· αὔξει γὰρ αὐτοῖς ἐπὶ ταῖς ἀσιτίαις ἡ τῶν τοιούτων χυμῶν μοχθηρία. χρὴ τοίνυν τοὺς οὕτως ἐνοχλουμένους ἰᾶσθαι μηδὲν μὲν τῇ κεφαλῇ προσφέροντας, κενοῦντας δὲ τῆς γαστρὸς ὅτι τάχιστα τοὺς λυποῦντας χυμούς, ὕδωρ χλιαρὸν ποτίζοντας καὶ πτερῶν καθέσει ἐμεῖν κελεύοντας· εἶτα βραχὺ διαστήσαντας τροφὴν εὔχυμόν τε καὶ εὐστόμαχον διδόναι, εἰ μὲν ἐγχωρεῖ, λουσαμένους μετὰ τὸν ἔμετον, εἰ δὲ μή, πρὸ τοῦ λουτροῦ τοσοῦτον προσαραμένους τροφῆς, ὡς μὴ βλαβῆναι λουομένους. δειπνήσαντας δὲ ὀλίγα πιεῖν, τῇ ἑξῆς ἕωθεν ἀψινθίου καὶ τῇ αὐτῇ διαίτῃ χρήσθωσαν, καὶ τὸ λοιπὸν καθ' ἑκάστην περὶ ὥραν $\overline{\gamma}$ ἢ $\overline{\delta}$ ἄρτου προσφέρεσθαι βραχὺ ἢ ἐλαιῶν μικρῶν λευκῶν ἢ σταφυλῆς ἤ τινος τοιούτου διδόναι, τῇ πείρᾳ τὸ βέλτιστον ἑκάστῳ εὑρίσκοντας· ἄλλο γὰρ ἄλλῳ βέλτιόν ἐστι κατὰ τὴν ἰδιότητα τῆς φύσεως. διαστήσαντα δὲ ὥρας $\overline{\beta}$ ἐπὶ λουτρὸν ἐλθεῖν. χειρίστη δὲ γίγνεται διάθεσις ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσιν ἢ ἐμπλασθεῖσι δυσεκνίπτως ἐν τοῖς χιτῶσι τῆς γαστρὸς καὶ ναυτίας καὶ σπαραγμοὺς ἐπιφέρουσιν, ὧν ἄριστον βοήθημά ἐστι τὸ διὰ τῆς ἀλόης

1—6 ἐπὶ δὲ — πόρους *Or.*^{a} *ib.* *(254, 28—255, 2)* *Or.*^{e} *ib.* *(436, 17—21)* *cf. Paul. III 4 (138, 22—139, 1)* 7—11 ἔνιοι — γίγνεσθαι | 13—24 χρὴ τοίνυν — φύσεως *Gal. de comp. m. s. l. ib. (ib. 535, 12—17, 536, 3—4, 5—7, 9—16, 537, 2—4)* 14. 15 κενοῦντας — χυμοὺς | 16. 17 εἶτα βραχὺ — διδόναι *Or.*^{e} *ib.* *(ib. 1—3)* 19—23 δειπνήσαντας — εὑρίσκοντας *cf. Or.*^{e} *ib. (ib. 3—6, 7—9)* 25—*p. 187, 3* χειρίστη — κυάθων $\overline{\beta}$ *Gal. ib. (ib. 539, 6—11, 540, 8, 1—2, 17—18)* 25—*p. 187, 1* χειρίστη — λαμβάνοντα *Or.*^{a} *ib. (255, 11—13)* *Or.*^{e} *ib. (ib. 9—11)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 κεφ.] κεφαλαλγίας ω 2 πηγάνινον ...ον ...ὸν α, *correxi* 3 ....βάλειν P^a ἐπεμβάλειν *(litt* εμ *in ras.)* S ἐπιβάλειν A βραχὺ P^x A *Or.*^{a} *Or.*^{e} *recte?* 4 ἢ *codd.* καὶ *scr. Deichgr. cum Or.*^{e} μυρίνῳ L^a P^x P ἢ ἰρίνῳ P^x *om.* P ἢ ναρδ. *supra scr. m. 2*^{a} S *post* ἑρπυλ. *transp.* A^t 5 καὶ *pr.*] τοῦτο P^x τοῦ το του *(litt. subs. canc. sep.)* A *om.* P 6 *post* πόρους: καὶ ὅσα εἰρήκαμεν ἐπὶ τῶν ψυχρῶν δυσκρασιῶν κεφαλαλγούντων — νυνὶ δὲ ἐροῦμεν περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγούντων P^x 7 κεφαλαλγούντων P^x A κἂν] εἰ κἂν χ S εἰ καὶ P κἂν εἰ A^t 8 τὸ *om.* A^t 12 αὔξεται χ A 13. 14 τοῖς ....μένοις M^o ω 14 ....φέροντες κενοῦντες L^a M^o ω 16 ...τίζοντες ...λεύοντες L^a χ ω 16. 17 ...στήσαντες L^a C^p M^o ω 18 ...σαμένοις P^x ψ 19 προσαγομένους P^x ...νοις A ....αραμένοις A^t 20 πίνειν P^x P ω ....ινθίῳ (...ίνθιον P) ω χρῆσθαι P χρησάσθωσαν S χράσθωσαν L^a χ A 21 βραχέως P^x A 22 ἢ *pr.*] καὶ A *om.* P^x μικρῶν *om.* C^p M^o P ω 23 ἑκάστου P ω βέλτιστον ω 24 ...στήσαντας ψ 26 καὶ *pr. om.* L^a

πικρὸν φάρμακον, λαμβάνοντα ἐπὶ τούτων τῆς μὲν ἀλόης $<\bar{\zeta}$ τῶν δὲ ἄλλων ἀνὰ $<\bar{ϛ}$ τοῦ δὲ κρόκου $<\bar{\delta}$ ἢ ἔλαττον. πληκτικὸν γὰρ τῆς κεφαλῆς ὁ κρόκος. δίδου δὲ αὐτοῖς τοῦ φαρμάκου $<\bar{\alpha}$ μεθ' ὕδατος κυάθων $\bar{\beta}$· παραφυλάττεσθαι δὲ ἐπὶ πάντων μέν, μάλιστα δὲ ἐπὶ τούτων, τὰ φύσει κεφαλαλγῆ ἐδέσματα.

Ὅσα φύσει κεφαλαλγῆ. (δεῖ δὲ παραφυλάττεσθαι οὐ μόνον ἐπὶ μϛ
τῶν κατὰ συμπάθειαν τοῦ στομάχου κεφαλαλγούντων, ἀλλὰ κἀπὶ πάντων τῶν περὶ τὴν κεφαλὴν γιγνομένων παθῶν) ἔστι δὲ ταῦτα· ἄγνου σπέρμα ἀψινθίου χυλὸς γάλα πινόμενον βάλανοι δρυΐναι ἐσθιόμεναι ἐλαῖαι μέλαιναι μεμίκυλα ὄροβοι. οὗτοι δὲ καὶ τὰ ἄρθρα παραλύουσιν. ἐπὶ πλέον δὲ ἅπτεται σμύρνα λίβανος κισσοῦ κόρυμβοι καὶ ταράττουσι τὴν διάνοιαν ὁλοσχοίνου καρπὸς κρόκος πευκέδανον κυκλάμινος ξηρὰ σὺν οἴνῳ ποθεῖσα· στύραξ ὀλίγος μὲν ποθεὶς λύει σκυθρωπότητα, πολὺς δὲ κατασκευάζει ταραχώδεις ὕπνους.

Πρὸς κεφαλαλγίας διὰ πληγήν. εἰ μὲν τραῦμα ἐπὶ τῇ πληγῇ μζ
γένοιτο, τοῖς κολλητικοῖς καὶ ἀφλεγμάντοις φαρμάκοις κεχρῆσθαι δεῖ ῥαφῇ προαγκτηριάσαντας τὰ χείλη τοῦ ἕλκους. εἰ δὲ μέχρι τοῦ περιοστέου ἐγκαταβαίνοι ἡ πληγή, ἐπιδιελόντες καὶ ξύσαντες τὸν περικράνιον ὑμένα κατὰ συσσάρκωσιν θεραπεύσομεν. συμβαίνει δὲ οὐκ ὀλιγάκις ἐν ταῖς ἀφ' ὑψηλοῦ καταπτώσεσιν ἀπορρήγνυσθαί τι τῶν κατὰ τὸν ἐγκέφαλον ἢ τὰς μήνιγγας μορίων, ὅτε καὶ ὁ κίνδυνος σφοδρότερος καὶ ὀξύτερος. ἄριστον οὖν ἐπὶ τούτων, εἰ μήτε τὰ τῆς ἡλικίας ⟨κωλύει⟩ μήτε ἡ ζωτικὴ δύναμις ἄρρωστος φαίνοιτο, τὴν ἀρχὴν τῆς ἰάσεως ἀπὸ φλεβοτομίας ποιεῖσθαι· κωλυομένης δὲ διά τι τῆς φλεβοτομίας διὰ κλυστῆρος ἐκκενώσομεν τὴν γαστέρα, ἀντισπάσεως ἅμα καὶ κενώσεως ἕνεκα. ἔπειτα τοῖς πρὸς τὰς φλεγμονὰς χρησόμεθα βοηθήμασι. καλῶς δὲ κολλᾷ μήνιγγα τετρωμένην, φησὶν Ἀρχιγένης, καλαμίνθης χύλισμα ἐγχεῖν καὶ ἄλευρον κέγχρινον ξηρὸν ἐπιπάσσειν, ἔπειτα βραχὺ

17—*p. 188, 2* εἰ δὲ μέχρι — ἐπιχεῖν *Gal. ib. (ib. 522, 5—7, 10—12, 14—523, 1, 3, 4—13)* 23—26 τὴν ἀρχὴν — ἕνεκα *cf. Or.*^{a} *ib. (255, 23—26)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ...βάνον A S ...νων P ...νειν A^t ζ] ϛ C^p M^o $\overline{με}$ P^x $\bar{η}$ ψ ω 2 $\bar{ϛ}$] $\bar{γ}$ P^x $\bar{δ}$] $\bar{β}$ P^x 3 $<\bar{α}$ *om.* P^x A κ^υ, L^a C^p P^x κυάθους A A^t 4 μὲν *om.* C^p P^x A 4. 5 φυσώδη καὶ κεφαλαλγικὰ P^a 5 κεφαλαλγικὰ P 6 κεφαλαλγεῖ P^a C^p P^x ...γικὰ P οὐ μόνον παραφ. ω 8 τὴν *om.* χ ψ 9 χυλὸν C^p P δρύινοι (= M^o) ἐσθιόμενοι P^a P^x P 10 μεμίκοιλα C^p P^x μεμοίκ. A μαιμέκηλα P μεμήκυλα M^o μεμίκιλλα ω 12 ...σκοίνου P^a ...σχίνου P A^t 13 *post* ποθ.: συκάμινον βάτινον ἀρκευθίδες κεδρίδες — ἐπιτιθέμεναι σταφυλαὶ P^x 14 ὕπνους *om* P^x A 15 *ante* Πρὸς: Περὶ τῶν ἐπὶ χωλωδῶν χυμῶν κεφαλαλγούντων. τὰ δὲ σημεῖα παραπλήσια τοῖς ἐπ' ἐκκαύσεως — Σκευασία τοῦ κροκ$^{δ'}$ τροχ⟨ίσκου⟩ *sqr. spatium vac. unius et mediae lineae* P^x κεφαλαλγίαν P^a ψ S 16 δεῖ] τῇ A^t 17 ....ριάσαντες L^a P ω προσαγητηριάσαν^τ P^x προαγκτηρίσαντες M^o προαρτηριάσαντες A 17. 18 περιοστίου C^p P 18 ...βάνοι^τ P^a ....βαίνει ψ S 19 ....σομεν χ ψ A^t ....σωμεν *cett.* 23 κωλύει *addidi ex Gal.* 24 διά τι C^p M^o P ω *(Gal.) om. cett.* 25 .....νώσωμεν P^x A 28 ἐγχεῖ L^a ...χέειν M^o βραχὺ *om.* χ ψ ω *(Gal.)*

βούτυρον καὶ ῥόδινον καὶ στέαρ ὕειον ἄναλον παλαιὸν μίξαντα καὶ χλιαίνοντα ἐπιχεῖν.

μη Περὶ κεφαλαίας Γαληνοῦ. ἡ λεγομένη κεφαλαία χρόνιός τε καὶ δύσλυτός ἐστι κεφαλαλγία, ἐπὶ μικραῖς προφάσεσι μεγίστους ἴσχουσα παροξυσμούς, ὥστε μήτε ψόφων ἀνέχεσθαι μήτε φωνῆς σφοδροτέρας μήτε λαμπροῦ φωτὸς μήτε κινήσεως, ἀλλ᾽ ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι διὰ τὸ μέγεθος τῶν ἀλγημάτων· ὡς ὑπὸ σφύρας γὰρ πλήττεσθαι δοκοῦσιν. ἔνιοι δὲ ὡς θλωμένων ἢ διατεινομένων αἰσθάνονται τῶν κατὰ τὴν κεφαλήν, οὐκ ὀλίγοις δὲ εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. φέρει δὲ τὸ πάθος ποτὲ μὲν διηνεκῆ ἀλγήματα, ποτὲ δὲ παροξυσμοὺς καὶ διαλείμματα ἤτοι τεταγμένα ἢ ἄτακτα. διαλείπουσι γὰρ ἐνίοτε οἱ τοιοῦτοι παροξυσμοὶ καθάπερ τοῖς ἐπιληπτικοῖς καί τις χρόνος ἐπιγίγνεται μεταξὺ τελέως ἄμεμπτος. εὔδηλον οὖν ὅτι τὸ πάθος τοῦτο τὴν εὐπάθειαν μὲν ἔχει τῆς κεφαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς, ἐπὶ μᾶλλον δ᾽ ἐκείνων ἀσθενείας ἥκει τὰ κατὰ τὴν κεφαλὴν πάσχοντα μόρια καί τινες αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνῶνται μήνιγγας, ἔνιοι δὲ τὸν περικράνιον ὑμένα μόνον. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ, τὰ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν δριμύτητα, τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ γένοιτο, πνεύματος λεπτοῦ καὶ φυσώδους πλῆθος δηλοῖ, εἰ δὲ μετὰ σφυγμοῦ, φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους γένοιτο ἡ διάτασις, πλῆθος ἐντὸς τῶν ὑμένων ἰσχόμενον δηλοῖ· καὶ τὰ μὲν ἐπιπολῆς ἀλγήματα τοῦ περιοστίου ὑμένος τὸ πάθος δηλοῖ, τὰ δὲ ἐν βάθει τῶν μηνίγγων. οἷς γὰρ ἡ διάθεσις ἔνδον τοῦ κρανίου ἐστί, τούτοις εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν ἀφικνοῦνται οἱ πόνοι διὰ τὸ τοὺς χιτῶνας τῶν ὀφθαλμῶν ἐκ τῶν μηνίγγων ἔχειν τὴν γένεσιν. εἰ μὲν οὖν πλῆθος χυμῶν ἢ ἀτμῶν εὕροις αἴτιον, εἰ μὲν διὰ τὴν τοῦ παντὸς σώματος πλησμονὴν ἐγένετο, τὸ πᾶν σῶμα κενώσας ἰάσῃ τὴν κεφαλαλγίαν. εἰ δὲ ὡς ἀσθενὴς ὑπάρχουσα ἡ κεφαλὴ δέχεται τὰ ἀναφερόμενα, ἀντισπᾶν τὴν ὕλην

3—*p. 189, 24* ἡ λεγομένη — ἐψόμενοι *Gal. ib. II 2 (XII 561, 16—562, 1, 3—563, 10, 13—564, 3, 8—565, 15)* 3—6 Περὶ — φωτὸς *Or.*[e] *IV 2 (438, 15—18)* 3—10 Περὶ — ἄλγημα *cf. Paul. III 5 (I 141, 1—7)* 16—18 τινες — δηλοῖ *cf. Paul. ib. (ib. 8—13)* 18—23 τὰ μὲν οὖν — δηλοῖ *Or.*[a] *ib. (255, 28—256, 3) Or.*[e] *ib. (ib. 20—23)* 28—*p. 189, 1* εἰ μὲν — μόριον *Or.*[a] *ib. (256, 3—7)* εἰ μὲν — προσήκει *(189, 16) Or.*[e] *ib. (438, 23—439, 6)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω($S A^t$) 1 ὕινον P^x ὑῶν P μίξοντα $L^a P^x M^o$ σμίγοντα A 2 χλιάναντα $P^a C^p P A^t$ *post* ἐπιχεῖν: Μάλαγμα πρὸς κεφαλαλγίαν διὰ πείρας Κηροῦ < ζ̄ — ἀμυγδαλίνου ἀναμάλασσε P^x 3 κεφαλαλγίας L^a A S 5 μήτε *pr.* $P^a M^o$ ω *(Gal.)* μηδὲ *cett.* 6 *post* φωτὸς: μήτε οἰνοποσίας μήτε τῶν κεφαλὴν πληρούντων ὀσφραντῶν M^o *(Gal.)* σκότει $P^a P^x P A^t$ 7 βούλοιτο P^a ω σφαίραις χ P 8 γὰρ *om.* M^o P 9 τῶν κατὰ *om.* P^x A ὀλίγους A ...ων $P^a A^t$ 19 ἢ *pr. om.* P^x ω 20 μὲν[οὖν] *supra scr m. 2*[a] S ...νοιντο P^a ω 21 λεπτοῦ] ἀπέπτου P^a ω 23. 24 καὶ τὰ μὲν — τὸ πάθος δηλοῖ *om.* P^a ω 24 ...οστέου $P^x M^o$ A ....στείου, *corr.* ....στίου *m. 2*[a] C^p 27 *post* γένεσιν: εἰ δέ που καὶ σαπεὶς ὁ χυμὸς θερμότερος γένηται, σὺν πυρετῷ κεφαλαλγοῦσι. πυρέττουσι δὲ τοὐπίπαν καὶ οἱ διὰ φλεγμονῆς ὀδυνώμενοι M^o *(Gal.)*

εἰς ὅλον τὸ σῶμα καὶ οὕτως ἰάσῃ τὸ μόριον. κλυστῆρσι μὲν οὖν ἡ ἀντίσπασις γίγνεται καὶ διαδέσεσι τῶν ἄκρων καὶ τρίψεσι πλείοσι τῶν κάτω μερῶν, ἐνίοτε δὲ καὶ αἵματος κενώσει. τὴν δὲ κεφαλὴν θεραπεύεις, ἡνίκα μὲν κεχρῆσθαι δεῖ τοῖς ἀντισπαστικοῖς διὰ τῶν ἀποκρουστικῶν ἐμβροχῶν. μετὰ ⟨δὲ⟩ τὴν τοῦ παντὸς σώματος κένωσιν ἤδη τοῖς κενοῦσι καὶ διαφοροῦσι τὴν κεφαλὴν κεχρῆσθαι, εἶτα τοῖς ῥωννύναι δυναμένοις. ἀποκρούεται μὲν οὖν τὸ ὀμφάκινον ἔλαιον καὶ τὸ ῥόδινον καθ' αὑτὸ καὶ σὺν ὄξει καὶ τὸ διὰ τῶν κωδιῶν καὶ θαλλῶν ἁπαλῶν ἐλαίας καὶ κισσοῦ κορύμβων καὶ ἡδυόσμου χλωροῦ σκευαζόμενον. προσάγειν δὲ τὰ βοηθήματα χλιαρὰ μὲν ψυχροτέρου καὶ ὠμοτέρου τοῦ πλήθους ὄντος, ψυχρὰ δὲ θερμοτέρου καὶ χολωδεστέρου. διαφορεῖ δὲ τὸ γλυκύτατον ἔλαιον θερμὸν καὶ μᾶλλον παλαιούμενον τοῦτο καὶ τὸ Σικυώνιον. εἰ δὲ παχύτερον εἴη τὸ πλῆθος τῶν χυμῶν, σπονδύλιον ἢ ἑρπύλλιον ἐνεψῶν τῷ ἐλαίῳ ἢ γλήχωνος κόμην ἢ καλαμίνθης ἢ ἡδύοσμον κενώσεις τὸ πλῆθος. αὐτὰ δὲ ταῦτα καὶ τόνον ἐντίθησι τῷ μορίῳ, διὸ καὶ μέχρι παντελοῦς ἰάσεως χρῆσθαι αὐτοῖς προσήκει. μάλιστα δὲ πάντων διαφορεῖ καὶ ῥώννυσι θαυμαστῶς περιστερεὼν ὁ ὀρθός, μάλιστα μὲν χλωρός, ἤδη δὲ καὶ ξηρὸς σὺν ταῖς ῥίζαις ἅμα ἑρπύλλῳ ἑψόμενα τῷ ἐλαίῳ. συνεμβλητέον δὲ αὐτοῖς καὶ ῥίζαν τῆς παρὰ τὰ ὕδατα φυομένης κροκοδειλιάδος τῆς μεγίστης καὶ αὐτὸν δὲ καθ' αὑτὸν τὸν περιστερεῶνα, εἰ ἀφεψήσας τῷ ἐλαίῳ ἐμβρέχοις τὴν κεφαλήν, ἰάσῃ πᾶσαν κεφαλαλγίαν χρονίαν ἐπὶ ψύξει γενομένην ἢ ὑπὸ παχέων χυμῶν. τὰ μέγιστα δὲ ὠφελοῦσι καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι σὺν τῷ ἐλαίῳ ἑψόμενοι.

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t)   1 *ante* ἰάσῃ: ἂν P^a ω   οὖν *om.* P^a M^o ω   2 γένοιτο ᾱ μετὰ ἀποζέματος ἀψινθίου κενταυρίου — γλυκοκα^μ' καλλίστου ἀνὰ ου^ΓΓ' C καὶ ἅλατ̓ ἔνιε, εἶτα P^x καὶ *pr. om.* P^x πλείους P^a χ ω   3 κατωτάτων P^x A   κένωσιν L^a *post* κενώσει: ἀπ' ἀγκῶνος. εἰ δὲ πλεονάζον ἔτι τὸ αἷμα φαίνοιτο, καὶ διὰ ῥινῶν ἀναστομώσαντας τὴν φλέβα καὶ κενοῦντας ὅσον αὔταρκες εἶναι δόξει, εἶτα τὴν ἱερὰν ὀξύναντας δοτέον, κἄπειτα τοῖς ἀποφλεγματισμοῖς χρηστέον καὶ τοῖς ἐρρίνοις, οἷά ἐστιν τὰ διὰ τοῦ ἐλατηρίου καὶ τῆς κυκλαμίνου μετὰ γάλακτος καὶ πράσου σκευαζόμενα *(Gal. [v. supra in font.] ib. 564, 3—8)* M^o δὲ *post* κεφ. P *om.* P^a ω   4 δεῖ κεχρῆσθαι *Gal.* χρῆσθαι P^a A^t *m. 1^a* S κέχρησαι L^a P^x M^o ψ *m. 2^a* S   5 δὲ *addidi ex Gal.*   τὴν *om.* A S   6 καὶ διαφ. *om.* C^p P^x ψ *(Gal.)*   8 τὸ] τὰ P^a P^x A ω   κωδείων C^p κωδύων L^a 9 ἁπλῶν P^x ω *om.* C^p *ante* κορύμβων: τῶν P^a ω   11 χολωδ. καὶ θερμοτ. P^x A   14 καλαμίνθην C^p M^o *(Gal.)*   17 ὁ] μὲν P *om.* P^a χ A ω   19 ἑψώμενον P^x ...να M^o A^t ....ω^ο'μενα C^p ἑψόμενος A ἑψούμενα P   20 περὶ P^a M^o ω   τῆς *om.* L^a μεγ.] μεστῆς P^a A^t *m. 1^a* S   21 ἑαυτὸν P^a χ ω   ...βρέχης^οις P^a ...χειν P^x S ...χεις A A^t 22 ὑπὸ A   ψύξεως P^x M^o A   γινομ. P^a P^x P   23 *ante* ὑπὸ: καὶ P^a ψ ω   ὑπὸ *om.* L^a P^x M^o 24 *post* ἑψόμενοι: Ἐκ τοῦ Δυναμεροῦ τοῦ ἐμοῦ πρὸς ἡμίκρανον. Γῆς ἔντερα λέανας, ἐπίχριε τὸν πάσχοντα τόπον· ποιεῖ παραδόξως. ὁμοίως δὲ καὶ ἡ σὰρξ τῶν κοχλιῶν *(cf. p. 190, 27 sqq.)* ποιεῖ λουομένη καὶ καταχριομένη. ἄλλο. λαβὼν εὐφορβίου < δ̄ εἰς λίτραν ἐλαίου ἄλειφε. *(cf. 190, 20 sqq.)* ἄλλο. εὐφόρβιον λεάνας μετ' ὄξους, εἰ μὲν τὸ δεξιὸν ἀλγεῖ, χρῖε τὸ ἀριστερόν, εἰ δὲ τὸ ἀριστερόν, τὸ δεξιόν· φυσικόν ἐστιν *(cf. 190, 24 sqq.)* A Ἡμικρανικὰ βοηθήματα. βαλὼν γῆς ἔντερα ιε̄ πεπέρεως κὄ ιε̄ καὶ ὄξους τὸ ἀρκοῦν λειώσας χρῶ — Ἄλλο. στύρακα μαλάξας ὡς κηρίον, βάλλ' εἰς τὸ οὖς καὶ ἡ (*l.* εἰ) μὲν τὸ δεξιὸν τῆς κεφαλῆς ἀλγῇ, βάλλ' εἰς τὸ ἀριστερόν, εἰ δὲ τὸ ἀριστερόν, ὁμοίως εἰς τὸ δεξιόν. *Sqr.* Ἐκ τῶν

μθ Περὶ ἡμικραίρας ἐκ τῶν Γαληνοῦ. πάθος ὀδυνηρὸν γίγνεται κατὰ τὸ ἥμιϲυ μέροϲ τῆϲ κεφαλῆϲ, ὃ καλοῦϲιν ἡμικρανικόν, καὶ τὰ πολλὰ κατὰ περίοδον παροξύνει. γίγνεται δὲ δι' ἐπιρροὴν ἀτμῶν ἢ χυμῶν ἢ πολλῶν ἢ ψυχρῶν ἢ θερμῶν. καὶ ἐνίοιϲ μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴϲθηϲιν τῆϲ ὀδύνηϲ γίγνεϲθαι ϲυμβαίνει, τιϲὶ δὲ εἰϲ τὸ βάθοϲ τῆϲ κεφαλῆϲ διήκουϲαν, ἔνιοι δὲ κατὰ τοὺϲ κροταφίταϲ μύαϲ ἀλγοῦϲι ϲφοδρῶϲ. αἱ δὲ διαγνώϲειϲ ἐκ τῶν περὶ κεφαλαλγίαϲ προειρημένων γιγνέϲθωϲαν. καθαίρειν οὖν αὐτοὺϲ χρὴ ἢ φλεβοτομεῖν πρότερον καὶ οὕτωϲ τοῖϲ πικροῖϲ χρῆϲθαι βοηθήμαϲιν ἀνατρίβοντα διά τε ϲινδόνων καὶ διὰ δακτύλων τῆϲ χειρὸϲ τὸ ἥμιϲυ μέροϲ τοῦ μετώπου· καὶ μάλιϲτα τὸ κατὰ τὸν κροταφίτην μῦν ἐκθερμαινέτω πρὸ τῶν παροξυντικῶν ὡρῶν τοῦτο πράττων. μετὰ δὲ τὸν παροξυϲμὸν τοῖϲ καλουμένοιϲ ἡμικρανικοῖϲ κεχρῆϲθαι· θερμαϲίαϲ μὲν πολλῆϲ ἐν ταῖϲ ὀδύναιϲ διαϲημαινούϲηϲ τοῖϲ ἔχουϲί τι ψυκτικόν, μὴ παρούϲηϲ δὲ τῆϲ θερμαϲίαϲ τοῖϲ ἱκανῶϲ θερμαίνουϲι χρῆϲθαι· μεμίχθω δὲ ἑκατέροιϲ τῶν τονούντων τι ϲτυπτικὴν ἔχον ποιότητα. κάλλιϲτον δὲ θερμαντικόν ἐϲτι χρῖϲμα τὸ ἔχον εὐφορβίου μὲν ℥ α̅ κηροῦ δὲ ℥ γ̅ ἐλαίου γλυκυτάτου λίτραν α̅. χρῖε δὲ τούτῳ τὸ ἥμιϲυ μέροϲ τοῦ μετώπου μετὰ τοῦ κροταφίτου μυόϲ. χρηϲιμώτατον δέ ἐϲτι πρὸϲ τὰϲ ψυχρὰϲ διαθέϲειϲ, ὥϲ πολλάκιϲ ἅπαξ χριϲθὲν πρὸ τοῦ βαλανείου τῆϲ ὀδύνηϲ ἀπήλλαξεν. ὠφελεῖ δὲ τοὺϲ οὕτω πάϲχονταϲ καὶ εἰϲ τὸ οὖϲ ἐγχεόμενον χλιαρὸν ἔλαιον, εὐφορβίου βραχέοϲ ἐμβεβλημένου, ὡϲ ἀρκεῖν εἰϲ λίτραν τοῦ ἐλαίου < δ̅ τοῦ εὐφορβίου. φυϲικῷ δέ τινι λόγῳ ἢ δυνάμει ποιεῖ τὸ εὐφόρβιον ἐπὶ τῶν ἡμικρανικῶν οὕτωϲ προϲαγόμενον· λεάναϲ αὐτὸ μετ' ὄξουϲ, ἢν μὲν τὸν δεξιὸν κρόταφον ὀδυνᾶται, ἐπίχριε τὸν εὐώνυμον, εἰ δὲ τὸν εὐώνυμον ἀλγεῖ, ἐπίχριε τὸν δεξιόν, καὶ τάχιϲτα παύει τὴν ὀδύνην. Ἄλλο. γῆϲ ἔντερα λεάναϲ ἐπίχριε τὸν πάϲχοντα κρόταφον· ποιεῖ παραδόξωϲ· ὁμοίωϲ δὲ χρῶ καὶ τῇ ϲαρκὶ τῶν κοχλιῶν. χρῶ δὲ καὶ

1—4 Περὶ—θερμῶν | 6 ἔνιοι—ϲφοδρῶϲ | 8—16 καθαίρειν—ποιότητα *Gal. ib. II 3 (XII 591, 8—9, 12—14, 592, 10—593, 2)* 1. 2 Περὶ—κεφαλῆϲ 3. 4 γίγνεται—θερμῶν *Or.^{e} ib. (439, 10—12)* 8—17 καθαίρειν—α̅ *Or.^{a} ib. (256, 9—19)* καθαίρειν—εὐφορβίου *(23) Or^e ib (ib. 12—26)* 23. 24 φυϲικῷ—ἡμικρανικῶν *cf. Gal. de comp. med. s. loc. II 3 (XII, 595, 4sqq.)* 27. 28 γῆϲ ἔντερα—παραδόξωϲ *cf. Gal. de rem. parab. III (XIV 502, 1—2)*

Δυναμερῶν τοῦ Γαληνοῦ *[cf. Diels, Die Handschr. der antik. Ärzte p. 139]* κτλ. [= A (*variae lection.: pro* εἰϲ λίτραν: εἰϲ ἥμιϲυ λίτραϲ, *post* ἄλειφε: τὸ πάϲχον μέροϲ; *pro* λεάναϲ: λειώϲαϲ *pro* μετ': μετὰ καὶ)] P^x

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) 1 ἡμικράραϲ (...ρέραϲ) P^a C^p P^x ....ραϲ *corr.* ...ναϲ *vel versa vice* A^t ....νίαϲ A ....ναϲ *Ald.* 2 τὸ *om.* S 3 παροξύνεται *Gal.* 4 ἢ *pr.*] ἤτοι P^a χ P ω *om.* A 5 εἰϲ τὸ βάθοϲ—ἄνθουϲ πευκεδάνου *(194, 25) om.* P^a 6 μυίαϲ L 8 καθᾶραι ω οὕτω C^p M^o P 9 πικροῖϲ] τοπικοῖϲ C^p M^o ψ ω 10 τὸ *alt.*] τὰ C^p ω *om.* P^x 13 ...ϲημαινούϲαιϲ P^x M^o A^t 14 τῆϲ *om.* C^p M^o P ω 15 τι] τὴν ω 17 *post* α̅: ἢ β̅ C^p 18 τοῦτο α, *correxi* 20 χριϲθὲν] χρῆϲθαι P^x M^o ω 22 ἐμβαλλομένου P^x A ἀρκεῖ L^a A 23 φυϲικῶϲ L^a 24 αὐτήν L^a ...ῶ C^p ἢν] εἰ χ ψ 26 παύει τὴν ὀδύνην] ἐκ τούτου τοῦ ἀλγήματοϲ παύεται ἡ ὀδύνη P^x 27 Ἄλλο *in marg* P *om.* P^x ω 28 χρῶ] ποιεῖ L^a M^o 28—*p. 191, 1* χρῶ—βοηθήμαϲι] χρῶ δὲ ὁμοίωϲ καὶ τὰ ἔμπροϲθεν ἀναγραφηϲόμενα *(sic)* ἀλγήματα P^x

τοῖς μικρὸν ὕστερον γραφησομένοις κοινοῖς πάσης κεφαλαλγίας βοηθήμασι.

Κοινὴ θεραπεία κεφαλαλγίας καὶ ἡμικραίρας ἐκ τῶν Ἀρχιγένους ν̄
καὶ Γαληνοῦ. χρονίας καὶ δυσλύτου γιγνομένης τῆς κεφαλαλγίας ἢ τῆς ἡμικραίρας τὴν ἀρχὴν ἀπὸ φλεβοτομίας ἢ καθάρσεως ποιεῖσθαι προσήκει προκενώσαντας κλυστῆρι. πρόδηλον δὲ ὅτι τοὺς πολυαίμους μὲν φλεβοτομῆσαι δεῖ, τοὺς δὲ κακοχύμους καθαίρειν. εἶτα ἐμβροχαῖς ἁρμοδίοις χρῆσθαι καὶ ἀπὸ τῶν ῥινῶν ἀφαιρεῖν αἷμα· ἔπειτα ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐρρίνοις, εἶτα ξυρήσαντα τὴν κεφαλὴν χρίειν τῷ διὰ σκαμμωνίας καὶ πευκεδάνου καὶ ἀλόης. ἐπίθεμα δὲ ἁρμόζει τὸ διὰ τῶν πικρῶν ἀμυγδάλων καὶ λιβάνου καὶ σμύρνης. ἔμπλαστροι δὲ αἱ δι' ἀγαρικοῦ καὶ αἱ διὰ σκίλλης καὶ ἡ διὰ τοῦ ἀγρίου σικύου μέλαινα ἁρμόδιοι, ψυδρακοῦσαι τοὺς τόπους καὶ τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν μετάγουσαι· οὐκ ἀνάρμοστον δὲ καὶ τὸ διὰ δαφνίδων μάλαγμα. ἡμεῖς δὲ χρώμεθα τῷ διὰ τῶν κανθαρίδων καταχρίσματι καὶ ποιεῖ παραδόξως, πολλῷ χρόνῳ ἐξιχωρισθέντων τῶν ὑπὸ τοῦ φαρμάκου γιγνομένων ἑλκυδρίων. δεῖ δὲ προησφαλίσθαι τὴν κύστιν διὰ γαλακτοποσιῶν καὶ ἐμβροχῶν διὰ τὸ ἑτοίμως αὐτὴν πολλάκις ἀδικεῖσθαι ἐκ τῶν διὰ κανθαρίδος χρισμάτων. ἐπιμενούσης δὲ τῆς διαθέσεως τέμνειν τὰς παρὰ τὰ ὦτα ἀρτηρίας καὶ μάλιστα τὰς ἐν κροτάφοις. ἐχρήσαντο δέ τινες ἐπὶ κεφαλαίας καὶ καύσει βαθείᾳ φυλασσόμενοι μόνον μή τις τῶν μυῶν ὑποπέσῃ τῷ καυτηρίῳ. ἐρείδεται δὲ καυτήρια πυρηνοειδῆ, ὅπου μᾶλλον ὀδυνᾶται· καὶ ἐγχωρεῖ μέχρις ὀστέου καίειν πρὸς λεπίδος ἀπόστασιν. βάρβαροι δὲ μηνοειδῆ διαίρεσιν διδόασι περὶ τὸ ἐμπρόσθιον μέρος τῆς κεφαλῆς, ἀνωτέρω τοῦ μετώπου ἀπὸ τοῦ ἀριστεροῦ ὠτὸς μέχρι τοῦ δεξιοῦ, ἀπολύοντες τὸν περικράνιον ὑμένα καὶ ἐπιξέοντες τὸ ὀστέον τῆς κεφαλῆς, ἐξασφαλίζεσθαι λέγοντες τὴν κεφαλήν. καὶ οὐκ ἂν εἰκῇ δόξῃ περιειλῆφθαι ἡ χειρουργία τοῖς εἰδόσι τὴν δυσχέρειαν τοῦ κακοῦ, δι' ἣν οὐδὲ τὰ τοιαῦτα βοηθήματα μείζονα τῆς χρείας ἔσται. ἐλλέβορος δὲ ὠφελεῖ οὐ χείρων καυτηρίων, εἰ μήτι

8. 9 ἀπὸ τῶν ῥινῶν — ἐρρίνοις *cf. Gal. de comp. med. s. loc. II 2 (XII, 564, 3—7)* 19. 20 ἐπιμενούσης — κροτάφοις *cf. Gal. de cur. rat. per venae sect. 22 (XI, 312, 15sqq)* ἐπιμενούσης — μᾶλλον *(192, 1)* ἐγὼ δὲ *(192, 2)* — < α *(ib. 4)* προσμεμελετηκυῖαν *(7)* — ἄλλος *(9)* παραιτεῖσθαι *(12)* — σύμμετρος *(20) cf. Aret. VII, 145, 16—17, 146, 30—147, 17, 149, 7—8, 147, 28—148, 3, 10—11, 16—17, 19—21, 22—25 cf. Wellmann, Die pneumat. Schule pp. 50—51*

φ(L^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) 3 *tit. om.* φ κεφαλαίας P^x ψ ἡμικρανίας A ω 4 τῆς *pr. om. Ald.* 5. 6 προσῆκεν χ 6 *post* κλυστῆρι: ὡς ἐδηλώσαμεν ἔμπροσθεν P^x δὲ *om.* P^x A μέν *ante* πολυαίμους *transp.* C^p ψ ω 7 καθᾶραι C^p P^x ψ ω 7. 8 ἁρμοδίαις P^x ψ 9 καὶ *om.* ω ξηρί αντα P^x M^o ....τες S ξυρ....τας P^x ....τες A^t 10 τῷ] τὰ α, *exc* C^p P ἐπιθέματα φ ἁρμόττει A ....όδιον P 12 αἱ *pr.*] ἡ C^p *om.* φ M^o 15 τῶν *om.* M^o ω καταπλάσματι A^t 16 *post* πολλῷ: γὰρ φ M^o ω ἔξει χωρισθέντων C^p ἐξ οὗ χωρισθ. P ἔξει χωρισθ. ω 17 ...σφαλεῖσθαι P^x M^o P ω 19 κανθαρίδων P^x ψ 20 περὶ P ω 22 καυστηρίῳ ω καυτήρια] ...τηρίω M^o A ..τήριον P^x 23 πυρινοειδεῖ φ C^p P^x A μέχρι C^p M^o S 25 ἔμπροσθεν *scr. Wellmann* 27 ἐξασφ. λέγ. (...οντα P)] ἐξασφαλίζοντες ω 28 εἰκῇ] μάτην ἠχεῖ A μ. ἐκεῖ P^x 30 ἐστί *Cornar.* χεῖρον χ P A^t

καὶ μᾶλλον. παρακτέον οὖν αὐτοὺς πρότερον διὰ τοῦ ἀπὸ ῥαφανίδων ἐμέτου, εἶτα δοτέον τὸν ἐλλέβορον. ἐγὼ δὲ καὶ τούτοις καὶ τοῖς ἐπιληπτικοῖς τὸν βολβὸν τοῦ λευκοῦ ἐλλεβόρου λεῖον καὶ χνοώδη ποιῶν δέδωκα < ᾱ, καθὼς ἐν τῷ περὶ καθαρτηρίων λόγῳ προείρηται· καθαίρονται γὰρ δραστικῶς μετὰ πάνυ πολλῆς ἐκκρίσεως. εἶτα διαλαβὼν ἡμέρας τινὰς τό τε τῶν ῥαβδίων δίδωμι < β̄· ἐπὶ πλέον γὰρ σπαράττονται ἤπερ ἐκκρίνουσι καὶ πάλιν τὸ τρίτον ὁμοίως δίδωμι· προςμεμελετηκυῖαν γὰρ ἤδη διάθεσιν καὶ ἐν αὐτοῖς, ὡς εἰπεῖν, τοῖς ὀστέοις πεπηγυῖαν, οὐκ ἔστιν ἀγωνιστικώτερος τρόπος ἄλλος. μετὰ δὲ ταῦτα ἀναλαβόντες τὴν δύναμιν κάτω καθαίρομεν ἐκ διαλειμμάτων τινῶν τῇ ἡμετέρᾳ ἱερᾷ, πρὸς τὸ ἐκεῖσε ῥέπειν ἀναγκάζειν τὴν ἀνώρροπον ὕλην. παραιτεῖσθαι δὲ χρὴ ψῦξιν ἔγκαυσιν κόπον τοῦ τε ἄλλου σώματος καὶ τοῦ κατὰ τὴν κεφαλὴν αὐτὴν διὰ τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ μάλιστα τῆς ἁφῆς. παραιτεῖσθαι δὲ καὶ τὰς δριμυτέρας βρώσεις, οἷον κρομύων σκόρδων καὶ τῶν ὁμοίων καὶ τὰς ἐμπνευματώσεις καὶ ὅσοι δυσδιέξοδοι, οἷον τυροὶ γάλα ὕδνα μύκητες βολβοὶ γογγυλίδες. αἱρεῖσθαι δὲ τὰ εὐκοίλια εὔπεπτα ψαφαρὰ ἀπίμελα ἄβρομα εὐστόμαχα οὐρητικά. φειστέον δὲ καὶ μέλιτος καὶ τῶν γλυκέων πάντων. οἶνος δὲ λευκὸς καὶ λεπτὸς ἔστω, μὴ πάνυ παλαιὸς καὶ μὴ σφόδρα εὐώδης καὶ τῷ πλήθει σύμμετρος. στοιχάδα δὲ τὴν πόαν ἑψήσας σὺν ὕδατι ἢ ὑδρομέλιτι δίδου τοῖς κεφαλαλγικοῖς καὶ ἡμικρανικοῖς, ὡς μέγιστον καὶ μόνον βοήθημα.

Ἄλλο πρὸς πάντα πόνον κεφαλῆς. ἐλάφου ὀστέον καύσας λεάνας μετὰ ῥοδίνου κατάχριε τὸν ἀλγοῦντα τόπον. Ἄλλο. ὤκιμον λεάνας κατάπλασσε. Ἄλλο. ἡδύοσμον μετ᾽ ὄξους λεάνας χρῖε δὶς τῆς ἡμέρας. Ἄλλο. λάπαθον ἄγριον καὶ κηκῖδας ἅμα λεάνας ἐπίχριε τοὺς κροτάφους καὶ τὸ μέτωπον καὶ παραχρῆμα παύσεις. Ἄλλο. χέσματα χελιδόνων πρὸ τοῦ χαμαὶ πεσεῖν σὺν τῷ εὑρισκομένῳ ἐν τῇ καλιᾷ πηλῷ βρέξας ὄξει ἐν ξυλίνῳ σκεύει κατάχριε. Ἄλλο. σπυράθους αἰγὸς λεάνας

4 καθὼς — προείρ. *cf. III 120 sqq. (I 308, 1 sqq., 309, 21 sqq., 311, 23 sqq. etc.)* 20. 21 στοιχάδα — ὕδατι | 23. 24 ἐλάφου — τόπον | 25—*p. 193, 1* ἡδύοσμον — ἴασῃ *Gal. de rem. parab. II 2, 3 (XIV, 398, 2, 7—9, 399, 1—2, 6—7, 12—14, 16—400, 1, 9—12)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 τοῦ ἀπὸ] ποτοῦ A τῶν P^x ῥαφανίδος φ 3 βολὸν P^x A 4 <] Γο C^p προείρ.] μέλλωμεν ἐρεῖν P^x 6 β̄] η̄ P 7 εἴπερ P^x M^o ψ ω 7. 8 προμεμελ. α *correxi* 11—*p. 193, 24* πρὸς τὸ — σκαμμωνίας *om.* C^p 11 ἀνώροπον φ ἀνάρωπον P^x ...ροπον A^t ...ρροπον M^o A 12 ψῦξιν χρὴ φ 15 κρόμμυα P κρομμάτων A^t σκόροδ⟨α⟩ P σκορόδων P^x A^t τὰ ὅμοια P 16 ὅσαι ....ξοδοι P^x M^o ψ S ὅσα ....ξοδα A^t 16. 17 μύκητες ὕδνα ω 17 *ante* εὔπεπτα: καὶ ω 18 ἀφιστέον P^x M^o A παραστητέον P φευκτέον ω 18. 19 μέλι ... τὰ γλυκέα πάντα P λεπτὸς καὶ λευκὸς M^o ψ *post* ἔστω: καὶ α *exc.* φ 20 καὶ μὴ] ἢ A^t μηδὲ P^x M^o ψ S στιχάδος A^t 21 *post* πόαν: ου$^{ΓΓ'}$ ᾱ χαμαιμήλων τὸ ἄνθος ου$^{ΓΓ'}$ ᾱ — ἢ καὶ αὐτὴν τὴν στοιχάδαν μόνην P^x 22 μόνον καὶ (μ. κ. *om.* P^x) μέγιστον ω 23 *ante* λεάνας: καὶ P ω 24 Ἄλλο *in marg.* P *om.* ω *ante* ὤκιμον (...μα M^o): ἢ ω 25 Ἄλλο *om.* P ω *ante* ἡδύοσμον: ἢ ω 26 Ἄλλο *om.* ω *ante* λάπ.: ἢ ω κατάχριε A^t περίχριε P^x M^o ψ S 27 *post* Ἄλλο: πρὸς πάντα πόνον κεφαλῆς ω χέσματα] ἀφοδέματα P κόπρον ω 28 πεσεῖν *om.* φ 29 Ἄλλο *in marg.* P *om.* P^x

καταχρίε καὶ ἐπίδηcον· τοῦτο ποίει πρωῒ καὶ δείλης καὶ ἰάcῃ. Ἄλλο. καρδάμωμον φρύξας cὺν ὄξει καὶ ῥοδίνῳ λείου καὶ ποιήcας κηρωτῆς πάχος ἐπιτίθει καὶ ἰάcῃ τάχιcτα. Ἄλλο. γῆς ἔντερα λεάνας καταχρίε ἢ κοχλιῶν cάρκας. Ἄλλο. κοχλίου ὅλου κεκαυμένου τέφραν βολβίτων βοὸς λιβάνου ἴcα μετ᾽ ὄξους λεάνας καταχρίε τὸ μέτωπον. ἔνιοι δὲ τῶν ἡμετέρων διδαςκάλων, φηcὶν ὁ Γαληνός, τούτῳ ἐχρῶντο πρὸς ἡμικραίρας· πεπέρεως λευκοῦ < β̄ κροκομάγματος < β̄ εὐφορβίου νεαροῦ < τὸ ἥμιcυ· εἰ δὲ παλαιὸν εἴη < ᾱ κόπρου περιcτερῶν τῶν διαιτωμένων ἐν ἀγροῖς < ᾱ c μέλανος γραφικοῦ καλοῦ < ᾱ c, λείου cὺν ὄξει δριμυτάτῳ καὶ ἐπάλειφε τὸν κροταφίτην μῦν καὶ ὅλον τὸ ἥμιcυ τοῦ μετώπου κατὰ τὸ πεπονθὸς μέρος. Κροκομάγματος cκευαcία πρὸς κεφαλαλγίαν ἐπιχριομένου τοῖς κροτάφοις, μίγνυται δὲ καὶ cκευαcίαις ἑτέρων φαρμάκων. κρόκου < ρ̄ cμύρνης τρωγλίτιδος < ν̄ ῥόδων ξηρῶν < ν̄ ἀμύλου προcφάτου < η̄ κόμμεως < ν̄ οἴνῳ λειοῦται. Ἕτερον φάρμακον οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελοῦν, ἀλλὰ καὶ πᾶcαν κεχρονιcμένην κεφαλαλγίαν ἐπιχριόμενον, ἐν μὲν ταῖς κεφαλαλγίαις ἀπὸ κροτάφου εἰς κρόταφον ἐπὶ τοῦ μετώπου παντός, ἐν δὲ ταῖς ἡμικραίραις κατὰ τοῦ ἡμίcεος μέρους τοῦ πεπονθότος· κρόκου < ι̅ε̅ χαλκάνθου < ῑ cτυπτηρίας < γ̄ cμύρνης < γ̄ ὀπίου < γ̄ ὀμφακίου ξηροῦ < γ̄ χαλκίτεως ὠμῆς < γ̄ κόμμεως < ι̅ε̅, οἴνῳ Φαλερίνῳ λείου ὡς κολλύριον καὶ ἀνάπλαττέ τε τροχίcκους· καὶ ἐπὶ τῆς χρείας ὀξυκράτῳ ἢ ὄξει καταχρίε.

[Ἔμβροχον εἰς ληθαργικούς] Ἕτερον ταῖς αὐταῖς ἁρμόττον διαθέcεcιν. cκαμμωνίας < ϛ̄ κρόκου < β̄ κιccοῦ κόμης < ϛ̄ θείου ἀπύρου < δ̄ ἀνίcου < η̄ cελίνου cπέρματος < η̄, λεάνας ἐπιμελῶς ὠκίμου

5—11 ἔνιοι — μέρος 15—*p. 194, 17* Ἕτερον φάρμακον — πόνους *Gal. de comp. med. s. loc. II 3 (ib. 595, 1—4, 8—12, 15—16, 596, 2—597, 14) II 1 (557, 11—15) II 2 (580, 9—12)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 *post* ἰάcῃ: ἢ βόλβιτον βοὸς ὁμοίως ὡς τὸ τοιοῦτον P^x 2 κάρδαμον M^o P ω λείου *ante* cὺν α, *exc.* φ 3 ἐντίθει ω Ἄλλο *in marg.* P *om.* A^t *(Ald.)* 4—11 Ἄλλο — μέρος *ante* Ἕτερον *(15)* P Ἄλλο. κοχλίου (. . . ῶν φ) *om.* ω 4 βόλβιτον M^o ψ 5 λίβανον α, *exc.* φ τὸ μέτωπον] τὸν τόπον P^x M^o ψ *om.* ω 7 ἡμικρανίας A . . . κραίνας *Ald.* λευκὸν A . . . ῶ P^x *om.* M^o P ω β̄ *alt.*] ᾱ A^t 8 *post* < *pr.*: ᾱ M^o A β̄ ω *ante* παλ.: καὶ ω εἴη] ἢ ω κόπρον P^x ω 9 ἀγροῖcι φ ᾱ c *pr. et alt.*] ε̈ P c *alt. om.* P^x A λειοῖς P^x λείοι M^o A S 10 cὺν *om.* P^x A 11 *ante* κροκομάγμ.: ἄλλο ἀπὸ προcθήκης P^x M^o A *haec et* κροκομ. — λειοῦται *(14) post* cάρκας *(l. 4) transp* M^o κροκομάγ. — λειοῦται *(14) post* cὺν ὄξει *(194, 23) transp.* φ 12. 13 πρὸς κεφαλαλγ. — φαρμάκων *add. in marg m. 2^a* S *ead. post* λειοῦται *transp.* A^t κεφαλὴν ω 13. 14 κρόκου — λειοῦται *in mag. m. 2^a* S 13 ρ̄] ν̄ P^x ν̄] κ̅ε̅ P^x 14 ν̄ *pr.*] ρ̄ φ *om.* P^x P ἀμύλου — η̄ *om.* P < η̄] ἀνὰ < κ̅ε̅ P^x η̄] ν̄ φ A *post* κόμμεως: ἀνὰ P 15 Ἕτ. φάρμ. *om.* ω 18 κρόκου] κηροῦ φ 19 ι̅ε̅] ε′ *Gal.* ῑ] ε̄ P^x ι̅ε̅ A γ̄ *pr.*] ᾱ c P^x < γ̄ *alt. om.* P^x P < γ̄ *tert.*] < β̄ A *om.* P^x P ω 20 < γ̄ *pr.*] ὀγγίας Γ̄ A *om.* P^x P ω *post* ὠμῆς: ἀνὰ P^x P ω γ̄] *alt.*] ᾱ c P^x ι̅ε̅] ζ̄ c P^x λείοι P^x ω 22 *post* ὄξει: ἀκράτω ω 23 Ἔμβροχ. εἰς ληθ. *add.* φ *ex 194, 1, 2: om. cett. Gal.* ταῖς — διαθέc. *om. Ald.* 24 ϛ̄ *pr.*] γ̄ P^x ζ̄ P β̄] ᾱ P^x ϛ̄ *alt.*] γ̄ P^x ζ̄ P 25 δ̄] τὸ ἥμιcυ P^x ᾱ A *om.* ω < η̄ *pr. om. sed post* cπέρμ.: ἀνὰ P^x η̄ *alt.*] δ̄ P^x

χυλῷ ἀνάπλασσε τροχίσκους· τοῦτο ῥοδίνῳ πλείονι λυθὲν ἐπιβροχὴ τῆς κεφαλῆς γίγνεται τοὺς ληθαργικοὺς ὠφελοῦσα, ἐπὶ δὲ τῶν κεφαλαλγικῶν μετ᾿ ὄξους. Ἕτερον φάρμακον οὐ μόνον ἐπὶ τούτων ἁρμόττον, ἀλλὰ καὶ τοὺς σκοτωματικοὺς ὠφελοῦν. πευκεδάνου ῥίζης < δ̄ ἴρεως Ἰλλυρικῆς < β̄ ἰοῦ < ᾱ ἀκόρου < ᾱ σπονδυλίου < δ̄ πεπέρεως μέλανος < β̄ ς ἑρπύλλου < δ̄ ς σμύρνης < β̄ καστορίου < β̄ ς δαφνίδας ἀριθμῷ λε̄ πηγάνου χλωροῦ < η̄ ἡδυόσμου χλωροῦ < δ̄ ὀπίου < ᾱ, οἴνῳ ἀναλαβὼν ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρείας ὄξει καὶ ῥοδίνῳ διεὶς κατάχριε καὶ ἀναληφθὲν δὲ κηρωτῇ ῥοδίνῃ ἐπιτίθεται τῷ μετώπῳ ὡς μάλαγμα.

Τροχίσκος. οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελῶν ἀλλὰ καὶ τοὺς ἰσχιαδικούς. θαψίας < γ̄ εὐφορβίου < δ̄ ὀποῦ Μηδικοῦ < γ̄ σμύρνης < ᾱ. ὀποπάνακος < ᾱ, ἅμα κόψας λεάνας οἴνῳ ἀνάπλασσε καὶ χρῶ μετ᾿ ὄξους.

Ἄλλο. πευκεδάνου ῥίζης < δ̄ κρόκου < ᾱ σμύρνης < ᾱ ὀπίου < ᾱ, ὄξει ἀναλάμβανε ⟨καὶ ποίει⟩ τροχίσκους καὶ χρῶ σὺν ὄξει ἐν τοῖς παροξυσμοῖς. παραχρῆμα λύει τοὺς πόνους.

Πρὸς πᾶσαν κεφαλαλγίαν καὶ ἡμικραίραν διὰ πείρας πολλῆς. ἀψινθίου χυλοῦ κισσοῦ χυλοῦ αἰγὸς κόπρου κοχλίους σὺν τοῖς ὀστράκοις κεκαυμένους χάρτου κεκαυμένου δαφνίδων βολβῶν λιβάνου εὐφορβίου μέλανος γραφικοῦ κροκομάγματος κηκίδων ῥαφάνου φύλλων ᾠοῦ τὸ πυρρὸν μαλάχης χυλῷ ἴσα λεάνας ὄξει, ποίει τροχίσκους καὶ χρῶ σὺν ὄξει.

νᾱ Ἐπιθέματα πρὸς κεφαλαλγίαν ἐκ τῶν Ἀσκληπιάδου. ἀμυγδάλων πικρῶν ἄγνου ἄνθους πευκεδάνου ῥίζης ἡδυόσμου χλωροῦ πηγάνου ἀκρεμόνων δαφνίδων ἑρπύλλου σπονδυλίου καστορίου ἀνὰ ℔ ᾱ ῥόδων ξηρῶν ℔ β̄, ὄξει διαλύσας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα εἰς ὀθόνιον ἐμπλάσας καὶ ξυρήσας τὰς τρίχας, ἐπιτίθει καθ᾿ ὅλης τῆς κεφαλῆς καὶ ταινιδίῳ καταδήσας φύλαττε μέχρι τῆς ἐπιούσης ἡμέρας καὶ πάλιν λύσας ἀνανεώσας ἐπιτίθει.

Ἄλλο μάλαγμα πρὸς πᾶσαν κεφαλαλγίαν. ἰοῦ < δ̄ χαλκοῦ κεκαυ-

24—30 ἀμυγδάλων—ἐπιτίθει *Gal. ib. (ib. 581, 4—12)* 31—*p. 195, 4* μάλαγμα—μάλασσε *ib. II 3 (ib. 594, 6—13) Paul. III 4 (I 140, 24—28)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 χυλοῦ L^a ω ..ὸν P^x A 5 < ᾱ *pr. om. sed post* ἀκόρου: ἀνὰ ω 6 ς *pr. om.* C^p A ς *alt. om.* C^p ς *tert. om.* P^x A 8 ᾱ] β̄ P^x οἴνῳ] ὄξει ἢ ὀξυροδίνω P ὀξυροδίνω ω ὄξει *Gal.* 9 διεὶς] λίαν L^a 12 δ̄] ᾱ M^o γ̄ *alt.*] δ̄ A 15 ῥίζαν ω σμύρνης] ζζ M^o ζιγγιβέρεως C^p ω ᾱ *alt.*] δ̄ P^x A ω 16 καὶ ποίει *addidi ex Gal.* ...χίσκον P^x A ω τρο$^{χ'}$ M^o 17 *post* παραχρ.: γὰρ P^x P ω 18 *ante* Πρὸς: ἄλλο P^x ψ ἡμικραίραν, ...ανίαν *et sim. codd. (v. supra)* 19 χ^υ C^p καὶ A^t χυλὸν P^x M^o A S χ^υ C^p M^o χυλὸν P^x A S ...οὺς A^t 19. 20 κοχλίου ....κεκαυμένου P^x P κοχ ...κ^ε M^o κοχλίων .....μένων A 22 χυλοῦ C^p ψ χ^υ M^o ...ὸς S ...ὸν P^x A^t 24 *ante* κεφαλαλγ.: πᾶσαν S *ante* ἀμυγδ.: σφόδρα καλόν C^p M^o (A) ω 25 ἄγνου] λύγου *Gal.* ἄνθος A S 26 σπονδυλ., ...δυλλ. *codd.* 28 ξυρήσ., ξηρίσ., ξυρίσ. *codd.* καθ᾿ ὅλης—ἐπιτίθει (30) *om.* P^a 31—*p. 195, 1* χαλκοῦ—κιμωλίας < δ̄ *om.* L^a

μένου < δ̄ λεπίδος σιδήρου στομώματος < β̄ κιμωλίας < δ̄ χαλκίτεως ὠμῆς < δ̄ κισσήρεως ὠμῆς < γ̄ τερεβινθίνης ℔ ᾱ κηροῦ ℔ λ̄ζ̄ ς ἐλαίου παλαιοῦ ℔ ε̄, τοῖς ξηροῖς λειοτάτοις τὰ τηκτὰ ἐπίχεε καὶ μάλασσε καὶ χρῶ. ἐὰν δὲ σκληρότερον δοκῇ εἶναι, ἐλαίῳ ἀμυγδαλίνῳ μάλασσε καὶ χρῶ, ὡς προείρηται. ποιεῖ καὶ ἐπὶ τοῦ μετώπου ἐπιτιθέμενον καὶ κροτάφοις, ποιεῖ δὲ παραδόξως ἡ Ἀρχιγένους μέλαινα δέρματι ἐμπλασσομένη καὶ ἐπιτιθεμένη τῷ ἀλγοῦντι κροτάφῳ· παραχρῆμα γὰρ παύει τὰς ὀδύνας. κεῖται ἐν τοῖς ἀσθματικοῖς νοσήμασιν ἐν τῷ η̄ λόγῳ κεφαλαίῳ ξ̄γ̄.

Ἔρρινα κεφαλῆς καθαρτικά. χρείας δὲ καλούσης καὶ διὰ ῥινῶν καθαίρειν χρὴ τὴν κεφαλὴν μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, ν̄β̄
ἐκχέοντα ταῖς ῥισὶν ἀναγαλλίδος χυλὸν ἢ κυκλαμίνου ἢ αὐτὴν τὴν ῥίζαν τῆς κυκλαμίνου ξηρὰν λείαν ἐμφυσᾶν ἢ ἐλατήριον μετὰ γάλακτος ἐγχεῖν. εὐπορίστῳ δὲ πολλάκις ἐχρησάμην φαρμάκῳ μελανθίῳ, ποτὲ μὲν ἐν ὄξει δριμεῖ προβρέχων πρὸ μιᾶς ἡμέρας, ἔπειτα λειῶν σὺν τῷ ὄξει καὶ ἐγχέων εἰς τὰς ῥῖνας· ποιεῖ καὶ ἐπὶ ἰκτερικῶν. ἐνίοτε δὲ καὶ ἐλαίῳ παλαιῷ τὸ μελάνθιον λειώσας ἐγχέω· ποιεῖ καὶ ἐπὶ ἐμφράξεως μυξωτήρων.

Ἄλλο. κισσοῦ χυλὸς ἢ καλαμίνθης διὰ ῥινεγχύτου ἐγχυθεὶς εἰς τοὺς μυκτῆρας ἄγει πολλὴν μύξαν. Ἄλλο. πυρῆνα μήλης ὕδατι βάπτων ἀναλάμβανε χάλκανθον λείαν καὶ διάχριε ἐσωτάτω τοὺς μυκτῆρας. τοῦτο καθαίρει ἱκανῶς καὶ παραχρῆμα τοὺς πόνους κουφίζει· ἢ γάλακτι τὴν χάλκανθον λεάνας ἔγχεε· καὶ καθαίρει κάλλιστα, μάλιστα τοὺς ἰκτερικούς.

Ἄλλο. μελανθίου λείου < η̄ ἀφρονίτρου < ᾱ ἁλὸς ἀμμωνιακοῦ < ᾱ ἐλαίῳ ἢ ἰρίνῳ ἢ κυπρίνῳ ἀνέσας καὶ κροκύδα περιτιθεὶς μήλῃ καὶ βάπτων τῷ φαρμάκῳ διάχριε τοὺς μυκτῆρας συνεχῶς καὶ ἀπορρυήσεται πᾶν τὸ ἐνοχλοῦν τῇ κεφαλῇ. ἐχέτω δὲ τὸ φάρμακον σύστασιν

9 Ἔρρινα κεφαλῆς καθαρτικά. κτλ. *cf. Gal. de comp. med. s. loc. II 2 (XII, 583, 1sqq, praesertim 586, 6 sqq)* 24 μελανθίου — βάλλω *(196, 2) cf. Paul. ib. (ib. 141, 26—28)* 24—*p. 196, 7* Ἄλλο — ἀπορρεῖν |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 < δ̄ λεπίδος *om. sed post* στομώμ.: ἀνὰ P δ̄ *pr.*] β̄ P^a χ ω *Gal.* κιμωλίας < δ̄ *om.* M^o A 2 < δ̄ *om. sed post* ὠμῆς: ἀνὰ P < δ̄] < γ̄ C^p *om.* P^x κισσήρεως — < γ̄ *om.* φ $C^p M^o$ γ̄] δ̄ P^x A ℔ *alt.*] < $C^p P^x$ λ̄ζ̄ ς] Γ̄ζ̄ ς M^o ζ̄ ς P^a λ̄ A λ̄ζ̄ P^x ω 4 δοκεῖ $P^a M^o A^t$ 5. 6 ποιεῖ — κροτάφοις *om.* L^a 5 τιθέμ. P^x A 8 κεῖται — ξ̄γ̄ *om.* C^p *post* κεῖται: δὲ P ω ἀσθματ.] βοηθηματικοῖς P ὀρθοπνοικοῖς ω ἐν τῷ η̄ — ξ̄γ̄ *om.* φ $P^x M^o$ A 9 καὶ] ἢ A^t *m. 1ª* S *om.* C^p 10 χρὴ καθαίρειν ω τὴν τοῦ — κένωσιν] τὸ καθᾶραι τὸ πᾶν σῶμα P παντὸς τοῦ L^a 11 ἐγχ. $C^p M^o$ ψ χυλοῦ P^a $χ^{\bar{υ}}$ $C^p M^o$ 13 φαρμάκω *ante* πολλάκις ω 15. 16 ποιεῖ — λειώσας ἐγχέω *om.* A^t 16 καὶ *pr. om.* C^p P S καὶ *alt. om.* $C^p P^x$ A 18 Ἄλλο *om.* C^p ψ A^t 18. 19 κισσοῦ — μύξαν *post* ἰκτερικοὺς *(l. 24)* P^x A *om.* $L^a C^p$ P 18 ἐγχυθέν ω 21 *ante* καθ.: καὶ C^p ψ καὶ *om.* P^x ω 22 κάλλιστα *om.* ω 24 $μελαν^{θ'}$ $P^a P^x$ P ω ...άνθιον M^o ...άνθην A < η̄ *om.* $P^a C^p P^x$ ψ ω 25 *post* ἐλαίῳ (...ου P^x): παλαιῶ C^p (...ιοῦ P^x) ψ ω *post* παλ.: εἰ δὲ μὴ παρείη τοιοῦτο ἐπίθες P^x κροκίδα ψ A^t περιθεὶς ω σμήλου L^a μέλλη P^x μύλη P σμήλη A^t $σμι^{λ'}$ S 26. 27 ἀπορυής. P^x A S

ὑγρᾶς κηρωτῆς καὶ ἀποκείσθω ἐν κερατίνῃ πυξίδι· ἐνίοτε δὲ ἀντὶ τοῦ ἀφρονίτρου ἐλατήριον βάλλω. καὶ ποιεῖ τοῖς ὑπὸ ὀφθαλμιῶν χρονίων ἐνοχλουμένοις καὶ ἐπιληπτικοῖς. ἄγει γὰρ πολλὴν ὑγρασίαν. Ἄλλο ἀλύπως καθαῖρον καὶ ἄπονον ποιοῦν παραχρῆμα. κυκλαμίνου ξηρᾶς < η̄ ἴρεως ξηρᾶς < β̄ νίτρου ἐρυθροῦ < ᾱ. ἐγὼ δὲ ἐλατήριον ἔβαλον ἀντὶ τοῦ νίτρου, τρίψας ἐπιμελῶς, ἐμφύσας διὰ καλαμίδος, παραινῶν ἄνω ἀνασπᾶν, ἔπειτα κάτω νεύειν, ὥστε τὸ συλλεγόμενον ὑγρὸν ἀπορρεῖν. καὶ πταρμικοῖς δὲ χρὴ διασείειν τὴν κεφαλὴν τοῖς ἀναγραφησομένοις ἐν τῷ περὶ τῶν τῆς ῥινὸς παθῶν λόγῳ.

νγ̄ Ἀποφλεγματισμοὶ καθαίροντες τὴν κεφαλήν. νίτρου ℥ ϛ̄ σταφίδος ἀγρίας ℥ γ̄ ἀνίσου ℥ δ̄ δάφνης φύλλων χλωρῶν ℥ β̄ σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἐκ τούτου δίδου διαμασᾶσθαι κατὰ μέρος ὅσον ℥ γ̄ καὶ ἀποπτύειν.

Ἄλλο διαμάσημα κεφαλὴν καθαῖρον. πυρέθρου πεπέρεως ὑσσώπου σταφίδος ἀγρίας ⟨ἴσα⟩, ἀναλάμβανε σταφίδων σαρκὶ καὶ δίδου διαμασᾶσθαι· μετὰ δὲ τὴν τούτων χρῆσιν ἁλσὶ καὶ μέλιτι ἀποθεραπευέσθω.

Ἄλλο κεφαλῆς καθαρτικόν, μήτε κεφαλὴν συγχωροῦν πονεῖσθαι, μήτε ἀμβλυωπίαν γενέσθαι· ὠφελεῖ δὲ καὶ ὦτα καὶ ὀδόντας. διὰ χρόνου δὲ ὁ χρώμενος αὐτῷ οὐδενὶ τούτων περιπεσεῖται πάθει. ἔστι δὲ κάλλιστον. σαμψύχου ξηροῦ ἴρεως Ἰλλυρικῆς πυρέθρου ὑσσώπου νίτρου πεπέρεως σελίνου σπέρματος πάνακος ῥίζης σταφίδος ἀγρίας ἀνὰ < δ̄· ἐὰν δὲ ἐπιτεῖναι θέλῃς, πρόσβαλλε καὶ σμύρνης < δ̄. λέανας δὲ ἕκαστον κατ' ἰδίαν, ἔπειτα καὶ ἅμα μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους, παραμίξας βραχὺ μέλι· ἐπὶ δὲ τῆς χρείας ἀνέσας μέλιτι καὶ ὕδατι ἀναγαργαρίσματι χρῶ ἢ ἐλαίῳ κυπρίνῳ ἢ ἰρίνῳ ἢ παλαιῷ μίξας ἐπὶ τοὺς μυκτῆρας ἔγχει.

νδ̄ Σμήγματα καὶ πάσματα πυκνωτικὰ τῆς κεφαλῆς. Σμῆγμα κεφαλῆς πυκνωτικόν. νίτρου Ἀλεξανδρινοῦ βερνικαρίου ℥ ϛ̄ δαφνίδων νάπυος

10—13 νίτρου — ℥ γ̄ 14—16 ἄλλο — διαμασᾶσθαι *Gal. ib. II 2 (ib. 583, 4—13, 585, 16—586, 2, cf. 585, 5—6, 584, 17—585, 1, 5—6)* 4—6 κυκλαμίνου — καλαμίδος *cf. Paul. ib. (ib. 141, 30—31)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω S A^t) 1 ἀποθέσθω P^x ...θείσθω A 2 ὀφθαλμῶν P^x A 3 καὶ] ἐπὶ P^x *om.* A Ἄλλο *in marg.* P *om.* S 4 ξηροῦ ψ 5 β̄] η̄ $P^x A^t$ ἔβαλλον P S 6 ἀντὶ — νίτρου *om.* C^p P ἐμφύσσα P^x P ...φύσα *celt codd. correxi ex Gal.* 7. 8 ἀπορρέειν (...ορέειν) ω 8 *post* κεφαλήν: Πταρμικὸν Ἡρακλείδου Ταραντίνου. κυμίνου αἰθιοπικοῦ πεπέρεως στρουθίου εὐφορβίου καστορίου — νίτρου ἐρυθροῦ καστορίου πεπέρεως ἀνὰ < ᾱ, χρῶ καθ⟨ὰ⟩ προείρηται *p. 249, 5 sqq. (A. Olivieri, Framm. di Eracl. d. Tar. Nap. 1939)* P^x 8. 9 τοῖς ἀναγραφ. — λόγῳ *om.* P^x 10 ϛ̄] ζ̄ P 11 β̄] δ̄ P 13 *ante* μέρος: τὸ P^x A ℥] < C^p P κ M^o 15 ἴσα *sec. Gal. addidi* *post* σταφίδων (σύκων *praetulerim*): λιπαρῶν *(cf. Gal. 584, 18)* P^x σάρκας α *correxi* *ante* δίδου: μαλάξας πάντα ὁμοῦ P^x 18 συγχωρῶν $C^p M^o$ A πονῆσαι P^a ψ S ...νέσαι χ ποιῆσαι A^t 19 *ante* ὦτα: τὰ A 22 σπέρμα $L^a M^o$ 23 ἐὰν δὲ — < δ̄ *om.* P^x πρόσβαλε $P^a C^p$ ψ A^t 25 μέλιτι ω 28 Σμήγμ. *vel* σμίγμ. *codd.* τῆς *om.* P^a P 28. 29 Σμῆγμα — πυκνωτικόν *om.* P^x P 29 ἀλεξανδρινοῦ (...ίνου?) *om.* $C^p M^o$ ψ ω βερνικαρίου *ita et Or.^c IV 286, 26,* βερεν. *Daremberg Gal. XIII 568, 4*

σαμψύχου ἀνὰ Γ° β̅ κυπέρου Γ° α̅ τρυγὸς κεκαυμένης Γ° α̅, σμάσθω ἐν βαλανείῳ μὴ ἀλειψάμενος· κατὰ δὲ τῶν ὀφθαλμῶν κατεχέτω ὀθόνιον πολύπτυχον ἢ σπόγγον.

Ἄλλο. νίτρου ὀπτοῦ λι α̅ σταφίδος ἀγρίας λι α̅ δαφνίδων λι β̅ νάπυος λι α̅ σικύου ἀγρίου ῥίζης Γ° ϛ̅· χρῶ καθὰ προείρηται ἐπὶ τῶν κεχρονισμένων διαθέσεων.

Σμῆγμα κεφαλῆς ποιοῦν πρὸς κατάρρους καὶ ὑδροκεφάλους διὰ πείρας. νίτρου ὀπτοῦ οἴνῳ σβεσθέντος Γ° ϛ̅ ἴρεως ἀριστολοχίας ἑλενίου ἀνὰ Γ° α̅ ὀξυμέλιτος τὸ ἀρκοῦν, κόψας σήσας φυράσας τῷ ὀξυμέλιτι καὶ προξυρήσας τὸ βρέγμα ἐπίχριε πρὸ τοῦ βαλανείου καὶ ἐάσας βραχὺ σμῆχε.

Σμῆγμα πρὸς πᾶσαν κεφαλαλγίαν καὶ ῥεῦμα ὀφθαλμῶν διὰ πείρας. ἑλενίου σμύρνης καλάμου ἀρωματικοῦ θέρμων ἀλεύρου ὀροβίνου ἀλεύρου θείου ἀπύρου ἀφρονίτρου ἴσα χυλῷ πτισσάνης ἀναλαβών, ποίει τροχίσκους ἀνὰ Γ° α̅· ἐπὶ δὲ τῆς χρείας ἀνέσας, α̅ χυλῷ πτισσάνης χρῶ. χρὴ ἐν τῷ λουτρῷ ἐμβάλλειν τὸ σμῆγμα τῷ βρέγματι, προδιαστείλαντι τὰς τρίχας ἀπ' ἀλλήλων, ἵνα προσομιλῇ τῷ σώματι τὸ βοήθημα, προστάττων μύειν τὸ στόμα, ἵνα διὰ τῶν μυκτήρων σφοδρῶς ἐπισυρόμενοι τὸν θερμὸν ἀέρα θᾶττον μεταβάλλωσι τὴν ὑποκειμένην ὕλην.

Σάπων Κωνσταντίνου ἀναξηραντικὸς ῥευμάτων. βαλαυστίων Γ° β̅ σμύρνης σανδαράκης ναρδοστάχυος ἀνα Γ° β̅ κόστου ἀλόης κηκίδων λιβάνου σιδίων φύλλων ῥόδων σαρκοκόλλης ἀνὰ Γ° γ̅ σάπωνος Γαλλικοῦ λι α̅ θέρμων πικρῶν ἀφεψήματος ξ α̅, τὰ ξηρὰ κόψας σήσας καὶ σὺν τοῖς ὑγροῖς ἐκλεάνας πρόσβαλλε τὸν σάπωνα καὶ ἀνάπλασσε τροχίσκους καὶ χρῶ, ἀναλύων ἐπὶ τῆς χρείας ὅσον ἐξαρκεῖ μετ' οἴνου καὶ ἐπιχρίων πρὸ τοῦ βαλανείου τὸ βρέγμα προξυρισθὲν ἔπειτα μετὰ βραχὺ σμήχων καὶ ἀποπλύνων.

Σάπων Ἀνδρέου κόμητος πάνυ δόκιμος. σχοίνου ἄνθος κασσίας κυπέρων ἀμώμου φύλλου κόστου ἀνὰ Γ° α̅ κηκίδων Γ° α̅ ς νάρδου Κελτικῆς στυπτηρίας σχιστῆς ἴρεως τρυγὸς οἴνου παλαιοῦ κεκαυμένου

4. 5 νίτρου—ϛ̅ *Or.*^{c} *8 (IV 188, 2—3)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 κεκαυμένου (κ$^{ε'}$ M^o) C^p P^x P ω σμάσθωσαν P ὀσμάσθω C^p A 2 μὴ *om.* ω κατεχ.] ἢ τω *(sic)* P κάτεχε τὸ M^o ω 4 ὀπτοῦ *om.* C^p P λι *pr., alt., tert*] ου$^{Γ'}$ P^x α̅ *pr.*] β̅ S σταφ. ἀγρ. λι α̅ *post* νάπυος λι α̅ P^a C^p P^x *ead. post* δαφνίδων λι β̅ M^o ἀσταφ. ἀγρίας ἀνὰ *post* νάπυος P σταφ. ἀγρίας *tantum ante* νάπυος ω 5 νάπυος λι α̅ *om.* M^o ϛ̅] ς P^x 7 ὑγροκ C^p M^o ω 9 τὸ *om.* L^a σείσας χ A ω 10 ...ξυρίσας P^a A^t 13 ὀροβ. ἀλ. *om.* L^a 14 *ante* χυλῷ: ἐν P^a A χυλὸν P^x ω 15 α̅ *alt. om.* P^a C^p P ω 16—19 χρὴ—ὑποκ. ὕλην *post* κεφαλῆς *(198, 16) transp.* P^x A *in marg. m. 2*^{a} M^o *om.* φ C^p P *deleverim* 16 ἐμβαλεῖν P^x M^o A ω ...στείλαντα P^x M^o A ω 19 ...βάλλουσι α *correxi* 20 *ante* Σάπων: Κωνσταντίνου σάπων ω 22 φύλλου P^a C^p M^o A S 23 α̅ *pr.*] β̅ P ξ] < P λι$^{τρ'}$ P^a σείσας χ S σίσας A 24 πρόσβαλε P^a C^p M^o A A^t ...πλαττε P^x P ω 26 ...ξυρηθὲν α, *exc.* L^a 27 ἀπόπλυνον P^x A 28 σχήνου A σχίνου P A^t ἄνθους P^a M^o ψ 29 ς *om.* P^x A 30 σχιστῆς *om.* ω ...μένης *(recte)* P *om.* C^p

γύψου κεκαυμένου νίτρου ἀνὰ Γρ ι̅β̅ ῥόδων ξηρῶν Γρ η̅ ἁλῶν Γρ η̅ πορφυρῶν ὀστράκων κεκαυμένων ℥ γ̅ σάπωνος Γαλλικοῦ λι α̅ θέρμων ἀφεψήματι λείου καὶ ἀναλάμβανε καὶ χρῶ.

Ξηρὸν μύρον κεφαλῆς ῥευματιζομένης ἀδιάπτωτον. ἴρεως ἐλενίου σχοίνου ἄνθους ἀνὰ λι α̅ ῥόδων ξηρῶν ℥ γ̅ ἀμώμου κόστου φύλλου κηκίδων ἀνὰ ℥ ϛ̅· χρῶ μετὰ τὸ λουτρόν προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ καὶ τότε ἐπίπασσε.

Ἄλλο κάλλιστον. ἴρεως ℥ γ̅ κηκίδων ℥ α̅ κασσίας κόστου φύλλου ναρδοστάχυος βαλαυστίων ῥόδων ξηρῶν καρποβαλσάμου ἀνὰ ℥ β̅ σμύρνης < δ̅, κόψας σήσας προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ ἐπίπασσε καὶ μάλιστα μετὰ τὸ λουτρόν.

Ἄλλο Θεοδοσίου. πάσμα κεφαλῆς ἀναξηραντικόν. κηκίδων βαλαυστίων ἀνὰ ℥ δ̅ κυπέρων ℥ β̅ ναρδοστάχυος φύλλου λιβάνου φλοιοῦ πίτυος φλοιοῦ νάρδου Κελτικῆς ἀνὰ ℥ α̅ ἴρεως ℥ α̅ ς, κόψας σήσας χρῶ.

Ἄλλο πάνυ καλόν. ἴρεως ℥ γ̅ κηκίδων κυπέρων ῥόδων ξηρῶν ἀνὰ ℥ β̅ στυπτηρίας ℥ α̅· χρῶ, ὡς προείρηται, ἐπὶ θερμοτέρας κεφαλῆς.

Πάσμα κεφαλῆς καθύγρου, ὑφ᾽ ἧς οἵ τε ὀφθαλμοὶ ῥευματίζονται καὶ τὰ ἄλλα μέρη. παιωνίας ῥίζης ℥ α̅ στυπτηρίας σχιστῆς ℥ α̅ δαφνίδων < δ̅ κυπέρων ℥ β̅ νάρδου Κελτικῆς ℥ ϛ̅, κόψας σήσας κατάπλασσε· τοῦτο ποιεῖ· πλειστάκις γὰρ ἐδοκίμασα.

Ἄλλο πάσμα κεφαλῆς τονωτικὸν ποιοῦν καὶ ἐπὶ τῶν τοὺς ὀφθαλμοὺς ῥευματιζομένων συνεχῶς. κυτίνων ℥ α̅ κηκίδων ℥ β̅ κυπέρων ἴρεως ἐλενίου ἀνὰ ℥ δ̅ ἁρμαλὰ ὃ καλοῦσι βησασὰ ℥ β̅ χαμαιλέοντος μέλανος ῥίζης ℥ β̅ καρποβαλσάμου ℥ α̅ σχοίνου ἄνθους ℥ β̅ ἀριστολοχίας ῥόδων ξηρῶν μυρσίνης ξηρᾶς νάρδου Κελτικῆς ἀνὰ ℥ α̅ ξυλοβαλσάμου ℥ β̅ ἀμώμου σιδίων σταφίδος ἀγρίας ἀνὰ ℥ α̅, κόψας σήσας χρῶ.

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1. 2 νίτρου — κεκαυμ. ℥ γ̅ *om.* A ἁλῶν Γρ η̅ *om.* P^{a} 3 λ(ε)ίοι χ A *post* χρῶ: Ἄλλο. Σάπων Κωνσταντίνου τοῦ μεγάλου λίαν θαυμασιώτατον. ῥόδων ξηρῶν ἀλόης κηκίδων — μὴ ποίει εἴτε εἰς τὸ λουτρόν P^{x} 4 Ξηρόμυρον P^{a} C^{p} P^{x} ψ 5 σχίνου ψ ω 6. 7 μετὰ — ἐπίπασσε *om.* C^{p} P 7 ἐπίπασσον P^{a} A ....πάσσων M^{o} *post* ἐπίπ.: Ἄλλο. κουμπεπ´ καρυοφύλ⟨λου⟩ κόστου κασσίας φύλλου ναρδοστάχυος — καὶ οὕτω ἔασον αὐτὴν δι᾽ ὅλης τῆς ἡμέρας P^{x} 8 φύλλων P^{a} P^{x} A^{t} 9 ℥] < P^{a} χ A 10 σμύρνης] ζ́ζ́ C^{p} M^{o} S̈ σείσας χ ω προαλείψ. *om.* P^{x} A 11 *post* λουτρόν: χρὴ δὲ τοῦτο τηρεῖν ἐν ἀκριβίᾳ, ὦ ἰατρέ, κατὰ πάντα, ὅτι τὰ τοιαῦτα ῥηθησόμενα πάσματα ἅπαντα μετὰ τὸ λουτρὸν παραλαμβάνονται P^{x} παραλαμβάνονται A 12 Θεοσεβίου C^{p} P A^{t} *m. 1ª* S 13 β̅] δ̅ M^{o} φύλλων P^{x} ω 13. 14 λιβ. — πίτ. φλοιοῦ *om.* P^{x} P 14 σείσας χ ω 15. 16 γ̅ — στυπτηρίας ℥ *om.* M^{o} κυπέρων *om.* ω 18—21 Ἄλλο πάσμα — ἐδοκίμασα *post* χρῶ *(l. 28)* A ἐφ᾽ P^{x} A 20 <] ℥ P^{x} A κυπρ´ P^{x} ...πέρου S ...έρεως A^{t} σείσας χ ω 21 ποιεῖ *et* γὰρ *om.* α, *exc.* L^{a} M^{o} 23 β̅] α̅ ω κυπέρου P ω 24 ἁρμαλὰν ω βησασά, βήσ., βησάσα, βιβασά, βυσασά, βίσασα *codd.* 25 σχίνου P^{a} ψ A^{t} ἄνθος P^{x} P ω 28 *post* χρῶ: ὁμοῦ εἴδη ι̅ζ̅ C^{p} M^{o} ψ *m. 2ª* S ὁμοῦ τὰ εἴδη πάντα δεκαεπτὰ P^{x}

Ἄλλο σμῆγμα ἀναξηραντικὸν ῥευμάτων παντοίων, ἐξαιρέτως δὲ τῶν δριμέων καὶ τῶν ὑποσκυφίων λεγομένων διὰ πολλῆς πείρας πάνυ εὐδοκιμοῦν γενναίως. κάγχρυος Γ° γ̅ λαδάνου Γ° β̅ κηκίδων Γ° β̅ σχοίνου ἄνθους Γ° α̅ c ῥόδων σπέρματος ξηροῦ Γ° α̅ c στυπτηρίας ὑγρᾶς Γ° β̅ ναρδοστάχυος Γ° α̅ νάπυος ἴρεως ἀκακίας πεπέρεως σταφίδος ἀγρίας ἀνὰ Γ° β̅ κόστου φύλλου πυρέθρου ἀνὰ Γ° α̅ καλάμου Γ° α̅ c σφάγνου ἤτοι βρύου ἢ ὕπνου Γ° α̅ c νίτρου ἐρυθροῦ λι β̅, τὸ νίτρον καύσας ὀξυμέλιτι σβέσας λεάνας μίξας χρῶ, ἐπιπάσσων τῷ βρέγματι καὶ μετὰ βραχὺ σμήχων.

νε Περὶ ἀλωπεκίας. καθάπερ τῶν φυτῶν ἔνια μὲν ὑγρότητος ἐνδείᾳ φθείρεται ξηραινόμενα, τινὰ δὲ ὑγροῖς ἀλλοτρίοις τῆς ἑαυτῶν φύσεως ὁμιλοῦντα τὸν αὐτὸν τρόπον καὶ ταῖς θριξὶν ἤτοι δι' ἔνδειαν ὑγρῶν, ὑφ' ὧν τρέφεσθαι πεφύκασιν, ἢ φαυλότητα φθείρεσθαι συμβαίνει. δι' ἔνδειαν μὲν ὑγρῶν ἡ φαλάκρωσις γίγνεται, διὰ μοχθηρίαν δὲ αἱ ἀλωπεκίαι τε καὶ ὀφιάσεις, ἓν μὲν ἄμφω κατά γε τὴν νοσώδη διάθεσιν οὖσαι τὸ πάθος, ὀνόματα δὲ ἐσχηκυῖαι διαφέροντα παρὰ τὸ σχῆμα. παραπλήσιον γὰρ ὄφει τὸ βεβλαμμένον μέρος τῆς κεφαλῆς φαίνεται κατὰ τὰς ὀφιάσεις. αἱ δὲ ἀλωπεκίαι οὕτως ὠνομάσθησαν, ὅτι ταῖς ἀλώπεξι συνεχῶς γίγνεται τὸ πάθος, ὥς φασιν. ὑγρῶν μὲν οὖν μοχθηρῶν περιουσία αἰτία τοῦ πάθους. ὁποῖα δέ ἐστι ταῦτα, διὰ τῆς χρόας τοῦ παντὸς δέρματος γνώσῃ. λευκοτέρα μὲν γὰρ οὖσα φλεγμαντικωτέραν αὐτὴν δηλώσει, μελαντέρα δὲ μελαγχολικωτέραν, ὠχροτέρα δὲ πικρόχολον. καὶ κενοῦν χρὴ τὴν πλεονάζουσαν κακοχυμίαν ἢ τοῖς δι' ἀλόης καὶ κολοκυνθίδος καταποτίοις ἢ τῇ διὰ κολοκυνθίδος ἱερᾷ Γαληνοῦ, εἰ μὲν ὁ μελαγχολικὸς χυμὸς πλεονάζοι, μέλανα ἐλλέβορον αὐτῇ μιγνύντας, εἰ δὲ ὁ πικρόχολος, σκαμμωνίαν, εἰ δὲ φλέγμα, αὐτὴν καθ' ἑαυτήν. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος κάθαρσιν ἀποφλεγματί-

10—21 καθάπερ — γνώσῃ *Gal. ib. 1 2 (XII 381, 12—382, 8) Paul. III 1 (I 129, 3—10)* 14. 15 διὰ μοχθηρίαν — ὀφιάσεις 20. 21 ὁποῖα — γνώσῃ 23 — *p. 200, 8* κενοῦν — δυσίατον *Or.*^{a} *VIII 22 (257, 2—4 cf. 4—13)* 17 — *p. 200, 8* παραπλήσιον — μίξει *Or.*^{e} *IV, 5 (439, 31—440, 19)* 19 ἀλώπεξι *cf. Herond. VII 72* 23—*p. 200, 1* κενοῦν — βοηθήμασι *Paul. ib. (ib. 11, 14—15, 16—17, 11—12)* 27—*p. 200, 1* μετὰ δὲ — βοηθήμασι *Gal. ib. (ib. 383, 5—7)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 2 *ante* τῶν *pr.*: ποιεῖ P^x ἐπὶ A καὶ τῶν — λεγομ. *om.* P^a ὑποσυμφίων M^o ω *ante* διὰ: καὶ τῶν L^a 3 κάγχ. κάχ. κέγχ. *codd.* κάγχρ. — σχοίνου ἄνθους Γ° α̅ c *ante* στυπτηρίας *(4) transp.* P^x A σχοίνου *v. supra* 5 *post* νάπυος: Γ° β̅ c ω 6 ἀνὰ Γ° β̅ — μέχρι τοῦ κατὰ τὰς ῥίζας *(206, 17) om.* P^a φύλλων $P^x A^t$ Γ° α̅ c *om.* ψ ω 6. 7 σφάγνου — ὕπνου *om.* A 7 *post* ὕπνου: ἀνὰ ω 8 μετὰ] κατὰ A A^t 9 *post* σμήχων: Περὶ πάθους τριχῶν διαίρεσις Ἱπποκράτους. Πάθη δὲ τριχῶν ἔστησαν θ̅· ῥυπάλωσις τριχοφυία — τὰ αὐτὰ δὲ καὶ πρὸς ὀφίασιν ποιοῦσιν. Ἄλλο περὶ διδασκαλίας Ἀετίου Ἀμηδινοῦ περὶ ἀλωπεκίας σαφές P^x 10. 11 ὑγρότητος — φθείρ. (. . . ονται L^a)] ὑγρότ. διαφθείρονται P^x ὑγρότητι ἐνδιαφθείρονται A^t φθείρεται ἐνδεία ὑγρότητος A S 13 τρέφειν L^a *ante* φαυλότ.: διὰ ω *(Gal.)* 14 *post* γίγν.: ὡς εἰρήκαμεν ἔμπροσθεν P^x 16 τὸ *pr. om.* α *(Gal.), exc.* L^a ἐσχηκέναι P ω περὶ L^a P ω 21. 22 φλεγματ. C^p ψ ω 22 ταύτην L^a 24 καταποτ. — κολοκυνθίδος *om.* A 25 *post* μὲν: οὖν P^x *(Ald.)* ὁ *om.* $C^p P^x$ ψ πλεονάζῃ A . . . ει P ω μέλανος ἐλλεβόρου $P^x M^o$ ω 26 τὸ *post* δὲ *add. Or.*^{e} 27 ὅλου τοῦ χ A S

ζειν ἄμεινον, κἄπειθ' οὕτως χρῆcθαι τοῖc τοπικοῖc βοηθήμαcι. διαφορητικὰ δὲ τῆc κακοχυμίαc εἶναι χρὴ ταῦτα καὶ λεπτομεροῦc οὐcίαc· εἰ δὲ πρὸc τῷ διαφορεῖν τοὺc μοχθηροὺc χυμοὺc ἐπιτήδειον εἴη τὸ φάρμακον ἕλκειν αἷμα χρηcτόν, ὥcπερ ἡ θαψία, κάλλιcτον ἂν εἴη τὸ τοιοῦτον. ξυρήcαντac δὲ χρὴ τὴν κεφαλὴν ἀνατρίβειν [τὸν τόπον] ῥάκει καὶ cκοπεῖν· εἰ γὰρ μετ' ὀλίγην τρῖψιν ἐρυθραίνηται τὸ μέροc, εὐίατον ὑπολάμβανε τὴν διάθεcιν, εἰ δὲ μετὰ πολλὴν τρῖψιν ἐρυθραίνηται, δυcίατον· εἶτα λειώcαντεc πρόcφατον θαψίαν καὶ μίξει δαψιλοῦc ὕδατοc ἐκλύcαντεc αὐτῆc τὸ cφοδρὸν τῆc δυνάμεωc ἐπιχρίειν. ἐπιcκέπτεcθαι δὲ χρὴ μετὰ τὴν ἐπίχριcιν τῆc θαψίαc, μήποτε διὰ cφοδρότητα περαιτέρω τοῦ προcήκοντοc ἐξεθέρμηνε τὸ δέρμα (δῆλον δὲ ἔcται τοῦτο ξανθότερον τὴν χρόαν γενόμενον)· ἐπικαυθῆναι γὰρ κίνδυνοc τὸ δέρμα πολλάκιc τῷ αὐτῷ χρηcαμένων ἡμῶν, ἀλλ' ἢ μεταβαίνειν ἐπί τι ἕτερον τῶν μαλακωτέρων χρὴ ἢ τῷ αὐτῷ χρωμένουc ἐκλύειν τὴν δύναμιν κηρωτῆc ἢ cτέατοc μίξει. [πρόcεχε δὲ τὸ μὴ ἑλκωθῆναι τὴν ἀλωπεκίαν, ὅπερ ἂν εἰ γένηται, ἐπάλειφε χηνείῳ cτέατι ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν.] προcαγέcθω δὲ ἐν ἀέρι θερμῷ τὰ τοιαῦτα τῶν βοηθημάτων χωρὶc αὔραc ψυχρᾶc ἐν ἡλίῳ, χειμῶνοc δὲ ὄντοc ἐν λουτρῷ. τῶν δὲ ἄλλων φαρμάκων τῶν ἁρμοττόντων ταῖc τοιαύταιc διαθέcεcι θερμότατόν ἐcτι τὸ εὐφόρβιον, καὶ μετὰ τοῦτο θαψία καὶ νᾶπυ καὶ κάρδαμον· καθ' ἕτερον δὲ τρόπον οὐδενὸc ἔλαττον ἡ ἀδάρκη, εἶτα τὸ βερνικάριον θεῖον καὶ ἀφρόνιτρα ἑκάτεροί τε οἱ ἐλλέβοροι καὶ τοῦ εὐζώμου τὸ cπέρμα καὶ τὸ δάφνινον ἔλαιον· ἀλκυόνιά τε ἑκάτερα κεκαυμένα καὶ αἱ ῥίζαι τοῦ φραγμίτου καλάμου καὶ ὁ φλοιὸc καυθέντα καὶ πίττα καὶ κεδρία ἥ τε τῶν μυῶν κόπροc καὶ χήνειον cτέαρ, μάλιcτα δὲ τὸ τῆc ἄρκτου ἢ ὑαίνηc, τά τε πικρὰ ἀμύγδαλα ὅλα καυθέντα καὶ ἐχίδνηc δέρμα καὶ κεφαλὴ κεκαυμένη καὶ ἐχίνου χερcαίου δέρμα καὶ κεφαλὴ κεκαυμένη. τούτων τοῖc μὲν ἰcχυροῖc ὑγρὰν κηρωτὴν μιγνύειν, τὰ δὲ ἀcθενέcτερα δεύειν ἐλαίῳ δαφνί-

2—9 εἰ δὲ—ἐπιχρίειν *Gal. ib. (ib. 388, 3—5 cf. 395, 16 sqq.)* 17—27 προcαγέcθω—ὅλα καυθέντα *Or.*[e] *ib. (440, 19—28)* 19—*p. 201, 2* τῶν δὲ ἄλλων—ἀcθενεcτέροιc *Gal. ib. (ib. 391, 3, 5—8, 10—13, 15—392, 6, 9—10, 14—17)* τῶν δὲ ἄλλων—cτέαρ *(26)* | 28. 29 τοῖc μὲν ἰcχυροῖc—ἐλαίῳ δαφνίνῳ *Or.*[a] *VIII, 23 (257, 15—21)* 28—*p. 201, 2* τούτων—ἀcθενεcτέροιc *Or.*[e] *IV 5 (440, 28—31)*

φ (L^a) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 οὕτω P^x P ω 3 τὸ φ $C^p P^x$ A A^t χρηcτόν *om. Or. (fort. delendum)* 5 ξυρ., ξηρ., ξυρ. . . ντεc (ω), ξηρ. . . . . ντεc, ξυρίcαc (P^x) *codd.* χρὴ *post* κεφαλὴν *transp.* P ω τὸν τόπον *delevi (cf. 201, 6)* 6 ἐρυθαίνεται C^p ψ A^t . . . θραίνεται $M^o P^x$ S τὸ μέροc—ἐρυθραίν. *(7) om.* P 7. 8 ἐρυθαίνεται χ S . . . . θένεται A . . . . θεν(αι)εται A^t 9 ὕδατοc *supra scr. m. 2*[a] S *om.* A^t ἐγκαλύcαντεc P^x ἐγκολάcαντεc A ἐκλύcαντac P ἑλκύcαντεc A^t 11 . . . θέρμαινε P^x A 13 τῷ *om.* ω ἀλλ' ἢ] ἀλλὰ C^p A 14 τι] τε A^t 15 κηρωτῇ P A^t πρόcεχε—λεπτομερῶν *(17) om.* φ χ ψ *(Or.) delevi* 16 εἰ *falso additum? Deichgr.* 20 τοῦτο] τοῦ ω 21 θαψίου A^t ἔλαττον] ἧττον A^t *(Ald.)* 22 βερνίκικον *Or.* v: βερενίκειον *Daremberg* θεῖον *om. Or.* ἀφρόνιτρον ψ ἀφόνιτρον P^x ω 23. 24 ἀλκυόν., ἀλκυών. *codd.* καὶ αἱ ῥίζαι—φλοιὸc κεκαυμένα (*pro* καυθέντα) *post* κεδρία *transp.* A^t 25 κεδρέα $P^x M^o$ A ω 26 ἢ] καὶ M^o ω 27 ἐχίδνηc] ἐχίνου χερcαίου P^x A 27. 28 καὶ ἐχίνου—κεκαυμένη *om.* P^x A ω 29—*p. 201, 1* ὑγρὰν—τοῖc ἰcχυροῖc *om.* A^t

νῳ ἢ ὑγρᾷ πίσσῃ· καὶ τὰς μὲν χρονίας καὶ δυσιάτους τοῖς ἰσχυροῖς θεραπεύειν, τὰς δὲ ἀρχομένας καὶ εὐιάτους τοῖς ἀσθενεστέροις.

Κρίτωνος πρὸς ἀλωπεκίας. ἀρκτείων τριχῶν κεκαυμένων ἀδιάντου κεκαυμένου καλάμου ῥιζῶν κεκαυμένων συκῆς φύλλων κεκαυμένων κιλικίου ῥάκους κεκαυμένου τὸ ἴσον ἑκάστου ἀναλάμβανε στέατι ἀρκτείῳ καὶ κεδρίᾳ· ἐπὶ δὲ τῆς χρήσεως πυρία, ἀνατρίβων τὸν τόπον συκῆς φύλλοις καὶ νίτρῳ ἀποσμήχων, κατάχριε τῷ φαρμάκῳ καθ' ἡμέραν. Ἀρχιγένους πρὸς ἀλωπεκίαν. περιστερεῶνα ὀρθὸν ἐν ἡλίῳ τρίψας μετ' ὄξους καὶ προεκνιτρώσας, ἐπίχριε καὶ ἐπιτίθει ἀραιὸν ὀθόνιον, ἀφαίρει δὲ προβρέχων τὸν τόπον. Ἄλλο. ἀλκυόνιον τὸ τραχύτερον καύσας πρὸς λύχνον καὶ σβέσας ὀποβαλσάμῳ ἀδόλῳ καὶ λεάνας σὺν αὐτῷ ἐπίχριε· προσμένει γὰρ ὡς ἐπίπαν καὶ οὐκ ἀφίσταται μέχρις ἐκφύσωσιν αἱ τρίχες. Ἄλλο. λεπίδα σιδήρου στομώματος λεάνας ἐπὶ πολὺ σὺν ὄξει ἐν ἡλίῳ καὶ ἐπιβαλὼν ἐλαίου βραχὺ ἐπίχριε. Ἄλλο. κάσσυμα καινὸν καίων τὸ σαρκῶδες μετ' ὄξους κατάχριε. Ἄλλο. ἵππου ὀδόντας καύσας χρῶ μετ' ὄξους. ἄκρως δὲ ποιεῖ ἐπὶ τῶν χρονίων· θαψίας χυλὸν ἀναλαβὼν κηρωτῇ ἐπιτίθει τῷ τόπῳ μετὰ τοῦ μηδὲν ἄλλο περιεργάσασθαι. ἀφίσταται γὰρ ἄνωθεν ἡ ἐπιφάνεια καὶ ἰχωροποιεῖ καὶ ὑποφύονται τρίχες αὐτομάτως. Ἄλλο πρὸς ἀλωπεκίας καὶ πᾶσαν μαδάρωσιν καὶ ἀλφοὺς κεχρονισμένους. κήρυκας καύσας λείου μετ' ἐλαίου παλαιοῦ καὶ ποιήσας γλοιοῦ πάχος προξυρήσας καὶ ἀνατρίβων χρῖε, χρῶ· δόκιμόν ἐστιν. Ἄλλο Ἀσκληπιάδου. ἀφρονίτρου μέρη δύο ἁλὸς ἀμμωνιακοῦ μέρος ἕν· καύσας ταῦτα καὶ λεάνας σὺν ὄξει δριμυτάτῳ, ὡς ἔχειν γλοιοῦ πάχος, προκαταξυρήσας τὴν ἀλωπεκίαν κούφως, ὡς δασυνθῆναι τὸν τόπον, κατάχριε ἀνατρίβων μέχρι τοῦ εἰς βάθος παραδεχθῆναι τὸ φάρμακον καὶ τοῦτο ποιοῦμεν δεύ-

3—8 ἀρκτείων — ἡμέραν *Gal. ib. (ib. 402, 18—403, 4 [ex Orestino])* Κρίτωνος π. ἀλωπ. ....καλάμου ῥιζῶν κεκαυμ. ....ἀναλάμβ. στέατι ἀρκτείῳ *Gal. ib. (ib. 401, 4, 18—402, 1)* 8—12 Ἀρχιγένους — ἐπίχριε 13—15 λεπίδα — κατάχριε 16—19 ἄκρως — αὐτομάτως 22—*p. 202, 1* ἀφρονίτρου — ἡμέρας *Gal. ib (ib. 406, 3—7, cf. 407, 17—408, 2, 408, 8—9, 409, 15—410, 3, 411, 8—16)* 10—12 ἀλκυόνιον — ἐπίχριε *Or.*ᶜ *1 (IV 187, 6—7)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 πίττῃ *Ald.* 3 ἀρνίου ω ...κτείων *vel* ...κείων *cett. codd.* 4 καλάμων φ P^x ω 6 κεδρέα P^x ...αία A^t χρείας φ *post* χρήσεως: ὡς ω 7 νίτρου ω 7. 8 τῷ φαρμ. καθ' ἡμ.] τῶν φαρμάκων καθ' ἡμ. συχνῶς τὸν τόπον P^x τὸ φάρμακον ω ἀλωπεκίας C^p ψ 9. 10 ἀραιῶ ὀθονίω P^x A 10 τὸ] τι φ 10. 11 τραχ.] τρανότερον ω 11 ἀποβαλσάμω C^p *m. 1*ᵃ S ἀπὸ βαλσάμου A^t 13 *post* μέχρις: ἂν P^x P Ἄλλο *in marg* P, *om.* P^x *(Ald.)* λεπίδα — ἐπίχριε *(14) post* αὐτομάτ. *(19)* P ω λεπίδος P^x A στομ. σιδ. ω 14 βραχὺ ἔλαιον (...αίου C^p) C^p P^x A ω 14. 15 Ἄλλο (*om.* L^a). κάσσυμα (κάσυμα P^x M^o ψ κάσυμμα C^p) — κατάχριε *om.* ω 15 Ἄλλο *om.* ω 18 ....γάσασθαι (σ *pr. ex* ζ) A ...γάζεσθαι A^t ἄνωθ. ἡ] ἡ ἄνωθεν (ἄνω A^t) ω 18. 19 ἰχωροῖ P^x ...ροεῖ ω ..ρροεῖ P *(Gal.)* ...ρωρεῖ C^p ...ρροροῖ M^o ...ρορυροῖ A 19 ἀποφ ω αὐτόματοι α *(Gal.), exc.* φ ἀλωπεκίαν C^p P 20 πᾶσαν] διὰ ω *om.* M^o P λείοι χ A S 21 γλυοῦ φ P^x A S 21. 22 *post* ἀνατρίβ.: τρῖβε καὶ S *(Ald.)* 22 χρῶ *om.* α, *exc.* φ A *post* δόκιμον: γὰρ P^x P ἀφον. ω 24 γλυοῦ *v. supra* προκαταξύσας χ ψ προσκαταξύσας ω

τερον τῆς ἡμέρας. Ἄλλο. πράσιον χλωρὸν τρίψας ἐπίχριε. Ἄλλο. περδικίου βοτάνης χλωρᾶς τοῖς φύλλοις συνεχῶς ἀνάτριβε τὸν τόπον. Ἄλλο. σφαιρίτιδος φύλλα πεφρυγμένα λεάνας μετ' ὄξους χρῶ. Ἄλλο. ἐχίνων θαλασσίων ὄστρακον κεκαυμένον μετὰ μέλιτος κατάχριε. Ἄλλο. ἐχίνου χερσαίου δέρμα ἢ τὴν κεφαλὴν καύσας χρῶ μετὰ μέλιτος. Ἄλλο. ἀλκυονίου < β̄ θείου ἀπύρου < ᾱ μυιῶν πεφωγμένων ὥς ἀναξηρανθῆναι κυάθους β̄, τὰς μυίας λέαινε κατ' ἰδίαν καὶ τὸ θεῖον, τὸ δὲ ἀλκυόνιον κόψας καὶ ἑψήσας ὕδατι συλλέαινε τοῖς ξηροῖς, παραχέων κατὰ βραχὺ χολῆς ὑείας καὶ ὄξους ἕως γλοιῶδες γένηται, εἶτα ὀξύγγιον ἀπὸ τροχῶν τῶν ἁμαξῶν ξύσας καὶ ἐπὶ τῆς χειρὸς ἀναμαλάξας, ὡς ἐμπλαστρῶδες γενέσθαι, καὶ μίξας προξυρήσας καὶ ἀνατρίψας κατάχριε θαρρῶν ὡς ἀρίστῳ. Ἄλλο. ἐχίνου χερσαίου καυθέντος ἡ σποδιὰ πίσσῃ ὑγρᾷ ἀναληφθεῖσα ἀλωπεκίας ἀπαλλάττει. Ἄλλο Σωρανοῦ, ᾧ καὶ Ἀρχιγένης ἐχρήσατο καὶ σφόδρα ἐπαινεῖ. προξυρήσας τὴν ἀλωπεκίαν καὶ ἀνατρίψας, ἔπειτα κατασχάσας ἐπιπολῆς, κρομύων ἢ ῥαφάνου φλοιὸν κατάπλασσε λειῶν ἕκαστον μετὰ μέλιτος ἢ ἀνατρίψας τούτοις ἐπίχριε. Ἄλλο. καρδάμου σπέρμα καὶ μυόχοδα καὶ πέπερι καὶ ἐλλέβορον λευκὸν ἴσα μετ' ὄξους· ἔστι γὰρ πάνυ δόκιμον. Ἄλλο Ἀρχιγένους. ῥοὸς μαγειρικοῦ < δ̄ σινάπεως < β̄ μετ' ὄξους. Ἄλλο. κανθαρίδας καύσας λειώσας μετὰ μελικράτου προανατρίβων χρῶ. Ἄλλο. κασσύματος καινοῦ τὸ ἐριῶδες καύσας ἐπὶ χαλκώματι λέαινε μετ' ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ ὄξους καὶ κατάχριε· τοῦτο ταχέως ἄγει τὰς τρίχας. Ἄλλο. κυκλαμίνου ῥίζαν λείαν χλωρὰν ἐπίχριε ἢ ξηρὰν μετ' ὄξους καύσας χρῶ. Ἄλλο. αἰλούρων ἀφόδευμα μετὰ νάπυος καὶ πεπέρεως σὺν ὄξει χρῶ. Ἄλλο. σκόρδον καύσας σὺν

1 πράσιον—ἐπίχριε 3 σφαιρίτιδος—χρῶ *Gal. ib. (ib. 418, 4—6)* 4 ἐχίνων—κατάχριε *Gal. ib. (ib. 418, 9—10 cf. 402, 14—15)* 5 ἐχίνου—μέλιτος *Gal. ib. (ib. 413, 16—17)* 6—12 Ἄλλο. ἀλκυονίου—ἀρίστῳ *Gal. ib. (ib. 419, 8—15)* 12 ἐχίνου—ἀπαλλάτ. *(13) cf. Gal. ib. (ib. 417, 2—3)* 14—18 Σωρανοῦ—δόκιμον *Gal. ib. (ib. 414, 17, 415, 6, 7, 15—17, 416, 12—13)* 19 ῥοὸς—ὄξους *ib. (ib. 409, 13—14)* 20. 21 κανθαρίδας—χρῶ *cf. Gal. ib. (ib. 408, 11sqq.)* 21—23 κασσύματος—τρίχας *cf. Gal. ib. (ib. 409, 15—16)* 24. 25 αἰλούρων—χρῶ |

φ (L^a) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 2 ἀνάτριβε συνεχ. α, *exc.* φ 4 ὀστράκων C^p ὄστρακα P ω κεκαυμένα P κε' C^p καύσας ω *in marg.* ἐχίνου χερσαίου καυθ⟨έντος⟩ ἡ σποδιὰ πισσῃ ὑγρᾶ ἀναληφθεῖσα ἀλωπεκίας ἀπαλλάττει *(l. 12, 13)* M^o 6 πεφρυγμ. P^x ω 7 μύας C^p A^t λεαίνου A^t *m. 1ª* S καὶ τὸ θεῖον *om.* P ω 8 *post* ἀλκυόνιον: καύσας καὶ τὸ θεῖον P ω κόψας καὶ ἑψ.] καύσας (*om.* A^t) καὶ κόψας καὶ σήσας (σείς. A^t) ω 9 χυλὸν A χολὴν P ω ὑείαν P γλυῶδες χ A χλιῶδες A^t 11 ἐμπλαστῶδες C^p M^o *ante* προξυρ.: καὶ P^x P ....ξυρήσας, ..ξηρίσας, ...ξυρίσας *codd.* 12 ἄριστον φάρμακον P^x ἄριστον M^o ω Ἄλλο *om.* χ ψ ω ἐχίνου—ἀπαλλάττει *in marg. v. l. 5 adn.* M^o *om.* φ C^p P^x ψ 14 Ἀρχιγ.] αὐτὸς P ἐκέχρητο ὁ Ἀρχιγένης P ἐστὶ ἐπαινετ⟨όν⟩ P^x ἐπήνει P προξυρ. *v. supra* 15 κρόμυον (...μμυον) M^o ψ κρομ' P^x 16 ῥαφάνων ω ...πλαττε P ...πασσε C^p ω λεῖον χ A ω 17 ἄλλο] τούτῳ φ M^o τοῦτο C^p ψ τοῦ P^x ω *correxi ex Gal.* 19 σινίπεως P^x A σινηπ' P σιναπ' A^t ...νάπι S 20 *ante* λειώσας: καὶ P^x M^o ψ ω 21 κασύμ. χ A S 22 καὶ *om.* φ τοῦτο *om.* ω 23 χλωρὰν λείαν ω 24 μετ' ὄξους *post* χρῶ M^o *om.* ω 24. 25 αἰλούρων—σὺν ὄξει χρῶ *om.* P ἐλλούρων φ P^x S ἐλούρων C^p A 25 σκόροδα P ω

ῥοδίνῳ κατάχριε ἢ ϲεύτλου ῥίζαν ὁμοίωϲ. Ἄλλο. ὄνου ὄνυχαϲ κεκαυμένουϲ ἀϲφοδέλου ῥίζηϲ κεκαυμένηϲ ἀλκυονίου νίτρου ἴϲα, ἀναλάμβανε ἐλαίῳ παλαιῷ καὶ χρῶ. Ἄλλο. ἐχίνων θαλαϲϲίων ϲὺν τοῖϲ ὀϲτράκοιϲ κεκαυμένων < β̄ μυοχόδων < ᾱ κηκίδων ὀμφακίνων < β̄ ἀμυγδάλων ϲὺν τοῖϲ ὀϲτράκοιϲ κεκαυμένων < β̄, ὄξει διαλύϲαϲ ἐπίχριε, προανατρίβων τὸν τόπον. Ἄλλο. ἀλκυονίου κεκαυμένου κέρατοϲ ἐλαφείου κεκαυμένου κυπέρου ὁλοκλήρου κεκαυμένου ἴϲα, χρῶ ϲὺν ὄξει. Ἄλλο. ἀβρότονον κεκαυμένον ϲὺν ἐλαίῳ παλαιοτάτῳ χρῶ. Πρὸϲ ἀλωπεκίαϲ καὶ φαλακρώϲειϲ καὶ ἀραιότηταϲ τριχῶν δυϲαλθεῖϲ ἐπὶ κεφαλῆϲ καὶ ἐπὶ γενείων καὶ ἐπ᾽ ὀφρύων. προβάτου τριχῶν Γ° ᾱ καλάμου ῥίζηϲ Γ° ϛ̄ πτέρεωϲ ϲὺν τῇ ῥίζῃ Γ° γ̄ λοπίμου τῶν πωγωνιῶν Γ° γ̄ ἐρίων οἰϲυπηρῶν λιπαρωτάτων Γ° ϛ̄ κεφαλὰϲ μυιῶν λ̄ μυίαϲ ε̄ χωρὶϲ κεφαλῶν, πάντα εἰϲ καινὴν χύτραν ἐμβαλὼν ἔνθεϲ ἰπνῷ καίεϲθαι, εἶτα τὴν τέφραν λέαινε· προτετρίφθω δέ ϲοι ἐν οἴνῳ Ἀμιναίῳ λαδάνου Γ° ᾱ φύλλου Γ° β̄ ϲμύρνηϲ Γ° β̄ ζιγγιβέρεωϲ Γ° β̄ καὶ προϲεμβεβλήϲθωϲαν ἐλαίου παλαιοῦ Γ° β̄ κεδρίνου ἐλαίου Γ° ᾱ, εἶτα παραπάϲαϲ τὰ ξηρὰ ἀνελοῦ· προανατρίψαϲ δὲ ὀθονίῳ τὴν ἀλωπεκίαν, εἶτα κούφωϲ ἀμυχαῖϲ χρηϲάμενοϲ καὶ κρομύῳ ἢ ϲκίλλῃ ἢ ϲυκῆϲ φύλλῳ ἀναξύϲαϲ ἐπίχριε ἀνατρίβων τὸ φάρμακον, καὶ λουϲαμένῳ, εὐτόνῳ ὀθονίῳ ξέων, τοῦ λοιποῦ ἐπίχριε ἕωϲ διμήνου ἐπιμένων καὶ φαλακρώϲειϲ ἰάϲῃ. Ὀριβαϲίου πρὸϲ ἀλωπεκίαϲ. μυοχόδων Γ° ᾱ ὄνθουϲ καμήλου ε̄ κεκαυμένουϲ κριθῆϲ κεκαυμένηϲ δράκα δάφνηϲ δεϲμίδιον χειροπληθὲϲ κεκαυμένον ἀναλάμβανε μιγνύων ἀπὸ ἄξονοϲ ῥύπον, τουτέϲτιν ἀπὸ τοῦ τροχοῦ τῆϲ ἁμάξηϲ.

3—6 ἐχίνων — τόπον 8—21 Πρὸϲ ἀλωπεκίαϲ — ἰάϲῃ *Gal. ib. (ib. 409, 12—13, 402, 14—18, 420, 4—421, 2)* 21 Ὀριβ. κτλ. *locum genuinum in Or. non inveni, at cf. Or.ᵉ 1, 4 (IV 187, 9sqq., praesertim Gal. v. supra XII, 416, 11sqq. etc.)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ὄνυχοϲ M^o A ...εϲ P^x ω 1. 2 κεκαυμέναϲ φ C^p ...ου M^o A ...ναι A^t ...νοι P^x S ἀλκυωνίαϲ ω ἴϲα] ἀνὰ < ᾱ P^x *post* ἴϲα: ἀμφότερα ω 3 ϲὺν *om.* A^t 4. 5 κηκίδων — κεκαυμ. < β̄ (< β̄ *om.* A)] *ante* μυοχόδων *transp.* M^o A S κηκίδ. — κεκαυμ. ἀνὰ (< β̄ *om.*) *post* κεκαυμένων *(4) transp.* P^x *om.* C^p P ω 8 ἀβρότονον — χρῶ *om.* A^t ἀβροτόνου (...νω) κεκαυμένου (...νω P) S 10 καὶ *pr.*] ἢ P^x *om.* C^p M^o ψ ω καὶ *alt.*] ἢ P^x *om.* C^p M^o A βάτου φ χ P τρίχαϲ ω 11 ϛ̄] γ̄ *Ald. ante* πτέρεωϲ: καὶ C^p πτέρεωϲ] πεπέρεωϲ φ M^o ω *ante* λοπ.: λόπιμοι — αἱ καϲτανικαὶ βάλανοι φ 12 γ̄] ϛ̄ M^o ῑ P^x A ὑϲϲωπ., ὑϲϲηπ., ὑϲηπ., ὑϲϲοιπ., ἡϲυπ., οἰϲϲηπ., οἰϲϲυπ. *etc. codd.* μυιῶν *et* μυῶν, μυίαϲ *et* μύαϲ *codd.* 13 κενὴν M^o ω *post* ἔνθεϲ: κόπρων διαφόρων τετραπόδων φ 13. 14 ὑποκαίεϲθαι C^p 14 ἀμμενιέω, ἀμηναίω, ἀμων., ἀμυνν., ἀμιν., ἀμμιν. *codd.* 15 ᾱ] γ̄ ω φύλλων C^p P^x ω β̄ *pr.*] ᾱ S γ̄ A^t ζιγγιβέρεωϲ Γ° β̄ *om.* α, *exc.* φ 15. 16 καὶ προϲεμβ. — Γ° β̄ *om.* A 16 παραπᾶϲαι P ...πάϲϲαϲ φ S 17. 18 κούφαιϲ P^x ψ ω 18 φύλλων C^p ...οιϲ ψ ....α P^x M^o ω 19 λουϲαμένου P^x ...ϲάμενον P εὐτονίῳ φ ...τόνωϲ P^x 20 φαλάκρωϲιν α, *exc.* φ 21 ἰᾶται ω 21—24 Ὀριβαϲίου — ἁμάξηϲ *om.* C^p πρὸϲ ἀλωπ. *in marg.* P *om.* ω *ante* μυοχ.: πάθοϲ ἕτερόν ἐϲτι τριχῶν *(cf. 204, 1)* φ ὄνθυϲ S ...θυαϲ A^t 21. 22 ε̄ κεκαυμ.] κεκαυμέναϲ ε̄ A^t ἐκκεκαυμέναϲ M^o δράκαν ᾱ P^x *om.* A^t 24 τοῦ *om.* P^x ψ *post* ἁμάξηϲ: Ἄλλο. πέπερι ϲὺν προβατείᾳ κόπρῳ κτλ. Πρὸϲ φαλάκρωϲιν καὶ τριχῶν αὔξηϲιν ἐκ τῶν

νϛ Περὶ ῥεουςῶν τριχῶν. πάθος ἕτερόν ἐςτι τριχῶν, ἀραιότητι μὲν τοῦ δέρματος, ἐνδείᾳ δὲ τῆς διοικούςης αὐτὰς οὐςίας ἑπόμενον. διὸ καὶ ἡ θεραπεία τῶν οὕτως βλαπτομένων οὐ τὸν αὐτὸν ἔχει ςκοπὸν ταῖς ἀλωπεκίαις. ἐπ᾽ ἐκείνων μὲν γὰρ ἐκδαπανῆςαι τὴν κακοχυμίαν ὁ ςκοπός, ἐπὶ τούτων δὲ ῥῶςαι τὴν ἕξιν τῆς κεφαλῆς καὶ χρηςτοῦ χυμοῦ παρουςίαν ἐργάςαςθαι καὶ τοῦ δέρματος τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα ςυμμετρίαν ἀνακαλέςαςθαι· εἴωθε δὲ τὸ πάθημα τοῦτο περὶ τὰς τρίχας γίγνεςθαι πλειςτάκις μὲν τοῖς νοςήμαςι, ςπανιάκις δὲ καὶ χωρὶς νόςου. καὶ οἱ πλεῖςτοι χωρὶς φαρμάκου διὰ τῆς ἀναληπτικῆς τοῦ ςώματος διαίτης ὑγιάςθηςαν ἐν τάχει· ὅθεν τὰ φάρμακα ἔςτω ἐπ᾽ αὐτῶν ςύμμετρον πύκνωςιν ἐργαζόμενα τοῦ δέρματος, ἅμα τῷ μὴ ψύχειν αὐτό. τὰ γὰρ ςφοδρῶς ςτύφοντα πάντως καὶ ψύχει καὶ τὴν ἐπιρροὴν τῆς τροφῆς ἀποκρούεται· ὅθεν καὶ μᾶλλον ἐκρέουςιν αἱ τρίχες. διὸ τὰ μετρίως ςτύφοντα μεμίχθαι χρὴ τοῖς ὑγιαίνουςι φαρμάκοις, ὁποῖόν ἐςτι τὸ λάδανον καὶ τὸ ςχίνινον ἔλαιον αὐτοφυῶς ςτύφοντα καὶ θερμαίνοντα μετρίως, ὥςτ᾽ οὔτε ἐπειράθην οὔτ᾽ ἐπινοῶ κρεῖττον ἔςεςθαι φάρμακον ἐπὶ τῶν ῥεουςῶν τριχῶν τοῦ μιχθέντος ἔκ τε ⟨τοῦ⟩ λαδάνου καὶ τοῦ ςχινίνου. εἰ δὲ μὴ παρείη τὸ ςχίνινον τῷ ὠμοτριβεῖ καὶ ὀμφακίζοντι ἐλαίῳ κεχρῆςθαι. πρόδηλον δὲ ὡς ἐξυρημένης μὲν τῆς κεφαλῆς παχύτερον χρὴ προςφέρειν τὸ φάρμακον, ἐν χρῷ δὲ κειραμένοις ὑγρότερον. εἰ δὲ πολλὴ ῥύςις εἴη τῶν τριχῶν καὶ τεκμαίροιο τοῦ τῆς κεφαλῆς δέρματος ἀραιότητα γεγονέναι πολλήν, ⟨οὐκ ἀνεπιτήδειον⟩ ἀντὶ τοῦ ςχινίνου τὸ μύρςινον ἔλαιον προςπλέκειν τῷ λαδάνῳ· μίξαις δ᾽ ἄν ποτε καὶ τὸ νάρδινον μύρον ἐν ἡλικίᾳ ψυχρᾷ καὶ ὥρᾳ χειμερινῇ. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα καὶ τὸ τῶν πλουςίων γυναικῶν τὸ ςπικάτον καλούμενον καὶ τὸ ςαλκᾶ, ὥςτε τού-

1—7 πάθος — ἀνακαλέςαςθαι *Gal. ib. I 2 (ib. 426, 9—17) cf. Or.*[e] *IV, 6 (440, 33—441, 1)* 7—18 εἴωθε — ςχινίνου 19—*p. 205, 16* πρόδηλον — χρῷ *Gal ib. (ib. 427, 10—428, 2, 13—429, 2, 3—12, 433, 7—13 cf. 435, 17—436, 7, 430, 9—12, 435, 15—17)* 14—18 διὸ τὰ — ςχινίνου 19—25 πρόδηλον — χειμερινῇ *cf. Or.*[e] *IV, 6 (441, 1—9)* 16—18 οὔτε ἐπειράθην — ςχινίνου 21—24 εἰ δὲ πολλὴ — λαδάνῳ *Or.*[a] *VIII 24 (257, 23—27)*

Κριττόνων (*l.* Κρίτωνος*?*). λαγωῶν κοιλίας ε̄ ξηράνας — ἐπίπαςς⟨ε⟩ δὲ πάντα ⟨ἐπὶ⟩ τὴν κεφαλὴν μετὰ τοῦ λουτροῦ, ἀλόην μετ᾽ οἴνου αὐςτηροῦ P[x]

φ (L[a]) χ (C[p] P[x] M[o]) ψ (A P) ω (S A[t]) 1 ἐςτὶν ἕτ. ω ἐςτὶν τῶν τῆς κεφαλῆς P[x] *post* τριχῶν: ῥεόντων P[x] 3 οὕτω M[o] ψ 5 ῥρῶςαι *m. 2*[a] S ἐρρ. A[t] 5. 6 χυμῶν P *om.* ω 6. 7 καὶ τοῦ δέρματος — ἀνακ. *om.* A[t] 7 ἀνακ.] ἐργάςαςθαι *Ald.* 9 *ante* πλεῖςτοι: νοςοῦντες ω 11 ἐργαζ. πύκνωςιν ω 12 μὴ *om.* A[t] *m. 1*[a] S 14 ὑγραίνουςι χ A ω 15 ςχοίνινον M[o] S αὐτοφυὲς P[x] ψ 16 ὥςτ᾽ (...τε)] ὡς τοῦτο C[p] ὡς τούτων P οὔτε *om.* φ C[p] P ω οὔτ᾽] ὥςτ᾽ οὐκ P 17 τοῦ *addidi ex Gal. Or.* 18 ςχοινίνου ....ςχοίνινον M[o] S 19. 20 ἐξυρημ., ἐξηρημ. ..ηςμ., ἐξυριςμ. *codd.* 20 μὲν *om.* P[x] A ....φέρεςθαι ω *post* φάρμακον: οὐκ φ 20 21 ἐγχρῷ φ A[t] ἐν χρόνω C[p] πρὸς χρῶτα P κέγχροις P[x] M[o] A 21 κηρωμέναις φ κηρω -ο-)μένης χ κηρωμένοις A κειρομένης P ω *correxi ex Or.* 22 τεκμαίροις A ...ρου P ...ρεο ω 23 οὐκ ἀνεπ. *addidi ex Gal. Or.* 24 μίξεις φ C[p] A A[t] τῷ ναρδίνω μύρω M[o] ω 25 εἰς ταῦτα] ἐνταῦθα P[x] A 26 ςπηκάτον P[x] ω

τοις καὶ κατὰ μόνας κέλευε χρίεσθαι τὰς πλουσίας. Κλεοπάτρα δέ φησι· πρὸς τὰς ῥεούσας τρίχας χρῶ τούτῳ· γῆν κιμωλίαν ἁδροτάτην βρέξον οἴνῳ αὐστηρῷ καὶ μόρων χυλῷ τοσοῦτον ὅσον συμπιεῖν μόνον καὶ πρόσβαλε ὑοσκυάμου σπέρματος λειοτάτου τὸ ἀρκοῦν καὶ συλλεάνας ἀνάπλασσε τροχίσκον καὶ ξηράνας ἐν σκιᾷ ἀπόθου εἰς ἀγγεῖον κεράμινον καινόν. ἐπὶ δὲ τῆς χρήσεως διεὶς ὕδατι σμᾶσθαι κέλευε, εἶτα ὅταν ξηρανθῇ ἐκκλυζέσθω. καὶ δι᾽ ἡμερῶν ε̅ τὸ αὐτὸ ποίει· χρῶ δὲ αὐτῷ ἐπὶ τῶν θερμοτέρων κεφαλῶν. ποιεῖ καὶ πρὸς τὰ ἐν προσώπῳ καὶ τραχήλῳ λειχηνώδη.

Ἄλλο πρὸς ῥεούσας τρίχας. περιστερεῶνα ὀρθὸν χλωρὸν σὺν ταῖς ῥίζαις βαλὼν ἐν ἐλαίῳ ὀμφακίνῳ ἡλίαζε ἡμέρας πλείους καὶ διηθήσας τὸ ἔλαιον, χρῶ καθ᾽ ἡμέραν ἀντὶ τοῦ κοινοῦ. εἰ δὲ μὴ παρείη χλωρὸν τὸ βοτάνιον, ξηρὸν λαβὼν σὺν ταῖς ῥίζαις καὶ κόψας καὶ σήσας, ἀναμίξας ἐλαίῳ ὡς ⟨γλοιοῦ⟩ πάχος ἔχειν καὶ ἐάσας ἡμέρας τινὰς χρῶ· ἔστι γὰρ ἀπαράβατον. Ἄλλο πρὸς τὰς ἀπορρεούσας τρίχας. λάδανον ἐν οἴνῳ λεάνας καὶ ἐπιβαλὼν ἔλαιον ὀμφάκινον ἢ μύρσινον χρῶ. Πρὸς τὰς ἐκ νόσου ἀπορρεούσας τρίχας. χαμαιλέοντος μέλανος ῥίζας ἑψήσας οἴνῳ κατάχριε παχύτερον τὴν κεφαλήν. ἀκτὴν καύσας καὶ μετὰ ῥοδίνης κηρωτῆς ὑγροτάτης μίξας χρῖε· αὔξει τὰς τρίχας καὶ πυκνοῖ τὸ δέρμα καὶ οὐ συγχωρεῖ ῥέειν· καὶ τὸ ναρκίσσινον μύρον χριόμενον οὐ συγχωρεῖ τὰς τρίχας ἀπορρεῖν. Ἄλλο. λάδανον καὶ ῥόδα λεάνας ἐν οἴνῳ παλαιῷ κατάχριε. συντηρεῖ καὶ μελαίνας ποιεῖ.

Ἄλλο διαφυλακτικὸν τριχῶν· τὸ δ᾽ αὐτὸ καὶ μελαίνει. μύρτων μελάνων ξέστης εἷς σεύτλου σπέρματος ξ^ε α̅ μυρσίνης ἀκρεμόνων λι α̅ σελίνου σπέρματος λι α̅ ἀδιάντου ξ^ε′ τὸ ἥμισυ λαδάνου τὸ ἴσον οἴνου μέλανος Γρ ϛ̅, ἕψε ἄχρι παντελοῦς διαλύσεως· καὶ ὅταν τὸ τρίτον

1—9 Κλεοπάτρα — λειχηνώδη *Gal. ib. (ib. 432, 13; 433, 6—12)* 10—16 περιστερεῶνα — χρῶ *Paul. III 1 (131, 3—5)* 18. 19 ἀκτὴν — χρῖε *Gal. de rem. parab. II 1, 2 (XIV, 393, 4—5)* 21. 22 λάδανον — κατάχριε *cf. Gal. de comp. med. s. loc. I 2 (XII 432, 1sqq. etc.)* 23—*p. 206, 4* ἄλλο διαφυλακτικὸν — τρίχας *Gal. ib. (ib. 436, 11—437, 4)*

φ (L^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 χρίεσθαι] χρῆσθαι P ω *post* πλουσ.: ἐλαίου σπηκάτου σκευασία. σπῆκα ἤτοι στυ^χ′ καλοῦ ου^ΓΓ′ β̅ ἀσπαλάθου λ. δ̅ — ἐλαίου ξ^ε ϛ̅, χρῶ ὡς προείρηται P^x 2 γῆν] τὴν *Ald.* 2. 3 γῆν — τοσοῦτον *om.* P ἀναδροτ. A^t *m. 1^a* S *om.* M^o 3 χυλὸς P^x χ^υ M^o ...ὸν A ω τοῦτον P^x A^t ὅσον] ἔστω A^t ὥστε χ ψ S συμπεῖν P^x A ...πτεῖν M^o ...πῖναι C^p ω 4 .. βαλλε P^x M^o πρόβ. P *(Ald.)* 5 τροχίσκους α, *exc.* φ 5. 6 κερα^μ′ P^x ...ράμιον A ...μεοῦν C^p M^o P ω 6 καινοῦν P^x κενόν A^t *in marg* ἄλλο. ἀντὶ τοῦ σχοινίνου μύρσινον βάλλουσιν καὶ μάλιστα ἐπὶ τῶν θερμοτέρων τὴν ἕξιν M^o 13 λαβὼν] βαλ. φ σείσας χ ω 15 *post* τὰς: ἐκ νόσου A ω 15—17 λάδανον — τρίχας *om.* P^x A ω 18 *ante* οἴνω: ἐν M^o P *post* κεφαλήν: ἄλλο C^p M^o A ω, *in marg.* P ἀκτέαν φ 19 ῥοδίνης *post* κηρωτῆς *transp.* P^x A *om.* C^p M^o P ω 20 ῥεῖν χ ψ 21 *post* ἀπορρ.: Σκευασία τοῦ ναρκισσίνου μύρου. ἐκ τῶν λευκῶν ἀνθῶν τῆς ναρκίσσου προεψημένων — δριμεῖα γάρ ἐστιν ἡ ἀπὸ τοῦ ναρκισσίνου εὐωδία P^x Ἄλλο *in marg.* P *om.* C^p ω 22 *post* συντ.: γὰρ P A^t μέλανας C^p M^o P A^t 23 Ἄλλο *om.* ω 24 ξεστῆς μιᾶς C^p ξέστην α̅ A σεύτλου — ξ^ε (< C^p P) α̅ *om.* M^o ω λι] ξέστην C^p A ξ^ε′ P^x ξ̅ M^o *et* α̅ *om.* P 25 σπέρμα P^x A ω λι] ἀνὰ < P ξ^ε′] Γρ′ τὸ ι̅ φ < P, *om.* ω τὸ ἥμισυ] *om.* φ τὸ ἴσον] ξ^ε τ̅σ̅ P^x 26 Γρ] < P ξ^ε′ χ A ω ϛ̅] ε̅ ω

ἀπολειφθῇ, ἐπίβαλλε ἐλαίου ὀμφακίνου ἢ μύρου τινὸς ∸β̄ καὶ ἕψε πάλιν. ὅταν δὲ δὶς ἢ τρὶς ἀναβράςῃ, ἐκθλίψας τὸ ὑγρὸν καὶ διηθήςας ἐπιμελῶς ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως κινῶν παντελῶς χρῶ, περιαλείφων δὶς τῆς ἡμέρας τὰς τρίχας. ἐπὶ παίδων δὲ ποιεῖ καλὰς καὶ πυκνὰς τὰς τρίχας καρύου λέπυρον καυθὲν καὶ τριβὲν καὶ ἐν οἴνῳ καταχριόμενον. Ἄλλο. λωτοῦ τοῦ δένδρου τὰ φύλλα λεάνας κατάχριε.

νζ̄ Πρὸς ὀφρύας λειποτριχούςας. πρὸς δὲ τὸ μὴ ἀπορρεῖν τρίχας μηδὲ ὀφρύων μηδὲ ἄλλου τόπου τοῦ ςώματος μελάνθιον καύςας καὶ μεθ᾽ ὕδατος τρίψας κατάπλαττε, ἔνθα ἂν βούλει τρίχας ἀναβαίνειν, μάλιςτα δὲ ὀφρύων. Ἄλλο. μελίςςας πλείςτας καύςας μίξας ἐλαίῳ χρῖε, προςέχων μὴ θίγῃς ἑτέρου τόπου, ἔνθα οὐ δεῖ τρίχας φύεςθαι. Ἄλλο. ἀνδροδάμαντα λίθον τρίψας μεθ᾽ ὕδατος, κατάχριε, ἐὰν δὲ θέλῃς λευκὰς ποιῆςαι, δι᾽ ὄξους αὐτὸν λείου.

νη̄ Ἐκ τῶν Γαληνοῦ μέλαςμα. τὰ βάπτοντα καὶ μελαίνοντα τὰς λευκὰς τρίχας φάρμακα διὰ τῶν αὐςτηρῶν τε καὶ ςτρυφνῶν ςυγκείμενα βλάπτει μεγάλως· οὐ μόνον γὰρ ἐπιπολῆς, ἀλλὰ καὶ διὰ βάθους ἀλλοιοῖ τὸ δέρμα μέχρι τοῦ κατὰ τὰς ῥίζας τῶν τριχῶν τόπου. ἡ βλάβη δὲ ταῖς χρωμέναις γυναιξὶ γίγνεται, ποτὲ μὲν εἰς ἐπιληψίαν ἢ ἀποπληξίαν ἢ καταφορὰν ἢ κάρον ἐμπιπτούςαις, ἔςτι δὲ ὅτε καὶ κατάρροις ἁλιςκομέναις δυςλύτοις, ὥςτε φθίςιν ἐπακολουθῆςαι. καὶ οἶδα πολλὰς γυναῖκας ἀποθνηςκούςας ἐκ τοῦ καταψυχθῆναι τὴν κεφαλὴν ὑπὸ τῶν τοιούτων φαρμάκων. μᾶλλον δὲ βλάπτονται αἱ ψυχροτέραν τὴν κρᾶςιν ἔχουςαι. ἄνευ δὲ τῆς τῶν ςτυφόντων βλάβης, ὅςαι βούλονται μελαίνειν τρίχας, τῇ κεδρέᾳ χριέςθωςαν, πρὸ τριῶν ἢ τεττάρων ὡρῶν τοῦ λουτροῦ, ἔπειτα ςμηχέςθωςαν λουόμεναι. χρὴ δὲ αὐτὴν ἄμικτον ἐλαίου παραλαμβάνειν ἐπὶ τῶν ξηρανθῆναι ςφοδρῶς καὶ θερμανθῆναι δεομένων κεφαλῶν, ἐπὶ δὲ τῶν ἄλλων ἐλαίῳ μιγνύναι· ςὺν γὰρ τῷ δαπανᾶν τὰς ὑγρότητας καὶ διὰ τοῦτο μελαίνειν τὰς τρίχας, καὶ τὰς ῥεούςας ἐπανορθοῦται καὶ τὰς μὴ ῥεούςας εὐαυξεςτέρας ἐργάζεται. τὸ

8—11 μελάνθιον — τόπου *Gal. de rem. parab. II 1, 2 (XIV, 393, 9—11, 7—9)* 14—*p. 207, 1* τὰ βάπτοντα — παραλαμβανομ. *Gal. de comp. med. s. loc. ib. (ib. 441, 7—8, 10—12, 442, 6—10, 4—6, 10—11, 440, 1—4, 7—12, 17—441, 1)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω(S A^t) 1 ἐπίβαλε C^p A ω 3 κινῶν: κείρων *Gal.* 5 καὲν α, *exc.* L^a καὶ *alt. post* οἴνῳ *transp.* χ A ω *om.* P *post* καταχρ.: εἰ βούλει δὲ ἀντὶ τοῦ ξ^ε θὲς ου^ΓΓ′ ᾱ καὶ οὕτως ςκεύαζε. ὁ γὰρ ξ^ε′ ἔχει ςταθμὸν ου^ΓΓ′ ιη ἢ λίτρας ᾱ ϲ P^x 6 Ἄλλο *in marg.* P *om.* ω *post* δένδρου: τοῦ ἐπιλεγομένου παρ᾽ ἑτέροις τριφύλλου P^x 7 ὀφρῦς C^p P ω ...οῖς M^o λεπτοτριχούςας L^a δὲ *tantum* L^a 8 μελαν^θ′ P A^t ...θην P^x S 9 *post* κατάπλαττε *lineola et in marg.* ἄλλο αὖξον τρίχας καὶ μελαῖνον τρίχας ὀφρύων P βούλῃ α, *exc.* L^a 10 ὀφρύων *subaudi* τρίχας *post* ὀφρύων: ἀκτίων κεκαυμένων ςτροβίλων κεκαυμένων — λειώςας κατάχριε P 12 ἄλλο *ante* ἔνθα *transp.* L^a, *in marg.* P *om.* S ἀδροδάμ. P^x ἀδάμαντα ω 13 θελήςῃς C^p θέλεις A λείοι $C^p P^x$ ψ S 14 Μελάςματα τριχῶν ἐκ τοῦ (τῶν $P^x M^o$ ω) Γαληνοῦ χ A ω Πρὸς μελάςματα P *(Ald.)* 20 ...ςκομένοις $P^a A^t$ ὥςτε] εἰς ω 21 ἀποθανούςας P^x A *(Gal.)* 24 κεδρία P^a P ...δραία P^x A χριέςθ. *om.* P^a ψ A^t *ante* πρὸ: δὲ S τεςςάρων $P^a C^p P^x$ ω 25 ἔλαιον | 27 ἐλαίου α, *correxi ex Gal.* 28 μελαίνει $P^a P^x$ ω 29 ...ορθοῦνται $C^p M^o$ εὐεξεςτ. φ $C^p P^x$ ω εὐα^κυξεςτ. M^o εὐαξετ. A εὐαξοτ. P

αὐτὸ δὲ ποιεῖ καὶ πίττα ὑγρὰ cὺν ἐλαίῳ παραλαμβανομένη. Ἀρχιγένης δὲ μελάcματα τριχῶν οὕτωc γράφει· καππάρεωc τὸν φλοιὸν τῆc ῥίζηc ἕψε cὺν γάλακτι ὀνείῳ μέχρι τὸ τρίτον λειφθῇ, καὶ λεάναc κατάπλαττε εἰc νύκτα, προαποcμήχων τὰc τρίχαc. Ἄλλο. πρίνου ῥίζηc φλοιὸν cυναφεψήcαc ὕδατι, μέχριc ἁπαλὸc γένηται, αὐτῷ μὲν κατάπλαττε, τῷ δὲ ὕδατι cμήχου.

Ἄλλο. ἀνεμώνηc τὸ ἐντὸc τὸ μέλαν cὺν ἐλαίῳ μυρcίνῳ λεάναc ἐπίχριε. Ἄλλο. ἰτέαc φλοιοῦ χυλὸν μετ' ἐλαίου τρῖβε, ἄκρωc μελαίνει.

Ἄλλο. λίθοc ἀλαβαντικὸc ἢ ἀλαβάνδινον καλούμενοc, ὑπομελανίζων τῇ χρόᾳ, μετὰ τοῦ πυρροῦ καὶ διαυγοῦc, ᾧ αἱ γυναῖκεc χρῶνται εἰc τὰ κόcμια, οὗτοc λειούμενοc καὶ cὺν οἴνῳ μέλανι ἢ ἐλαίῳ ὀμφακίνῳ παρατριβόμενοc μελαίνει τὴν ἐπιφάνειαν τῶν τριχῶν.

Ἄλλο· ἐνεργὲc βάμμα. λαβὼν ῥοὰν χλωρὰν ὀμφακίζουcαν, ταύτηc περίτεμε τὸν τράχηλον εὐφυῶc, ὅπωc τὸ ἀφαιρούμενον πῶμα ἁρμόδιον γένηται, εἶτα ἐκτινάξαc τοὺc κόκκουc, καταλιπὼν δὲ ἔνδον τοὺc ὑμέναc τοὺc λεπτοὺc βάλε ἐπὶ τὸ κένωμα τῆc ῥοᾶc cηcάμου ἀπλύτου < δ̄ λιβάνου τὸ ἴcον, ἐπιβαλὼν ἐναλλὰξ cήcαμον καὶ λίβανον, ἄχριc οὗ πληθῇ τὸ κένωμα· καὶ τότε ἐπιτιθεὶc τὸ ἴδιον πῶμα καὶ πηλῷ περιπλάcαc ἢ cταιτὶ cιτίνῳ καὶ ὀπτήcαc ἐν κλιβάνῳ τὸν μὲν πηλὸν ἢ τὸ cταὶc περίελε, αὐτὴν δὲ λειοτρίβει τὴν ῥοὰν καὶ ἀπόθου εἰc ὑελοῦν ἀγγεῖον· ἔπειτα προcμηξάμενοc τὴν κεφαλὴν καὶ ξηράναc, λαβὼν ὀλίγον τοῦ φαρμάκου καὶ μίξαc ἐλαίῳ βραχεῖ, cύγχριε τὰc τρίχαc καὶ τοῦτο ποίει πεντάκιc, καὶ ποιεῖ αὐτὰc καὶ οὐλάc. τινὲc δὲ ἀντὶ τοῦ cηcάμου καὶ τοῦ λιβάνου μελανθίου καὶ κηκίδων κεκομμένων ἀνὰ < δ̄ ἐμβάλλουcιν εἰc τὴν ῥοάν. Ἄλλο μέλαcμα τριχῶν, βάπτει καὶ τὰc οὐλάc. πρόcμηχε δὲ κιμωλίᾳ τὰc τρίχαc καὶ τότε βάπτε· κρεῖττον δὲ προξυρήcαντα τὴν κεφαλὴν καταχρίειν παχυτέρῳ τῷ φαρμάκῳ

1—8 Ἀρχιγένηc — μελαίνει *Gal. ib. (ib. 443, 11—444, 1, 10—11)* 7. 8 ἀνεμώνηc — ἐπίχριε *cf. Gal. de rem. parab. I 2 (XIV, 322, 14—15)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 *post* ὑγρά: ἢ ὑγρόπιccα P^x 1. 2 *ante* Ἀρχιγ.: Ἀρχιγένουc P^x *id. in marg.* P 3 ἕψαι P^x A ...ει P ω μέχριc ἂν P^a ληφθῇ P^x M^o A ω 4 πυρίνου L^a κρίνου P 5 ἑψήcαc α, *exc.* L^a μέχρι C^p M^o A S μέχριc ἂν P^x αὐτὸ L^a C^p P^x A^t τούτω P^a αὐτὸν S 7 Ἄλλο *in marg.* P *om.* ω ἄνθοc *Gal.* 8 φλοῦν P^x φλοιὸν A χυλὸc L^a *om.* P^x A *post* ἄκρωc: τοῦτο P^x γὰρ P 9—12 Ἄλλο. λίθοc — ἐπιφάνειαν τῶν τριχῶν *post* ἐλαίου ἀπεχόμενοc *(p. 208, 25)* L^a *ead. post* μόλιβδοc *(p. 208, 19)* P^x A *ead. post* οἴνῳ χρῶ *(p. 209, 9)* M^o P *om.* P^a C^p 9 ἀλαβαντικόc, ...δικόc, ...δηκόc *codd.* 9. 10 ...μελανίδων L^a 10 χροιᾶ ψ πυροῦ P^x A ω διαυγὲc L^a *post* διαυγ.: οἶμαι οὗτόc ἐcτι ὁ ἐπικαλούμενοc ζέφυροc P^x ᾧ] δ καὶ P^x δ M^o *om.* P^a C^p ω 11 ἢ] καὶ P^a C^p ω 13 ῥοὰc M^o ῥοιὰν ω *om.* A 14 πόμα P^a C^p P^x A S 16 βάλλε P^a P^x P S ἐπὶ] εἰc χ A ω 17 ἐπιβάλλων P^a P^x A 18 ἄχρι C^p M^o οὗ] ἂν P^a οὖν P^x πληcθῇ (...εῖ) P^a ψ πληρωθῇ ω τῷ κενώματι ω ἐπιθεὶc P^x A ω πόμα C^p P^x A 19 ἢ cτ. cιτ. *om.* A ἢ cταιτὶ] εἰcέτι L^a εἰcτε τῇ M^o cταιτὶ] τε τι C^p cτεατι P^x ω 20 ἢ τὸ cταὶc *om.* M^o A τὸ cταὶc] τῷ cιτίνῳ L^a P^x cτῆc C^p τό c∗∗ν *m. 1^a^, ut vid.*, τῷ cιcίνῳ *m. 2^a^* S 21 προμιξάμ. P^x προcμιξάμ. *Ald.* 23 καὶ *alt. om.* α, *exc.* L^a δὲ *om.* P^a C^p M^o ψ 24 τοῦ *alt. om. Ald.* 25 ἀνὰ < δ̄ *om.* P^x ἀνὰ *om.* M^o A *post* ῥοάν: ὅcον < τέccαρεc P^x μέλεcμα L^a 27 προξυρήc., ...ξηρήc., ...ξηρίc., ...ξυρήcαντας, ...ξηρήcαντας *codd.*

φυλάσσων τὸ μέτωπον καὶ τὰ ἐγγὺς πάντα· δεδοκίμασται ἐπὶ πολλῶν καί ἐστιν ἀναγκαῖον πάνυ. θείου γναφικοῦ χαλκάνθου κηκίδων ἀσβέστου λιθαργύρου ἀνὰ Γ° β̄ ἰοῦ σιδήρου Γ° ᾱ, πάντα λεάνας κατ' ἰδίαν καὶ μεθ' ὕδατος ὡς γενέσθαι χρίσμα χρῶ θαρρῶν, μὴ εὐλαβούμενος τὴν ἄσβεστον. οὐ καίει γὰρ διὰ τὸ ἀμαυροῦσθαι τὴν δύναμιν ὑπὸ τῶν ἄλλων. βάπτει καὶ ξύλα καὶ κέρατα καὶ ἔρια.

Ἄλλο διὰ πείρας ἐνεργοῦν· ποιεῖ γὰρ τὰς τρίχας μελαίνας, ὥστε θαυμάσαι. συκῆς μελαίνης τῶν φύλλων μορέας τῶν φύλλων ἀμπέλου μέλανος [σταφυλῆς] τῶν φύλλων ἀνὰ λι$^{τρ'}$ ᾱ, βρέχε πάντα ὕδατι ὀμβρίῳ ἡμέραν ᾱ, ἔπειτα ἕψε ἐπιμελῶς καὶ προξυρήσας τε τὰς τρίχας κατάπλασσε· εἰ δὲ μή, ὑγρότερον κατάχριε τὰς ῥίζας τῶν τριχῶν.

Ἄλλο μέλασμα τριχῶν. λαδάνου κηκίδων ἀμυγδάλων πικρῶν κεκαθαρμένων τρυγὸς οἴνου ἀδιάντου φύλλων ἀνὰ Γ° ϛ̄ οἴνου στεμφυλίτου ξέστας τρεῖς, βαλὼν πάντα εἰς ἀγγεῖον χαλκοῦν γεγανωμένον, ἕψε ἕως τὸ τρίτον λειφθῇ, εἶτα διηθήσας ἕψε ἐν ἑτέρῳ ἀγγείῳ μικρῷ ἕως μελιτῶδες γένηται. καὶ ἐπίβαλλε τούτῳ μύρου Μενδησίου ἢ ἑτέρου τοιούτου τὸ ἴσον καὶ ἀνακόψας ἀπόθου· καὶ τούτῳ χρῶ καθ' ἡμέραν. ἔστω δὲ τὸ γάνωμα τοῦ χαλκοῦ μόλιβδος.

Προφυλακτικόν, ὥστε μὴ γενέσθαι πολιάς. κολοκυνθίδα ἀγρίαν τρυπήσας κάθαρον τὸ ἔσω εὖ μάλα, εἶτα πλήρωσον αὐτὴν ἐλαίου δαφνίνου καὶ πρόσβαλε ὑοσκυάμου λευκοῦ σπέρματος μὴ τρίψας καὶ ἄφες ἡμέραν μίαν καὶ ἄλειφε χρησίμως ἅπαξ τοῦ ἐνιαυτοῦ.

Μέλασμα πώγωνος. σκωρίαν σιδήρου καὶ μόλυβδον ἐν ὄξει ἑψήσας μέχρις οὗ τὸ τρίτον λειφθῇ, ἐπιχρίου, ἐλαίου ἀπεχόμενος.

νθ Πυρρὰς ποιῆσαι τρίχας. πυρρὰς ποιοῦσι τρίχας θέρμοι ὠμοὶ σὺν ὕδατι καὶ νίτρῳ καταχριόμενοι, λωτοῦ τοῦ δένδρου πρισμάτων ἀφέψημα, κύπρου φύλλα λεῖα σὺν στρουθίου χυλῷ, ξάνθιον λεῖον κατα-

20—25 Προφυλακτικὸν — ἀπεχόμενος *Gal. de rem. parab. II 1 (XIV 391, 12—17, 1—3)* Προφυλακ. — ἐνιαυτοῦ *(23) Or.^{e} IV 8 (442, 10—14)* 24. 25 σκωρίαν σιδήρου — ἀπεχόμενος *Gal. de comp. med. sec. loc. I 3 (XII 444, 16—445, 1)* 26. 27 Πυρρὰς — καταχριόμενοι *Gal. ib. (ib. 445, 2—3) de r. par. II 1 (XIV, 392, 5—7)* Πυρρὰς — ἀφέψημα *(27) Or.^{e} IV 8 (442, 16—18)* 28 κύπρου — χυλῷ

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 φυλάσσοντας P^{a} ...λάσσειν δὲ P τὸν τόπον τοῦ μετώπου ὅλου P^{x} 2 χαλκαν$^{θ'}$ P^{a} P^{x} P ω 6 ξύλον P^{a} A^{t} 7 μελανὰς (μέλ.) C^{p} M^{o} A ω 8 μορ. τῶν (τῶν *om.* P^{a} M^{o} P) *om.* C^{p} P^{x} A ω 9 μελαίνης P^{a} P σταφύλου L^{a} C^{p} *om* P^{a} P^{x} A ω *delevi* τὰ φύλλα ω *ante* ἀνὰ: μορέας φύλλα (...ων C^{p} P^{x} A) C^{p} P^{x} A ω 10 ᾱ] ᾱ c M^{o} ἕψαι P^{x} A ..ει P ω προξυρ., προξηρ., προξυρίσας *codd.* τε] εἰ οἷόν τε P^{a} C^{p} *om.* P^{x} M^{o} ψ ω 11 τῶν τριχῶν τὰς ῥίζας P^{x} τὰς τῶν τριχ. ῥίζας A τὰς τρίχας τῶν ῥιζῶν S 13—23 Ἄλλο — τοῦ ἐνιαυτοῦ *om.* P^{a} 16 ληφθείη P^{x} A 17 ἐπίβαλε C^{p} A^{t} τοῦτο C^{p} S *om.* P 21 τὸ] τὰ C^{p} P ω *(Gal.)* 22 πρόβαλλε L^{a} *(Gal.)* πρόσβαλλε P S σπέρμα P ...τα A^{t} 23 *post* ἄφες: αὐτὸ ω *(Gal.)* μίαν ἡμέραν C^{p} ω *(Gal.)* 24 πωγώνων P^{a} ω σκορέαν, σκωρ., σκωρίαν, σκορ., σκορέας *codd.* 25 λειφθείη (ληφθ.) P^{x} A 26 *ante* Πυρρὰς: Πρὸς τὸ A^{t} *(Ald.)* 27 καὶ νίτρον (σὺν νίτρῳ P^{a} *tantum*) *ante* σὺν α, *transp. et correxi ex Gal.* ...χριόμενον A^{t} 28 κύπρου — χυλῷ *om.* P^{a} *post* χυλῷ: καταπλασσόμενα χ ψ ω ξάνθιον (...ειον M^{o} A) — καταπλασσόμ. *om.* ω

πλαςςόμενον, τρυγία οἴνου παλαιοῦ κεκαυμένη καὶ cὺν ἐλαίῳ βαλανίνῳ λειουμένη, ὡς ἱκανὸν ἔχειν πάχος· τούτῳ cύγχριε, ὅταν καθεύδειν μέλλῃς καὶ ἐς τὸ πρωΐ· ἔςονται ξανθαὶ παραδόξως.

Λευκὰς ποιῆςαι τρίχας. χελιδόνος κόπρον τρίψας cὺν χολῇ ταυρείᾳ cμῆχε καὶ γίγνονται λευκαί. Ἄλλο. φλόμου λευκῆς τὸ ἄνθος καύςας ὄξει cβέςον καὶ cυμμίξας cμήγματι χρῶ. ξ

Οὐλὰς ποιῆςαι τρίχας. ἀφρὸν ἁλὸς μετὰ cμύρνης δίδου cμήχεςθαι. Ἄλλο. καρπάςου ὀπὸν χρῖε καὶ μένουςιν οὐλαὶ καὶ μελαίνονται. ξα

Ἄλλο. ἀςφοδέλου ῥίζας καύςας καὶ λεάνας cὺν οἴνῳ χρῶ. Ἄλλο οὐλὰς ποιοῦν τρίχας. λινόςπερμον οἴνῳ βρέχων ἕψε ἐπ' ὀλίγον καὶ διηθήςας μῖςγε τῷ χυλῷ ὠοῦ τὸ λευκὸν καὶ ἀνάτριβε τὰς τρίχας ἑςπέρας καὶ ἐπιδέςμει τὴν κεφαλήν· τῇ δὲ ἑξῆς ἀπόπλυνε ἐν βαλανείῳ· καὶ τοῦτο ποίει πλειςτάκις. ἐπὶ δὲ τῶν εὔψυκτον ἐχόντων κεφαλὴν ἐν βαλανείῳ χρῶ, καὶ μὴ ἀπόπλυνε τῇ ἡμέρᾳ ἐκείνῃ. Ἄλλο δόκιμον. cτροβίλιον ὁλόκληρον χλωρὸν δεξιὸν α̅ ἴρεως Γ° ι̅β̅ μυρςίνης Γ° α̅ μύρτων Γ° α̅ πολυτρίχου Γ° α̅ c λαδάνου Γ° β̅ κηκίδων Γ° α̅ μαςτίχης Αἰθιοπικῆς Γ° α̅ ἑλίκων ἀμπέλου Γ° β̅ δακρύου φοίνικος Γρ ι̅β̅ cτέατος ἀρκείου Γρ ι̅β̅ cεύτλου cπέρματος Γρ ι̅β̅ ῥοῦ βυρςοδεψικοῦ Γρ ι̅ϛ̅ cτυπτηρίας cχιςτῆς Γρ ϛ̅ ἐλαίου ὀμφακίνου ξ γ̅ οἴνου cτυφοῦ ξ γ̅ ἀρτεμιςίας χυλοῦ cεραπιάδος τριόρχεως χυλοῦ πολυτρίχου χυλοῦ ἀςφοδέλου χυλοῦ ἀναγαλλίδος χυλοῦ ἀνὰ Γ° γ̅ χρῶ.

Περὶ τῶν φθειρόντων τὰς τρίχας. τρεῖς εἰςι διαφοραὶ τῶν φθειρόντων τὰς τρίχας καὶ τὰ μὲν ἰδίως καλεῖται ψίλωθρα, τὰ δὲ λεπτυντικὰ τριχῶν, τὰ δὲ παντελῶς ἀφανίζοντα. τὰ μὲν οὖν εἰς τὸ παντελὲς ἀφανίζοντα cφαλερὰν ἔχει τὴν χρῆςιν. ἐνίοτε γὰρ οὐ μόνον τὰ χρι- ξβ

1—3 τρυγία—μέλλῃς | 4—6 Λευκὰς—χρῶ *Gal. de rem. parab. ib. (ib. 392, 10—11, 8—10, 391, 17—392, 2)* 5. 6 φλόμου—χρῶ *Paul. III 2 (I 134, 10—11)* 22—*p. 210, 4* τρεῖς—ἔχει *Gal. de comp. med. s. loc. I 4 (XII, 450, 11—451, 2) Or.*° *IV 7, 1 (441, 21—25)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 τρὺξ P^a τρύγα M^o κεκαυμένου $L^a P^x$ ω βαλανείνω P^x A ....νίω M^o 2 τοῦτο $P^a P^x$ P ω 3 μέλλει (...εις) καθεύδειν ω εἰς P^a P ἕως A S ξανθοὶ P^x ω παραδόξως *om.* χ ψ ω 4 κόψας ἤγουν τρίψας P^x 5 Ἄλλο *om.* ω φλόμου, φλώμ., φλόμμ., φλύμμ., φλούμ. *codd.* 7 ἀφρῶ α, *exc.* A ω 8 Ἄλλο *om.* M^o P A^t καρπάσου—μελαίνονται *om.* P A^t μείνωσιν *Ald.* μέλαιναι (μελαναί) χ A S 10 οὐλ. ποιοῦν (..ιῶν L^a χ A) τρίχ. *om.* P ω λινόσπερμα P^a P ω ἕψαι P^x A ...ει $C^p M^o$ P ω 11 *ante* ὠοῦ: τοῦ P^x A 12 ..δεσμεῖν P^x A 13 τῶν *om.* P^x A ...ψύκτων $L^a M^o$ S ἐμψύκτων P^x ἔμψικτον A ἔμψυχρον P εὐψύχων A^t *corr. Ald.* 15 cτροβίλιον, cτρόβιλον, ...βηλον, cτροβλ' *codd.* Γ°] γράμματα $C^p P^x$ A ...μμάρια P μυρσίνου P^x P A^t cμύρνης $P^a M^o$ 16 Γ° α̅ *pr. om. sed post* μύρτων: ἀνὰ P μύρτων Γ° α̅ *om.* ω κηκίδων—ἀμπέλου Γ° β̅ *(17) om.* P^a α̅ *tert.*] δ̅ C^p 17 ἀμπέλων P^x ω ι̅β̅] β̅ P^x A 18 cπέρμα L^a Γρ ι̅ϛ̅ *om.* P ι̅ϛ̅] ϛ̅ χ A ω 19 οἴνου (*om.* P^a) cτυφοῦ (..ύφοντος $C^p P^x$ ψ cτρυφνοῦ P^a) ξ γ̅ *om* ω 20 χυλὸς L^a cεράπιδος P^x A τριόρχου ω χυλοῦ *alt, tert. quart.*] χυλὸς L^a ...ὸν P^x καὶ A^t 21 ἀναγαλλιάδου ω χυλὸς L^a ...ὸν P^x A *om.* A^t μίξας χρῶ Γ° α̅ P 22. 23 τῶν φθειρ. τ. τρίχ. τρεῖς εἰσιν (αἱ A^t) διαφ. ω *ante* διαφ.: αἱ $P^a P^x$ 23 τὰ δὲ λεπτ. τριχῶν *om.* ω 24 τὰ δὲ παντ. ἀφαν. *om.* C^p ψ 24. 25 τὰ μὲν οὖν—ἀφανιζ. *om.* P^a εἰς τὸ *om.* ω παντελῶς χ A ω

cθέντα μόρια τοῦ cώματος ἄτριχα τοῦ λοιποῦ γίγνεται διὰ παντός, ἀλλὰ καὶ μέχρι τῆς κεφαλῆς καὶ τῶν γενείων καὶ τῶν ὀφρύων καὶ τῶν βλεφαρίδων ἡ ψίλωcις τῶν τριχῶν ἐξικνεῖται. τὰ δὲ λεπτυντικὰ καὶ τὰ ψίλωθρα τὴν χρῆcιν ἀκίνδυνον ἔχει.

ξ̅γ̅ Ἀφανιστικὰ τριχῶν. ἀφανίζειν δὲ τρίχας εἰc τὸ παντελὲc λέγεται θύννου ἧπαρ cεcηπός, βατράχων τῶν ἐν τοῖc καλάμοιc γιγνομένων ἰχώρ, χελώνηc θαλαccίαc αἷμα, ἀμπέλου λευκῆc δάκρυον καὶ κιccοῦ καὶ βρυωνίαc, cκολόπενδρα θαλαττία, ἀcτέρεc θαλάττιοι· μίγνυται δὲ τούτοιc νίτρου καὶ ἀμόργηc καὶ κεδρίαc καὶ ἐλαίου τοῦ ἀλίνου λεγομένου, τουτέcτιν ἀμυγδαλίνου, ἀλκυόνιά τε καὶ cανδαράκη καὶ τὰ τούτοιc ὅμοια, κνίδηc ἀγρίαc τὸν καρπὸν λεάναc μετ᾽ ἐλαίου ἀνάτριβε cυνεχῶc καὶ ἀπορρυήcονται αἱ τρίχεc. βράδιον δὲ ποιεῖ καὶ ἐπὶ ἥβηc παιδίων αὔξεcθαι τρίχαc, ἐνίοτε δὲ καὶ τὰc οὔcαc ἀφανίζει, ἀμπέλου δάκρυον cὺν ἐλαίῳ ἀλειφόμενον καὶ τὸ ἀπὸ τοῦ χλωροῦ κλήματοc καιομένου ἱδρούμενον ὑγρόν. Ἄλλο ἄτριχον. τιθυμάλλου κιβωρίτου χυλοῦ κύαθον α̅ οἴνου καὶ ἐλαίου ἀνὰ κύαθον α̅ ἀναμίξαc ἄλειφε ἐν βαλανείῳ καὶ βραχὺ ἱδρώcαc, εἶτα περιξύcαc εὑρήcειc τὰc τρίχαc ἐν τῇ ξύcτρᾳ. αἱ δὲ μεθ᾽ ἡμέραc θ̅ ἀναβαίνουcαι τρίχεc ἔcονται χνοώδειc. Ἄλλο. ὄνων τῶν ὑπὸ τὰc ὑδρίαc < ιβ̅ cανδαράκηc < δ̅ ἀcβέcτου < η̅ ἀρcενικοῦ < η̅ κονίαc ἀπὸ cυκίνων ξύλων διηθιcμένηc κοτύλαc β̅ ὄξουc κοχλιάριον α̅, ἑνώcαc πάντα καὶ βαλὼν εἰc χυτρίδιον, ἕψε ἕωc οὗ δοκιμάζοντί cοι αἴρει τὰc τρίχαc καταχριόμενον καὶ χρῶ ἐν βαλανείῳ, ὡc προείρηται. Ἄλλο. βουγλώccου καὶ ἀειζώου χυλὸν ἑκάcτου ἴcον λεάναc μετὰ κόπρου τραγείαc, ἀναλάμβανε ἐν ὑελῷ πινακίῳ καὶ ἔα παγῆναι καὶ χρῶ ἐν βαλανείῳ. Ἄλλο. βολβοῦ τοῦ λεγομένου ὑακινθίνου πορφυρᾶ ἔχοντοc ἄνθη, τούτου τὴν ῥίζαν λαβὼν καὶ λεάναc μετὰ λιβάνου καὶ ἀμυγδάλων πικρῶν, ἐπίβαλλε ἔλαιον καὶ ἑνώcαc ἀλείφου ἐν βαλανείῳ καθ᾽ ἡμέραν καὶ κατὰ βραχὺ φθείρονται.

ξ̅δ̅ Ψίλωθρα τριχῶν. τῶν δὲ ψιλούντων τὰc τρίχαc ἀcφαλῶc ἥ τε κονία cτακτὴ χρήcιμόc ἐcτι καὶ ἀρcενικὸν καὶ cανδαράκη καὶ τίτανοc

6—11 θύννου — ὅμοια *Gal. ib. (ib. 455, 14—456, 6)* 12—15 βράδιον — ὑγρόν *Or.° IV 8 (442, 22—24)* 13. 14 ἀμπέλου — ἐλαίῳ *Gal. ib. (ib. 455, 17)* 29—*p. 211, 2* τῶν δὲ ψιλούντων — ὑγρῶν *Or.° IV 7 (441, 26—28)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 3 βλεφάρων P A^t 5 δὲ] τὰc ω 6 θύννου *om.* ω 8 *post* θαλαττία (...ccία P A^t): καὶ κνίδη θαλαττία P^x καὶ κνίδη P 9 ἀλήνου C^p ἀλεινοῦ P 9. 10 γενομένου P^x A τουτέcτ. ἀμυγδ.] ἔcτι δὲ τὸ ἄλινον ἔλαιον τὸ τῶν ἀμυγδάλων ἔλαιον P^x *om.* $P^a C^p M^o$ ψ ω 10 ....ράχη $P^a C^p M^o$ ψ ...ηc P^x 12 cυνεχῶc] ἰcχυρῶc C^p ω καὶ *alt. om.* $C^p M^o$ P ω 14 τοῦ *om.* P^a P ω 16 χυλὸν P^x ω κ̦ο C^p χυ M^o κυάθου A S κο C^p/κυ M^o κυα̊ (θ) A^t 17 ἔπειτα ω *ante* περιξ.: καὶ ω 18 θ̅] μ̅ α, *exc.* L^a 19 ὄνων τῶν] ὄντων L^a κνωντῶν A A^t ὑδρείαc ω ...άχηc, ...άκηc *codd.* 20 cικύων L^a ...θηcμένηc L^a ...θημένηc χ ψ ω 21 ἕψαι P^x A ...ει P 22 αἴρη $C^p M^o$ ...ειν P 23 βούγλωccον P^x P χυλὸν *om.* $P^a P^x$ 24 ἴcα P^a ψ ω ὑελλῶ L^a ὑελίνω P^a P 25. 26 ὑακίνθου (ἢ ἀψινθ′ A^t) P^a χ A ω 27 *ante* πικρῶν: γ̅ A^t ἐπίβαλε M^o A ω 28 *post* βαλαν.: καὶ χωρὶc βαλανείου χ ψ ω 29 ἀcφαλῶc *om.* ω 30 ....ράχη $P^a C^p M^o$ ψ

ἄcβεcτοc. εὔδηλον δὲ ὅτι τῶν cφοδρῶν ἐν αὐτοῖc θραύεται ἡ δύναμιc μίξει τῶν ἀcθενεcτέρων ὑγρῶν, λέγω δὴ πτιccάνηc χυλοῦ ἢ ὀρύζηc. Κρίτων μὲν οὖν ψίλωθρον τοιοῦτον ἐν τοῖc κοcμητικοῖc ἀναγράφει· ἀcβέcτου μέρη β̄ ἀρcενικοῦ μέροc ᾱ, ταῦτα βαλὼν εἰc θυίαν μολυβδίνην καὶ ὕδωρ θερμὸν ἐπιχέαc ἢ πτιccάνηc χυλόν, ὅταν μέλαν γένηται κινούμενον, κέλευε ἐν βαλανείῳ καταχρίεcθαι. τοῦτο λεῖον ποιεῖ τῶν τριχῶν τὸ cῶμα. καὶ ἡ φυομένη θρὶξ λεπτὴ ἀναβαίνει. Ἄλλο. ὄρυζαν κυάμουc ἐρεβίνθουc πτιccάνην ἕψε ἅμα ἐν ὕδατι καὶ τῷ ἀφεψήματι μῖcγε πρῶτον τὴν ἄcβεcτον ἀρκοῦcαν κατὰ cυνήθειαν καὶ κίνει, καὶ ὅταν διαλυθῇ, ἐπίπαcce ἀρcενικοῦ Γο ᾱ· καὶ ἑνώcαc ἐπίβαλλε λειότατα cμύρνηc Γο ᾱ μαcτίχηc Γο ᾱ κιccήρεωc ὀπτῆc < δ̄ ὀποῦ βαλcάμου κοχλιάρια β̄. Ἄλλο. cανδαράκην ὑοcκυάμου χυλῷ λεάναc κατάχριε. Ἔλαιον ψίλωθρον. cυκῆc ἀγρίαc καρποῦ Γο ϛ̄ καὶ τῶν φύλλων αὐτῆc Γο ϛ̄ ἐχῖνον χερcαῖον ζῶντα ὁλόκληρον ἀκονίτου χυλὸν τουτέcτιν ἴρεωc ἀγρίαc λι ᾱ ἐλλεβόρου μέλανοc λι ᾱ τρυγὸc οἴνου κεκαυμένου λι ᾱ ἰcχάδων μελανῶν λιπαρῶν λι ᾱ ἀρcενικοῦ cχιcτοῦ Γο δ̄ κόcτου καccίαc καρποβαλcάμου ἀνὰ Γο δ̄ ἐλαίου ξ κ̄, κόψαc πάντα καὶ βαλὼν cὺν τῷ χερcαίῳ ἐχίνῳ ζῶντι, ἕψε ἐπὶ διπλώματοc μεθ' ὕδατοc θαλαττίου ξ ε̄, ἄχρι τὸ ὕδωρ ἀναλωθῇ, καὶ καθελὼν ἀπὸ τοῦ πυρόc, ἔα ἡμέραc γ̄ καὶ ὅταν καταcτῇ διηθήcαc χρῶ τῷ ἐλαίῳ ἐν τῷ πρώτῳ θόλῳ τοῦ βαλανείου, πρὶν ἱδρῶcαι.

Λεπτυντικὰ τριχῶν. τοῖc λεπτύνουcι τὰc τρίχαc χρήcαιτ' ἂν ἰα- ξε̄ τρὸc ἐπὶ τῶν cκληρὰc καὶ μεγάλαc καὶ πολλὰc ἐχόντων τρίχαc· ῥυπτικῆc δέ ἐcτι τὰ τοιαῦτα δυνάμεωc καὶ λεπτυντικῆc· ὥcπερ δὲ ἐν ἅπαcι τοῖc ἄλλοιc φαρμάκοιc ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐcτιν, οὕτω κἂν τοῖc ῥυπτικοῖc. τὰ μὲν οὖν τῶν κριθῶν καὶ τῶν κυάμων καὶ ὀρόβων ἄλευρα, ἀφρόνιτρόν τε καὶ νίτρον μετριωτέραc

3—7 Κρίτων — ἀναβαίνει *Gal. ib. (ib. 454, 3—7)* 8—11 ὄρυζαν — < δ̄ *cf. Or.*^{e} *ib. (442, 6—9)* 22—*p. 212, 12* τοῖc λεπτύνουcι — κόcτου *Gal. ib. I 5 (XII 456, 7—8, 10—15, 17—457, 3, 6—8, 10—458, 3, 5—6)* 23—*p. 212, 7* ῥυπτικῆc — ῥίζα *Or.*^{e} *IV 7 (441, 28—35)* 26—*p. 212, 12* τὰ μὲν οὖν — κόcτου *(valde brev.) Or.*^{a} *VIII 25 (258, 12—18)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ἄcβεcτοc *om.* M^o A 2 *ante* ὑγρῶν: καὶ ω χυλὸc̃ L^a χ^U M^o 3 Κρίττων A κρεῖττον L^a χ P ω τοιοῦτ. *om.* P^a P κοcμικοῖc P^a P^x κομμωτικοῖc P 7 τῶν τριχῶν *om.* P^a M^o P τὸ cῶμα παραχρῆμα P^a M^o ψ τὸ cῶμα τῶν τριχῶν παραχ. P^x παραχ. τὸ cῶμα ω λεπτὴ *om.* L^a 8 ἕψε *vide supra* 10 ἐπίβαλε P^a M^o A S ...παcce C^p P^x 11 λειοτάτηc P^x P λειοτά (τ) P^a ...τάτοιc A *(Ald.)* Γο ᾱ *pr. om. sed post* μαcτίχηc: ἀνὰ P^x ὀπτῆc] ὠμῆc *Or.* 11. 12 ὀποβαλcάμου χ ψ 12 *post* β̄: καὶ χρῶ ὡc ἑτέρῳ P^x χυλὸν P^a χ^U M^o ...λοῦ A ω *post* χυλῷ: ἴcα P^x 14 χ^U M^o χυλοῦ P^a C^p P^x P ω 16 λι ᾱ *pr. om.* P^x P λιπαρῶν μελανῶν (ἀνὰ *add.* P^x P) α, *exc.* L^a Γο δ̄ *om.* P^x P κόcτου *om.* M^o A *post* κόcτου: Γο δ̄ P^a C^p ω 16. 17 *post* καccίαc: Γο δ̄ P^a C^p M^o A ω 17 ἀνὰ *om.* P^a C^p M^o A ω δ̄] ᾱ C^p ε̄ M^o κ̄] ᾱ ω 18 ἐπὶ διπ. — θαλαττίου] μεθ' ὕδατοc ἐπὶ διπλώματι. ἔcτω δὲ τὸ ὕδωρ θαλάττιον ω 19 ξ] λι ω 22 Λεπτυντικὸν ω 23 καὶ πολλὰc *om.* P^x A ω *ante* τρίχαc: τὰc P^x A 25 τε *om.* C^p M^o P 27 *ante* ὀρόβων: τῶν P^x καὶ τῶν A

ἐστὶ δυνάμεως. ὅσα δὲ τούτων ἰσχυρότερα ἐπὶ τῶν πάνυ σκληρὰς καὶ μεγάλας ἐχόντων τὰς τρίχας ἁρμόττειν, οἷόν ἐστι τὸ κεκαυμένον νίτρον καὶ ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ ἀφρόνιτρον καὶ τὰ καλλάϊνα ὄστρακα καὶ τὰ τῶν κεραμίδων καὶ τὰ τοῦ κλιβάνου ὄστρακα κίσσηρις ἄκαυστός τε καὶ κεκαυμένη κηρύκων τε καὶ πορφυρῶν καὶ τῶν λοιπῶν ὀστρέων ὄστρακα κεκαυμένα (τὸ δὲ τῆς σηπίας καὶ ἄκαυστον) ἀλκυόνιά τε καὶ στρουθίου ῥίζαι, οἵ τε ἐλλέβοροι καὶ ἡ τῆς βρυωνίας ῥίζα καὶ ἡ τοῦ δρακοντίου καὶ ἀριστολοχίας καὶ πάνακος ῥίζα καὶ κάχρυ καὶ τὰ τοιαῦτα· εὐώδη δὲ αὐτὰ ποιῆσαι βουλόμενος μίξεις κυπέρου καὶ μελιλώτου καὶ ῥόδων ξηρῶν καὶ σχοίνου ἄνθους καὶ ἴρεως καὶ μελισσοφύλλου, τοῖς δὲ πλουσίοις καὶ νάρδου Κελτικῆς καὶ Ἰνδικῆς καὶ ἀμώμου καὶ φύλλου ⟨μαλαβάθρου⟩ καὶ σμύρνης καὶ κόστου· λεπτύνει δὲ τρίχας καὶ τέφρα κληματίνη καὶ συκίνη καὶ τιθυμαλλίνη παρατριβομένη λεία ἐν βαλανείῳ καὶ ἡ ἀπὸ τῶν κεκαυμένων γιγάρτων τέφρα στυπτηρία σχιστὴ κόπρος κυνεία ξηρά.

Σμῆγμα λαμπρῦνον τὸν χρῶτα καὶ χνοώδεις ποιοῦν τὰς τρίχας πάνυ καλόν. μόρα ὠμότατα λαβὼν καὶ λεάνας μετὰ κιμωλίας καὶ νίτρου ἴσοις φύλαττε καὶ χρῶ.

Ξηρίον λεπτυντικὸν τριχῶν ἐν βαλανείῳ διὰ πολλῆς πείρας. κισσήρεως ὀπτῆς σηπίας ὀστράκων κεκαυμένων νίτρου κιμωλίας ἴσα χρῶ θαρρῶν. Ἄλλο. πορφυρῶν ὀστράκων κεκαυμένων Γ° $\overline{β}$ ἀλκυονίου Γ° $\overline{β}$ νίτρου Γ° $\overline{γ}$ κιμωλίας Γ° $\overline{η}$ κισσήρεως Γ° $\overline{δ}$, φρύξας πάντα λείου καὶ χρῶ ἐν βαλανείῳ καὶ θαυμάσεις. Ἄλλο, ᾧ ἐχρησάμεθα ἐπὶ τῆς κουβικουλαρίας. ἀσβέστου ἀπὸ μαρμάρου γεγενημένης λι $\overline{α}$ ἀρσενικοῦ Γ° $\overline{α}$ σταφίδος ἀγρίας κιμωλίας σηπίας ὀστράκων βρυωνίας ῥίζης ξηρᾶς στυπτηρίας σχιστῆς ἀνὰ < $\overline{δ}$ ψιμμυθίου Γ° $\overline{α}$ σαμψύχου ἀλόης ἐλλεβόρου μέλανος ἀνὰ Γρ ϛ, κόψας σήσας χρῶ καὶ βαλὼν ἐξ αὐτοῦ εἰς τὸ σύν-

9. 10 εὐώδη — σχοίνου ἄνθους *Or.*° *ib. (441, 35—442, 1)*

φ(L^aP^a) χ($C^pP^xM^o$) ψ(A P) ω(S A^t) 2 ἁρμόδιον M^o ἁρμόττει $P^aC^pP^x$ψω *post* οἷον: δέ M^o *ante* τὸ: καὶ P^aχ 3 καλλάινα (...νὰ), καλάινα, καλὰ ηνὰ (A^t), καληνὰ *codd.* 5 τῶν] τὰ τῶν P^a *om.* S 6 κεκαυμ. *om.* ω τὸ δὲ — καὶ (καὶ *om.* P^a) ἄκαυστον (...αυτον P^x)] τὸ δὲ (τε A) τῆς σηπ. κεκαυμένον (κεκαυμ. *om.* ω) καὶ ἄκαυστον *transp. post* καλλάϊνα ὄστρακα (4) A ω 6. 7 ἀλκυόνειον (...νιον. ...υώνιον) P^aP^xP .ωνίου L^a ...υώνια (. .ιώνια) C^pM^oA ω *correxi* 7 ῥίζα P^aP^xA ω ἡ] αἱ P ω *om.* L^a ῥίζαι P S *om.* A^t 8 *post* δρακ.: δίζα A καὶ *om.* $L^aP^xM^o$ω ἀριστολοχία P^aP^xψω ῥίζαι M^oS ...ζης A^t καὶ κάγχρυ C^pP κέχροι A^t κέγχροι S 9 μῖξαι ω 10 μελλιλώτων (μελιλ.) P^aM^o σχίνου P^xψA^t ἄνθος P^xP ω 11. 12 τοῖς δὲ — φύλλου *om.* A 12 φύλλα L^a φυ$^{λλ'}$ P φύλλων S μαλαβάθρου *addidi ex Gal.* σμύρνης] ʓʓ C^pS *post* σμύρνης: τρωγλυτικῆς A στρογλη$^{τδ'}$ P^x 13 κλιματίνη $P^aC^pM^o$P S 15 στυπτηρίας ******* C^p ...ρίας ...στῆς P^x 18 ἴσον P^a ἴσων P 19 Ξηρὸν C^pM^oP ἔστι δὲ ξηρὸν καὶ P^x 20 ὄστρακον κεκαυμένον P^xM^oA ὄστρακα .. μένα L^aC^pS 22 Γ° $\overline{γ}$ *pr. om. sed post* κιμωλ.: ἀνὰ P^xP $\overline{γ}$] $\overline{η}$ χψω $\overline{δ}$] $\overline{α}$ χψω λεῖοι χ A ω 23. 24 καβικλαρίας (*l.* κουβικλαρίας) M^o καβικλ$^{ρ'}$ P 24 ἀπὸ μαρμ. *om.* P μαρμ.] μαρνάτου *ex* ...μάρου *ut vid. m. 2*ª S μαρνάτου A^t γεγενημένου P^xA A^t $\overline{α}$] $\overline{β}$ P^aP 25 ὄστρακον ω 27 σείσας χω καὶ *om.* P^aM^o

ηθεc ψίλωθρον ὅcον < δ̄ καὶ ᾠῶν τὰ λευκὰ γ̄, ἔπειτα ἀποπλύνας τὸ ψίλωθρον, cμῆχε αὖθιc τῷ ξηρῷ καὶ καθ' ἑκάcτην ἐν τῷ βαλανείῳ cμηχέcθωcαν αὐτῷ.

Ἄλλο cμῆγμα λαμπρυντικὸν καὶ χνοῦν ἀφαιροῦν. κυαμίνου ἀλεύρου κιccήρεωc cεμιδάλεωc ἀφρονίτρων λευκῶν ἀνὰ χοίνικαc Ἀττικὰc β̄ μαράθρου ἑψηθέντοc cὺν πτιccάνῃ καὶ ἀποκλυcθέντοc ὕcτερον ὀξυμέλιτι καὶ ξηρανθέντοc κοπέντοc καὶ cηcθέντοc χοίνικαc β̄ cάπωνοc Γαλλικοῦ λι β̄, μίγνυε τὸν cάπωνα τοῖc λοιποῖc προλειωθεῖcιν ἐπιτρίβων ταῖc χερcὶ καὶ χρῶ.

ξς Περὶ πιτυριάcεωc. πιτύροιc ὅμοια ἀπὸ τοῦ τῆc κεφαλῆc δέρματοc ἀποπίπτει πολλάκιc ἐνίοιc κνωμένοιc· γίγνεται δὲ ὑπὸ μοχθηρῶν ἰχώρων, οὓc ἐκδαπανῆcαι cκοπόc ἐcτι. διαφορητικὰ τοίνυν καὶ ῥυπτικὰ προcακτέον φάρμακα, καθαρτικῷ φλεγμαγωγῷ πρότερον κενώcανταc ὅλον τὸ cῶμα, εἰ μεcτὸν εἴη κακοχυμίαc. ἔμιξαν δέ τινεc τοῖc διαφορητικοῖc φαρμάκοιc καὶ τῶν cτυφόντων ἔνια, ῥωννύναι βουλόμενοι τὸ πεπονθὸc μόριον, ὡc μὴ ῥᾳδίωc εἰc ἑαυτὸ καταδέξοιτο τοὺc ἐπιρρέονταc ἰχῶραc, ἀλλ' ἀντιβαίνοι τε καὶ ἀποκρούοιτο, οἷόν ἐcτι χάλκανθον καὶ τὰ παραπλήcια. cμήχει μὲν οὖν τὰ ἐν τῇ κεφαλῇ πίτυρα κιμωλία μετὰ cεύτλου χυλοῦ ἢ τήλεωc ἢ ἀμφοτέρων ἅμα. Ἄλλο.

10—17 πιτύροιc—ἀποκρούοιτο *Gal. ib. I 6 (XII 459, 6—8, 9—13, 14—460, 1)* 11—13 γίγνεται—φάρμακα *Or.*^{a} *VIII 26 (258, 20—21)* γίγνεται—μόριον *(16) Or.*^{e} *ib. (442, 27—30)* 18—*p. 214, 1* cμήχει—χρῶ *cf. Gal. ib. (ib. 461, 10—15) de rem. parab. I 1 (XIV 323, 1—3)* 19 κιμωλία—ἅμα *cf. Paul. III 2 (I 134, 21—22)*

φ(L^a P^a) χ(C^p P^x M^o) ψ(A P) ω(S A^t) 1 τριῶν τὰ λευκὰ P^a P 4 cμῖγμα P^x M^o A χνοῦν] τονοῦν A χνοῶδεc ω ἀφαιρῶν L^a χ φέρον (...ων) ω κυάμου P^x ω 5 ἀφόνιτρον λευκὸν C^p ἀφρονίτρου λευκοῦ ψ 6 cὺν] ἐν P^x A ....κλυθέντοc C^p ω ἀφυλιcθέντοc P 7 *ante* κοπέντοc: καὶ P^x P cειcθέντοc φ cειθ. P^x A^t cηθ. P S 8. 9 ἐπιθλῆβων C^p ...θρίβον A ἐπὶ θρύβων *cett. codd. corr.* 9 *post* χρῶ: Οὐλοποιὰ καὶ βάμματα τριχῶν καὶ προφυλακτικὰ καὶ πολυμελαντικὰ τριχῶν καὶ λευκὰc οὐλοποιῶν καὶ πυρρὰc τρίχαc ποιῆcαι Παύλου ἐξηγητοῦ *etc.* Περὶ τρίχαc μελαίναc ξανθὰc ποιῆcαι τοῦ αὐτοῦ Παύλου [*III 2*] *Explic.* Ἄλλο φλόμου καρπὸν cτυπτηρίαc ῥαφάνων φλοιοῦ ἀνὰ < ᾱ κόψον καὶ μίξον ταυροκόλ⟨ληc⟩ < δ̄ καὶ χρῶ P^x 10. 11 πιτύροιc—γίγνεται δὲ] ἡ πιτυρίαcιc λεπτῶν καὶ πιτυρο⟨ε⟩ιδῶν cωμάτων ἐκ τῆc ἐπιφανείαc τῆc κεφαλῆc ἐcτι καὶ τοῦ ἄλλου cώματοc· ἀπότηξιc δ' ἐcτὶ χωρὶc ἑλκώcεωc. γίγνεται δὲ διὰ κακοχυμ⟨ίαc⟩ ἀνενεχθείcηc περὶ τὴν κεφαλὴν ἢ φλέγματοc ἁλμυροῦ ἢ χολώδουc ἢ μελαγχολικοῦ αἵματοc. ἀπορρύει δὲ τριβόμενον τὸ τοιοῦτον παντάπα⟨cι⟩ν τὸ πάθοc P^x πολλάκιc ἀποπίπτει ἀπὸ τοῦ τῆc κεφαλῆc δέρματοc P 12 *post* ἐcτι: μετὰ γοῦν, ὡc εἰρήκαμεν, τὴν κένωcιν τοῦ αἵματοc, χρηcτέον ταῖc ὑπογεγράμμεναιc δυνάμεcι P^x (καὶ M^o) ῥυπτικὰ καὶ διαφορητ. καὶ (καὶ *om.* M^o) τοίνυν C^p M^o A τά τε ῥυπτ. κ. διαφ τ. P^x 13 *post* καθαρτ. (...οῖc P): καὶ P δὲ ω κενώcαντ (= P) τοῦ ὅλου cώματοc μετὰ τὴν φλεβοτομίαν P^x κενωθέντα τοῦ ὅλου cώματοc A 14 *post* εἴη: τὸ cῶμα τοῦ νοcοῦντοc P^x 15 φαρμάκοιc *om.* C^p A^t 16 ἑαυτῷ P^a S ...τὸν P^x 17 ...βαίνοιτο *om.* τε C^p A S *(Gal.)* τὸ χάλκ. P χάλκανθοc C^p P^x ω 19 χυλὸν P^x A A^t *om.* M^o ἢ τήλεωc—χρῶ *(214, 1) om.* A^t *post* ἄλλο: cεύτλου χυλὸν καταχρίcαc ἔαcον—ὕcτερον δὲ ἀcταφίδοc ἀγρίαc cυνελ' τὴν κεφαλὴν χρῖε P^x

κύαμον cὺν τῷ λέπει ἀλέcαc χρῶ. Ἄλλο. πιτύρων χοίνικοc ἥμιcυ βρέξαc ἐν ὕδατι ξ̶ α̅, εἶτα τρίψαc ταῖc χερcὶν ἐπὶ πολὺ καὶ διηθήcαc τὸν χυλὸν καὶ ἐπιβαλὼν ὄξουc κοχλιαρίου τὸ ἥμιcυ, ἕψε μέχριc οὗ πάχοc λάβοι καὶ τούτῳ ἀπόcμηχε, εἶτ' ἀπόπλυνε cεύτλου ἀφεψήματι ἢ τήλεωc ἢ θέρμων. Ἄλλο. γῆc κιμωλίαc θείου ἀπύρου τὸ ἴcον τρίψαc μετ' ὄξουc ἐν βαλανείῳ ἀπόcμηχε καὶ θερμῷ ὕδατι ἀπόπλυνε τοῦτο. καὶ καταχρίειν δεῖ μὴ μόνον ἐν βαλανείῳ, ἀλλὰ καὶ χωρὶc βαλανείου. Ἄλλο. λιθαργύρου πηγάνου ἐλαίου ὄξουc λεάναc κατάχριε· δέδωκεν ἡμῖν τοῦτο πεῖραν ἱκανήν. Ἄλλο. cικύου ἀγρίου ῥίζαc ἑψήcαc, τῷ ἀφεψήματι cμῶ. Ἄλλο. κιμωλίαc λι β̅ νίτρου βρυωνίαc cικύου ἀγρίου φλοιοῦ τῆc ῥίζηc ξηροῦ κυαμίνου ἀλεύρου ἀνὰ λι α̅ κριθίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ ἡμίξεcτον· ἕκαcτον ἰδίᾳ λειότατον ποιήcαc καὶ μετρήcαc, ἑνώcαc χρῶ ἐν βαλανείῳ. Ἀρχιγένηc φηcὶ περὶ τοῦ διὰ τῆc βρυωνίαc, ὅτι ἀντὶ παντὸc cκευαζέcθω coι τοῦτο· εἰ οὖν cταθμῷ βούλει cκευάcαι, ποίει οὕτωc· κιμωλίαc ℔ ϛ̅ νίτρου ℔ ε̅ ἀλεύρου κυαμίνου ℔ γ̅ cικύου ἀγρίου ῥίζηc ℔ β̅ βρυωνίαc ℔ β̅ κριθίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ ℔ α̅. ὁ αὐτὸc δὲ Ἀρχιγένηc φηcὶ πρὸc πίτυρα· τήλινον ἄλευρον καὶ νίτρον καὶ κιμωλίαν μετὰ cεύτλου χυλοῦ μῖcγε καὶ χολῆc βοείαc ἢ ὑείαc, ὄξοc ἐπιβαλών, κατάχριε, εἶτα μετὰ ὥραν μίαν ἀποκλύcαc ἐπίχριε χαλκάνθῳ καὶ νίτρου ἀφρῷ μετ' ἐλαίου. ἐν ἄλλοιc κύμινον λειῶν ἢ μυροβάλανον καὶ κυάμινον ἄλευρον, ἴcα λεάναc ἐν ὕδατι ἢ κονίᾳ ὑδαρεῖ cμῆχε, ἢ ἀμυγδάλοιc ξηροῖc λελευκαcμένοιc μεθ' ὕδατοc ἢ ὄξουc λεάναc cμῶ. ὅταν δὲ ξηρανθῶcιν αἱ τρίχεc, ἀπόπλυνε θερ-

1—5 πιτύρων — θέρμων *Or.*^{a} *ib.* (*ib.* 21—25) πιτύρων — ἱκανήν (9) *Or.*^{e} *IV 10 (443, 2—5, 7—11)* 17—*p. 215, 4* ὁ αὐτὸc — γενέcθαι *Gal. ib.* (*ib.* 461, 10—462, 1, 4—5, 2—4)

φ (L^{a} P^{a}) χ (C^{p} P^{x} M^{o}) ψ (A P) ω (S A^{t}) 1 ἀλέcαc cὺν τῶ λέπει P^{x} A *post* χρῶ: μετὰ cεύτλου χυλῶ P ω χοίνικα L^{a} ...αc A^{t} 2 ἐπὶ πολὺ ταῖc χερcὶ ω 3 τὸ *om.* C^{p} M^{o} ψ ω 4 λάβοι L^{a} λάβη *cett. (Or.)* τοῦτο χ A 6 ἀπόcμα C^{p} M^{o} ψ S *(Gal.)* ἀπω$^{μ'}$ P^{x} ...ώcμα A^{t} 7 καταχ. δεῖ] καταχρίειν L^{a} κατάχριε ω 8 πηγανίνου ω 9 cυκίου P^{x} A ῥίζαν P^{x} ...ηc P^{a} M^{o} A ω 10 Ἄλλο. κιμωλίαc — θερμίνου *(12) om.* P Ἄλλο. κιμ. — βαλανείῳ *(13) post* ἀνὰ ℔ α̅ *(17) transp.* C^{p} M^{o} ω *post* Ἄλλο: Ἀρχιγένουc M^{o} λι] ξ^{ε} C^{p} M^{o} νίτρου *om.* L^{a} cυκίου P^{x} A 11 *post* ἀλεύρου *pr.*: θερμίνου φ λι] ξ^{ε} P^{a} C^{p} M^{o} A λι α̅] < ϛ̅ ἢ ξ^{ε} α̅ P^{x} 12 καὶ θερμ. *om.* P^{a} καὶ *om.* C^{p} M^{o} A ἀνὰ *om.* P 12. 13 καὶ μετρ. *om.* L^{a} 13 *ante* Ἀρχιγ.: Ἀρχιγένουc C^{p} S 15 ϛ̅] γ̅ P^{x} A 16 cικύου *(et alibi) v. supra* *post* ἀγρίου: φλοιοῦ (*om.* A^{t}) τῆc M^{o} P ω *post* ῥίζηc: ξηρᾶc C^{p} M^{o} ω *post* β̅ *pr.*: c L^{a} C^{p} M^{o} ω β̅ *alt.*] α̅ P καὶ θερμ. — ℔ α̅ *om.* P 17 ὁ αὐτὸc δὲ (δὲ *om.* M^{o}) *in marg. m. 2^{a}* S *om* C^{p} P^{x} ψ A^{t} *ante* φηcὶ: δὲ C^{p} A^{t} 18 χυλὸν A ω cμῆχε α, *exc.* L^{a} χολὴν (χυλὸν P^{x}) βοείαν ω 19 ὑείαν ω καὶ ὄξουc P^{a} P^{x} ὄξουc A ω μίαν ὥραν M^{o} ω 20 ....κάνθου C^{p} M^{o} A ...καν$^{θ'}$ P^{a} S νίτρου ἀφρῷ] νίτρου (λίτρου P) M^{o} A P νίτρω C^{p} P^{x} A^{t} *post* ἐλαίου: ὀλίγου P^{x} P ω *ante* ἐν: λείοιc χ ψ ω ἐν ἄλλοιc κύμ.] ἢ κύμινον ἐν ἄλλοιc κυάμινον C^{p} *om.* P^{x} M^{o} A 21 λειῶν *om.* χ ψ ω λεάναc — ὑδαρεῖ] ὕδατι A^{t} ἐν ὕδατι] ὕδατι S μετὰ ὕδατοc *Ald.* ἢ *om.* M^{o} A^{t} 22 ὑδαρᾶ A ὑγρᾶ P ἀμύγδαλα πικρὰ λελευκαcμένα P A^{t} ξηροῖc] πικροῖc M^{o} λελευκ.] λελεπιcμένοιc *Gal.* 23 ἢ] καὶ φ

μῷ, ἢ μαλάχην ἀγρίαν ἐν θαλάccῃ ἑψήcαc, μέχρι τὸ $\overline{\text{ιβ}}$ λειφθῇ, λέαινε καὶ cμῶ· ἢ νίτρῳ καὶ κιccήρει καὶ τρυγὶ οἴνου ἴcοιc μετὰ θέρμου cμῆχε· ἢ νίτρου ἀφροῦ καὶ χαλκάνθηc ἴcα μετ' οἴνου χρῶ, τρὶc ἢ τετράκιc τοῦ μηνὸc τοῦτο ἐνεργεῖ, ὥcτε μηδὲ τὸ λοιπὸν γενέcθαι. Ἄλλο. λιβανωτῷ λείῳ μετ' ὄξουc κατάχριε. Ἄλλο. cκορπιούρου χυλῷ κατάχριε. Ἄλλο. cκίλλαν ὀπτήcαc καὶ ὅταν μαλακὴ γένηται ἐκπιάcαc τὸν χυλὸν καὶ μίξαc ἐλαίῳ κατάχριε. δίαιτα δὲ ἔcτω ἄφυcοc μηδὲν τῶν παχυχύμων ἔχουcα, οἷόν ἐcτιν ὕδνα μύκητεc βολβοὶ ὄcπρια καὶ κρέα μάλιcτα τὰ βόεια καὶ τὰ ὅμοια. ἔcτω δὲ τὰ προcφερόμενα εὐκοίλια εὔπεπτα καὶ προcπλεκέcθω μέλι ταῖc τροφαῖc. ἔμβαμμα ὄξοc μετὰ ἑψήματοc ἄρτυμα κύμινον cέλινον μάραθρον. τῶν δὲ ἄλλων πεφειcμένη ἡ χρῆcιc ἔcτω, καὶ μάλιcτα τραγήματοc παντὸc φείδεcθαι. οἶνοc λεπτὸc καὶ λευκὸc χρήcιμοc εἰc ἡδονὴν δὲ καὶ ὁ γλυκὺc καὶ τὸ οἰνόμελι. ὀπώραc ἄριcτον μὲν cταφυλὴ μαρανθεῖcα, εἶτα cῦκον πρὸ τροφῆc, ἔπειτα ῥοὰ μετὰ πᾶcαν τροφήν. καὶ τὸ χλωρὸν ἀμύγδαλον χρήcιμον, πρὸ τροφῆc δὲ cιτεῖcθαι ἄμεινον. εὐπεψίαc ⟨δὲ⟩ παντὸc μᾶλλον φροντιcτέον, περίπατοι πραέοι πλεῖcτοι καὶ ἕωθεν καὶ δείληc ἄριcτοι. ψυχρολουcία βαλανείων κρείττων, θερμολουτοῦντι δὲ ἀνοίκειοc ἡ πολλὴ διατριβὴ ἐν τῷ ἀέρι. καὶ ἡ κατὰ κεφαλῆc περίχυcιc μᾶλλον τῆc ἐμβάcεωc ἀμείνων. καὶ μετὰ ταῦτα δαψιλῶc τῷ ψυχρῷ ἀνάψυχε. ὑπνοῦν εἰc κόρον χρήcιμον, ὀργῆc καὶ θυμοῦ καὶ ἡλιώcεωc καὶ cφοδρᾶc ψύξεωc ἀπεχέcθωcαν καὶ πάντων τῶν τὴν κεφαλὴν πληρούντων.

Περὶ φθειριάcεωc. φθειρῶν γένεcιc ἐν τῇ κεφαλῇ cυμβαίνει τιcίν, ξζ
ἀθρόωc παμπόλλων ὑγρῶν μετρίωc θερμῶν ἐν τῷ βάθει τοῦ δέρματοc cυcτάντων, ἔνθα καὶ γεννᾶcθαι τοὺc φθεῖραc cυμβαίνει, οὐκ ἐπιπολῆc τοῦ δέρματοc, ἐν ᾧ ἡ πιτυρίαcιc cυνίcταται. φάρμακα τοίνυν αὐτῶν ἀναγκαῖον εἶναι ξηραντικὰ καὶ μᾶλλον ἐκ τοῦ βάθουc ἕλκειν τε καὶ

7—22 δίαιτα — πληρούντων *Gal. de comp. med. s. loc. ib. (ib. 460, 10—461, 10)* 24—*p. 216, 1* φθειρῶν — δυνάμενα *Gal. ib. I 7 (XII 462, 8—10)* Περὶ — δυνάμενα *Or.*[e] *IV 11 (443, 12—16)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1. 2 ἢ μαλάχην — cμῶ *om.* P ἑψήcαc ἐν θαλ. ω $\overline{\text{ιβ}}$] δέκατον α *(Gal.)*, *exc.* L^a 2 νίτρον $C^p P^x$ ω κιccήρει, κιcίρ., κιccήρι, κηccίρη, κίccηριν (A^t . . . ήριον S) *codd.* τρυγίαν ω 3 ἀφρὸν M^o χάλκανθον M^o . . . αν$^{\theta'}$ P^a P . . . ου $C^p P^x$ A ω ἴcοιc $P^a P^x$ 4. 5 λιβανωτὸν λεῖον ω Ἄλλο] ἢ M^o ω *om.* P χυλοῦ L^a χ^{υ} M^o κ$^{ε'}$ C^p χυλὸν $P^a P^x$ ω 6 Ἄλλο] ἢ ω *om.* P ἐκπιέcαc P^a ψ 7 *ante* δίαιτα: περὶ διαίτηc P^x A 8 οἷα $P^a A^t$ οἴδινα L^a μυκῆτιc L^a 9 τὰ *pr. om.* $P^a C^p A^t$ 10 μέλιτι S ὄξουc P^a A ω 11 *post* πεφ.] ἤγουν ἀντὶ τοῦ πεφοβημένη P^x 12 οἶνοc *om.* L^a 13 λευ^{γ}κὸc κα^{β}ὶ λε^{α}πτὸc C^p (δὲ P^x) λευκ. κ. λεπτ. $P^a P^x$ *post* γλυκὺc: οἶνοc L^a ω 14 *post* μὲν: οὖν ἐcτιν P^x οὖν *supra scr. m. 2*[a] S cύκων $C^p P^x$ A S cῦκα P *(Gal.)* ῥοὰν φ P^x A 16 δὲ *pr.*] δεῖ α *correxi* δὲ *alt. addidi ex Gal.* παντὸc *om.* P^x A ω 17 πραέεc P^a A . . . εῖc C^p P 18 κρείττω $L^a C^p M^o$ κρεῖττον P^x ω ἀνοίκειον P^x A *(Gal.)* 20 ἄμεινον $M^o P^x$ A ω 21 καὶ *alt. om.* ω 22 καὶ *pr. om.* L^a 26 γενέcθαι ω 28 ἀναγκαίων $C^p M^o$ . . . . αῖα P^x

κενοῦν δυνάμενα. θέρμους τοίνυν ἑψήσας σὺν ὕδατι, τῷ ἀφεψήματι αὐτῶν σμᾶσθαι κέλευε ἢ μυρίκης ἀφεψήματι ἢ θαλάττῃ ἢ ἅλμῃ ἀκράτῳ μετ' ὄξους κατάντλα, ἢ κισσοῦ χυλὸν μέλιτι μίξας κατάχριε ἢ περδικίου χυλὸν μέλλοντι καθεύδειν κατάχριε.

Ἄλλο πρὸς φθεῖρας κεφαλῆς καὶ ὅλου τοῦ σώματος. κύπρου ἄνθος λεάνας μετ' οἴνου, ἀνάτριβε τὴν κεφαλὴν καὶ ὅλον τὸ σῶμα, ὅταν μέλλῃς καθεύδειν. Ἄλλο. σταφίδος ἀγρίας μέρη δύο σανδαράκης καὶ νίτρου ἀνὰ μέρος ἕν· χρῶ μετ' ὄξους. Ἄλλο. ῥοῦν μαγειρικὸν σὺν ἐλαίῳ λεάνας ἄλειφε. Ἄλλο. στυπτηρίαν σχιστὴν μετ' ἐλαίου λεάνας χρῶ. Ἄλλο. ἐλλέβορον λευκὸν καὶ σταφίδας ἀγρίας καὶ νίτρον ἴσα μετ' ἐλαίου ἐν βαλανείῳ χρῶ. Ἄλλο. ἀγρίου λαπάθου ῥίζαν σὺν ἐλαίῳ χρῶ ἢ πεπέρεως βραχὺ μετὰ πλείστου ἐλαίου χρῶ. Ἄλλο. ἐλαίῳ δαφνίνῳ ἢ ῥαφανίνῳ χρῶ· εἰ δὲ ψιλοῦνται αἱ τρίχες, τῇ ἀγρίᾳ σταφίδι μετ' ὄξους καὶ ἐλαίου χρῶ ἢ στυπτηρίᾳ ὑγρᾷ μετ' ἐλαίου. ὠφελοῦνται δὲ πίνοντες σκορόδου λείου < β̅ μετὰ ὀριγάνου λείου < α̅ μετὰ μελικράτου.

ξη̅ Περὶ ἀχώρων καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γιγνομένων αὐτομάτως ἐξανθημάτων. ὁ καλούμενος ἀχὼρ ἐν τῷ τῆς κεφαλῆς συνίσταται δέρματι λεπτὰς κατατρήσεις ἔχων, δι' ὧν ἀπορρεῖ λεπτὸς ἰχὼρ γλίσχρος μετρίως. ὅμοιον δὲ αὐτῷ ἐστι καὶ τὸ καλούμενον κηρίον, ἐπειδὴ τὰς κατατρήσεις ἔχει μείζονας, ὑγρότητας περιεχούσας μέλιτι παραπλησίας. σκοπὸς οὖν ἐστι κενῶσαι τοὺς ποιοῦντας τὸ πάθος χυμούς· εἰ δ' ἐπιρρέοιεν ἔτι, κωλῦσαι πρότερον τὴν ἐπιρροήν, κενοῦντας καθαρτηρίῳ πρῶτον ὅλον τὸ σῶμα· ἀρχόμενος ἀπὸ φλεβοτομίας, εἰ φέρει ὁ κάμνων, εἶτα καθαρτηρίῳ χρώμεθα τῷ ὀρῷ τοῦ γάλακτος

2—3 ἢ θαλάττῃ—κατάντλα 7—12 σταφίδος—σὺν ἐλαίῳ χρῶ 13. 14 εἰ δὲ ψιλοῦνται—μετ ἐλαίου *Gal. ib. (ib. 11, 12, 13—16, 463, 6—9, 10—11, 9—10, 12—14)* ἢ θαλάττῃ—κατάντλα σταφίδος—ἄλειφε *(9)* | 10. 11 ἐλλέβορον—χρῶ *Or.^{e} ib. (ib. 20—21, 17—18, 19—20, 18—19)* 1. 2 θέρμους—κέλευε *Paul. III 3 (I 137, 9)* 2 θαλάττῃ ἢ ἅλμῃ *cf. Gal. de rem. parab. II 4, 17 (XIV, 415, 13—14)* 7. 8 σταφίδος—ὄξους *Or.^{a} VIII 27 (259, 4—5)* 17—24 Περὶ—σῶμα *Or.^{e} IV 12 (443, 22—28)* 18—24 ὁ καλούμενος—σῶμα *Or.^{a} VIII 28 (259, 7—12)* ὁ καλούμενος—παραπλησίας *(22) Paul. III 3 (I 135, 20—24)* ὁ καλούμενος ἀχὼρ—τὸ σῶμα |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 *post* δυνάμ.: τῶν πρὸς τὰς πιτυριάσεις ἁρμοττόντων P^a *(Gal.)* τῷ ἀφεψήμ.—ἀφεψήμ. *(2) om.* A^t 2 ἢ θαλάττῃ *om.* ω 3 κατάντλει ω *(Gal. Or.)* 4 μέλλοντα P^x P A^t 7 μέλλῃ φ $C^p M^o$ P 7. 8. 9. 11 12 Ἄλλο] *in marg.* P ἢ ω 9 *post* Ἄλλο: ὑδράργυρον μετ' ἐλαίου καὶ ὄξους λεάνας ἄλειφε τὴν κεφαλὴν P^x στυπτηρίας P^x *om.* $C^p M^o$ A ω σχιστῆς P^x 10 σταφίδα (ἀστ. P) ἀγρίαν χ ψ *(Gal.)* 11 μετ' ἐλαίου *om.* φ C^p, *sqr.* λεάνας ω χρῶ ἐν βαλανείῳ A^t *(Ald.)* Ἄλλο ἀγρίου—σὺν ἐλαίῳ χρῶ *om.* P^a λαπάθου ἀγρίου M^o ω ἀγριολαπάθου P^x 12 *post* χρῶ *pr.*: ἐν βαλανείω S *(Ald.)* ἢ] ἄλλο P^a χ A μετ' ἐλαίου πλείστου P^a σὺν ἐλαίῳ χρῶ· πλείστου δὲ ἔστω τοῦ ἐλαίου P^x 13. 14 εἰ δὲ—χρῶ *om.* A^t 15 σκόρδου χ A ...δίου P α̅] β̅ P^x 17. 18 Περὶ—ἐξανθημ. *om.* P^a ἐν τῇ κεφαλῇ ω αὐτομάτων χ ψ *om.* ω 18 *post* ἐξανθημ.: Γαληνοῦ P^x 20 αὐτοῦ A ...ῶν S καὶ *om.* C^p A 21 ἐπεὶ δὲ P^x A A^t ὑγρότητα C^p A S 22 *post* παραπλης.: μελικηρὶς ὠνομάσθη ω *post* σκοπὸς: μὲν *Ald.* 23. 24 *post* κενοῦντας: θαρρῶν P^x 24 πρῶτον ὅλ. τ. σ. καθαρτ. ω ἀρχόμενος—καὶ καθαίρει *(217, 6) post* φάρμακα *(217, 9) transp.* P^x A *om.* φ C^p *deleverim* πρῶτον ἀπὸ φλεβοτ. ἀρχόμ. εἴ γε P^x 25 ὀρρῷ P A^t

σκευασθέντι διὰ μελικράτου, εἶτα μίξαντες αὐτῷ ἐπιθύμου λειοτάτου < γ̅. ἐρρέθη δὲ ἡ σκευασία τοῦ ὀροῦ ἐν τῷ δευτέρῳ λόγῳ κεφαλαίου ϙ̅ε̅. εἰ δὲ οὐκ ἔστιν ὁ καιρὸς τοῦ γάλακτος λαβὼν κολοκυνθίδα τελείαν ἔξελε αὐτῆς τὸ σπέρμα καὶ ἐχούσης αὐτῆς τὸ γναφαλῶδες, πλήρωσον αὐτὴν ἑψήματος ἢ οἰνομέλιτος καὶ ἔα βρέχεσθαι νύκτα καὶ ἡμέραν καὶ μετὰ ταῦτα θερμάνας δίδου καὶ καθαίρει. ἔπειτα καὶ τὴν κεφαλὴν δι' ἐρρίνων καὶ ἀποφλεγματισμῶν ⟨ἰάση⟩. ἁρμόσει δὲ αὐτοῖς διὰ μὲν τὸ πάχος καὶ τὸ γλίσχρον τοῦ χυμοῦ τοῦ γεννῶντος τὴν διάθεσιν τὰ τέμνοντα καὶ διαφοροῦντα φάρμακα. τοὺς δὲ ἀρχομένους ἀχῶρας, ὅταν ἀπέριττον ᾖ τὸ πᾶν σῶμα, ἰάσῃ διὰ τῶν στυπτικὴν δύναμιν ἐχόντων καὶ ἀποκρουστικήν. μυρρίναι δέ εἰσι τοιαῦται καὶ ὁ τοῦ πίτυος φλοιὸς καὶ βάτου φύλλα καταπλασσόμενα, ἀρνόγλωσσον καταπλασσόμενον ἀγρίας ἐλαίας χυλὸς σμώμενος ἰτέας φύλλα καὶ ἄνθος καταπλασσόμενα πολύγονον ὁμοίως. ἔνια δὲ ἀντιβαίνει σοι ταῖς αὐξήσεσι τῶν ἀχώρων, ὁμοῦ μὲν ἀναστέλλοντα τὸ ἐπιρρέον, ὁμοῦ δὲ συμπέττοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον, μικτῆς ὄντα δυνάμεως, οἷστισι κεχρῆσθαι δεῖ μετὰ τὴν ἀρχήν. τοιοῦτον δέ ἐστι μύρσινον ἔλαιον καὶ ῥόδινον καὶ σχίνινον, βάτου χυλὸς σὺν ἐλαίῳ, ἀνδράχνης χυλὸς σὺν ἐλαίῳ, λάδανον σὺν οἴνῳ καταχριόμενον, κύπερός τε καὶ οἱ φακοί. τινὰ δὲ τοῖς ἐπιπολαίοις καὶ συμμέτροις βοηθεῖ, διαφοροῦντα μὲν καὶ ῥύπτοντα χωρὶς αἰσθητῆς θερμασίας, οὐ μὴν ἐρεθιστικόν τι ἔχοντα, οἷς δεῖ κεχρῆσθαι μάλιστα, ἐὰν ὀδύνη τις ᾖ τοῖς ἀχῶρσιν. ἄρχεσθαι δὲ καὶ τούτων προσήκει ἀπὸ τῶν ἀσθενεστέρων· κιμωλία τε οὖν ἐπιτήδειος εἰς τοῦτο καὶ ἡ Κρητικὴ γῆ καὶ Σαμία πομφόλυξ τε καὶ σπόδιον καὶ λιθάργυρος ἤ θ' ἁπαλὴ καδμεία καὶ ἀδίαντον μετὰ ῥοδίνου ἐπιχρι-

7—12 ἁρμόσει—καταπλασσόμενα *Gal. de comp. med. s. loc. I 8 (XII 463, 15—16; cf. 464, 2—3, 3—6, 11—14, 17—465, 2, 470, 2—3, 4—5, 471, 14 sqq.)* ἁρμόσει—φύλλα *(12)* | 14—23 ἔνια—κιμωλία τε *Or.*^{a} *VIII 28 (259, 12—22)* ἁρμόσει—φλοιός *(11) Or.*^{e} *ib. (443, 29—33)* 13 ἰτέας—καταπλασσόμενα *Paul. ib. (ib. 136, 3)* ἰτέας φύλλα *cf. Gal. de rem. parab. I 2 (XIV 324, 14) II 8 (ib. 397, 13)* 17 μύρσινον ἔλαιον | 18 βάτου χυλός *cf. Gal. ib. I 2 (ib. 324, 13) II 8 (397, 11)* 19—21 τινὰ—ἔχοντα *Or.*^{e} *ib. (ib. 33—444, 1)* 21 οἷς δεῖ—τίτανος *(218, 11) Gal. de comp. med. s. loc. ib. (ib. 465, 12—15) 9 (496, 12—17) 18 (465, 15—17, 466, 1—2, 5, 7—10, 470, 11—15, 17, 471, 3—4)* 23—25 κιμωλία—καδμεία *Paul. ib. (ib. 136, 3 sqq.)* 23—25 κιμωλία—λιθάργυρος |

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 2 τούτου σκευὴ P^x σκευὴ P τοῦ ὀροῦ—ϙε] ἐν τῷ περὶ τῶν ὀρῶν τοῦ γάλακτος σκευασιῶν σαφές P^x ὀρροῦ P A^t 2. 3 εἰς τὸ ϙ̅ε̅ κεφάλαιον P 4 ἐγχύσας P 5 ἡμ. καὶ νύκτα P^x A 6 καὶ καθ.] καθαίρειν P^x A 7 ἰάσῃ *addidi* 10 ἰάσει M^o ω *ante* στυπτ.: τὴν P^a P^x A^t ἐχόντων δύναμιν ω 11 τοῦ] τῆς P^a P 12 *ante* ἀρνόγλ.: καὶ P A^t ἀρνόγλ.—καταπλασσόμενα *om.* P^x ἀρνόγλ. καταπλασσόμενον *om.* S 13 χυλὸς ἐλαίας L^a ἄνθη C^p M^o A 17 *ante* μύρσ.: τὸ P^x A 18 χυλὸν ....χυλὸν L^a P^x 18. 19 ἀνδράχνης—ἐλαίῳ *ante* κύπερος *transp.* M^o *om.* P^a C^p 20 τοῖς ἐπιπολέτοις P^x τ. ...λέοις M^o S τῶν ἐπιπαλαίων A^t *(Ald.)* μετρίοις P^a C^p P^x ψ *(Or.)* ...τρίως ω 21 θερμ. αἰσθητ. P^a ω ἔχοντά τι *Ald. (Or.)* 22 δεῖ] δὴ P^a A^t δὲ L^a P^x S εἴη ω καὶ *om.* P^x A 23 προσῆκεν χ A ω 24 σπόδιον φ A^t σπο$^{δ'}$ P^x P 25 ἤ θ'] ἡ L^a εἶτα P^x A ἤ τε (θ' *scripsi ex Gal.*) C^p M^o ψ ω ἁπαλὴ *om.* ω

όμενον, τήλεως ἀφέψημα cμώμενον, μαλάχη λεία μετὰ αἰρίνου ἀλεύρου καταπλαccομένη, μελίλωτον cὺν τηλίνῳ ἀλεύρῳ μετ᾽ οἴνου καταπλαccόμενον, ἐρεβίνθων ἀφέψημα καὶ αὐτοὶ ἑφθοὶ καταπλαccόμενοι, κάρυα ταγγὰ πικρὰ μαcηθέντα καὶ ἐπιχριόμενα. μηδὲν δὲ ἀνυόντων τούτων τὸ διὰ χάρτου ξηρίον ἐπίχριε cὺν ὄξει, εἰ δὲ δριμύτερόν coι φαίνοιτο, λιθάργυρον ἴcον ἐπίβαλλε. μὴ παρόντος δὲ τοῦ διὰ χάρτου ξηρίου χάρτην καύcας καὶ τὴν τέφραν ὄξει δεύcας χρῶ ἐπὶ τῶν cκληροcάρκων. τινὰ δὲ οὕτωc cφοδρὰν τὴν δύναμιν κέκτηται, ὥcτε δύναcθαι κενοῦν τοὺc πάνυ παχεῖc καὶ γλίcχρουc χυμούc, κἂν ἤδη cκιρρώδειc εἶεν, διαλύειν αὐτάc· τοιαῦτα δέ ἐcτιν ἅλεc χαλκῖτιc τρὺξ οἴνου κεκαυμένη cανδαράκη τε καὶ τίτανοc. τὸ δὲ ὄξοc ἰcχυρότερον ἐν παντὶ καιρῷ πρὸc ἀχῶραc ⟨τέμνον⟩ καὶ διαφοροῦν καὶ ἀποκρουόμενον, δριμύτατον δέ ἐcτι. διαφορεῖ δὲ κάλλιcτα καὶ κρίνου ῥίζα cμωμένη καὶ λιβανωτὶc cὺν νίτρῳ καὶ ὕδατι, θέρμων πικρῶν ἀφέψημα cμώμενον, cικύου ἀγρίου ῥίζηc ἀφέψημα μονογενῶc cυκῆc φύλλα cὺν ὄξει λεῖα βολβοὶ cὺν νίτρῳ cμώμενοι, πηγάνου φύλλα καταπλαccόμενα, τήλινον ἄλευρον cὺν νίτρῳ cμώμενον, λίβανον μετ᾽ ὄξουc καταχριόμενον, cίδια ῥόαc μετὰ δαφνίνου ἐλαίου καταχριόμενα, cκόρδιον cὺν τῷ καυλῷ, καύcαc τῇ τέφρᾳ μετ᾽ ἐλαίου χρῶ· πάνυ κάλλιcτον. Ἄλλο. κάρυα βαcιλικὰ ἐμαcᾶτο γυνή τιc καὶ ἐπετίθει τῷ παιδὶ ἀχῶραc ἔχοντι καὶ ἰάθη. Ἄλλο. ἀγχούcηc ῥίζαc καύcαc, λεάναc μετ᾽ ἐλαίου ὡc γλοιοῦ ἔχειν τὸ πάχοc, ἐπίχριε πτερῷ καὶ ὑγιάcειc. Ἄλλο. θύμον καύcαc μετ᾽ οἴνου καὶ ἐλαίου, τὴν τέφραν δεύcαc ἐπίχριε. Ἄλλο. κνῆcτρον, ὃν ἐν Ἀλεξανδρείᾳ λιπαρῶνα καλοῦcι, καύcαc καὶ τὴν τέφραν λεάναc μετ᾽ οἴνου ἐπίχριε. Ἄλλο. κήρυκαc καύcαc λεάναc τὴν τέφραν μετὰ ὕδατοc χρῶ· ἔcτι γὰρ cωτήριον φάρμακον οὐ μόνον πρὸc ἀχῶραc, ἀλλὰ καὶ

4. 5 μηδὲν δὲ—ὄξει | 6—12 μὴ παρόντος—ἀποκρουόμενον *Or.*[e] *ib. (444, 2, 11—14, 2—7)* 5 τὸ διὰ χάρτου—ὄξει *Paul. ib. (ib. 136, 5—6)* 8—12 τινὰ—ἀχῶραc *cf. Or.*[a] *ib. (ib. 22—27)* 11. 12 τὸ δὲ ὄξοc—ἀποκρουόμενον *cf. Gal. ib. I 8 (XII 465, 3—5)* 13—18 διαφορεῖ—καταχριόμενα *[nonn. addit.] Gal. ib. 9 (XII 496, 17—497, 3)*

φ(L[a]P[a]) χ(C[p]P[x]M[o]) ψ(AP) ω(SA[t]) 1 κριθίνου C[p] *(Gal.)* οἴνου καὶ P ἐρίνου M[o]P[x]A ω 2 *ante* μελίλωτ.: ἢ P[x]AS 2. 3 ...cόμενον] ...cόμενα α, *correxi* 4 ταγγὰ *om.* C[p]P[x]P *(Gal.)* πικρὰ *om.* P[x]M[o]A ω δὲ *om.* S *(Ald.)* 5—7 ξηρίον—χάρτην *om.* A[t] φαίνηται P[x]A ...εται P 6 ἐπίβαλε P[a]M[o]AS 8 οὕτω P[a]C[p]M[o]ψ *post* ὥcτε: μὴ P[x]M[o]A 10 αὐτοὺc α, *corr. ex Or.* ἅλαc P *om.* M[o]ω 11 ἐν *om.* L[a] 12 ἰχῶραc L[a]M[o] τέμνον *addidi ex Or.* 12. 13 δριμύτ.—κάλλιcτα *om.* A[t] ἔcτω χψS *ante* διαφορεῖ: καὶ L[a] 14 λιβανωτὸν P[a]A ...τὸc ω *(Gal.)* ὕδατι καὶ νίτρω Pω *ante* θέρμων: καὶ ω *(Gal.)* 15 cικύου—cμώμενοι *om.* S cυκίου P[x]A ῥίζηc—μονογεν.] ῥίζα ἑψομένη A[t] 18 cκόρδον C[p]M[o]S cκόρδω⟨ν⟩ P[x] cκόρδα A cκόροδον P[a]P ...δα A[t] 19 *post* ἐλαίου: ἀναδεύcαc ὁμοῦ καὶ ποιήcαc ὡc γλυοῦ πάχοc P[x] πάνυ *om.* P[a]χA *ante* κάλλ.: ἔcτι δὲ τοῦτο P[x] δέ ἐcτι P 19—21 Ἄλλο. κάρυα—ἰάθη *in marg.* M[o] *om.* φC[p]P[x]ψ 21 *ante* λεάναc: καὶ P[x]M[o] γλυοῦ P[x]S 22 τὸ *om.* M[o]ω θύμου L[a]χAω 23—25 Ἄλλο. κνῆcτρον—μετ᾽ οἴνου ἐπίχριε *post* κάλλιcτον *(19)* P[x]M[o]A κνίcτρον P[x]A κήcτρον C[p] νήcτρον M[o]PA[t] νίτρον L[a] ὅν δ *supra scr. m. 2*[a] S τὸ L[a] 24 λιπαρό ττ A[t] λιπαρώαν PS 25 κατάχριε C[p]Pω *ante* λεάναc: καὶ P[a]P[x] 26 *post* φάρμ.: τὸ τοιοῦτον P[x]

πρὸς πᾶν γινόμενον ἐξάνθημα. ἐὰν δὲ περιπέσῃς ποτὲ ἀχῶρι φλεγμονώδει καὶ ὀδυνώδει, παρηγορήσεις δηλονότι τὴν φλεγμονὴν αὐτοῦ πρότερον ὑγρῷ φαρμάκῳ πεπτικῷ τε καὶ μαλακτικῷ καὶ ἀδήκτῳ, ὁποῖόν ἐστι τὸ πάρυγρον καὶ πάντα τὰ ἑδρικὰ καλούμενα καὶ τὰ πρὸς τὰ καρκινώματα ἀναγεγραμμένα. ἄλευρα οὖν κυάμινα οἴνῳ βρέξας καὶ λεάνας ὡς ἐμπλαστρῶδες γενέσθαι, ἐπιτίθει· ποιεῖ πρὸς τὰ πυρωδέστατα καὶ ἄγρια ἐν κεφαλῇ, μάλιστα ψυδράκια. Ἄλλο πρὸς τὰς μεγίστας καὶ φλεγμονώδεις ὀδύνας παρηγορικὸν ἀνώδυνον καὶ ἀποθεραπεῦον. τοῦ ἀστέρος κολλυρίου ἢ τῶν διὰ λιβάνων ἤ τινος τῶν παραπλησίων λεάνας μετὰ χυλοῦ ὑοσκυάμου ὀλίγου καὶ ἐπιβαλὼν ἕψημα καὶ ῥόδινον ἐπίχριε. Ἄλλη λιπαρὰ πρὸς ἀχῶρας ψύδρακας ἐκζέματα παρατρίμματα· ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. λιθαργύρου < $\overline{\gamma}$ πηγάνου φύλλων ἁπαλῶν < $\overline{\pi\epsilon}$, ὄξει διαλύσας καὶ ῥοδίνῳ ἢ μυρσίνῳ ἀναλαβὼν ἐπίχριε πτεροῖς· ἱκανὴν ἡμῖν πεῖραν ἔδωκεν. Ἄλλο παραπλήσιον. λιθαργύρου < $\overline{\delta}$ ψιμμυθίου < $\overline{ϛ}$ θείου ἀπύρου < $\overline{\delta}$ κηροῦ < $\overline{\delta}$ ῥοδίνου ἢ μυρσίνου τὸ ἀρκοῦν, ὡς ἔχειν σύστασιν ὑγρᾶς κηρωτῆς. τὰ τηκτὰ τοῖς ξηροῖς ἐπίχεε καὶ ἑνώσας χρῶ. τοῦτο καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι ἐξανθήματα χρήσιμόν ἐστιν. Ἄλλο πρὸς τοὺς καθύγρους ἀχῶρας. λαδάνου < $\overline{\eta}$ ψιμμυθίου τὸ ἴσον θείου ἀπύρου < $\overline{\delta}$, χρῶ σὺν οἴνῳ ἢ μυρσίνῳ. Ἄλλο. λαδάνου μύρτων μελανῶν λιθαργύρου θείου ὑοσκυάμου σπέρματος σιδίων ⟨ἴσα⟩ λεάνας παράχεε οἴνου καὶ μυρσίνου ἢ ῥοδίνου καὶ κατάχριε. Ἄλλο πρὸς τὰ πυρρώδη καὶ ἰχωρώδη καὶ λειχηνώδη. περιστερεῶνος ὑπτίου < $\overline{\eta}$ ἀκακίας < $\overline{\eta}$ σμύρνης < $\overline{\beta}$ οἴνῳ αὐστηρῷ λεάνας κατάχριε. ποιεῖ καὶ πρὸς τὰ ἐν τῷ γενείῳ. Ἄλλο ποιοῦν καὶ πρὸς τὰ ἐν τῷ γενείῳ. μύρτων σιδίων χαλκάνθου λιθαργύρου ἴσα, λεάνας σὺν οἴνῳ καὶ μυρσίνῳ χρῶ. Ἔμπλαστρος πρὸς ἀχῶρας· θεραπεύει τοὺς χρονιωτάτους. πιτυίνης ξηρᾶς κηροῦ στέατος ὑείου ἢ βοείου ἴσον ἑκάστου, τήξας ἅμα καὶ διηθήσας εἰς ὕδωρ καὶ

1—4 ἐὰν δὲ—πάρυγρον *cf. Or.*^{a} *ib. (ib. 28—260, 1)* ἐὰν δὲ — καλούμενα *(4) Or.*^{e} *ib. (444, 14—17)* 11—14 λιπαρὰ — πτεροῖς 18—20 Ἄλλο — μυρσίνῳ *Gal. ib. (ib. 485, 4—7, 486, 3—5)* 12—14 λιθαργύρου—ἐπίχριε *cf. Or.*^{c} *7 (IV 187, 30—32)* 18—20 Ἄλλο πρὸς—μυρσίνῳ *Gal. ib. 8 (ib. 486, 3—5)*

φ(L^{a} P^{a}) χ(C^{p} P^{x} M^{o}) ψ(A P) ω(S A^{t}) 1 πώποτε P^{x} *om.* M^{o} 2 *ante* καὶ: τε P^{x} S 5 τὰ *om.* C^{p} ω γεγραμμένα P^{x} A 6 *post* ποιεῖ: καὶ P δὲ *Ald.* 6. 7 πυρωδ.] πυρροδέστερα M^{o} A^{t} 7 *ante* κεφ.: τῇ ω μάλιστα *om.* P^{a} P 8 ...γορητικὸν A A^{t} 9 διὰ *om.* α, *exc.* L^{a} 10 ...βάλλων P^{x} A ἕψεμα L^{a} C^{p} M^{o} S 11 ἐπίχεε P^{x} κατάχριε ω ..ζέσματα χ A ω 12 *post* ἀγαθή: δέχεται ταῦτα οἷον P^{x} < $\overline{\gamma}$ — παραπλήσ. λιθαργ. *om.* P^{x} $\overline{\gamma}$] $\overline{\beta}$ P $\overline{\eta}$ P^{a} M^{o} A ω 14 ὑμῖν *Ald.* 15 < $\overline{\delta}$ *pr.*] $\overline{\eta}$ κο$^{κ'}$ ξυλοκέρα^{τ} P^{x} < $\overline{ϛ}$] ξυ$^{λ'}$ $\overline{\iota\beta}$ P^{x} < $\overline{\delta}$ *alt.*] ξυ$^{λ'}$ $\overline{\eta}$ P^{x} < $\overline{\delta}$ *tert.*] ὁμοίως $\overline{\eta}$ P^{x} 16 μυρσινίνου P^{x} P 17 καὶ *alt.*] δὲ L^{a} P *om.* S 18 τοὺς *om.* P^{x} A ἰχῶρας L^{a} 19 < $\overline{\delta}$ *om.* P^{x} A $\overline{\delta}$] $\overline{\eta}$ A^{t} 20 θείου *om.* L^{a} χ S 21 ἴσα *addidi* 22 καὶ *pr. om.* P^{x} P ω πρὸς τὰ πυώδη καὶ λειχην. (καὶ ἰχ. *om.*) *in marg.* P πυώδη χ A 23 σμύρνης] ℥ C^{p} M^{o} S 24 *ante* ποιεῖ: τοῦτο P^{x} ἄλλο P ω τὰ] τὰς C^{p} M^{o} ω 24. 25 Ἄλλο ποιοῦν καὶ (κ. *om.* A)—ἐν τῷ (τῷ *om.* P^{x} A) γενείῳ (θαυμαστόν *add.* P^{x}) *om.* P^{a} P ω 26 σὺν οἴνῳ *om.* ω

ἐπὶ πολὺ ἀναμαλάξαϲ χερϲὶ χρῶ. Ἄλλη, ᾗ ἐχρήϲατο ὁ Αἰγύπτιοϲ ἐπὶ Παλλαδίου τοῦ Μαγιϲτριανοῦ ἐν Ἀλεξανδρείᾳ μετὰ τὸ ἀποτυχεῖν τὰ τῶν ἀρχιάτρων βοηθήματα. κολοφωνίαϲ ℥ ϛ̄ ἀμμωνιακοῦ θυμιάματοϲ ℥ β̄ χαλβάνηϲ Γρ δ̄ ἐλαίου < δ̄ μαϲτίχηϲ κηροῦ ἀνὰ ℥ ᾱ πιτυίνηϲ ὑγρᾶϲ τῆϲ ξυλώδουϲ < δ̄ ἰοῦ Γρ δ̄ ὀποπάνακοϲ Γρ γ̄· εἰ δὲ δριμύτηϲ εἴη πολλή, μὴ βάλῃϲ τὸν ἰόν. διαφορεῖ καὶ ἀποϲτήματα καὶ τὰ ἤδη ῥαγέντα ἐγκενοῖ καὶ ὑγιάζει.

ξθ̄ Πρὸϲ τὰ ἐν τῇ κεφαλῇ ψωρώδη. πήγανον καὶ ϲτυπτηρίαν λεάναϲ μετὰ μέλιτοϲ καὶ ξυρήϲαϲ τὰϲ τρίχαϲ ἐπίχριε. Ἄλλο. θεῖον ἄπυρον καὶ ϲταφίδα ἀγρίαν λεάναϲ ἐπ᾽ ἴϲηϲ καὶ οὔρῳ μίξαϲ ἐπίχριε.

ο̄ Πρὸϲ τὰ ϲμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ. θηλαῖϲ μαζῶν εἰϲι παραπλήϲια, ἀφ᾽ ὧν καὶ ἰχὼρ ἀπορρεῖ. ξυρήϲαϲ καὶ λίνου ϲπέρμα τρίψαϲ καὶ μέλιτι δεύϲαϲ κατάπλαϲϲε, ἢ κογχύλιον καύϲαϲ καὶ τρίψαϲ ἐν ὕδατι κατάπλαϲϲε, ἢ τὴν δι᾽ αἱρῶν ἔμπλαϲτρον ἐμπλάϲαϲ ἐπιτίθει καὶ ὅταν ἐκκενωθῇ τὰ ὑγρά, ἄραϲ ταύτην ἐπιτίθει τοῦ μυρϲινάτου λεγομένου.

οα̅ Πρὸϲ τὰ ἐξέρυθρα ἐξανθήματα ἐν τῇ κεφαλῇ. ψιμμύθιον ϲὺν δαφνίνῳ κατάχριε ἢ πίτυοϲ φλοιὸν ϲὺν κηρωτῇ ὑγρᾷ ἢ ὄϲτρακον ἀπὸ κλιβάνου ϲὺν ὄξει ἢ οἴνῳ καὶ ϲεῦτλον ἑφθὸν κατάπλαϲϲε, ἢ ϲεύτλου χυλὸν ἐμβαλὼν κηρωτῇ ῥοδίνῃ, ὅϲον ἐπιδέχεται, ἐπιτίθει.

οβ̅ Ἀναξηραντικὰ καὶ ἀπουλωτικὰ τῶν ἐν τῇ κεφαλῇ ἀχώρων. λιθαργύρου < κδ̅ ἀϲβέϲτου τὸ ἴϲον ὄξουϲ ℥ ᾱ ῥοδίνου τὸ ἴϲον, χρῶ. Ἄλλο ϲφόδρα καλόν· ἀναξηραίνει γὰρ τὰ ὑγρὰ ἕλκη καὶ ἀπουλοῖ. λιθαργύρου ψιμμυθίου κριθῶν κεκαυμένων ἴϲα ϲὺν ῥοδίνῳ ἢ μωρϲίνῳ ἐπίχριε. Ἄλλο· μηλίνη ὑγιεινὴ ἀναξηραντικὴ παντὸϲ ῥεύματοϲ, μάλιϲτα ἐπὶ τῶν χρονίων. λιθαργύρου ψιμμυθίου ἁλὸϲ ὀρυκτοῦ ἀνὰ λι ᾱ ϲτυπτηρίαϲ

21. 22 λιθαργύρου—χρῶ *cf. Gal. ib. (ib. 495, 5—6)* 25—*p. 221, 6* μηλίνη—χρῶ *Gal. ib. (ib. 488, 12—489, 1)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 2 Παλαδ., Πελαδ. (P^x), Παλλαδ. *codd.* Μαγίϲτρου ψ 3 ἀρχιητρῶν P^a P ἀρχαίων ἰατρῶν P^x A ἰατρῶν M^o ω 4 ἐλαίου < δ̄ *post* κηροῦ ἀνὰ ℥ ᾱ *transp.* L^a 5 ὀποπάν. Γρ γ̄ *ante* ἐλαίου < δ̄ *transp.* M^o A^t *m. 1ª* S 7 ἐκκενοῖ P^a χ ψ 9 ξυρίϲαϲ P^a P^x ω Ἄλλο] ἢ P *om.* P^a 10 ϲταφίδοϲ ἀγρίαϲ ω ἐπ᾽ ἴϲηϲ] καὶ πίϲϲηϲ P^a χ P A^t καὶ πίϲϲαν A S καὶ *om.* α, *exc.* L^a ὀρῶ χ A S ὀρρῶ P^a P A^t 11 *post* Πρὸϲ: δὲ P^a C^p M^o A^t μικρὰ ψ πικρὰ P^x *post* κεφ.: Πρὸϲ δὲ τὰ ϲμικρὰ (μικ. A) καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ M^o A S 12 εἰϲι(ν) *om.* P^a C^p M^o ψ ω ξυρήϲ. *(et alibi) v. supra* 13 λινόϲπερμα P^x ψ 13. 14 ἢ κογχ.—κατάπλαϲϲε *om.* P^a A 15 τὰ ὑγρά *om.* L^a *post* ἐπιτίθ: ἐκ P^x A 17 *post* Πρὸϲ: δὲ C^p M^o ω *ante* ἐν: γιγνόμενα P^x τὰ P ψιμ. (ψιμμ.)] ψιμ(-μ-)υθίου ψ ω 18 ὑγρᾷ *om.* ω 19 καὶ] ἢ α, *exc.* L^a ϲεύτλων P^x ..τλω ω ἑφθῶν P^x ...ῶ ω 19. 20 ἐπιβάλλων (...βαλὼν M^o) C^p P^x ψ ω 21 ...ξηραντικὸν ω ...τικαὶ C^p ...λωτικὸν ω ἀφ....τικαὶ C^p τῶν ἐν τῇ (τῇ *om.* P) κεφ. *om.* C^p M^o A ω ἀχώρων *om.* C^p M^o ψ 22 κδ̅] κ̄ A *(Gal.)* κα̅ P^a χ P ω ℥] $\overset{χ}{κο}$ P^x M^o κοτύλην P^a ψ 23 ...ξηραῖνον P ω γὰρ *om.* α, *exc.* L^a κάθυγρα α, *exc.* L^a 24 μυρϲινίνω P^x A S 25 Ἄλλο] Ἔμπλαϲτροϲ ω (ἄλλη μηλίνη ἐπὶ τῶν χρονίων μάλιϲτα *in marg.* P) *om.* χ A μηλίνου P^a C^p *om.* P Ὑγιεινοῦ P^x M^o *(Gal.)* *om.* P ω *post* μάλ.: καὶ ἀπουλωτικὴ ω 26 *post* χρονίων: ἑλκῶν ω

cχιcτῆc Г° ς̄ χαλκάνθου Г° ς̄ ἐλαίου λι β̄ ὄξουc ξ ᾱ, ἕψε τὸ ἔλαιον μετὰ ψιμμυθίου καὶ λιθαργύρου καὶ τὸ ἅλαc, λειοτάτου προcγενομένου ἑκάcτου κατ᾽ ἰδίαν καὶ ἅμα. ὅταν δὲ ἀμόλυντον γένηται, τὴν cχιcτὴν καὶ χάλκανθον ὄξει διαλύcαc καὶ ἄραc τὸ φάρμακον ἀπὸ τοῦ πυρὸc καὶ ψύξαc ποcῶc, ἐπίβαλλε κατὰ βραχὺ καὶ ἑνώcαc κατάχεε ἐν τῇ θυίᾳ καὶ μαλάξαc ἐπιμελῶc χρῶ.

ογ̄ Cμῆγμα πρὸc ἀχῶραc. παρακμαζούcηc δὲ τῆc διαθέcεωc καὶ οὐλῆc παντελῶc ἐπιγιγνομένηc, εἰc ἀναcκευὴν τῆc ὅληc διαθέcεωc χρηcτέον cμήγμαcι τοιούτοιc ἐν βαλανείῳ.

Cμῆγμα πρὸc ἀχῶραc καὶ πιτυριάcειc καὶ τραχύτηταc καὶ ψωριάcειc. γῆc κιμωλίαc λι β̄ νίτρου ἐρυθροῦ τὸ ἴcον μυροβαλάνου λι ᾱ cμύρνηc ἴρεωc πεπέρεωc ἀνὰ Г° ᾱ νάρδου Κελτικῆc καccίαc κόcτου ἀνὰ Г° ᾱ, κόψαc cήcαc χρῶ ἐν βαλανείῳ.

οδ̄ Πρὸc τὰ ἐν ὠcὶ πάθη. ὤτων πόνοι γίγνονται διά τε ψῦξιν ὑπὸ ἀνέμων γιγνομένην ἢ ὑδάτων ψυχρῶν ἢ φαρμακωδῶν, ἐν οἷc λούονται, καὶ διὰ φλεγμονὴν τοῦ κατὰ τὸν πόρον δέρματοc ἢ τοῦ ἐν βάθει ἀκουcτικοῦ νεύρου. γίγνεται δὲ ὀδύνη καὶ διὰ πνεῦμα φυcῶδεc οὐκ ἔχον διέξοδον.

οε̄ Πρὸc τὰc διὰ ψῦξιν ὀδύναc. τὰc μὲν οὖν ὑπὸ ψύξεωc μόνηc γιγνομέναc ὀδύναc τὰ θερμαίνοντα θεραπεύει τάχιcτα. κρόμυον οὖν ἢ cκόρδον ἀποζεcθὲν ἐν ἐλαίῳ καὶ ἐμψυχθὲν ἰᾶται τὰc ψύξειc πάcαc. ἐγὼ δὲ εὐφορβίου παντελῶc ὀλίγον ἐλαίῳ πολλῷ μιγνὺc χρῶμαι ἢ

7—9 παρακμαζούcηc — βαλανείῳ *Gal. ib. (ib. 489, 8—10, 18)* 19—*p. 222, 3* τὰc μὲν οὖν — μεγάλωc *Gal. ib. III 1 (ib. 600, 7—9, 12—15, 16—601, 5, 599, 1—600, 4) de rem. parab. I 3 (XIV 330) Or.*° *IV 35 (450, 7—13)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 Г° ς̄ *om.* P^x A λι] ξε′ P^a χ A Г° P τὸ L^a *tantum* 1. 2 μετὰ — λιθαργύρου] ψιμμύθιον λιθάργυρον α, *exc.* L^a 2 καὶ τὸ *om.* α, *exc.* φ ἁλὸc P^x M^o A λειότατα C^p P^x A ...τατον L^a M^o P ω προγενόμενα L^a C^p P^x A πρῶτον M^o ...cγενόμενον P ω 2. 3 ἑκάcτου — ἀμόλυντον *om.* M^o ἕκαcτα L^a ἕκαcτον C^p P^x A ω *om.* P 4 *ante* χάλκ.: τὴν P^x A 5 ...βαλε P^a C^p M^o A S 7 Cμήγματα ψ πρὸc ἀχ. *om.* L^a *post* ἀχ.: καὶ πιτυριάcειc καὶ τραχύτηταc καὶ ψωριάcειc ω 7. 8 καὶ οὐλῆc — διαθέcεωc *om.* ω παντελῶc οὐλῆc γενομένηc *Ald.* ἐπιγενομ. P^a ἀναcκ.] μετάθεcιν *Ald. Gal.* 9 βαλανείοιc A ω 10 Cμῆγμα — ψωριάc. *om.* P ω 11 β̄ | ᾱ c P 12 cμύρνηc] ʒʒ M^o ζιγγιβέρεωc C^p ω ᾱ | β̄ P^a χ ψ 13 *post* βαλαν.: Ἄλλο περὶ πιτυριάcεωc καὶ πρὸc ψυδρακίαν καὶ ἐξανθήματα τῆc κεφαλῆc — cὺν ὄξει καὶ ἐλαίῳ λειώcαc ἐπέτυχον ἀεὶ εἰc τὸ αὐτὸ πάθοc P^x 14 Πρὸc — πάθη] Περὶ ὤτων καὶ τῶν ἐν αὐτοῖc γιγνομένων παθῶν — Περὶ πόνου ὤτων P^x 16 *post* φλεγμ.: ἢ α, *exc.* L^a 18 *post* διέξοδον: γίγνεται δὲ καὶ διὰ ἄμετρον ψῦξιν μετὰ τοῦ φυcώδουc πνεύματοc — χωρὶc βάρουc ἢ διατάcεωc ἢ πυρώcεωc τοῖc θερμαίνουcι P^x 19. 20 Πρὸc τὰc — θερμαίνοντα *om.* P^x οὖν *om.* L^a 20 θεραπεύειν P^x A *post* τάχιcτα: καί τιναc τῶν ἀγροίκων οἶδα διαγλύφοντάc τι τῶν μεγάλων κρομύων, εἶτα πληροῦνταc ἐλαίου καὶ θερμαίνονταc ἐν cποδιᾷ θερμῇ cυμμέτρωc, ἐγχέονταc τοῖc ὠcίν, τινὰc δ᾽ ἐν ἐλαίῳ ζεννῶνταc οὐ κρόμυον μόνον ἀλλὰ καὶ cκόροδον εἶθ᾽ οὕτωc ἐγχέονταc *(Gal. v. supra in font. 600, 9—13)* P^a 20. 21 κρόμυον — πάcαc *om.* P^a 21 cκόροδον P^x P ἐν L^a *tantum* καὶ ἐκχυθὲν χ καὶ ἐγχ. ψ *om.* P^a ω 22 *post* δέ: τοῦτο ἐν Ἀλεξανδρίᾳ ὑπό τινοc νεανίcκου ἀλγοῦντοc τὸ ὠτίον cφόδρα ἔλαβον P^x παντ. *om.* P^x ὀλίγῳ A ...ου P^x P ω ἐλαίῳ — χρῶμαι ἢ] καὶ ἔλαιον διαλύcαc ὁμοῦ ἐπὶ τοῦ ἀκουcτικοῦ πόρου τοῦ

πεπέρεως ἀκριβέστατα λελειωμένου μετὰ οἴνου καὶ ἐλαίου· ὠφελεῖ δὲ καὶ τὸ ἀμαράκινον καὶ ἡ ἀρίστη νάρδος καὶ τὸ δαφνέλαιον καὶ τὸ πήγανον ἐλαίῳ γλυκυτάτῳ ἑψηθὲν ὀνίνησι μεγάλως.

οϛ Πρὸς τὰς ἐξ ὕδατος φαρμακώδους ὀδύνας τοῦ πόρου τοῦ ὠτός. ὅταν δὲ φαρμακῶδες ὕδωρ περιέχοιτο κατὰ τὸν ἀκουστικὸν πόρον, συνεχῶς ἔλαιον ἐγχεῖν προσήκει, ἐκκλύζοντας τὸ οὖς καὶ δι' ἐρίου μαλακοῦ ἀπομάττοντας, εἶτ' αὖθις ἐγχέοντας. παρηγορεῖ δ' αὐτοὺς μεγάλως ὠοῦ τὸ λεπτὸν καὶ λευκὸν μετὰ γάλακτος γυναικείου χλιαρὸν ἐγχεόμενον· πάντα γὰρ ἔστω μετρίως θερμὰ τὰ προσαγόμενα. ὠφελεῖ δὲ αὐτοὺς καὶ τὸ χήνειον στέαρ· ἄκρως δὲ καὶ ὁ διὰ τοῦ στόματος ἐκμυζησμὸς ἐπισπᾶται τὸ ὕδωρ· ἢ καλάμῳ ἐκμυζήσας ὡς διὰ σίφωνος, ἔνσταζε χυλὸν κρομύου μετὰ χηνείου στέατος· παρηγορεῖ γὰρ πάνυ. εἰ δέ τις καὶ ἐφ' ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον οὖς ἅλλοιτο, παρεγκλίνων πως ἑαυτόν, ἐκκρίνεται ῥᾳδίως τὸ ὕδωρ.

οζ Πρὸς τὰς ἐν ὠσὶν ὀδύνας διὰ πάχος χυμῶν. εἰ δὲ ἡ ὀδύνη τοῦ ὠτὸς μετὰ βάρους τῆς κεφαλῆς γένοιτο, παχεῖς καὶ φλεγματώδεις αἴτιοι τῆς ὀδύνης χυμοί. διάγνωσις δέ σοι γιγνέσθω καὶ ἐκ τῆς προγεγενημένης διαίτης. νίτρον οὖν καὶ ἀφρόνιτρον τοῖς ὠτικοῖς μίξας φαρμάκοις καὶ λευκὸν καὶ μέλανα ἐλλέβορον ἀμύγδαλά τε πικρὰ καὶ ἀριστολοχίαν τὴν παροῦσαν καὶ σικύου ἀγρίου καὶ βρυωνίας ῥίζαν καὶ κενταυρίου τοῦ μεγάλου ῥίζαν καὶ τοῦ μικροῦ τὴν κόμην καὶ ἶριν καὶ κασσίαν καὶ καθόλου πάντα τὰ πικρά, ἀδήκτως καὶ ἀλύπως καθαίρει τοὺς πόρους καὶ διαρρύπτει καὶ τέμνει τὰ ἐμπεφραγμένα τῶν παχέων ὑγρῶν.

4—10 Πρὸς τὰς — στέαρ | 15—24 εἰ δὲ ἡ ὀδύνη — ὑγρῶν *Gal. de comp. m. s. l. ib. (ib. 601, 6—13, 605, 7—8, 14—606, 6, 8, 15—607, 1) de rem. parab. ib. (ib. 331)* Πρὸς — ὕδωρ *(11)* | 13. 14 εἰ δέ τις — ὕδωρ *Or.*^{e} *ib. (ib. 14—19, 21—22, 19—21)* 15 εἰ δὲ ἡ ὀδύνη — ὑγρῶν *(24) cf. Paul. III 23 (188, 1—14)*

ὠτὸς ἐπιβάλλων καὶ ἄνωθεν ἔριον ἐπιθείς, ἰάθη παραχρῆμα. ὁμοίως δὲ ὠφελεῖ καὶ P^x ἢ] καθάπερ καὶ P^a *(Gal.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ...βεστάτου M^o S ...τάτως A A^t μετὰ — ἐλαίου *om.* P^a C^p 2 νάρδος] σκευὴ τοῦ νάρδου καὶ τοῦ κόστου καὶ τοῦ ὀποβαλσάμου P^x καὶ τὸ δαφνέλ. *post* πήγανον P^x *om.* C^p P 3 *ante* ἐλαίῳ: καὶ, *post*: παλαιῷ P^x *post* μεγάλως: καὶ τὸ καρύινον ἔλαιον καὶ τὸ ἀμυγδάλινον — εἶθ' οὕτως ἐπάνω τούτου τὸ ἔμπλαστρον. Ἄλλο. ἰσχάδας ἁπαλὰς βρᾶσον κτλ. P^x 4—14 Πρὸς τὰς — ῥαδίως τὸ ὕδωρ *v. adnot. ad l. 24* P^x φαρμακώδεις P^x ω 6 προσῆκεν χ A S 7 ἐκχέοντας C^p ἐκλύοντας M^o ἐκλύζοντας A δ' (δὲ) *om.* P^a P^x P ω αὐτοῖς L^a C^p M^o A 8 λευκὸν καὶ λεπτὸν P^a χ A γυναικ. *om.* M^o S 9 προσφερόμενα ω *(Or.)* 11 ...μυζυθμός P^a ....ζηθμὸς *corr.* ..ζησμὸς *ut vid.* P ...ζηθμὸς χ A ω 13 τῷ] τὸ φ A^t τοῦ M^o P^x A S *om.* C^p *correxi ex Or.* 14 ...εκκλίνων L^a ...ἐγκλίνον C^p P^x *post* ὕδωρ: Πρὸς τὰ ἅμα φλεγμονῇ ἕλκη. λυκίου καὶ μήκωνος ἴσα τρίψας μετὰ μέλιτος ἢ ἀφέψημά τινος τῶν ἀποκρουστικῶν οἷον φακῆς ἢ ῥόδων *sqr.* Πρὸς ῥύπου σκληρότητα — θερμάνας *p. 223, 1—6* P^x 15 ἡ *om.* ψ ω 16 *post* γένοιτο: πνεῦμα φυσῶδες ἢ M^o *(cf. Gal.)* 17 γενέσθω ω ἔστω P καὶ *om.* P^a A^t 18 μίξεις P^a C^p ψ ...οις P^x M^o ω 20 ἀριστολοχιῶν χ P ω συκίου C^p A 22 καθόλου] ἁπλῶς ω ἀλύπ. κ. ἀδήκτ. P^x A 24 *post* ὑγρῶν: ἐὰν δὲ σύν^{T} ὠτὸς καὶ ἡ κεφαλὴ βάρος ἔχῃ διὰ τῶν πνευμάτων — διὰ τῆς ἱερᾶς Γαληνοῦ *sqr.* Πρὸς τὰς — ῥαδίως ὕδωρ *(ll. 4—14)* P^x

οη Περὶ τῶν ἐν ὠcὶ ῥύπων. νάρδινον μύρον χλιάνας ἔνσταζε καὶ τῇ ἑξῆς διὰ κυαθίσκου μηλωτρίδος τὸ προχειρότερον ἐκκάθαιρε καὶ πάλιν ἔγχεε τὴν νάρδον· εἰ δὲ cκληρὸς ὁ ῥύπος εἴη, νίτρον ὀπτήσας καὶ λειότατον ποιήσας ἔμπλασσε εἰς τὸ οὖς καὶ ἐπίσταξον ὄξος θερμὸν καὶ ἔριον προσθείς, ἔα διανυκτερεῦσαι, τῇ δ' ἑξῆς κλύζε ὕδατι καὶ ἐλαίῳ θερμάνας.

οθ Περὶ τῶν ἐν ὠcὶν ἤχων. οἱ ἐν τοῖς ὠcὶν ἦχοι ὡς ἐπίπαν φυσώδους πνεύματός εἰσιν ἔκγονοι, γίγνονται δέ ποτε καὶ δι' ἀκρίβειαν τῆς ἀκουστικῆς αἰσθήσεως ἐκ τῶν ἀναθυμιάσεων. ἡ δὲ διάγνωσίς σοι ἔστω πρῶτον μὲν ἐκ τῆς κράσεως καὶ τῆς ἕξεως τοῦ ἀνθρώπου, ἔπειτα δὲ κἀκ τῆς προγεγενημένης διαίτης πάσης [εἶδος ἔχουσαι παχὺ καὶ γλίσχρον]. καὶ τὸ κατὰ βραχὺ δὲ συστῆναι τὸν ἦχον ἢ ἀθρόως γενέσθαι συντελεῖ τι πρὸς τὴν τῆς διαθέσεως εὕρεσιν· ἔτι δὲ τὸ διαλείμματα ποιεῖν ἢ παραμένειν τὰ συμπτώματα διηνεκῶς, ἀκριβὴς δὲ διάγνωσις αὕτη σοι γενέσθω. ἐὰν γάρ τις ὑπονοήσας ⟨ἐπὶ⟩ πνεύματι φυσώδει διέξοδον οὐκ ἔχοντι γίγνεσθαι τὸν ἦχον τὰ τέμνοντα καὶ λεπτύνοντα προσφέρων μηδὲν ἀνύῃ, μετὰ τοῦ καὶ ἀποφλεγματισμοῖς χρῆσθαι, τότε δι' ἀκρίβειαν αἰσθήσεως στοχάζοιτο γίγνεσθαι τὸν ἦχον. ἐγὼ δὲ ἐπὶ τῶν τοιούτων προσπλέκω τῶν ναρκούντων τι τὴν αἴσθησιν, οἷον μανδραγόρου χυλὸν ἢ ὄπιον βραχύτατον ἢ ἔλαιον ἐναφεψημένων αὐτῷ γῆς ἐντέρων ἐκχέω. πρὸς δὲ τοὺς ἐπὶ πνεύματι φυσώδει συνισταμένους ἤχους χρήσιμά ἐστι τὰ τοιαῦτα. Ἀπολλωνίου πρὸς τοὺς ἐξαίφνης γινομένους ἤχους καὶ βόμβους καὶ συριγμούς. ὄξος δριμύτατον θερμαίνων ἔνσταζε ἢ ὄξος μετὰ ῥοδίνου θερμαίνων ἔγχει· εἰ δ' ἐπιμένοι, κύμινον πήγανον ἄνηθον καὶ μελάνθιον ἑψήσας τῷ ὄξει καὶ ἐπιβαλὼν τῷ ῥο-

3—9 νίτρον—ἀναθυμιάσεων | 12—15 καὶ τὸ κατὰ—γενέσθω *Gal. de comp. m. s. l. ib. (ib. 659, 5—8, 642, 10—12. 14, 643, 7—10)* νίτρον—θερμάνας *(6) Gal. de r. p. II 3, 19 (XIV 407, 3—6) Or.° IV 41 (453, 7—8) cf. Paul. III 23 (I 180, 24—25)* 15—20 ἐὰν γάρ τις—χυλὸν | 22. 23 πρὸς τοὺς—ἤχους | 23. 24 ὄξος—μετὰ ῥοδίνου |

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 Πρὸς ῥύπου σκληρότητα P^x *[p. 222, 14 adnot.]* A Πρὸς τὸν ...ῥύπον P^a C^p M^o P ω 2 ἐκκάθαρε C^p P A^t 3 ἔγχει P^a ἔκχεε C^p A^t ὁ ῥύπ. εἴη] ὁ τόπος εἴη ἢ ὁ ῥύπος A^t *(Ald.)* λίτρον C^p P 4 ὄξους P^x *om.* A 6 *post* θερμάνας: ἄλλο. καρδαμώμου καὶ νίτρου βραχὺ μετὰ ἰσχάδων ἀναλάμβανε κτλ. *et capp.* Πρὸς ἐμμασμένα ὦτα | Περὶ ψηφιδίων ἐν τοῖς ὠσὶν ἐμπιπτόντων | Περὶ ἤχων ὤτων κτλ. Ἀετίου Ἀμηδινοῦ P^x 8 ἔγγονοι P^a P^x A A^t δέ *om.* ω 11 κἀκ] καὶ L^a ἐκ P^a προγεγεγραμμένης L^a γεγενημ. P^x 11. 12 εἶδος—γλίσχρον] εἶδ. ἐχούσης παχὺ (τι *add.* M^o S) κ. γλίσχ. P^a M^o *om.* C^p A^t *1^a m.* S *delevi* 12 ἢ] τοῦ C^p καὶ A^t 13 δὲ] τε P^a C^p M^o ω τὸ] τὰ L^a καὶ τὸ A τῶ P^a A^t *om.* P^x 14 τὸ σύμπτωμα α, *exc.* L^a 15 γιγνέσθω P^a χ ψ ἐκ πνεύματος φυσώδους P ἐπὶ *addidi ex Gal.* φυσῶδες P^a P^x ω 16 γενέσθαι ω 17 ἀνύει φ P^x ω ...η *corr.* ...ει M^o 19 ....πλέκων C^p ...πλέκων τι P^a A τι *om.* P^a M^o ψ ω 20 ....φεψημένον L^a χ A^t 21 ἐγχέων P^x P A^t ...έσθω S ...χέω C^p M^o A ἐπὶ] ἐν L^a A A^t 22 *ante* Ἀπολλ.: Ἀπολωνίου ποιητοῦ P^x 23 θρόμβους P^a A^t 24 ἔγχεε P^x ἔνσταζε S *(Ald.)* ...μένει P^x A S 25 ἄνηθ. κ. μελάνθ. *om.* C^p P μελάνθην P^x ω τῷ] σὺν τῶ ω σὺν *Ald.* 25—*p. 224, 1* τὸ ῥόδινον C^p M^o ψ S

δίνῳ χρῶ. ἢ cικύου ἀγρίου ῥίζης χυλὸν ἔγχει ἢ αὐτὴν ἕψε τῷ ἐλαίῳ· εἰ δ᾽ ἐπιμένοι πλείονα χρόνον, χρῶ πᾶςι τοῖς πικροῖς καὶ δριμέςι καὶ λεπτυντικοῖς καὶ διαφορητικοῖς τοῖς πρὸ βραχέως ἀναγραφεῖςιν ἐπὶ τῶν διὰ πάχος χυμοῦ ὀδυνωμένων, ἕκαςτον ἑψῶν ςὺν ὄξει καὶ μέλιτι προςπλέκων. ποιεῖ δὲ πρὸς τοὺς κεχρονιςμένους ἤχους καςτόριον καὶ ναρδόςταχυ ἴςα μετ᾽ ὄξους καὶ ῥοδίνου. Ἄλλο πρὸς ἤχους χρονίους. ςτρουθίου κρόκου καςτορίου ἀφρονίτρου ἐλλεβόρου λευκοῦ ἴςα ὄξει λείου καὶ ποίει τροχίςκους καὶ χρῶ ςὺν οἴνῳ. ἐπὶ δὲ τῶν ἐκ νόςου ἤχων ἀψινθίου ἀφεψήματι πυριάςας ἢ ὄξος μετὰ ῥοδίνου ἔγχει ἢ ῥαφάνου χυλοὺ μετὰ ῥοδίνου ἢ ἀλόην καλλίςτην μετὰ οἰνομέλιτος· εἰ δ᾽ ἐπιμένοι, ἐλλέβορον μέλανα ἑψήςας ὄξει χρῶ.

π̄ Πρὸς δυςηκοΐας καὶ κωφώςεις. τοὺς δυςηκοοῦντας καθαρτέον τῇ ἱερᾷ ἢ τοῖς δι᾽ ἀλόης καὶ κολοκυνθίδος καταποτίοις ἀποφλεγματιςτέον τε καὶ τὴν κεφαλὴν ξηραντέον ἅπαντι τρόπῳ καὶ ῥωςτέον· ἔτι δὲ καὶ τῇ λεπτυνούςῃ διαίτῃ χρηςτέον, εἰς αὐτὸ δὲ τὸ οὖς ἐμβλητέον φάρμακα διαιρετικά τε καὶ τμητικὰ καὶ λεπτυντικὰ γλίςχρων τε καὶ παχέων χυμῶν, ὧν ἡ ὕλη ἤδη προείρηται ἐπὶ τῶν διὰ πάχος χυμῶν ὀδυνωμένων. Πυρίαι πρὸς δυςηκοΐας ἐκ τῶν Ἀπολλωνίου. πρὸς δυςηκοΐας τὰς ἐξαπίνης γινομένας καὶ τὰς ἐκ τῶν κεφαλαλγιῶν ἀψίνθιον μεθ᾽ ὕδατος ἑψήςας ἐν χύτρᾳ διὰ καλάμου πυρία, τὸ μὲν ἕτερον πέρας τοῦ καλάμου ἐναρμόςας τῇ κοιλότητι τοῦ ὠτός, τὸ δὲ ἕτερον τῷ τρήματι τοῦ πώματος τῆς χύτρας, ὥςτε τὸν ἀναφερόμενον ἀτμὸν προςπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ. Ἄλλο. δαφνίδας ἢ φύλλα δάφνης ἑψήςας ἐν ὕδατι παραπληςίως χρῶ ἢ πήγανον ἢ ὀρίγανον ἢ ὕςςω-

1—6 ἢ cικύου — ῥοδίνου (3 ἀναγραφεῖςιν *cf. 222, 15*) 8—11 ἐπὶ δὲ τῶν — χρῶ *Gal. de comp. m. s. l. III 1 (ib. 643, 13—644 1, 4—5, 15—645, 11, 14—646, 1)* ἢ cικύου — ἔγχει *Or.° IV 39 (452, 15—17)* 6—10 πρὸς — ῥοδίνου *Paul. III 23 (191, 11—12, 6—7)* 12—17 τοὺς δυςηκοοῦντας — προείρηται | 19—*p. 225, 7* ἀψίνθιον — ὑπογεγραμμένοις *Gal. ib. (ib. 650, 10—16, 654, 3—8, 651, 4—7, 654, 10—13, 16—18, 651, 9—13)* 18 προείρηται *222, 15*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(AP) ω(S A^t) 1 ἢ cικύου (cυκίου) — χυλὸν (. . . οῦ P^x) ἔγχει (ἔγχ. *om.* P^x) ἢ αὐτὴν ἕψε (. . . ει C^p ψ S) τῷ (*pro* τῷ: ςὺν P^a) ἐλαίῳ (ἢ *add.* P^x) *om.* ω 2 *ante* εἰ δ᾽: ἢ κολοκυνθίδος (ἢ *om.* P^x ω . . . θίδα P^x ω) ἐντεριώνην ἕψει τῶ ἐλαίω (*sqr.* καὶ χρῶ: ἢ cικύου ἀγρίου — τῶ ἐλαίω *[l. 1]* A^t) M^o P^x A ω 4 χυμῶν P^x ψ 6—10 Ἄλλο πρὸς ἤχους — μετὰ ῥοδίνου *om.* L^a κεχρονιςμένους P χρονικούς A^t 7 ἀφρονίτρου *om.* C^p P ω 8 λείοι χ A S 9 πυριάςας *sc.* χρῶ *(cf. l. 8)* ἢ *om.* α, *exc.* ω ὄξους A ω 12 *post* δυςηκοοῦντας: εἰ μὲν ἐκ γενετῆς εἴη καὶ μετὰ τὸ τεχθῆναι εἴη — νίτρου ἐλλεβόρου ἀνὰ < ᾱ ποίηςον καὶ χρῶ ὁμοίως· Ἀετίου εἰς τὸ αὐτ⟨ὸ⟩ θεραπ⟨εία⟩. τοὺς δὲ δυςηκοοῦντας P^x *post* ἱερᾷ: πρῶτον Γαληνοῦ P^x 14 τε καὶ *om.* P^x A τε *om.* P^a ἅπ. τε τρ. ῥωςτέον *Gal. (recte?)* 15. 16 *post* φάρμακα: τὰ P τε ω 16 τε *pr.*] δὲ C^p *om.* P^x ψ ω καὶ λεπτυντικὰ *om.* C^p P A^t 17 *post* πάχος: καὶ γλίςχρ⟨ων⟩ P^x χυμῶν *alt.*] χυμοῦ ω 18 *post* Πυρίαι: τοῦ αὐτοῦ ἐκ τῶν Γαληνοῦ πρὸς δυςηκοίας· τῆλ⟨ις⟩ χαμαίμηλον — ὡς εἰρήκαμεν ἔμπροςθεν διὰ τῆς ἱερᾶς. Ἄλλο P^x ἐκ τῶν *om.* A A^t *m. 1ª* S 18. 19 πρὸς δυςηκ. — γινομ.] τὰς δυςηκ. δὲ τὰς ἐξαπ. γιγν. P^x τὰς δὲ (δὲ *om.* P^a A ω) ἐξαπ. γιγνομ. δυςηκ. (δυςηκ. *om.* P^a A) P^a A ω 19 *post* κεφαλαλγ.: ἐκ τῶν Ἀπ̄ολωνίου A 21 μὲν *om.* P^x A 20. 21 πέρας] μέρος C^p P^x A ω 22 πόματος, πώμ. *codd.* 23 Ἄλλο *in marg.* P *om.* ω 24 ἐν] ςὺν P^x A ἢ πήγανον *om.* C^p M^o P ω *(Gal.)*

πον ὁμοίως ἢ θάλασσαν σὺν ὄξει ὁμοίως. ἔστι δὲ κάλλιστον καὶ τοῦτο· οὖρον ταύρου, εἰ δὲ μή, βοὸς ἔχον ὄξους τὸ τρίτον μέρος καὶ μυρσίνας κεκομμένας ἑψήσας ὁμοίως χρῶ. περὶ δὲ τὸ οὖς κύκλον χρὴ ποιεῖν ἐξ ἐρίου, πρὸς τὸ μὴ καίεσθαι τοὺς κύκλῳ τόπους. Κλυσμοὶ δὲ τούτοις ἁρμόζουσιν· ὄξος δριμὺ λευκὸν καὶ ὕδωρ ἴσον καὶ νίτρον λειότατον θερμάνας ἔγκλυζε ἡμέρας πλείους καὶ μετὰ τοῦτο ὕδατι θερμῷ ἀπόπλυνε· καὶ οὕτως ἐγχυμάτιζε τοῖς ὑπογεγραμμένοις. Ἄλλο. θεῖον ἀφεψῶν ὕδατι ἐν χύτρᾳ κλύζε τὸ οὖς συνεχῶς. Ἐγχύματα δὲ πρὸς δυσηκοΐας χρήσιμα· πράσου χυλὸν καὶ ἴρινον μύρον μίξας χλιάνας ἐγχυμάτιζε. Ἄλλο. ἐλλεβόρου μέλανος ῥίζαν λείαν μετ' ὄξους καὶ μέλιτος λεάνας ἐντίθει ἄχρι τῆς ἀκοῆς καὶ ἔα ἐφ' ἡμέρας πέντε. Ἄλλο. αἰγὸς πρόσφατον ἐσφαγμένης ἄρας τὸ κέρας πλήρωσον οὔρου αἰγός, μάλιστα μὲν τοῦ εὑρισκομένου ἐν τῇ κύστει αὐτῆς, εἰ δὲ μή, ἑτέρου τετηρημένου καὶ κρέμασον εἰς καπνὸν ἐπὶ ἡμέρας ἐννέα καὶ χρῶ. Ἄλλο πρὸς δυσηκοΐαν. ἥλους καλιγίων παλαιῶν τὸν ἀριθμὸν ρ̄ βρέχε ἐν οἴνῳ Ἀμιναίῳ ἐπὶ ἡμέρας ζ̄ καὶ ἑψήσας μέχρι βρασμάτων ζ̄ διηθήσας φύλαττε· καὶ ἐπὶ τῆς χρείας θερμάνας ὅσον ἐξαρκεῖ, ἔγχει. τούτῳ κἀγὼ χρησάμενος ἐθεράπευσα κωφόν. Ἄλλο πρὸς δυσκωφίας. ἀσφοδέλου ῥίζαν ἐν ἐλαίῳ ἑψήσας χρῶ· ὠφελεῖ δὲ καὶ τὰς χρονίας δυσκωφίας. κάλλιστον δὲ καὶ σικύου ἀγρίου τῶν ῥιζῶν ἢ τῶν φύλλων ὁ χυλὸς σὺν ὄξει ἐγχεόμενος· ἢ οὖρον αἰγὸς καὶ χολὴν αὐτῆς ἅμα θερμάνας ἐγχυμάτιζε· ἢ καστόριον μετὰ δαφνίδων καὶ ὄξους ἢ ἐλλέβορον μέλανα σὺν ὄξει λεάνας καὶ μέλιτι ἐπὶ πολὺ ἑψημένῳ ἀναλαβὼν ποίει κολλύρια βαλανοειδῆ μικρὰ καὶ ἐντίθει τῷ πόρῳ καὶ ἔα ἡμέρας τρεῖς. Ἄλλο. καρδάμου σπέρματος ὅσον ἐξαρκεῖ καὶ νίτρου βραχὺ σύκου λιπαροῦ σαρκίῳ χωρὶς τῶν κεγχραμίδων ἀναλαβὼν ποίει βαλάνια ἁρμόδια τῷ πόρῳ τῆς ἀκοῆς· καὶ ἐντίθει καὶ ἔα ἡμέρας τρεῖς· τοῦτο

5—7 ὄξος — ὑπογεγραμμένοις | 10. 11 ἐλλεβόρου — πέντε *Or.*^{e} *IV 34 (449, 28—450, 3)* | 9—11 πράσου — πέντε | 19 ἀσφοδέλου — χρῶ | 20—24 κάλλιστον — ἐντίθει *Gal. ib. (ib. 651, 13—14, 652, 3—6, 656, 2—3, 5—6, 3—4, 6—8)* 12—14 αἰγὸς — χρῶ *Gal. de rem. parab. II 3, 11 (XIV 405, 9—11)* 25—*p. 226, 1* καρδάμου — κουφίζει *Or.*^{e} *ib. (450, 3—6)*

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 καὶ τοῦτο κάλλιστον A^t καὶ *om.* A 2 μέρος *om.* M^o ω 2. 3 μυρσίνης κεκομμένης P^x A 3 ὁμ. ἑψ. P A^t ὁμ.^{β} ἑψ.^{α} S 4 *ante* Κλυσμοὶ: Κλυσμοί ω 5 λίτρον $C^p P^x$ P 6 ἔκκλυζε P^a ἔκλυζε M^o ἔγκυζε P^x ἔγγιζε (ἔγ^{κ}ιζε) A 7 Ἄλλο *in marg* P *om.* A ω 8 θεῖον ἀφεψ. (ἐν P^x A) ὕδ. ἐν χύτρα (ἐν χ. *om.* C^p P) κλ. τ. ο. συν. *om.* ω ἐγχύματι P^a ...υμάτιζε P^x ἐν χύτρα P ἔγχυτα (ἀγχύτα A^t) C^p A S *om.* M^o δὲ: τάδε] L^a 9 χρησίμω P^a *om.* P^x χυλὸς C^p ω *ante* χλιάνας: καὶ P^x P χλιάν.] λεάνας ω 10 ἐγχυμ.] χρῶ ω Ἄλλο] *in marg.* P *om.* P^x A^t λείαν *om.* P^x A A^t 12 προσφάτως C^p P ...φαγμένην L^a S ἐπεσφαγμένην A^t *(Ald.)* πλῆσον P^x A 15 Ἄλλο ...δυσηκοΐαν (....ας A)] Ἄλλο A^t *om.* P^x P S 15—18 ἥλους — ἐθεράπ. *post* πυορροοῦντα *(p. 226, 14) transp.* P καλιγγίων M^o 16 βρασμ. ζ *cf. p. 354, 17* 18 κωφ. ἐθεράπ. ω δυσκ.] δυσηκοίαν P^a ...ίας P^x ψ ω 19 δὲ] γὰρ C^p M^o ψ *om.* P^x χρονίους χ P ω 20 δυσκ.] δυσηκοίας P^a ψ 22 καὶ] ἢ P^x A 25 καρδαμώμου L^a C^p P^x ψ καρδάμου *ex* ....μώμου M^o σπέρμα L^a A 26 σαρκὶ P^a C^p M^o A ...κῶν P^x ..ξὶ P ...κίαν ω ..ίου L^a *correxi* κεχρ. L^a C^p P^x ψ ω βαλάνεια P^x S 27 τῆς ἀκοῆς] τοῦ ὠτὸς P^a

ἄγει ῥύπον ἱκανὸν καὶ παραχρῆμα κουφίζει. ἐνίοτε δὲ ἀντὶ τοῦ καρδάμου σίνηπι βάλλομεν. χρῶ αὐτῷ καὶ πρὸς τὸν ἐν ὠσὶ ῥύπον. βοηθεῖ δὲ ἱκανῶς τοῖς δυσηκοοῦσι καὶ σπογγιὰ εἰς λεπτὰ κατατετμημένη καὶ συνεστραμμένη καὶ μέλιτι καταβρεχομένη καὶ ἐντιθεμένη τῷ πόρῳ· τὸ αὐτὸ δὲ χρήσιμόν ἐστι καὶ πρὸς τὴν φυομένην ἐν τῷ ἀκουστικῷ πόρῳ σάρκα περιττήν. Ἄλλο. παντὸς ἰχθύος χολὴ ἐγχυματιζομένη ὠφελεῖ καὶ πέρδικος καὶ αἰγός. Ἄλλο. χολὴ ταύρου μετὰ γήρως ὄφεως λειοτάτου καὶ ὄξους ἀναλαμβανομένη καὶ ἐντιθεμένη τῷ πόρῳ λύει τὰς δυσηκοΐας, ἐνίοτε δὲ μετὰ ῥοδίνου· χρὴ δὲ ἀποπυριᾶν ὕδατι. Ἄλλο. ἐλελισφάκου χυλὸν μετ' ἐλαίου ὀμφακίνου ἔνσταζε εἰς τὸ οὖς καὶ χρῶ. καλὸν λίαν. Ἄλλο. ἐχίνου χερσαίου χολὴν μετ' ἐλαίου ἔγχει. Ἄλλο. ἐλλεβόρου λευκοῦ < δ̄ καστορίου < β̄ ἀφρονίτρου < ᾱ χρῶ μετ' ὄξους καλλίστου. χρῶ δὲ καὶ τῷ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίσκῳ μετ' ὀξυμέλιτος· ἀναγέγραπται δὲ πρὸς ὦτα πυορροοῦντα.

πᾱ Πρὸς φλεγμονὰς ὤτων. τὰς μετρίας καὶ μὴ σφυγματώδεις φλεγμονὰς ἰᾶται ὀξυρόδινον χλιανθὲν καὶ γλαύκιον ἐπ' ἀκόνης ἰατρικῆς ἀποτριβόμενον μετὰ γλυκέος οἴνου καὶ βραχέος ὄξους. εἰ δὲ σφοδροτέρα εἴη ἡ φλεγμονή, παρηγορεῖ μὲν τὰς ὀδύνας τὸ λεπτὸν καὶ λευκὸν τοῦ ᾠοῦ μετὰ γάλακτος γυναικείου ἐγχεόμενον χλιαρόν. κάλλιστον δὲ πρὸς αὐτοὺς φάρμακον τὸ νάρδινον μύρον μετὰ βραχυτάτου φαρμάκου τοῦ βασιλικοῦ ἢ μετὰ χηνείου στέατος ἢ φασιανοῦ. μεγάλης δὲ οὔσης τῆς ὀδύνης ἀναγκαῖον χρῆσθαι τοῖς ναρκοῦσι τὴν αἴσθησιν, τῷ γυναικείῳ γάλακτι καὶ τῷ λευκῷ τοῦ ᾠοῦ μιγνύντας πάνυ βραχύτατον ὄπιον, μιγνύειν δὲ καὶ καστορίου, πρὸς μὲν τὰς σφοδροτέρας ὀδύνας ἴσον, πρὸς δὲ τὰς κουφοτέρας διπλάσιον. ἡμεῖς δὲ καὶ λειοῦντες τὸ ὄπιον καὶ τὸ καστόριον εὖ μάλα μετὰ ἑψήματος ἀναπλάττομεν εἰς τροχίσκους καὶ ἐπὶ τῆς χρείας ἀνέσαντες μετὰ τοῦ ἑψήματος καὶ χλιαίνοντες ἐγχέομεν· χρὴ δὲ μηδὲ ὅλως ψαύειν τοῦ ἀκουστικοῦ πόρου

2—6 βοηθεῖ — περιττήν *Gal. de comp. med. s. loc. ib. (ib. 652, 17—653, 4)* 7—9 χολὴ ταύρου — δυσηκοΐας *cf. Gal. ib. (ib. 652, 6—7)* 12. 13 ἐλλεβόρου — καλλίστου *cf. Gal. ib. (ib. 656, 6 sqq.)* 14 ἀναγέγραπται *cf. p. 222, 9* 17—19 εἰ δὲ σφοδροτέρα — χλιαρόν *Gal. ib. III 1 (XII 602, 6–7)* 19—21 κάλλιστον — βασιλικοῦ *Gal. de rem. parab. I 3 (XIV 331, 8–9)* 21—*p. 227, 6* μεγάλης — ποιεῖν *Gal. de comp. med. s. loc. III 1 (ib. 602, 3–4, 6—12 cf. 14 sqq., 603, 4—15 [nonn. mut. vel breviat.])*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 τοῦ *om.* L^a 1. 2 καρδαμώμου P^x ψ 2 βάλλωμεν P^a ἐμβάλωμεν P^x 3 σπογ. εἰς] σπογγίασις ω ....τεμνομένη ω 7 *ante* ὠφ.: καὶ ἐντιθεμένη τῶ πόρω P^x A γῆρας L^a P^x ω ...ους P^a M^o A 8 καὶ ἐντιθ. *om.* P^a A ω 9 ἐνίοτε L^a ἔνιοι *cett. codd.* 10 *post* ὀμφακ.: ἐν μαλθακῶ πυρὶ χλιάνας P^x καὶ *om.* χ A ω 11 μετ' — ἔγχει] ἔνσταζε εἰς τὸ οὖς P^x 12 β̄] ᾱ S *(Ald.)* 13 ὡς καλλίστω C^p M^o P ω 13. 14 σὺν ὀξυμέλιτι P^x A μετὰ μέλιτος A^t 14 ἀναγέγρ. — πυορροοῦντα] ἔστι δὲ ἡ σκευασία αὐτοῦ τοιάδε· ἀμυγδάλων πικρῶν κτλ. Πρὸς θλάσιν αὐτῶν Πρὸς τὰ ἐν ὠσὶ σαρκώματα ποιητοῦ Ἡρακλείδου Ταραντίνου | Ἀπολλωνίου Μεμφίτου πρὸς τὰ ἐν ὠσὶ σαρκώματα *(p. 230, 8 sqq.; A. Olivieri, Framm. d. Eracl. d. Tar.)* κτλ. P^x 15 *post* ὤτων: τοῦ μεγάλου ῥόμῳ Γαληνοῦ P^x 17 σφοδρο$^{ττ'}$ P ...ότερον S *(Ald.)* 18 λευκὸν καὶ λεπτὸν P^a P^x M^o A 19 *ante* γυναικ.: τοῦ A ω 21 ἢ μετὰ — φασιανοῦ *om.* C^p στέατος χηνείου P^x M^o ψ ω 25 ἴσου φ C^p A ω ἴσσω P^x *post* διπλάσιον: τὸ καστόριον P^x M^o A ω καὶ *om.* α, *exc.* L^a 26. 27 ἀναπλάττομ. — ἑψήματος *om.* C^p ω 28 μηδόλως P^x ψ ω

κατὰ τὸν καιρὸν τῆς ὀδύνης, πυριᾶν δὲ διὰ μηλωτρίδος ἠμφιεσμένης ἐρίῳ μαλακωτάτῳ, βάπτοντες τὸ μετὰ τὴν μηλωτρίδα ἔριον κεχλιασμένῳ τῷ βασιλικῷ φαρμάκῳ μετὰ τῆς νάρδου ἢ ἑτέρῳ τῷ ἐγχεομένῳ καὶ ἐντιθέντες κατὰ τὴν ἀρχὴν τοῦ ἀκουστικοῦ πόρου καὶ συγχωροῦντες ἀπορρεῖν εἰς τὸ βάθος τὸ φάρμακον καὶ συνεχῶς τοῦτο ποιεῖν. πεπληρωμένου δὲ τοῦ πόρου ἐπίφραττε ἄνωθεν ἐρίῳ. εἰ δὲ θέρος εἴη καὶ θερμασίας πολλῆς αἴσθησις τῷ κάμνοντι κατὰ τὸ φλεγμαῖνον οὖς γένηται, διὰ ῥοδίνου καλοῦ γιγνέσθω ἡ πυρία. παραμυθεῖται δὲ τὰς ζεούσας φλεγμονὰς ἐνσταζόμενα χλιαρὰ μετὰ τοῦ ῥοδίνου ἑλξίνης χυλὸς καὶ πολυγόνου καὶ ἀνδράχνης καὶ ξυσμάτων κολοκύνθης, ἀράχναι τὰ ζῷα ἑψόμεναι μετὰ ῥοδίνου καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι ὁμοίως καὶ γῆς ἔντερα ὁμοίως καὶ σίλφης κατοικιτιδίου τὸ ἐντὸς μετὰ ῥοδίνου ἀμυγδάλινον ἔλαιον ὑοσκυάμινον ἔλαιον.

Ὠτικὸν διὰ χυλῶν πρὸς τὰς δυσμεταβλήτους φλεγμονάς, ἐκπτυίσκει γὰρ αὐτὰς ταχέως. κολοκύνθης ξυσμάτων χυλοῦ καλάμου χυλοῦ ὑοσκυάμου χυλοῦ περδικιάδος χυλοῦ κράμβης χυλοῦ ἀνὰ κύαθον α̅ νίτρου ὀπτοῦ σμύρνης κρόκου ἀνὰ < δ̅ νάρδου μύρου Ϝ α̅ στυπτηρίας ὑγρᾶς Ϝ β̅ ὄξους σκιλλητικοῦ Ϝ β̅ μέλιτος καλλίστου λι α̅ ἀναλαβὼν ἀπόθου ἐν ὑέλῳ ἀγγείῳ· καὶ ἐπὶ τῆς χρείας ἀνέσας μετὰ ῥοδίνου ἢ ναρδίνου χρῶ. Ἄλλο πρὸς τὰς χρονιζούσας καὶ δυσμεταβλήτους φλεγμονὰς τῶν ὤτων. χαλβάνης < δ̅ στέατος ταυρείου < δ̅ κηροῦ κολοφωνίας σάπωνος ἀνὰ < γ̅ πίσσης < α̅, προτήξας κολοφωνίαν πίσσαν στέαρ ἐπίβαλλε τὴν χαλβάνην μετὰ τοῦ κηροῦ προμεμαλαγμένην, ἔπειτα

3 τῷ βασιλικῷ—νάρδου *cf. Gal. ib. (ib. 601, 16—18)* 6 πεπληρωμένου—ἐρίῳ | 8 διὰ ῥοδίνου—πυρία | 11—13 οἱ ὑπὸ—ἔλαιον *(alt.) Gal. ib. (ib. 604, 1—3, 8—10, 16, 18—605, 1, 641, 10—12)* 14 Ὠτικὸν διὰ χυλῶν κτλ. *cf. Gal. ib. (ib. 624, 15 sqq., praesertim 634, 6 sqq.)*

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω(S A^t) 1 ἀμφιεσμ. L^a χ A ω 2. 3 κεχαλασμένω P^x S κεχρησμένω A 3. 4 τῶν ἐγχεομένων C^p P ω 4 ἐντιθοῦντες C^p M^o S ...τι P^x ἐντιθέντας P ...έντα A^t 5 συγχωροῦντας P συνεχῶς χρῶντες ὥστε A συγχωροῦνται ω 7 *post* εἴη: ἢ $C^p P^x$ ψ 8 καλῶς $L^a P^x$ A γενέσθω $P^a M^o$ 9 δὲ *om.* ω τοῦ *om.* $P^x M^o$ ψ ω 10 ἀλξίνης P^x ἀλσίνης $C^p M^o$ P ω 11 ἀράχνας (ἀρρ.) ω ἑψούμενα P^a ....ώμενα P^x ...όμενα C^p P ω *post* μετὰ: τοῦ M^o S αἱ P^x A 12 καὶ γῆς—ὁμοίως *om.* L^a ὁμοίως *alt. om.* P^a P A^t σιλφης, ...φιος (A), ...φις *codd.* 13 *post* μετὰ: τοῦ $C^p M^o$ *post* ἔλαιον *alt.*: πυρία ῥόδα ἀνθεμὶς πίτυρα χαμαίμηλον ἢ ἑνὸς τῶν προρρηθέντων ἐλαίων P^x (ἄλλο *in marg.*) Ζογχίου ζωμὸς ἐνσταζόμενος ἢ λεπτοκάρυα καὶ ῥοδακίνων ὀστᾶ τρίψας, δῆσον εἰς πανίον καὶ θερμάνας εἰς τὸ στόμα τοῦ κουκουμένου ἔνσταζε τὸ ἔλαιον αὐτῶν εἰς τὸ ὀδυνώμενον οὖς P 14 ἐκπυεῖ P^x A 15 χυλοῦ *pr*] χυλὸς L^a ω 15. 16 καλάμου—περδικ. *om.* S 15 *post* καλάμ.: τῶν τρυφερῶν φύλλων P^x χυλοῦ *alt.*] χυλὸς $P^a C^p M^o$ S τὸν χυλὸν P^x *om.* A^t 16 χυλ. *pr.*] ...ὸς $L^a C^p$ ω φυλλ' τὸν χυλὸν P^x *om.* A^t περδικ. χυλ. *om.* P^a A περδικίου *(Gal.)* α, *exc.* L^a χυλ. *alt.*] ....ὸς $L^a C^p M^o$ P S ...ὸν P^x *om.* A^t χυλ. *tert.*] ...ὸν P^x ...ὸς φ $C^p M^o$ S *om.* A^t κυάθου ἑνὸς A 17 σμύρν.] ζιγγιβέρεως C^p ω 18 β̅ *pr.*] α̅ S *(Ald.)* 19 ὑιαλλῷ C^p ὑελίνω P^a ψ A^t 19. 20 νάρδου ἢ ῥοδίνου α, *exc.* L^a 20 τὰς *om.* L^a 21 τῶν ὤτων *om.* ω < δ̅ *pr. om. sed post* ταυρείου: ἀνὰ P^x δ̅ *pr.*] ζ̅ ω 22 < *pr.*] ογγ P^a A

τὸν cάπωνα καὶ διηθήcαc χρῶ. ἐπὶ δὲ τῆc χρείαc ὕδατι ἐπ' ἀκόνῃc ἢ cὺν ἐλαίῳ τινὶ ἀνέcαc. Ἄλλο πρὸc τὰc κατὰ τὸ ἄκρον περιωδυνίαc. ἀλόην καλλίcτην οἰνομέλιτι ἀνέcαc ἔνcταζε. Ἄλλο. ἔρια οἰcηπηρὰ ζέcαc ὄξει ἐγχυμάτιζε καὶ αὐτὸ τὸ ἔριον ἐντίθει εἰc τὸ οὖc. εἰ δὲ πραότερον αὐτὸ ποιῆcαι βούλοιο, μετὰ ἑψήματοc καὶ ὄξουc ἕψει τὰ ἔρια.

πβ Πρὸc τὰ χωρὶc ἑλκώcεωc καθυγραινόμενα ὦτα, οἷον διιδροῦντα καὶ ὀρρῶδεc ὑγρὸν ἐκφέροντα. μίcυ ἐν ὀθονίῳ ἐνδύcαc καὶ κρύψαc ἄνθραξι καὶ καύcαc καὶ λεάναc ἅμα τῷ cυγκαυθέντι ὀθονίῳ ἐμφύcα διὰ καλάμου, ἢ κηκῖδα λεάναc καὶ ἐνδήcαc ὀθονίῳ καῖε καὶ χρῶ ὁμοίωc, ἢ cτυπτηρίαν ὀπτήcαc ἐπ' ὀcτράκῳ καὶ λεάναc ἔλαιον προcεγχέαc ἐμφύcα. παυcαμένηc δὲ τελέωc τῆc φλεγμονῆc ἐγχεῖν ὕcτερον εἰc τὸ οὖc καcτόριον cὺν ἐλαίῳ λύειν μηχανωμένουc τὴν ἐκ τῆc κακώcεωc βλάβην.

πγ Πρὸc ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτόc. ὅcα μὲν πρόcφατα τῶν ἑλκῶν τό τε γλαύκιον ἐκθεραπεύει, μόνον ἀποτριβόμενον μετ' ὄξουc καὶ τὰ δι' αὐτοῦ κολλύρια πάντα καὶ τὰ διάκροκα καὶ τὰ διάρροδα καλούμενα. θεραπεύει δὲ αὐτὰ καὶ τὸ Δαμοκράτουc διάcμυρνον. τὰ δὲ πυορροοῦντα χωρὶc ὀδύνηc, ὅcα μὲν μετρίωc τοῦτο πάcχει, διὰ τῶν αὐτῶν θεραπεύεται, τὰ δὲ ἰcχυρῶc πυορροοῦντα διὰ τῶν τροχίcκων, ὁποῖόc ἐcτιν ὁ τοῦ Ἄνδρωνοc καὶ μάλιcτα ὁ τοῦ Μούcα μετὰ ἑψήματοc καὶ ὀλίγου ὄξουc ἀνιέμενοc. νικωμένων δὲ καὶ τούτων cκωρίαν cιδήρου δι' ὄξουc δριμυτάτου λεάναc ἐν ἡλίῳ τοῖc ὑπὸ κύνα καύμαcιν ἀνάπλαccε τροχίcκουc καὶ χρῶ μετὰ ὄξουc. εἰ δὲ οὔκ εἰcι τὰ κυνοκαύματα τὴν cκωρίαν τοῦ cιδήρου λειοτάτην ποιήcαc καὶ λεάναc cὺν τῷ ὄξει ἕψε ἐπ' ἀνθράκων καλῶc ἄχριc ἂν ξηρανθῇ καὶ χρῶ μετ' ὄξουc. Κλυcμοί. ' πολλώνιοc δὲ πρὸc τὰc ἑλκώcειc τῶν ὤτων τοιαῦτα γράφει· οἰνομέλιτι θερμῷ cυνεχέcτερον ἔγκλυζε ἢ μυρcίνην ἕψε cὺν

2. 3 πρὸc τὰc — ἔνcταζε *cf. Gal. ib. (ib. 622, 4—6)* 3. 4 ἔρια — οὖc *cf. Gal ib. (ib. 617, 10—11)* 7—11 μίcυ — ἐμφύcα | 14—22 ὅcα — ὄξουc *Gal. ib. (ib. 650, 1—5, 608, 15—609, 9)* μίcυ — ἐμφύcα | 15 γλαύκ ον — ὄξουc 17—19 τὰ δὲ — θεραπεύεται *Or.° IV 42 (453, 10—1) 38 (451, 25—26, 27—28)* 17 τὸ Δαμοκράτουc διαcμυρνον *cf. VII c. 112* 19. 20 τὰ δὲ — Ἄνδρωνοc | 21—23 νικωμένων — ὄξουc *Or.° ib. (451, 26—27, 28—30)* 20 ὁ τοῦ Ἄνδρωνοc καὶ μάλιcτα ὁ τοῦ Μούcα *cf. XIV 50* 26—*p. 229, 2* Ἀπολλώνιοc — χλιαρῷ *Gal. ib. (ib. 647, 11—16)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 δὲ *om.* P^a C^p P^x ψ ω 2 τινὶ *om.* P^x A *post* ἀνέcαc: παυcαμένηc δὲ τῆc φλεγμ. — βλάβην *(ll 11—13) transp.* P^x A Ἄλλο *om.* χ ψ ω κατὰ — ἄκρον | ἄκρωc P^a κατὰ μικρὸν C^p P^x A κατ' ἄκρον M^o P ω 3 Ἄλλο *om.* P ω ὑccηπ., ὑ ηπ., ὑccιπ., ὑccωπ., οἰcυπ., οἰccυπ. *codd.* 4 ἐντιθεὶc φ 5 ἀφέψει χ ψ ω τὰ ἔρια *om.* ω 6 *ante* οἷον: καὶ P^x A 7 ὀρῶδ. C^p M^o ὀροειδεὶc P^x ὀδοειδὲc A ἐνδήcαc C^p M^o P S ἐν ᾧ δήcαc P^x δήcαc P^a καινῷ δείcαc A 8 καὶ *alt om* C^p M^o P ω ἐμφύcα, ...cca *codd.* 9 κικίδα L^a C^p M^o ψ κικκ. P^x κικίδαc ω ἐνωδήcαc P^x ἐνδύcαc A^t 10. 11 προεγχέαc χ ψ S 11—13 παυcαμ. — βλάβην *(v antea l 2) om.* φ C^p M^o P ω 15 ἀποθεραπ. ω 17 τὰ .... διάcμυρν*a* C^p P Δημοκρ. L^a *post* διάcμυρνον: ἔcτι δὲ ἡ cκευαcία τῶν κολλυριαcτῶν ἤτοι τῶν κολλυρίων αὕτη — cτυπτηρίαν διπλῆν ἔμβαλε καί ἐcτιν ἐνεργεcτέρα P^x 21 ἐνιέμ. L^a P^x ω *post* ἀνιέμ.: cκευαcία τοῦ Ἄνδρωνοc τροχίcκου *spat. sqr vac. trium linearum, inde* νικωμένων *etc* P^x 22 δι'] μετ' P^a P 23—26 εἰ δὲ οὔκ — μετ' ὄξουc *in marg* M^o εἰ δὲ οὔκ — Κλυcμοί *(26) om.* φ C^p P 26 Κλυcμοί *om.* P^x A 27 ἔκκλυζε ω

τῷ οἴνῳ καὶ χρῶ. εἰ δὲ δυςώδες εἴη τὸ φερόμενον, cίδια ῥόας καὶ φακὸν ἑψήςας τῷ οἴνῳ κλύζε χλιαρῷ. Ἐγχυτὰ δὲ μετὰ τοὺς κλυςμοὺς ἁρμόδια· χολὴν βοὸς ἢ μάλιςτα χοίρου ἐν ςιδίῳ ῥόας χλιάνας ἔνςταζε· τὸ αὐτὸ δὲ ποιεῖ καὶ αἰγὸς χολὴ καὶ ἰχθύος παντός. Ἄλλο κάλλιςτον. ςτυπτηρίαν ςχιςτὴν λεάνας μετὰ ἑψήματος καὶ ὄξους ἕψε ἐπὶ θερμοςποδίᾳ, ἕως ςχῇ μέλιτος πάχος καὶ χρῶ. ποιεῖ καὶ πᾶςα ςτυπτηρία μετὰ πολυγόνου χυλοῦ καὶ ἡ Ἐραςιςτράτου πάγχρηςτος ὑγρά. ἀναγέγραπται δὲ ἐν τοῖς ὀφθαλμικοῖς. Ἄλλο. ςτυπτηρίας ςχιςτῆς κρόκου κηκίδων ἴςα χρῶ ςὺν οἴνῳ αὐςτηρῷ. Ἡρᾶ ὠτικὸν πρός τε ὀδύνας τὰς μεγάλας καὶ πύον λευκόν. ἀμύγδαλα πικρὰ λελεπιςμένα κ̄ᾱ ἀφρονίτρου λευκοῦ < γ̄ λιβάνου < γ̄ ὀπίου < γ̄ κρόκου < δ̄ χαλβάνης < β̄ ςμύρνης < ᾱ ἀλόης < δ̄ ὄξει λειώςας ἀναλάμβανε, ποίει τροχίςκους καὶ χρῶ, ὀδύνης μὲν οὔςης ῥοδίνῳ διείς· πυορροούντων δὲ οἰνομέλιτι ἢ ὄξει καὶ ἑψήματι, δυςηκοΐας δὲ οὔςης ςὺν ὄξει. Ἄλλο πρὸς τὰς χρονίας ἑλκώςεις. ἀλόης λιβάνου ςμύρνης ἀνὰ < δ̄ μίςυος < β̄ δι᾽ ὄξους ἀνάπλαςςε τροχίςκους καὶ χρῶ ἀνεὼν ςὺν ὄξει καὶ ῥοδίνῳ.

Πρὸς φθορὰς καὶ δυςωδίας ὤτων. προκλύςας τῷ ἀφεψήματι τῶν πδ̄
ςιδίων καὶ φακοῦ, ὡς προείρηται, χρῶ τοῖς ὑπογεγραμμένοις· ςτυπτηρίας Μιληςίας λι ᾱ χαλκάνθου < η̄ ςμύρνης < η̄ ἀλόης < η̄ κροκομάγματος < η̄ οἴνου γλυκέος μυρςίτου ⳨ γ̄, ἕψε ςτυπτηρίαν μετὰ τοῦ γλυκέος καὶ ὅταν ςυςτῇ, ἐπίβαλλε τὰ λοιπὰ ὄξει προλειώςας καὶ ἑνώςας χρῶ μεθ᾽ ἑψήματος καὶ ὄξους. Ἄλλο πρὸς πυορροοῦντα καὶ δυςώδη. ἄρκτου χολὴν ἔνςταζε· εἰ δὲ ξηρὰ εἴη, ἀνέςας μετὰ ὄξους καὶ ἑψή-

3. 4 χολὴν βοὸς — αἰγὸς χολὴ *Gal. ib. (ib. 648, 4—5) cf. Gal. de rem. parab. I 3 (XIV, 333, 17—334, 1)* 5. 6 ςτυπτηρίαν — χρῶ *Gal. de comp. med. s. loc. ib. (ib 648, 13—14)* 7 ἡ Ἐραςιςτράτου πάγχρηςτος ὑγρά κτλ. *cf. VII 101* 9—14 Ἡρᾶ — ὄξει *Gal. ib. III 1 (ib 610, 3—11)* 15—17 ἀλόης — ῥοδίνῳ *cf. Gal. ib. (ib. 636, 13 sqq.)* 19 ὡς προείρηται *cf. supra l. 1* 19—*p. 230, 1* ςτυπτηρίας — χρῶ |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 1 ῥοιᾶς ω 2 τῷ] ςὺν P^x *om.* A^t Ἐγχυτὰ *supra scr.* ἐγχύματα *m. 2ª* P^a ..χύματα P ω 3 *post* ἁρμ: ταῦτα P^a οἷον P^x χολὴ $C^p M^o$ ψ A^t ...ῆς P^x χοιρίου P^x ...ρία A 4 τοῦ ἰχθύου τοῦ κωβιοῦ, ὁμοίως δὲ καὶ παντὸς ἰχθύου P^x *post* παντὸς: ῥοδίνω προςμιγνυμένων (...γνύμενα A^t) ω 5 ...ςποδίας $C^p M^o$ A ...δίαν P^x 6 *post* ποιεῖ: δὲ P^x ω 7. 8 ἀναγέγ. — ὀφθαλμ.] αὕτη γὰρ μέλλει ἀναγράψαι ἐπὶ τοῖς ὀφθαλμικοῖς πάθεςιν P^x 8 ςτυπτηρίαν ςχιςτὴν φ M^o 9 Ἥρα (*post* λευκὸν *transp.* M^o)] Ἄλλο S *om.* $C^p P^x$ A A^t *ante* πρὸς: δόκιμον $P^a C^p$ P ω 10 τὰς *om.* P^x A κ̄ᾱ] κ̄ χ P S η̄ A^t *(Ald. Gal.)* 11 < γ̄ *pr. om.* P^x P < γ̄ *alt. om.* $P^a P^x$ P *sed post* ὀπίου: ἀνὰ P^x P γ̄ *tert*] δ̄ P δ̄] ᾱ C^p 12 β̄] δ̄ A ᾱ P ςμύρνης] ζιγγιβέρεως ω δ̄] ᾱ A^t λειοῖς L^a χ λειῶν P^a λεῖα P λεάνας A^t ποίει *om.* φ χ ψ 13 *ante* ῥοδίνῳ: ςὺν ω διείς *om.* ω 14 Ἄλλο *om.* L^a P S 16 τροχ. *om.* χ ψ ω ἀνιὼν A ἀνιεὶς P 17 *ante* πρὸς: Ἀπολλωνίου S *post* ὤτων: Πρὸς φθορὰς — ὤτων *rep.* $C^p M^o$ S προκλύςας (προςκλ. $L^a P^x$) τ. ἀφεψήμ.] ἀφεψήμ. προςκλ. ω 19 φακῶν P^a ψ ...οὺς P^x ω προγεγρ. ω 20 Μιληc.] ςχιςτῆς ω χαλκανθ′ $P^a M^o$ P S ...θης $P^x A^t$ η̄ *pr.*] δ̄ P ᾱ A^t *om.* P^x ςμύρνης] ζιγγιβέρεως C^p ω < η̄ *alt. et tert. om.* P^x *tert. om.* P *sed post* κροκομάγμ.: ἀνὰ P^x P 21 μυρτίτου χ ψ A^t 22 ...βαλε $C^p M^o$ 23 *post* πρὸς: τὰ χ ψ 24 ἄρκου χ ψ ω ἀνιεὶς P^x ἑνώςας A^t

ματος χρῶ· ἄκρως γὰρ ποιεῖ. Αἰγυπτία πρὸς τὰς προειρημένας πάσας διαθέσεις, κἂν ὦσι συγγεγενημέναι. ἀμυγδάλων πικρῶν πεπέρεως λευκοῦ κυάμων Αἰγυπτίων τοῦ ἐντὸς ἀνὰ < β̄ κρόκου σμύρνης ὀπίου λιβάνου καστορίου ἀνὰ < β̄ ὀμφακίου < δ̄ χαλκάνθου < δ̄ ἀφρονίτρου < β̄ ὄξει λείου ἐναφεψημένων αὐτῷ σιδίων καὶ ἀναλάμβανε τὸ φάρμακον, ὡς ἔχειν γλοιοῦ πάχος· ἐπὶ δὲ τῆς χρείας λαβὼν τὸ αὔταρκες ἐκ τοῦ φαρμάκου καὶ μύρῳ ἀνέσας ναρδίνῳ ἐγχυμάτιζε.

πδ′ Πρὸς τὰ ἐν ὠσὶν ὑπερσαρκώματα. πρὸς τὰ ὑπερσαρκοῦντα ἐν ὠσὶν ἕλκη Ἡρακλείδου Ταραντίνου. ἰοῦ < η̄ λεπίδος χαλκοῦ < δ̄ [ἢ ἐλλεβόρου μέλανος] μέλιτος κοτύλης c̈, τουτέστιν ℥ θ̄, τὰ ξηρὰ λειότατα τῷ μέλιτι ἀναλαβὼν ἕψε ὡς ἐρυθρὸν γενέσθαι καὶ ἀνελόμενος χρῶ ἐντιθεὶς κατὰ τοῦ ὑπερέχοντος τόπου. Ἄλλο. ἰοῦ < δ̄ χαλκάνθου < δ̄ πρασίου χυλοῦ κυάθους γ̄ μέλιτος τὸ ἱκανὸν σκεύαζε καὶ χρῶ, ὡς εἴρηται. Ἄλλο Ἀπολλωνίου Μεμφίτου. καταστέλλει πᾶσαν ὑπερσάρκωσιν χωρὶς πόνου. στυπτηρίας σχιστῆς ℥ δ̄ μίσυος κεκαυμένου ℥ δ̄ ἰοῦ ℥ β̄ Λημνίας σφραγῖδος ℥ β̄ κόμμεως ℥ β̄ ὄξει λείου καὶ ἀνάπλασσε τροχίσκους καὶ χρῶ σὺν ὕδατι ἢ οἴνῳ. καταστέλλει καὶ ἐπουλοῖ· ποιεῖ καὶ πρὸς μυκτῆρας ἡλκωμένους ἐξ οἱασδήποτε αἰτίας.

πε Πρὸς σκώληκας ἐν ὠσί. σκώληκας ἐν ὠσὶν ἢ γεννηθέντας ἢ ἔξωθεν ἐμπεσόντας ἀποκτείνει τὰ πικρὰ καὶ τὰ δριμέα καθόλου, οἷον καππάρεως φύλλων χυλὸς κεδρία οὖρον ἀνθρώπειον παλαιόν, σὺν μέλιτι ἕκαστον ἢ ἀριστολοχίαν λείαν ἐμφύσα ἢ καλαμίνθης χυλὸν ἔγχεε ἢ ἐλλέβορον λευκὸν ἢ κολοκυνθίδος ἀφέψημα ἢ κενταυρίου ἢ ἀψινθίου ἢ πολίου μετ᾽ οἴνου ἢ σκορδίου ἢ πράσου ἢ ἐλατήριον μετὰ ὄξους. ποιεῖ δὲ καὶ μαλάχης ἡμέρου καὶ ἀγρίας ὁ χυλός, μάλιστα ἐπὶ τῶν φλεγμαινόντων.

1—14 Αἰγυπτία—εἴρηται *Gal. ib. (ib. 638, 2—6, 639, 5—13, 638, 6—12)* 9 Ἡρακλείδου Τ. *cf. Deichgraeber, Griechische Empirikerschule frg. 222* 21—24 καππάρεως—ἀψινθίου *cf. Gal. ib. (ib. 658, 10, 12—13, 16, 18, 642, 6) de rem. parab. I 4 (XIV 334, 5—7) II 17 (ib. 406, 14) Or.ᵉ IV 40 (453, 1—5) Paul. III 23 (I 190, 14 sqq.)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 εἰρημ. S *(Ald.)* 2 γεγενημ. M^o ω *post* πικρῶν: < β̄ P^a C^p M^o A S δ̄ P 2. 3 *post* λευκοῦ < β̄ P^a C^p M^o ψ ω 3 τὸ φ P^x P ω ἀνὰ *om.* α, *exc.* L^a 4 ὀμφάκου P^a P S < δ̄ *pr. om. sed post* χαλκ.: ἀνὰ P^x P ....χαν$^{θ'}$ P^a P^x M^o P ...άνθης ω 5 λείοι χ A ω ...φεψημένου C^p A^t ἐφεψημένων S 7 *ante* ναρδ.: ἢ P^x A ναρδ.] ῥοδίνῳ P ω 8—18 Πρὸς τὰ—αἰτίας *om.* P^x *(cf. p. 226 adn. ad l. 14)* 8 *post* ὑπερσαρκώματα: καὶ ἕλκη C^p A S 8. 9 πρὸς τὰ—ἕλκη *ante* ἰοῦ *transp.* P *om.* P^a A ω 9 χαλκοῦ *om.* C^p P ω 10 ἢ ἐλλεβ. μέλαν. *add.* L^a κοτύλης c̈ τουτ. *om.* P^a A κοτύλα L^a ....c S κ^υ C^p κ^ο M^o κοχλιαρ⟨ίου⟩ P κοτ$^{λ'}$ A^t *correxi ex Gal.* c̈] η̄ M^o ω 11 τῷ *om.* C^p M^o A *Gal.* 12 ἐντιθὼν C^p M^o S 13 πράσου P^a P χυλὸν (χυ^λ M^o) C^p A ω κύαθοι α, *exc.* A *et m. 2ᵃ* S 16 λείοι C^p M^o A A^t 16. 17 ἀναπλάσας P ω 17 καὶ *pr. om.* ω *post* καταστ.: δὲ A γὰρ P 18 ἐξ—αἰτίας *om.* A ω 21 φύλλου A^t *ante* χυλὸς: ἢ ω κέδρος P κεδρέα S ἀνθρώπινον P^x ω 23 *post* λευκὸν: μετ᾽ οἴνου α, *exc.* L^a 24 μετ᾽ οἴνου *om.* P^a χ P πρασσίου P^x A πρασίου M^o 25 δὲ *om.* P^a A καὶ *alt.*] ἢ P^a P ω ὁ *om.* P^a M^o A καὶ *post* χυλὸς *add.* L^a P^x

πϛ Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας. πρὸς δὲ τὰς ἐκ τῶν ὤτων αἱμορραγίας, ὥςτε μὴ θρομβοῦcθαι τὸ αἷμα, πράςου ⟨τὸν⟩ χυλὸν καὶ ὄξος μίξας ἐγχυμάτιζε (καὶ τὸ αἷμα cτέλλει καὶ τοὺς θρόμβους διαλύει), ἢ ῥόαν ἐν ὄξει ἑψήςας ἐγχυμάτιζε ἢ κηκῖδας ἐν ὄξει ἑψήςας καὶ διηθήςας καὶ βάτου χυλὸν μίξας ἐγχυμάτιζε ἢ πολυγόνου χυλὸν cὺν ὄξει βραχεῖ ἢ ἀκακίαν ἢ ἀμόργην ἢ λύκιον καὶ μάλιστα μετ' ὄξους.

πζ Ψηφῖδος δὲ ἐμπεςούςης ἐν πόρῳ τοῦ ὠτὸς ἢ κυάμου ἤ τινος παραπληςίου ἔγκλυζε ἢ μηλωτρίδι περιελίξας ἔριον καὶ ἐμβάψας ῥητίνῃ ἀνάςπα ἢ διά τινος τῶν ἐχεκόλλων φαρμάκων ἢ δρωπάκων. μὴ ὑπακούςαντος δέ, πταρμικὸν ταῖς ῥιςὶν ἐντιθεὶς ἔμφραττε τὸ στόμα καὶ τὰς ῥῖνας. κατὰ γὰρ τὴν γιγνομένην ἔνταςιν τοῦ πνεύματος ἐκφυςᾶται τὸ ἐμπεςόν. ποίει δὲ cυνεχῶς μέχρις ἂν ἐκπέςῃ· εἰ γὰρ ἐμμείνῃ ἐπιφλεγμαῖνον τὸ οὖς, cπαςμοὺς ἐπιφέρει. κάλλιστα δὲ cυνεργεῖ εἰς τὴν τῶν ἐμπεςόντων καταβολὴν καὶ ὁ καταςειςμός. εἰ μὲν παιδίον εἴη, τῷ ποδὶ κατεχόμενον καὶ ἐπὶ κεφαλὴν αἰωρούμενον μετὰ καταςειςμοῦ, εἰ δὲ τέλειος εἴη ὁ πάςχων, κατακλίνας αὐτὸν ἐπὶ cανίδι κατὰ τὸ πάςχον οὖς καὶ κελεύων ἐρείδειν τὴν κεφαλὴν τῇ cανίδι, ἔπειτα κουφίζων τὸ πρὸς τὴν κεφαλὴν μέρος τῆς cανίδος ἐξάφιε καὶ τοῦτο ποίει πλειςτάκις. κινηθήςεται γὰρ τὸ ἐμπεςὸν καὶ προβιβαςθήςεται περὶ τὰ προχειρότατα μέρη τοῦ πόρου, μετὰ δὲ ταῦτα κυαθίςκῳ cμικρῷ ςτενῷ μηλωτρίδος ἀνάςπα εὐφυῶς· εἰ δὲ καὶ κύαμος ἐμπεςὼν ἤ τι ἕτερον παραπλήςιον καὶ ἐμμεῖνον καὶ διάβροχον γενόμενον καὶ ἐξοιδῆςαν ὀδύνας ἐπιφέρει, ὁλόκληρον μὲν αὐτὸ ἐξελεῖν ἀδύνατον, χρὴ δὲ τῷ κυαθίςκῳ τῆς μηλωτρίδος εὐφυῶς αὐτὸ διαμερίζειν καὶ οὕτως κατὰ βραχὺ ἐκφέρειν, ἔπειτα ἕψημα ἢ γλυκὺν οἶνον θερμὸν ἐγχεῖν καὶ παρηγορεῖν τὸν πόρον διὰ τὸν γιγνόμενον cπαραγμόν.

πη Πρὸς τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη. τὰ φλεγμαίνοντα

1—6 Πρὸς τὰς — ὄξους *cf. Gal. de comp. med. s. loc. III 1 (XII 639, 13—640, 3) Or.^{e} IV 39 (452, 11—14)* 6. 6 πολυγόνου — ὄξους *Paul. ib. (ib. 190, 8—9)* 7—26 Ψηφῖδος—cπαραγμόν *Gal. ib. (ib. 656, 15—658, 3)* Ψηφ.—ἐπιφέρει *(13) Or.^{e} ib. (ib. 22—28)* Ψηφ. — ἀνάςπα *(9) Paul. ib. (ib. 21—23)* 27—*p. 232, 6* τὰ φλεγμαίνοντα — ἐπιτίθει *Gal. ib. (ib. 661, 17—662, 2, 661, 3—6, 8—9)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 2 πράςςου C^p P^x A ω τὸν *addidi ex Gal. et Or.* 3 ὄξους P^x ω 3. 4 καὶ τὸ αἷμα — ἐγχυμάτιζε *om.* A 4 ἐγχυματ. — ἑψήςας *om.* P^a κηκῖδα P^x P A^t 5 χυλῷ L^a $χ^υ$ M^o πολύγονον P^x A χυλὸν *om.* P^x A cὺν] ἐν C^p M^o ω 6 βραχὺ P^x M^o βραχεῖcαν ω καὶ *om.* χ ψ ω 7 *ante* Ψηφῖδος: Πρὸς ψηφῖδα ἐμπεςοῦςαν τῷ πόρῳ τοῦ ὠτὸς ἤ τινος παραπληςίου (*pro* ἤ τ. παρ.: ἄλλο τι P) P^x ψ Περὶ ψηφῖδος ω Πρὸς L^a δὲ *om.* L^a P ω ἐν *ante* τῷ *add.* L^a M^o 8 ἔκκλυζε *Gal.* 9 ῥητίνην P^x A 10 ...κουςάςης M^o ...cαντα P 11 ἔνcταςιν φ C^p ω 11. 12 ἐμφυς. L^a P^x M^o ψ S 12 *ante* cυνεχῶς: τοῦτο P^x *id post* A γὰρ] δὲ M^o A^t 12, 13 ἐμμείνοι C^p P^x P ...νει P^a ...μαίνει A^t 14 ἀποβολὴν M^o *(Gal.) fort. recte,* μεταβολὴν P^a C^p P^x ψ ω 17 καὶ *om.* P^x ψ ω τῇ κεφαλῇ ω ἐξαφίει *legendum?* 20 μικρῷ α, *exc.* L^a 21 μηλωτρίδι P ...δω P^x ω καὶ *om.* α, *exc.* L^a 22. 23 καὶ ἐμμεῖνον — ἐξοιδῆςαν *om.* P^a ἐμμῆνον L^a ..εῖναν C^p ψ ω καὶ *tert. om.* ω 23 αὐτὸ *post* ἐξελεῖν *transp.* P ω 24 οὕτω C^p P^x ψ ω 25 *post* ἕψημα (...εμα): τι C^p ω 26 γενόμενον α, *exc.* L^a 27 *post* πάθη: (Πρὸς δὲ τὰ ἔξωθεν τοῦ πόρου πάθη τῶν ὤτων P^x) ἤγουν (πρὸς P^x) τὰς φλεγμονὰς τῶν τρημάτων (τριμάτ. A ...μμάτ. P^x) τῶν λοβῶν καὶ πρὸς τὰς θλάςεις τῶν ὤτων P^x A

τρήματα τῶν λοβῶν τοῦ ὠτὸς ἐπὶ παιδίων ἐλαίῳ ἐν χαλκῷ λύχνῳ ἰωθέντι συνεχῶς κατάχριε καὶ ὑγιάσεις. πρὸς δὲ τὰ τεθλασμένα τῶν ὤτων σμύρναν μάννην λίβανον γῆν μέλαιναν ᾗ σμῶνταί τινες, σὺν ὄξει ἑνώσας καὶ ποιήσας κηρωτῆς πάχος κατάπλασσε καὶ μὴ αὐτὰ ἐρέθιζε μηδαμῶς. Ἄλλο. θεῖον ἄπυρον σμύρναν λίβανον μετὰ πίσσης ὑγρᾶς <εἰς> σπληνίον ἐπιτίθει. Ἄλλο. ἀσφάλτου ἁλόης λιβάνου κοχλιῶν τῆς σαρκὸς βολβῶν ἀφρῶν ἴσα ὄξει συλλεάνας, ἔμπλασσε ὡς κηρωτὴν ἢ τοῖς αἰδοιικοῖς τροχίσκους κατάχριε. [Φιλαγρίου πρὸς τεθλασμένα ὦτα. μάνναν λίβανον ἢ αὐτὸν τὸν λίβανον καὶ ἀλόην μετ᾽ οἴνου λειώσας καὶ ῥοδίνου ἐπιτίθει. πρόσπλεξον δὲ αὐτοῖς, εἰ εὕρῃς, καὶ κοχλίας τοὺς μικροὺς ὅλους λειώσας. φλεγμονῆς δὲ οὔσης μάνναν οἴνῳ καὶ ἐλαίῳ μίξας θεράπευε, ὕστερον δὲ τοῖς καταλλήλοις τῷ κλύσματι χρήσῃ.] Ἄλλο. γῆς ἔντερα λεάνας σὺν ὀλίγῃ γῇ, ἐξ ἧς ἐλήφθησαν, ἐπίχριε. ἐφ᾽ ὧν δὲ κέκλασται τὰ ὦτα, πληρώσας ἔσωθεν τὴν κοιλότητα τὴν προχειροτέραν τοῦ χόνδρου γῇ τῇ κεραμικῇ [πηλῷ] καὶ ἐάσας ξηρανθῆναι ἐπίχριε στρύχνῳ μετὰ ψιμμυθίου μέχρι καταστῇ. εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο τῇ θλάσει, τῷ πόρῳ ἔνσταζε βούτυρον χλιαρὸν ἢ στέαρ χήνειον ἢ ὀρνίθειον ἢ ὠκίμου χυλὸν μετά τινος τῶν ῥηθέντων στεάτων. ἔξωθεν δὲ περίχριε ψιμμύθιον μετὰ στρύχνου ἢ πολυγόνου ἢ κορίου χυλὸν ἢ ῥόας γλυκείας σίδια ἐν οἴνῳ ἑψήσας καὶ λεάνας κατάχριε ἢ γλαυκίῳ χρῶ· ἐμπλάστρῳ δὲ χρῶ τούτῳ· σάνδυκος λι α̅ ἐλαίου λι α̅ ὕδατος Γ° ϛ̄ ἕψε ἅμα μέχρι ἀμολύντου καὶ χρῶ.

πθ Περὶ παρωτίδων. αἱ παρωτίδες ἐν τῷ γένει μέν εἰσι τῶν φλεγμονῶν. γίγνονται δὲ τῶν περὶ τὰ ὦτα ἀδένων πασχόντων. οὐ μὴν χρώμεθά γε ἐπ᾽ αὐτῶν, ὥσπερ ἐπὶ τῶν ἄλλων μορίων φλεγμαινόντων, ἐν ἀρχῇ τοῖς ἀποκρουστικοῖς, τοὐναντίον δὲ τοῖς ἑλκτικοῖς χρώμεθα, σπεύδοντες τὸν λυποῦντα χυμὸν ἐκ τοῦ βάθους ἐπισπᾶσθαι πρὸς τὸ

2—6 πρὸς δὲ τὰ—ἐπιτίθει *Or.° IV 57 (452, 6—9)* 6. 7 ἀσφάλτου—ἔμπλασσε *Paul. III 23 (I 192, 10—12)* 9—12 μάνναν—χρήσῃ *cf. Gal. ib. (ib. 662, 2—6)* 13—21 ἐφ᾽ ὧν—χρῶ | 23—*p. 233, 11* Περὶ παρωτίδων—διαπυίσκειν *Gal. ib. (ib. 661, 12—15, 662, 12—663, 10 [brev.]) III 2 (664, 10—15, 665, 1—2, 4—5, 11—666, 3, 6—8)* 13—16 ἐφ᾽ ὧν—καταστῇ *Or.° IV 39 (452, 9—11)* 23 Περὶ παρωτίδων | 24—*p. 233, 3* οὐ μὴν—ἐπιτρέποντες *Or.° IV 44 (453, 17—23)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 τρίματα C^p A ...μματα P^a M^o P^x ω τῶν λοβ.—ὠτὸς] τῶν ὤτων A^t 1. 2 λυχνωθέντι L^a A^t λυχνωτῶ θέντι S ἰωθ.] τεθ.? 3 μάνναν χ A ω γῆν] τὴν L^a 6 αὐτὸ P *om.* P^a εἰς *ex Orib. add. Deichgr.* 6—8 Ἄλλο. ἀσφάλτου—κατάχριε *om* ω 7 βολβοῦ ἀφρὸν P *om.* L^a 8 αἰδοιοικοῖς φ A αἰδιοικ. P^x αἰδυικ, M^o αἰδιικ. P Φιλαγρίου—χρήσῃ *(12) om.* α, *exc.* ω *delevi* 9 ἢ αὐτὸν τὸν λίβανον *om.* A^t 10 εὕροις S 13 ἐπίχριε *om.* ω 14 ἔξωθεν P^x A 15 γῇ *om.* C^p M^o ω τῇ *om.* P^x ψ πηλῷ *om.* C^p P^x ψ *delevi* 16 ψιμμυθ.] ἀψινθίου α, *exc.* L^a *(Gal.)* ...ταστῆς ω 17 *post* τῷ: μὲν χ ψ ω *post* βούτυρον: νεαρὸν καὶ P^x 18 ῥηθέντων *om.* C^p ψ 19 παράχριε P A^t περίχεε S ψιμμύθου P ...μυθ´ A^t 20 κηρίου P^a A^t 21 τούτω χρῶ (χρῶ *om.* C^p) P^x S 22 Γ° ϛ̄] λίτρας τὸ ἥμισυ P^x ἅμα *om.* P^x A μέχρις P^a ψ ἕως P^x 23 *post* παρωτίδων: ἡ παρωτὶς πάθος ἐστὶ περὶ τὰ ὦτα—ἢ στύρακος ἢ ἐλαφίου μυελοῦ. Ἀετίου Ἀμηδινοῦ περὶ παρωτίδων P^x 24 παρὰ χ A A^t *(fortasse recte)* παρὰ τοῖς ὠσὶν *Gal.* 25 γε] δὲ P^x *om.* A 27 ...σπάσασθαι P^x A *(Gal.)* ἀνασπᾶσθαι A^t τὸ δέρμα] οὐρανὸν P^a

δέρμα καὶ cυνεργεῖν τῇ φύcει δι' ἀποcτημάτων ἐνίοτε τοὺc πυρετοὺc ἰωμένῃ. ὅταν μέντοι cφοδρὰν ὁρμὴν ἔχοι τὸ ἐπιρρέον, οὐδὲν ἡμεῖc τηνικαῦτα προcπεριεργαζόμεθα τῇ φύcει τὸ πᾶν ἐπιτρέποντεc. ἐὰν γὰρ ἤτοι cικύαν ἤ τι φάρμακον ἕλκον τοὺc χυμοὺc ἐκ τοῦ βάθουc ἐπὶ τὸ δέρμα ἐπιθήcωμεν, ὀδύνη cφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ὡc δι' αὐτὴν ἀγρυπνίαν τε ἐπιγίγνεcθαι καὶ τοὺc πυρετοὺc ἐπιτείνεcθαι καὶ τὴν δύναμιν καταλύεcθαι. παρηγορεῖν οὖν τηνικαῦτα μᾶλλον προcήκει, οὐ cυμπράττειν τῇ ῥοπῇ τῶν χυμῶν καταπλάcμαcι χρωμένουc παρηγορικωτάτοιc†, ὅcα πρὸc τῷ cυμμέτρῳ τῆc ὑγρᾶc θερμότητοc, ἐξ ἧc τὸ παρηγορεῖν ἔχει τὰc ὀδύναc, ἔτι καὶ πέττειν δύναται τοὺc ἐπιρρέονταc χυμοὺc καὶ διαπυΐcκειν. ἐκπυηθένταc δὲ διαφορήcομεν· cκληρία δὲ εἰ φαίνοιτο μετ' ὀδύνηc, μίξομεν τὰ μαλακτικὰ τοῖc ἑλκτικοῖc. ὀδύνηc μὲν οὖν cφοδρᾶc ἐπικρατούcηc καὶ τῶν χυμῶν ἔτι ἐπιρρεόντων, βουτύρῳ χρηcόμεθα ἀλείφοντεc τὸν τόπον cυνεχῶc ἢ cτέατι ὑείῳ ἢ τήξαντεc βούτυρον καὶ τὸ cτέαρ ἅμα καὶ κηρὸν βραχὺν ἐμβάλλοντεc, ὡc γενέcθαι κηρωτὴν μαλακωτέραν, ἐπιθήcομεν. τὰc δὲ μετρίαc παρωτίδαc, ἐφ' ὧν μήτε πλῆθόc ἐcτι τὸ ἐπιρρέον μήτε ὀδύνη cφοδρὰ παρείη, μήτ' ἐκπυήcεωc προcδοκία, ῥᾳδίωc ἰαcόμεθα πυρίαιc δι' ἅλμηc καὶ καταπλάcμαcι καὶ φαρμάκοιc διαφορητικωτέροιc, οἷά ἐcτιν ἥ τε Μναcέου καὶ ἡ διὰ χυλοῦ, καὶ τούτων μᾶλλον αἱ μαλακώτεραι καὶ κηρωτοειδεῖc αἱ διὰ βουτύρου καὶ ὑccώπου, προcλαμβάνουcαι ὀcτρέων κεκαυμένων ἢ κηρύκων ἢ πορφυρῶν, οἷα ἐcτὶν αὕτη· cτέατοc χοιρείου παλαιοῦ ἀνάλου ℔ ϛ̅ βουτύρου ℔ α̅ κηροῦ ℔ β̅ c ὀcτρέων κεκαυμένων λειοτάτων ℔ β̅, τήξαc τὰ τηκτὰ ἐπίπαccε τὰ ὄcτρεα καὶ ἑνώcαc χρῶ θαρρῶν ὡc ἐναργεcτάτῳ. Ἄλλο φάρμακον πάνυ καλόν. ἀποχύματοc ℔ ιϛ̅ πίccηc ℔ η̅ κηροῦ ℔ γ̅ Κολοφωνίαc ℔ β̅ cτέατοc μο-

10—12 παρηγορεῖν—ἑλκτικοῖc | 16—22 τὰc δὲ μετρίαc—πορφυρῶν *Or.*° *ib (ib. 23—454, 2)* 13—16 ὀδύνηc—ἐπιθήcομεν *cf Gal. de simpl. med. temp. etc. X, 10 (XII, 273,4 sqq.) de comp. med. s. loc. III 2 (677, 16 sqq.)* 16—19 τὰc δὲ μετρίαc—διαφορητικωτέροιc *Gal ib. (ib. 668, 2—8)* 20—25 ἥ τε Μναcέου—ἐναργεcτάτῳ *Gal. ib. (ib. 677, 12—678, 2)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1—5 cυνεργεῖν—ἐπὶ τὸ δέρμα *om.* A^t cυνεργεῖ *Ald.* 2 ἰωμένην L^a P^x M^o A S ὅτε P^x A ἔχει M^o ...η P 3 περιεργαζόμεθα P^a M^o 4 cικυίαν C^p A cυκίαν P^a P^x ἐπὶ] πρὸc P^x εἰc A 5 ...θήcομεν P^a C^p M^o, ο *ex* ω P 8 χρωμένοιc L^a χ A 9 παρηγορητικωτάτοιc P^a P *post* παρηγορικωτάτοιc *lacunam signavi (cf. Gal* οἷόν ἐcτι τὸ .... καὶ ὅcα κτλ.*)* τὸ cυμμέτρωc μετέχειν P^a τὰ cύμμετρα P^x *(Ald.)* 10 ἔχουcι P^a ...ειν A^t 11 διαφ] διαφορεῖν ἐπιχειρήcομεν (...ωμεν P^a P^x M^o) P^a χ ψ ω *(recte?)* 12 μετ' ὀδύνηc *om.* C^p P μίξωμεν P^a P^x M^o μείξ. A^t 13 ἔτι *om.* ψ 14 χρηcώμεθα P^x M^o cυνεχείαc L^a 15 ἢ *om.* P^x ψ βουτύρω A^t *(Ald.)* *post* ἅμα: δὲ A^t 15. 16 ..βαλόντεc P^a C^p A ...θήcωμεν L^a χ S 18 παρῇ P^a C^p M^o A ω ἰαcώμεθα P^x M^o P S 20 Μναcαίου (...ccαίου P^x) M^o ψ S ..τέου A^t χυλῶν P^a χ A S τούτων ἔτι (ἔτι *om Or.*) μαλακ. αἱ κηρωτ. *Gal. Or* *ante* μᾶλλον: ἔτι ω 21 καὶ *pr. om.* P ω 23 ϛ̅] γ̅ P^x A *(Gal.)* β̅ C^p β̅] α̅ M^o A^t c *om.* A ὀcτρέων—℔ β̅ *om.* A^t 24 ὄcτρακα P^x A 25 *post* ἐναργ.: ἔcτι δὲ ἡ cκευαcία τοῦ ἐμπλάcτρου αὕτη. cκευαcία τοῦ Μναcαίου· κηροῦ λίτραc ε̅—κρόκου οὐ^ΓΓ β̅ οἴνου καὶ ἐλαίου τὸ ἀρκοῦν P^x 26 ιϛ̅] ϛ̅ M^o P 26—*p. 234, 1* cτέατοc—ἀcφ. ℔ β̅ *om.* L^a

cχείου Γο α̅ c ἀcφάλτου Γο β̅ τῆκε τὰ λοιπὰ καὶ διήθει. τὴν δὲ ἄcφαλτον λεάνας μετ' ὀλίγου ὄξους ἐπίχεε αὐτῇ τὰ τηκτὰ καὶ ἀναμαλάξας χρῶ. καὶ μὴν κἀπὶ τῶν ἤδη cκιρρουμένων καὶ χρονιζουcῶν παρωτίδων οἱ κεκαυμένοι κήρυκες καὶ τὰ ὄcτρεα πάντα cὺν παλαιῷ cτέατι χοιρείῳ τετηκότι μιγέντα, ὡc προείρηται, ἀλυπότατα διαφορεῖ καὶ πάcας τὰc χρονιζούcας καὶ cκληρυνομένας φλεγμονάc. διὸ χρηcτέον ἐπὶ τῶν cκληροτέρων παρωτίδων καὶ τῇ διὰ κηρύκων λευκῇ ἐμπλάcτρῳ τῇ Ἀριοβαρζανίῳ λεγομένῃ καὶ τῇ διὰ μίcυος Διονυcίᾳ καλουμένῃ. ἀναγραφήcονται δὲ ἐν τῷ περὶ ἐμπλάcτρων λόγῳ. ἐγὼ δὲ εἴωθα τὰc παρωτίδας τῶν παίδων καὶ τῶν γυναικῶν τῷ βουτύρῳ μόνῳ ἰᾶcθαι.

ϛ̄ Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν. ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύcιν ὄγκων οἱ πολύποδες ἐν ταῖc ῥιcὶν γεννῶνται, κατὰ δὲ τῶν ἑλκώcεων αἱ ὄζαιναι καὶ κατὰ τῶν παρὰ φύcιν ἐκκρίcεων αἱ αἱμορραγίαι. ἡ μὲν οὖν ὄζαινα ἐξ ἐπιρροῆc ὑγρῶν δριμέων καὶ cηπεδονωδῶν γίγνεται, ὡc ἐάν γε μόνον ᾖ δριμέα, δυcίατα μὲν ἕλκη ποιεῖν πέφυκεν, οὐ μὴν ὄζοντά γε μοχθηρόν. ὁ δὲ πολύπους λεγόμενος ἐοικὼc κατὰ τὴν τῆc οὐcίας ἰδιότητα τῇ χρόᾳ καὶ τῇ cυcτάcει τῇ τοῦ πολύποδος τοῦ θαλαττίου cαρκί, ἐκ παχέων καὶ γλίcχρων χυμῶν ἔχει τὴν γένεcιν. ἡ δὲ θεραπεία κοινὴ μὲν ἀμφοῖν τῶν τε ὀζαινῶν καὶ τοῦ πολύποδος· δεῖ πρότερον ξηρᾶναι καὶ ῥῶcαι τὴν κεφαλήν· εὔδηλον γὰρ ὅτι διὰ περιουcίαν ὑγρῶν μοχθηρῶν ἐπιρρεῖ ⟨τι⟩ ταῖc ῥιcὶν ἐξ αὐτῆc. ὅπωc δὲ ῥωννύναι τὴν κεφαλὴν χρή, ἤδη προείρηται ἐν τῷ περὶ κεφαλαλγίας τόπῳ, cμηγμάτων διαφόρων cυνθέcειc ἀναγράψαντες καὶ ἐπιθεμάτων κατὰ τοῦ βρέγματος ἢ καὶ ὅληc τῆc κεφαλῆc προεξυρηcμένηc ἐπιτι-

3—6 κἀπὶ τῶν—φλεγμονάc *Gal. ib. (ib. 672, 10—15)* κἀπὶ τῶν—πάντα *(4)* 5. 6 ἀλυπότατα—φλεγμονάc *Or.*° *ib. (454, 1—3, 5—6)* κἀπὶ τῶν—καλουμένῃ *(8) cf. Paul. IV 23 (I 193, 9—12)* 8. 9 ἀναγραφήcονται *in l. XV* 11—16 Περὶ τῶν—μοχθηρόν *Gal. ib. 3 (ib. 678, 3—6, 10—14)* 16—18 ὁ δὲ πολύπους—γένεcιν *Gal ib. (ib. 681, 1—4)* 18—20 ἡ δὲ θεραπεία—κεφαλήν *Or*° *ib. (454, 11—12)* 18—22 ἡ δὲ θεραπ.—προείρηται *Gal. ib. (ib. 678, 14—679, 1)* ἡ δὲ θεραπ.—προείρηται |

φ ($L^a P^a$) χ ($C^p P^x M^o$) ψ (A P) ω (S A^t) 6 φλεγμονάc *om.* ω 8 ὀριοβαρζ. C^p A ὀριβαρζ. $P^a P^x$ Ὀριβαcίου P ἀριοβαγζ. ω Διονυcίου P^x P …cίας $C^p M^o$ A ω 8. 9 ἀναγραφ.—ἰᾶcθαι] νυνὶ δὲ καὶ τῶν τοιούτων ἐμπλάcτρων διορίcομεν ἐνταῦθα. Cκευαcία τῆc ἰμπλάcτρου τῆc διὰ μίcυος Διονυcίου καλουμένηc—ἐξ ἐπιρροῆc ὑγρῶν δριμέων γιγνομένων τῶ cώματι. Ἀετίου P^x 9. 10 ἐγὼ δὲ—ἰᾶcθαι *add. m. 2ª in marg. inf.* P^a *om.* $L^a C^p M^o$ ψ 12 *ante* τῶν: τὸ $P^a C^p M^o$ ψ A^t *(Gal.)* 13 αἱ ὄζαιναι (ὄζεναι) *om.* ω 13. 14 καὶ κατὰ—οὖν *om.* ω καὶ κατὰ] κατὰ δὲ $P^a C^p$ *(Gal.)* ἐκ δὲ A *(Ald.)* *ante* τῶν: τὸ $P^a C^p M^o$ P *(Gal.)* *post* αἱμορραγ.: γινόμεναι τοῖc ὀξέωc νοcοῦcι κατὰ τὰc καλουμένας ἰδίωc παρὰ τοῖc νεωτέροιc ἰατροῖc ὑπερεκκρίcειc, αἷc ἡ φύcιc ἐπὶ κριτικὸν ὁρμήcαcα βοήθημα τῆc cυμμετρίας οὐκ ἐκράτηcεν *(Gal.)* P^a 13. 14 ἡ …ὄζαινα] (καὶ P^x) αἱ …ναι P^x A ω 14 γίγνονται P^x A ω 15 ὡc—μόνον] ὥcτε ἂν τὰ γενόμενα μόνον C^p ὅθεν ἂν γενόμεναι A γε μόνον] γενόμενον P^x ἢ δριμέαι A μὲν *om.* $M^o A^t$ *m. 1ª* S 16 ὄζονται φ C^p ω *post* γε: μὴν L^a τι P 16—18 ὁ δὲ πολ.—γένεcιν *post* ἐξ αὐτῆc *(21) transp.* P^a 17 χροιᾶ ψ 19. 20 τῶν τε—πρότερον] τούτοιν P^a τοῦ πολυποδίου M^o τῶν πολυπόδων ω δεῖ (οὖν *add.* A) *om.* $C^p M^o$ P ω 21 τι *addidi ex Gal.* ὅπωc *usque ad fin. cap. om.* P^a 22 χρὴ τὴν κεφαλὴν χ A ω 24 ἢ *om.* ω ….ριcμένηc $C^p P^x$ S προξυρημ. P ἐξυριcμ. M^o *ante* ἐπιτιθ.: καὶ P^x A

θεμένων. πρὸς δὲ τοῖς ἤδη προγεγραμμένοις ἄριστα ποιεῖ ἐπ' αὐτῶν καὶ ἡ δι' ἀνεμώνης κατὰ τῆς κεφαλῆς ἐπιτιθεμένη καὶ αὕτη δέ· σμύρνης ℔ α̅ λιβάνου ℔ α̅ κοχλίους ὁλοκλήρους ε̅, ᾠῶν τὰ λευκὰ β̅ ὁλμοκοπήσας καὶ μίξας ἅπαντα κατάχριε τὴν κεφαλήν, ἐπιτιθεὶς ἄνωθεν ὀθόνην καὶ ἐῶν ἡμέρας θ̅ καὶ οὕτως ὕστερον χρώμενος τοῖς τοπικοῖς βοηθήμασιν.

ϙα̅

Ὀζαινῶν θεραπεία. ὅταν τοίνυν διὰ τῶν προειρημένων παρασκευάσῃς ἐρρωμένην τὴν κεφαλήν, ἐπὶ τὴν τῆς ῥινὸς ἀφίξῃ θεραπείαν σκοπὸν ἔχων ἐν ταῖς ὀζαίναις ξηρᾶναι τὸ πεπονθὸς μόριον διὰ φαρμάκων μικτὴν ἐχόντων δύναμιν, ἀποκρουομένων τε καὶ διαφορούντων. ἀποκρούεται μὲν οὖν δηλονότι τά τε αὐστηρὰ καὶ τὰ στρυφνὰ καὶ τὰ στύφοντα προσαγορευόμενα, διαφορεῖ δὲ τὰ θερμὰ καὶ ξηρὰ ταῖς δυνάμεσιν. Ἀρχιγένης δὲ πρὸς τὰς ἐν ῥισὶν ὀζαίνας τοιαῦτα γράφει· καλαμίνθης χυλὸν ἐγχυμάτιζε ἢ αὐτὴν ξηρὰν λείαν ἐμφύσα διὰ καλάμου ἢ εὐζώμου χυλὸν ἐγχυμάτιζε συνεχῶς ἢ μέλι ἐνστάξας εἰς τὴν ῥῖνα καὶ διαστήσας πταρμῷ τὰς ἐφελκίδας ἐκτίναξον, εἶτα ἐλλέβορον λευκὸν μετὰ καρδαμώμου σπέρματος ἀνασπᾶν τῇ ῥινὶ ποίει ὡς πλεῖστον καὶ μετὰ τοῦτο διάχριε ἀμόργῃ μετὰ μέλιτος ἢ βατραχίου χυλὸν μετὰ στυπτηρίας ὑγρᾶς ἐγχυμάτιζε εἰς τὴν ῥῖνα καὶ κέλευε ἀνασπᾶν καὶ τοῦτο ποίει ἕως ἀποθεραπεύσεις. εἰ δὲ παλαιὸν ᾖ τὸ πάθος, καὶ ὄξος δριμύτατον πρόσμιγε, διάχριε δὲ τοὺς πόρους τῆς ῥινὸς τούτῳ· ναρδόσταχυ καὶ μίσυ ἴσα λεάνας μετ' οἴνου αὐστηροῦ γλοιοῦ πάχος ποιήσας διάχριε καὶ ἐρίῳ ἔμφραττε. κάλλιστα δὲ ποιεῖ πρὸς ὀζαίνας καὶ χάλκανθος ἀναλαμβανομένη μέλιτι ἑφθῷ καὶ χαλκίτης ὁμοίως καὶ ἰὸς καὶ λεπὶς χαλκοῦ καὶ τὸ ἀνθηρὸν στοματιχὸν καὶ τοῦτο· χαλκίτεως ὠμῆς < ι̅ϛ̅ καδμίας < η̅ λείου μετ' ὄξους ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐπὶ πολλὰς ἡμέρας. καὶ ξηράνας χρῶ μετ' οἴνου ἀνέσας ἢ αὐτὸ ξηρὸν

1—6 ἄριστα—βοηθήμασιν *Gal. de rem. parab. I 4 (XIV 336, 12—337, 1) Or.*° *ib. (ib. 12—16)* 7—12 ὅταν—δυνάμεσιν *Gal. de comp. med. s. loc. ib. (ib. 679, 1—7)* 13—14 Ἀρχιγένης—καλάμου | 15. 16 μέλι—ἐκτίναξον | 16—23 εἶτα ἐλλέβορον—ἔμφραττε *Gal. ib. (ib. 679, 9—11, 14—16, 17—18, 680, 1—2)* 14 καλαμίνθης—καλάμου | 18. 19 βατραχίου—ἀνασπᾶν *Gal. de rem. parab. I 4 (XIV 337, 1—5)* 23. 24 κάλλιστα—ὁμοίως *cf. Gal. de comp. med. s. loc. ib. (ib. 679, 12—13)* 25 ἰὸς *cf. Gal. de rem. parab. V, 6 (ib. 417, 12)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1. 2 πρὸς δὲ—καὶ αὕτη δέ] ἐπιτίθει δὲ καὶ ταῦτα διὰ πείρας P^x 4 ἐπιθεὶς α, *exc.* L^a 7. 8 παρασκευάς^{CC} P^x A^t 10 *ante* δύναμιν: τὴν ω 12. 13 *post* δυνάμεσιν: Παῦλος δὲ τοιαῦτα γράφει· λεπίδος χαλκοῦ < η̅ χαλκάνθου < ξ̅ χαλκίτεως < η̅—ταῦτα πάντα μίξας ἐν ξηρῷ λείοι καὶ κἀκ τούτου χρῶ P^x 13—*p. 236, 1* Ἀρχιγένης—ἐμφύσα *ante* Ξηρίον *(236, 6) transp.* P^x 13 *ante* ῥισὶν: ταῖς P^a ω *post* ῥισ.: ὀδύνας καὶ A^t *(Ald.)* 14 χυλῷ L^a ...οῦ P^x χ^υ M^o 15 ἔνσταζε L^a συντάξας M^o 17 καρδάμου C^p M^o A ω καλάμου P^x 20 ποιεῖ C^p M^o ποιεῖν L^a κέλευε P^a *post* ἕως: ἂν P^a P ω ..θεραπεύσῃς P^a M^o S *(Gal.)* ἐὰν χ ψ ω *(Gal.)* εἴη C^p ω 22 *ante* γλοιοῦ (γλυοῦ): καὶ P^a P^x 26 ι̅ϛ̅] ι̅β̅ P^x M^o ψ ω λείοι χ S λύειν A^t ἐν *om.* P^x A

ἐμφύσα. Ἄλλο πρὸς ὀζαίνας. μίσυος χαλκίτεως σμύρνης ἀνὰ < ζ̄ χαλκάνθου < ϛ̄ στυπτηρίας σχιστῆς κηκῖδος λεπίδος ⟨χαλκοῦ⟩ ἀνὰ < δ̄ στυπτηρίας στρογγύλης < β̄ λιβάνου < ᾱ ὄξους λι ᾱ. ἕψε πάντα ἅμα λεῖα ἐν χαλκῷ σκεύει καὶ ὅταν μελιτώδη σύστασιν λάβῃ ἀνελόμενος χρῶ, ἐλλύχνιον βάπτων καὶ ἐντιθεὶς ταῖς ῥισὶν ἐσωτάτω.

Ξηρίον πρὸς ὀζαίνας. ἐρείκης καρποῦ σμύρνης νίτρου σιδίων ἀνὰ < δ̄ κρόκου κόστου < β̄ λείοις ἐμφύσα. Ἄλλο. στυπτηρίας σχιστῆς σμύρνης ἀνὰ < δ̄ σανδαράκης ῥοῦ μαγειρικοῦ ἁλῶν ἀμμωνιακῶν κρόκου κόστου ἀνὰ < β̄ λείοις ἐμφύσα, οἰνομέλιτι προσεγκλύζων τοὺς μυκτῆρας.

Ἄλλο Θεοδώρου πρὸς δυσωδίαν μυκτήρων. ἀμώμου σμύρνης ῥόδων ξηρῶν ⟨ἴσα⟩ λεάνας καὶ μετὰ ναρδίνου μύρου ἀνέσας χρῶ. Ἄλλο. σμύρνης κασσίας ῥόδων ἑκάστου ἴσον κόψας σήσας φυράσας μέλιτι διάχριε πρωῒ καὶ δείλης, ἕως ἀπαλλαγῇ. Ἄλλο. ἡδύχροον μετ' οἰνομέλιτος λεάνας χρῶ. Ἄλλο τερπνὸν καλούμενον. σμύρνης < δ̄ κασσίας < δ̄ σχοίνου ἄνθος < ᾱ ῥόδων ξηρῶν < ᾱ λεάνας σὺν οἰνομέλιτι παλαιῷ ἀπόθου καὶ χρῶ διαχρίων μυκτῆρας.

Ἄλλο πρὸς ὀζαίνας, ᾧ συνεχῶς χρῶμαι. τῇ σκευασίᾳ τοῦ Μούσα τροχίσκου πρόσβαλλε χαλκίτεως < ϛ̄, ἐνίοτε δὲ καὶ < ῑβ̄, ἐλλεβόρου λευκοῦ < β̄ καὶ χρῶ σὺν οἰνομέλιτι. Ἄλλο δόκιμον. ζιγγιβέρεως < γ̄ χαλκίτεως < δ̄ κασσίας < γ̄ ναρδοστάχυος < β̄ μίσυος < β̄ ἐλλεβόρου

1—5 πρὸς—χρῶ *Paul. III 24 (I 194, 10—14)* 6—10 ἐρείκης—μυκτῆρας *Gal. de comp. med. s. loc. ib. (ib. 681, 17—682, 1, cf. 681, 13—15)* 11—17 πρὸς δυσωδίαν—μυκτῆρας *cf. Gal. de rem. parab. II V 2 (XIV 416, 3—6)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1—5 Ἄλλο—ἐσωτάτω *repet.* P^x μίσυ L^a σμύρνης] ζιγγιβέρεως ω ζ̄] ζ̄ Λ P^x ᾱ C^p $P^{x\prime}$ A δ̄ P^a ω 2 ϛ̄ (*ex* δ̄ *ut vid.* M^o)] δ̄ ω χαλκοῦ *addidi ex Paul.* 3 β̄] δ̄ P^x λι] ξ̄ε P^a P^x M^o ψ *(Paul.)* < C^p 6 *ante* Ξηρίον: Ἄλλο. ἰὸν καὶ λεπίδα ἀνὰ < γ̄ χρῶ ξηροῖς ἢ ἐμφύσα *Sqr.* Ἀρχιγένης – ἐμφύσα *(235, 13—236, 1)* P^x 6—*p. 237, 18* Ξηρίον—χρῶ ἐμφυσῶν *post* ἑψήματος *(237, 25) transp.* C^p καρπὸς L^a S ...ὸν A^t σμύρνης] ζιγγιβέρεως L^a C^p ω 7 *ante* κρόκου: σανδαράχης < β̄ P^a *post* κρόκου: < ᾱ M^o P < β̄ P^a C^p *post* κόστου: ἀνὰ P^x A ω λειοποιήσας P^x λειῶν P στυπτηρίας *om.* L^a χ A A^t 8 σμύρν.] ζιγγιβέρεως C^p ω *post* σανδαράκ.: < β̄ P^a 9 β̄] ᾱ A^t *post* β̄: ς P^a προσεγγλυκάζων P^a προεγχυματίζων P^x A προεκκλύζων C^p M^o P ω 11 *post* Θεοδώρου: μαγίστρου P^x *post* ἀμώμου: κασίας A^t σμύρν.] ζιγγιβέρεως C^p ω 12 *ante* ῥόδων: κασίας P^x S ἴσα *addidi cf.* ἑκάστου τὸ ἴσον μέρος κόψας *Gal.* νάρδου L^a C^p ω 13 σμύρν.] ζιγγιβέρεως C^p ω *ante* ἴσον: τὸ ω 15 λεάνας] ἑνώσας P^x ἀνέσας A σμύρνης] ζιγγιβέρεως *v. supra* 15. 16 κασσίας < δ̄ *ante* ῥόδων *transp* M^o *om.* P 16 ἄνθους P^a C^p P ᾱ *pr.*] δ̄ M^o ω 17 *post* μυκτῆρας: Τροχίσκος—ἐμφύσα ξηρὸν *(237, 19—238, 1) transp.* M^o 18 Ἄλλο πρὸς ὀζαίνας - χρῶ ἐμφυσῶν *(237, 18) ante* Πρὸς ὀζαίνας *(237, 26) transp* P^x A Ἄλλο πρὸς—ζιγγιβέρεως < γ̄ *(20) om.* P^a συχνῶς ψ ω χρῶνται L^a P τῆς σκευασίας L^a τοῦ] τῇ C^p P^x ω 19 ...ίσκω α, *corr.* πρόσβαλε C^p P^x ψ ϛ̄] ε̄ P δ̄ A^t ῑβ̄] β̄ P *ante* ἐλλεβ.: καὶ C^p M^o P ω 19. 20 λευκοῦ (*om.* P) ἐλλεβόρου ω 20 καὶ *om.* P ω ζιγγιβ.] σμύρνης P^x M^o ψ < γ̄ *om.* P^x 21 κασσίας ἀνὰ < ϛ̄ χαλκίτεως < δ̄ P^x 21—*p. 237, 2* κασσίας—ἴρεως < δ̄ *om.* A^t

λευκοῦ < α̅, χρῶ ξηρῷ καὶ μετὰ οἰνομέλιτος. Ἄλλο καλόν. μίσυος ὀπτοῦ < η̅ ἴρεως < δ̅ κρόκου < α̅ μέλιτι ἀναλαβὼν διάχριε. Ἄλλο. σχιστῆς Γ° α̅ σμύρνης Γ° α̅ λιβάνου Γ° δ̅ μουσκιλίου βοτάνης τῆς δορκαδιάδος καλουμένης < δ̅ ἰοῦ < β̅ ἁλῶν ἀμμωνιακῶν Γρ δ̅ τερεβινθίνης Γ° α̅ μέλιτος Γ° δ̅ ὄξους τὸ ἀρκοῦν.

Ἄλλο ποιεῖ καὶ πρὸς πολύποδας. χαλκοῦ κεκαυμένου λεπίδος σιδήρου στομώματος στυπτηρίας σχιστῆς σμύρνης λιβάνου ἀριστολοχίας περιστερεῶνος ὀρθοῦ λεπίδος χαλκοῦ ἰοῦ ἴσα χρῶ, ποτὲ μὲν ἀνεὼν οἴνῳ καὶ δι' ἐλλυχνίου ἐντιθείς, ποτὲ τῇ διὰ μόρων, ποτὲ μέλιτι, ποτὲ δὲ ξηρὸν ἐμφυσῶν, ὕδατος πληρῶν τὸ στόμα. Πρὸς ὀζαίνας· μὴ καταφρονήσῃς τῆς εὐτελείας. κενταυρίου λεπτοῦ κεκαυμένου πολίου κεκαυμένου χαμαιμήλου κεκαυμένου ἀνὰ < η̅ ἰοῦ λεπίδος χαλκοῦ κυκλαμίνου ῥίζης ξηρᾶς σμύρνης ἀλόης σιδίων ἀνὰ < δ̅· λείοις χρῶ, ὡς βούλει.

Ἄλλο πρὸς ὀζαίνας καὶ ἀναβρώσεις καὶ νομὰς καὶ παχύσματα καὶ ὅσα περὶ μυκτῆρας. ἀμπέλου λευκῆς φύλλων χυλὸν Γ° γ̅ μάννης χαλκάνθου λιβάνου χαλκίτεως ἀριστολοχίας ἀνὰ < γ̅, λειοῖς καὶ ξηράνας χρῶ ἐμφυσῶν.

Τροχίσκος πρὸς ὀζαίνας Κύρου ἀρχιήτρου Ἐδέσσης. καδμίας τρὶς κεκαυμένης καὶ οἴνῳ σβεσθείσης, μολυβδαίνης μολύβδου κεκαυμένου λιθαργύρου ναρδοστάχυος λιβάνου κυπαρίσσου φύλλων βράθυος κηκίδων λυκίου Ἰνδικοῦ κόμμεως ἀνὰ < δ̅ ψιμμυθίου γλαυκίου μίλτου φύλλου βαλαυστίων σχοίνου ἄνθους σιδίων ἀλόης ἀκακίας ἀνὰ Γρ η̅ ῥοῶν φύλλων ῥόδων ἄνθους ἀνὰ Γρ ϛ̅, κόψας σήσας λειώσας ὄξει ἀναλάμβανε τροχίσκους καὶ χρῶ μετ' οἴνου ἢ ἑψήματος.

Πρὸς ὀζαίνας. κυπέρων Γ° γ̅ σανδαράκης σχιστῆς σμύρνης κρόκου

φ($L^a P^a$) χ($C^p P^x M^o$) ψ(A P) ω(S A^t)   1 καὶ *om.* ω   2 διάχριε] πρόσαπτε A^t 3 *ante* σχιστῆς: στυπτηρίας P^a P   σμύρνης] ζιγγιβέρεως $L^a C^p$ ω   Γ° *alt.*] < $P^a P^x M^o$ ψ   δ] τ̅ς (τὸ ς S) A^t μουσκλίου $C^p P^x$ ....κλείου A ...κιλιδίου ω   3. 4 δορκαλιάδος A ....καδιίδος ω   4 < β̅ *om.* ω   6 ποιοῦν P^x P   7 *post* σχιστῆς: ζ̅ P^x Γ° α̅ ω   σμύρνης] ξιγγιβέρεως $L^a C^p$ ω   *post* σμύρνης: ζ̅ P^x Γ° α̅ A ω   λιβάνου *om.* P^a χ ψ   *post* λιβ.: τ ς Γ° A^t τὸ ς S *(Ald.)*   8 ἀνιεὶς P^a P ἀνειεὶς A ἀνανεῶν L^a *(cf p. 229, 16)*   9 ποτὲ — μόρων *om.* P^a *post* ποτὲ *pr.*: δὲ $P^x M^o$ ψ A^t *post* ποτὲ *alt.*: δὲ P^a χ ψ S   10 ξηρῶν $P^a P^x$ ....ὰ A   *ante* Πρὸς: τοῦ αὐτοῦ P^x Ἄλλο P ω   11 κεκαυμ.] καὶ P A^t 12 *post* χαλκοῦ: τῶν ὁμοίων A^t κεκαυμένου S *(Ald.)*   13 σμύρνης *Animadvertendum est hic et alibi in nonnullis codicibus* σμύρνα *per* ȝȝ″ *designatam esse, quod et* ζιγγίβερι *interpretari potest*

16 ὅσα] τὰ L^a φύλλων χυλὸν] τῶν χυλῶν αὐτῆς τῶν φύλλων P^x χυ^λ M^o *om.* P^a P   16. 17 χαλκαν^θ′ P^a P ....άνθης P^x S   17 λείοι A λείου $P^a M^o$ ω   19—25 Τροχίσκος — ἢ ἑψήματος *post* μυκτῆρας *(236, 17) transp* P^x A   τρίτον L^a P ω τρεῖς $P^x M^o$ *om.* A   20 μολίβου L^a ω ...ύβου P^x 21. 22 κικῖδος $P^x M^o$ ψ ω   22 μίλτου *om.* ω   23 φύλλων P^a φαλαυστίων L^a βαλαυστίου P^a βαλαστ. A   σχίνου P A^t ἄνθος P^x A ω   Γρ] < $C^p P^x$ A   24 ῥοῶν] ῥόδων $P^x M^o$ A ω   24. 25 ἀνάλαβε $C^p M^o$ 25 ἑψέματι L^a 26 Πρὸς ὀζαίνας (ὀζένας)] Ἄλλο πρὸς ὀζ. P Ἄλλο P^x A *om* C^p ω   26—*p. 238, 1* κυπέρων — ξηρόν *post* ἀρκοῦν *(5) transp* P^x A κυπέρων — ἐξαίρει *(238, 6) post* ὀζαίνας *(238, 18)* C^p *ead. post* μυκτῆρας *(236, 17)* ω   ...ράχης α, *exc.* ω

ἀνὰ 𐅻 α̅ ἐμφύσα ξηρόν. Ἀπολλωνίου πρὸς πολύποδας. ἐλλέβορον καὶ ὀρίγανον λεῖα ἐμφύσα ἴσα. Ἄλλο. ἐλλέβορον μέλανα καὶ σανδαράκην ἴσα λεάνας μετ' ἐλαίου ἀναλαβὼν ἐρίῳ πλήρωσον τὸν μυκτῆρα. Ἄλλο. χαλκοῦ ἄνθος καὶ ἰὸν καὶ λάσαρ ἴσα τρίψας μετὰ ἐλαίου ἐπάλειφε διὰ μήλης ἔριον ἐχούσης τοὺς μυκτῆρας ἐπὶ ἡμέρας ε̅, εἶτα λαβιδίῳ ἕλκε καὶ ἐξαίρει. Ἄλλο. ἀρσενικὸν τρίψας μήλη παράπτου δαψιλῶς· ἐπειδὰν δὲ ἐξοιδήσῃ καὶ ἐπαρθῇ καὶ φυσηθῇ, ἐλλεβόρῳ μέλανι ξηρῷ λείῳ συμμέτρῳ χρῶ. ἐν ἡμέραις γὰρ ζ̅ ταῖς πλείσταις κενὸς ὁ μυκτὴρ γίνεται, εἶτα ἀποκάθαρε διφρυγεῖ λείῳ μετὰ μέλιτος. ἢ ἀρσενικὸν καὶ τίτανον καὶ ἐλλέβορον λευκὸν λεάνας μήλῃ προσάπτου.

ϛβ̅ Πολυπόδων θεραπεία. ἤδη προείρηται ὡς ἐκ παχέων καὶ γλίσχρων ὑγρῶν τὴν γένεσιν ὁ πολύπους ἔχει· καὶ διὰ τοῦτο μικτῆς ὕλης δεόμενος, στυφούσης καὶ τεμνούσης καὶ διαφορούσης καὶ ξηραινούσης, ὧν ἡ ὕλη τοιαύτη.

Ξηρίον πρὸς πολύποδας καὶ ὀζαίνας. στυπτηρίας σχιστῆς σμύρνης σανδαράκης ἀνὰ < δ̅ χαλκοῦ κεκαυμένου < α̅ κηκίδων < α̅, λείοις χρῶ, πρότερον ἐγκλύζων τοὺς μυκτῆρας οἴνῳ εὐώδει καὶ τότε διάχριε πυρῆνι μήλης· χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις πρὸς ὀζαίνας.

Ἄλλο πρὸς πολύποδας. σώρεως < β̅ χαλκίτεως ὀπτῆς < β̅ μυρίκης καρποῦ < α̅ κρόκου < α̅ σμύρνης < α̅, λείοις χρῶ ἐμφυσῶν, ὡς προείρηται. Ἄλλο. χαλκίτεως ὀπτῆς μίσυος χαλκάνθου ὀπτῆς ἀμώμου ἀνὰ < α̅ σμύρνης < δ̅ κρόκου < α̅, λείοις χρῶ ξηρῷ. Ἄλλο πάνυ θαυμαστόν. σώρεως 𐅻 γ̅ στυπτηρίας σχιστῆς 𐅻 γ̅ κηκίδων 𐅻 β̅ σμύρνης 𐅻 β̅, ξηρῷ χρῶ. Ἄλλο πρὸς πολύποδας ὀζαίνας αἰγίλωπας καὶ ὅσα βούλει χωρὶς τομῆς καὶ καύσεως ἀπαλλάττειν. ἀφίστησι δὲ καὶ ὀστᾶ διεφθορότα. χαλκοῦ ἐρυθροῦ ῥινίσματος 𐅻 α̅ ἁλὸς ἀμμωνιακοῦ 𐅻 β̅

1—10 ἐλλέβορον — προσάπτου *Gal. de comp. med. s. loc. ib. (ib. 687, 6—18)* 6—10 Ἄλλο. ἀρσενικὸν — προσάπτου *Gal de rem. parab. ib. (ib. 337, 15)* 11 ἤδη προείρηται *cf. p. 234, 18* 11—18 ἐκ παχέων — μήλης | 19—22 σώρεως — χρῶ | 24 — *p. 239, 6* πρὸς πολύποδας — καλάμου *Gal. de comp. med. s. loc. ib. (ib. 681, 4—7, 13—16, 682, 1—5, 16—683, 11)*

φ (L^a P^a) χ (C^p P^x M^o) ψ (A P) ω (S A^t) 1 ξηροῦ L^a Ἀπολλωνίου — ἐξαίρει *(6) post* ὀζαίνας *(18) transp.* P^x A 2 λειώσας P^x A ἴσα] ἢ P *om.* P^x M^o A Ἄλλο *om.* M^o P ...ράχην, ...κην *codd.* 4 χαλκοῦ ἄνθ.] χάλκανθον ω ἴσα *om.* φ ἄλειφε P^a ὑπάλ. χ ψ ω 5 ἐρίω P^x ἐρίου ω ε̅] ρ̅ ω 6 ἐξαιρεῖς P^a ἔξαιρε P ω Ἄλλο. ἀρσενικὸν — προσάπτου *(10) post* οἰνομέλιτι *(236, 20) transp.* M^o ω 7 ..οιδήσει P^a ..υδήσει P^x καὶ φυσηθῇ *om.* ω *(Gal.)* 8 γάρ *om.* ω καινὸς L^a 9 γένηται L^a ω ...κάθαιρε C^p P^x ψ 10 σμήλη L^a μέλιτι ω πρόσαπτε P^a C^p P^x P ω 11—18 Πολυπόδων — πρὸς ὀζαίνας *post* ἐμφυσῶν *(237, 18) transp.* M^o *om.* P^x Πολυπ. — ὀζαίνας *(15) om.* P^a 12 ὑγρῶν] χυμῶν *legerim ex Gal.* γέννησιν C^p M^o 12. 13 δεόμενον C^p M^o A S δεῖται P 13 ὧ L^a 14 αὕτη M^o A 15 Ξηρὸν C^p M^o P *Gal.* 16 ...άκης *cf. ad l. 2* χαλκάνθου ω *(Gal.)* 17 ἐκκλύζων (ν *supra*) C^p ἐκκλ. P *(Gal.)* ἐκλ. M^o κλύζων ω 18 πυρήνη P^a πυρῖνι ψ πυρίνη L^a χ ω 19 *post* πολύπ.: καὶ σαρκώματα P^x β̅ *pr.*] α̅ C^p 19—21 μυρίκης — μίσυος *om.* P^a M^o 20 σμύρνης < α̅ *om.* L^a 21 *post* ὀπτῆς *alt.*: < β̅ P^a C^p M^o A ω 22 ἀνὰ *om.* P^a C^p M^o A ω α̅ *pr.*] β̅ χ A ω ξηρὰ C^p ...ὸν P^x ...οῖς ψ 23 θαυμάσιον P^a C^p M^o 24 χρῶ ξηρῷ (..ὸν P^x) χ P A^t χρῶ ξηροῖς λείοις ὁμοῦ P^a *ante* ὀζαίν.: καὶ ω 25 βούλη P^a A 26 ῥινήματος C^p M^o P ..νήσμ. A ῥινίσματα P^a P^x ω

στυπτηρίας στρογγύλης 𐅻 β̄ ὄξους δριμυτάτου κοτύλας ϛ̄, τὰ ξηρὰ λειώσας καὶ ἐπιβαλὼν τὸ ὄξος ἀναλάμβανε εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ καὶ τίθει ἐν ἡλίῳ κινῶν κερκίδι χαλκῇ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ξηρανθῇ, εἶτα λεάνας ἀνελοῦ εἰς ἄγγος κεραμεοῦν. ἐπὶ δὲ τῆς χρήσεως δίδου ὕδωρ ἐν τῷ στόματι κρατεῖν καὶ ἐμφύσα ταῖς ῥισὶ διὰ καλάμου. Ἄλλο πρὸς πολύποδας καὶ ὀζαίνας. σίνηπι λεάνας καὶ φυράσας ὕδατι καὶ ποιήσας βαλανοειδές, ἔπειτα λαβὼν ῥάκος ἰσχνὸν περίπλασον τὸ ῥάκος κατὰ κύκλον τῷ νάπυϊ πρὸς τὸ ἀποσπάσαι αὐτὸ ὅτε βούλει καὶ ἐντίθει τῷ μυκτῆρι καταλιπὼν ἔξωθεν τὴν ἀρχὴν τοῦ ῥάκους καὶ ἔα ὅλην τὴν ἡμέραν καὶ ἐκπεσεῖται ὁ πόλυψ. Ἄλλο πρὸς πολύποδας καὶ ὀζαίνας καὶ ὑπερσαρκώματα ἐν ῥισίν. σχιστῆς στυπτηρίας Γρ θ̄ στυπτηρίας στρογγύλης Γρ ϛ̄ χαλκάνθου Γρ γ̄ χαλκίτεως Γρ ιη̄ μίσυος Γρ ιη̄ σμύρνης Γρ ιη̄ λεπίδος χαλκοῦ 𐅻 θ̄ λιβάνου Γρ γ̄ κηκῖδος Γρ ιβ̄, κόψας σήσας λείου μετ᾽ ὄξους, ὡς κολλύριον, καὶ ἀνάπλαττε τροχίσκους. ἐπὶ δὲ τῆς χρείας λεάνας ὅσον ἐξαρκεῖ σὺν μέλιτι καὶ ἐλλύχνιον ποιήσας καὶ βάπτων τῷ φαρμάκῳ, ἐντίθει τοῖς μυκτῆρσι καὶ ἔα ἡμέραν μίαν· τῇ δὲ ἑξῆς ἕλκε καὶ ἀκολουθήσει ὁ πόλυψ ὡς ἐπίπαν· εἰ δὲ ἐμμείνῃ, χρῶ ὁμοίως. Πρὸς πολύποδας καὶ σαρκώματα. λεπίδος ⟨σιδήρου⟩ < η̄ σανδαράκης < δ̄ χαλκοῦ < ϛ̄ ἐλλεβόρου μέλανος < β̄ ἐμφύσα ξηρόν· χρῶ ὡς καλλίστῳ· ἐν μὲν γὰρ ἡμέραις δέκα ὠφέλειαν ἔκδηλον ποιεῖ. Νεχεψὼ βασιλέως πρὸς σαρκώματα ἐν μυκτῆρσι. λεπίδα σιδήρου καὶ λεπίδα χαλκοῦ καὶ στυπτηρίαν σχιστὴν ἴσα λεάνας ἐμφύσα ἢ τῇ μήλῃ παράπτου καὶ ἐλλυχνίῳ χρῶ. Ἀσκληπιάδου πρὸς πολύποδας. χαλκάνθου κεκαυμένου < ᾱ διφρυγοῦς < β̄ ἀσβέστου < β̄ σανδαράκης < β̄ ξηροῖς παράπτου ἢ στρεπτὸν προβρέχων ὕδατι καὶ μολύνων τῷ φαρμάκῳ ἐντίθει. Ἄλλο, ᾧ Ἀντίπατρος ἐχρήσατο. [χαλκάνθου σανδαράκης ἴσα λεάνας ἐμφύσα καὶ διὰ μήλης παράπτου.]

21 Νεχεψὼ βασιλέως *cf. Gal. de simpl. med. I 19 (XII 207, 7 sqq.), Plin. 2, 88, 7, 160* 24—26 χαλκάνθου — ἐχρήσατο | 27 χαλκάνθου κεκαυμένου — παράπτου *Gal. de comp. med. s. l. ib. (ib. 682, 9—12, 684, 17—685, 2)*

καὶ πτερύγια πάθη τοῦ ἐπιπεφυκότος εἰςίν. ἀλλὰ καὶ ἑλκοῦται καὶ ἀνθρακοῦται καὶ καρκινώδη διάθεσιν ἴςχει. σκληροφθαλμία δὲ καὶ ξηροφθαλμία κοινόν ἐςτι πάθος βλεφάρων τε καὶ αὐτοῦ τοῦ ὀφθαλμοῦ. περὶ δὲ τὴν ἔξωθεν ἐπιφάνειαν τῶν βλεφάρων ὑδατίδες γίγνονται καὶ μελικηρίδες καὶ στεατώματα. τῶν δὲ περὶ τὸ ἐντὸς τῶν βλεφάρων συνισταμένων ἐςτὶ δασύτης καὶ τραχώματα καὶ συκώσεις, χαλάζιά τε καὶ λιθιάσεις, συμφύσεις καὶ μύσεις. καὶ λαγώφθαλμοι δὲ καλοῦνται, οἷς τὸ ἄνω βλέφαρον ἀνέσπασται, ὡς ἐπικαλύπτειν τὸν ὀφθαλμὸν μὴ δύνασθαι· ἐκτρόπια δέ, οἷς τὸ κάτω βλέφαρον ἐξέστραπται, ἀλλὰ καὶ κολοβώματα καὶ διαβρώσεις καὶ ἑλκώσεις ἐν τοῖς βλεφάροις συνίστανται. περὶ δὲ τοὺς ταρσοὺς γίγνεται ἡ τριχίασις καὶ διστιχίασις καλουμένη καὶ ἡ μαδάρωσις τῶν τριχῶν ἤτοι βλεφαρίδων, ἥτις καὶ πτίλωσις καλεῖται. γίγνεται δὲ καὶ φθειρίασις καὶ πιτυρίασις καὶ κριθή· καὶ ἡ λεγομένη δὲ μίλφωσις τῶν ταρσῶν ἐςτι πάθος, ἐρυθροὶ γὰρ τούτοις εἰςὶν οἱ ταρσοὶ ἐοικότες μίλτῳ τῇ χρόᾳ. οἱ δὲ κανθοὶ πεπόνθασι μὲν κἀν τοῖς αἰγίλωψιν, ἀλλ᾽ οὐ μόνοι. ἐγκανθίδες δὲ καὶ ῥυάδες μόνων τῶν κανθῶν εἰςι πάθη. περὶ δὲ τὸν κερατοειδῆ χιτῶνα συνίσταται ἀχλὺς νεφέλιον ἄργεμον ἐπίκαυσις ἕλκωσις κοίλωμα βόθριον ῥῆξις πρόπτωσις ὀνύχια πύωσις φλύκταιναι ἄνθρακες καρκινώδεις διαθέσεις. περὶ δὲ τὸν ῥαγοειδῆ χιτῶνα συνίσταται πάθη πρόπτωσις μυιοκέφαλα σταφυλώματα ἧλοι μυδρίασίς τε ἡ καὶ πλατυκορία καλουμένη φθίσις σύγχυσις παρασπασμοὶ τῆς κόρης· τὸ δὲ ὑπόχυμα συνίσταται κατ᾽ αὐτὸ τὸ τρῆμα τοῦ ῥαγοειδοῦς, τουτέστι κατὰ τὴν κόρην λεγομένην. ἀλλὰ καὶ τὸ ᾠοειδὲς ὑγρὸν πλεῖον ἑαυτοῦ γενόμενον ἢ παχύτερον ἐμποδίζει τοῦ ἀκριβῶς ὁρᾶν καὶ μειούμενον δὲ ξηραίνει τὸ κρυσταλλοειδὲς ὑγρόν. ἡ δὲ γλαύκωσις λεγομένη ξηρότης ἐςτὶ σφοδρὰ τοῦ κρυσταλλοειδοῦς ὑγροῦ· ἡ δὲ ἀμαύρωσις ἔμφραξίς ἐςτι τοῦ ὀπτικοῦ νεύρου, ὡς μηδόλως ὁρᾶν τὸν οὕτω παθόντα καθαρᾶς φαινομένης τῆς κόρης· βεβλαμμένοι δέ εἰςι τοὺς ὀφθαλμούς χωρὶς τοῦ φαίνεσθαί τι φαῦλον περὶ τοὺς ὀφθαλμοὺς καὶ οἱ νυκταλωπιῶντες. ὅλων δὲ τῶν ὀφθαλμῶν

φ(CL^a) χ(M^o) ψ(ADPQ) ω(A^t) 2 δὲ *supra scr. m. 1^a* D *om.* Pω 3 τοῦ βλεφάρου C 3. 4 τε—βλεφάρων *om.* ω 5 τὸ] τῶν CAQω 7 σύμφυσις ...μύσις α, *exc.* L^a δὲ] μὲν AQ *om.* Dω 8 ἐπικάμπτειν AQ 9 ἐκτρόπιοι DP ἐξέ(σ)τρεπται CAPQ 11 καὶ διστιχ. *om.* χDω 12 *post* ἤτοι: τῶν DP 13 κριθῆς C κριθίασις AQ 14 μίλτωσις, τ *ex* φ P μέλφ. ω 15 τὴν χροιάν P χροιᾷ ADQω 16 ἀκανθίδες C ἐγκαθ. L^aAω δὲ *om.* L^a ῥοιάδες L^aQω ῥυίδες P 17 *post* πάθη: καὶ ἡ μίλφωσις δὲ λεγομένη τῶν κανθῶν (ταρσῶν D) ἐςτιν (πάθος. ἐρυθροὶ γὰρ τούτοις εἰςὶν οἱ ταρσοὶ ἐοικότες μίλτῳ τῇ χροιᾷ D). ἐρυθροὶ γὰρ καὶ (καὶ *om.* A) ὡς διακεκαυμένοι εἰςὶ τοῖς τοῦτο (τούτοις C) πάσχουσιν οἱ κανθοὶ ἐοικότες μίλτῳ τῇ χρόᾳ (τὴν χρόαν χDP τῇ χροιᾷ AQ) Cχψ *(at cf. ll. 13 sqq.)* περὶ] πρὸς DP δὲ *om.* C 18 ἄργεμα C ἅρμα ω ἐπίκ. ἕλκ. *om.* L^a 19 πυρώσεις χ πυώσεις DP καρκινώδης διάθεσις C 20 περὶ] ἐπὶ DP τοῦ ῥαγοειδοῦς χιτῶνος DP προπτώσεις χDP μυοκέφαλα CAQω 21 ἴλλοι DP *om.* C μυδριάσεις *Ald.* καὶ *ante* ἡ *transp.* DP πλατυκορίασις Q 22 παρασπασμὸς C σπασμοὶ D ὑπόχημα α, *exc.* CQ αὐτῷ C ...οῦ L^a *(Ald.)* 23 τρύμμα C τρίμμα Q 24 πλέον C γινόμενον ω 25 τοῦ] τὸ ω κρυσταλοειδὲς α, *exc.* L^a 26 δὲ *post* γλαύκωσις *transp.* χω *ante* ξηρότ.: ἡ C *(et alibi)* κρυσταλο... αλλο... *codd.* 30 ὅλον CQ

βλάβη φανερά ἐστιν ὁ ἐκπιεσμὸς καλούμενος· ἔστι δὲ προπέτεια τοῦ ὀφθαλμοῦ οἷον ἔξω ἐγκειμένου. ἀρκτέον δὲ τῆς θεραπείας ἀπὸ τῶν ἁπλουστέρων τε καὶ ἐπιπολαίων ἐν ὀφθαλμοῖς νοσημάτων.

γ̄ Θεραπεία ταράξεως. τὰς μὲν οὖν τῶν ὀφθαλμῶν ταράξεις ὑπό τε καπνοῦ γιγνομένας καὶ ἐγκαύσεως ἢ κονιορτοῦ ἤ τινος ἑτέρου παραπλησίου θεραπεύσεις ῥᾳδίως πρῶτον μὲν κελεύων τὸν πάσχοντα ἀφίστασθαι τῆς βλαπτούσης αἰτίας, οἷον ἡλίου ἢ καπνοῦ ἤ τινος παραπλησίου, ἔπειτα ἀπονίπτειν τὰς ὄψεις, πρότερον μὲν χλιαρῷ ὕδατι γλυκεῖ, μετὰ δὲ ταῦτα καὶ ψυχρῷ καὶ τὴν αὐγὴν ἀποστρεφόμενος καὶ μύων τοῖς ὀφθαλμοῖς· ἐπὶ τούτοις γὰρ καθίσταται μηδενὸς ἑτέρου προσενεχθέντος, ἀλλὰ μόνον ἐνδεέστερον διαιτηθέντος. ποτῷ δὲ πλείονι χρῆσθαι ἐπὶ τῶν ἐγκαύσεων· εἰ γὰρ ὕπνος ἐπιλάβοι βαθύτερος καὶ ὀφθαλμία τις προσδοκωμένη πεφθήσεται, διὸ μηδὲ τῶν λουτρῶν ἀπέχεσθαι, διαιτᾶσθαι δὲ ἀκριβέστερον. ἐπιμενούσης δὲ τῆς διαθέσεως, ἡσυχάζειν καὶ ἐπιχρίειν τὰ βλέφαρα τοῖς διὰ κρόκου ἢ διαρρόδων κολλυρίοις καὶ μάλιστα τῷ Νείλου διαρρόδῳ. τὰς δὲ λήμας καὶ τὰς ἐν νυκτὶ γιγνομένας περὶ τὰ βλέφαρα κολλήσεις διακαθαίρει τε καὶ ὀνίνησι καλῶς ὀξύκρατον ὑδαρέστατον καὶ αὐτὸ τὸ ὕδωρ καθ᾽ αὑτὸ ψυχρὸν καταντλούμενον καὶ τῶν ξηρῶν τι προσαγόμενον τῶν ἀποδακρυτικῶν καὶ μάλιστα τὸ κροκῶδες προκαταληπτικὸν καλούμενον.

δ̄ Θεραπεία ἐπιπολαίου φλεγμονῆς ἐν ὀφθαλμοῖς Γαληνοῦ. φλεγμονῆς δὲ ἐπιπολαίου γενομένης τοῦ ἐπιπεφυκότος ὑμένος, ὀδύνης σφοδρᾶς μὴ παρούσης, ἀποκρουστικὰ παραληπτέον ἐπ᾽ αὐτῶν κολλύρια, πραΰνοντα τὸ σφοδρὸν αὐτῶν τῆς δήξεως τῇ μίξει τοῦ ᾠοῦ· ὡς τὸ πολὺ γὰρ ἀρκεῖ τὸ λευκὸν τοῦ ᾠοῦ μετὰ τῶν καλουμένων μονοημέρων κολλυρίων ἐκθεραπεύειν τὰς ἐπιπολαίους καὶ ἀρχομένας ὀφθαλμίας χωρὶς μεγάλης φλεγμονῆς καὶ σφοδρᾶς ὀδύνης· πολλάκις γὰρ οὕτως ἐπράϋνε τὰς φλεγμονάς, ὡς εἰς ἑσπέραν μὲν λουτρῷ χρήσασθαι τὸν ἄνθρωπον, ἐπὶ δὲ τῆς ὑστεραίας τῷ ναρδίνῳ κολλυρίῳ πρὸς ἀποκατά-

4—20 τὰς μὲν οὖν — ἀποδακρυτικῶν *Or.*[e] *IV 13 (444, 19—33)* τὰς μὲν οὖν — ὄψεις *(8) cf. Paul. III 22 (I 171, 17 sqq.)* 23. 24 ἀποκρουστικὰ — ᾠοῦ *cf. Gal. ib. IV 3 (XII, 712, 4 sqq.)* ἀποκρουστ. — ὀφθαλμίας *(26) Or.*[a] *VIII 39 (262, 3—6)* 24—*p. 257, 8* ὡς τὸ πολὺ — χρῆσθαι *Gal. ib. (ib. 712, 16—713, 7, 16—714, 1. 2—8)* 29—*p. 257, 1* ἐπὶ δὲ τῆς — ὑπαλείψασθαι |

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *ante* ἐκπιεσμὸς: δὲ A Q δὲ *om.* A Q 2 ἐκκειμ. DP 3—9 ἐν ὀφθαλμοῖς — καὶ ψυχρῷ *om. sed spat. vac.* C 4 *post* ταράξεως: ὀφθαλμῶν ψ 5 ἑτέρου *supra scr.* χ *om.* ω 6 κελεύων *post* ἀφίστασθαι D 7 βλαπτ.] πρώτης χ ἤ τινος παραπλ. *om.* ω *post* τινος: ἄλλου *Ald.* 9 καὶ *pr. om.* ω 9. 10 αποστρεφόμενον D P 10 καὶ *om.* DP μύειν L[a]DP τοὺς ὀφθαλμούς D P τούτων C Q 11 ....νεχθέντα P διαιτηθέντα D P 12 ....λάβη A Q 13 τις *om.* D P ...κουμένη C Q *post* διὸ: χρὴ D P 15. 16 διακρόκοις ....διαρρόδοις D P 16 ῥόδων L[a] διαρόδων *nonn. codd.* διαρόδῳ (...ρρόδῳ)] διὰ ῥόδων C χ ω λήμμας χ D P 19 ψύχει A Q 20 προκαταλυμπτικὸν τὸ τοιοῦτον C *post* καλούμ.: ἔστι γὰρ πάνυ δόκιμον C 21 Γαληνοῦ *om.* C χ A P Q 22 δὲ *om.* C 23 ἐπ᾽ αὐτῶν *om.* P 24 πραΰνοντας C χ 25 λεπτὸν ω τοῦ ᾠοῦ *om.* ω 27. 28 καὶ σφοδρᾶς — φλεγμονάς *om.* P 29 ὑστέρας ω τῷ ναρδ. κολλ. *post* τόνωσιν *(257, 1) transp.* χ

στασίν τε καὶ τόνωσιν ὑπαλείψασθαι· παραμιγνύειν δὲ τῷ ναρδίνῳ παρὰ μὲν τὴν πρώτην ὑπάλειψιν ἐλάχιστόν τι τῶν ἀποκρουστικῶν, κατὰ δὲ τὴν δευτέραν ἔτι βραχύτερον. ἐφ' ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα, πλεῖστον εἶναι δεῖ τὸ ὑγρὸν τοῦ ᾠοῦ, βραχύτατον δὲ τοῦ κολλυρίου· ἐφ' ὧν δὲ τὰ συμπεπτικὰ ἐπικρατεῖ κολλύρια, οἷόν ἐστι τὸ νάρδινον, παχυτέρῳ χρηστέον. πυρία δὲ προσαγέσθω τούτοις διὰ σπόγγου, μετρίως μὲν ὀδυνωμένου, ἅπαξ ἢ δὶς τῇ ἡμέρᾳ· εἰ δὲ σφοδροτέρα εἴη ἡ ὀδύνη, ἄμεινόν ἐστι καὶ πεντάκις χρῆσθαι. προσέχειν μέντοι καὶ τῇ εὐαισθησίᾳ καὶ δυσαισθησίᾳ τοῦ θεραπευομένου ὀφθαλμοῦ· ὅσοι γὰρ ὀφθαλμοὶ κατὰ φύσιν φλέβας εὐρείας ἔχουσιν αἵματος μεστὰς καὶ ὅσοι γλαυκοί, οὐδόλως φέρουσι τὴν ἐκ τῶν κολλυρίων στύψιν· ὅθεν ὑδαρέστερα ἐπὶ τούτων προσακτέον τὰ κολλύρια.

Περὶ τῆς ἐπὶ πλήθει γιγνομένης φλεγμονῆς καὶ χημώσεως ἐν ε̄ ὀφθαλμοῖς Σεβήρου σοφιστοῦ. πλήθους δὲ ὑποκειμένου ἐν ὅλῳ τῷ σώματι καὶ τῆς ἐν τοῖς ὀφθαλμοῖς φλεγμονῆς μεγάλης γιγνομένης καὶ ὀδύνης σφοδρᾶς παρούσης, οὐκέτ' ἐπαρκεῖ ἡ τῶν κολλυρίων χρῆσις πρὸς τὴν τοιαύτην διάθεσιν· ποικίλης οὖν δεόμεθα ἐπὶ τούτων ἀγωγῆς. καὶ χρὴ τὰ πρῶτα καὶ μέγιστα βοηθήματα παραλαμβάνειν, ὧν καὶ Ἱπποκράτης ἐν τοῖς Ἀφορισμοῖς ἐμνημόνευσεν εἰπών· "ὀφθαλμῶν ὀδύνας ἀκρατοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φαρμακίη ἢ φλεβοτομίη λύει"· ἀλλ' οὐ τῷ αὐτῷ ἀνθρώπῳ ταῦτα πάντα κελεύει προσάγεσθαι βοηθήματα, ἀλλὰ τούτῳ μὲν φλεβότομον, ἑτέρῳ δὲ καθαρτήριον, ἄλλῳ δὲ τὴν πυρίαν, ἑτέρῳ δὲ τὸ λουτρὸν καὶ ἄλλῳ τὴν τοῦ οἴνου πόσιν. ἀρξώμεθα δὲ ἀπὸ τοῦ λουτροῦ.

Περὶ λουτρῶν τοῖς ὀφθαλμιῶσιν. ἁρμόδιον τοίνυν τὸ λουτρόν, ϛ̄ ἐφ' ὧν φλεγμονὴ οἰδηματώδης κατὰ τὸν ὀφθαλμὸν ὑπάρχει. ἔστι δὲ τὸ οἴδημα τῷ μὲν ὄγκῳ σεσομφωμένον, τῇ δὲ ἁφῇ μᾶλλον ψυχρότερον

5—8 ἐφ' ὧν—χρῆσθαι *Or.*^{a} *ib. (ib. 8—13)* 19—21 ὧν—λύει *Gal. de simplic. med. temp. ac fac. VI, 1 (XI, 802, 4—6)* ὀφθαλμῶν—λύει *Gal. de meth. med. III 2 (X 171, 16—17) Hippocr. Aphor. VI, 31 (570, 9—10 L.)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 ....λεῖψαι D P ....μίγνυται α, *exc.* L^a *post* ναρδ.: κολλυρίῳ ω 2 παρὰ] πρὸς D P τὰ πρῶτα ω τι] τε ω 3 βραχύτερον D P βραχύτατον φ χ A Q βραχὺ ω 5 συγκρατεῖ *(sic) ante* συμπεπτ. *transp.* χ 6 προσάγ.] χρηστέον *Ald. om.* ω 7 ὀδυνωμένοις D P ...νόμενον Q τῇ ἡμ. *om.* Q 8 εἴη *om.* L^a *post* χρῆσθαι: μάλιστα ἐν ταῖς μεγάλαις ἡμέραις C A Q *(Gal.)* 9 *ante* δυσαισθ.: τῇ C 10 εὐροίας C 13. 14 Περὶ—σοφιστοῦ *om.* χ 13 τῆς] τῶν D P πλῆθος C γιγνομ. *om.* Q γιγνομένων φλεγμονῶν ...χημώσεων D P ἐν ὀφθ. *om.* L^a 14 *post* ὀφθ.: καὶ ἐξήγησις τοῦ ἀφορισμοῦ D P Σεβ. σοφ. *om.* α, *exc.* L^a 15 τῆς ἐν *om.* C A Q μεγάλης *ante* φλεγμ. C A Q γενομένης D P 16 οὐκ C A Q 18 καὶ μέγιστα *om.* P 19 *ante* Ἱπποκ.: ὁ A Q ἐν τοῖς Ἀφ. *om.* D P τοῖς Ἀφ.] τῷ ϛ̄ τμήματι τῶν Ἀφορισμῶν ἐν κεφαλαίῳ λᾱ C τοῖς *om.* L^a χ Q ω *post* εἰπών: τάδε C 19. 20 ὀδύνας ὀφθαλμῶν ω *(Hippocr.)* ...ποσία φ P Q πυρία L^a ...ρίωσις C φαρμακίη *et* ...κείη *codd.* 21 τὸ αὐτὸ C ἀνθρ.—πάντα *om.* C πάντα ταῦτα χ D P ω 22 *ante* βοηθήμ.: τὰ D P ...θήματι C ...τομίαν D P ω ...τομὴν C 23 δὲ *alt. om.* D P 23. 24 τὴν—πόσιν] οἰνοποσίαν D P 24 ἀρξόμεθα C Q ἀπὸ *om.* L^a *post* λουτροῦ: τοίνυν χ ω 25 Περὶ λουτ.—ὀφθαλμ. *om.* L^a τοῖς ὀφθαλμ. *om.* C χ ω τοίνυν ἁρμόδιον D *om.* ω 26 τῶν ὀφθαλμῶν ω 27 σεσομφωμένῳ χ ζεζοφωμένον A Q

καὶ τῷ χρώματι λευκόν· καὶ τὸ ἐπιρρέον ῥεῦμα ἀδηκτότερόν ἐστι καὶ ἧττον θερμόν. ἀλλ᾿ οὐδὲ ἡ κατ᾿ αὐτὸν τὸν ὀφθαλμὸν χήμωσις ὑπερέρυθρός ἐστιν οὐδὲ περιτεταμμένη. συνεδρεύει δὲ τὸ πάθος τοῦτο ἐν ἡλικίᾳ μᾶλλον πρεσβυτικῇ καὶ ἐν ὥρᾳ χειμερινῇ ὡς ἐπίπαν καὶ μᾶλλον γυναιξί, τοῖς καταπιμέλοις, καὶ συντόμως εἰπεῖν πᾶσι τοῖς ψυχρὸν καὶ φλεγματικὸν τὸν ἐγκέφαλον ἔχουσι συμβαίνει ἡ οἰδηματώδης φλεγμονή. ὅταν οὖν πάντα τὰ εἰρημένα σημεῖα θεάσῃ, θαρρῶν τὸ λουτρὸν παραλάμβανε· εἰς τοσοῦτον γὰρ ῥᾳστώνης φέρει τὸν κάμνοντα, ὡς ἑτέρου μὴ δεηθῆναι βοηθήματος. χρονίζειν δὲ προσήκει μᾶλλον ἐν τῷ ἀέρι καὶ πυριᾶν τοὺς ὀφθαλμοὺς ἐπὶ πλεῖστον ξηροτέρᾳ πυρίᾳ διὰ σπόγγων ἱκανῶς ἐκτεθλιμμένων· τοῦτο δὲ ποιῶν θεάσῃ αἰσθητῶς τὸ οἴδημα ἐν τῷ θερμῷ ἀέρι ἀφανὲς γιγνόμενον καὶ ἐν τοσούτῳ τέλεον ἀπηλλαγμένους τῆς διαθέσεως. εἰ δέ τι ἐγκαταλείπηται πρὸς τὸ εἰς παντελῆ ἀποθεραπείαν ἐνέγκαι τὸν ἄνθρωπον, τῷ ναρδίνῳ κολλυρίῳ μέλλοντι εἰσιέναι ἐν τῷ βαλανείῳ ἐγχυματίζειν. εἰ δὲ μετρία σοι φαίνοιτο ἡ ὀδύνη, καὶ παχύτερον τὸ κολλύριον παραλαμβάνειν, προθερμάνας αὐτὸ δηλονότι ἐπ᾿ ἀκόνης, εἶτα λούσαντα, ὡς εἴρηται, καὶ ἐξελθόντα ἐπιμελῶς σπογγίζειν τὴν ὑγρότητα καὶ οὕτως ἐπιχρίειν τῷ αὐτῷ κολλυρίῳ παραφυλαττομένους, μή τι αὐτοῦ παρεμπέσῃ εἰς τὸν ὀφθαλμόν· εἴωθε γὰρ μεγάλην βλάβην κινεῖν, ὅθεν οὐδὲ τοὺς ἱδροῦντας δεῖ ἐπιχρίεσθαι· χύσις γὰρ τῶν ὑγρῶν ἐν τῷ βαλανείῳ γίγνεται καὶ παρεμπεσὸν τὸ κολλύριον καὶ δῆξίν τινα ἐμποιῆσαν ἐπισύρει πρὸς τὸν ὀφθαλμὸν τὰς ὕλας ῥᾳδίως καὶ διπλασιάζει τὰς φλεγμονάς. εἰ δὲ συμβαίνει μονιμωτέραν γενέσθαι τὴν εἰρημένην διάθεσιν καὶ τὴν τοῦ ῥεύματος οὐσίαν ἐπὶ τὸ ψυχρότερον ἀχθῆναι μᾶλλον, τὸ τηνικαῦτα παραλαμβάνειν δεῖ σμήγματα τῆς κεφαλῆς ἐν τῷ λουτρῷ καὶ πάσματα μετὰ τὸ λουτρόν. καὶ πρῶτον μὲν τοῖς ἁπλοῖς κεχρῆσθαι, εἰ δὲ ἐπιμένοι ἡ αἰτία, καὶ ἐπὶ τὰ σύνθετα μεταβαίνειν, ὧν ἡ ὕλη τοιαύτη· δαφνίδες, νίτρον ὀπτὸν οἴνῳ ἐσβεσμένον σάμψυχον τρὺξ κεκαυμένη καὶ τὰ ὅμοια. τὰ δὲ πάσματα ἐπὶ τῶν γυναικῶν δεῖ μάλιστα παραλαμβάνειν τὰ συνήθη, οἷά ἐστι τὰ διὰ τῆς ἴρεως σελίνου τε σπέρματος καὶ κυπαρίσσου σφαιρίων καὶ τῶν ξηρῶν μύρων. δεῖ γὰρ μὴ ἀμέτρως εἶναι θερμὰ μηδὲ δριμέα τὰ προσφερόμενα, ἀλλ᾿ ἠπίως θερμά, συμμεμιγμένην ἔχοντα

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 4 ἐν *pr.*] καὶ D P μάλιστα ἐν ἡλικίᾳ χ ἐν *alt. om.* C 5 πᾶσι τ. ψυχρ. καὶ *om.* P 6 ἐχούσαις P ἡ *om.* L[a] χ P 8 ῥᾶστον εἰσφέρει C A ω ῥαστόνεις φ Q κάμν.] πάσχοντα D P ω 9 *post* ἑτέρου: σε C 10 ξηροτέραις πυρίαις D P 11 ἐντεθλημμ. (...θλιμ.) C ψ ω δὲ *om.* φ A Q *ante* ποιῶν: καὶ ω 13 *ante* τέλεον: αὐτοὺς *add. Hirschberg* ...λαγμένης ω ....καταλίποιτο D ...λείποιτο P ...λειπεται Q 14 θεραπείαν L[a] 15 μέλλοντα χ D P ἐγχειματίζειν A ἐγχυμάτιζε D P 16 παραλάμβανε D P 17 ...θερμάνανατα *expect.* λουθέντα D P *ante* ὡς: καὶ C προείρηται ω 19 ....φυλαττόμενον D P .....ος ω 20 ἱδρῶτας ω 22 παραπεσὼν χ ...εμπεσὼν C ...σύρειν ω 23 ....σιάσῃ χ ω 23.24 ....βαίῃ χ D P ...ιει A Q ω 25 μᾶλλον ἀχθῆναι ω *ante* τὸ *alt.*: καὶ ω 26 δεῖ *om.* ω 27 ...μένη C 28 δαφνίδος C 29 ...βεσμένῳ C σάμψυχα C A Q τρὺξ—στύψιν *(259, 1) om. sed spat. vac.* C *post* τρὺξ: οἴνου χ A Q 30 δεῖ *om.* ω ....λαμβάνει ω *om.* L[a] χ τὰ *om.* L[a] χ 32 τῶν ξηρ. μύρ.] τὰ ξηρόμυρα D P μύρων] μόρων ω

στύψιν. αἱ δὲ τούτων συνθέσεις ἤδη προείρηνται ἐν τῷ πρὸ τούτου λόγῳ. ἐμβαλεῖν μὲν οὖν χρὴ τὰ μὲν σμήγματα ἐν τῷ λουτρῷ τῷ βρέγματι διαστέλλοντα τὰς τρίχας ἀπ' ἀλλήλων, ἵνα προσομιλήσῃ τῷ σώματι τὸ βοήθημα, καὶ προστάττειν ἐν τῷ βαλανείῳ μύειν τὸ στόμα, ἵνα διὰ τῶν μυκτήρων σφοδρῶς ἐπισυρόμενοι τὸν θερμὸν ἀέρα θᾶττον μεταβάλλωσι τὴν ὑποκειμένην ὕλην. μετὰ δὲ τὸ λουτρὸν ἀπομάξαντα ἀκριβῶς τὰς τρίχας ἐπιπάσσειν, ὡς εἴρηται, τὰ πάσματα. καὶ περὶ μὲν λουτρῶν ἐπὶ τοσοῦτον· ῥητέον δὲ περὶ οἰνοποσίας.

7 Περὶ οἰνοποσίας. ὁ οἶνος μεταβάλλει καὶ λεπτύνει τὰ πεπαχυσμένα τῶν ὑγρῶν, ἅτινα τὴν ἔμφραξιν τῇ κεφαλῇ ποιοῦσι. ψυχρὰ δὲ ταῦτα πάντως καὶ πολλάκις κατά τι συμβεβηκὸς τὴν τούτων κένωσιν ποιεῖται. προσήκει δὲ εἶναι τὸν οἶνον κιρρὸν τῷ χρώματι καὶ λεπτὸν τῇ συστάσει καὶ μὴ πάνυ παλαιὸν μηδὲ στύφοντα σφοδρῶς. διδόναι δὲ τὸν οἶνον τοῖς ἐν ἔθει τούτου ὑπάρχουσι, μάλιστα δὲ καὶ τοῖς ξηρὰν μᾶλλον ἔχουσι τὴν δυσκρασίαν καὶ τοῖς ψυχρὰν μᾶλλον ἐπικρατοῦσαν ἔχουσι· δοκεῖ γὰρ κοινωνίαν τινὰ ἔχειν πρὸς τὸ λουτρὸν ὁ οἶνος. ὅταν οὖν κενώσεως ὑγρῶν καὶ μεταβολῆς γένηται χρεία, τὸ λουτρὸν παραληπτέον, ὅτε δὲ μεταβολῆς καὶ ἀναθρέψεως καὶ ὑγράνσεως καὶ θερμάνσεως καὶ μετρίας κενώσεως οἴνου δεόμεθα. κεράσαι οὖν δεῖ τὸν οἶνον ὕδατι θερμῷ μὴ πολλῷ καὶ ἀκρατέστερος ἔστω τῆς συνήθους κράσεως καὶ τὸ ἐμβαλλόμενον ὕδωρ καθαρώτατον καὶ ἄκαπνον καὶ ἄοσμον καὶ σφόδρα ζέον, ἵνα καὶ λεπτομερέστερον ἑαυτοῦ γένηται καὶ ἐπαρκέσῃ εἰς τὴν τοῦ πλείονος οἴνου κρᾶσιν. ἔστω δὲ ἡ προσαγομένη κύλιξ πλατυτέρα καὶ πειράσθω ὁ πάσχων διανοίγειν τοὺς ὀφθαλμοὺς ἐν τῇ πόσει. οὕτως γὰρ λυθείσης τῆς σφηνώσεως καὶ ἐπιρρυέντος δακρύου πολλοῦ φυσικοῦ καὶ ὑγιεινοτάτου ἀπαλλαγήσεται τῆς ὀδύνης. παρ' αὐτὰ γὰρ χαλῶνται τὰ βλέφαρα καὶ εὐκινητότερα ἐπ' αὐτῶν γίγνονται καὶ κουφότερα. ἐπιβλέπειν δὲ χρὴ μή τι ἡ κεφαλὴ τοῦ ἀνθρώπου εὐπαθὴς ὑπάρχῃ· πλήττεται γὰρ τῶν τοιούτων ῥᾳδίως ἡ κεφαλὴ ὑπὸ τῆς τοῦ οἴνου πόσεως. πρὸς δὲ τὸ λείψανον τῆς κακώσεως τοῦ ὀφθαλμοῦ χρῆσθαι δεῖ κολλυρίῳ, πρῶτον μὲν ἀδήκτῳ τε καὶ γλυκεῖ, οἷά ἐστι τὰ σχετὰ καὶ τὰ τεφρὰ καὶ σποδιακά, ἐγχυματίζοντα, πρὸς τὸ καὶ τὴν

1 προείρηνται *cf. supra p. 196, 28 sqq.*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *ante* στύψιν: τὴν ω ἤδη *post* προείρηνται *transp.* C 2 ...βάλλειν χ D P 2. 3 ....στείλαντα χ ....τας D P ..έλλοντες C 3 μὴ *post* ἵνα *add* L[a] ...ομιλῇ χ ψ τῶ βοηθήματι C τὰ ...ματα A Q 5 θερμὸν] σφοδρὸν P ...βάλλουσιν C ....βάλλον A Q ...βάλωσι D 6 ἀπομάξαντας D P ἀκριβῶς *om.* χ ω 7 πλάσματα L[a] σπέρματα *Ald.* *ante* περὶ *alt.*: καὶ D P 8 Περὶ οἰνοποσίας *om* L[a] A D P ω λεπτ. καὶ μεταβ. ω 9 ἅτινα — πάντως *om.* C ψ ω 10 πεποίηται P 11 κιρνὸν ω κιρρῷ *Ald.* 12 στῦφον C χ Q ...φειν D P 13 τούτου] αὐτοῦ α, *exc.* L[a] δὲ *om.* α, *exc.* L[a] μᾶλλον *post* ἔχουσι *transp.* C Q *om.* D P ω 14 τὴν *om.* C ψ ω ἔχουσι] ἔχοντας C 16 χρεία γένηται *post* κενώσεως *transp.* D P 17 ὅταν C Q 18 δεῖ *om.* ω 19 καὶ *pr.*] ἀλλ' D P ἔστω] ἢ τὸ C χ εἶναι A Q ἤτω D P ω 22 εἴτω A Q ἤτω χ D P ω 23 πειρασθῇ χ ω κάμνων C A Q ....νύγειν χ ....νύττειν C A Q ἐν] ἐπὶ D P 24 οὕτω χ ψ γὰρ *om.* χ 25 φυσικοῦ *om* D ....νότατα C 26 ἐπ' *om.* α, *exc.* L[a] ἑαυτῶν C χ Q γίνεται (γιγν.) C A Q 27 τι] πως D P ω 28 ἡ κεφ. ῥαδ. A Q 29 κενώσεως D P 30. 31 οἷα — σποδιακὰ *om.* α, *exc.* L[a] *fort. del.* σχετὰ *corrupt. vid.; ἄδηκτα corrigendum?* 31 ...τίζοντας D τὸ] τῶ ω *om.* C

προσγενομένην ταραχὴν ἐκθεραπεῦσαι. καὶ ὅταν ἐν καταστάσει οἱ ὀφθαλμοὶ γένωνται καὶ τῆς πυρώσεως ἀπαλλαγῶσι, τότε ἀποκρουστικὸν κολλύριον προσαγέσθω, οἷός ἐστιν ὁ Ἑρμόλαος καὶ τὰ παραπλήσια τὰ τηκτὰ καλούμενα. ἐρεύθους γὰρ ὄντος καὶ φλεγμονῆς οὐ δεῖ τοῖς στύφουσι κολλυρίοις κεχρῆσθαι· ἀποκλείσαντες γὰρ τῇ στύψει τὸ λείψανον τῆς ὕλης μεγεθοποιοῦσι τὴν ὀδύνην. καὶ περὶ μὲν τῆς τοῦ οἴνου πόσεως ἐπὶ τοσοῦτον· ῥητέον δὲ περὶ φλεβοτομίας.

η Περὶ φλεβοτομίας. προσακτέον τοίνυν τὸ φλεβότομον, εἰ μηδὲν ἕτερον κωλύοι τῶν πλειστάκις προειρημένων, ἐπὶ τῆς τῶν ὀφθαλμῶν περιωδυνίας, ἐφ' ὧν πολλὴ μὲν ἡ διάτασίς ἐστι τῶν ὀφθαλμῶν καὶ ἔρευθος πολὺ καὶ τῇ ἀφῇ ἀντιτυπία καὶ φλόγωσις καὶ δάκρυον πολὺ καὶ θερμὸν καὶ τὸ λευκὸν τοῦ μέλανος ὑψηλότερον φαίνεται καὶ χήμωσις κατὰ τὸν κερατοειδῆ καὶ τὸν ἐπιπεφυκότα χιτῶνα, ὥστε ὑπὸ τῆς φλεγμονῆς σφοδρᾶς γιγνομένης τὰ βλέφαρα ἐκτραπῆναι ὡς μόγις τοὺς ὀφθαλμοὺς καλύπτεσθαι, ὑπέρυθρός τε φαίνεται ὁ ἐπιπεφυκὼς ὑμὴν καὶ ἐν ὄγκῳ μείζονι γίγνεται καὶ τὸ πᾶν σῶμα πεπληρωμένον αἵματος. τμητέον δὲ μᾶλλον τὴν ἀνωτέραν ἐν τῷ ἀγκῶνι φλέβα τὴν ὠμιαίαν καλουμένην καὶ μείζονα τὴν διαίρεσιν ποιητέον, πρὸς τὸ καὶ τὸ παχύτερον ἐν τῷ αἵματι κενωθῆναι καὶ ταχεῖαν τὴν λειποθυμίαν γενέσθαι, πρὸς τὴν καθαίρεσιν τῆς ὀδύνης καὶ τὴν σβέσιν τῆς πυρώσεως. κενωθέντος δὲ τοῦ παντὸς σώματος ἀποθεραπεύειν τὸ λείψανον τοῦ πάθους κολλυρίοις καὶ τῇ λοιπῇ ἐπιμελείᾳ. κολλυρίοις δὲ ἁπαλοῖς χρηστέον ἐπὶ τούτων, τοῖς ἀδήκτοις λεγομένοις, οἷά ἐστι τὰ κυκνάρια καὶ τὰ Λιβιανά, ἐγχυματίζοντα συνεχῶς ὑδαρεστέροις θερμοῖς· πυρίας δὲ ἐπὶ τούτων οὐ πάνυ τι προσακτέον, ἀλλὰ πράως ἀποσπογγίζειν ὕδατι χλιαρῷ. τροφὰς δὲ δοτέον ἀδήκτους εὐαναδότους εὐκοιλίους οὐρητικάς, μηδὲν δριμὺ ἢ ἁλυκὸν ἢ παχύχυμον ἢ δύσπεπτον κεκτημένας. μετὰ δὲ τὴν ἀποκατάστασιν τῆς φλεγμονῆς τῷ ναρδίνῳ ὑδαρεστάτῳ ἐγχυματίζειν μέχρι τελείας ὑγείας. καὶ περὶ μὲν φλεβοτομίας ἐπὶ τοσοῦτον· ῥητέον δὲ ἐπὶ καθάρσεως.

3 ὁ Ἑρμόλαος *p. 364, 5sqq.; Alex. Trall. 2, p. 21, Pusch.* 13—15 ὑπὸ τῆς φλεγμονῆς — καλύπτεσθαι *Or.*[a] *(e Demosth.) VIII 42 (264, 2—3) Paul. III 22 (I 174, 6—7)*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 προγεν. D P γεν. A Q 2 πυριάσεως L[a] 3 κολλύριον *om.* D P 4 τὰ τηκτὰ] στακτικὰ C ω στατ. χ σταλτ. ψ 5 χρῆσθαι D P 6 μεγάλην ποιοῦσιν C ὀδ.] δύναμιν ω 6. 7 καὶ περὶ — φλεβοτομίας *om.* ω *post* μὲν: οὖν *Ald.* 7 *ante* περὶ: καὶ D P 8 Περὶ φλεβοτομίας *om.* L[a] τῇ φλεβοτομίᾳ C τὴν ....μίαν D P 9 κωλύει C χ D P ω εἰρημένων A Q ω 10 διάστασις C ἐστι *om.* D P ἔρευθοι πολλοὶ C πολὺς L[a] χ 11. 12 καὶ τὸ λευκὸν — φαίνεται *om.* α, *exc.* L[a] χ 13 τὸν *om.* A 14 ἐκτραπῆ C χ ...τρέπεσθαι ω 15 κάμπτεσθαι A Q 17 δὲ *post* μᾶλλον *transp.* Q *ante* ἐν: καὶ D 18 τὸ] τῷ χ καὶ *extrem. om.* A τὸ *om.* C ω 20. 21 πυριάσεως L[a] 21 κενουμένου α, *exc.* L[a] 22 ἁπλοῖς D P *om.* χ ω 23 τοῖς ἀδήκ. λεγομ. *om.* χ ω κυκυάρια L[a] 24 λιβανὰ L[a] χ λυβιανὰ χ ...τίζοντας D P ......ες ω πυρίαν ψ 27 ἢ *pr* | καὶ ω *post* ἁλυκὸν: ἐχούσας P ω 27. 28 κεκτημ. *om.* χ ω 29 ὑδαρεστέρῳ D P *ante* μέχρι: χρὴ D P 29. 30 καὶ περὶ — καθάρσεως *om.* D P ω 30 ἐπὶ *alt.*] περὶ C Q

Περὶ καθάρσεως· ἰδικὰ τοῦ ὀφθαλμοῦ σημεῖα, ἐξ ὧν διακρίνεται τὸ νόσημα. εἰ μήτε ἡλικία μήτε ὥρα μήτε στομάχου μάλιστα ἀσθένεια ἢ ἑτέρου τινὸς τῶν σπλάγχνων μήθ᾽ ἕτερόν τι μέγιστον κώλυμα εἴη, παραλαμβάνειν τὴν κάθαρσιν, ἐφ᾽ ὧν λεπτὸν καὶ πολὺ τὸ δάκρυον φέρεται ἢ ἁλυκὸν ἢ δριμὺ ἢ ψυχρὸν καὶ τὸ σύμπαν σῶμα κακόχυμον καὶ ἡ κεφαλὴ περιττωματικὴ καὶ ἡ γαστὴρ συνεχῶς ἐπεχομένη καὶ πλῆθος περιττωμάτων μοχθηρῶν ἐκ τούτου ἀθροίζουσα καὶ περιωδυνία σφοδρὰ πρόσεστιν. ἐπὶ γὰρ τῶν φλεβοτομουμένων τὴν πληθώραν τοῦ παντὸς σώματος ὑφαιρούμεθα, ἐπὶ δὲ τῆς καθάρσεως τὴν κακοχυμίαν φεύγομεν. ἡ δὲ τῶν καθαρτηρίων φύσις οὐ μία, ἀλλὰ πλείονες· πρὸς γὰρ τὸν πλεονάζοντα καὶ λυποῦντα χυμὸν ἐξαλλάττεται ἡ τῶν φαρμάκων ὕλη. εἰ μὲν οὖν γαστρὸς εἴη καὶ συνεχὴς ἐπίσχεσις, δοτέον αὐτοῖς τὴν ἀλόην λειωθεῖσαν μετὰ χυλοῦ κράμβης καὶ ἀναπλασθεῖσαν εἰς καταπότια· εἰ δὲ φλέγμα μᾶλλον πλεονάζοι ἢ τὸ ὑδατῶδες, δίδου τὸ δι᾽ εὐφορβίου καὶ πεπέρεως καὶ ἁλῶν ἀμμωνιακῶν σκευαζόμενον· εἰ δὲ χολὴ πλεονεκτεῖ, διδόναι τὴν δι᾽ ἀλόης πικρὰν προσπλέκοντα τῇ δόσει σκαμμωνίας λειοτάτης γράμματα β̄ ἢ ἔλαττον πρὸς δύναμιν· εἰ δὲ ὁ μελαγχολικὸς ἐπικρατεῖ χυμός, προσπλέκειν τῇ δόσει ἐπιθύμου γράμματα ϛ̄ καὶ σκαμμωνίας ὀβολοὺς γ̄. μετὰ δὲ τὴν διὰ τοῦ καθαρτηρίου γιγνομένην ἱκανὴν κένωσιν, εἰ μὲν ἁπλῆ καὶ ἀτραυμάτιστος εἴη ἡ διάθεσις, τοῖς στύφουσι κολλυρίοις κεχρῆσθαι, οἷός ἐστιν ὁ Ἑρμόλαος καὶ τὰ παραπλήσια στατικὰ λεγόμενα καὶ ἀποκρουστικὰ καὶ τούτων δι᾽ ἐγχυματισμῶν παραλαμβανομένων. εἰ δὲ συμβῇ τραυματισθῆναι τὸν ὀφθαλμόν, τοῖς ἁπαλοῖς καὶ ἀδήκτοις χρηστέον, οἷά ἐστι τὰ κυκνάρια καὶ τὰ Λιβιανά. ὁ μὲν οὖν πρὸς τὴν παροῦσαν χρείαν σκοπὸς τοῦ ἀφορισμοῦ Ἱπποκράτους ἤδη προείρηται, τουτέστιν ὅπως δεῖ πρὸς τὰς μεγίστας ὀδύνας καὶ φλεγμονὰς ὀξέως ἐνίστασθαι. ἐπειδὴ δὲ ἐπὶ πολλῶν παραλαμβάνεται τὰ μέγιστα βοηθήματα, μάλιστα φλεβοτομία καὶ κάθαρσις, σκοπητέον ὅπως τοὺς τοιούτους μεταχειρίζεσθαι· σὺν τοῖς καθολικοῖς τοίνυν σημείοις τοῖς προειρημένοις καὶ ἰδικά τινα κατὰ τὸν ὀφθαλμόν ἐστιν ἰδεῖν σημεῖα πᾶσαν αὐτοῦ θ̄

25 ἤδη προείρηται *cf p. 257, 19 sqq.* 29 τοῖς καθολικοῖς σημείοις τοῖς προειρημένοις *cf. p. 254, 31 sqq.*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *ante* ἰδικά: καὶ C χ D P 1. 2 ἰδικὰ — νόσημα *om.* A Q ω *fort. del.* τῆς ὀφθαλμίας χ P κρίνεται C 7 ἐκ τούτου ἀθροίζουσα *om.* A Q ἀθροίζεται C 9 ὑφορόμεθα C Q ...ώμεθα A D P ω 10 φεύγωμεν C *ante* ἡ: ἐπεὶ C 12 γαστρὸς *om.* χ καὶ *om.* C χ Q σχέσις ω 14 πλεονάζει C A Q ω ἢ τὸ ὑδατ. *om.* Q *post* δίδου: τὴν ἱερὰν Γαληνοῦ ἢ C 15 *post* σκευαζόμ.: οὕτως (οἷον *add.* C) εὐφορβίου δραχμὰς (οὐλκὰς C) ῑ (ε̄ C) πεπέρεως κεράτια (κέρατα C) η̄ (δ̄ C) ἁλῶν ἀμμωνιακῶν δραχμὰς (οὐλκὰς C ἀνὰ *add.* D P) η̄ (δ̄ C)· ποίει (δὲ *add.* D P) καὶ δίδου ξηρίον ἐν ᾠῶ ῥοφητῶ κεῖται ἡ σκευασία αὐτοῦ ἐν τῶ τρίτω λόγω κεφαλαίω ρ̄ῑ (κεφ. ρ̄ῑ *om.* D P) C ψ 16 ....νεκτῆ C ...πλέκοντες C χ Q ....τας D P 17 ἢ *om.* C 17—23 δύναμιν — παραλαμβανομένων *om. sed spat. vac.* C 19 καὶ *om.* D P διὰ *om.* φ D P 21 χρῆσθαι D P 22 στατικὰ — ἀποκρουστ. *om.* ψ ω 24 ἁπλοῖς D P καὶ ἀδήκτοις *post* χρηστέον *transp.* C χ A P Q *om.* ω εἰσι D P ω κυκνάρια *v. supra p. 260, 23* 25 Ἱπποκράτης C ω 27 διανίστασθαι D P παραλιμπάνεται χ D P 28 *ante* ὅπως: δὴ C χ δεῖ ω *post* ὅπως. δεῖ D P *id. post* μεταχ. A Q 29 καθολ.] καθὲξ ω 30 καὶ *post* ἰδ. *add. ex dittogr.* L[a] *ante* κατὰ: τοῖς C Q τοὺς ὀφθαλμοὺς D P ἰδεῖν ἐστι D P ἐστ. ἰδ. *post* σημ. *transp.* C αὐτῶν L[a] D P *om.* ω

τὴν νόσον ἐξελέγχοντα· λῆμαί τε γὰρ καὶ δάκρυον ἐπιφαίνεται, ποτὲ μὲν καὶ κολλῶδες καὶ παχύ, ποτὲ δὲ καὶ λεπτὸν καὶ συντόμως ῥέον, καὶ ἄλλοτε μὲν ἁλμυρόν, ἄλλοτε δὲ δριμὺ καὶ δακνῶδες, καὶ ποτὲ μὲν θερμόν, ποτὲ δὲ ψυχρόν. ἐν ἀρχῇ δὲ τῆς ὀφθαλμίας εὐθὺς ἡ λήμη φανεῖσα μᾶλλον ἀπεψίας ἐστὶ γνώρισμα καὶ χρονίαν τὴν ὀφθαλμίαν γίγνεσθαι σημαίνει. δεῖ οὖν ἐπὶ τούτων παρηγορικῶς θεραπεύειν γλυκέσι κολλυρίοις δι᾿ ἐγχυματισμῶν καὶ τῆς λοιπῆς ἀγωγῆς, ἵνα τῷ χρόνῳ ἡ σύμπεψις ἀληθὴς γένηται. τὰ γὰρ ἀποκρουστικὰ κολλύρια ὡς ἐπίπαν ψυχρότερα ὄντα τῇ δυνάμει πίλησιν ἢ πύκνωσιν τῶν σωμάτων ἢ τῶν πόρων, πίλησιν μὲν τῶν σωμάτων, πύκνωσιν δὲ τῶν πόρων ποιεῖται καὶ ἀποκλείοντα τὰς ὕλας φλεγμονὰς μεγίστας καὶ ὀδύνας χαλεπὰς ἐπιφέρει, ἐνίοτε δὲ καὶ ῥῆξιν τοῦ κερατοειδοῦς χιτῶνος διὰ τὴν ἐκ τῶν ὑγρῶν περίτασιν, καὶ μάλιστα ἐρεύθους ὄντος καὶ φλεγμονῆς καὶ πλήθους ὕλης ὑποκειμένου ἐν τοῖς ὀφθαλμοῖς· τοιαῦτα δέ ἐστι κολλύρια τὰ διὰ πλείονος ὀπίου καὶ ἀκακίας σκευαζόμενα, οἷός ἐστιν ὁ ᾿Αντωνῖνος καὶ ὁ ῾Ερμόλαος καὶ τὰ πηλάρια καλούμενα καὶ τὰ τούτοις παραπλήσια. τινὲς γὰρ ἐπὶ πλεῖον τῷ ᾿Αντωνίνου κολλυρίῳ χρησάμενοι μετὰ τῆς προσθήκης τῶν ὀδυνῶν καὶ τὴν ὀπτικὴν ἠδίκησαν δύναμιν· τῇ γὰρ ἀμέτρῳ ψύξει νέκρωσιν μᾶλλον τοῦ μορίου εἰργάσαντο.

ι̅ Περὶ πυρίας. πυρίᾳ μὲν οὖν χρηστέον πολλῇ, εἴ γε μάλιστα ἐν ἀρχῇ ὀφθείη ἡ παχυτάτη λήμη, πρὸς τὸ ἀπολεπτύνειν αὐτήν. λουτροῦ δὲ παντάπασιν ἀπέχεσθαι, ἐνίοτε δὲ καὶ οἴνου, καὶ τροφὰς διδόναι ὀλίγας καὶ εὐκοιλίους καὶ λεπτυνούσας. εἰ δὲ σκληροκοίλιοι εἶεν, καὶ κλύζειν σεύτλων καὶ πιτύρων ἀφεψήματι σὺν μέλιτι καὶ ἁλσί· καὶ διαχριστέον τὸ στόμα τῇ διὰ μόρων πρὸς τὴν τῆς ὕλης κένωσιν ἤ τινι διακλύσματι ἀποφλεγματίζειν· οἱ πλείους γὰρ εὐπαθεῖς ἔχοντες τοὺς σιαγονίτας μύας δυσφόρως πρὸς τὴν μάσησιν ἔχουσι. μετὰ ταῦτα δέ, καθὼς προείρηται, τοῖς ἁπαλοῖς κολλυρίοις ἐγχυματίζειν. καὶ εἰ

16 ὁ ᾿Αντωνῖνος *cf. infra* τὰ πηλάρια καλούμενα *cf. p. 360, 4sqq.*; *Paul. Aeg. VII 16, 11, Alex. Trall. II p. 23* 28 καθὼς προοείρηται *cf. 261, 24*

φ(C L^a) χ(M^o) ψ(A D P Q) ω(A^t) 1 λῆμαι, ...μμαι *codd.* γὰρ *om.* ω ἐπιφέρεται C χ A Q 2 καὶ *alt. om.* C ψ ω 3 ἄλλοτε .... ἄλλοτε] ὁτὲ ... ὁτὲ A Q δὲ *om.* C 4 μὲν *om.* D P θερμὸν .... ψυχρὸν] ψυχρῷ ... θερμῷ C δὲ *pr. om.* D P 5 γνωρίσματα C 6 γενέσθαι D P σημ.] συμβαίνει χ ω τούτων] τῶν τοιούτων ω 8 ἀληθῶς ω 10 *post* σωμάτων: ποιεῖται C ψ ω ἢ τ. πόρων] πάντων δὲ τῶν πόρων D *om.* C A P Q ω 10. 11 πίλησιν — πόρων *om.* D ω 11 ποιεῖται *om.* C ψ ω 13. 14 χιτῶνος (...ῶσι A Q) — περίτασιν *post* ὀφθαλμοῖς *(14) transp.* C A Q παράτασιν P περίστασιν ω καὶ *om.* D P *ante* ἐρεύθους: δὲ καὶ D P ὄντος — καὶ πλήθους *om.* D P ὄντως φ 14 *ante* ὕλης: καὶ D P χολῆς L^a ὑποκειμένης C ...νων D P ἐν *om.* D P 15 δέ *om.* χ ω 16 οἷον D P ᾿Αντώνιος χ πιλάρια, πηλ., πηλλ. *codd* 17 πλείω C χ A Q ᾿Αντωνίῳ χ ...νίνῳ C D P ω 18 ὀδυνηρῶν ἢ τῶν ὀδυνῶν C 19 δύναμιν ἠδίκησαν ω εἰργάσαντο *om.* L^a 20 *post* πυρίας: καὶ δοκιμασίας πομφόλυγος. περὶ τοῦ λευκοῦ τοῦ ᾠοῦ C γε] τε C 21 ὀφθείη] φανείη ω ἡ *om.* ψ λουτρῶν P ω 22 *post* ἀπέχεσθαι: ἐν δὲ τοῖς ἄλλοις ἡ πυρία ἔοικε τῷ βαλανείῳ D P οἶνον D P 23 εἶεν καὶ *om.* ω 24 ἐκκλύζειν ω 25 διαχρηστέον τῷ στόματι C τῇ] τὸ D P *om.* C A Q 26 οἱ πλείους — ἐγχυματίζειν *(29) om.* ω 27 μῦς α, *exc.* L^a ἔχουσιν πρὸς μάσησιν C A Q 27. 28 δὲ ταῦτα C ψ ἁπλοῖς D P *ante* ἐγχυματ.: κεχρῆσθαι C

μὲν θερμὴ διάθεϲιϲ εἴη, τοῖϲ Λιβιανοῖϲ καλουμένοιϲ χρηϲτέον, οἷόν ἐϲτι τὸ ὑφ' ἡμῶν πρὸϲ τὰϲ τοιαύταϲ διαθέϲειϲ δεδοκιμαϲμένον, ἐν δὲ τοῖϲ τοῦ Ἡρᾶ τόμοιϲ ἀναγεγραμμένον. τοῦτο δὲ καὶ τεφρὸν πρὸϲ αὐτοῦ ὠνόμαϲται, πομφόλυγοϲ μὴ λαμβάνον. ὅθεν καὶ ἡμεῖϲ ἐπελεξάμεθα τὴν τούτου γραφήν· ὁ γὰρ πομφόλυξ ϲπανίωϲ μὲν εὑρίϲκεται, ἑτοίμωϲ δὲ νοθεύεται.

δοκιμαϲία πομφόλυγοϲ. ἔϲτι δὲ τῷ χρώματι τὸ κάλλιϲτον οὐ ῑᾱ λευκόν, ἀλλὰ μᾶλλον ἐπὶ τὸ πελιδνότερον ῥέπον. δοκιμαϲία δὲ αὐτοῦ ἀρίϲτη· ἐπ' ἀνθράκων ἐπιπαττόμενοϲ χρυϲίζουϲαν τοῦ πυρὸϲ τὴν ἰδέαν ἀπεργάζεται. χρηϲτέον οὖν τῷ τεφρῷ καλουμένῳ κολλυρίῳ πρὸϲ τὴν ὑπὸ θερμοῦ χυμοῦ ϲυνιϲταμένην ὀφθαλμίαν· εἰ δὲ μὴ παρείη τοῦτο, τινὶ τῶν ἄλλων Λιβιανῶν χρηϲτέον ἢ τῷ κυκναρίῳ. εἰ δὲ φλεγμονὴ παρείη μετὰ δακρύου θερμοῦ ἐπιρροῆϲ, τὸ ἑκατοντάρχιον ὑδαρέϲτερον ἐγχυματίζειν ϲυμφέρει, εἰ μὴ ἡλκωμένοϲ εἴη ὁ ὀφθαλμόϲ. καὶ εἰ μὲν ἡ φλεγμονὴ ἐπικρατεῖ, προϲπλέκειν τῷ ἑκατονταρχίῳ τινὰ τῶν ἀϲτύφων κολλυρίων· εἰ δὲ τὸ ῥεῦμα μᾶλλον ἐπικρατεῖ, αὐτὸ καθ' αὑτὸ ὑδαρέϲτατον ἐγχυματιζέϲθω. πάντων δὲ κρεῖττον ποιεῖ, ἐφ' ὧν λῆμαί εἰϲι παχεῖαι καὶ γλίϲχραι, τὸ δι' οἴνου ἰϲόθεον ἐπιγραφόμενον μετὰ τοῦ λευκοῦ τοῦ ᾠοῦ ἐγχυματιζόμενον ὑδαρέϲτατον, ὡϲ χρωϲθῆναι μόνον τῷ κολλυρίῳ τὸ ᾠόν· καὶ γὰρ ταχίϲτην ἀπαλλαγὴν φέρει χωρὶϲ ἑτέρου τινὸϲ βοηθήματοϲ. μετὰ δὲ τὴν τῶν κολλυρίων χρῆϲιν, εἰ μὲν νύξεώϲ τινοϲ ἢ δήξεωϲ ἢ θερμαϲίαϲ ἐπαιϲθάνοιντο, τῷ λευκῷ τοῦ ᾠοῦ ψιλῷ ἐγχυματίζειν θερμανθέντι. φερόμενον γὰρ τὸ δάκρυον ἐκ τῶν ὑπερκειμένων μερῶν πρὸϲ τῷ βλεφάρῳ τὴν ϲύϲταϲιν ποιεῖται καὶ φανταϲίαν ψάμμου ἐνδείκνυται. καί τινεϲ τῶν ἰατρῶν πιϲτεύϲαντεϲ τοῖϲ ὑπὸ τοῦ κάμνοντοϲ λεγομένοιϲ, ὡϲ εἶναί τι ὑπὸ τὸ βλέφαρον ψαμμίον, εἶτα ϲτρέψαντεϲ ϲπόγγῳ ὑποξέουϲι τὸ βλέφαρον καὶ δοκοῦϲι μὲν πρὸϲ τὸ παρὸν τῆϲ ὑπονοίαϲ ἀπαλλάττειν τὸν πάϲχοντα, ὕϲτερον δὲ μεγίϲτηϲ βλάβηϲ αὐτῷ πρόξενοι γίγνονται· τραχύνοντεϲ γὰρ τὸ βλέφαρον, διπλαϲιάζουϲι τὸ νυγματῶδεϲ ἄλγημα. δεῖ οὖν μὴ πάνυ τοῖϲ

1 τοῖϲ Λιβιανοῖϲ κτλ. *cf. infra c. 107* 7 δοκιμαϲία πομφόλυγοϲ *cf. Gal. de comp. med. s. loc. IV, 1 (XII, 699, 12sqq.)* 10. 11 χρηϲτέον — ὀφθαλμίαν *cf. Gal. de simpl. med. temp. ac fac. IX 25 (XII, 235, 5—6)* 18 τὸ δι' οἴνου ἰϲόθεον ἐπιγραφόμενον *cf. c. 112*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *post* θερμή: ἡ DP εἴη] ἢ P καλουμ.] κολλυρίοιϲ ω 2 *ante* ἐν: καί, *om.* δὲ *post* ἐν DP 3 ...γεγραμμένοιϲ C 4. 5 ...ιλεξόμεθα Cχ A Q ω 5 πομφόλυγξ Cψ 7 Δοκιμ. πομφ.] *in marg.* Περὶ δοκιμαϲίαϲ πομφόλυγοϲ χ *item in marg.* C ῆ δοκιμαϲίαν πομφόλυγοϲ P *om.* C A D Q τῷ — κάλλιϲτον] κάλλιϲτον τῶ χρώματι A Q ἡ κάλλιϲτοϲ DP 8 λευκὴ DP ῥέπουϲα DP *ante* δοκιμ.: ἡ DP αὐτῆϲ P 9 ...παττομένη DP *ante* χρυϲίζ.: γὰρ A Q τὴν ἰδέαν τοῦ πυρὸϲ χ ω 10 οὖν *om.* L[a] 11 χυμοῦ *om.* ω 12 λιβανῶν L[a] *ante* χρηϲτ.: καλουμένων ω 13 θερμοῦ] τινὸϲ C ἐπιροὴν C ὑδαρέϲτατον Cχψ 15 ...ταρχίνω L[a] τι *corr. Hirschberg* 17 ὑδαρέϲτερον χ DP ω ...ματίζεϲθαι ω 19 τοῦ *alt. om.* ω ὑδαρέϲτερον DP ω 20 μόνω C A Q 22 νύξεώϲ τινοϲ *supra scr. m. 1[a]* D (ἢ δήξεωϲ) ἢ δήξεωϲ *om.* P ...θάνοιτο ω 23 ψιλῶ *om.* χ P 26 τοῖϲ — λεγομ. *om.* χ 27 τὸ *om.* C 29 γὰρ *om.* L[a]

παρὰ τῶν καμνόντων λεγομένοις προσέχειν· ἐπιθολούμενοι γὰρ ταῖς ὀδύναις ἀγνοοῦσι τὸ βλάπτον. προσήκει οὖν μετὰ τὴν τοῦ κολλυρίου χρῆσιν πυριᾶν δαψιλέστερον. διάλυσις γὰρ ἔσται τῆς ἐντάσεως τοῦ δακρύου. ἔπειτα τῷ ψιλῷ λευκῷ τοῦ ᾠοῦ ἐγχυματίζειν προθερμανθέντι· παρ' αὐτὰ γὰρ ἀπαλλάττονται τῆς νύξεως.

Περὶ τοῦ λευκοῦ τοῦ ᾠοῦ. ἀραιοῖ μὲν γὰρ τοὺς πόρους τὸ τοῦ ᾠοῦ λευκὸν καὶ τῇ γλισχρότητι ῥᾳδίως ἐκκενοῖ τὸ δάκρυον καὶ ἐμπλάττει τοὺς πόρους καὶ κατακεράννυσι τὴν τῶν ὑγρῶν δριμύτητα καὶ τὴν αὐτῶν λεπτότητα πρὸς τὴν οἰκείαν παχύτητα μεταβάλλει· καὶ συντόμως φάναι, κἄν τε νύξις παρενοχλῇ κἄν τε μή, ἐγχυματίζειν τῷ ᾠῷ καθ' ἑαυτὸ μετὰ τὴν τῶν κολλυρίων χρῆσιν συμφέρει· ἀποσμήχει μὲν γὰρ πᾶσαν τὴν ἐνοῦσαν σαπρίαν· καὶ γὰρ ἡ τῶν κολλυρίων οὐσία, ὅπως ἂν ᾖ λεπτομερὴς ὑφιζάνουσα τοῖς τε χιτῶσι τῶν ὀφθαλμῶν καὶ τοῖς βλεφάροις, φέρει τινὰ τραχύτητα· καὶ ταύτην προσπελάζουσαν τῷ ὀφθαλμῷ οὐκ ἀγαθὴν νομιστέον.

ιβ Περὶ τῶν γάλα ἐγχυματιζόντων τοὺς φλεγμαίνοντας ὀφθαλμούς. τινὲς δὲ βουλόμενοι ἀμβλῦναι τὴν ὀδύνην ἢ γλυκᾶναι τὴν δριμύτητα, γάλακτι ἀντὶ ᾠοῦ ἐγχυματίζουσιν, ἔλαθον δὲ αὑτοὺς ἀντὶ μικρᾶς παραμυθίας χρονίας διαθέσεως τῷ πάσχοντι πρόξενοι γιγνόμενοι. τὸ αὐτὸ γὰρ πάσχουσι τοῖς τραῦμα λιπαίνουσι καὶ τὰ ὑπερσαρκώματα ἐπαύξουσιν· ἀλλὰ καὶ εὐαλλοίωτον ὑπάρχον τὸ γάλα ὑπὸ τῆς παρὰ φύσιν ἐν τῷ ὀφθαλμῷ θερμασίας ἐπὶ τὸ δριμύτερον παραχρῆμα μεταβάλλεται. καὶ περὶ μὲν τῆς θερμῆς ὀφθαλμίας καὶ ἀτραυματίστου ἱκανὰ τὰ εἰρημένα, ἑπομένως δὲ περὶ τῆς ψυχρᾶς ῥητέον.

ιγ Περὶ τῆς κατὰ τοὺς ὀφθαλμοὺς ψυχρᾶς δυσκρασίας. ἐπὶ δὲ τῆς ἐν τοῖς ὀφθαλμοῖς ψυχρᾶς δυσκρασίας ἧττον τῆς θερμῆς οἱ πόνοι γίγνονται· χρονίζει δὲ μᾶλλον ἐν τῇ θεραπείᾳ καί, εἰ ἐπιγένοιτο ἐπὶ τούτων φλεγμονή, οἰδηματῶδες γίγνεται καὶ οἱονεὶ μολιβδῶδες τὴν χροιάν. ὡς ἐπίπαν δὲ τούτοις ὁ ὀφθαλμὸς οὐ πάνυ τεταραγμένος

6 Περὶ τοῦ λευκοῦ τοῦ ᾠοῦ κτλ. *cf. Gal. meth. med. XIII, 22 (X 936, 18sqq.)*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 παρὰ] ὑπὸ L[a] 3 ἐνστάσεως α, *exc.* L[a] 4 τῷ *om.* D P τοῦ ᾠοῦ τῷ λευκῷ D P ᾠῷ *tant.* ω ....θερμανθέντα C A Q τὸ θερμανθὲν ω 5 παρ' αὐτὸ (*in marg.* C[η] ἀντὶ τοῦ κατ' αὐτὸ) χ παραυτίκα D P 6 Περὶ — ᾠοῦ *om.* C χ ψ τοὺς *om.* C 8 τὴν *alt. om.* A 10 ...ενοχλεῖ χ A Q ω 11 ἑαυτῷ L[a] αὐτῷ C αὐτὸ A Q χρῆσιν τῶν κολλ. D P συμφ.] σοι προσφέρει ω 12 ἔννοσον α, *exc.* L[a] *ante* οὐσία: χρὴ ω 13. 14 τοῖς τε τοῖς βλεφάροις καὶ χιτῶσιν τῶν ὀφθαλμῶν χ 16 Περὶ τῶν (τῶν *om.* C) γάλα ἐγχυματιζόντων (...ζομένων C Q ω) τοὺς φλεγμαίνοντας ὀφθαλμούς *om.* L[a] χ D P γάλα *indecl.* = γάλακτι *Hirschberg* 17 δὲ] μὲν A[t] 18 *ante* δριμύτ.: θερμότητα ω *post* ἀντὶ: τοῦ C χ A Q ω ἑαυτοὺς α, *exc.* φ 19 μικρῆς C χ A Q ω 20 πάσχ. τ. τρ.] π. τὰ τραύματα D P π. τραύμασιν C χ 22 τῆς παρὰ — ὀφθαλμῷ *post* δριμύτ. *transp.* χ 22. 23 παραχρῆμα *om.* ω παραχρ. — μὲν τῆς *om. sed spat. vac.* C 23. 24 καὶ περὶ — ῥητέον *om.* A[t] καὶ *alt. om.* C ψ 24 *ante* περὶ: καὶ D P 25 τῆς κατὰ — ψυχρᾶς] τῶν *(sic)* ἐν τοῖς ὀφθαλμοῖς γιγνομένης ὀδύνης ἐκ θερμῆς C 26 ἐν τοῖς *om.* ω 27 ...γένηται D P 28 ...ματώδης C χ ψ ...βδώδης C χ D P Q 29 χρόαν C ω

οὐδὲ ἐνερευθὴς εὑρίσκεται, δάκρυον δὲ αὐτοῖς ἀπορρεῖ διὰ τοῦ μικροῦ κανθοῦ, ἔσθ' ὅτε δὲ καὶ διὰ τοῦ μεγάλου, βραχύτατον καὶ ψυχρότατον· προβαίνοντος δὲ τοῦ χρόνου καὶ ὑποφλεγμαίνει τὰ βλέφαρα καὶ νυγμοὶ παρακολουθοῦσι. συνίσταται δὲ τὸ πάθος, φλεγματικῶν καὶ ψυχρῶν ἐν τῇ κεφαλῇ πλεονασάντων, ἐνίοτε δὲ καὶ ἀέρι ψυχρῷ ἐνδιατριψάντων καὶ μάλιστα μετὰ βαλανεῖον. τούτοις μὲν οὖν εὐκαίρως προκεκενωμένοις κλυστῆρι τὴν κοιλίαν καὶ τὸ λουτρὸν προσαγέσθω, ἀλλὰ καὶ οἶνον δοτέον, καθὼς πρὸ βραχέων ἐν τῇ τοῦ Ἱπποκρατείου ἀφορισμοῦ ἐξηγήσει προείρηται. ἐγχυματιστέον δὲ αὐτοὺς ἀρχομένης τῆς ὀφθαλμίας τῷ ναρδίνῳ Ζωίλου ὑδαρεστέραν τὴν σύστασιν ποιοῦντες ἐν τῇ ἀνέσει· καὶ ὅσον ὑπομειοῦται τὰ τοῦ δακρύου, παχύνειν καὶ τὴν τοῦ κολλυρίου σύστασιν. ἔσται δέ σοι οὗτος καθολικὸς ὅρος τῆς κατὰ τοὺς ὀφθαλμοὺς θεραπείας τὸ τῇ μειώσει τῶν ἐπιφερομένων παχύνειν τὴν τῶν προσαγομένων κολλυρίων σύστασιν, παρακμαζούσης δὲ τῆς ὀφθαλμίας ὕδατι ἀνέσαντες τὸ νάρδινον ὑπαλείφειν τῷ πυρῆνι τῆς μήλης τὸ βλέφαρον.

Περὶ ἐμφυσήματος ἐκ τῶν Δημοσθένους. ἐμφυσᾶσθαι τὸν ὀφθαλμὸν ιδ λέγουσιν, ὅταν χωρὶς φανερᾶς αἰτίας οἰδήσας ὁ ὀφθαλμὸς ἀχρούστερός τε καὶ φλεγματωδέστερος καὶ κνησμώδης ἰσχυρῶς μετὰ ῥεύματος γένηται· συμβαίνει δὲ τοῦτο ὡς ἐπίπαν τοῖς πρεσβυτέροις μάλιστα, ἀπὸ τοῦ πρὸς τῇ ῥινὶ κανθοῦ τοῦ κνησμοῦ ἀρχομένου, ὥσπερ ὑπὸ μυίας ἢ κώνωπος δήγματος· πλεονάζει δὲ ἐν θέρει. θεραπευτέον δὲ πυριῶντα διὰ σπόγγου, εἶτα ὑπόχριε ἔνδοθεν τὸ βλέφαρον μέλι⟨τι⟩ κατ' ἰδίαν καὶ μετὰ κρόκου λείου· καὶ ἡ Ἐρασιστράτειος δὲ πάγχρηστος ὑγρὰ εὐθετεῖ· ἐπιχρίειν δὲ καὶ ἔξωθεν τὰ βλέφαρα τῷ μέλιτι. συμφέρει δὲ καὶ κενοῦν τὴν κοιλίαν, εἶτα καὶ λούειν καὶ καταχεῖν κατὰ τῆς κεφαλῆς εὔκρατον θερμὸν ὕδωρ. καὶ μετὰ τὸ λουτρὸν οἶνον διδόναι· ἐπὶ δὲ τῶν ἄγαν κνησμωδῶν, εἰ ἐπιτρέποι ἡ ἡλικία καὶ τὰ

9 προείρηται *cf. p. 257, 19* 10 τῷ ναρδίνῳ Ζωίλου | 24. 25 καὶ ἡ Ἐρασιστράτειος—εὐθετεῖ *cf. Paul. III 22 (I 175, 4)*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 δὲ *om.* C A Q ω 3 ...φλεγμαίνουσι D P 5 *post* πλεονασάντων: χυμῶν A Q περιττωμάτων D P 6 βαλανείων ω οὖν *om.* χ ω 7 προκεν. Q προσκεν. ω κλυστῆρσι *et* τῷ λουτρῷ ω τῷ λουτρῷ C 8 προβραχέως C ...ος ψ τῇ] τῷ L[a] τοῖς ω Ἱπποκράτου C χ A D Q ...τους P ω 9 ἀφορισμῷ L[a] ...οῖς ω ἐξηγ. *om.* ω προγέγραπται D P 10 ὀφθαλμ.] θεραπείας C διαθέσεως D P τὴν σύστ. *post* ποιοῦντες C ποιοῦντας *(recte)* D P 11 ἀπομειοῦται ω 12 *post* σύστασιν: ποιοῦντες ἐν τῇ ἀνέσει (καὶ ὅσον ὑπομ. τὰ τοῦ δακρύου C) *(v. l. 10sq.)* C A Q οὗτος *om.* C Q 13 τὸ] τῷ φ A Q ω 15 δὲ] γὰρ ω ἀνιέντας *(recte)* D P τῷ] τὸ C πυρίνι L[a] A ...νη χ ω πύρινον C 17 *post* ἐμφυσήμ.: ἐν ὀφθαλμοῖς C A Q ὀφθαλμῶν D P ἐκ τ. Δημ. *om.* C A Q 18 *post* χωρίς: τινας (*l.* τινος) ω ἁπλούστερος ω 19 κνησμώδης] σφυγμώδης L[a] ἰσχυρὸς C *om.* D P 20 γίγνεται φ χ A Q ω μάλιστα τοῖς πρεσβυτέροις D P 21 τὴν ῥῖναν C τοῦ *alt. om.* α, *exc.* L[a] 22 *post* μυίας: δακνομένου ω δήγματος *om.* ω προσπλεονάζει ω θεραπεύεται A ω 23 πυριῶντας D P μέλι α, *corr. Hirschberg* 24 καὶ *pr. om.* ω Ἐρασίστρατος χ ....ράτου D P δὲ] καὶ L[x] ω 25 καὶ *om.* ω τῷ *om.* ω 26 κατὰ τῆς κεφ.] τὴν κεφαλὴν ω 28 ...τρέπει C Q ἡλικία] κοιλία D P τὰ *om.* φ Q 28. *p. 266, 1* τὰ ἑξῆς] ἡ ἕξις A D ἕξις χ P

ἑξῆς καὶ μηδὲν ἕτερον ἀντιπράττοι, φλεβοτομεῖν ἀπ᾿ ἀγκῶνος ἢ προκενώσαντα τὴν κοιλίαν καθαίρειν· καὶ θάλασσα δὲ ἡ θερμὴ ὠφελεῖ καταντλουμένη μάλιστα χειμῶνος.

ιε Περὶ οἰδήματος. οἰδαίνειν τὸν ὀφθαλμὸν λέγουσιν, ὅταν συμβῇ ἐπῆρθαι τὸ βλέφαρον ἔξωθεν καὶ ἀχρούστερον εἶναι καὶ βαρύτερον καὶ δυσκινητότερον καὶ ὠχρότερον φαίνεσθαι. ἐνίοτε δὲ καὶ τὸ λευκὸν τοῦ βλεφάρου ὑπεραίρει ἐπὶ ποσὸν τοῦ μέλανος· ἔστι δὲ ὅτε σομφὸν οἴδημα ἔξωθεν περὶ τὸ βλέφαρον γίγνεται, ὃ πιεζόμενον τῷ δακτύλῳ ταχέως ὑποχωρεῖ καὶ ταχέως ἀναπληροῦται. καί ἐστιν ἄπονον ὡς ἐπὶ τὸ πολὺ καὶ ὁμόχρουν τῷ κατὰ φύσιν, γίγνεται δὲ ὡς ἐπίπαν ὑπὸ ῥεύματος ὑδαροῦς. θεραπευτέον δέ, ὅσα ἔξωθεν περὶ τὰ βλέφαρα μόνα ἐστὶν οἰδήματα, χωρὶς τῆς τοῦ ὀφθαλμοῦ συμπαθείας προκενωθείσης τῆς κοιλίας κλυστῆρι τοῖς ἐπιχρίστοις μόνοις προπυριάσαντα διὰ σπόγγων. τὰ δὲ σομφὰ οἰδήματα καὶ ὁμόχροα προκενώσαντα ὁμοίως τὴν κοιλίαν καὶ πυριάσαντα, μέλιτι ὑποχρίειν ἔνδοθεν τὸ βλέφαρον· ὠφελοῦνται δὲ καὶ οὗτοι ὑποχριόμενοι τῇ Ἐρασιστράτου ὑγρᾷ. χρηστέον δὲ ἐπ᾿ αὐτῶν καὶ ἀποφλεγματισμοῖς διὰ μέλιτος ἑφθοῦ καὶ σταφίδος ἡμέρου καὶ θύμου καὶ γλήχωνος· τὰ δὲ δριμύτερα παραιτητέον, καθάπερ σταφὶς ἀγρία καὶ τὰ ὅμοια. ἐφ᾿ ὧν δὲ καὶ ὀφθαλμὸς συμπέπονθε τῷ βλεφάρῳ, προκενώσαντα τὴν κοιλίαν καὶ ἐν ἀσιτίᾳ τηρήσαντα πυριᾶν σπόγγοις· ἐνίοτε δὲ καὶ προκαταντλήσει τοῦ προσώπου χρῆσθαι, καὶ μάλιστα ἐφ᾿ ὧν κνησμὸς παρέπεται· εἶτα ἀψινθίῳ λείῳ ἢ ὑσσώπῳ μετὰ μέλιτος ἐπιχρίειν ἄνωθεν τὸ βλέφαρον. ἐὰν δὲ ὁ χρὼς ἀσθενὴς ὑπάρχῃ, φακὸν ἑψήσας καὶ δι᾿ ἠθμοῦ μαγειρικοῦ ἢ διὰ κοσκίνου ἢ ῥάκους ἀραιοῦ ἐκθλίψας καὶ μέλιτι μίξας τὸ ἀπόθλιμμα ἐπίχριε· ἐὰν δὲ θέρος ᾖ, κρόκον μετὰ οἰνομέλιτος περιχρίειν ἢ διὰ χυλοῦ κόρεως ἢ

4—7 οἰδαίνειν — μέλανος *cf. Gal. ascr. int. s. med. 16 (XIV, 769, 1—5), (id.) def. med. 327 (XIX, 433, 10—12)* 17. 18 διὰ μέλιτος — σταφίδος ἡμέρου | 20. 21 πυριᾶν σπόγγοις *cf. Paul. ib. (ib. 174, 24—25, 21—22)* πυριᾶν σπ. *cf. Gal. de comp. med. s. loc. ib. (ib. 797, 18—798, 1)*

φ(C Lª) χ(M°) ψ(A D P Q) ω(Aᵗ) 1 ....πράττειν C ....ει χ A P Q ω *post* φλεβοτ.: κατὰ τοῦ ἄκρου τῆς χειρὸς κατὰ τοῦ μεγάλου δακτύλου ἢ C ἀπ᾿ ἀγκ.] κατὰ τοῦ ἀγκῶνος C 2 ...νώσαντα D ἡ *om.* A Q 3 *post* χειμ.: χρῶ C 4 *post* οἰδήμ.: ἐν ὀφθαλμοῖς (γιγνομενου *add.* C) C ψ λέγεται D P 5 βραδύτερον χ 6 φέρεσθαι ω δὲ *om.* Q 7 βλεφ. („*sachlich nicht zulässig*")] ὀφθαλμοῦ *corr. Hirschberg* *post* ὅτε: καὶ C A Q 8 γιγνόμενον χ ω πιεζούμενον Lª χ πιέζοντα μὲν ω 9. 10 ἐπιπολὺ ψ τῷ] τὸ C Q 11 θεραπεία (...πεύει ω) τε ὅσα δὲ Lª μόνα *om.* D P 13 κλυστηρίω C ....τῆρσι ω ...πυριάσαμεν χ ....ριάσαντας D P ....τες ω 13. 14 διὰ σπόγγου χ D P δὲ σπόγγον ω 14 δὲ] καὶ A Q *om.* Lª ὁμόχρονα Lª 14. 15 ....νώσαντας ....σαντας D P 15 μέλιτι] μάλιστα D P 16 αὐτοὶ C Q 17 καὶ *alt. om.* C ἀσταφίδος D P 19 ἀσταφὶς ἀγρία D P σταφίδα ἀγρίαν ω *ante* ὀφθαλμὸς: ὁ C χ D P 20 .... κενώσαντας .... τηρήσαντας D P 21 δὲ *om.* C χ A Q ω 22 ἔπειτα A ω ἀψίνθιον λεῖον ἢ ὕσσωπαν α, *exc.* D P 23 τὸ βλέφαρον *om.* ω ὁ χρῶς] τὸ σῶμα ὠχρὸς χ τὸ χρῶμα (ὠχρὼς *add.* C) C A Q χροῦς Lª 24 ὑπάρχει C χ ὑπάρχοι ω ἰσθμοῦ A Q ἢ διὰ κοσκ. *post* ἀραιοῦ *transp.* P 26 ᾖ] εἴη C ω ἐπίχριε C ...ίειν D P ω

στρύχνου ἢ σέρεως ποιεῖ δὲ καὶ τὸ γλαύκιον. τὸν δὲ ὀφθαλμὸν ὑποχρίειν τῇ Ἐρασιστράτου ὑγρᾷ ἤ τινι ἑτέρῳ ὑγρασίαν πλείστην ἐκ τῶν ὀφθαλμῶν ἄγειν δυναμένῳ.

Περὶ σκιρρώδους οἰδήματος. γίγνεται δὲ καὶ σκιρρώδη οἰδήματα περὶ τὸν ὀφθαλμὸν ἔξωθεν ὡς ἐπίπαν ἀντίτυπα καὶ σκληρά, προσερχόμενα μέχρι μήλων καὶ τῶν ὀφρύων· μάλιστα δὲ τοῦτο ἐπισυμβαίνει ἐκ τῶν ἀνθρακώσεων καὶ τῶν πολυχρονίων ὀφθαλμιῶν· πλεονάζει δὲ μάλιστα γυναιξί. δεῖ οὖν, ἐὰν μὲν τὰ βλέφαρα ἅμα ἔνδοθεν παχυνθῇ, ἐκστρέφοντα παρατρίβειν κατὰ τὸ ἔθος τοῖς τραχωματικοῖς κολλυρίοις· ἐὰν δὲ ἔξωθεν ᾖ μόνον ἡ διάθεσις, μηδόλως ὑποχρίειν τὸν ὀφθαλμὸν ἀλλὰ τρῖψιν παραλαμβάνειν τοῦ παντὸς σώματος καὶ αὐτοῦ τοῦ σκιρρωθέντος μέρους. μετὰ ταῦτα κελεύοντα μύειν τὸν ὀφθαλμὸν ἀνατρίβειν ἄκροις τοῖς τέτρασι δακτυλίοις πλείονι χρόνῳ, εἶτα ἐπιχρίειν τῷ ὑποκειμένῳ κολλυρίῳ· λιβάνου < ς̄ κόμμεως < ς̄ στυπτηρίας σχιστῆς < ᾱ σιδίων < ᾱ, λείοις ὕδατι περίχριε καὶ ἔα ξηραίνεσθαι· ἑσπέρας δὲ ὀθόνιον μαλακὸν καὶ ἔριον ἐπιδέσμει, ἐὰν δὲ καρτερῶσι, καὶ ἡμέρας· περιπάτῳ δὲ χρῆσθαι πλείονι ἠρεμαίῳ· παραιτεῖσθαι δὲ βαλανεῖα καὶ ἡλιώσεις καὶ τὰ λοιπὰ πυριατήρια, ὄσπριά τε καὶ τραγήματα θυμούς τε καὶ κατοχὰς πνεύματος καὶ ἐμέτους καὶ συνουσίας περιίστασθαι. ιε

Κοινὴ θεραπεία τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἑλκοῦται ὁ ὀφθαλμός, ὁτὲ μὲν ἔξωθέν τινος προσπίπτοντος, ὁτὲ δὲ ἐξ ἐπιφορᾶς ὑγρῶν ἢ ἀναβρώσεως, εἴτε τοῦ ἐπιπεφυκότος ὑμένος εἴτε τοῦ κερατοειδοῦς ἢ τῶν βλεφάρων ἢ τῶν κανθῶν. θεραπευτέον δὲ καθόλου κοινῶς πάντα τὰ ἐν ὀφθαλμῷ ὁπωσοῦν γιγνόμενα ἕλκη, πρὸ πάντων τοῦ ὅλου σώματος προνοοῦντας ὅπως τὸ πλεονάζον ἐν τῇ ἕξει συναναιρεθῇ διὰ φλεβοτομίας ἢ καθάρσεως ἢ κλυστῆρος. εἰ δὲ καὶ πάντων τούτων ἡ περίστασις δέοιτο, πᾶσι χρηστέον. τὴν δὲ δίαιταν τυποῦν ἐναντίαν τῷ ἐνοχλοῦντι, τὸ μὲν λεπτὸν ῥεῦμα παχύνοντας, τὸ δὲ παχὺ λεπτύ- ιζ

φ(C Lª) χ(M°) ψ(A D P Q) ω(A^t) 1 σεσέρεως (. . . λεως?) Lª 2 *post* τῇ: τοῦ ω πλείστην ὑγρασίαν χ 3 δυναμένων C 4 δὲ *om.* Q καὶ *om.* C 5 τῶν ὀφθαλμῶν ω 5. 6 προερχόμ. C χ A P Q 6 μήλου C 7 δὲ *om.* Lª 8 γυναικί ω μὲν] μετὰ ω *post* μὲν: ἐὰν C τὸ βλέφαρον D P 9 . . . στρέφοντας D 10 ἢ *post* μόνον (. . . ς Q) *transp.* A Q *post* διάθεσις D P 11 τρίψει ω περιλαμβ. ω 12 *post* μετὰ: δὲ D κελεύοντας D P τοὺς ὀφθαλμοὺς Lª D ω *post* ὀφθαλμὸν: καὶ α, *exc.* Lª 13 . . . . τρίβοντα C χ A Q ω ἄκροις — δακτυλίοις *om.* χ ω 14 *post* κολλυρίῳ: Σκευασία κολλ⟨υρίου⟩ περιχρίστου· ἔχει C περίχριστον A P ω Κολλύριον περίχριστον Q < ς̄ *pr. om.* C D ω *post* κόμμεος: ἀνὰ C D < ς̄ *alt.*] οὐλκὰς Γ C στυπτ. *om.* Q 15 < ᾱ *pr. et alt.*] οὐλκῆς ς′ C < α *pr. om. sed post* σιδίων: ἀνὰ D λειῶν D P. χρίε C παράχριε ψ ω 16 ὀθονίω μαλακῶ σὺν ἐρίω D ἐπιδέσμιον Lª ἐπίδεσμα A . . . δεσμεῖν ω καρτεροῦσι χ A Q ω 17 δὲ] δεῖ P *post* πλείονι: καὶ χ . . . τέσθω ω δὲ *om.* χ ω 18 ἥλιον A ω 20 παραιτεῖσθαι C ψ 21 *ante* κοινή: Σεβήρου D P Σεβήρου *post* ἑλκῶν ω *in marg.* χ *post* ἑλκῶν: καὶ χυλοῦ τήλεως σκευασία D P 22 ὅτε . . . . ὅτε C ὑγρῶν] ἑλκῶν ω 24 *post* βλεφάρων: ἐστὶν ω 24. 25 καθόλου — ὁπωσοῦν *om. sed spat. vac.* C κοινῶς καθόλου ω 25 ὀφθαλμοῖς D πρὸς A D 26 προνοουμένους D P ἐντήξη C Q 27 φλεβοτ. — κλυστ. *om. sed spat. vac.* C κλυστῆρσι χ A Q 28 τυποῖν C χ A Q 29 τῶν ὀχλούντων C τὸ μὲν — παχύνοντ. *om. sed spat. vac.* C παχύνοντες χ A Q ω τὸ δὲ — λεπτύν. *om.* χ A Q ω λεπτύνοντες C

νοντας, τὸ δὲ γλίςχρον τέμνοντας, τῶν δὲ διεφθορότων καὶ δριμέων ἐπίκραςιν ἐργαζομένους καὶ πάντοθεν τὴν κατὰ φύςιν εὐκραςίαν τῷ κάμνοντι ποριζομένους. τὴν δὲ κοιλίαν εὔλυτον ἀεὶ ταῖς τροφαῖς ποιητέον τρίψει τε πλείονι χρηςτέον τῶν κάτω μερῶν καὶ περιπάτοις πλείοςιν ἠρεμαίοις· ὑδροποςίᾳ δὲ χρηςτέον καὶ ςπανιώτατα λούειν. κολλυρίοις δὲ ἁπαλοῖς ἐγχυματίζειν τὸν ὁπωςοῦν ἡλκωμένον ὀφθαλμόν, οἷός ἐςτιν ὁ ἀςτήρ, εὐδοκιμώτατον πρὸς ἕλκη φάρμακον καὶ τὰ λευκὰ δὲ τὰ κυκνάρια ἐκ τῆς χρόας προςαγορευόμενα καὶ μάλιςτα τὰ διὰ χυλοῦ τήλεως ςκευαζόμενα. εἰ δὲ ῥυπαρὸν εἴη τὸ ἕλκος, μετὰ χυλοῦ τήλεως ἀνιέναι τὰ κολλύρια χρὴ καὶ οὕτως ἐγχυματίζειν· τὸ γὰρ γλίςχρον αὐτῆς ῥᾳδίαν τὴν ἀποβολὴν ποιεῖται τοῦ ῥύπου· κέκτηται δὲ ςὺν τῷ γλίςχρῳ καὶ χαλαςτικὴν δύναμιν, ὥςτε πολλάκις ἐπὶ τῶν ἑλκῶν αὐτῷ μόνῳ τῷ τῆς τήλεως χυλῷ χρηςάμενοι ἠνύςαμεν τὸ δέον. εἰ δὲ πολὺς εἴη ὁ ῥύπος, προςπλέκειν τῷ τῆς τήλεως χυλῷ καὶ μέλιτος βραχὺ προςήκει.

Χυλοῦ τήλεως ςκευαςία. καθαίρειν δὲ χρὴ τὴν τῆλιν ἀκριβέςτατα καὶ ἀποπλύνοντα αὐτὴν πλειςτάκις ἀποβρέχειν ὕδατι γλυκεῖ καθαρῷ ἡμέραν καὶ νύκτα ἐν ὀςτρακίνῳ ἀγγείῳ καλῶς ὠπτημένῳ· παραιτεῖςθαι δὲ χρὴ χαλκοῦν ςκεῦος πρὸς τὴν ἕψηςιν· τῇ δὲ ἑξῆς ἀποχέας τὸ ὕδωρ καὶ ἕτερον καθαρὸν ἐπιβαλὼν ἕψε πυρὶ μαλακῷ ἀκάπνῳ χρώμενος· ἀποβαλλέςθω δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον ἀφέψημα πρὸς τὸ τὴν πικρότητα πᾶςαν ἀποβληθῆναι· ἔπειτα καθαρώτατον ὕδωρ ἐπιβαλὼν καὶ ςκεπάςας ἐπιμελῶς ἕψε, ἕως ςχῇ ςύςταςιν μέλιτος ὑγροτέραν· ἔπειτα διηθήςας δι᾿ ὀθονίου μὴ ἀποπιέζων τὴν τῆλιν, ἀλλ᾿ ἀρκούμενος τῷ αὐτομάτως ἀπορρέοντι χυλῷ χρῶ, καθὰ προείρηται· δεῖ δὲ ἕως τῆς δευτέρας ἢ τὸ μήκιςτον τρίτης φυλάττειν τὸ ἀφέψημα· δριμύτερον γὰρ γίγνεται χρονίςαν. καθαρῶν δὲ γενομένων τῶν ἑλκῶν ἀπέχεςθαι χρὴ τοῦ χυλοῦ τῆς τήλεως καί, εἰ μὲν βαθύτερα εἴη τὰ ἕλκη, χρῆςθαι τῷ Λιβιανῷ ἢ μᾶλλον τῷ διὰ λιβάνου κολλυρίῳ. ςαρκωθέντων δὲ τῶν ἑλκῶν καὶ ἰςοπέδων γιγνομένων ἢ καὶ

7 οἷος — ἀςτήρ 9. 10 εἰ δὲ ῥυπαρὸν — ἐγχυματίζειν *cf. Paul. III 22 (I 179, 14, 21 sqq.)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 τέμνοντες C Q *ante* καὶ: τῶν C 2 ἐργαζόμενοι C χ A Q ω καὶ πάντοθεν — ποριζομένους *(3) om.* ω 3 ποριζόμενοι C χ A Q 4 χρῆςθαι ω 5 χρῆςθαι ω 6 ἁπλοῖς D P *post* ἁπαλ.: χρῆςθαι ω ...τίζοντες χ ω ὁπως. *om.* ω 7 οἷον (δὲ *add.* C) C Q ἐςτιν *om.* C 8 τὰ *om.* ψ χροιᾶς A Q ω 9. 10 ςκευαζ. — τήλεως *om.* ω 13. 14 χρηςάμ. — χυλῷ *om.* C 15—17 προςήκει — ἀκριβέςτατα καὶ *om.* χ 16 Χυλοῦ — ςκευαςία] Cκευαςία τῆς τίλεως χ ω, *in marg.* C[η] Περὶ τοῦ χυλοῦ τῆς τίλεως P *om.* D 17 ...πλύνοντας D ...ναντας P προπλύνοντα χ 18 ἡμέραν καὶ νύκτα *om.* C A Q ω 19 δὲ *om.* φ χρὴ *om.* α, *exc.* L[a] τῇ] τῆς L[a] 20—22 καὶ ἕτερον — ὕδωρ *om.* ω 20 ἐπιβαλὼν καθαρὸν D P ἐπιβάλλων C A Q ἕψε — ἐπιβαλὼν *(23) om.* Q μαλθακῷ A λευκῷ D P 21 ...βαλέςθω D P 22 τὸ] τῷ D P *om.* C πικριὰν D 23 ἐμβάλλων χ βαλλῶν C ςχῇ] ἔχει ω 24 ὑγροτέρου C χ ...τάτου D P 25 αὐτομάτω P καθὼς χ D P καὶ ὣ ω 26 τὸ μήκιςτον] τῆς ω *ante* τρίτης: τῆς Q 27 χρονίζον C A Q γιγνομένων (γίν.) χ A ω 28 *ante* χρὴ: δὲ ω 29 ἑλκώδη ω 30 καὶ *pr. om.* ω γενομ. D P

ἔτι βαθυτέρων ὄντων βραχύ, προcάγειν τὰ ἀπουλοῦν δυνάμενα κολλύρια, οἷόν ἐcτι τὸ τοῦ Κλέωνοc. καὶ περὶ μὲν τῆc κοινῆc τῶν ἑλκῶν ἐπιμελείαc ἱκανὰ τὰ εἰρημένα, ἑπόμενα δέ ἐcτι λέγειν, ὅπωc χρὴ πρὸc ἑκάcτην διάθεcιν ἰδίᾳ ἐνίcταcθαι. πρότερον δὲ ῥητέον περὶ τῶν ἐκ τῶν ἔξωθεν προcπιπτόντων γιγνομένων ἑλκῶν.

Περὶ τῶν εἰc τὸν ὀφθαλμὸν ἐμπιπτόντων ζῳϋφίων ἢ ἀχύρου ἢ ιη
ψάμμου. ἐὰν εἰc τὸν ὀφθαλμὸν κώνωψ ἤ τι ἕτερον ζῳΰφιον ἐμπέcοι, μύcαc τὸν ἕτερον ὀφθαλμὸν καὶ διανοίγων τὸν πεπονθότα ἐξελεύcεται αὐτομάτωc τὸ ζῳΰφιον· ἐὰν δὲ ἄχυρον ἢ ψάμμοc ἤ τι τοιοῦτον ἐμπέcοι, πειράθητι μὲν καὶ τότε τὸ αὐτὸ ποιεῖν· εἰ δὲ ἐμμείνῃ, δακτυλιδίῳ ἔξελε ἢ ὕδωρ ἢ γάλα ἢ μελίκρατον μᾶλλον ἐγχυμάτιζε· ἐὰν δὲ μᾶλλον προcέχηται τῷ ὀφθαλμῷ, φαρμάκῳ τινὶ τῶν ἀμολύντων καὶ μὴ δριμέων ἀνάρπαζε, οἷόν ἐcτι τὸ διὰ μέλιτοc.

Περὶ τῆc εἰc τὸν ὀφθαλμὸν ἐμπεcούcηc ἀcβέcτου. εἰ δὲ ἄcβεcτοc ιθ
ἐμπέcοι εἰc τὸν ὀφθαλμόν, ὕδωρ μὲν καὶ γάλα ἐγχυματιcθὲν προcελκοῖ καὶ ἐκκαίει, ἀμαυροῖ δὲ τὴν καυcτικὴν δύναμιν ᾠοῦ τὸ λευκὸν ἐγχεόμενον καὶ μᾶλλον τὸ ῥόδινον ἔλαιον ἢ ἐξ ἀνάγκηc κοινόν.

Περὶ τῶν ἀπὸ πυρὸc ἑλκώcεων. ὅcα δὲ ἀπὸ πυρὸc γίγνεται ἕλκη κ
cκληροτέραc ἐcχάραc ποιεῖ. ἀνυγραντέον οὖν αὐτὰ cυνεχέcτατον ἐγχυματίζοντα γάλακτι cὺν τῷ λευκῷ τοῦ ᾠοῦ· κολλυρίοιc δὲ χρηcτέον τοῖc διὰ cτίμμεωc καὶ τῷ Κλέωνοc.

Περὶ τῶν ἐμπηccομένων εἰc τὸν ὀφθαλμόν. ἐὰν δὲ ἐμπαγῇ εἰc κα
τὸν ὀφθαλμὸν ἤτοι cκολόπιον ἢ ὀcτάριον, λαβιδίῳ ἐξέλκεcθαι προcεχόντωc κατ᾽ εὐθὺ μὴ ἀποκλαcθῇ. εἰ δὲ μηδὲν ἐξέχοι ἀλλ᾽ ἰcόπεδον τῷ cώματι εἴη, μήλαc β λαβὼν ἔρειδε τὰc πυρῆναc ἔνθεν καὶ ἔνθεν καὶ προcπιέζων τὸν ὀφθαλμὸν μεcολαβουμένου τοῦ ἐμπαγέντοc· ὅταν δὲ προκύψῃ, τῷ λαβιδίῳ ἐξελκέcθω, εἶτα ἐγχυματιζέcθω αἵματι τρυγόνοc ἢ περιcτερᾶc ἢ ᾠοῦ τῷ λευκῷ. εἰ δὲ παραχρῆμα κομιcθῆναι μὴ

11—13 δακτυλιδίῳ — μέλιτοc *cf. Or.*[e] *IV 31 (449, 6)* 21 τῷ Κλέωνοc *cf. c. 109*

φ(C Lᵃ) χ(Mᵒ) ψ(A D P Q) ω(Aᵗ) 1 ὄντων] ὑπαρχόντων ω *om.* D ἐπουλοῦν D P ω 2. 3 οἷον — ἐπιμελείαc *om.* ω τὸ *om.* C A D P 3 ἑπόμενον C χ ψ 4 ἑκάcτου D P ἰδίαν Lᵃ ..ία *cett. codd.* 4. 5 ἐκ τῶν *om.* χ A ω ἐκ] ἀπὸ D P 5 ἐμπιπτ. C 6 ἐμπιπτ. εἰc τὸν ὀφθαλμὸν ω 7 *post* ψάμμου: ἢ ἄλλου τινὸc τοιούτου C Δημοcθένουc D ω τι *om.* A ἕτερόν τι ω ἐμπέcῃ (*post* κώνωψ D P) α, *exc.* Lᵃ 8 ἐξελεύcεcθαι ποιήcειc D P 9 αὐτομ. *om.* D P 10 ἐμπέcῃ α, *exc.* Lᵃ ...μένει C ...μείνοι D μείνοι P 11 δακτυ λ' *supra scr.* λαβιδίω *m. 1*ᵃ D διὰ λαβιδίου P δακτυλίω χ A ω ...χυματίζειν C 13 ἐνάρπαζε C ἀναρπάζειν ω 15 ἐμπέcῃ α, *exc.* Lᵃ χ μὲν καὶ] ἢ ω προcέλκει (....κεῖ Q) A ω 16 ἐγκαυcτικὴν ω 17 ἢ ἐξ — κοινόν] πάνυ ἐcτὶν ὠφέλιμον C, *om. cett. codd., exc.* Lᵃ 18 Περὶ — ἑλκώc. *om.* C γίγνονται χ D P 19 ἐνυγραντέον ω αὐτὰc χ A ω cυνεχέcτερον α, *exc.* Lᵃ 20 ....ματίζον χ .....ζονταc D 21 cτήμεωc χ A cτίμμεοc D P ....ων ω τῷ] τοῖc ω *om.* χ 23 ἤτοι *om.* D P *ante* cκολόπ.: τι P *id. post* D ἐξελ(κ)έcθω α, *exc.* Lᵃ 23. 24 προcέχοντοc χ A Q ω 24 κατ᾽] καὶ C Q εὐθῆc C 25 μίλαc A Q μύλαc C ω cμήλαc Lᵃ ἔρειδε] αἶρε ω πυρίναc φ χ Q 26 προπίεζε P προcπίεζε χ A D Q ω μέcον λαβομένου Lᵃ μεcολαβομένου C A Q ω ἐμπαρέντοc α, *exc.* Lᵃ 27 αἷμα C Q 28 *ante* ᾠοῦ: τοῦ C τὸ λευκόν C

δυνηθείη, ἐγχυματιζέσθω ὁ ὀφθαλμὸς καὶ καταπλασσέσθω τοῖς πρὸς φλεγμονὰς καταπλάσμασι. μετὰ γάρ τινας ἡμέρας πυρωθέντος τοῦ νύγματος ἀναπλεῖ τὸ κατεμπαγέν.

κβ Περὶ ὑποσφάγματος. ὑπόσφαγμα λέγεται, ὅταν ἐκ πληγῆς τινος ῥαγέντων ἢ θλασθέντων τῶν ἐν τοῖς χιτῶσι τοῦ ὀφθαλμοῦ ἀγγείων, μεταξὺ τῶν χιτώνων τὸ αἷμα ὑπέλθοι καὶ παραχρῆμα μὲν ἔναιμον φανῇ τὸ χρῶμα τοῦ ὀφθαλμοῦ, ὕστερον δὲ πελιδνόν. θεραπευτέον δὲ τούτους σὺν τῇ προρρηθείσῃ κοινῇ τῶν ἑλκῶν ἐπιμελείᾳ τῇ διὰ φλεβοτομίας ἢ καθάρσεως καὶ τῶν ἀκολούθων, ᾠοῦ τὸ λευκὸν χλιαρὸν ἐγχυματίζοντα ἢ αἷμα τρυγόνος ἢ περιστερᾶς· ἄνωθεν δὲ εἰς τὸ βλέφαρον ἐπιθετέον κατάπλασμα τοιοῦτον, ἔριον οἴνῳ καὶ ῥοδίνῳ καὶ ᾠῷ διάβροχον, πρὸς δὲ τὸ δύνασθαι ῥᾳδίως ἀνοίγειν τὸν ὀφθαλμὸν διὰ τὸ ἐκκριθῆναι τὸ δάκρυον καὶ ἐπιδέσμῳ κούφῳ χρηστέον· τῇ δὲ ἑξῆς πυριατέον πλειστάκις τὸν ὀφθαλμὸν σπόγγῳ δι' ἀφεψήματος ἀψινθίου ἢ ὑσσώπου μάλιστα, ἔξωθεν δὲ ἔριον ἐπιτιθέσθω. ὅταν δὲ ὁ ὀφθαλμὸς ἀφλέγμαντος γένηται, μέλιτι ἐπαλειφέσθω ἢ τῇ Ἐρασιστράτου ὑγρᾷ ἢ τῷ ἀρωματικῷ κολλυρίῳ. καλῶς δὲ ποιεῖ καὶ στρύχνου χυλὸς μετὰ μέλιτος ἐγχριόμενος καὶ λίβανος ἐπιθυμιώμενος μετὰ ἀσφάλτου ἴσης. πρὸς δὲ τὰ κεχρονικότα ὑποσφάγματα καλῶς ποιεῖ τοῦτο· εἰς χαλκοῦν ἐρυθρὸν βαλὼν παιδὸς ἀφθόρου οὖρον, λείου δοίδυκι χαλκῷ ἐν ἡλίῳ ἐπὶ ἱκανὰς ἡμέρας, ἕως ἱκανὸν χυλὸν ἀνύσῃ, ἐάσας ξηρανθῆναι ἀναλαβὼν καὶ μέλιτι μίξας χρῶ. Ἀπολλώνιος δὲ ὁ Μεμφίτης πρὸς ὑποσφάγματα καὶ μώλωπας κολλύριον τοιοῦτον ἐκτίθεται· λίθου αἱματίτου, αἵματος ὀνείου ἀπὸ καρδίας, ξηρανθέντος ἐν ἡλίῳ ἴσα, οὔρῳ παιδὸς λείου καὶ καρδαμέας τῆς Ἰβηρίτιδος καλουμένης χυλὸν ἐπιβαλὼν καὶ συλλεάνας ἀνάπλασσε κολλύρια· ἐπὶ δὲ τῆς χρείας μεθ' ἅλμης ἐγχυμάτιζε. Ἄλλο.

4—7 ὑπόσφαγμα — πελιδνόν *Gal. ascr. int. s. med. ib. (ib. 773, 7—10)* 8 σὺν τῇ προρρηθείσῃ κοινῇ τῶν ἑλκῶν ἐπιμελείᾳ *cf. p. 267, 21 sqq.* 9—13 ᾠοῦ — χρηστέον *cf. Gal. de rem. parab. I 4 (XIV 347, 13—18)* ᾠοῦ — ἴσης *(18) cf. Gal. de comp. med. s. loc. IV 8 (XII, 796, 13 sqq.)* 10 ἐγχυματ. — περιστερᾶς *cf. Paul. III 22 (I 174, 17)*

τρωγλίτιδος <β̄ c κρόκου <β̄ ἁλὸς ἀμμωνιακοῦ <ᾱ κόμμεως <δ̄, λείου οἴνῳ παλαιῷ στύφοντι. ποιεῖ ⟨καὶ⟩ πρὸς πτερύγια ἐγκανθίδας τραχώματα, σμήχει καὶ τὰς οὐλάς. ἐν ἄλλῳ εὗρον οὕτως πρὸς σταφυλώματα ποιοῦν· μίσυος ὠμοῦ <ιβ, λείου ὕδατι, ὡς κολλύριον· εἶτα ἐπίβαλλε κρόκου λειοτάτου <κ̄ καὶ πάλιν λείου, εἶτα σμύρνης <δ̄ καὶ ἀναπλάσας χρῶ. μετὰ δὲ τὴν ἔγκρισιν ἐπίχριε ἐξ αὐτοῦ καὶ σπόγγον ἁπαλὸν ἐπιθεὶς ἐπίδησον. Ἄλλο καλόν, ποιεῖ καὶ ἐπὶ σταφυλωμάτων· μίσυος ὠμοῦ Γ° β̄ κρόκου Γ° ᾱ κόμμεως Γ° ᾱ οἴνῳ λείου καὶ χρῶ. παραδόξως δὲ ποιεῖ ἐπ᾽ αὐτῶν καὶ τὸ Θεοδότιον Σεβήρου. εἰ μὲν οὖν ἀφλέγμαντοι εἶεν, παχύτερον ἔγχριε· εἰ δὲ φλεγμαίνοιεν, ἐγχυμάτιζε μετ᾽ ᾠοῦ, μάλιστα τῷ Θεοδοτίῳ. παραλαμβανέσθω δὲ ἐπ᾽ αὐτῶν καὶ ἡ προσήκουσα ἐπίδεσις. καταπλαττέσθω δὲ τὰ φλεγμαίνοντα τῷ διὰ κωδιῶν καταπλάσματι ἢ ψυλλίῳ βραχέντι ὕδατι θερμῷ. Κολλύριον τοῦ Ὥρου πρὸς μυοκέφαλα ποιοῦν μετὰ τοῦ Θεοδοτίου, ποιεῖ καὶ πρὸς τὰ χρόνια ἕλκη καὶ λεπτὰ ῥεύματα. καδμίας χαλκοῦ κρόκου λεπίδος ἀνὰ <η̄ ὀπίου <ιβ̄ χαλκίτεως <ιβ̄ μίσυος κεκαυμένου ζιγγιβέρεως ἀκακίας κόμμεως ἀνὰ <δ̄ ὕδωρ.

λϛ̄ Περὶ σταφυλωμάτων. διαφοραὶ μὲν τῶν σταφυλωμάτων πλείους, διότι καὶ αἰτίαι τοῦ πάθους ποικίλαι· ὡς ἐπίπαν δέ, ὅπως ἂν γένηται σταφυλώματα, πηροῖ τὴν ὄψιν. καλεῖται δὲ σταφυλώματα, ὅταν ὁ κερατοειδὴς χιτὼν κυρτωθῇ καὶ τὴν ὑπεροχὴν ῥαγὶ σταφυλῆς παραπλησίαν ποιήσηται. γίγνεται δέ ποτε μὲν ὑγρῶν ὑποχυθέντων ὑπό τινα τῶν κτηδόνων τοῦ κερατοειδοῦς χιτῶνος· ὑφ᾽ ὧν ὑγρῶν βιαζόμενον ὑφίστασθαι συμβαίνει τὸν κερατοειδῆ καὶ κυρτούμενον ποιεῖν τὸ σταφύλωμα,

20—22 καλεῖται — ποιήσηται *cf. Gal. ascr. int. s. med. ib. (XIV 774, 17—19) [id.] def. med. 345 (XIX, 435, 15—16) 349 (439, 13—14)*

φ(C Lª) χ(Mº) ψ(A D P Q) ω(A‡) 1 <β̄ c] οὐλκὴν ᾱ 𐅵'' C *om., sed post* κρόκου: ἀνὰ P <β̄] οὐλκὴν ᾱ C <ᾱ] οὐλκῆς c'' C ᾱ] δ̄ χ D ω κόμεος D ω κόμμεος P <δ̄] οὐλκὴν ᾱ C 2 λείου (λείοι) *om.* ω *post* στύφ.: ἀναλάμβανε *add. Hirschberg* καὶ *add. idem* 3 *post* ἄλλω: δὲ C D P *post* οὕτως: καὶ *add. Hirschberg* 3. 4 *in marg.*: ἄλλο πρὸς σταφυλώματα P <ιβ̄] οὐλκὰς ϛ̄ C ὡς] ἥμισυ P κολλ.] κοτλ' P κοχλιάριον ω 5 ἐπίβαλε A D <κ̄] ὅσον οὐλκᾶς C <] οὐλκὰς C δ̄] ιβ̄ D P β̄ C 6 ...χρίσας ω 7 ἐπιτιθεὶς D P ποιοῦν D P καὶ *om.* A Q 8 β̄] ᾱ C Γ° ᾱ *om. sed post* κόμμεως: ἀνὰ C ᾱ] c'' C 9 Σεβήρου θεοδότιον D P 10 οὖν *om.* ω ἐπίχριε D P φλεγμαίνοι χ ...νη C ....νει A Q ..γμν' ω 11 τὸ Θεοδότιον D P 12 ἐπίδ.] δίαιτα D P 13 *ante* Κολλύρ.: ἕτερον A Q 13—17 Κολλύριον — δ̄ ὕδωρ *ante* παραδόξως *(9) transp.* D P 14 τοῦ Ὥρου *om.* A Q τοῦ *om.* χ ω πρὸς — ποιοῦν] τοῦτο ποιεῖ πρὸς μυοκέφαλα C 15 ἕλκη καὶ *om.* α, *exc.* Lª 15. 16 λεπίδος *post* χαλκοῦ *transp.* D *om.* P 16 <η̄] οὐλκὰς δ̄ C <ιβ̄ *pr. om. sed post* χαλκίτεως: ἀνὰ C D P χαλκίτ. <ιβ̄ *om.* ω <ιβ̄] οὐλκὰς ϛ̄ C κεκαυμένης C ω ζιγγιβ.] σμύρνης C χ ψ 17 <δ̄] οὐλκὰς β̄ C ὕδωρ] σὺν ὕδατι χρῶ D P *post* ὕδωρ: τὸ ἀρκοῦν καὶ σκευάσας χρῶ C 18 *post* σταφ.: ἐν ὀφθαλμοῖς C 19 *ante* αἰτίαι: αἱ C ψ *ante* ἂν: δ᾽ C ω 20 σταφυλώμ. *alt.*] σταφύλωμα α, *exc.* Lª 22 ὑπαχθέντων C A Q ω τινας D P 23 *ante* τοῦ: ὑπὸ C χ A Q βιαζομένων C χ A D Q ω 23. 24 ἀφίστασθαι ψ 24 κυρτούμενος ποιεῖ D P

χωρὶς ῥήξεως. γίγνεται δὲ τοῦτο καὶ ἔκ τινος φλυκταινώδους μεταξὺ τῶν κτηδόνων τοῦ κερατοειδοῦς χιτῶνος, ἐφ' ἱκανὸν βάθος συστάντος καὶ μετεωρίσαντος τὸν χιτῶνα, μὴ μέντοι γε ῥήξαντος. καλοῦσι δὲ σταφύλωμα καὶ ὅταν κατὰ ῥῆξιν τοῦ κερατοειδοῦς πρόπτωσις μεγάλη τοῦ ῥαγοειδοῦς γένηται. διαφέρει δὲ τοῦτο τοῦ πρώτου, ὅτι ἐπ' ἐκείνου κύρτωσίς ἐστι μόνη τοῦ κερατοειδοῦς χιτῶνος, ὅθεν καὶ λευκότερος ὅλος ὁ ὄγκος φαίνεται· ἐπὶ δὲ τῶν ἄλλων καὶ ῥῆξις γέγονε τοῦ κερατοειδοῦς καὶ τὸ προπεσὸν κυανοῦν ἢ μέλαν φαίνεται. ὅταν δὲ μέγιστον γένηται σταφύλωμα, ὡς ὑπεραίρειν ἔξω τὰ βλέφαρα, καὶ σκληρυνθῇ, περιουλωθέντος αὐτοῦ κατὰ κύκλον τοῦ κερατοειδοῦς καὶ σφίγγοντος, τὸ τοιοῦτον πάθος ἧλον καλοῦσιν, ἐπειδὴ προσέοικε κατὰ πάντα ἥλου κεφαλῇ. τὸ μὲν οὖν πάθος ὅπως ἂν γένηται, δυσὶ δεδούλωκε κακοῖς, βλάβῃ τε τοῦ ὁρᾶν μετὰ τῆς ἀπρεπείας τοῦ σχήματος. εἰς τὸ κατὰ φύσιν μὲν οὖν ἐνέγκαι τὸν οὕτω παθόντα ὀφθαλμὸν ἀδύνατόν ἐστι τῇ τέχνῃ. τῆς δὲ εὐπρεπείας καὶ τοῦ σχήματος δυνατὸν φροντίσαι διὰ τῆς χειρουργίας μάλιστα. θεραπευτέον οὖν, ὅσα μὲν τῶν σταφυλωμάτων νεοσύστατά ἐστι καὶ διὰ φλεγμονήν τινα ἐκυρσώθησαν οἱ ὑμένες, χρώμενον τοῖς πρὸς φλεγμονὰς ἀναγεγραμμένοις καταπλάσμασι καὶ κολλυρίοις καὶ τῇ ὁμοίᾳ διαίτῃ. ἐφ' ὧν δὲ ὑπὸ τὰς κτηδόνας τοῦ κερατοειδοῦς ὑγρῶν τινων ὑπελθόντων τὴν κύρτωσιν εἰργάσαντο, εἰ μὲν ὀδύνη συνεδρεύει, καταπλάσσειν λινοσπέρμῳ μετὰ τήλεως σὺν οἰνομέλιτι ἑφθοῖς. παρακμασάντων δὲ τῶν ἀλγημάτων κυάμινον ἄλευρον μετὰ ῥόδων ἢ λινοσπέρμου σὺν ὕδατι ἢ βάτου φύλλοις ἢ βρυωνίας βότρυας ὀμφακίζοντας σὺν βουτύρῳ καὶ τερεβινθίνῃ ἴσαις λεάνας ἐπιτίθει, καὶ ἐπίδησον. ἐπὶ δὲ τῶν ὀδυνωμένων ἁρμόδιον στρύχνου χυλὸς μετὰ γάλακτος γυναικείου ἐγχυματιζόμενος. κολλύριον δὲ ἐπὶ τῶν ἀφλεγμάντων ἁρμόδιον τοῦτο· ἀλκυονίου $<\overline{\delta}$ ἁλὸς ἀμμωνιακοῦ Ϝ° $\overline{\alpha}$ ἀφρονίτρου $<\overline{\alpha}$ ἐλαίας ἀγρίας δακρύου $<\overline{\alpha}$ κόμμεως Ϝ° $\overline{\beta}$, ὕδωρ. τὸ δὲ Σεβήρου Θεοδότιον κολλύριον χυλῷ κράμβης ἀνιέμενον καὶ παχὺ πλῆθος προσαγόμενον τῷ ὀφθαλμῷ μετὰ καὶ τῆς τοῦ σπόγγου ἐπιδέσεως ἀφανῆ τὸν

φ(C L^a) χ(M^o) ψ(A D P Q) ω(A^t) 3 καὶ μετεωρίσ. *om.* L^a χ γε *om.* χ ῥήξ.] ξηράναντος Q 5 τοῦ ῥαγ. *om.* C δὲ *om.* C 7 ὁ *om.* L^a χ ὁ ὄγκος ὅλος P καὶ *om.* C Q 7. 8 *post* κερατοειδοῦς: χιτῶνος A Q τὸ *om.* C A Q 9 γένηται] φαίνηται χ A Q -ετ. C σταφ. γένητ. D P σκληρυνθῆναι A Q ω 10 περιουλωθέντα καὶ ω αὐτῷ χ ψ ...ὁ C 12 ἂν] οὖν C Q οὗ χ δεδούλευκε C Q 13 μετὰ τῆς ἀπρεπ.] καὶ ἀπρέπεια D P 15 καὶ *om.* D P 16 μὲν *ante* οὖν *transp.* ω 17 φλεγμονῆς ω 17. 18 χρώμενοι C Q 18 καταγεγραμμένοις D P 18. 19 καὶ κολλυρίοις *om.* ω 20 ὑγρά τινος A Q ὑγρά τινα D P ὑπελθόντα D P ⟨ταῦτα⟩ τὴν κύρτωσ. εἰργάσατο, *aut* ἡ κύρτωσις ἐγένετο *aut* ἐπαναστάσεις *supplendum putat Hirschberg* 21 καταπλάσμασι L^a λινόσπερμα C ...ον A D P .....σπέρματι ω οἰνομ.] ὑδρομέλιτι α. *exc.* L^a 22 παραγυμνασάντων L^a 23 φύλλα C D P βρυωνίας *om.* L^a 24 ἴσοις C χ ψ 26 φλεγμαινόντων D P 27 *post* τοῦτο: οἷον C ἀλκυον. $<\overline{\delta}$ *om.* ω $<\overline{\delta}$] οὐλκὰς $\overline{\beta}$ C $\overline{\alpha}$ *pr.*] ς″ C $<$ α *om. sed post* δακρύου: (28) ἀνὰ C D P 28 $<$ (*et alibi*) οὐλκὰς C $\overline{\alpha}$] $\overline{\delta}$ L^a $\overline{\beta}$ C κόμμεος (*et alibi*) D P β] ς″ C *post* ὕδωρ: τὸ ἀρκοῦν C 29 κολλ.] ἀντίδοτον ἢ καὶ κολλύριον ἔχει οὕτω οἷον C 30 τοῦ *om.* ω ἐπιδήσεως D P ...δόσεως ω

ὄγκον πεποίηκεν, εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. δυϲθεράπευτα δέ ἐϲτι τὰ ϲταφυλώματα, ὅϲα πλατυτέραν ἔχει τὴν βάϲιν καὶ ὅϲα φλέβαϲ ἔχει πλήρειϲ αἵματοϲ διαπεφυκυίαϲ. ἀθεράπευτα δέ ἐϲτι τὰ ὀχθώδη καὶ ποικίλα τῷ χρώματι καὶ κροτάφων ἀλγήματα ποιοῦντα. τούτοιϲ δὲ μηδὲν ἕτερον προϲάγειν πλὴν τῶν πραΰνειν τὰϲ ἀλγηδόναϲ δυναμένων, ἅτινα ἐπὶ τῶν κακοήθων ἑλκῶν προείρηται.

λζ Χειρουργία ϲταφυλωμάτων. ἐπὶ μὲν οὖν τῶν ϲτενῇ βάϲει κεχρημένων ϲταφυλωμάτων καὶ μὴ κακοήθων ἔργον εὐθετεῖ τὸ κατὰ ϲφίγξιν, οὗ ὁ τρόποϲ τοιοῦτοϲ· βελόναϲ δύο λαμβάνειν χρὴ λίνον ἐχούϲαϲ ἐϲτραμμένον διπλοῦν, ἴϲαϲ ἔχονταϲ τὰϲ ἀρχάϲ. ἔπειτα καθίζειν τὸν κάμνοντα καὶ ϲχηματίζειν πρὸϲ τοῖϲ ϲοῖϲ ποϲὶν ἀνακλῶντα αὐτοῦ τὸ κεφάλιον· ϲτηρίζεϲθαι γὰρ χρὴ τὸ αὐτοῦ ἰνίον κατὰ τῶν ϲῶν γονάτων. εἶτα διαϲταλέντων τῶν βλεφάρων διὰ μέϲηϲ τῆϲ τοῦ ϲταφυλώματοϲ βάϲεωϲ ἄνωθεν κάτω ἢ κάτωθεν ἄνω καταπείρειν τὴν βελόνην· ἔϲτω δὲ μὴ πάνυ παχεῖα, μηδὲ εὐμήκηϲ. εἶτα διακρατουμένου τοῦ ὀφθαλμοῦ ὑπὸ τῆϲ καταπαρείϲηϲ βελόνηϲ τὴν ἑτέραν βελόνην διπλοῦν λινοῦν ἔχουϲαν ὁμοίωϲ διεκβάλλειν ἀπὸ τοῦ μικροῦ κανθοῦ ἐπὶ τὸν μέγαν, ὁμοίωϲ διὰ μέϲηϲ τῆϲ βάϲεωϲ τοῦ ϲταφυλώματοϲ, ἵνα γένηται τὸ ϲχῆμα τῶν ἐμπεπαρμένων δύο βελονῶν ϲταυροειδὲϲ ἢ τῷ χ γράμματι παραπλήϲιον. ὅταν γὰρ ἐπ᾿ ὀλίγον λοξοτέρα γένηται ἡ ἔμπαρϲιϲ, εὐχερὴϲ ἡ κομιδὴ τῶν βελονῶν γίγνεται· ἡ δὲ καλλίϲτη ἀπόϲφιγξιϲ γίγνεται τῶν εὐθειῶν ἀρχῶν πρὸϲ τὰϲ πλαγίουϲ φερομένων καὶ ϲυνδεϲμουμένων τούτῳ τῷ τρόπῳ. εἶτα κόψαντεϲ τὰϲ ἀρχὰϲ τῶν δεδιπλωμένων λίνων τὰϲ μὲν ἄνω δύο ἀρχὰϲ ὑποβάλλοντεϲ τῇ ἄνω ἀρχῇ τῆϲ βελόνηϲ, τὰϲ

9 ὁ τρόποϲ κτλ. *cf. Papyri russischer und georgischer Sammlungen. I Literarische Texte bearbeitet v. G. Zereteli u. O. Krüger, Tiflis 1925 p. 137 sqq. Col. II 30* χειρο[υργεία τοῦ | ϲ]τα[φ]υ̣[λώματοϲ.] | βελόνην δεῖ ἐ̣[μπείρειν διὰ τῆϲ] | βάϲεωϲ τοῦ ϲταφ[υλώ̣ματοϲ] | ἄνωθεν κάτω [, διὰ δὲ τὸν ἐν αὐ]τῆι ῥιγμὸ̣[ν] ἑτέ̣[ραν βελόνην] | διπλοῦν [ἔχουϲαν τὸ λίνον | ἀπὸ μεικ[ροῦ κανθοῦ. περ̣ι-] | βάλλομε[ν̣ δὲ τὸ ϲταφύλωμα καὶ | ἀ]ποϲφίγγομεν [αὐτὸ] [*Paul. II 19 (59, 12 sqq.) v. A. Olivieri, Antica medicina. Estr. dagli Atti della R. Accad. Arch. Lett. Belle Arti di Nap., Nuova Serie vol. X 235 sqq. 1926*

φ(C L^{a}) χ(M^{o}) ψ(A D P Q) ω(A^{t}) 1 πάθοϲ C χ ψ 2 τὰ *om.* α, *exc.* L^{a} 3 ἐϲτι *om.* D P 4 τῶν χρωμάτων ω καὶ *om.* D P 5 οὐδὲν ω 6 προείρηται] γινομένων ω *post* προείρητ.: ὁ δέ γε κερατοειδὴϲ χιτὼν διαιρεῖται εἰϲ τέϲϲαρα μέρη καὶ αὗται αἱ τέϲϲαρεϲ μοῖραι καλοῦνται κνι(κτη-?)δῶνεϲ ἐκ τῆϲ τῶν κεράτων ὁμοιότητοϲ· μέμνηται δὲ αὐτῶν ὁ Γαληνὸϲ ἐν τῇ Μεγάλῃ ἀνατομῇ, δεκάτῳ λόγῳ· αὗται δὲ αἱ κνιδῶνεϲ τέϲϲαρεϲ ὑμένεϲ εἰϲίν, ποιοῦντεϲ τὸν κερατοειδῆ χιτῶνα C 10 διπλοῦν] δικεφάλιον C A Q 10—12 ἴϲαϲ — τὸ κεφάλιον *om.* C A Q ἔχοντα χ D P 11 κάμν.] πάϲχοντα χ ἄνθρωπον ω 11. 12 τὴν κεφαλὴν χ D P ω γὰρ] δὲ A Q ω τὸ] τῷ A Q αὐτῷ A ϲῶν *om.* A Q 14 διαβάϲεωϲ C Q ἢ κάτωθεν ἄνω *om.* ω *post* βελόν.: ἡ δὲ βελώνη ἔϲτω ἀργυρῆ ἢ χρυϲῆ C ἔϲτω δὲ *om.* C 15 πάνυ *om.* D *post* παχεῖα: ἡ βελόνη χ 16 κάτω παρείϲηϲ C Q λίνον χ D P ω 17 διεκβάλλ.] δεῖ ἐκβάλ(λ)ειν C A Q διεμβάλλειν ω 19 ἢ τῷ] καὶ P 20 ὀλίγῳ C Q λοξοτ.] ὀξυτέρα D P ἔπαρϲιϲ A ω 21—23 ἡ δὲ καλλ. — τῷ τρόπῳ *post* ἀποϲφίγγομεν *(289, 2) transp.* ω γίγν. *alt.*] γένηται C 22 τοὺϲ L^{a} πλαγίαϲ D P καὶ *om.* L^{a} δεϲμουμ. D P 23 τῶν δεδιπλωμ. τὰϲ ἀρχὰϲ D P λίνων *om.* D P 24 *ante* τὰϲ: ἐν ᾧ D P ...βαλόντεϲ C Q

δὲ κάτω τῇ κάτω, ἀποσφίγγομεν ἀκριβέστατα· ὁμοίως δὲ καὶ τὰς τῆς πλαγίας βελόνης ἀρχὰς ἀποσφίγγομεν. ἔπειτα ἀποτέμνομεν τὴν κορυφὴν τοῦ σταφυλώματος, μόνην αὐτοῦ τὴν βάσιν ὑπολείποντες χάριν τῶν λίνων, ἵνα μὴ ἐκπεσόντων αὐτῶν προχυθῇ τὰ ὑγρὰ τοῦ ὀφθαλμοῦ καὶ κοιλότερος γένηται. διὰ τί δὲ ἐκτέμνομεν τὸ σταφύλωμα; πρῶτον μὲν συντόμου χάριν θεραπείας· θᾶττον μὲν γὰρ τὰ λίνα ἐκπίπτει καὶ ἡ ἕλκωσις θεραπεύεται· ἔπειτα δὲ καὶ ἀνωδυνώτερος ὁ πάσχων μένει παρ᾽ ὅλον τὸν τῆς θεραπείας χρόνον, διαπνεομένων τῶν σωμάτων καὶ μηδὲ φλεγμονῆς μεγάλης ἑπομένης. μετὰ δὲ τὴν ἐκτομὴν τῆς κορυφῆς τοῦ σταφυλώματος τὰς βελόνας ἑλκύσαι δεῖ, ἀποσφίγξαντα, ὡς εἴρηται, τὰ λίνα. καὶ τότε ἐγχυματίζειν γάλακτι ἢ ᾠοῦ τῷ λευκῷ, ἄνωθεν δὲ ἐπιτιθέναι τῷ ὀφθαλμῷ ᾠὸν ἀνακόψαντα μετὰ ῥοδίνου καὶ ὀλίγου οἴνου καὶ εἰς ἔριον μαλακὸν ἀναλαμβάνοντα· καὶ κατὰ τοῦ κροτάφου ἕτερον πτυγμάτιον τῷ αὐτῷ βεβρεγμένον ἐπιτιθέναι, εἶτα ἐπιδήσαντα ἐφ᾽ ἡσυχίας τηρεῖν. τῇ δὲ δευτέρᾳ πυριάσαντα διὰ σπόγγων ἐκπεπιεσμένων ἀκριβῶς καὶ γάλακτι ἐγχυματίσαντα ἐπιτιθέναι ᾠοβραχὲς ἔριον καὶ ἐπιδεῖν. καὶ τοῦτο ποιεῖν ἐπὶ πλείους ἡμέρας μέχρι τῆς τῶν λίνων ἐκπτώσεως. ἐκπεσόντων δὲ τῶν λίνων ὑπαλείφειν κολλυρίοις ἁπαλοῖς τοῖς πρὸς τὰ ἕλκη ἀναγεγραμμένοις, ἵνα καθαρὰ ἡ ἕλκωσις γένηται· ἔπειτα τοῖς ἀπουλωτικοῖς χρῆσθαι.

λη Περὶ τῶν ἐπουλώσεως δεομένων ἑλκῶν. καθαρθέντων τῶν ἐν τῷ ὀφθαλμῷ ἑλκῶν καὶ πληροῦσθαι δεομένων προσέχειν δεῖ ὅπως μὴ ὑπερσαρκώσῃ, ἀλλ᾽ ὀλίγῳ τινὶ κοιλότερον ἀπουλωθῇ, καὶ μάλιστα εἰ κατὰ τῆς κόρης εἴη τὸ ἕλκος. αἱ γὰρ ὑπερέχουσαι οὐλαὶ ἐμποδίζουσι τὸ ὁρᾶν καὶ ἀπρέπειαν παρέχουσι καὶ νυττόμεναι ἐκ τῶν βλεφάρων ῥευματισμοὺς ἐπάγουσιν. αἳ δὲ πως ἔγκοιλοι φαίνουσι, καὶ διαυγοῦνται βέλτιον καὶ εὐπρεπεῖς εἰσιν ὁμοχροοῦσαι τῷ μέρει. τοιαῦται δὲ ἔσονται, εἰ ἀπὸ τῶν μαλακῶν καὶ ἐμπλασσόντων φαρμάκων συντόμως ἐπὶ τὰ ἀπουλωτικὰ μεταβῶμεν. βέλτιον δέ, ἐάν ποτε διαλάθωσιν ὑπερσαρκήσασαι, ταχέως καταστέλλειν καὶ λεπτύνειν τὰς ὑπεροχὰς καὶ οὕτως ἀπουλοῦν. παραιτεῖσθαι δὲ καὶ τὰ βάπτοντα τὰς οὐλὰς φάρμακα, καὶ μάλιστα εἰ κατὰ τὴν κόρην εἴη τὸ ἕλκος· μελαινόμεναι γὰρ πλεῖον ἐμποδίζουσι τὸ ὁρᾶν. καὶ τὰς ἐπιδέσεις δὲ τῶν ὀφθαλμῶν ἐπὶ τῶν

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *post* ἀποσφίγγ.: ἀποσφίγγωμεν ἡ δὲ καλλίστη — συνδεσμουμένων (= *p. 288, 21. 22*) C ἀκριβ. — ἀποσφίγγομεν *om.* C ἀκριβῶς χ γενναίως ω τὰς] τῶν A Q 2 βελόνης — ἀποσφίγγομεν] γενομένων (φερομένων Q) καὶ συνδεσμουμένων (*v. p. 288, 22*) A Q σφίγγομεν D P ...τέμνοντες P 3 τὴν βάσιν αὐτοῦ ω ὑπολιπόντες C Q ω 5 τί δὲ] τίνων C μέν *om.* D P 6 ...τόμως C Q *post* τά: τε D P τὰ λίνα (...νὰ [=11] L[a])] πάλιν χ 9 μεγάλης *om.* L[a] τὴν *om.* χ 10 ἀποσφίγγοντα χ 12 καὶ] κατ᾽ χ ὀλίγον χ 13 ἀναλαβόντα ψ ω 14 *post* ἕτερον: τι P ἐπιθεῖναι D P ω ἐπιδήσαντες ω 15 πυριάσαντες ω 16 *ante* ᾠοβραχὲς: τὸ D P 17 μέχρι *om.* L[a] 20 ἐπουλωτ. C 21 τῶν *alt. om.* A 23 ....σαρκώσειεν D P ...κωθῇ *Hirschberg* ὀλίγον C D P ω κοιλοτέρῳ D ἐπουλωθῇ D P 24 τῆς *om.* L[a] χ τὴν κόρην D P ἐμποδίσαι ω 26 φαίνονται ω 27 βελτίω ω εἰσιν ὁμοχρ. *om.* P 28 ἔσονται] ἕπονται ω εἰ] τοῖς ω 29 ἐπουλωτ. D P μεταβαίνουσι ω 29. 30 ὑπερσαρκώσασαι D P 31 ἐπουλοῦν D P βλάπτοντα α, *exc.* D P 32 μελαινωμένης χ πλέον C Q 33 δέ *om.* P

ἑλκώσεων παραιτητέον, αἷς χρῶνταί τινες βουλόμενοι ταπεινοῦν τὰς οὐλάς· ἐπιδεθεὶς γὰρ ὁ ἡλκωμένος ὀφθαλμὸς καὶ ἀκίνητος γενόμενος προσφύεται πολλάκις τοῖς βλεφάροις. σημειοῦσθαι δὲ ἀκριβῶς προσήκει τὰ κατουλωθέντα ἕλκη. ἔνιοι γὰρ πλανῶνται καὶ τὰς κοιλοτέρας γιγνομένας οὐλὰς κοιλώματα νομίζοντες ὑπαλείφουσι μαλακοῖς καὶ ἀναπληρωτικοῖς κολλυρίοις. εἶτα συμβαίνει μὴ πληροῦσθαι μὲν τοὺς τόπους, παχύνεσθαι δὲ ἐκ τούτου τοὺς ὑμένας. ὅταν τοίνυν θεάσῃ τὴν ἐπιφάνειαν τοῦ ἕλκους λαμπρὰν γενομένην καὶ λευκὴν καὶ λείαν καὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ τὴν κατὰ φύσιν χρόαν ἀπολαμβάνον καὶ τὸν ὅλον ὀφθαλμὸν ἀρευμάτιστον, γνῶθι ἀπουλοῦσθαι ἤδη τὸ ἕλκος. ἔστι δὲ ἄριστον κολλύριον, ᾧ κεχρήμεθα ἐπὶ τῶν καθαρῶν ἑλκῶν καὶ ἀπουλώσεως δεομένων, τὸ Κλέωνος.

λθ Περὶ οὐλῶν ἤτοι λευκωμάτων. οὐλαὶ πᾶσαι αἱ ἐπὶ τοῦ μέλανος τοῦ ὀφθαλμοῦ λευκαὶ φαίνονται, πυκνουμένου τοῦ κερατοειδοῦς χιτῶνος καὶ μὴ διαυγοῦντος τὴν ὑποκειμένην αὐτῷ κυανῆν χρόαν· μάλιστα δ' αἱ ὑπερέχουσαι λευκαίνονται, αἱ δὲ ἰσόπεδοι ἧσσόν εἰσι λευκαί, αἱ δὲ κοιλότεραι ὁμοχροοῦσί πως τῷ μέλανι. ὅσαι δὲ τοῖς στυπτικοῖς φαρμάκοις ἕως ἀπουλώσεως θεραπεύονται, μᾶλλον ἐπισκοτοῦσι τῷ πυκνοῦσθαι ἐπὶ πολὺ τῇ στύψει τοὺς ὑμένας. τὰς δὲ τετυλωμένας καὶ χρονίας καὶ παχείας οὐλὰς παραιτεῖσθαι θεραπεύειν. ἀνάγκη γὰρ ἐπὶ τῶν τοιούτων τοῖς πάνυ δριμέσι κολλυρίοις κεχρῆσθαι. ὑπὸ δὲ τῆς σφοδρᾶς δήξεως τὰ ἄλλα μέρη τοῦ ὀφθαλμοῦ ἑλκωθήσεται. εἰ δὲ καὶ ὑπόχυσις ἢ γλαύκωσις εἴη, μάταιον τὰς οὐλὰς ὑποσμήχειν. δεῖ δὲ πρὸ πάντων ὑποσμῆξαι βουλόμενον οὐλὴν τῇ διαίτῃ εὐτρεπίζειν τὸ σῶμα, ὅπως σύμμετρός τε ἡ ὕλη παρακείσεται ἐν τῷ ὅλῳ σώματι καὶ εὔχυμος. δεῖ οὖν ἀπέχεσθαι τῶν δριμέων πάντων καὶ ἁλυκῶν καὶ παχυχύμων καὶ πλείονος οἴνου, εὐπεψίας δὲ μάλιστα φροντίζειν καὶ τοῖς μέσως εὐχύμοις κεχρῆσθαι. βαλανείου δὲ ἐν τῷ καιρῷ τῆς ἐπιμελείας ἀπέχεσθαι· ὑπαλείφειν δὲ πρὸ τῆς τροφῆς εὔπεπτόν τε ὄντα καὶ τῇ κεφαλῇ καὶ τῷ ὅλῳ σώματι κοῦφον, προαποδεδωκυίας τῆς κοιλίας· καὶ μηδὲ ἐκ κοίτης εὐθέως ἐγχρίειν μηδὲ πρὸ δείπνου. παραιτεῖσθαι δὲ τὰ ἐκδέροντα τὰς οὐλὰς φάρμακα. τινὲς μὲν γὰρ ὑπαλείφοντες τοῖς δριμέσι φαρμά-

13—15 οὐλαὶ πᾶσαι — χρόαν *cf. Gal. ascripta introd. s. med. 16 (XIV, 775, 8 sqq.)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 2 ὀφθαλμὸς — γενόμενος *om.* A Q 4 γὰρ] δὲ ω καὶ *om.* C χ A Q ω 5 *ante* μαλακοῖς: δὲ C χ A Q 6 *ante* μὴ: μὲν ω μὲν] δὲ ω 8 καὶ *alt om.* ω 9 ....βάνων C Q ...νοντα L[a] 10 ὀφθαλμὸν ὅλον C A Q ἀπουλῶσθαι χ ἐπουλωθὲν D ἐπουλοῦσθαι P ἀπόλλυσθαι ω *(Hirschb.)* ἤδη *om.* D P *post* ἕλκος: καὶ κατούλωσιν γεγονέναι *add. Hirschb.* 11 δὲ *om.* C Q ἑλκῶν *om.* χ 11. 12 ἀπουλοῦσθαι C A Q ἐπουλώσεως D P ω 12 *post* τὸ: τοῦ C *post* Κλέων.: ὀνομαζόμενον C 13 *post* Περὶ: τῶν ἐν ὀφθαλμοῖς D P *ante* οὐλαί: αἱ D P 14 *ante* τοῦ *alt.*: μὲν ω 15 αὐτοῦ D P -ὸ C 16 ἧσσον] ἴσον φ ἧσος Q 18 ἐπουλώσεως D P 20 *ante* θεραπ.: τὰς οὐλὰς C 21 χρῆσθαι χ δὲ] γὰρ ω 22 καὶ *om.* C A Q 23 ἀποσμήχειν C χ A Q ω 26 ἁπάντων ω *ante* ἁλυκῶν: τῶν C 28 χρῆσθαι χ βαλανείων C A Q 30 *post* ἐκ: τῆς χ P ω 31 ἐγχρίειν εὐθέως C A Q 32 μὲν *om.* ω

κοις καὶ ἀποδέροντες τὰς οὐλὰς καὶ ἀποσύροντες τοῖς σπόγγοις τὰ λευκὰ ἐπ' ἀκονίων μελανῶν περιφέροντες δεικνύουσι· εἶτ' ἐγχρίουσί τινι τῶν βάπτειν δυναμένων· ῥευματισμῶν δὲ ἐπιγιγνομένων ἐκ τῆς τῶν φαρμάκων δριμύτητος καὶ φλεγμονῶν καὶ ἀναλυομένων ἔσθ' ὅτε τῶν οὐλῶν βαθύνεται μᾶλλον τὰ ἕλκη· εἶτα ἀναγκάζονται πάλιν τοῖς στύφουσι καὶ ἐμπλάσσουσι χρῆσθαι κολλυρίοις καὶ παχύνουσι μᾶλλον τὰς οὐλάς.

Ὕλη λεπτύνειν δυναμένη οὐλὰς καὶ λευκώματα Γαληνοῦ. κεχρῆ- μ̅
σθαι οὖν ἐπὶ τῶν λεπτυνθῆναι δυναμένων προσήκει τοῖς μετρίως ῥύπτουσι φαρμάκοις· ῥυπτικῆς δὲ οὐκ ἐλαχίστης μετέχει δυνάμεως ὅ τε κεκαυμένος χαλκὸς καὶ ἡ λεπὶς αὐτοῦ καὶ τὸ ἄνθος καὶ ἡ κεκαυμένη χαλκῖτις. εἰ δὲ πλυθείη τὰ τοιαῦτα, ῥυπτικὰ μὲν ἔτι μένει, τοσούτῳ δὲ ἀσθενέστερα ταῖς ἐνεργείαις, ὅσῳ καὶ ἀδηκτότερα γίνεται· ἀσφαλέστερον δὲ τοῖς ἀδηκτοτέροις χρῆσθαι. ἰσχυρότερα δὲ τούτων ἐστὶ μίσυ καὶ ἰὸς ὥστε καὶ τοῖς πρὸς τὰς συκώσεις καὶ τύλους ἁρμόττουσι μιγνύμενα. τινὲς δὲ προσβάλλουσι τούτοις καὶ κηκῖδα, σφοδρῶς στῦφον φάρμακον. σφοδρότερον δέ ἐστιν τῇ στύψει ἅμα δριμύτητι τὸ χαλκανθές· μετριώτερον δὲ πολὺ γίγνεται καυθὲν καὶ πλυθέν. καὶ ἡ λεπὶς δὲ τοῦ στομώματος τῆς αὐτῆς ἐστιν ὕλης. ὅσα μὲν οὖν τῶν στυφόντων ἱκανῶς γεώδη ταῖς συστάσεσίν ἐστι, τραχώματά τε καὶ συκώσεις καὶ τύλους ἐκτήκει, καθάπερ μίσυ καὶ ἰὸς καὶ τὰ παραπλήσια. τὰ δὲ ἐν τῷ γένει τῶν χυλῶν ὄντα, καθάπερ ὀμφάκιόν τε καὶ ὑποκυστὶς γλαύκιόν τε καὶ ἀκακία, ἐκπλύνεται ῥᾳδίως ἐν ταῖς ὑπαλείψεσι καὶ μετὰ τοῦ δακρύου. ῥυπτικὰ δὲ ἀδήκτως ἐστὶν ἐλάφου κέρας καυθὲν καὶ τὰ τῶν αἰγῶν. ὁ δὲ λιβανωτὸς βραχυτάτης μετείληφε τῆς ῥυπτικῆς δυνάμεως, ἀνώδυνός τε καὶ πεπτικὸς ὑπάρχει. τῶν δὲ εἰρημένων ζῴων τὰ κέρατα ῥυπτικὰ μέν ἐστιν, οὔτε δὲ ἀνώδυνον οὔτε πεπτικὸν ἔχει τι, ψυχρὰ καὶ ξηρὰ ταῖς κράσεσιν ὑπάρχοντα. ὁ δὲ τοῦ λιβάνου φλοιὸς στύφει μὲν καὶ αὐτὸς οὐκ ἀγεννῶς, ἀπολείπεται δὲ τῶν εἰρημένων ἁπάντων

10 ῥυπτικῆς—ἁρμόττειν *(292,15) Gal. de comp. med. s. loc. IV 5 (XII 720,16—721, 12, 722, 5—17, 721,12—14, 17—722,5, 17—723,9, 15—724,5)*

φ (C Lᵃ) χ (Mᵒ) ψ (A D P Q) ω (Aᵗ) 2 ἀγκονίων Lᵃ ἐπιφέροντες C ἐπιχρίουσι Cψ ἐπεγχρ. χω 3 ῥευμάτων C A Q ἐπιγενομ. P 4 καὶ *pr. om.* χA 5 βαρύνεται *Ald.* μᾶλλον] μὲν D P 6 ἐμπλάττουσι Lᵃ 8 Ἄλλη (*pro* Ὕλη)—Γαληνοῦ *post* φαρμάκοις *(10) transp.* D P Ὕλη] Ἄλλη *etiam* χω λεπτύν. (...ουσα χ) δυναμ.] λεπτύνουσα ω *post* λευκώμ.: ἐν ὀφθαλμοῖς τοῦ σοφωτάτου C Γαληνοῦ *om.* ω 11 *post* λεπὶς: τοῦ χαλκοῦ *Ald.* 12 χαλκίτης (...τ<ῖ χ) ω πλυθ.] καυθείη C A Q τοσοῦτο A Q ...ον C D P ω 13 ὅσον D P 14 χρᾶσθαι φχ εἰσὶ D P ⟨τὸ⟩ μίσυ καὶ ὁ ἰὸς *coniec. cum Gal. Deichgraeber* 15 *ante* ἰὸς: ὁ C χ A Q ω τοῖς πρὸς τὰς συκ.] τὰς προσηκώσεις ω ἁρμόττειν A Q μίγνυσθαι D P 16 κη(κ)κῖδας C ψ ω *(Gal.)* 17 *post* ἅμα: καὶ D P χάλκανθος A Q ...ον D P ω 18 πολὺ *om.* D P *post* καυθέν: τε ω 19 οὖν *om.* ω 20 ἐστι *ante* τῶν στυφόντων *(19) transp.* D P τε *om.* D P 21 ἐν τῷ γένει *om.* C 23 καὶ μετὰ] ὡς ἐκ χ καὶ *post* μετὰ *transp.* C *om.* Q 24 ἐλάφιον C Q 25 βραδυτάτης ω 26 πεπτικὸς] ῥυπτικὸς ω 27 πεπτικὸν] ῥυπτικὸν P τι *om.* χω 29 πάντων C

πάμπολυ. τὸ δ' ὑπόϲειϲμα τοῦ τεθραυϲμένου κατὰ τὰ φορτία λιβάνου, ὃ καλοῦϲι μάνναν, διαφέρει τοῦ λιβανωτοῦ τῷ προϲειληφέναι βραχύ τι ϲτύψεωϲ· ϲυνεμφέρεται γὰρ αὐτῷ μικρά τινα θραύϲματα τοῦ φλοιοῦ. ῥυπτικὸν δέ τι καὶ τὸ καλούμενον Ἀρμένιον ἔχει, ᾧ χρῶνται οἱ ζωγράφοι, καὶ τὸ μέλαν τὸ Ἰνδικὸν καὶ διὰ τοῦτο τοῖϲ ἀφλεγμάντοιϲ ἕλκεϲιν ἀλύπωϲ ὁμιλεῖ· μικτῆϲ δέ πώϲ ἐϲτι δυνάμεωϲ ἡ ἀλόη, καθάπερ τὸ ῥόδον· ἔχει μὲν γάρ τι πικρόν, ᾧ ῥύπτειν πέφυκεν· ἔχει δέ τι καὶ ϲτυπτικόν, ᾧ ϲυνάγει τε καὶ ϲυνουλοῖ τὰ ἕλκη. ἅλεϲ δὲ ἀμμωνιακοὶ καὶ λίθοϲ Ἄϲιοϲ καὶ τὸ ἄνθοϲ αὐτοῦ ἰϲχυρότατα φάρμακα, ὥϲτε καὶ πρὸϲ τὰϲ ψωρώδειϲ ἐν βλεφάροιϲ διαθέϲειϲ ἁρμόττειν. ἐκ δὲ τῶν ἀρωματικῶν φαρμάκων ἐπιτηδείωϲ μίγνυται τούτοιϲ καϲϲία καὶ μαλάβαθρον καὶ ἄμωμον, διαφορητικῆϲ μὲν ὄντα δυνάμεωϲ, μετέχοντα δὲ καὶ ϲτύψεωϲ. κοινῇ γὰρ περὶ πάντων ἐγνωκέναι χρὴ τῶν ῥυπτικῶν φαρμάκων, ὅϲα μέτρια καὶ ὅϲα [τὰϲ] ϲυκώϲειϲ καὶ τύλουϲ ἐκτήκει, ταῦτα πάντα καὶ πρὸϲ οὐλὰϲ παχείαϲ ἁρμόττειν.

μα Βοηθήματα πρὸϲ οὐλὰϲ προϲφάτουϲ καὶ λευκώματα. οὐλὰϲ τὰϲ προϲφάτουϲ ϲμήχει ἀλυπότατα ἵππειον γάλα μετὰ μέλιτοϲ ὀλίγου ἐγχριόμενον ϲυνεχῶϲ· ἀνήθου τὸ πορφυρίζον ἄνθοϲ τρῖβε μεθ' ὕδατοϲ ἐλαχίϲτου, καὶ διηθήϲαϲ δι' ὀθονίου ἔνϲταζε τῷ ὀφθαλμῷ τὸν χυλὸν δὶϲ τῆϲ ἡμέραϲ· καὶ μετὰ ταῦτα ϲικύου κηπαίου ϲπέρμα διαμαϲηϲάμενοϲ τὸν χυλὸν ἐκθλίψαϲ δι' ὀθονίου εἰϲ τὸν ὀφθαλμὸν ἔνϲταζε καὶ τοῦτο ποίει ϲυνεχῶϲ. Πρὸϲ λευκώματα. δρακοντίου τοῦ ἔχοντοϲ τὸ ϲπέρμα κρυπτόμενον ἐν τῇ γῇ ὅμοιον πεπέρει, λαβὼν ⟨αὐτὸ τὸ ϲπέρμα⟩ καὶ λειώϲαϲ μετὰ μέλιτοϲ ἔγχριε. Πρὸϲ οὐλὰϲ καὶ ἀμβλυωπίαϲ. Ἀρμενιακοῦ Γρ η̄ ἁλὸϲ ἀμμωνιακοῦ Γρ η̄ ἀμμωνιακοῦ θυμιάματοϲ Γρ η̄ πηγάνου ϲπέρματοϲ Γρ β̄, ξηρῷ χρῶ. Ἄλλο πρὸϲ λευκώματα. ϲιδηρίτιδοϲ βοτάνηϲ τὸν καρπὸν λειότατον ποιήϲαϲ ἐμφύϲα· ἔπειτα καταλαμβάνων τὸν

22—23 δρακοντίου—γῇ *293, 3* ἐὰν δὲ παιδίῳ—ὀφθαλμόν *(5) Gal. de rem. parab. II 4, 6 (XIV 411, 16—17, 412, 10—13)*

φ (C Lᵃ) χ (Mᵒ) ψ (A D P Q) ω (Aᵗ) 1 ὑπόϲηϲμα P ω τεθεραπευϲομένου C τὰ *om.* A Q ω 2 μάννα C ψ ω 3 τι] τῆϲ χ 4 δέ *om.* C χ ψ ω τι *om.* Lᵃ καὶ *om.* ω 6 δέ *om.* ω 6—8 καθάπερ—τὰ ἕλκη *om.* ω 8 ἁλὸϲ .... ἀμμωνιακοῦ C ἅλαϲ .... ἀμμωνιακὸν A Q 9 ἰϲχυρότατον φάρμακον D P ω 10 ἁρμόττη C ...ει A Q ω 12 *ante* διαφορητ.: καὶ χ μὲν *om.* χ 13 περὶ] ἐπὶ ω 14 τὰϲ *canc. sep. Hirschb. (om. Gal.)* καὶ τύλουϲ *post* ἐκτήκει C ἐκτήκει *post* ϲυκώϲειϲ *transp.* χ 15 ἁρμόττει C A Q 16 *ante* Βοηθήμ.: ἄλλα D P βοηθήμ. *post* λευκώμ. C προϲφ. *om.* α, *exc.* Lᵃ οὐλὰϲ τὰϲ (τὰϲ *om.* ω) προϲφ.—ϲυνεχῶϲ *(22) post* ἄλλο *(26) transp.* ω 17 μετὰ μέλ. ὀλ.] (ϲὺν *add. Hirschb.*) μέλιτι ὀλίγῳ ω 18 πορφυροῦν C μ. ὕδ.] μετὰ μέλιτοϲ C 20 *ante* ϲπέρμα: τὸ C 21 ἔνϲταζε εἰϲ τὸν ὀφθαλμὸν α, *exc.* Lᵃ 21. 22 ϲυνεχ. τοῦτο ποίει χ ω *ante* Πρὸϲ: ἄλλο C D *post* λευκώμ.: οὐλὰϲ τὰϲ προϲφάτουϲ ϲμήχει ἀλυπότατα C το ἔχον C Q τὸ *om.* χ D 23 (τῷ *add. Hirschb.*) πεπέρεωϲ A αὐτὸ τὸ ϲπέρμα *add. Hirschb.* 24 *ante* Πρὸϲ: ἄλλο C A Q ω Πρὸϲ οὐλὰϲ—ξηρῷ χρῶ *(26) post* ἁρμόττειν *(15) transp.* D P 25 η̄ *pr.*] δ̄ C ἀμμωνιακοῦ Γρ η̄ *om.* χ η̄ *alt.*] ᾱ ϲ C γ̄ *cet. codd., exc.* Lᵃ η̄ *tert.*] ᾱ ϲ C πηγάνου ϲπέρματοϲ (ϲπέρμα C χ A ω) Γρ (ουΓΓ' D P) β̄ *ante* Ἀρμενιακοῦ *transp.* ω 26 β] ᾱ C τούτοιϲ ξηροῖϲ C ϲιδηρίτηϲ ω

ὀφθαλμὸν τῇ χειρὶ ἐπ᾽ ὀλίγον ψυχρῷ ὕδατι πρόσκλυζε. σμῆχει δὲ γενναίως ἀλκυόνιον Μιλήσιον σὺν μέλιτι, ἀμμωμιακὸν θυμίαμα λεανθὲν σὺν οἴνῳ καὶ μέλιτι. ἐὰν δὲ παιδίῳ σμικρῷ λεύκωμα γένηται εἰς τὸν ὀφθαλμόν, ἡ μήτηρ τοῦ παιδίου τὸ ἀμμωνιακὸν μασησαμένη ἐμφυσάτω εἰς τὸν τοῦ παιδίου ὀφθαλμόν. ποιεῖ καὶ ἀνεμώνης ῥίζα ἡ βολβοειδὴς λειοτάτη ἐγχριομένη καὶ ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης ὁ χυλὸς σὺν μέλιτι. Ἄλλο. καπνίου τοῦ χελιδονίου λεγομένου ὁ χυλὸς σὺν μέλιτι· νίτρον μετ᾽ ἐλαίου παλαιοῦ· ἡδυόσμου χυλὸς ποιεῖ θαυμαστῶς. περιστερᾶς κόπρος ἐπ᾽ ἀκόνης μεθ᾽ ὕδατος ἀνιεμένη ποιεῖ παραδόξως· αἰλούρου χολὴ ἐγχριομένη. Ἄλλο πρὸς λευκώματα ἐπιτετευγμένον ἀδιάπτωτον. βούτυρον μόνον ἔγχριε, ποιεῖ ἄκρως, χρῶ. πλείονα γὰρ ἐπαγγέλλεσθαι οὐ δεῖ, ὅτι νικᾷ πᾶσαν ἐπαγγελίαν. Ἄλλο κάλλιστον. γάλα γυναικεῖον μελαντηρίαν τὴν ἀπὸ ἥλων παλαιῶν καὶ ὄξους ἐσκευασμένην, μέλι καλόν, ἐξ ἴσου τὰ τρία μίξας ἅμα καὶ διηθήσας χρῶ ὡς θείῳ φαρμάκῳ. Ἄλλο. λαπάθου ἡμέρου ἢ ἀρνογλώσσου σπέρμα καύσας ἐπ᾽ ὀστράκῳ ἀκριβῶς λέαινε τὴν τέφραν καὶ χρῶ. Ἄλλο. κρόκον πέπερι, ἴσα λειότατα ποιήσας καὶ ἀναλαβὼν εἰς κολλύριον σιλούρου χολῇ χρῶ. Ἄλλο. χελιδόνων νεοσσῶν κεφαλὰς ἀφελὼν καῖε ἐν χύτρᾳ καὶ λειώσας ἀπόθου ἐν ἀγγείῳ κερατίνῳ καὶ χρῶ. ἔστι γὰρ χρειωδέστατον

5—7 ποιεῖ—σὺν μέλιτι 8 νίτρον—παλαιοῦ *Gal. ib. (ib. 411, 11, 12—13, 15—17) de comp. med. s. loc. ib. 8 (ib. 801, 5) Or.*[e] *IV 24 (447, 13, 11—12) Paul. III 22 (I 181, 5, 9—10)* 10 αἰλούρου—ἐγχριομένη *Gal. ib. (ib. 8)* 16—18 κρόκον—χρῶ *Gal. ib. (ib. 801, 7—8)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 ψυχρὸν ὕδωρ ω 2 μηλίσιον φ A Q μέλιτι] ὕδατι P λεάνας C A Q 3 *post* μέλιτι: χρῶ C παιδίου C μικροῦ C ἐν τῷ ὀφθαλμῷ C A Q *om.* χ 5 καὶ—ῥίζα] δὲ ὁμοίως καὶ ἡ ῥίζα τῆς ἀνεμ. C *ante* ῥίζα: ἡ D P 6 κυανὸν L[a] 7 Ἄλλο *om.* φ χ A Q καπνίου—σὺν μέλιτι *post* παλαιοῦ *(8) transp.* D P 8 *ante* ἡδ.: ἢ C *ante* χυλὸς (...ὸν C Q): ὁ D P 9 *ante* περιστ.: ἢ C ἐνιεμένη D P 10 *ante* αἰλ.: καὶ P *(Hirschb.)* χολὴ] τὸν χυλὸν C *post* Ἄλλο: καλὸν C λεύκωμα D P *post* λευκώμ.: λείαν. χελιδωνίων νεοσσῶν κεφαλὰς *(cf. l. 18 sq.)* κεκαυμένας γ̄ ἢ ε̄ ἢ ζ̄ καύσας καὶ λεάνας εὖ μάλα μίξον μετὰ μόσχου ἀδόλου· στούτιον σάχαρ λευκὸν μαργαριταρίου ὀνύχου ἵππου κεκαυμένου κρόκου σηπίας ὄστρακον κεκαυμένον ἢ ὠμὸν λειώσας, πάντα ὁμοῦ διαλύσας, δι᾽ ὀθονίου λεπτοτάτου ἔχε ἀδιάπνευστον. ἐπὶ δὲ τῆς χρείας χρῶ ξηρῷ κατὰ τοῦ λευκώματος τοῦ ὀφθαλμοῦ καὶ οὕτως ποίει συνεχῶς. ἐπὶ δὲ τῶν παίδων, τρυπήσας τὸ ὠτίον μετὰ σιδήρου, ἐπίθες ῥάμ⟨μ⟩α μετὰ σιδήρου καὶ ἀπόσυρε αὐτὸ συχνῶς. γενναίως γὰρ τοῦτο ὠφελεῖ, φησὶν ὁ Φιλάγριος. Ἄλλο ὥστε αἴρει⟨ν⟩ τὰ λευκώματα, θαυμαστόν, οἷον· λεπίδος σιδήρου στομώματος στυπτηρίας σχιστῆς ἀνὰ οὐλκὰς β̄ κόμμεως σκώληκος οὐλκὰς γ̄ ὕδατι μαλάξας ἀνάπλασσε κολλύρια καὶ χρῶ. Ἄλλο. μελάνθιον τρίψας ἐπιμελῶς δεῦσον μετὰ τοῦ ἁγιάσματος τῶν ἁγίων θεοφανίων καὶ δήσας ἐν ὀθονίῳ ἀπόσταζε κατὰ τοῦ ὀφθαλμοῦ δὶς καὶ τρὶς καὶ πλειστάκις τῆς ἡμέρας καὶ τῆς νυκτός· τοῦτο γὰρ καθαίρει ἀλύπως, φησὶ Διοσκορίδης, τὰ τῶν παίδων λευκώματα. Ἄλλο πρὸς λευκώματα C ἐπιτετευμ. A ...τετυγμ. φ χ τετεγμ. ἀδιάπτ. *post* βούτυρον *(11) transp.* ω 11 βουτύρου L[a] *ante* ποιεῖ: τοῦτο C *ante* χρῶ: καὶ C D P ω πλείω ω 12 οὐ δεῖ *om.* C A Q δεῖ] χρὴ ω διότι C A Q *post* κάλλιστον: καὶ χρειοδέστατον C 13 καὶ ὄξους (...ος A Q) *om.* L[a] χ 14 *ante* μέλι: καὶ D P ἅμα μίξας ω 15 Ἄλλο *om.* P ω *ante* σπέρμα: τὸ C 17 λειότατον L[a] λειότατα—χύτρᾳ *(18) om.* ω εἰς *om.* α, *exc.* D P σιλούρου] αἰλούρου D P 18 Ἄλλο *om.* L[a] χελιδόνος D P καῖε καὶ L[a] χ καύσας *Ald.* καὶ *om.* L[a] ω 19 γὰρ *om.* A Q *post* γάρ: τοῦτο C

βοήθημα καὶ πρὸς τοὺς πληγέντας ὀφθαλμοὺς στιμμιζόμενον. Ἄλλο πρὸς οὐλὰς καὶ λευκώματα. μόσχου θηλείας χολὴν ὅσον κοτύλην λαβὼν καὶ ἑψῶν ἐπὶ πυρὸς ἐπ' ὀλίγον, ἐπίβαλλε μέλιτος καλλίστου τὸ ἴσον καὶ σμύρνης < β̄ κρόκου < β̄, λειώσας ἅμα ἕψε πάλιν ἐν χαλκῇ λοπάδι ἐφ' ἱκανὸν καὶ ἀπόθου εἰς πυξίδα χαλκῆν καὶ χρῶ. Ἄλλο. λίθον σαρκοφάγον λεγόμενον, ἐξ οὗ σοροὺς μεγάλους κατασκευάζουσι, κόψας σήσας καὶ λεάνας πτυάλῳ νήστεως αὐτοῦ τοῦ πάσχοντος μάλιστα ὑπόχριε θαρρῶν. Ἄλλο. λίθου μάγνητος ζῶντος λίθου ὀφίτου στίμμεως κοπτητοῦ ἁλῶν Θηβαικῶν, ἴσα κόψας σήσας καὶ λεάνας πάλιν εὖ μάλα, ἐπίβαλλε χυλὸν βοτάνης νυκτερίδος καλουμένης καὶ μέλι τὸ κάλλιστον καὶ ἔγχριε, μήλην ποιήσας ἀπὸ λίθου σαρκοφάγου. Ἄλλο. χαλβάνην μέλιτι τήξας καὶ συλλεάνας χρῶ. Ἄλλο. αἴρει λευκώματα πάνυ θαυμαστῶς καὶ ταχέως. λεπίδος σιδήρου στομώματος < β̄ στυπτηρίας σχιστῆς < β̄ κόμμεως σκώληκος < γ̄, ὕδατι λείου καὶ ἀνάπλασσε κολλύρια καὶ χρῶ. Ἄλλο. ῥάμνου χυλοῦ, εἰ οἷόν τε τοῦ καρποῦ, εἰ δὲ μὴ τῶν φύλλων Γ° β̄ ἀμμωνιακοῦ θυμιάματος Γ° ᾱ σηπίας ὀστράκων Γ° ᾱ μέλιτος Ἀττικοῦ Γ° β̄, λεῖα ἀναλάμβανε καὶ χρῶ. τινὲς δὲ τὸ ἀμμωνιακὸν μόνον λεάναντες μετὰ τοῦ χυλοῦ τῆς ῥάμνου ἐγχρίουσιν. αὐτὸς δὲ ὁ χυλὸς κατ' ἰδίαν ἐγχριόμενος βάπτει τὰς οὐλάς. Κολλύριον Ἀρχιγένους πρὸς λευκώματα, ὥστε ἀπὸ μιᾶς χρίσεως αἴρειν τὸ πλεῖστον τοῦ λευκώματος, ποιεῖ καὶ πρὸς πᾶσαν ἀμβλυωπίαν καὶ πρὸς πᾶσαν σφαλερὰν καὶ χρονίαν ὀφθαλμίαν ἄκρως. κοχλιῶν κεκαυμένων < γ̄ χαλκοῦ κεκαυμένου < δ̄ λεπίδος χαλκοῦ < ς̄ λεπίδος στομώματος σιδήρου < ιβ̄ ἰοῦ < ς̄ στυπτηρίας σχιστῆς < ς̄ λίθου σχιστοῦ < ᾱ ἀλόης < ᾱ ὀμφακίου ξηροῦ < β̄ λυκίου Ἰνδικοῦ < δ̄ χαλκίτεως < γ̄ σμύρνης < γ̄ λιβάνου < γ̄

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 2 χολῆς χ 3 ἐπίβαλε χ A D 4 καὶ *om.* L^a < β̄ *pr. om. sed post* κρόκου: ἀνὰ C D P β̄ *alt.*] ᾱ χ *ante* ἕψε (..ει): καὶ D P 5—8 Ἄλλο. λίθον — θαρρῶν *post* στιμμιζόμενον *(l. 1)* ω 6 μεγάλας C D P Q 7 σήσας *et* σείσας *codd.* πυέλω L^a πτυέλω D ω πτυάλων A 8 Ἄλλο *in marg.* P *om.* ω μαγνήτου (...ίτου) C A Q ω γομφίτου A Q 9 κοπτητοῦ — Θηβαικῶν *om.* ω καὶ *om.* ω πάλιν] ἅμα ω *om.* C 10 ἐπίβαλε χ A D Q νυκτερ. καλουμ. *om.* L^a μέλιτος καλλίστου C τὸ] τι χ A Q *om.* D P 11 μήλιν φ ω 12 μέλι ω τήξας] μίξας C *ante* αἴρει: ὥστε C αἶρον D P λευκώμ. *ante* καὶ ταχ. *transp.* C πάνυ *om.* C θαυμαστὸν P ...σίως C 13 *post* στομώμ.: μετὰ κεκαυμένων χελιδόνων νεοσσῶν καὶ σάχαρ ἐπίχριε C < β̄ — χρῶ *(15) om.* C 14 < β *om. sed post* σκώληκος: ἀνὰ D P γ̄] β̄ D P λειώσας ω 15 χυλὸν (χ^υ χ) A ω εἰ *pr. om.* C Q 16 Γ° ᾱ *pr. om. sed post* ὀστράκ.: ἀνὰ C 17 λείοις α, *exc.* L^a *ante* τὸ: καὶ C 18 λεαίνοντες C A D Q ω τοῦ *om.* L^a 20 Κολλύριον *post* λεύκωμα *(sic) transp.* ω ἐγχρίς. C Q αἴρει A Q ω 21 *ante* ποιεῖ: τοῦτο C καὶ *pr.*] δὲ ω ἀμβλυωπ. κ. π. πᾶσαν *om.* ω σφαλερὴν A Q ω 22 *post* ἄκρως: ἔχει δὲ οὕτως C κεκαυμ. *alt.*] ὁμοίως ω 23 δ̄] δ̄^ς χ β̄ ω χαλκοῦ < ς̄ λεπίδος *om.* χ A D < ς̄ *om.* C σιδ. στομ. C Q σιδ. *om.* ω ἰοῦ < ς̄ *om.* L^a < ς̄ *alt. om. sed post* σχιστῆς: ἀνὰ C 24 στυπτ. σχ. < ς̄ *om.* ω < ᾱ *pr. om. sed post* ἀλόης: ἀνὰ C ἀλόης < ᾱ *om.* ω 25 < β̄ *om.* C λυκίου — φλοιοῦ λιβάνου οὐλκὴν ᾱ *ante* ναρδοστάχ. *transp.* C < γ̄ *pr. et alt. om. sed post* λιβάνου: ἀνὰ C < γ̄ *pr. om. sed post* σμύρνης: ἀνὰ D P γ̄ *tert.*] ᾱ D P

φλοιοῦ λιβάνου <α κρόκου <β̄ κροκομάγματος <β̄ ναρδοστάχυος <γ̄ κυτίνων <β̄ κόμμεως <η̄, λείου ὕδατι καὶ ἀνάπλασσε κολλύρια καὶ χρῶ σὺν ὕδατι· καὶ ξηρίον δὲ εἰ βούλει ποιῆσαι, λεάνας τὸ κολλύριον χρῶ ξηρῷ. καλῶς δὲ ποιεῖ πρὸς οὐλάς, φησὶν ὁ Ἀπολλώνιος, τὸ πεπιεσμένον κολλύριον. ποιεῖ δὲ καὶ τὸ ἁρμάτιον καὶ τὸ προγεγραμμένον δι' οἴνου πρὸς μυοκέφαλα, καὶ τὰ τούτοις παραπλήσια, ἅτινα ἐν τῷ περὶ συνθέσεως τῶν πολυχρήστων κολλυρίων τόπῳ γραφήσεται. τὸ δὲ Σεβήρου θεοδότιον σὺν ὕδατι παχὺ ἐγχριόμενον εἰς τοσοῦτον λεπτότητος φέρει τὰς οὐλάς, ὥστε μηδὲ ὅλως αὐτὰς τῇ αἰσθήσει γνωρίζειν. κάλλιστον δ' ἐπ' αὐτῶν ξηρίον τὸ ἐπιγεγραμμένον Ἀλεξάνδρου βασιλέως, διὰ κρόκου καὶ ⟨νάρδου⟩ Κελτικῆς καὶ ἀμπελίτιδος γῆς σκευαζόμενον. κεῖται δὲ ἐν τοῖς πολυχρήστοις ξηροῖς.

Βάμματα λευκωμάτων. προείρηται ὡς ἀπέχεσθαι χρὴ τῶν βαπ- μβ̄
τόντων τὰς οὐλὰς φαρμάκων· πρὸς δὲ τὸ μὴ ἀγνοεῖσθαι τὰ τοῦτο ποιεῖν δυνάμενα μνημονευτέον καὶ αὐτῶν. κηκῖδα, φησί, λείαν ἔχε ἀποκειμένην καὶ ἐν τῇ χρήσει πυρῆνα μήλης θερμαίνων καὶ ἀναλαμβάνων ἐκ τοῦ φαρμάκου παράπτου τοῦ λευκώματος, ἔπειτα χάλκανθον ὕδατι λύσας παράπτου. Ἄλλο. σιδίοις λείοις παράπτου, ἔπειτα χαλκάνθῳ σὺν ὕδατι. Ἄλλο. ῥόας γλυκείας τὴν σάρκα λεάνας, παραστάζων ὕδωρ ὀλίγον, καὶ ποιήσας λειότατον ἀπόθου· ὅταν δὲ χρεία γένηται, προστύψας τούτῳ πολλάκις ἐπίχριε ὑοσκυάμου χυλὸν ἐπὶ ἡμέρας ιε̄· τοῦτο βάπτει λευκώματα καὶ ἀφανῆ ποιεῖ ἐπὶ χρόνον ἱκανόν. Ἄλλο ποιοῦν καὶ πρὸς γλαυκοφθάλμους. μίσυ τρίψας μεθ' ὕδατος ἀνάπλασσε κολλύρια· ὁμοίως καὶ ἕτερον διὰ κηκῖδος· ἐπὶ δὲ τῆς χρείας προαποστύψας τῷ διὰ τῆς κηκῖδος ὑπέγχριε τὸ διὰ μίσυος. Ἄλλο ξηρόν. κηκῖδος <ᾱ ἀκακίας <ᾱ χαλκάνθου <β̄ χρῶ. Κολλύριον δὲ τοῦτο· ῥόας ἄνθος

5 τὸ ἁρμάτιον *cf. Gal. ib. IV 8 (ib. 779, 6 sqq.)* τὸ προγ. κτλ. *p. 285, 26 sqq.* 12 κεῖται κτλ. *cf. p. 336, 10 sqq.* 13 προείρηται κτλ. *p. 289, 31* 15—18 κηκῖδα—παράπτου *alt. Gal. ib. (ib. 739, 13—17)* 19—22 ῥόας—ἱκανόν *cf. Gal. ib. (ib. 740, 6—9)* 23—25 μίσυ—μίσυος *cf. Gal. ib. (ib. 739, 17—740, 2)* 25—*p. 296, 3* κηκῖδος—ἔμβαλλε *Paul. ib. (ib. 17—20)*

φ (C L^{a}) χ (M^{o}) ψ (A D P Q) ω (A^{t}) 1 <β̄ *pr. et alt. om. sed post* κυτίνων: ἀνὰ C ναρδοστάχ. οὐλκ. γ̄ *ante* κόμμεως C 2 κυτίνων—κόμμεως <η̄ *om.* L^{a} 3 σὺν ὕδ. *om.* ω ξηρὸν C A Q ω ποίησον ω 3. 4 κολλύρια φ ψ 4 ξηροῦ χρῶ D P ω ποιεῖ *om. et* καὶ πρὸς οὐλὰς *post* Ἀπολλών. *transp.* ω 5 ...πιασμένον L^{a} χ ω κολλ. *om.* ω ἁρμόττιον ω 7 ...χρίστων φ ω ...φήσονται D P 10 ξηρὸν α, *exc.* L^{a} 11 *ante* βασιλ.: τοῦ D P Κελτ.] ἑλκτικῆς ω νάρδου *om.* α, *post* Κελτικῆς *add. Hirschb. transposui* 12 ...χρίστοις ω *post* ξηροῖς: ἐν τῶ ϛ̄ κεφαλαίω, ἔνθα ἐπιγράφει (περιγρ. C) ὡς περὶ ἀρτηριοτομίας εἰς τὸ τέλος C A Q 13 Περὶ βαμάτων C δεῖ ω 14 δὲ *post* μὴ *transp.* χ ω τὸ] τῶ χ ἀγνοεῖν ω 17 ἐκ] ἀπὸ ω 18 λύσας ὕδατι ω λύσας] λειώσας C χαλκάνθην C 19 *ante* ὕδωρ: καὶ C A Q 21 ἐπέγχριε χ 22 ἐπὶ ἱκανὸν χρόνον D P ἐπιχριόμενον ἱκανὸν ω . 23 γλαυκοὺς (*om.* A) ὀφθαλμοὺς α, *exc.* L^{a} μίσυος C 24 *post* ὁμοίως: δὲ ω 25 τῷ] τὸ φ A Q ω ἐπέγχριε χ ἐπίχριε C ψ ω κικίδων C <ᾱ *om. sed post* ἀκακίας: ἀνὰ C D P 26 ...άνθης *(et p. 296, 1)* C *ante* Κολλύριον: ἄλλο δὲ ω δὲ *om.* Q ω ῥόας ἄνθος *om.* D P *ante* ἄνθος: τὸ *Ald.* ἄνθους C χ Q

χαλκάνθου ἀκακίας κόμμεως ἀνὰ < δ̄ στίμμεως κηκίδων ἀνὰ < β̄, ὕδωρ· μὴ παρόντος δὲ τοῦ ἄνθους τῶν ῥοῶν, τὸ ἐντὸς τὸ μεταξὺ τῶν κόκκων ὑμενῶδες ἔμβαλλε.

μγ̄ Πρὸς γλαυκοφθάλμους, ὥστε μελανὰς ἔχειν τὰς κόρας. σιδίων γλυκείας ῥόας τὸν χυλὸν ἐγχυμάτιζε, ἔπειτα διαστήσας ἔνσταζε ὑοσκυάμου τὸ κυανοῦν ἄνθος τρίψας μετ' οἴνου ἢ ὑοσκυάμου χυλόν. δεῖ δὲ τῷ δέοντι καιρῷ τὰ ἄνθη συνάγειν καὶ ἀποτίθεσθαι. Ἄλλο. ἀκακίας τὸν καρπὸν καὶ κηκίδων ὀλίγον τρίψας ἐπιμελῶς ἀναλάμβανε ἀνεμώνης τῷ χυλῷ, ὥστε μέλιτος ἔχειν τὸ πάχος, ἔπειτα ἐκθλίψας διὰ ῥάκους ἐπιμελῶς τὸ ὑγρὸν ἀπόθου καὶ χρῶ, καθὰ προείρηται. Ἄλλο. σικύου ἀγρίου τῷ χυλῷ ἔγχριε τὰς γλαυκοφθάλμους γυναῖκας καὶ μελανοφθάλμους ποιεῖ. Ἄλλο. ὑοσκυάμου τὸ κυανοῦν ἄνθος λαβὼν ξήραινε ἐν σκιᾷ καὶ ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως διεὶς τὸ ἄνθος οἴνῳ αὐστηρῷ προϋπόχριε τῷ οἴνῳ, εἶτα τῷ ἄνθει αὐτῷ κατ' ἰδίαν λειοτριβηθέντι ἐπέγχριε καὶ παραχρῆμα ποιεῖ.

μδ̄ Περὶ τῆς τῶν παιδίων θεραπείας Σεβήρου. ἀπείρων λημῶν πλῆθος εὑρίσκεται κατὰ τοὺς τῶν παιδίων ὀφθαλμοὺς καὶ διαφυσῶνται δὲ ὡς ἐπίπαν τούτων τὰ βλέφαρα ὑπὸ τοῦ πλήθους τῆς ὕλης. ὑγρότερα γὰρ καὶ θερμότερα φύσει τὰ παιδία. τὰ οὖν τούτων κολλύρια ψυκτικά εἰσι καὶ ποσῶς ἀναξηραντικά, μετέχοντα καὶ στύψεως οὐκ ὀλίγης διὰ τὸ τὰ ἐπιφερόμενα τῶν λημῶν πλήθη ἀποκρούεσθαι. εἰς τοσοῦτον γὰρ ἧκται ψύξεως τὰ παιδικὰ κολλύρια, ὥστε καὶ τῶν τραχωμάτων αὐτὰ ἀναιρετικὰ τυγχάνειν. ἀμβλύνεται γὰρ ἐπὶ τῶν παιδίων ἡ τῶν κολλυρίων δριμύτης ὑπὸ τῆς ἐγχωρίου ὑγρότητος καὶ τοῦ πλήθους τῶν λημῶν, ἀλλὰ καὶ τῷ πλήθει τῶν ἐπιφερομένων δακρύων, διὰ τὸν ἐπιγιγνόμενον κλαυθμόν, ἀποπλύνεται τὰ κολλύρια. ἔστι δὲ ἡμῖν διὰ πείρας ἐπὶ τούτων πρῶτον μὲν καὶ θαυμάσιον κολλύριον λαμβάνον λίθου σχιστοῦ < κ̄ λίθου αἱματίτου < κ̄ ἰοῦ < δ̄

4—10 πρὸς γλαυκοφθάλμους—προείρηται *Gal. ib. (ib. 740, 5—12)*

φ (C Lª) χ (M°) ψ (A D P Q) ω (Aᵗ) 1 δ̄] ᾱ D P ϛ̄ ω στίμμεως *om.* A Q *post* στίμμ.: < δ̄ (δ̄ *corr.* β̄ *ut vid.* χ) χ ω ἀνὰ *om.* χ ω ὕδωρ *om.* D P 2 παρὸν ω τὸ ἄνθος *Ald. om.* ω τὸ μεταξὺ *om.* ω 3 ἔμβαλε χ A D ω 4 μελαίνας P κόρας] οὐλάς ω *post* χώρας *(sic)*: τῶν ὀφθαλμῶν πάνυ θαυμαστόν C 5 γλυκείας *om.* Lª ῥόας γλυκείας ω ἔνσταζε *om.* D 5. 6 ὑοσκιάμου, υἱοσκυάμου, ὑοσκ. *codd.* 6 τὸ κυανοῦν *om.* ω συντρίψας ω ἢ—χυλόν *om.* ω ὑοσκυάμ. (ὑοῦ κυάμου Lª) *v. supra* χυλῶ Lª χ 7 συλλέγειν D P 8 κηκῖδος (κηκκ.) C Q 9 ὥστε] ὡς χ D P ω σχεῖν Q τὸ *om.* χ D ω 10 καὶ *om.* C χ P ω 12 ποιήσεις D P κυανοῦν *om. sed post* ἄνθος: τὸ κυανοῦν ἄνθος ω ξήρανε D P ω 13 σκιᾷ] οἰκία P 14 προυπόκλυζε χ ...πόχει (C) A Q τῷ οἴνῳ *om.* ω αὐτῶν C A Q ...οῦ D P λειοτριβ. κατιδίαν D ω 15 ἀπόχριε ω 16 θεραπ.] λήμης Q Σεβήρου *om.* χ D P ἄπειρον (*post* πλῆθος *transp.* χ *post* εὑρίσκ. C A Q) α, *exc.* Lª 16. 17 λήμον (μ *supra*) πλῆθος Lª λήμην πλῆθος A *om.* ω 17 τῶν *om.* C ω παίδων α, *exc.* Lª 18 δὲ *om.* χ A Q πάθους ω 19 γὰρ *om.* Lª καὶ θερμότ. *post* φύσει *transp.* χ D P 20 ἐστι χ A D ω 21 πλῆθος C ω 22 παιδία C Q 23 τραχωματικῶν ω 26 δακρύων] ὑγρῶν ω τῶν ἐπιγιγνομένων κλαυθμῶν χ A P Q 27 ἐπὶ τούτων *om.* χ A Q 28 *ante* λαμβ.: τοῦτο, *post*: οἷον C < κ̄ *pr. om. sed post* αἱματ.: κώμεως ἀνὰ C κ̄ *alt.*] ῑ C < δ̄ *et p. 297. 1* < δ̄ *pr. om. sed post* χαλκοῦ: ἀνὰ C D P

χαλκίτεωϲ ὀπτῆϲ < δ̄ χαλκοῦ κεκαυμένου < δ̄ ὀπίου < ϛ̄ ϲμύρνηϲ < ϛ̄ κόμμεωϲ < κ̄. αὕτη μὲν ἡ κολλυρίου ϲύνθεϲιϲ καὶ λόγῳ δεδοκίμαϲται καὶ τῇ πείρᾳ χρήϲιμοϲ ὤφθη· ὕδατι λειοῦται. καὶ ἄλλο δὲ κολλύριον πρὸϲ τὰ αὐτὰ διὰ πείραϲ χρήϲιμον ὑπῆρξε, λαμβάνον λίθου ϲχιϲτοῦ < κδ̄ λίθου αἱματίτου < κδ̄ χαλκοῦ κεκαυμένου < η̄ ἀμμωνιακοῦ θυμιάματοϲ < η̄ μίϲυοϲ κεκαυμένου < η̄ χαλκίτεωϲ κεκαυμένηϲ < η̄ ὀπίου < δ̄ ὑοϲκυάμου ϲπέρματοϲ < δ̄ κόμμεωϲ < η̄, ὕδωρ. δεῖ δὲ κἀπὶ τούτων κατ' ἀρχὰϲ προϲπλέκειν τῶν ἀδήκτων κολλυρίων καὶ οὕτω κατ' ὀλίγον ἐπὶ τὴν δραϲτικὴν τῶν βοηθημάτων ἄγεϲθαι δύναμιν. παραδόξωϲ δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ τὸ Θεοφίλειον ἐπιγεγραμμένον κολλύριον καὶ τὸ καλούμενον π̄ῑ· ἀναγεγραμμένον δέ ἐϲτιν ἐν τοῖϲ πολυχρήϲτοιϲ κολλυρίοιϲ.

Περὶ τραχωμάτων καὶ δαϲυμάτων, ϲυκώϲεων καὶ τύλων τοῦ αὐτοῦ. με̄ ἐπειδὴ ὁ λόγοϲ ϲυγγένειαν βοηθημάτων τεθέαται καὶ οἷον ἀπηρτημέναϲ ἀλλήλων εὗρε δυνάμειϲ, ταύταϲ ἀφορίζειν οὐδὲ οὐκέτι μεϲολαβεῖν τι ἕτερον αὐτῶν παρακελεύεται. τὰ τοίνυν τραχώματα, ἅπερ καὶ δαϲύματα πρόϲ τινων κέκληται, ἐκ κακοθεραπείαϲ πολλάκιϲ γίγνεται· ἐπὶ πολὺ γὰρ ἐγχυματιζόντων τῶν ἰατρῶν τοῦτο ϲυμβαίνει. ὥϲπερ γὰρ ἐπὶ τῶν ἐκτὸϲ τραυμάτων τὸ λιπαίνειν ϲαρκῶν τινων ἀχρείων αἴτιον γίγνεται, οὕτω καὶ ἐπὶ τοῦ παρόντοϲ ἐϲτὶν ἐννοῆϲαι τὸ γιγνόμενον. γίγνεται δὲ καὶ ἐκ ῥεύματοϲ πολυχρονίου ἀδηκτοτέρου τυγχάνοντοϲ· εἰ γὰρ δριμὺϲ γένηται, φθάϲειεν ⟨ἂν⟩ τῷ ὀφθαλμῷ τὴν βλάβην ἐμποιῆϲαι, πρὶν ἂν τοῖϲ βλεφάροιϲ τὸ πάθοϲ ἐγκαταϲπεῖραι. γίγνεται δὲ ἐνίοτε καὶ μὴ προηγηϲαμένων ῥευματιϲμῶν, μηδὲ προδήλου αἰτίαϲ παρούϲηϲ· καί ἐϲτι τὰ τοιαῦτα οὐχ ὅμοια τοῖϲ ἐκ τῶν

11 ἀναγεγραμμένον κτλ. *cf. p. 382, 9sqq.*

φ (CL^a) χ (M^c) ψ (ADPQ) ω (A^t) 1 *ante* χαλκοῦ: καὶ DP κεκαυμ. *om.* CDP δ̄ *alt.*] β̄ C < ϛ̄ *om. sed post* ϲμύρνηϲ: ἀνὰ CDP 2 ϛ̄] γ̄ C κόμμεωϲ < κ̄ *om. (v. supra)* C κ̄] β̄ DP ιϛ̄ ω 3 *post* ὕδατι: δὲ DP δὲ *om.* ω 4 *post* λαμβ.: τοιαῦτα οἷον C 5 < κδ̄ *pr. om. sed post* αἱματ.: ἀνὰ C < κδ̄ λίθου *om. sed post* αἱματίτου: ἀνὰ DP λίθου αἱμ. < κδ̄ *om.* L^aχ *ante* αἱματ.: καὶ DP κδ̄ *alt.*] ιβ̄ C < η̄ *om.* CDP 6 < η̄ *pr. et alt. om.* CDP κεκαυμ. *pr.*] ...μένηϲ AQ χαλκίτ. κεκαυμ. (ἀνὰ *add.* DP) *om.* ω κεκαυμένηϲ— < δ̄ *(alt. 7) om.* C 7 < δ̄ *pr. et alt. om.* DP ὑοϲκ. ϲπέρμ. (ϲπέρμα L^aχ) < δ̄ *om.* AQ *post* κόμ.: ἀνὰ οὐλκὰϲ δ̄ ὀπίου υἱοϲκυάμου ϲπέρματοϲ ἀνὰ οὐλκὰϲ β̄ C < η̄] ἀνὰ < δ̄ DP *ante* ὕδωρ: καὶ DP 8 *post* προϲπλέκειν: τι DP 9.10 *post* δύναμιν: ἔϲτι δὲ ἄλυπον πρὸϲ παίδων ὀφθαλμοὺϲ τοὺϲ καθυγραινομένουϲ ϲυνεχῶϲ. ἤδη δὲ καὶ τῶν ἄλλων (ἡ *add.* P) ἀλόη ἀνεθεῖϲα ὕδατι παχυτέρῳ καὶ τοῖϲ κανθοῖϲ διὰ πυρῆνοϲ μήληϲ προϲαγομένη ἔϲται καλλίϲτη DP 10 Θεοφίλιον α, *exc.* L^a ἐπιγ.] καλούμενον χ 11 καὶ τὸ καλούμ. *om.* AQ καὶ τὸ καλούμ.—κολλυρίοιϲ *om.* ω π̄ῑ *om.* APQ (μονόμηλον *suppl. Hirschb.*) 13 καὶ *pr. om.* DP ϲυκώϲεωϲ χP *post* τύλων; κολλύρια διάφορα τραχωματικὰ καὶ ὑγρὰ τραχωματικὰ DP 13. 14 τοῦ αὐτοῦ] Σεβήρου CAQω *om.* χDP 15 ...τιϲμέναϲ DPω οὐκ ἔϲτιν AQ οὐκ. οὐδὲ *cett. codd. transp. Hirschb.* 16 με^{ε}ολαβεῖν χ μεϲοϲυλλαβεῖν ω αὐτῷ φχ 17 κέκλ.] (παρ' ὅλων C) λέγεται CAQ 18 τῶν ἰατ. ἐγχυμ. α, *exc.* L^a 19 ἐντὸϲ ω 20 ἀγρίων CAQω οὕτω *post* παρόντοϲ *transp.* ω 22 δριμὺ DP *om.* L^a γένηϲθαι *(sic)* AQ γε εἴη D γε ἦ P φθάϲειεν (φθάϲει ἐν) φA ...ειε Q ...οιεν χ φθάϲη ἂν DP φθάϲϲει ἐν ω ἂν *add. Hirschb.* 23 ἐμποιήϲει AQ ἐκποιῆϲαι ω 24 δὲ *om.* L^aχ

ῥευματισμῶν γιγνομένοις. ἐπ' ἐκείνων μὲν γὰρ δασύτερα καὶ τραχύτερα καὶ ἐναιμότερα φαίνεται ἐκστραφέντα τὰ βλέφαρα· ἐπὶ δὲ τούτων ὥσπερ τινὰ κέγχρη ἢ ὀρόβια μικρὰ ὁρᾷς ἐπανιστάμενα τῶν βλεφάρων ἐντός· καί ἐστι τοῦτο τὸ εἶδος τῶν ἄλλων δυσιατότερον. διαφέρουσι δὲ ἀλλήλων ταῦτα· ὅτι ἡ μὲν δασύτης ἐπιπολῆς ἐστι καὶ μετ' ἐρεύθους, ἡ δὲ τραχύτης μείζονα τὴν ἀνωμαλίαν καὶ τὴν ἐπανάστασιν ἔχει μετ' ἀλγήματος ἅμα καὶ βάρους· ἄμφω δὲ τοὺς ὀφθαλμοὺς ἐξυγραίνουσιν. ἡ δὲ σύκωσις λεγομένη ὑψηλοτέρας τὰς ἐξοχὰς ἔχει καὶ οἷον ἐντετμημένας. καὶ τίνι γὰρ ἄλλῳ ἢ σύκῳ ἔοικε κεχηνότι; ἡ δὲ τύλωσις τραχύτης ἐστὶ χρονία ἐσκληρυσμένας τε καὶ τετυλωμένας ἔχουσα τὰς ἀνωμαλίας. τινὲς μὲν οὖν ξέειν τὰ τραχώματα πειρῶνται, οἱ μὲν σιδήρῳ, οἱ δὲ φύλλοις συκῆς· ἔστι δὲ ἐπιβλαβὲς τὸ ἐπιχείρημα· ἐπὶ πλεῖον γὰρ ταῦτα ἐπαύξουσι καὶ σκληρὰς τὰς οὐλὰς ἐπάγουσι καὶ αἴτιοι συνεχῶν ῥευματισμῶν γίγνονται νυττομένων ἀεὶ τῶν ὀφθαλμῶν ἐκ τῶν ἐπιγιγνομένων σκληροτέρων οὐλῶν. θεραπεύειν δὲ χρὴ τὰ τραχώματα, μηδενὸς ἕλκους περὶ τὸν ὀφθαλμὸν ὄντος, ⟨οὕτως⟩· τοῖς ἐπὶ τῶν παιδίων προρρηθεῖσι κολλυρίοις ἐκστρέφοντας τὰ βλέφαρα, εἰ μὴ φλεγμαίνοιεν, ἐπαλείφειν τε καὶ παρατρίβειν τῷ πυρῆνι τῆς μήλης ἐπὶ πολύ. ταχέως γὰρ ἀφιστάμενοι τῆς παρατρίψεως, δασύνουσι μᾶλλον καὶ ῥευματίζουσι τοὺς ὀφθαλμούς. εἰ δὲ ἐπιμένοι ἡ αἰτία, τοῖς δραστικωτέροις κεχρῆσθαι προσήκει, οἷόν ἐστι τοῦτο· σηπίας ὀστράκου < η̅ κισσήρεως < η̅ μίλτου Σινωπικῆς < γ̅ ἀμμωνιακοῦ θυμιάματος < ι̅ κόμμεως < κ̅, ὕδωρ. τούτῳ χρώμενος μεγάλως εὐδοκιμήσεις· παρ' αὐτὰ γὰρ τῆς ἐγχρίσεως ἐπιδερματίδες τινὲς ἐν τῷ σπογγίζειν ἐκπίπτουσι· ψυχρῷ δὲ ὕδατι μετὰ τὴν χρῆσιν τοῦ κολλυρίου δέον ἀποσπογγίζειν. ἔστι δὲ καὶ ἄλλο κολλύριον πρὸς τὰς τοιαύτας διαθέσεις, λαμβάνον καδμίας < δ̅ λεπίδος χαλκοῦ < δ̅ ἁλὸς ἀμμωνιακοῦ < δ̅ ὀπίου < β̅ κόμμεως < ιβ̅, ὕδωρ. ἐγὼ δὲ τῷ

6—11 ἡ δὲ τραχύτης—ἀνωμαλίας *cf. Paul. III 22 (I 176, 16—18)* 17 τοῖς ἐπὶ τῶν παιδίων προρρηθεῖσι κολλυρίοις *cf. 296, 27 sqq.* 22 σηπίας ὀστράκου *cf. Gal. de simpl. med. temp. ac fac. XI 27 (XII 348, 1 sqq.)*

φ (C L^{a}) χ (M^{o}) ψ (A D P Q) ω (A^{t}) 1 ῥευμάτων *Ald.* 2 ἐννομώτερα ω 3 κεγχριὰ D P ...χρην ω (...χριν *Hirschb.*) κέγχρη (*ex* κέγχρος, ους, *ut vid.*) *servavi* 4 τὸ *om.* L^{a} δασύτερον C ψ 7. 8 τὸν ὀφθαλμὸν C χ ψ 9 ἐντεταμένας ω τί ... ἄλλο L^{a} τίγε .... ἄλλω ω 10 χρόνιος α, *exc.* L^{a} ...κληρημένας D ...ρυμμένας P ...ρησμένας ω τε—ἔχουσα] ἔχουσα καὶ τετυλωμένας ω 13 ταύτας C αὐτὰς A Q 16 τῶν ὀφθαλμῶν ω 17 οὕτως *add. Hirschb.* 17. 18 ..στρέφοντες α, *exc.* D P 18 τε *om.* C χ Q ω 21 ...μένοιεν C χ ω 22 < η̅ *pr. om. sed post* κισσήρ.: ἀνὰ C D P < γ̅] < ι̅ A Q <· ω *om.* C 23 *post* θυμιάμ.: ἀνὰ C κ̅] η̅ *Ald.* 24 αὐτῶν C 25 ἐν *om.* D P τῷ] τοῖς L^{a} χρῖσιν A ω 26 δέον *om.* P 27 λαμβ.] ἔχων οἷον C < δ̅ *pr. et alt. om.* (= C) *sed post* ἀμμωνιακοῦ: ἀνὰ D P 28 < δ̅ *et* < β̅ *om. sed post* κόμμεως: ἀνὰ C κόμμεως < ιβ̅ *om.* D ιβ̅] β̅ C A Q *ante* ὕδωρ: ἔστι δὲ καὶ ἄλλο κολλύριον πρὸς τὰς τοιαύτας διαθέσεις, λαμβάνον καδμίας λεπίδος χαλκοῦ ἁλὸς ἀμμωνιακοῦ ἀνὰ < δ̅ ὀπίου < β̅ κόμμεως < ιβ̅ *(sc. ll. 26—28 repet.)* καὶ D καὶ P ὕδατι χρῶ C *ante* τῷ: καὶ C Q

Cεβηριανῷ ξηροκολλυρίῳ χρηcάμενοc ὠφέληcα, ἕξειc δὲ καὶ τούτου τὴν πεῖραν διδάcκαλον. ὁ δὲ Ἀπολλώνιόc φηcι· φαρμάκοιc χρηcτέον ἐπὶ τῶν τετραχυcμένων βλεφάρων, οἷc καὶ τὰc παχυτάταc οὐλὰc ἀποκαθαίρομεν, οἷόν ἐcτι τοῦτο· χαλκοῦ κεκαυμένου < η̄ cμύρνηc < ᾱ λεπίδοc χαλκοῦ ἀκακίαc καδμίαc ναρδοcτάχυοc κινναμώμου κρόκου ἀνὰ < ᾱ πεπέρεωc κόκκοι ῑϛ ὑπερικοῦ < γ̄ ἀμμωνιακοῦ θυμιάματοc < γ̄ ἰοῦ ὀβολοὶ β̄ κόμμεωc < ᾱ· λεάναc οἴνῳ παλαιῷ αὐcτηρῷ ἀνάπλαccε κολλύρια καὶ χρῶ. Ἄλλο πρὸc ῥεύματα παλαιὰ καὶ δαcέα βλέφαρα. καδμίαc < ϛ̄ χαλκοῦ κεκαυμένου < δ̄ ὑοcκυάμου cπέρματοc < ᾱ ὀπίου < β̄ cμύρνηc ἐρείκηc καρποῦ ἀκακίαc ἀνὰ < δ̄ κόμμεωc < η̄· ξηρὰ πάντα λειότατα ποιήcαc ἐπίβαλλε γάλα γυναικεῖον καὶ cυλλεάναc ἀναλάμβανε καὶ ποίει κολλύρια καὶ γάλακτι ὁμοίωc ἀποτρίβων ἔγχριε παχὺ προπυριάcαc. Ὑγρὰ τραχωματική, ποιεῖ δὲ καὶ ὑποπύοιc. χαλκίτεωc κεκαυμένηc < γ̄ κρόκου < γ̄ μέλιτοc < θ̄, λεάναc τὰ ξηρὰ μεθ᾽ ὕδατοc μετὰ τὸ ξηρανθῆναι καλῶc μίcγε τὸ μέλι καὶ χρῶ. Θεοφίλου καλεῖται ὑγρὰ πρὸc τὰc cυκώδειc ἐπαναcτάcειc καὶ πάcηc cαρκὸc ἐξοχάc. χαλκοῦ κεκαυμένου < β̄ μίcυοc κεκαυμένου < ᾱ cμύρνηc κρόκου ὀμφακίου ἀνὰ < ᾱ οἴνου Χίου ἢ ἑτέρου cτύφοντοc παλαιοῦ εὐώδουc ℔ ῑϛ μέλιτοc τοῦ Ἀττικοῦ ℔ ῑε̄· ἔcτι δὲ καὶ ἕτερα κολλύρια ποιοῦντα πρὸc τὰ τραχώματα, οἷόc ἐcτιν ὁ φοῖνιξ καὶ ὁ Διόνυcοc καὶ τὰ παραπλήcια, ἅτινα ἀναγραφήcεται ἐν τοῖc πολυχρήcτοιc κολλυρίοιc. ἐφ᾽ ὧν δὲ cὺν τῇ τραχύτητι τῶν βλεφάρων καὶ οἱ χιτῶνεc τῶν ὀφθαλμῶν ὀδυνῶνται φλεγμαίνοντεc, παραμίcγειν χρὴ τοῖc ἰδίοιc τῆc φλεγμονῆc φαρμάκοιc τι τῶν ῥυπτικῶν, ὁποῖά ἐcτι τὰ

4 *Collyria a* χαλκοῦ κτλ. *usque ad* κολλυρίοιc *(22) cf. Gal. de comp. med. s. loc. ib. (ib. 777, 3 sqq.)* 21 ἅτινα ἀναγραφήcεται κτλ. *cf. p. 378, 13, 390, 11 etc.* 22—*p. 300,8* ἐφ᾽ ὧν—ἀναπλάττομεν *Gal. de comp. med. s. loc. IV 2 (XII 709, 3—7, 8—14, 710, 7—9)*

φ (C Lᵃ) χ (Mᵒ) ψ (A D P Q) ω (Aᵗ) 1 ξηρῶ (*om.* D) κολλυρίω α, *exc.* Lᵃ καὶ *om.* Lᵃ 5 < ᾱ *om.* C λεπίδοc χαλκοῦ ἀκακ. *om.* ψ *post* χαλκοῦ: < ᾱ χ ω *post* ἀκακίαc: ἀνὰ οὐλκὴν ᾱ C < β̄ (ᾱ χ) χ ω *post* καδμίαc: οὐλκὰc δ̄ καcίαc C < δ̄ ψ < β̄ χ ω *ante* ναρδοcτάχ.: καcίαc < ᾱ χ A Q ω ἀκακίαc καcίαc D P *post* ναρδοcτ.: < ᾱ χ A Q ω *post* κινναμ.: < ᾱ χ A Q ω 6 ἀνὰ *om.* χ A Q ω < γ̄ *om. sed post* θυμιάματοc: ἀνὰ D P 7 γ̄] ϛ̄ C A Q ὀβολοὺc χ ψ β̄] ῑβ A ᾱ ω ᾱ] ῑα D P αὐcτ.] εὐώδει χ 8 κολλ. *om.* D P ῥεύμ.] νευρώματα ω παλαιὰ *om.* D P 9 ϛ̄] ῑϛ α, *exc.* Lᵃ κεκαυμ. *om.* ω < δ̄ *om.* C D ὑοcκυάμου—cμύρνηc *post* δ̄ *(10) transp.* C cπέρμα φ 10 *post* cμύρνηc: οὐλκὰc δ̄ C ἐρίκηc χ A ω 11 ἐπίβαλε A D Q ω 12 καὶ ποίει *om.* α, *exc.* C (εἰc *suppl. Hirschb.*) 13 παχεῖ φ χ τραχωματικὰ D P δὲ *om.* ω 14 γ̄ *alt.*] η̄ α, *exc.* Lᵃ < *tert.*] ΓΓ′ ο C A Q 16 Ἄλλα τὰ καλούμενα Θεοφίλου D P *ante* Θεοφ.: ἄλλο, *post*: δ C καλεῖ A καλουμένη χ ω *ante* ὑγρὰ: τὰ A *post* ὑγρὰ: ποιοῦντα D P 17 ἐξοχήν α, *exc.* Lᵃ κεκαυμ. *pr. om.* Lᵃ β̄] ᾱ P κεκαυμ. *alt.*] ...ένηc C ὁμοίωc ω < ᾱ *om.* C D P 19 τοῦ *om.* α, *exc.* Lᵃ ῑε̄] γ̄ C χ A Q δ̄ D ῑ P ω δὲ *om.* Lᵃ χ A Q 20 τὰ *om.* C ψ ω οἷον Lᵃ ὁ *alt. om.* Lᵃ χ ω 21 ἀναγραφήcονται D ω *post* τοῖc: μεταξὺ C 21. 22 πολυχρονίοιc ω 23 παραcμίγειν A Q ω

δι᾽ οἴνου γραφηcόμενα κολλύρια. ἀφλεγμαντοτέρων δὲ γενομένων τῶν κατὰ τὸν ὀφθαλμόν, ἀπορρύψαι χρὴ τὰς τραχύτητας. ἐπὶ δὲ τῶν ἕλκος ἐχόντων μετὰ ῥεύματος δακνώδους οὐχ οἷόν τε τοιούτῳ χρῆσθαι φαρμάκῳ· διαβρωθήσεται γὰρ ἐπὶ πλέον ὁ κερατοειδὴς ἤ τε τοῦ ῥαγοειδοῦς πρόπτωσις ἔσται μείζων ὀδύνη τε σφοδρὰ καταλήψεται τὸν ἄνθρωπον, ἐπιταθήσεται δὲ καὶ τὸ κακόηθες ῥεῦμα. ἐπὶ τούτων οὖν κολλύριον χρὴ σκευάζειν τοιοῦτον· κίσσηριν λειοτάτην ποιήσαντες ἀναλαμβάνομεν τραγακάνθῃ βεβρεγμένῃ ἢ κόμμι καὶ ἀναπλάττομεν μικρὰ κολλύρια· εἶτα ἐκστρέφοντες κούφως τὰ βλέφαρα τρίβομεν ἐπὶ πολύ, κἄπειτα ἐγχυματίζομεν γάλακτι καὶ τοῖς πρὸς φλυκταίνας καὶ ἕλκη κολλυρίοις χρώμεθα· παυομένου δὲ ἐν τῷ χρόνῳ τοῦ ῥεύματος, μεταβαίνομεν ἐπὶ τὰ δριμύτερα κολλύρια, ἀνατρίβοντες αὐτοῖς, ὡς εἴρηται, τὰ βλέφαρα· μίγνυμεν δὲ καὶ τοῖς πρὸς τὰ ἕλκη ἁρμόττουσι τὰ δι᾽ οἴνου κολλύρια, κατὰ βραχὺ ἐπαύξοντες αὐτῶν τὴν μίξιν, ὥστε μήτε τὰ βλέφαρα ἐνοχλεῖν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν, τά τε ἕλκη καθαρὰ γενόμενα πληρωθῇ τε καὶ συνουλωθῇ.

μϛ Περὶ ὀφθαλμῶν ἀτονίας Δημοσθένους. ἀτονεῖν λέγονται οἱ ὀφθαλμοὶ οἱ μηδὲ λευκὸν μηδὲ λαμπρὸν μήτε πυρῶδες ὁρᾶν ὑπομένοντες, ἀλλ᾽ ὑπὸ τῆς τυχούσης προφάσεως συγχεόμενοι τὰς ὄψεις καὶ δακρύοντες, καὶ μάλιστα ἐν τῷ ἀναγιγνώσκειν. διαφέρουσι δὲ οὗτοι τῶν ῥυαδικῶν, ὅτι οἱ μὲν ῥυαδικοὶ καὶ χωρίς τινος ἔξωθεν προφάσεως δακρυρροοῦσιν, οὗτοι δὲ πρόφασίν τινα λαμβάνοντες. θεραπευτέον δὲ αὐτοὺς περιπάτοις δρόμοις γυμνασίοις τῶν ἄνω μερῶν, μετὰ τρίψεως καὶ κατοχῆς πνεύματος, κεφαλῆς ξυρήσει καὶ τρίψει τῶν ὀφθαλμῶν ἐλαφρᾷ μετὰ τὰ γυμνάσια καὶ ψυχρολουσίᾳ καὶ ψυχροῦ κατὰ κεφαλῆς καταχύσει· χρῆσθαι δὲ καὶ ὑδροποσίᾳ καὶ διαίτῃ μέσῃ· συμφέρει δὲ καὶ ἀναγινώσκειν μετὰ κραυγῆς καὶ γράφειν. φαρμάκοις δὲ εἴποτε δεοίμεθα χρῆσθαι, στύφουσι καὶ ψύχουσι καὶ ἐμπλάσσουσι χρησόμεθα.

1 γραφηcόμενα κολλύρια *cf. p. 377, 16 sqq.* 11—16 παυομένου — συνουλωθῇ *Gal. ib. (ib. 710, 9—11, 14—711, 2)*

φ(CL[a]) χ(M[o]) ψ(ADPQ) ω(A[t]) 1 κολλύρια *post* δι᾽ οἴνου *transp.* C 2 ἀποτρέψαι DP 3 *ante* τοιούτω: τῶ DP 4 φαρμάκω χρῆσθαι DP πλεῖον CQ 5 ἔσται *om.* ω *(inde* γενήσεται *post* μείζων *suppl. Hirschb.)* 6 *ante* ἐπὶ: Σεβήρου (εἰς τὸ αὐτὸ C) CAQ 7 *ante* κολλ.: τὸ ω σκευάζειν χρὴ (χρὴ *om.* AQ) ω *post* τοιοῦτον: οἷον C *ante* κίσσηριν: Σευήρου D *id. in marg.* P κίσσηριν, ...ιριν, κίσηριν *codd.* 8 τραγακάνθης L[a]χ ...θη λειοτάτη καὶ DP ....γάκανθον Cω (εἰς *ante suppl. Hirschb.*) βεβρεγμένης L[a]χ ...ην ω κεκαυμένην C ἢ κόμμι] ἢ ὠμὴν βεβρεγμένην ἢ κωδίων C κόμιν (η *supra*) χ κόμει AQ ...μμει DP κόμην ω 9 μακρὰ CAPQ τὰ *om.* AQ 15 ἐνοχλεῖ χ 16 πληρωθῆναι ψ ...ροῦσθαι *Gal.* τε *om.* L[a]χAQ συνουλωθῆναι ψ *(Gal.)* 17 ἀτονίας ὀφθαλμῶν χ *ante* Δημ.: τοῦ σοφωτάτου C 18 μήτε ... μήτε DP μήτε] μηδὲ CQ 19 συνεχόμενοι CDPQω 21 ῥυαδικῶν] ῥυμβδικῶν ἢ καὶ ῥυαδικῶν ὀνομαζομένων C ῥοιαδικῶν ...ῥοιαδικοὶ ω 22 λαμβάνουσι P 23 *ante* περιπ.: οἷον C περιπάτοις *om.* DP *ante* γυμνασίοις: καὶ DP 24 *ante* κεφ.: καὶ ω καὶ *extrem. om.* DP 25 *post* μετὰ: δὲ Q καὶ ψυχρολ. *om.* ω

Περὶ μυωπίας. μύωπες λέγονται οἱ ἐκ γενετῆς τὰ μὲν cμικρὰ καὶ σύνεγγυς βλέποντες, τὰ δὲ μεγάλα καὶ πόρρω βλέπειν μὴ δυνάμενοι· τά τε γεγραμμένα ἀναγινώcκοντες cυνεγγίζουcι τοῖc ὀφθαλμοῖc. καὶ οἱ μὲν cκορδόφθαλμοί εἰcιν, οἱ δὲ ὁμαλοὺc ἔχουcι τοὺc ὀφθαλμούc, οἱ δὲ ἀνωμάλουc. ἀνίατοc δέ ἐcτιν ἡ τοιαύτη διάθεcιc. μζ̅

Πρὸc νυκτάλωπα. νυκταλωπίαν δὲ λέγουcιν, ὅταν cυμβῇ τὴν μὲν ἡμέραν βλέπειν, δύνανтоc δὲ τοῦ ἡλίου ἀμαυρότερον ὁρᾶν, εἶτα νυκτὸc γενομένηc μηδόλωc βλέπειν. γίγνεcθαι δὲ τοῦτο δοκεῖ μάλιcτα διά τινα ἀcθένειαν περὶ τὴν κεφαλήν, καὶ μάλιcτα διὰ τὴν τοῦ ὀπτικοῦ πνεύματοc παχύτητα καὶ τῶν λοιπῶν περὶ τὸν ὀφθαλμὸν ὑγρῶν καὶ χιτώνων. τιcὶ δὲ cυμβαίνει νυκτὸc μὲν βέλτιον ὁρᾶν, ἡμέραc δὲ χεῖρον καί, εἰ νυκτὸc cελήνη φαίνοιτο, μὴ ὁρᾶν· cπάνιον δὲ τοῦτο, τὸ δὲ πρῶτον πλεῖcτον cυμβαίνει. θεραπεύειν δὲ τοὺc ἐν νυκτὶ μὴ ὁρῶνταc τοὺc μὲν εὐέκτουc φλεβοτομοῦνταc ἀπ᾽ ἀγκῶνοc καὶ τῶν κανθῶν, τοὺc δὲ κακοχύμουc καθαίρονταc καταλλήλῳ φαρμάκῳ. ἔπειτα δὲ μετὰ τὴν καθολικὴν κένωcιν ἀποφλεγματιcμοῖc χρῆcθαι καὶ διὰ ῥινῶν καθαίρειν καὶ πταρμοὺc κινεῖν. ἔρρινον δὲ αὐτοῖc ἁρμόδιον τοῦτο· πεπέρεωc cταφίδοc ἀγρίαc ἀνὰ Γρ β̅ cινάπεωc Γρ δ̅, κόψαc cήcαc ἐπίβαλλε ῥιζῶν cεύτλου χυλόν, ὡc μέλιτοc ὑγροῦ ἔχειν τὴν cύcταcιν καὶ cυλλεάναc ἔγχει εἰc τὰc ῥῖναc. καὶ κέλευε ἀναcπᾶν καὶ τοῦτο ποίει ἐπὶ ἡμέραc ε̅ ἢ ζ̅. χρῶ δὲ καὶ τοῖc ἄλλοιc ἐρρίνοιc τοῖc προγεγραμμένοιc ἐν τῷ περὶ τῶν τῆc ῥινὸc παθῶν λόγῳ. πινέτωcαν δὲ πρὸ τῆc τροφῆc ὕccωπον ὀρίγανον πήγανον· δίαιτα δὲ λεπτύνουcα ἔcτω πᾶcα. ἐὰν δὲ μὴ ὑπακούῃ διὰ τούτων, πάλιν καθαρτήριον διδόναι, οἷόν ἐcτι τοῦτο· cκαμμωνίαc μὲν τριώβολον, καcτορίου δὲ ὀβο- μη̅

1. 2 μύωπες—δυνάμενοι *Gal. ascr. intr. s. med. 16 (XIV, 776, 12—13) Or.*[a] *VIII 54 (268, 21—23) Paul. III 22 (I 187, 5—6)* 5 ἀνίατος—διάθεσις *Or.*[a] *ib. (ib. 23) Paul. ib. (ib. 6)* 6. 7 Πρὸς—βλέπειν *Or.*[a] *VIII 48 (266, 4—7) cf. Or.*[e] *IV 18 (446, 1—3) Paul. ib. (184, 2—4) cf. [Gal.] def. med. 343 (XIX, 435, 10—12) Gal. ascr. int. s. med. ib. (ib. 776, 9—12)* 13—17 θεραπεύειν—κινεῖν | 22—*p. 302, 1* πινέτωσαν—ὀβολοὺς δύο *Or.*[a] *VIII 48 (266, 7—11) Paul. ib. (ib. 4—8)* 21 ἔρρινα *cf. pp. 195. 246*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 *post* μυωπίας: τοῦ σοφωτάτου Γαληνοῦ C μικρὰ C ω καὶ *om.* ω 2 βλέποντες] βλέπωσιν χ 3 τε] δὲ C Q προσεγγίζουσι ω 4 *post* μὲν: ἀνωμάλους ω σκοροδόφ. P 5 οἱ δὲ ἀνωμ. *om.* α, *exc.* L[a] 6 Πρὸς] περὶ ω νυκτάλωπας C χ ψ ...πος ω *Sqr.*: τούς τε ἐν νυκτὶ μὴ ὁρῶντας καὶ τοὺς ἐν νυκτὶ μᾶλλον ὁρῶντας D P νυκταλωπίαν] ...άλωπας C χ D P ..πα A Q ω μὲν *om.* L[a] χ 7 δύνοντος φ χ 8 γινομ. D P μᾶλλον ω 9 τινα] τὴν χ D P *post* ἀσθέν.: τὴν D P 10 τῶν *om.* ω *post* λοιπῶν: τῶν D P τῶν ὀφθαλμῶν C ω 11 δὲ *pr.*] τε ω βέλτιον μὲν νυκτὸς ω 12 μὴ φαίνειν C A Q φαίνει D P φαίνοι χ ω 13 πλείστοις χ D P ω 13. 14 ἐν νυκτὶ—εὐέκτους] μὲν εὐέκτους τῶν ἐν νυκτὶ μὴ ὁρώντων D P 14 ...τομεῖν C καὶ τῶν κανθῶν *om.* A Q 15 κατ᾽ ἀλλήλων C 17 σπαρμοὺς A πταρμοῖς φ χ 18 *post* τοῦτο: οἷον C ἀσταφίδος D P ἀγρίας *om.* A ἀνὰ *om.* ω σινίπεως A ..νήπεος D P δ̅] α̅ ω 19 *ante* σήσας: καὶ D P ἐπίβαλε A D σεύτλου ῥιζῶν (ῥίζης C *om.* ω) C *Ald.* (τοῦ C) χυλοῦ C A P Q *ante* ὡς: καὶ δεῦσον C 21 ποίει τοῦτο D P τοῖς *alt. om.* χ 23 δὲ *pr. om.* P *ante* δίαιτα: ἡ C 24 πᾶσιν ω ὑπακούσῃ D P 25 τριοβόλιον χ A Q τριωβόλιον L[a]

λοὺς δύο καὶ ἀλῶν τριώβολον. ἐπὶ δὲ τῶν ἀσθενεστέρων τῆς σκαμμωνίας ὀβολοὺς β̄ ἔμβαλλε. ἡ γὰρ τοιαύτη κάθαρσις πολλάκις παραχρῆμα ἀπήλλαξε τοῦ πάθους ἢ πολλῷ βέλτιον διέθηκε. μετὰ δὲ ἡμέρας ὀλίγας διδόναι καθαρτήριον φλέγμα καὶ χολὴν ἄγον, οἷόν ἐστι τοῦτο· κολοκυνθίδος ὀβολοὺς β̄ σκαμμωνίας ὀβολοὺς δ̄ ἀλόης ὀβολοὺς δ̄, ἀναλάμβανε καὶ ποίει καταπότια ϛ̄ καὶ δίδου τοῖς μέσοις ταῖς ἕξεσι τρίτον, τοῖς δὲ ἰσχυροῖς πάντα· ἐγχρίειν δὲ τοὺς ὀφθαλμοὺς μέλιτι ἀπεζεσμένῳ καὶ καταμύειν συνέχοντα τὰ ὑγρὰ ἢ ἐλαίῳ παλαιοτάτῳ ὁμοίως ἐγχρίειν· ἢ στυπτηρίας σχιστῆς κεκαυμένης ἐπ᾽ ὀστράκου < β̄ ἁλὸς ἀμμωνιακοῦ ἢ Καππαδοκικοῦ < ᾱ, λεῖα μετὰ μέλιτος ὑπάλειφε ἢ αὐτὴν τὴν στυπτηρίαν μόνην μετὰ μέλιτος ἢ κυκλαμίνου προσφάτου χυλὸν εἰς τὸν ὀφθαλμὸν ἐγχεῖν ἢ κρομύου χυλὸν μετὰ μέλιτος καὶ γάλακτος γυναικείου· ἢ ὑαίνης χολὴν μετὰ μέλιτος. παραιτεῖσθαι μέντοι τὴν συνεχῆ χρῆσιν τῶν δριμυτέρων φαρμάκων, συνεχῶς δὲ κεχρῆσθαι τῷ παλαιοτάτῳ ἐλαίῳ. δοκεῖ δὲ αὐτοὺς ὠφελεῖν ἧπαρ τράγου ὀπτὸν μεθ᾽ ἁλῶν ἄνευ ἐλαίου θερμότατον ἐσθιόμενον· οἱ δὲ καὶ τῷ ἀπορρέοντι ἰχῶρι ἐκ τοῦ ἥπατος ὀπτωμένου ἐγχρίουσιν. οἱ δὲ ἕψοντες τὸ ἧπαρ ὑπὲρ τὸν ἀναφερόμενον ἀτμὸν τὴν ἕξιν προσάγοντες πυριῶσι τοὺς ὀφθαλμούς· βοηθεῖ δὲ καὶ τὸ ἐλατήριον σὺν τῷ μέλιτι ἐκ διαλειμμάτων ἐγχριόμενον καὶ ἡ τοῦ πέρδικος χολὴ καὶ αἰγὸς ἀγρίας ἢ τράγου· καὶ βουγλώσσου δὲ χυλὸς ἐγχριόμενος σφόδρα ὠφελεῖ. ἡ δὲ σύμπασα δίαιτα λεπτύνουσα ἔστω. κατ᾽ ἀρχὰς δὲ καὶ οἴνου ἀπέχεσθαι, παραιτεῖσθαι δὲ δεῖ πάντα τὰ παχύνοντα. ἐπὶ δὲ τῶν νύκτωρ μὲν βέλτιον ὁρώντων, ἡμέρας δὲ χεῖρον, ἡμεῖς τεκμαιρό-

7—10 ἐγχρίειν — ὑπάλειφε *Or.*^{a} *ib. (ib. 11—14) Paul. ib. (ib. 8—11)* 15—17 ἧπαρ — ἐγχρίουσιν | 19 βοηθεῖ — ἐλατήριον *Gal. de comp. med. s. loc. IV 8 (XII 802, 12—14, 803, 1—2)* ἧπαρ — ἐγχρίουσιν *Or.*^{e} *IV 18 (445, 31—446, 1)* ἧπαρ — ὀφθαλμούς *(19) Gal. de rem. parab. I 5 (XIV 350, 5—7) II 4, 16 (ib 415, 10—12) Paul. ib. (ib. 12—14)* 20. 21 χολὴ ... αἰγὸς ἀγρίας *cf. Gal. ib. I, 5 (ib. 350, 8)*

φ (C L^{a}) χ (M^{o}) ψ (A D P Q) ω (A^{t}) 1. 2 καὶ ἀλῶν — ὀβολοὺς β̄ *om.* ω 2 ἔμβαλε C A P Q 3. 4 ἡμέρας — οἷόν ἐστι *om.* ω ἄγον *ante* φλέγμα *transp.* C ἐστι τοῦτο *om.* C 5 ὀβολοὺς δ̄ *pr. om. sed post* ἀλόης: καθαρᾶς ξανθῆς ἀνὰ C ὀβολοὺς δ̄ ἀλόης ὀβ. δ̄] καὶ ἀλῶν ἀνὰ ὀβολοὺς δ̄ D P ἀλόης ὀβ. δ̄ *om.* A^{t} 6 καὶ ποίει *om.* α *(inde* εἰς *suppl. Hirschb.), exc.* C τὰς ἕξεις *expect. Hirschb.* 7 τρίτον] γ̄ (τρία C) α, *exc.* L^{a} ἰσχυροτέροις D P 8 ἀπεσβεσμένω C A Q καμμύειν D καμύειν P 9 στυπτηρίαν σχιστὴν κεκαυμένην L^{a} χ ὀστράκου] ἀνθράκων ω 11 αὐτὴν τὴν *om.* ω *post* μέλιτος: ὑπάλειφε ω 12 εἰς τὸν — κρομύου χυλὸν *om.* ω 15 αὐτοῖς ω 16 ἀλὸς α, *exc.* L^{a} 17 ὀπτομένου φ χ ὀπτουμ. A Q ..ωμένω D ω 18 ἕψοντας L^{a} ἑψοῦντες P ἑψῶντες ψ A Q ἕξιν] ὄψιν C Q 19 *post* ὀφθαλμούς: ἔστι δὲ καὶ τοῦτο διὰ πολλῆς πείρας δεδοκιμασμένον. τράγρυ ἧπαρ ὀπτὸν λάβε καὶ γράψον εἰς αὐτὸ οὕτως· ὁ τυφλὸς γεννηθεὶς ἐν τῶ ἰδίω λογισμῶ ἔλεγεν· ἆρα ἐγὼ δι᾽ ἁμαρτίας γονέων ἐγεννήθην ἀόμματος; ἆρα ἐγὼ δι᾽ ἀπιστείαν ἐθνῶν ἐγεννήθην εἰς ἔνδειξιν; καὶ τὰ ἑξῆς καὶ ἃς τὸ φάγοι ὁ πάσχων μὴ καταφρονήσῃς τῆς εὐτελείας A Q τῷ *om.* α, *exc.* L^{a} 20 καὶ *alt.*] ἢ ω 21 δὲ *om.* ω *ante* χυλὸς: ὁ C χολὴ ἐγχριομένη A P ω 23 δεῖ] ἀεὶ L^{a} χ *om.* ω πάντα παχύν. A τὰ παχύνοντα πάντα ω

μεθα λεπτύνεσθαι ἐπὶ πολὺ τὸ πνεῦμα ἢ τοὺς χιτῶνας ἀραιοῦσθαι κἀκ τούτου σκιδνάμενον τὸ πνεῦμα ἀμαυροῦν τὴν ὄψιν, νύκτωρ δὲ παχυνόμενον καὶ συνιστάμενον κινεῖν τὴν αἴσθησιν. καὶ χρὴ ἐπὶ τούτων μᾶλλον τόνον ἐντιθέναι τῷ ὀφθαλμῷ. Ἡρόφιλος δὲ τὸ ἀνάπαλιν ἐν τῷ περὶ ὀφθαλμῶν φησι· "πρὸς τοὺς ἐν ἡμέρᾳ μὴ βλέποντας κόμμι κροκοδείλου χερσαίου κόπρον μίσυ χολὴν ὑαίνης λείαν μετὰ μέλιτος ὑπόχριε δὶς τῆς ἡμέρας καὶ ἐσθίειν δίδου νήστει ἧπαρ τράγου." ἐγὼ δὲ τεκμαίρομαι τοῦτο ποιεῖν μᾶλλον τοῖς νυκτὸς μὴ ὁρῶσιν.

Περὶ ἀμβλυωπίας Γαληνοῦ. ἀμβλυωπία δέ ἐστιν ἀμυδρότης τοῦ μθ
ὁρᾶν διὰ πλείστας αἰτίας γιγνομένη, ἢ τοῦ ὀπτικοῦ πνεύματος παχυνομένου ἢ τῶν χιτώνων πυκνουμένων καὶ παχυνομένων ἢ τῶν ἐν τῷ ὀφθαλμῷ ὑγρῶν παχέων καὶ γλίσχρων γιγνομένων. συμβαίνει δὲ ἀμβλυωπιᾶν καὶ τοὺς πολυχρονίᾳ νόσῳ συσχεθέντας καὶ ἐπὶ λύπαις ἰσχυραῖς. ἐπὶ δὲ τῶν γεγηρακότων σὺν τῷ παχύνεσθαι καὶ τὰ ὑγρὰ καὶ τοὺς χιτῶνας καὶ τὸ ὀπτικὸν πνεῦμα, καὶ ἀτονία πάρεστι τοῦ ὀπτικοῦ πνεύματος καὶ μείωσις πολλὴ καὶ σύμπτωσις καὶ οἷον ῥυτίδωσις τοῦ ὀπτικοῦ νεύρου καὶ τῶν ἐν τῷ ὀφθαλμῷ χιτώνων. ἐλαττωμένων γὰρ τῶν ἐν τῷ ὀφθαλμῷ ὑγρῶν τοῖς πρεσβύταις ἐλάττονός τε καταφερομένου τοῦ ἄνωθεν πνεύματος ἐπὶ τὴν κόρην, ῥυσὸς εἰς τοσοῦτον πολλάκις γίγνεται ὁ κερατοειδὴς χιτών, ὥστε οἱ μὲν τῶν γερόντων οὐδόλως ὁρῶσιν, οἱ δὲ φαύλως καὶ μόγις ἔτι βλέπουσιν. ἐπιπίπτουσι γὰρ ἀλλήλαις αἱ ῥυτιδώσεις καὶ οἷον ἐπιδιπλοῦται ὁ

7 ἐσθίειν — ἧπαρ τράγου *Gal. de comp. med. s. loc. ib. (ib. 802, 14—15)* 9. 10 ἀμβλυωπία — γιγνομένη *cf. Or.*^{a} *VIII 50 (267, 6—7) Paul. III 22 (I 185, 16—17)* ἀμβλυωπία — παχυνομένων *(11) cf. Gal. de symptom. caus. I 2 (VII, 99, 4 sq.)* 15 ἀτονία πάρεστι κτλ. *cf. Gal. de simpl. med. temp. etc. V, 23 (XI, 779, 11 sqq.)*

φ(C L^{a}) χ(M^{c}) ψ(A D P Q) ω(A^{t}) 1 λελεπτύσθαι χ ....ύνθαι ψ ἠραιῶσθαι D P 2 *ante* σκιδ.: ἡμέρας *add. Hirschb.* σκιδνόμενον χ D P σκινδούμενον ω *ante* ἀμαυροῦν: τὸ ω 3. 4 τούτοις C ἐπιθέσθαι ω 6 κόμμι] τάδε οἷον κώμεως C κρόμειον Q *post* χερσαίου: ἢ ω κόπρου L^{a} ...ος A Q ω μίσυος χολὴ (..ῆς C) C A Q λεῖα C χ ψ 7 νήστει] ...ης C ...ιν χ ω *om.* D P τράγιον C 8 νύκτωρ A P ω 9 *ante* Γαλ.: τοῦ σοφωτάτου C δέ *om.* C χ A P Q ω ἀμαυρό(...ώ)της D P 12 ὑγρῶν] χυμῶν ω 13 ἀμβλυωπεῖν D P ...ᾶν ω *in marg.* κολλύριον τὸ βασιλικὸν ὠφελοῦν εἰς κνησμονὰς χρονίους ἀμβλυωπίας ἐκκαθαίρει τε καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀμβλύνει τε καὶ τὰς δριμύτητας τὰς ἀπὸ σεσηπότος αἵματος ἀναστέλλει καὶ τὴν ἐπιφορὰν τῶν ὑγρῶν. σηπίας ὀστρέων καδμίας τετριμμένης καὶ πεπλυμένης ἀνὰ < ε̄ χαλκοῦ κεκαυμένου < ξ̄ ἅλατος ὀρυκτοῦ φύλλου ἰνδικοῦ ψιμμυθίου πεπέρεως μέλανος πεπέρεως μακροῦ καστορίου στάχυος κόχλου ἱσπανικοῦ ἀνὰ < ᾱ καρεοφύλλου κεράτα ε̄ ἀλόης ἰνδικῆς < ᾱς βρύου σπλάγχνων κεράτια θ̄ σμύρνης ἀληθινῆς μαμηρᾶ ἅλατος τζαπαρικοῦ χελιδονίας ῥίζης ἀνὰ < ᾱ χρυσοβαλάνου < β̄ ἅλατος κοινοῦ Γο γ̄ γλαυκίου χυλοῦ < ᾱς ἅλατος ἰνδικοῦ τουτέστι ναρδίνου κεράτια θ̄ τρίψας καὶ κοσκινίσας χρῶ L^{a} ἐπὶ *om.* D P 14 πεπαν(..πα)χύνθαι α, *exc.* L^{a} καὶ *om.* D P 15 καὶ τὸ ὀπτικὸν *om.* D P πνεῦμα *om.* χ D P ω *(inde* νεῦρον *suppl. Hirschb.)* 16 *ante* ὀπτικοῦ: τε D P 17 *post* χιτώνων: πυκνουμένων καὶ παχυνομένων ω 18 ἐν τῷ ὀφθαλμῷ *om.* D P τῷ *om.* L^{a} *ante* ἐλάττονος: καὶ *add. Hirschb.* 19 τε *om.* α, *exc.* D P ἐπὶ] περὶ D P ῥυσσὸς χ ψ ῥισσὸς ω ῥυσσῶς C 20 πολλάκις *om.* D P 22 *ante* ἐπιπ.: αἱ τοιαῦται C ἀλλήλως ω ...διπλοῦνται A

χιτὼν καὶ πάχος ἕτερον ἐπίκτητον λαμβάνει. βοηθήματα δὲ κοινῶς καὶ τοῖς ἀμβλυώττουσι συντίθεται ἐκ τῆς αὐτῆς ὕλης, ἐξ ἧς κἀπὶ τῶν ἀρχομένων ὑποχύσεων, τὰ μὲν εἰς κολλυρίων ἰδέας ἀναπλαττόμενα, τὰ δὲ ὑγρά, ἅπερ καὶ σκιρρουμέναις φλεγμοναῖς τῶν χιτώνων ἁρμόττει, τὰ δὲ ξηρά. ῥηθήσονται δὲ τούτων αἱ σκευασίαι περὶ τὰ τέλη τοῦδε τοῦ λόγου.

ν̄ Περὶ ἀμαυρώσεως. ἀμαύρωσίς ἐστιν ὁ παντελὴς ὡς ἐπὶ τὸ πολὺ παραποδισμὸς τοῦ ὁρᾶν χωρὶς φανεροῦ πάθους περὶ τὸν ὀφθαλμόν, καθαρᾶς δηλονότι φαινομένης τῆς κόρης. καὶ τοῖς μὲν κατὰ βραχὺ τὸ πάθος συνίσταται, τοῖς δὲ ἀθρόως ἐπιπίπτει, ὡς ἐλάχιστον ἢ καθάπαξ μὴ ὁρᾶν. τῆς μὲν οὖν κατὰ βραχὺ συνισταμένης ἀμαυρώσεως αἰτίαι πλείους εἰσὶν αἱ ἐπὶ τῆς ἀμβλυωπίας προειρημέναι. τῆς δὲ ἀθρόως συμπιπτούσης ἡ ⟨αἰτία⟩ ἔμφραξίς ἐστι τοῦ ὀπτικοῦ νεύρου, παχέων καὶ γλίσχρων ὑγρῶν ἐμπεσόντων ἐν αὐτῷ ἀθρόως, ἢ παράλυσις αὐτοῦ τοῦ νεύρου. προηγοῦνται δὲ τοῦ πάθους ἀπεψίαι συνεχεῖς καὶ ἀκρατοποσίαι, ἡλίωσις, ἔγκαυσις τῆς κεφαλῆς ἢ κατάψυξις ἢ συνεχὴς ἀνάγνωσις μετὰ τροφὴν ἢ βαλανεῖα ὁμοίως συνεχῆ ἐπὶ τροφῇ, καὶ ἔμετοι ἄκαιροι, συνουσία ἄμετρός τε καὶ ἄκαιρος, καὶ κατοχὴ πνεύματος βιαία, ὥσπερ ἐπὶ τῶν σαλπιστῶν γίγνεται. ταῦτα γὰρ καὶ τὰ τούτοις παραπλήσια, σύμμετρα μὲν γενόμενα, ἀμβλυωπίαν ἐργάζεται, ὑπέρμετρα δὲ τὴν ἀμαύρωσιν. γίγνεται δὲ ἐνίοτε ἡ ἀμαύρωσις καὶ ἐπὶ πληγαῖς ἰσχυραῖς κατὰ τῆς κεφαλῆς ἢ καταπτώσεσιν ἐξ ὑψηλοῦ, παραλυθέντος ἐνίοτε τοῦ ὀπτικοῦ ἢ καὶ ἀπορραγέντος ἤ, τὸ πάντων ἠπιότατον, τῇ σφοδρᾷ καταστάσει πλῆθος ὑγρῶν ἐπενεχθὲν καὶ ἐμφράξαν τὸ ὀπτικὸν νεῦρον. ἐπὶ μὲν οὖν ταῖς τοῦ πόρου παραλύσεσι βραδέως κινεῖται ὁ ὀφθαλμὸς ἢ οὐδόλως. ὅταν δὲ ἐκ βιαίας πληγῆς κατὰ κεφαλῆς γιγνομένης ἢ καταπτώσεως ἀπορραγῇ τῆς συμφυΐας τοῦ ἐγκεφάλου ὁ πόρος, πρῶτον μὲν προπετέστερος ὁ ὀφθαλμὸς γίγνεται, ὕστερον δὲ κοιλαίνεται καὶ ἀτροφεῖ. ὅταν δὲ διὰ πλῆθος ὑγρῶν παχέων ἢ γλίσχρων ἔμφραξιν ἀθρόως ὑπομείνῃ ὁ πόρος χωρὶς

1—3 βοηθήματα — ὑποχύσεων *Paul. ib. (ib. 17—18)* 5 ῥηθήσονται *cf. p. 344 sqq.* 7. 8 ἀμαύρωσις — ὀφθαλμόν *Gal. asc. int s. med. ib. (ib. 776, 8—9) Or.*[a] *ib. (267, 5—6) Paul. ib. (ib. 15—16)* 11 αἰτίαι ... αἱ ... προειρημέναι *cf. p. 303, 10* 13. 14 παχέων — αὐτῷ *cf. Gal. de simpl. med. temp. etc. VII 16 (XII, 18, 8) VIII, 18, 1 (XII, 117, 11)*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 κοινὰ D P 3 ἰδέαν D P 4 καὶ] ταῖς D P 5 ξηρότατα C δὲ *alt. om.* C A Q ω τὸ τέλος D P 6 τοῦ λόγου τοῦδε D P 7 *post* ἀμαυρώσεως: Δημοσθένους καὶ Γαληνοῦ C A Q ω ὁ *om.* D P 11 *ante* αἰτίαι: αἱ D P 12 ἀθρόας D P 13 ἐμπιπτούσης χ A Q αἰτία *add. Hirschb.* νεύρου] μέρους ω 14 ὑγρῶν] χυμῶν ω 16 ἀκρατοποσία D P ἡλιώσεις ἐγκαύσεις A Q ἐγκαύσεις C ἔκκαυσις ω ἢ *alt. om.* L[a] 17 *ante* τροφὴν: τὴν D P καὶ] ἢ ω 18 συνουσία — ἄκαιρος *om.* χ 20 γινόμενα D P 21 ἐνίοτε *post* ἀμαύρ. *transp.* C 22 τῆς *om.* C 23 τοῦ ὀπτικοῦ *om.* ω *post* ὀπτικοῦ: νεύρου *add. Hirschb.* καὶ *om.* D P 24 καταπτώσει D P ...σείσει C χ A Q ω πλήθους *(rect.)* D P ἐπενεχθέντος ... ἐμφράξαντος *(rect.)* D P 26—29 ὅταν δὲ — ἀτροφεῖ *om.* D βιαίου C χ A ω 27 γενομ. P 29 γίγνεται *om.* χ ω 30 ὑπομένῃ χ ...μήνει C

αἰτίας ἑτέρας, ἀνάγκη βάρος παρέπεσθαι τῆς κεφαλῆς καὶ μάλιστα ἐν βάθει κατὰ τὰς ῥίζας τῶν ὀφθαλμῶν. τοὺς μὲν οὖν ἀθρόως ἀμαυρουμένους θεραπευτέον φλεβοτομοῦντας ἀπ᾽ ἀγκῶνος, εἰ πληθωρικὸς εἴη ὁ νοσῶν, ὀξύτατον γὰρ ἐπ᾽ αὐτῶν βοήθημα ἡ φλεβοτομία, εἶτα διαλιπόντας ἡμέρας τινὰς στραγγάλην περιτιθέντας τῷ τραχήλῳ καὶ περισφίγγοντας, ὅταν δὲ τὰ περὶ τὸ μέτωπον ἀγγεῖα κυρτωθῇ, ἀνιέντας, καὶ πάλιν περισφίγγοντας καὶ πάλιν ἀνιέντας μετὰ τὴν κύρτωσιν καὶ τὸ τρίτον τὸ αὐτὸ ποιοῦντας, πρὸς τὸ τῇ κινήσει τοῦ πνεύματος καὶ τῶν ὑγρῶν σαλευθῆναι βιαίως τὰ ἐμφράγματα. εἶτα τὰς κυρτωθείσας ἐγκανθίους φλέβας ἑκατέρωθεν τῆς ῥινὸς διελεῖν χρὴ ἀμφοτέρας καὶ κένωσιν ἰσχυρὰν ποιεῖσθαι. ἐγὼ γὰρ καὶ μέχρι τριῶν κοτυλῶν ἐκ τῶν ἐγκανθίων φλεβῶν ποτε ἐκένωσα. μετὰ δὲ ταῦτα σικύαν παραχρῆμα τῷ ἰνίῳ προσβάλλειν μετὰ κατασχασμοῦ· συμβαίνει γὰρ ὡς ἐπὶ τὸ πολὺ παραχρῆμα ἔτι τῆς σικύας ἐπικειμένης ἀναβλέψαι τὸν ἄνθρωπον. ἀλλ᾽ οὐ δεῖ ἀρκεῖσθαι τῷ βοηθήματι τούτῳ, ἀλλ᾽ ἀνακτησάμενον τὴν δύναμιν μετὰ τρίτην ἡμέραν καθαίρειν, εἶτ᾽ ἐπὶ τὴν δίαιταν ἄγειν. ἐπὶ δὲ τῶν κατὰ βραχὺ ἐν πολλῷ χρόνῳ ἀμαυρουμένων προδιαιτήσαντες ἀπὸ τῶν ἐγκανθίων φλεβῶν τὴν κένωσιν, ὡς προείρηται, ποιησόμεθα, καὶ ἐπὶ τῶν μὴ πολυαίμων δὲ ἀπὸ τῶν κανθῶν ἀφαιρετέον εὐθὺς ἐξ ἀρχῆς. ἔπειτα σικύαν τῷ ἰνίῳ προσβάλλειν· καὶ μετὰ ταῦτα καθαίρειν. διαιτᾶν δὲ εὐπεψίας πρὸ πάντων προνοουμένους. ἔπειτα πειρᾶσθαι διὰ τῶν τροφῶν μάλιστα τὴν κοιλίαν εὔλυτον ποιεῖν ἀεί· διὰ δέ τινων ἡμερῶν διδόναι ἀλόην καταπίνειν ἀναληφθεῖσαν μετὰ τερεβινθίνης εἰς καταπότια. ποιεῖ δὲ καὶ κνήκου χυλὸς μετὰ μέλιτος· γυμνασίοις τε τῶν κάτω μερῶν χρηστέον καὶ περιπάτοις πλείοσιν ἐν σκεπηνοῖς τόποις· παραιτεῖσθαι δὲ καὶ οἴνου πόσιν, ἀνδρείως δὲ ὑπομενετέον τὴν ὑδροποσίαν. παραιτεῖσθαι δὲ καὶ πᾶσαν τροφὴν παχύνουσαν καὶ συνεχῆ συνουσίαν καὶ ἡλίωσιν τῆς κεφαλῆς, οὐδὲ φιλολουστέον οὐδ᾽ ἡμέρας καθεύδειν οὐδὲ μετὰ τροφὴν κινεῖσθαι σφοδρότερον ἢ ἀναγινώσκειν ἢ γράφειν. παραφυλάττεσθαι

3. 4 θεραπευτέον — φλεβοτομία | 11—13 ἐγὼ γὰρ — κατασχασμοῦ *Or.*[a] *ib. (ib. 7—11)*

φ(C L[a]) χ(M[o]) ψ(A D P Q) ω(A[t]) 1 παρέπεται ω 2 οὖν *om.* ω 3 *post* ἀγκῶνος: ἢ κατὰ τοῦ μεγάλου δακτύλου τῆς χειρός C 5 διαλείποντας C χ A D Q ...τα ω δεῖ *post* στραγγάλην *add.* L[a] 6 ὅταν] ἔστ᾽ ἂν *Hirschb.* δὲ *om.* φ χ ψ τὰ *om.* ω 7 περισφίγγοντες (σφίγγοντας P) α, *exc.* D καὶ πάλιν ἀνιέντας *om.* ω 8 ποιοῦντες α, *exc.* D P τὸ *tert.* (τῷ χ) *om.* ω 9 σαλεύεται C χ A Q ...εύεσθαι ω 11 γὰρ] δὲ D P 12 κοτυλῶν τριῶν ω 13 *post* παραχρ.: κολυτέον C τῷ ἰνίῳ — παραχῆμα *om.* C 14 *post* ἔτι: δὲ C *post* σικύας: τῷ ἰνίῳ C 16 ἀνακτησάμενος α, *exc.* D P *post* μετὰ: τὴν *add. Hirschb.* 17 ἀνάγειν χ ω ἐνάγ. D P 18 προδιαρτήσαντες ω ...κανθίδων ω 19 μὴ] μέν *Hirschb.* δὲ *om.* L[a] P 20 εὐθέως C A Q *post* προσβάλλ.: μετὰ κατα⟨σ⟩χασμοῦ P 21 διαιτῶν ω εὐπεψίαν L[a] 22. 23 ἔπειτα — ἀεί] μάλιστα τὴν κοιλίαν εὔλυτον ποίει διὰ τῶν τροφῶν *post* διαιτῶν δὲ *transp.* ω 23 τινων] τῶν L[a] 24 εἰς καταπότια μετὰ τερεβ. D 26 σκεπεινοῖς χ ...πινοῖς A Q ω σκοτεινοῖς D P 27 ὑπομηνετέον D P 29 ἡμέραν C ...αις ω

δὲ ὀργὰς θυμοὺς καὶ φροντίδας συντόνους καὶ ἐκπλήξεις σφοδρὰς καὶ φόβους, μάλιστα μετὰ τροφήν, καὶ τοὺς συνεχεῖς ἐμέτους. κλύζειν δὲ καθ᾽ ἑκάστην τὸ πρόσωπον ψυχρῷ ὕδατι, μάλιστα ὀμβρίῳ καὶ συγχρίεσθαι τὸ πᾶν σῶμα δι᾽ ἑτέρων. χρονίζοντος δὲ τοῦ πάθους καὶ τὴν κεφαλὴν καθαίρειν διὰ ῥινῶν ἐγχέοντας τοῖς μυκτῆρσιν ὅσα πρὸς κεφαλαλγίαν προείρηται. χρῆσθαι δὲ καὶ τοῖς ἐκεῖσε ῥηθεῖσιν ἀποφλεγματισμοῖς. ἡ δὲ ὑπάλειψις τῶν ὀφθαλμῶν, χρονίζοντος ἤδη τοῦ πάθους, πρῶτον μὲν διὰ τῶν ἁπλῶν γιγνέσθω, καθάπερ διὰ τοῦ ἀκάπνου μέλιτος ἢ ἐλαίου παλαιοῦ ἢ μαραθοστάκτου μετὰ μέλιτος ἀκάπνου. γίγνεται δὲ τοῦτο οὕτως· τοὺς ἀκρεμόνας τοῦ μαράθρου βαλὼν εἰς ἄμβυκα ὑάλινον ἐπὶ ἀκάπνῳ πυρὶ ποίει, καθὼς ποιοῦσίν τινες τὸ ῥοδόστακτον καὶ τὸ κρινόστακτον. μετὰ δὲ ταῦτα καὶ τοῖς συνθέτοις χρηστέον· ἡμεῖς δὲ εὐδοκιμοῦμεν ἐπ᾽ αὐτῶν τῷ τε διακεντήτῳ κολλυρίῳ καὶ τῇ πρὸς ὑποχύσεις Ἀγλαΐδου χλωρᾷ χρώμενοι. κοινὸν δὲ πάσης ἀμαυρώσεως καὶ ἀμβλυωπίας καὶ τόδε τὸ ὑγροκολλύριον δοκεῖ δὲ ποιεῖν καὶ πρὸς τὰς παχύτητας τῶν ὑμένων· κρόκου < α̅ ζιγγιβέρεως < α̅ πεπέρεως κόκκοι ιε̅ ναρδοστάχυος ὀβολοὶ β̅ μαράθρου χυλοῦ < ις̅ ἀμμωνιακοῦ θυμιάματος < α̅ ἰοῦ < α̅ μέλιτος ℔ ε̅, πάντα λειότατα ποιήσας ἐπίχεε τὸν τοῦ μαράθρου χυλόν, εἶτα λεάνας ἀναξήρανον καὶ μίξας τὸ μέλι ἀναλάμβανε εἰς πυξίδα χαλκῆν καὶ χρῶ. πρὸ δὲ τοῦ ἐγχρίειν ἀποπυριᾶν χρὴ σπόγγῳ τοὺς ὀφθαλμοὺς εἰς θερμὴν θάλασσαν ἀποβάπτων, ἐνίοτε δὲ καὶ τὸ πρόσωπον εἰς θάλασσαν χλιαρὰν ὅλον καθιέναι. ταῦτα μὲν κοινὰ πάσης ἀμαυρώσεως. ἰδίως δὲ τοῖς κατὰ θλῖψιν πολλῶν ἢ παχέων ὑγρῶν ἐπενεχθέντων τῷ πόρῳ ἐμποδιζομένοις τὸ ὁρᾶν μετὰ τὴν φλεβοτομίαν καὶ τὸν σικυασμὸν καὶ τὴν κάθαρσιν σιναπίζειν καὶ τὴν κεφαλήν, ἔπειτα καὶ καυστικῷ φαρμάκῳ ἑλκῶσαι τὸ ἰνίον καὶ καταχύματι χρῆσθαι κατὰ τῆς κεφαλῆς θερμοῦ ὕδατος καὶ μᾶλλον εἰ ἁλμυρὸν ἢ νιτρῶδες εἴη τὸ ὕδωρ.

να̅ Περὶ παραλύσεως ὀφθαλμῶν Δημοσθένους. οὐ μόνον τὸ ὀπτικὸν νεῦρον, ὡς προείρηται, ἀλλὰ καὶ ὅλος ὁ ὀφθαλμὸς ἐνίοτε παραλύεται, ποτὲ μὲν μετὰ τοῦ λοιποῦ σώματος τῶν δεξιῶν ἢ ἀριστερῶν μερῶν

5 ὅσα πρὸς κεφαλαλγίαν προείρηται κτλ. *cf. p. 191, 3 sqq.* 16—23 κρόκου — καθιέναι *Or.*^{a} *ib. (ib. 15—20)* κρόκου — ἀποβάπτων *(22) Paul. ib. (ib. 185, 22—186, 2)*

φ(C L^a) χ(M^o) ψ(A D P Q) ω(A^t) 3 τὸ πρόσωπον καθ᾽ ἑκάστην ω *ante* μάλιστα: καὶ C D P 5 διάρρινον ω (δι᾽ ἐρρίνων *Hirschb.*) ...χέοντα ω 6 εἴρηται ω ἐκεῖ D ἐκεῖθεν ω 9—12 ἢ μαραθοστάκτου — κρινόστακτον *om.* χ D P ω 10 τοὺς *om.* A Q 11 ἰάμβυκα A Q ὑέλινον C A Q 12 καὶ *pr.*] ἢ A Q *ante* μετὰ: καί, *om.* δὲ *post* C 13 δικεντήτω ψ 14 χλωρᾷ] ὑγρᾷ α, *exc.* L^a 15 ἀμαυρώς. καὶ *om.* χ τόδε] τοῦτο χ ω τὸ ὑγροκολλ.] τὸ ὑγρὸν P *om.* ω 16 τραχύτητας D P *post* ὑμ.: τὸ τοιοῦτον C < α *om.* C D P 17 ζιγγιβ.] σμύρνης C χ A Q σμύρν. ἀνὰ D P κόκκους ...ὀβολοὺς A D 18 ἀμμων. θυμ. ἰοῦ ἀνὰ οὐλκὴν α̅ *ante* πεπέρεως *transp.* C < α̅ *pr. om., sed post* ἰοῦ: ἀνὰ D P ἰοῦ < α̅ *om.* Q ω 21 πυριᾶν C A Q 22 θερμὸν ω ...βάπτοντας *(recte)* D P 24. 25 τὸν πόρον A Q τῶν πόρων C *post* μετὰ: δὲ C 26 καὶ *alt. om.* C ψ ω ἑλκωτικῷ A Q κλυστικῷ C ω 27 τῷ ἰνίῳ C χ 28 εἰ] ἢ C εἰς D *om.* ω 29 ὀφθαλμοῦ C Δημοσθένους *om.* C D P ω 30 ὁ ὅλος C A 31 *post* δεξιῶν· μὲν ω *ante* ἀριστ.: τῶν ω μερῶν *om.* ω

παραλυθέντων· ἔστι δὲ ὅτε κατ᾽ ἰδίαν γίγνεται περὶ τὸν ὀφθαλμὸν μόνον παράλυσις, καὶ ποτὲ μὲν τὸ βλέφαρον μόνον παραλύεται, ποτὲ δὲ καὶ ὅλος ὁ ὀφθαλμός· καὶ εἰ μὲν τὸ βλέφαρον μόνον παραλυθείη, μέμυκε διηνεκῶς ὁ ὀφθαλμὸς καὶ ἀναισθητεῖ τὸ βλέφαρον. εἰ δὲ ὅλος ὁ ὀφθαλμὸς παραλυθείη, τὰς εἰς τὰ πλάγια καὶ ἄνω καὶ κάτω κινήσεις οὐ δύναται ἐπιτελεῖν· καὶ εἴ τις ὑπαλείφοι δριμυτέρῳ φαρμάκῳ, οὐκ ἐπιδάκνεται. εἰ μὲν οὖν τοῦ βλεφάρου μόνου εἴη παράλυσις, προκαθαίρειν δεῖ τὸ σύμπαν σῶμα τοῖς ἀλοηδαρίοις καὶ ὑδροποσίᾳ ἐπιτάττειν χρῆσθαι καὶ περιπάτῳ πλείονι καὶ τρίψει πολλῇ τῶν κάτω μερῶν, ἐπιχρίειν τε συνεχῶς τὸ βλέφαρον στυπτηρίᾳ σχιστῇ μετ᾽ ὄξους δριμέος καὶ τοῖς θερμοτέροις κολλυρίοις ἢ τῷ διὰ σάνδυκος. μὴ καθισταμένου δὲ ἀναρράπτειν τὸ βλέφαρον. αἱ δὲ τοῦ ὀφθαλμοῦ ὅλου παραλύσεις δυσίατοί εἰσιν, καὶ μάλιστα ἐπὶ τῶν προβεβηκότων τῇ ἡλικίᾳ. εἰ δὲ καὶ ἐκ γενετῆς συνέβη, ἀδύνατον ταύτην διορθώσασθαι. ἐφ᾽ ὧν μὲν οὖν ἐλπίδες σωτηρίας εἰσί, τὴν ἐπιμέλειαν τοιαύτην ποιητέον· πρὸ πάντων μέν, εἰ εὐέκτης εἴη, φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος, ἑξῆς δὲ κλύζειν τὴν κοιλίαν, ἔπειτα καθαρτηρίῳ κενοῦν τὸ σῶμα, εἶτα ἀποφλεγματισμοῖς χρῆσθαι, εἶτα δι᾽ ἐρρίνων καθαίρειν καὶ μετέπειτα σικύαν προσβάλλειν τῷ ἰνίῳ μετὰ κατασχασμοῦ καὶ βδέλλας τοῖς κροτάφοις. προποτιστέον δὲ καὶ καστόριον καθ᾽ αὑτό, καὶ μετ᾽ ἀψινθίου διδόναι καὶ ὕσσωπον γλήχωνα πήγανον μετ᾽ ὀξυμέλιτος καὶ ἁλῶν. ἔπειτα καὶ καστορίῳ τὴν κεφαλὴν ἐπιχρίειν μετὰ ῥοδίνου καὶ ὄξους, ἐκ τοῦ αὐτοῦ δὲ χρίσματος μαλακῷ ἐρίῳ ἀναλαβόντα μεμυκότι τῷ ὀφθαλμῷ ἐπιτιθέναι, στοχαζόμενον μὴ παραστάζῃ εἰς τὸν ὀφθαλμόν. θεραπεύειν δὲ δὶς τῆς ἡμέρας. ἐπιχρίειν δὲ ἔξωθεν τὰ βλέφαρα καὶ τὸ μέτωπον καστορίῳ μετὰ κρόκου σὺν ὄξει· ἐμοὶ δὲ δοκοῦσιν αἱ διὰ καστορίου καὶ μέλιτος ὑγραὶ ἐπιτήδειοι τῷ πάθει, αἷς καὶ ἐγχριστέον καὶ ἐπιχριστέον. οἴνου δὲ καὶ τῆς κρεώδους τροφῆς καὶ πολυτρόφου καὶ παχυχύμου πάσης ἀπέχεσθαι· λαμβάνειν δὲ ὅσα τὰς ἐκκρίσεις εὐλύτους ποιεῖ καὶ τὰ ὑγρὰ λεπτύνει. τοὺς δὲ πρώτους χρόνους καὶ τὰ βαλανεῖα παραιτεῖσθαι καὶ τὰ πυριαστήρια καὶ ἡλιώσεις· ἐμέτοις δὲ ἐκ

φ(C L^a) χ(M^o) ψ(A D P Q) ω(A^t) 1 *ante* (*post* χ) ὅτε: καὶ ω 2 *post* μόνον *pr.*: ἡ D P καὶ ποτὲ—παραλύεται *om.* A ω ποτὲ *pr.*] εἰ Q παραλυθέν C ...ῇ Q ποτὲ δὲ—παραλυθείη *(3) om.* C ποτὲ δὲ—ὀφθαλμός *(3) om.* A 3 ὅλος *om.* D P 3. 4 καὶ εἰ—ὁ ὀφθαλμὸς *om.* ω παραλυθῇ ψ ..ληφθείη φ 5 ...λυθῇ D καὶ *pr. om.* D 6 ...λείφει χ ψ 7 οὖν *om.* ω 7. 8 προκαθ. δεῖ] ....καθάραντες D P ....θαίροντες χ A Q ω ...ρονται C 8 σύμπαν τὸ C A ἀλοιδ. χ ψ ἀλλουδ. ω 8. 9 ἐπιτάττ. χρῆσθαι] χρησάμενοι α, *exc.* L^a 10 ἐπιχρίομεν D P τε *om.* D P στυπτηρίας σχιστῆς χ ...ρίαν ...στὴν L^a D P 12 *ante* τὸ: δεῖ D P 17 τὴν κοιλίαν *om.* P 18 διὰ ῥινῶν ψ 19 τῷ ἰνίῳ μετὰ κατασχασμοῦ σικύαν προσβάλλ. D P προσβ.] προσφέρειν C καταχασμῶν C Q 20 καστορίω L^a 21 *post* διδόναι: δὲ D P γλήχωνος ω 23 ...λαβόντας D P 24 ....ζομένους D P ...ζόμενος ω ...στάξῃ χ ...ξαι A ....ξει Q ...στάζειν D P ἐπιστάξαι ω 25 θεραπεύειν—ἡμέρας *om.* P δὲ *ante* ἐπιχρίειν *transp.* D P *ante* ἔξωθεν: καὶ ω 25. 26 τὸ μέτωπον καὶ τὰ βλέφ. ω αἱ *om.* C 27 ἐγχρ.] χρηστέον D P 29 καὶ *om.* ω πάσης *om.* D P 29. 30 ποιεῖ εὐλύτους ω ποιεῖν ....λεπτύνειν C 31 πυριατήρια C Q

διαλειμμάτων χρῆcθαι νῆcτιc ἀπὸ ῥαφανίδων καθεψομένων, ἐπιδεδεμένου τοῦ ὀφθαλμοῦ καὶ χωρὶc πολλοῦ cπαραγμοῦ.

νβ Περὶ γλαυκώcεωc Δημοcθένουc. γλαύκωcιc λέγεται διττῶc· ἡ μὲν γὰρ κυρίωc γλαύκωcιc μεταβολή ἐcτι πρὸc τὸ γλαυκὸν καὶ ξηρότηc καὶ πῆξιc τοῦ κρυcταλλοειδοῦc ὑγροῦ. τὸ δὲ ἕτερον εἶδοc τῆc γλαυκώcεωc ἐκ προηγηcαμένου ὑποχύματοc γίγνεται, πηγνυμένου κατὰ τὴν κόρην τοῦ ὑγροῦ cφοδρότατα καὶ ξηραινομένου· καί ἐcτι τὸ εἶδοc τοῦτο ἀνίατον. τὴν δὲ κυρίωc γλαύκωcιν ἀρχομένην ἐνίοτε δυνατὸν ἰάcαcθαι περιπάτῳ τε πρὸc δύναμιν καὶ τρίψει τοῦ ὅλου cώματοc χρώμενοι καὶ λουτροῖc μάλιcτα κατὰ κεφαλῆc. θέρουc δὲ καὶ ψυχρολουτεῖν καὶ πρὸc χρῶτα κείρειν τὴν κεφαλήν· τοὺc δὲ ὀφθαλμοὺc ὑπαλείφειν ἐλαίῳ παλαιῷ μόνῳ.

νγ Περὶ ὑποχύcεωc τοῦ αὐτοῦ. τὸ δὲ ὑπόχυμα ὑγρῶν ἐcτι παρέγχυcιc πηγνυμένων κατὰ τὴν κόρην, ὥcτε, ἐπειδὰν τελειωθῇ, κωλύειν τὸ ὁρᾶν. ἀρχομένηc δὲ τῆc ὑποχύcεωc τοιαῦτα παρέπεται τοῖc πάcχουcιν· οἷον κωνώπια μικρὰ καί τινα ὀρφνώδη πολλάκιc παραφαίνεcθαι δοκεῖ πρὸ τῶν ὀφθαλμῶν ἀδιαλείπτωc, καί τινεc μὲν αὐτῶν τριχοειδῆ ὁρῶcιν, ἕτεροι δὲ ὡc ἐρίων μηρύματα ἢ ἀραχνίων ὑφάcματα, τιcὶ δὲ περὶ τοὺc λύχνουc κύκλοι φαίνονται. τούτων δὲ προφαινομένων ποτὲ μὲν καθαρὰ ἡ κόρη φαίνεται τοῖc ἀμελέcτερον κατανοοῦcι, ποτὲ δὲ τῇ χρόᾳ θαλαccίζει. αὐξανομένου δὲ τοῦ πάθουc αὔξει καὶ τὰ cυμπτώματα· τελειουμένου δὲ ὁ μὲν ἄνθρωποc οὐκ ὄψεται, ἡ δὲ κόρη τὴν χρόαν ἐπὶ τὸ λευκότερον τρέπει, καὶ ὅλωc οὐ διαυγεῖται. πλείω δὲ τῆc χρόαc τὰ εἴδη· τὰ μὲν γὰρ τῶν ὑποχυμάτων ἀερίζει, τὰ δὲ ὑελίζει, τὰ δέ ἐcτιν ἔκλευκα, τὰ δὲ ἐπὶ τὸ κυανώτερον τρέπεται· τὰ δὲ ἀπογλαυκοῦται καί ἐcτιν ἀνίατα. θεραπεύειν δὲ τοὺc ὑποχύcει πειραζομένουc ἐν ἀρχῇ αἵματοc ἀπ᾽ ἀγκῶνοc ἀφαιρέcει, εἰ μηδὲν κωλύει, καὶ κλυcτῆρcι δριμυτέροιc καὶ καθάρcεcιν· ἔπειτα καὶ cικύαν τῷ ἰνίῳ

3—5 ἡ μὲν—ὑγροῦ *[Gal.] int. s. med. 16 (XIV 775, 16—18)* ἡ μὲν—ἀνίατον *(8) cf. Or.ᵃ (ex Rufo) VIII 49 (266, 16—22) Paul. III 22 (I 184, 17—21)* 13. 14 τὸ δὲ ὑπόχ.—κόρην *cf. Or.ᵃ ib. (ib. 19—20) Paul. ib. (ib.)* τὸ δὲ—ὁρᾶν *(15) cf. Gal. de meth. med. II 6 (X 119, 9 sq.)* 26—*p. 309, 1* θεραπεύειν—ἀποφλ. |

φ (C Lᵃ) χ (Mᵒ) ψ (A D P Q) ω (Aᵗ) 1 νῆcτιν D P νήcτηc C ...ειc Q νῆc(νήc)τιc *cett. codd., servari (v. supra);* νήcτιcιν *corr. Hirschb.* καθεζόμενον α, *corr. Hirschb.* 2 πολλοῦ] τινοc ω 3 γλαυκώcεωc] γλαυκώματοc ὀφθαλμῶν C Δημοcθένουc *om.* χ ω διττῶc *ante* λέγ. *transp.* C 4 γὰρ *om.* D P 5 τῆξιc Lᵃ A D P ω *ante* κρυcταλλ.: κερατοειδοῦc μάλιcτα δὲ τοῦ C 7. 8 τοῦτο τὸ εἶδοc ω 8 ἐνίοτε] ποτὲ χ *post* ἐνίοτε: δὲ Lᵃ 9 ἰᾶcθαι C ψ ω περιπάτοιc C *ante* πρὸc: καὶ ω 10 χρώμενον C ...μένουc *(recte)* D P ψυχρολουτεῖν *vel* ...λουτρεῖν *codd.* 11 καὶ πρὸc—ὀφθαλμοὺc *om.* ω 13 *post* ὑποχ.: ὀφθαλμῶν C τοῦ αὐτοῦ] Δημοcθένουc α, *exc.* Lᵃ ὑγροῦ D P ..ὸν ω 14 πηγνυμένου D P ....γνύμενον C Q ω κωλύει C A Q ...η P 16 ὀρφνώδη] cκοτινὰ ὀρφνώδη A Q μελανώδη Lᵃ πολλάκιc *om.* D P παρεμφαίν. D P δοκεῖν ω 17 πρὸc τὸν ὀφθαλμὸν C 20. 21 τὴν χρόαν ω 23 χροιὰν A Q ω λευκὸν C χ A Q ω τρέπεται D P 24 χροιᾶc A Q ω τῶν ὑποχ.] ὑπὸ τῶν χυμάτων C ἀερίζειν ω ὑαλίζει C χ A P Q ὑελίζειν ω 25 λευκὰ ω 26 ...γλαυκοῦνται ω ἀνίατον α, *exc.* D P

προσβάλλειν μετὰ κατασχασμοῦ, ἀποφλεγματισμοῖς τε χρῆσθαι καὶ ἐρρίνοις ἐκ διαλειμμάτων τινῶν. οἴνου δὲ ἀπέχεσθαι παρ' ὅλην τὴν θεραπείαν, καὶ πάντων τῶν πληρωτικῶν τῆς κεφαλῆς καὶ λουτροῦ, εἰ μὴ κόπου ἕνεκα καὶ βραδυπεψίας ἀνάγκη γένοιτο λούειν. καὶ τότε μηδόλως ἐν τῷ ἀέρι διατρίβειν, μηδὲ μὴν ἐν τῇ ἐμβάσει χρονίζειν, καὶ κατὰ μικρὸν μὲν ἐμβαίνειν, ταχέως δὲ ἀνιέναι. δίαιτα δὲ πᾶσα ἔστω λεπτύνουσα. φαρμάκοις δὲ χρηστέον τὸ μὲν πρῶτον ἁπλοῖς, καθάπερ μέλιτι καὶ ἐλαίῳ παλαιῷ καὶ μαράθρου χυλῷ· ἔπειτα δὲ καὶ τοῖς συνθέτοις ὑγροῖς τε καὶ ξηροῖς φαρμάκοις καὶ κολλυρίοις, ἅτινα ῥηθήσεται μετὰ βραχὺ ἐν τοῖς κοινοῖς βοηθήμασι.

Περὶ μυδριάσεως ἤτοι πλατυκορίας. μυδρίασις καὶ πλατυκορία νδ
καλεῖται, ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν ἀλλοιοτέρα γένηται, πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν, ὥστε ἐνίοτε συνεγγίζειν τῷ τῆς ἴρεως κύκλῳ καί ποτε μὲν ὁλοσχερῶς ἐμποδίζειν τὸ ὁρᾶν. ποτὲ δ' ὁρῶσιν, ἀμυδρῶς δέ, καὶ τὰ ὁρώμενα αὐτοῖς δοκεῖ πάντα μικρότερα εἶναι, χεομένου δηλονότι τοῦ ὀπτικοῦ πνεύματος. γίγνεται δὲ τὸ πάθος δι' ἐπιφορὰν ὑγρῶν, ἤτοι ἀθρόως φερομένων ἢ κατὰ βραχύ, ἀνεπαισθήτως διατεινομένου τοῦ ῥαγοειδοῦς καὶ ἐπὶ πλεῖον πλατυνομένης τῆς κόρης. ἔστι δὲ τὸ πάθος ἄγαν δυσίατον· ὑμενώδης γὰρ ὑπάρχων ὁ ῥαγοειδής, ὅταν ἅπαξ διαστῇ, σκληρύνεται καὶ οὐκέτι ῥᾳδίως δύναται συνάγεσθαι. γίγνεται δὲ τὸ πάθος μᾶλλον παιδίοις διὰ τὴν τῶν χιτώνων ἀσθένειαν· καὶ οἱ μελανόφθαλμοι δὲ φύσει μεγαλόκοροί εἰσι, διόπερ καὶ τῷ πάθει εὐέμπτωτοι. θεραπεύειν δὲ πρὸ πάντων, εἰ μηδὲν κωλύει, φλεβοτομοῦντας ἀπ' ἀγκῶνος ἢ καθαίροντας. εἰ δὲ ταῦτα ποιεῖν ἀδύνατον, τοὺς ἐγκανθίους λύειν φλέβας, ἔπειτα σικύαν τῷ ἰνίῳ προσβάλλειν. περιπάτοις τε καὶ ἠρεμαίοις καὶ πλείοσι χρῆσθαι ἐν τόποις σκεπηνοῖς· καὶ παντὶ τρόπῳ περισπᾶν τὴν ὕλην ἐπὶ τὰ κάτω μέρη· διὸ κατ' ἀρχὰς καὶ κλυστῆρι χρηστέον καὶ τρίψει τῶν κάτω μερῶν δι' ἑτέρων. μετὰ δὲ τὸν περίπατον καὶ τὸ

7—9 φαρμάκοις—συνθέτοις *$Or.^a$ ib. (ib. 21—25, 27—29) Paul. ib. (ib. 21—25, 27, 185, 3—5)* 9 φαρμάκοις καὶ κολλυρίοις, ἅτινα ῥηθήσεται κτλ. *cf. p. 342, 11sqq.* 11—14 μυδρίασις—ὁρᾶν *Gal. asc. int. s. med. 16 (XIV 775, 18—776, 2)* 12—16 ὅταν ἡ κόρη—εἶναι | 23—26 θεραπεύειν—προσβάλλειν *$Or.^a$ VIII 46 (265, 17—22)* ὅταν—βραχὺ *(17)* | θεραπ.—προσβ. *Paul. ib. (ib. 183, 8—14)*

φ(C L^a) χ(M^o) ψ(ADPQ) ω(A^t) 1. 2 καὶ ἐρίνοις χρῆσθαι χ 3 λουτρῶν Q 4 καὶ *pr.*] ἢ AQ γένηται DP 5 *ante* διατρίβ.: λουτροῦ *add. Hirschb.* καὶ *om.* ω 6 ἔστω πᾶσα CχAQ 8 καὶ *tert.*] ἐν ω *om.* L^a 10 γραφήσεται (...ονται) α, *exc.* L^a μετ' οὐ πολὺ DP βραχέως CAQ 11 *post* πλατυκ.; διδασκαλία τοῦ σοφωτάτου Γαληνοῦ C 12 τῷ μὲν χρώματι *om.* ω 13 ...γγίζει Q 14 μὲν *om.* χω ...δίζεται DP ...ζει Q τὸ] τῶ ω *om.* DP 15 *ante* ἀμυδρῶς: πλὴν DP δέ *om.* ψ 19 ἄγαν *om.* ω 21 συν-
λανό
άγεσθαι *om.* ω *(inde* συστῆναι *suppl. Hirschb.)* 22 μεγαλόφθαλμοι *supra scr. m. 1^a* L^a μεγαλόφθαλμοι CχDP 23 μελανόκοροι L^a δέ *om.* Cψ 23. 24 πρὸ πάντων] τὸ πάθος Cω 25 τοὺς] τὰς CDPQω 26 *ante* σικύαν: καὶ C καὶ *om.* α, *exc.* L^a ἠρέμοις CQ 27 σκεπεινοῖς χDP ...πινοῖς AQ 28 κλυστῆρσι α, *exc.* L^a 29 τῶν κάτω *om.* L^a δι' ἑτέρων *om.* D

ἄλειμμα θαλάσσῃ προσαντλεῖσθαι τὸ πρόσωπον, χειμῶνος μὲν χλιαρᾷ, θέρους δὲ ψυχρᾷ, καὶ καθιέναι ὅλον τὸ πρόσωπον εἰς τὸ ὕδωρ, χρόνον τινὰ διανοίγοντα τοὺς ὀφθαλμούς. θαλάσσης δὲ μὴ παρούσης, ἁλὸς ὀλίγον παραμίσγειν τῷ ὕδατι ἢ ὀξυκράτῳ χρῆσθαι ὑδαρεῖ. οἴνου δὲ ἀπέχεσθαι, ἕως ἡ διάθεσις λυθῇ. καὶ ἡ δίαιτα πᾶσα λεπτοτέρα ἔστω καὶ εὐκοίλιος, βαλανείου δὲ σπάνιος ἡ χρῆσις, καὶ τότε μὴ πάνυ καταχεῖν κατὰ κεφαλῆς. φαρμάκοις δὲ ὑποστύφουσιν ⟨χρῆσθαι⟩, οἷον ῥόδῳ κρόκῳ νάρδῳ λιβάνου φλοιῷ πομφόλυγι καὶ σποδίῳ καὶ ἀκακίᾳ. αἱ γὰρ σφόδρα δριμεῖαι δυνάμεις ἐπισπώμεναι ὑγρῶν πλῆθος διατείνουσι τοὺς ὑμένας καὶ πλατυτέραν ἐργάζονται τὴν κόρην. διόπερ καὶ τὰ σφοδρῶς στύφοντα, καθάπερ χαλκῖτις, μίσυ καὶ τὰ ἐπὶ πλέον ψύχοντα, ὡς κώνειον, σκληρύνει τοὺς ὑμένας· καὶ τὰ ἐμπλάσσοντα, καθάπερ ψιμμύθιον, παχύνει τοὺς ὑμένας. καὶ τὸ ἐπὶ πλέον δὲ συνάγειν καὶ στενοῦν τὴν κόρην ἀλυσιτελές· περιίσταται γὰρ εἰς φθίσιν.

νε Περὶ φθίσεως τῆς κόρης. φθίσις δὲ λέγεται τῆς κόρης, ὅταν στενωτέρα καὶ ἀμβλυτέρα γένηται. τοῦτο δὲ τοῖς πλείστοις συμβαίνει ἐξ ἀσθενειῶν ἐπικινδύνων ἢ ἐπιτεταμένων κεφαλαλγιῶν. μείζονα δὲ τοῦ κατὰ φύσιν φαίνεται τούτοις τὰ ὁρώμενα διὰ τὴν τῆς κόρης στενότητα. τὴν δὲ θεραπείαν ἐπὶ τούτων ἐναντίαν τῇ μυδριάσει ποιεῖσθαι χρή, γυμνάζοντας τὰ ἄνω μέρη, ὤμους καὶ χεῖρας μετὰ κατοχῆς πνεύματος καὶ τρίβοντας ἐπιμελῶς τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, εἶτα καὶ τοὺς ὀφθαλμοὺς ἄκροις τοῖς δακτύλοις. καὶ ὕδατι θερμῷ προσαντλεῖσθαι τὸ πρόσωπον, ἀλείφοντας τὴν κεφαλὴν μύρῳ τινὶ θερμαίνειν μετρίως δυναμένῳ, οἷον ἰρίνῳ, καὶ μικρὸν διαστήσαντα ὑπαλείφειν τοὺς ὀφθαλμοὺς ἀραιοῦντι καὶ δριμυτέρῳ φαρμάκῳ καὶ ὑγρασίαν ἐπισπωμένῳ, οἷόν ἐστι τοῦτο τὸ κολλύριον· ἀμμωνιακοῦ θυμιάματος < α̅ κροκομάγματος < δ̅ κρόκου < β̅ ἰοῦ < α̅, λεάνας ἐν ὕδατι ἀνάπλασσε καὶ χρῶ. ποιεῖ δὲ καὶ ἡ Ἐρασιστράτου ὑγρά.

1 θαλάσσῃ — πρόσωπον | 15. 16 Περὶ — γένηται *Or.*^{a} *ib.* *(ib. 22—23) 47 (265, 25—27)* 3. 4 θαλάσσης — ὑδαρεῖ | 15. 16 φθίσις — γένηται *Paul. ib. (ib. 183, 14—16, 18—19)* 15—17 φθίσις — κεφαλαλγιῶν *Gal. ib. (ib. 776, 3—5)* 15. 16 φθίσις — γένηται *(Gal.) def. med. 341 (XIX, 435, 6—7)* 17. 19 μείζονα — στενότητα. τὴν δὲ θεραπείαν | 20—28 γυμνάζοντας — χρῶ *Or.*^{a} *ib. (ib. 27, 30—266, 3) Paul. ib. (ib. 19, 24—28)*

φ (CL^a) χ (M^o) ψ (ADPQ) ω (A^t) 1 προσαντλῆναι AQ προαντλεῖσθαι P μὲν] δὲ ω 2 καθῆναι AQ ...εῖναι DPω 3 διανύγοντα χ ...νύττοντα AQ ...ττοντος C 4 *ante* ὑδαρ.: ἢ C ὑδαρῆ AQ ...ῶ ω 5 *post* ἕως: οὗ ω 6 σπανίως χAQω 7 καταχέειν α, *exc.* L^a κατὰ κεφ. καταχέειν χ χρῆσθαι *add. Hirschb.* 8 πομφόλιγγι AQ ....υγγι P καὶ *pr. om.* ω 9 σφοδραὶ καὶ DP 11 στύφοντα σφοδρῶς ω ἐπὶ πλέον] παραπλήσια AQ 12 σκληρύνουσι ω τὰ] τὸ χω 12. 13 ἐμπλάσς. — ὑμένας καὶ τὸ *om.* ω 13 τὸ *om.* DP 15 τῆς *pr. om.* L^aADPω *post* κόρης: τοῦ ὀφθαλμοῦ C 16 γένηται *om.* P τ. πλείστ. συμβ.] γίνεται τοῖς πλείστοις ω 17 μείζω AQ 19 ἐναντίαν *post* ποιεῖσθαι *transp.* P *post* μυδριάσει D 20 γυμνάζοντα Dω ὤμους] ὁμοῦς CQ 21 *ante* πνεύματος: τοῦ ω 24 μικρῷ C διαστάντα CAQ ...στήσαντας DP .....τες ω 26 τὸ κολλ. *om.* Cχψ 27 < α̅ *pr. om.* C κροκομάγματος — β̅ *post* α̅ *alt. transp.* C β̅] δ̅ ω α̅] β̅ D δ̅ ω *post* ἰοῦ: ἀνὰ C

τροφὴ δὲ ἔστω εὐχυμοτάτη καὶ ῥοφηματώδης καὶ οἶνος κιρρὸς καὶ εὐώδης· καὶ ὕπνος διαδεχέσθω τὴν τροφήν· καὶ τὰ λουτρὰ δὲ ἁρμόδια καὶ κατάχυσις θερμοῦ κατὰ κεφαλῆς.

Περὶ ἀτροφίας ὀφθαλμοῦ καὶ φθίσεως. ἀτροφεῖν δὲ λέγουσι τὸν νς
ὀφθαλμόν, ὅταν ἐκ σφοδρῶν κεφαλαλγιῶν ἢ ἐν πυρετοῖς ὀξέσι κατὰ βραχὺ ὁ ὀφθαλμὸς ταπεινούμενος καὶ κοιλαινόμενος καὶ τὸ ὅλον μικρότερος γιγνόμενος καὶ ἐπὶ ποσὸν ἀμαυρότερος ἐμποδίζει τὸ ὁρᾶν. συμβαίνει δὲ τοῦτο πολλάκις καὶ ἐκ περισκυφισμῶν καὶ ἀνατρήσεων, οἵτινες καὶ δυσίατοί εἰσι. διαφέρει δὲ ἡ ἀτροφία τῆς φθίσεως, ὅτι ἡ μὲν φθίσις τὴν κόρην μόνην μικροτέραν καὶ ταπεινοτέραν ποιεῖ, ἡ δὲ ἀτροφία ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον ἐργάζεται. θεραπεύειν δὲ καὶ τούτους, σπόγγοις ἐκ θερμοῦ ὕδατος πυριῶντας τοὺς ὀφθαλμοὺς καὶ γάλα χλιαρὸν ἐγχυματίζοντας, ἀπεχομένους δὲ παντὸς κολλυρίου προσαγωγῆς. τροφὰς δὲ διδόναι πολυτρόφους καὶ εὐχυμοτάτας καὶ οἶνον κιρρὸν καὶ λεπτόν, καὶ λουτροῖς χρῆσθαι καὶ καταχύσεσι θερμαῖς κατὰ κεφαλῆς καὶ γυμνασίοις τῶν ἄνω μερῶν καὶ κατοχῇ πνεύματος.

Περὶ ἐκπιεσμοῦ. ἐκπιέζονται δὲ οἱ ὀφθαλμοὶ ἐνίοτε, ὥστε διαμέ- νζ
νειν προέχοντες. συμβαίνει δὲ τοῦτο τοῖς ἀπαγχομένοις καὶ ἐν ἀγῶσι ἀθλητικοῖς καὶ γυναιξὶ ταῖς ἐπὶ πλέον διαταθείσαις ἐν ταῖς ὠδῖσιν, ἢ δὲ ἐκ ῥευμάτων πλείστων ἀθρόως ἀπὸ κεφαλῆς καταρρευσάντων. τοὺς μὲν οὖν ἀπ᾽ ἀγχόνης εἰς τοῦτο ἐμπεσόντας φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος· εἰ δὲ ἄλλως τισὶ πάχος ἐπιρρεῦσαν προέλαβε τοὺς ὀφθαλμούς, καθαίρειν ἐλλεβόρῳ μέλανι ἢ σκαμμωνίᾳ. τὰς δὲ ἐπὶ γυναικῶν ἐκ τῶν ὠδίνων τῶν ἐν τοῖς τόκοις πολλάκις γιγνομένας ἐκθλίψεις τῶν ὀφθαλμῶν αἱ διὰ τῶν γυναικείων τόπων καθάρσεις λύουσιν, ὅθεν δεῖ συνεργεῖν ταύταις. ἐπὶ δὲ τῶν ἀνδρῶν μετὰ φλεβοτομίαν ἢ κάθαρσιν, εἰ ἐπιμένοι, σικύαν τῷ ἰνίῳ κολλᾶν καὶ ὑδροποσίᾳ καὶ σιτίων

4—8 ἀτροφεῖν—ὁρᾶν *cf. Gal. ascr. int. s. med. ib. (ib. 769, 17—770, 2) (Gal.) def. med. 342 (ib. 8—9)* 9—11 διαφέρει—ἐργάζεται | 18. 19 Περὶ—προσέχοντες | 22—*p. 312, 6* τοὺς μὲν—συνάγειν *Or.*[a] *ib. (265, 27—29) VIII 52 (268, 6—12) Paul. ib. (ib. 183, 20—22, 186, 12—22)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 ῥοφήματα χ ω καὶ *alt. om.* χ 1. 2 καὶ οἶνος—εὐώδης *om.* D 2 τὰ *om.* L[a] 3 *post* κεφαλὴν *(sic)*: χρῶ C 4 ὀφθαλμῶν P 5. 6 ὁ ὀφθαλμ. κατὰ βραχὺ χ 6 καὶ *pr*] ἢ D P 7 γενόμενος ω ἀμαυρούμενος A Q ἐμποδίζῃ ψ *post* ἐμποδ.: δὲ L[a] 8 καὶ *pr. om.* D P 10 καὶ ταπεινοτέραν *om.* α, *exc.* L[a] 11 μικρότερον—ἐργάζεται *om.* L[a] 12. 13 ἀποπυριῶντας D ....τες C χ A Q ω 13 χλιαρὸν *post* ἐγχυμ. *transp.* C Q ω ἐγχυματίζοντες C χ A Q ω ἀπεχόμενοι χ A Q ω 15 εὐχύμους ω 16 ...χύσει C Q θερμοῦ α, *exc.* L[a] καὶ *alt. om.* ω 18 *post* ἐκπιεσμοῦ: ὀφθαλμῶν C ἐμπιέζον C ἐκπιεζοῦνται χ ὁ ὀφθαλμὸς C 19 προσέχοντες φ A Q ω *(corr. Hirschb.)* ἐξέχοντες (-ας *Or.*) D ἐξέχοντες (λθ *supra scr. m. 2*[a] *ut vid.*) P *post* ἀγῶσι: δὲ ω 20 ὁδοῖσιν χ 21 δὲ *om.* α, *exc.* L[a] πλείστων] τινῶν χ ἀπὸ] κατὰ C *ante* κεφαλῆς: τῆς ω 23 καὶ ἄλλοις C A Q ...ρεῦσον C προέβαλλε χ ...βαλε C A P Q προσέβαλε D προσέμβαλλε ω 23. 24 τοῖς ὀφθαλμοῖς D ω 24. 25 ἐκ τῶν ὠδίνων ἐπὶ γυναικῶν D P ἐκ τῶν *om.* A Q ἐκ τῶν ὠδίνων *om.* χ τῶν *alt. om.* L[a] ἐπιγιγνομ. χ 28 σιτίων] τροφῶν A Q

ὑποστολῇ χρῆcθαι. ἐπιτιθέναι δὲ τῷ ὀφθαλμῷ ἔριον μέλιτι κεχριcμένον μετ᾿ ὀλίγου κρόκου καὶ ἄνωθεν πτύγμα καὶ ἐπιδεcμεῖν πιέζοντα ἡcυχῇ. cυμφέρει δὲ τούτοιc μετὰ τὴν ἀρχὴν καὶ θάλαcca ψυχρὰ προcαντλουμένη τῷ προcώπῳ καὶ cέρεωc χυλὸc καὶ πολυγόνου καὶ ψυλλίου μετὰ ὀπίου ἐπιχριόμενα καὶ τὰ ἄλλα, ὅcα δύναται cτέλλειν καὶ cυνάγειν.

νη Περὶ cυγχύcεωc. cύγχυcιc δὲ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ πληγαῖc ἕπεται cφοδραῖc καὶ ἐπὶ φλεγμονῇ δὲ τοῦ ῥαγοειδοῦc cυμβαίνει, ῥαγέντων τῶν ἐν αὐτῷ ἀγγείων. ἡ δὲ κόρη τῷ χρώματι θολερὰ γίγνεται καὶ ἢ μείζων ἑαυτῆc γίγνεται ἢ μικροτέρα. θεραπεύειν μὲν οὖν τὰc ἐκ πληγῆc cυγχύcειc φλεβοτομίᾳ ἀπ᾿ ἀγκῶνοc, αἵματι δὲ νεοcφαγοῦc, μάλιcτα μὲν τρυγόνοc, εἰ δὲ μή γε ⟨καὶ⟩ περιcτερᾶc, ἐκπληροῦν ὅλον τὸν ὀφθαλμόν. ἔριον δὲ μαλακὸν βρέξανταc εἰc ὠὸν ἀνακεκομμένον μετ᾿ οἴνου καὶ ῥοδίνου ἐπιτιθέναι καὶ ἐπιδεῖν καὶ τῇ ἑξῆc τὸ αὐτὸ ποιεῖν, τῇ δὲ τρίτῃ ἀποπυριᾶν καὶ γάλακτι ἐγχυματίζειν· ἔπειτα καταπλάττειν ὠῶν ὀπτῶν λεκίθουc μετὰ μέλιτοc καὶ κρόκου λείου εἰc ὀθόνιον ἐγχρίcαντα. ὅταν δὲ ἤδη προκαθαίρηται ἡ κόρη, ὑπαλείφειν τοῖc πρὸc τὰc παλαιὰc διαθέcειc κολλυρίοιc, οἷον τῷ ἀρωματικῷ καὶ τῷ Χιακῷ Ἀπολλωνίου καὶ τοῖc ὁμοίοιc. εὐιατοτέρα δέ ἐcτι cύγχυcιc, ἐφ᾿ ὧν ἡ κόρη μόνη διευρύνεται, τῷ δὲ χρώματι καὶ τῷ cχήματι ὁμοία διαμένει. δυcίατοc δέ, ἐφ᾿ ὧν παρέcπαcται ἡ κόρη.

νθ Περὶ τῶν ἐπιφυομένων τῷ λευκῷ τοῦ ὀφθαλμοῦ. τὰ ἐπιφυόμενα τῷ λευκῷ τοῦ ὀφθαλμοῦ παρὰ φύcιν πάντα, τὰ μὲν ἀνώδυνα, ἐφ᾿ ὧν τρίχεc πολλάκιc ἐκπεφύκαcι καὶ τὰ μὴ πάνυ διαλλάττοντα τῆc κατὰ φύcιν χρόαc θεραπευτέον ἀγκίcτρῳ ἐπιλαβόμενοc καὶ ἀνατείνων, ἔπειτα πτερυγοτόμῳ ἀποτέμνων, εἶτα ἐπιπάccων ἅλαc λεπτόν, καὶ πτύγμα ἐπιτιθεὶc καὶ ἐπιδεcμῶν καὶ τὴν λοιπὴν ἐπιμέλειαν ποιούμενοc, ὡc ἐπὶ τῶν πτερυγοτομουμένων. τὰ δὲ ὑπέρυθρα καὶ ὀχθώδη καὶ κεκιρcωμένα καὶ ἐπώδυνα καὶ πελιὰ καὶ τραχέα καὶ cυμπαθείαc τῶν κροτάφων ἐπιφέροντα, πάντα ταῦτα φεύγειν χρὴ ὡc κακοήθη

7—9 cύγχυcιc — ἀγγείων *(Gal.) def. med. 339 (XIX, 435, 1—3)* 10—16 θεραπεύειν — καταπλάττειν *Or.*[a] *ib. 53 (268, 13—19) Paul. ib. (ib. 186, 24—187, 2)* 18. 19 ὑπαλείφειν — Χιακῷ *Or.*[a] *ib. (ib. 19—20) Paul. ib. (ib. 187, 2—3)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 2 καὶ *alt.*] τι D P 3 cυμφέρει] cυμβαίνει L[a] 4 τὸ πρόcωπον C 5 χριόμενα ω ἐπιτιθέμενα χ δύναται] *Or.* δυνατὸν α 6 cυναγαγεῖν A Q 7 *post* cυγχύcεωc: ὀφθαλμοῦ C 8 φλεγμοναῖc C 9 θαλερὰ C Q 10 ἑαυτοῖc C ...τοῦ τῆc Q γίγνεται *om.* C χ ψ 12 μὲν] δὲ C ω καὶ *(Or.) add. Hirschb.* 13 βρέξαντεc C χ A Q ω 15 τὸ αὐτὸ] τοιαῦτα D P 17 ἐγχρίcανταc D P προκαθάρηται A Q ποcῶc καθαίρηται D P προcκαθαίρηται χ ω ....καθάρ. C 18 ἡ κόρη *om.* L[a] χ 20 *ante* cύγχ.: ἡ D P 21. 22 ἡ κόρη παρέcπαcται D 22 *post* κόρη: τοῦ ὀφθαλμοῦ C 23 ἐπιφερόμενα χ 25 ἐμπεφ. D P πεφ. C 26 *post* χρόαc: καὶ C ἐπιβαλλόμενοc C A Q 27 ἐπιπλάccων ω ἁλὸc λεπτοῦ C D P 28 ἐπιθεὶc C Q 30 κεχριcμένα C A Q κεκυρcωμένα D κυρcώμενα ω καὶ *alt. om.* φ ω καὶ παλαιὰ D P *om.* ω 31 ταῦτα πάντα D P πάντα *om.* ω ταῦτα *om.* A Q

καὶ κινδύνους καὶ προπτώσεις τῶν ὀφθαλμῶν ἐπιφέροντα ἐν ταῖς χειρουργίαις.

Περὶ πτερυγίων. πτερύγιον δὲ λέγεται, ὅταν ἐπὶ πλέον αὐξηθέντος ἢ ὑπερσαρκώσαντος τοῦ ἐν τῷ ὀφθαλμῷ λευκοῦ ἔκ τινος ψωροφθαλμίας ἢ ῥευματισμῶν συνεχῶν ὑπεροχή τις παρὰ φύσιν ὑποστῇ. ξ̄ ἄρχεται δὲ τούτου ἡ αὔξησις πλειστάκις μὲν ἀπὸ τοῦ πρὸς τῇ ῥινὶ κανθοῦ τοῦ μεγάλου καλουμένου, σπανιώτερον δὲ ἀπὸ τοῦ μικροῦ, ἔτι δὲ σπανιώτερον γεννᾶται ἀπὸ τοῦ ἄνωθεν ἢ κάτωθεν βλεφάρου. ἐπεκτείνεται δὲ μέχρι τοῦ μέλανος· ὅταν δὲ μεῖζον γένηται, καὶ τῆς κόρης ἅπτεται καὶ ἐμποδίζει τὸ ὁρᾶν. εὐίατα δέ ἐστι πτερύγια τὰ λευκανθίζοντα καὶ στενὴν τὴν βάσιν ἔχοντα· τὰ δὲ ἐναντία τούτων δυσίατα. τὰ μὲν γὰρ ὑπέρυθρα μετὰ τὴν χειρουργίαν σφακέλους καὶ ὀδύνας ἡμικρανικὰς ἐπιφέρει, ἀλλ᾿ ὅμως μετὰ τὴν καθαίρεσιν τῶν συμπτωμάτων ἐλευθεροῦται ὁ ὀφθαλμός. τὰ δὲ πτερύγια, ἐφ᾿ ὧν καὶ ἀρχαί εἰσιν ὑποχύσεως, οὐ δεῖ θεραπεύειν· τούτων γὰρ ἀρθέντων θᾶττον ἡ ὑπόχυσις συνίσταται. μήτε δὲ τὰ παχέα θεραπεύειν καὶ ἐκτρεπόμενα καὶ ὀχθώδη καὶ κεκιρσωμένα καὶ κροτάφων ποιοῦντα συμπαθείας· ἔστι γὰρ κακοήθη καὶ καρκινώδη. τὰ δὲ μέχρι τῆς κόρης διήκοντα καὶ διὰ τοῦτο παραποδίζοντα τὸ ὁρᾶν, ἀφαιρούμενα ἐλευθεροῖ μὲν τὸν ὀφθαλμὸν τῶν ῥευματισμῶν. ἡ δὲ ἐπιγιγνομένη περὶ τὴν κόρην ἐκ τῆς χειρουργίας οὐλὴ οὐδὲν ἧττον κωλύει τὸ βλέπειν. τῶν δὲ πτερυγίων ταῦτα χειρίζειν δεῖ, ὅσα αὐξηθέντα ἐπιβάλλει τῷ μέλανι· ὅσα δὲ μικρὰ καὶ ἐπὶ τοῦ λευκοῦ ἐστι, ταῦτα φαρμάκοις πειρᾶσθαι καταστέλλειν.

Φάρμακα πρὸς πτερύγια. καταστέλλει δὲ ἱκανῶς τὰ πτερύγια τὸ ξ̄α διὰ τῆς χαλκίτεως καὶ καδμίας ξηρὸν ψωρικόν, τὸ πρὸς τοὺς ψωρώδεις κανθοὺς ἀναγεγραμμένον, καὶ τὰ παραπλήσια καὶ τὸ Θεοδότιον κολλύριον Σεβήρου λεπτοποιηθὲν καὶ ξηρὸν προσαγόμενον καὶ τὰ ῥυπτικὰ πάντα κολλύρια, τὰ ἐπὶ τῶν τραχωμάτων καὶ συκώσεων γεγραμμένα καὶ τὰ ἐπὶ τῶν μυιοκεφάλων καὶ σταφυλωμάτων ἁρμόζοντα, τὰ δι᾿

3—10 πτερύγιον—ὁρᾶν *cf. Gal. de rem. parab. II 5 (XIV 410, 14—17) Paul. ib. (ib. 181, 22—24)* 6—10 ἄρχεται—ὁρᾶν *cf. Paul. VI, 18 (II 58, 16—19) cf. Gal. de tum. praeter nat. 17 (VII 732, 7 sqq.) de symptom. caus. I 2 (VII, 101, 12—14) etc.* 28. 29 τὰ ῥυπτικὰ—γεγραμμένα | *(p. 314, 1—3)* χαλκάνθου—ἔγχριε *cf. Gal. de comp. med. s. loc. IV 4 (XII 717, 1—3) 8 (802, 6—9)* 28. 29 τὰ ῥυπτικὰ—γεγραμμ. *cf. Gal. meth. med. XIV 19 (X 1018, 15—17)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 καὶ κινδύνους *om.* ω 3 *post* πτερυγίων: τῶν ἐν ὀφθαλμοῖς C δὲ *om.* ω ἐπὶ πλεῖον ω 3. 4 αὐξ. ἢ] ἑλκωθέντος καὶ *Hirschb.* αὐξηθῇ ἢ ὑπερσαρκωθῇ τὸ .....λευκὸν D P 4 ...σαρκήσαντος χ ω τοῦ *om.* ω 5 ὑπεροχή—ὑποστῇ *om.* α *(inde:* ⟨ὑμὴν λεπτὸς καὶ νευρώδης ἐπιδράμῃ τὸν ὀφθαλμόν⟩ *suppl. Hirschb.), exc.* L[a] 6 πλειστ. μὲν *om.* C ἀπὸ *om.* L[a] 9 μείζων A D Q ω 10 παρεμποδίζει D παραμπ. P παραποδίζει χ A Q ...ν C τὰ *om.* ω 12 τὰ] ὅτε C A Q 14 καὶ *om.* A Q 17 σκιρρόμενα ω κροτάφοις L[a] 19 διήκοντα *om.* ω *(inde:* ἐπεκτεινόμενα *suppl. Hirschb.)* παρεμποδίζοντα D P 20 μὲν *om.* ω περὶ] κατὰ ω 25 φάρμακα δόκιμα *post* πτερύγια *transp.* C 26 τὸ] καὶ τὰ D P *ante* πρὸς: δὲ ω 27 ...γεγραμμένα D P Q ...νας C τὸ *om.* C A Q 28 κολλ. *post* Σεβ. *transp.* C 30 μυοκεφ. C A Q ω

οἴνου μάλιστα. Ἀρχιγένης δέ φησι πρὸς πτερύγια· χαλκάνθου < β̄ ἁλὸς ἀμμωνιακοῦ < β̄ κόμμεως < ᾱ, ὄξει λεάνας ἀνάπλαττε κολλύρια καὶ χρῶ. Ἄλλο. αἰγείρου ὀπῷ μετὰ διπλοῦ μέλιτος ἔγχριε. Ἄλλο. κίσσηριν ὀπτὴν λεάνας ἔγχριε. Ἄλλο. σηπίας ὀστράκου κεκαυμένου μεθ' ἁλῶν ἀμμωνιακῶν λεάνας χρῶ, ἔστω δὲ ἴσα. Ἄλλο. χαλκάνθου μετὰ χολῆς χοιρείας ἴσα τῷ σταθμῷ συλλεάνας ἔγχριε. Ἄλλο, ποιεῖ καὶ ὑπωπίοις καὶ ἀμβλυωπίαις. λίθου μαγνήτου ζῶντος < δ̄ ἰοῦ < δ̄ μίλτου Σινωπικῆς < δ̄ ἀμμωνιακοῦ θυμιάματος < δ̄ κρόκου < β̄ μέλιτος Ϝ θ̄. ποιεῖ καὶ πρὸς λευκώματα. Ἄλλο πρὸς πτερύγια. γλαύκιον κόψας σήσας, ἔπειτα ὕδατι ὀλίγῳ λειώσας καὶ σποδὸν πομφόλυγος ἐπιβαλών, ὅσον ἐπιδέχεται, ἀνάπλασσε κολλύρια καὶ χρῶ μεθ' ὕδατος δὶς τῆς ἡμέρας. Ἄλλο. χολὴν αἰγὸς μετὰ χυλοῦ ἀρτεμισίας καὶ μέλιτος χρῶ. Ἄλλο. χαλκὸν κεκαυμένον λείου μετὰ οὔρου παιδὸς ἀφθόρου καὶ χρῶ. Ἄλλο. λεπίδος ἐρυθρᾶς νίτρου ἐρυθροῦ κισσήρεως κιμωλίας ἀνὰ < δ̄, λείου ὄξει ἕως ξηρανθῇ καὶ χρῶ· ἀπόθου δὲ ἐν ὀστρακίνῳ ἀγγείῳ καθαρῷ. Ἄλλο. μαγνήτην λίθον ζῶντα λειώσας ἀκριβῶς χρῶ ξηρῷ, ἅπαξ τῆς ἡμέρας. Ἄλλο. χαλκοῦ < ιβ̄ λεπίδος < ϛ̄ σανδαράκης < ϛ̄ ἰοῦ < γ̄ κρόκου < γ̄ ἁλῶν < γ̄ σμύρνης < ᾱ μέλιτος Ϝ θ̄. Ἄλλο πρὸς πτερύγια. χαλκοῦ κεκαυμένου ἀρσενικοῦ λεπίδος θείου ἀπύρου μολύβδου κεκαυμένου χάρτου κεκαυμένου ἀνὰ < ε̄, πράσου χυλὸν

3 αἰγείρου — ἔγχριε *Gal. de rem. parab. I 5 (XIV, 350, 3—4) Or.^{e} IV 24 (448, 3)* 4. 5 σηπίας — ἴσα *cf. Or.^{e} ib. (ib. 4—5)* 5. 6 χαλκάνθου — χοιρείας *Gal. ib. (ib. 411, 2)* 12. 13 χολὴν — χρῶ *Gal. ib. (ib. 4—5)*

φ (CL^{a}) χ (M^{o}) ψ (ADPQ) ω (A^{t}) 1 *ante* Ἀρχιγ.: ὁ, *in marg.* Ἀρχιγένης πρὸς πτερύγια P *ante* πτερ.: τὰ, *post*: τάδε C < β̄ *om. sed post* ἀμμωνιακοῦ: ἀνὰ CDP 2 κόμμεως *ante* ἁλὸς *transp.* DP < α *om.* DP 3 Ἄλλο — μέλιτος ἔγχριε *post* ἅπαξ τῆς ἡμέρας *(17) transp.* ω εἰριγέροντος Q ὀπτῷ L^{a} ...τὸν C ὀπὸν AQω 3. 4 Ἄλλο. κίσσηριν — λεάνας ἔγχιε *om.* L^{a} ω 4. 5 Ἄλλο. σηπίας — χρῶ *post* κολλυρίῳ *(315, 8) transp.* DP Ἄλλο. σηπίας — ἴσα *ante* Ἄλλο, ποιεῖ *(6)* χω ὄστρακον κεκαυμένον CDP ....κα ....να ω ἁλὸς ....κοῦ C *ante* λεάνας: ἴσα DP χρῶ] ἔγχριε C ἔστω δὲ ἴσα *om.* DP *post* ἴσα: Ἄλλο πρὸς λευκώματα καὶ πτερύγια θαυμαστόν. ἔχει τούτιον (στρούθιον?) μαργαριτάρην σηπίας ὄστρακον κεκαυμένον χελιδόνων κεφαλὰς νεοσ<σ>ῶν κεκαυμένας· ἀναλαβὼν πάντα καὶ λεάνας χρῶ C Ἄλλο. χαλκάνθου — ἔγχριε *(6) post* χρῶ *(v. adn. ad lin. 4) transp.* D *ante* Ἄλλο. σηπίας *(v. adn. ad eand. l.)* ω *om.* P χάλκανθον AD ...ος ω 6 συλλεάνας τῷ σταθμῷ D λεάνας ω Ἄλλο. — καθαρῷ *(16) post* λεάνας ἔγχριε *(l. 4) transp.* DP *post* ἔστω δὲ ἴσα *(5 v. adn. ad l. 4)* ω ποιοῦν CDP καὶ *om.* D 7 πρὸς ὑποπύους (...ποίους) CχAQ ὑπωπύοις DP ...ωπίαις ω ...βλυωπ(ε)ίας CAQ μάγνητος DP < δ̄ *pr. alt. et pr. l.* | 8 *om., sed post* θυμιάματος: ἀνὰ CDP ἰοῦ < δ̄ *om.* ω 9 θ̄] γ̄ AQ ε̄ ω *ante* ποιεῖ: τοῦτο CDP Ἄλλο — πτερύγια *in marg* P *om.* ω 10 *ante* σήσας: καὶ CDP 12. 13 Ἄλλο. χολὴν — μέλιτος χρῶ *om.* ω χολῇ Q *post* μέλιτος: μίξας DP 14 *ante* κιμ.: γῆς Q 16. 17 Ἄλλο. μαγνήτην — ἡμέρας *post* ἔγχριε *(6 v. adn. ad l. 4) transp.* DP *post* κολλυρίῳ *(p. 315, 8 v. adn. ad p. 315, 1)* ω ζῶντα (*om.* χAQ) λίθον ω ξηρῷ (*om.* A) χρῶ DP 17 Ἄλλο. χαλκοῦ — χρῶ *(p. 315, 1) om.* ω *post* χαλκοῦ: κεκαυμένου AQ ιβ̄] ιϛ̄ CAQ < ϛ̄ *om. sed post* σανδαράκ.: ἀνὰ C 18 < γ̄ *pr. et alt. om., sed post* ἁλῶν: ἀνὰ CDP ἁλῶν < γ̄ *om.* L^{a} *post* θ̄: χρῶ C 19 λεπίδων AQ 20 κεκαυμ. *om.* DP χάρτου] κέρατος ἐλαφείου DP χυλῷ ψ ...οῦ C

λέαινε ἐν ἡλίῳ, ἕως ξηρὸν γένηται καὶ χρῶ. Πρὸς πτερύγια δόκιμον, ἀναλίσκει γὰρ αὐτὰ τάχιστα. χαλκίτεως κεκαυμένης, ὡς γενέσθαι πυρράν, < δ̅ κρόκου < α̅, λείοις, χρῶ ξηρῷ. Ἄλλο καὶ αὐτὸ πεπειραμένον. χαλκίτεως κεκαυμένης < κ̅ καδμίας < ι̅ λεπίδος ἐρυθρᾶς < ε̅ πεπέρεως < α̅, χρῶ ξηρῷ, ⟨ἐν ἄλλοις⟩ πεπέρεως κόκκοι ιε̅, χρῶ ὡς μονογενεῖ καὶ πεπειραμένῳ. [Ἄλλο ἀφαιροῦν πτερύγια ἐκ βάσεως. χαλκάνθου ὀπτῆς < β̅ χαλκοῦ κεκαυμένου < α̅, ξηρῷ παράπτου· μετὰ δὲ τὸ ἀφελεῖν θεράπευε τῷ διαρρόδῳ ἢ τῷ διὰ κρόκων κολλυρίῳ.]

Χειρουργία πτερυγίων. ἐγχειροῦμεν δὲ οὕτως πρὸς τὴν ἀφαίρεσιν ξβ
τοῦ πτερυγίου· διαστέλλοντες τὰ βλέφαρα ἀπ' ἀλλήλων καὶ ἄγκιστρον καταπείροντες περὶ τὰ μέσα τοῦ πτερυγίου ἀνατείνομεν ἠρέμα, ἵνα μὴ ἡ ἐπιδερματὶς τοῦ κερατοειδοῦς μετεωρισθῇ· συναφαιρεθεῖσα γὰρ φλεγμονὰς παμμεγέθεις ἐπιφέρει. εἶτα βελόνην λαμβάνομεν λίνον ἔχουσαν διῃρημένον καὶ τρίχα ἱππείαν, καὶ ταύτην ὑποβάλλομεν τῷ πτερυγίῳ ἀναταθέντι διὰ τοῦ ἀγκίστρου· εἶτα ἀποδήσαντες τῷ ὑποβληθέντι λίνῳ τὸ πτερύγιον ἀνατείνομεν ἕλκοντες ἠρέμα τὸ λίνον ἄνω καὶ δόντες ὑπηρέτῃ κατέχειν εὐφυῶς τὴν ἀρχὴν τοῦ λίνου, ἀμφοτέραις ταῖς χερσὶ κατέχοντες τὴν τρίχα διακινοῦμεν ἄνω τε καὶ κάτω, ὑποδέροντες τὸ πτερύγιον, ἀρχόμενοι ἀπὸ τοῦ μέλανος, μέχρι τοῦ κανθοῦ. εἶτα ἀπολύσαντες τὴν πρὸς τὸ μέλαν αὐτοῦ συνέχειαν διὰ τῆς τριχὸς καὶ ἀνατείνοντες τῷ λίνῳ ἀφαιροῦμεν πτερυγοτόμῳ ἐκ τῆς βάσεως τὸ πρὸς τὸν κανθὸν μέρος τοῦ πτερυγίου, φυλασσόμενοι τὰ βλέφαρα καὶ τὸν κανθόν. τοῖς μὲν γὰρ τὰ βλέφαρα συνδιακοπεῖσι πρόσφυσις γίγνεται, τοῖς δὲ ἐκ βάσεως τὸν κανθὸν ἀποτμηθεῖσι ῥυάδες γίγνονται. εἰ δὲ ἡ βάσις τοῦ πτερυγίου καταλειφθῇ, παλιγγενεσία γίγνεται, εἰ μὴ φαρμάκῳ τινὶ τῶν προειρημένων δαπανηθείη. στοχάζεσθαι οὖν δεῖ τῆς συμμετρίας. ἐὰν δὲ ὥσπερ δειλιῶντες

9 χειρουργία κτλ. *cf. Pap. quam laudav.* (χ[ειρουργεία τοῦ | πτερυγείου.] | διαστείλα[ς τὰ βλέφαρα τὸ] | πτερύγει[ον ἀγκίστρωι ἐκ τοῦ] ὀφθαλμοῦ [ἀναδεξάμενος] | διεκφαγ[εῖς τὴν κεφαλὴν καὶ διεκδερεῖς καὶ ἐκτεμεῖς*) Paul. VI 18 (II 58, 20 sqq.)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 *post* χρῶ: ἄλλο χ A Q (Ἄλλο C D P) πρὸς πτερύγια — χρῶ *(pr. 5) post* καθαρῷ *(314, 16 v. adn. ad p. 314, 6) transp.* D P Πρὸς πτερ. — κολλυρίῳ *(8) post* καὶ χρῶ *(314, 3)* ω 2 ἀναλ. — τάχιστα *om.* D P *post* τάχ.: οἷον C 3 καὶ ξηροῖς χρῶ D P χρῶ *om.* A ξηρῷ χρῶ ω 3. 4 *post* πεπειραμ.: ἔχει C 4 ε̅] α̅ ω 5 ξηρῷ *ante* χρῶ *transp.* D P *om.* ω 5. 6 (ἄλλο χ ψ) πεπέρεως — πεπειραμένῳ] λεπίδος ἐρυθρᾶς ουΓΓ′ α̅ πεπέρεως κόκκους — πεπειραμ. D P *om.* ω ἐν ἄλλοις *addidi* ὡς] ὁμοίως C χ A Q μονογενῆ κ. ...ρασμένον καὶ δόκιμον C 6. 8 Ἄλλο ἀφαιροῦν — κολλυρίῳ *om.* φ χ A Q *canc. sepsi* 7 χαλκοῦ κεκαυμ.] χαλκάνθου κεκαυμένης D P <] ουΓΓ D P 8 κρόκου D ...ω P 9 Περὶ πτερυγίων χειρουργία δόκιμος C 10 ....στείλαντες (...στείλλ.) D P ....στέλλοντα ω 11 ....πείραντες D P ....πειρῶντες χ περὶ τὰ] μετὰ χ *post* ἠρέμα: ἡμέρα χ 12 συναναφαιρεθεῖσα P ω 13 λαμβάνων ω 14 διειρμ. χ διηρμ. P διηρημένην C ....μμένην A Q διειρημένην ω τρίχαν φ χ A Q ω 15 ...ταθέντος C 17 ἐμφυῶς ω 18 διὰ κλυοῦμεν A Q διϊκινοῦμεν ω 21 ...τείναντες D P ω 22 τῶ κανθῶ D P 23. 24 διακοπεῖσι D P 24 προσφύσεις γίνονται ω τῶν κανθῶν χ A Q 25 ἡ *om.* C A Q ω 26 διαπανηθῇ D P 27 δεῖ οὖν D P δὴ (= C Q) οὖν ω δειλιῶσιν C διληῶντες A Q δεδιότες ω

οἱ πάσχοντες μὴ τολμῶσιν ἀνοίγειν τοὺς ὀφθαλμούς, ἄγκιστρον ὑποβάλλοντες τῷ ἄνω βλεφάρῳ καὶ ἠρέμα αὐτὸ στρέφοντες ἐπὶ τὸ ἐκτὸς ἀνατείνομεν, καὶ οὕτως ἐνεργοῦμεν, ὡς προείρηται. μετὰ δὲ τὴν ἀφαίρεσιν ἅλμῃ δριμυτέρᾳ δέον ἐγχυματίζειν τὸν ὀφθαλμόν, εἶτα ἔριον ὠοβραχὲς ἐπιτιθέντας ἐπιδεῖν τὸν ὀφθαλμόν. τῇ δὲ ἑξῆς ἐπιλύσαντες καὶ μετρίως πυριάσαντες ἐγχυματίζομεν τῷ λευκῷ καὶ ἁπαλῷ κολλυρίῳ Σεβήρου. τῇ δὲ τετάρτῃ ὑπαλείφομεν τοῖς πρὸς τὰς διαθέσεις κολλυρίοις, παραιτούμενοι τὸ λοιπὸν τὰ ἁπλᾶ καὶ σαρκωτικὰ κολλύρια. εἰσὶ δὲ ταῦτα τὰ νάρδινα καὶ τὰ Θεοδότια καὶ τὰ δι' οἴνου πάντα.

ξγ Περὶ ἐγκανθίδος. ἐγκανθίδα καλοῦσιν, ὅταν ὑπερσαρκώσῃ ὁ πρὸς τῇ ῥινὶ μέγας κανθὸς αὐξηθείς, ὅπερ γίγνεται ἐπὶ γυναικῶν καὶ ἀνδρῶν κοινόν, μάλιστα δὲ ἐπὶ τῶν ἀνθρώπων πλεονάζει τοῖς ἐν θαλάσσῃ διατρίβουσιν. ἡ μὲν οὖν εὐήθης ἐγκανθὶς ἀναλγής ἐστι ὑπόσομφος μαλακή· ἡ δὲ κακοήθης σκληρὰ ἀνώμαλος, νυγματώδεις πόνους ἔχουσα. δεῖ δὲ τὰς εὐήθεις θεραπεύειν, τὰς μὲν μικρὰς φαρμάκοις ξηροῖς, ὡς τῷ πρὸς τοὺς ψωρώδεις κανθοὺς διὰ καδμίας καὶ χαλκίτεως ἢ τούτῳ καλλίστῳ ὄντι· στυπτηρίας σχιστῆς μίσυος ὀπτοῦ χαλκάνθου ἴσα· ἱκανῶς ἀποδαπανᾷ τὰς ἐγκανθίδας. χρῶ δὲ καὶ τῷ Θεοδοτίῳ Σεβήρου κολλυρίῳ λεάνας αὐτὸ ξηρὸν καὶ τῷ πρὸς μυοκέφαλα δι' οἴνου.

ξδ Χειρουργία ἐγκανθίδων. τὰς δὲ μείζονας καὶ μὴ κακοήθεις ἐγκανθίδας μυδίῳ ἐπιλαβόμενον ἀποτέμνειν· εἰ δὲ μείζων εἴη ἡ ὑπεροχή, βελόνην χρὴ λίνον διπλοῦν ἔχουσαν πρὸς τῇ βάσει διείρειν, εἶτα ἀποσφίγγειν τὸ λίνον καὶ διαστήσαντα βραχύ, ἕως πελιωθῇ ἡ σάρξ, σμιλίῳ ἀφαιρεῖν· καὶ τῷ ψωρικῷ ξηρίῳ ἐφάπτεσθαι καὶ πτύγματα ἐπιθέναι. τῇ δὲ ἑξῆς ἀποπυριᾶν, καὶ μετὰ τὴν τρίτην τῷ μέλιτι χρώμενον

10. 11 Περὶ — αὐξηθείς | 13 ἡ μὲν — χαλκίτεως *(16) Or.^{a} VIII 56 (269, 1—7)* 10 ἐγκανθ. — αὐξηθ. *Paul. ib. (ib. 178, 19—20)* ἐγκανθ. — διατρίβουσιν *(13) Gal. ascr. int. s. med. 16 (XIV, 772, 5—7) cf. de tum. praet. nat. 17 (VII 732, 5—6) (Gal.) def. med. 361 (XIX, 438, 5—6)* 17 στυπτηρίας — χαλκάνθου ἴσα *cf. Gal. de comp. med. s. loc. IV 8 (XII, 735, 14—16)* 20—21 τὰς δὲ — ἀποτέμνειν *cf. Or.^{a} ib. (ib. 7)*

φ (C L^a) χ (M^c) ψ (A D P Q) ω (A^t) 2 αὐτὸ *om.* C Q ὑποστρέφ. C χ Q ἐκτὸς] σκότος χ P ω 4 δέον *om.* ω 5 . . . τιθέντες χ . . . τα ω ἐπιθέντας ψ 6 *post* ἐγχυμ.: τὸν ὀφθαλμὸν C 7 τὴν . . τετάρτην D P 8 ἁπαλὰ α, *exc.* L^a 9 ταῦτα] τὰ (*om.* D P) πρὸς (τὰς *add.* C ψ) διαθέσεις α, *exc.* L^a τὰ *alt. om.* L^a 10 ἐγκανθίδων χ D P ἐγκανθίδας D P *ante* καλοῦσιν: δὲ ω ὑπερσαρκώσας D P ὁ *om.* χ 11 αὐξηθῇ D P 11. 12 γυναικ. κ. ἀνδρ. κοινόν] γυναικῶν χ (τῶν ω) κυνῶν C ψ ω 12 δὲ ἐπὶ] ἐπὶ δὲ α, *exc.* L^a 13. 14 ἀναλγής — κακοήθης *om.* ω μαλακὴ ὑπόσομφ. C χ ψ 14 νυγματώδης A Q ω 15. 16 ὡς τὸ φ A P Q ὥστε D ὥσπερ ω τοὺς *om.* ω 17 *ante* στυπτηρίας: ἢ A Q *post* ὀπτοῦ: χαλκίτεως ὀπτῆς A Q 18 δαπανᾷ C A Q ω *ante* τὰς: πάσας χ P ω θεοδοτίου D ω 19 αὐτῷ L^a ω ξηρῷ ω τὸ φ P Q ω μυιοκέφαλα χ D P 20 Περὶ ἀκανθίδων χειρουργία θαυμαστή C καὶ μὴ *om.* ω 21 μυιδίῳ D P ἐπιβαλλόμενον χ . . . . βαλόμενος Q ἐπιλαβομένους D P *ante* ἀποτέμνειν: δεῖ χ ω ἢ D P 22 βελόνη χ ψ ἐχούσῃ α, *exc.* ω διαιρεῖν C ψ ἀποσφίγγων C . . . οντα A Q 23 διαστήσαντας D P 24 ξηρῷ α, *exc.* L^a ἐμβάπτεσθαι C χ A Q πτύσμα C . . γμα χ ψ 25 χρωμένους D P

ἀποθεραπεύειν. παραφυλάττεσθαι δὲ μὴ συναφαιρεῖν ἐκ βάσεως τὸν κανθὸν σὺν τῇ παρὰ φύσιν σαρκί. εἰ δὲ μή, ῥυάδες ἐπιγίγνονται.

φ(CL[a]) χ(M[o]) ψ(ADPQ) ω(A[t]) 2 διαθέcεωc ω 5 ...χρίονταc α, *exc.* DP μόνον *om.* CAQ 6 Ἀντωνίνω DPω ἀποκρουόντων DP 7 ναρκώντων P cυρραγέν DP 8 *ante* ἐπιμ.: μὴ χ ἐπιμένει CAPQ 10 τε *et* ὁ *om.* χ 11 αὐξάνεται CAQ 12 βαρβάρα χDPQ ἢ τῇ δι' ἰτεῶν *om.* ω 15 ἥν τινεc — καλοῦcιν *om.* AQ ἥν] οἵ L[a]χω ἀγρίαν *om.* Cχ 16 μικροῦ ἀειζώου AQ *ante* cτρύχνου: ἢ A χυλὸν CAQω α̅] ϛ̅ CχADQω <] ου[ΓΓ'] χ 17 τὸν] τὸ DP 18 ἐπίβαλε ADQ γὰρ] δὲ *Hirschb. (Gal.)* παραιτούμ.] παραυτίκα *Hirschb.* 19 < η̅ *pr. et alt. et* < δ̅ *om.* C < η̅ *pr. om. sed post* cμύρνηc: ἀνὰ DP η̅ *alt.*] ϛ̅ AQ δ̅ *pr.*] α̅ ω κηροῦ] κρόκου Q < δ̅ *alt.* < δ̅ *pr. et alt. (20) om.* C, *pr. et alt. om.* DP *sed post* λαγωοῦ: ἀνὰ CDP δ̅ *alt.*] η̅ ω 20 cχιcτῆc < δ̅ *om.* DP πυτίαc *vel* πιτύαc *codd.* δ̅ *tert.*] η̅ C κόπτε ω 21 μάλαccε ω *ante* ἰρίνου (ἐρίνου Aω): τοῦ ω 23 κενώcανταc DP 23. 24 βδελλίου — cπληνίον ἐπίθεc *(333, 4) post* τέλουc *(334, 11) transp.* CAQ *om.* L[a]Pω *ante* βδελλίου: ἄλλο χAQ 25 ἄλλοι χD *Hirschb. om.* C *post* ἀντὶ: δὲ C λεῖα *om.* C 26 λαβὼν *addidi* ..βόντεc *add. Hirschb.* ὀξ(ο)υγγίου CχD ...πλαccε C ...πλάττουcι D *Hirschb.* τὸν] τὴν α, *exc.* AQ 27 ὀξουγγίου Cχ ὠμοῦ CAQ *post* ὁμοίωc: ποιεῖ D ῥίζηc χD

ἐπιτίθει· ἢ περδίκιον βοτάνην κατάπλασσε ἢ ἄλευρον ὀρόβινον cὺν μέλιτι ⟨ἢ⟩ cποδὸν ἀμπελίνων ξύλων cὺν ὄξει φυράcαc ἐπίθεc. cταφίδα ἀγρίαν καὶ ἀμμωνιακὸν θυμίαμα cὺν μέλιτι ἐπίθεc ἢ cτυπτηρίαν cχιcτὴν cὺν τερεβινθίνῃ ὡc cπληνίον ἐπίθεc. εἰ δὲ καὶ πρὸc τὸν κανθὸν ῥεύcει, πρὸc δὲ τὴν ἐπιφάνειαν μηδόλωc ὁρμήcει, τὸ τηνικαῦτα φλεβοτόμῳ ἢ πτερυγοτόμῳ τὸ μέcον cῶμα τοῦ κανθοῦ διελεῖν χρὴ καὶ cάρκα χρηcτὴν ἐκ τοῦ βάθουc φύειν, εἶτα αὐτὴν τὴν φυομένην cάρκα ὑποξηραίνειν· τοῦτο δὲ γίγνεται, ἐὰν μηδόλωc τὰ λιπαίνοντα τοῖc τόποιc προcενέγκωμεν. ὅθεν δὴ ἐπὶ τῆc ἀρχῆc μετὰ τὴν ἀναcτόμωcιν τῇ φακῇ ἑφθῇ ἢ cιδίοιc μετὰ μέλιτοc χρῆcθαι. ἀνακαθαρθέντοc δὲ τοῦ τόπου καὶ φυομένηc ἤδη τῆc cαρκὸc ὕαλον λειώcαντεc χνοωδέcτατα ἐπιπάττομεν ξηρόν, καὶ τούτῳ προcμένομεν ἕωc παντελοῦc ἀποθεραπείαc. θαυμάcιον γάρ ἐcτι τὸ βοήθημα καὶ μετὰ τῆc ἐνεργείαc οὐδ᾽ ἀνεξέταcτόν ἐcτι τῷ λόγῳ. καὶ ἡ cχιcτὴ δὲ cτυπτηρία λειοτάτη γενομένη καὶ τερεβινθίνῃ ὀλίγῃ ἀναληφθεῖcα, ἕωc ἐμπλαcτρῶδεc γενέcθαι, καθαίρει καὶ cαρκοῖ καὶ ἀπουλοῖ ἀcφαλῶc. δεῖ δὲ καὶ τῇ κοιλότητι τοῦ ἕλκουc ἐνθεῖναι τοῦ φαρμάκου καὶ ἔξωθεν cπληνίον μικρὸν ἐξ αὐτοῦ ἐπιθεῖναι. ἡμεῖc μὲν οὖν ταύτῃ τῇ ἀγωγῇ χρηcάμενοι ἑτέρου βοηθήματοc ἐπὶ τῶν προcφάτων αἰγιλώπων οὐκ ἐδεήθημεν. τὰ δὲ ὑπὸ τῶν ἀρχαίων γεγραμμένα πρὸc τὸ πάθοc βοηθήματά ἐcτι ταῦτα· αἰγίλωπα θεραπεύειν, ἐφ᾽ ὧν μὴ διὰ βάθοc ἔφθαρται τὸ ὀcτοῦν· ἀνθεμίδοc φύλλα μαcηθέντα καὶ ἐπιτεθέντα ἢ μαλάχηc φύλλα μαcηcάμενοc μεθ᾽ ἁλῶν ἐπιτίθει. μετὰ δὲ τὸ ἀναcτομῶcαι αὐτῇ τῇ μαλάχῃ λείᾳ χρῶ μέχρι ἀπουλώcεωc ἢ μύρτα μαcηcάμενοc ἐπιτίθει ἢ οἰνάνθηc ἢ μυώτιδοc φύλλα ἢ cτρύχνου καὶ μάλιcτα ἁλικακάβου ἢ αἰγίλωποc τοῦ ἐν τοῖc cίτοιc χύλιcμα ⟨ποιεῖ⟩ cὺν ἀλεύρῳ cιτανίῳ καταπλαccόμενον, ἀρνογλώccου φύλλα μαcηθέντα καὶ ἐπιτεθέντα, λιβανωτὸc

1 περδίκιον — κατάπλαccε *Gal. de rem. parab. II 4, 15 (XIV 415, 5—6)* ἄλευρον — ἐπίθεc *(2)* | 14—16 ἡ cχιcτὴ — ἀcφαλῶc *Gal. de comp. med. s. loc. V 2 (XII, 821, 9—10, 13—15)* 21 — *p. 334, 2* αἰγίλωπα — ἀπουλώcεωc *Or.*[c] *14 (IV 190, 7—8, 12—13)* 23. 24 μαλάχηc — ἐπιτίθει | 25—26 αἰγίλωποc — καταπλαccόμενον | 27—*p. 334, 2* λιβανωτὸc — ἀπουλώcεωc |

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 περδικίαν C ...ου A Q 2 ἢ *add. Hirschb.* cποδῶν χ A D Q ...τίθει C Q 3. 4 ἢ cτυπτηρίαν — ἐπίθεc *om.* χ 4 μετὰ τερεβινθίνηc D 5 ῥεύcει] ῥίψει A ῥέψει D Q ...η C χ ω οὐδόλωc D P ..μήcῃ χ 9 δὴ] δεῖ χ ψ 10 τῇ *om.* ω ἑφθῇ *om.* L[a] ἢ cιδίοιc *om.* C A Q 11 ὕελον D ω ὕαλλον P ὕελλον χ 11. 12 χνοωδέcτατον C A Q ω ....δεcτέραν D P 12 ξηρὰν P τοῦτο α, *exc.* D P 13 θεραπείαc C A Q 15 γινομ. A Q ω 16 *post* καθαίρει: δὲ A Q καὶ cαρκοῖ καθαίρει ω ἐπουλοῖ ω 17 τὸ φάρμακον D P τῷ φαρμάκῳ L[a] ἔξω ὡc ω cπληνίῳ μικρῷ C 18 ...τιθέναι D P ταύτῃ *om.* A *post* ἀγωγῇ *transp.* C Q 20 τοιαῦτα ω *post* ταῦτα: τὸν τοίνυν C 21 αἰγίλωποc θεραπεία, *haec usque ad* ὀcτοῦν *in marg.* P βάθουc Q ὀcτέον χ Q 22 ...τιθέντα C Q μαccηc. ω 23 αὐτὰ A Q 24 μέχριc A D Q 24. 25 οἰνάνθην χ A D Q ....αν[θ'] P ...άνθου ω 25 φύλλα *post* ἀλικκακαβου *transp.* D P ἢ cτρύχνου — ἁλικακάβου *post* ἀπουλώcεωc *(24) transp.* ω καὶ μάλ. ἀλικ. *om.* A Q 26 χυλίcματι ω ποιεῖ *add. Hirschb.* cιτίνῳ D P 27 ...πλαccόμενα D P

καὶ περιστερᾶς κόπρος λεία μίγνυται καὶ ἐπιτίθεται καὶ λιθοῦται καὶ προσμένει ἄχρις ἀπουλώσεως. Ἄλλο. πρόπολιν τερεβινθίνην καὶ λιβανωτὸν ἴσα σπληνίον ποιήσας χρῶ. ποιεῖ καὶ τὸ δι' ὀρόβων ξήριον μετὰ μέλιτος. Ἄλλο. χολὴν χοίρου ὑπὲρ καπνὸν ξηράνας λείου καὶ ἐπιτίθει τῷ ἡλκωμένῳ αἰγίλωπι. Ἄλλο. λιβανωτὸν λεάνας ἀναλάμβανε πίσσῃ ὑγρᾷ καὶ ποιήσας ἔμπλαστρον ἐπιτίθει. τοὺς μὲν γὰρ ἀρχομένους ἀφανεῖς ποιεῖ, τοὺς δὲ ἤδη ῥαγέντας ὑγιάζει ἐντιθέμενον ἐν τῷ ἕλκει καὶ ἄνωθεν ἐπιπασσόμενον. Πρὸς αἰγίλωπας πεπειραμένον καὶ πρὸς χοιράδας. κρίνου ῥίζαν νεαρὰν λειώσας, ὡς ἐμπλαστρῶδες γενέσθαι, οὕτω γὰρ γίγνεται λειουμένη, ἐπιτίθει αὐτῷ· ῥήσσει γὰρ αὐτὸ ἀνακαθαίρει αὐτὸ ἀπουλοῖ ἕως τέλους.

πη Περὶ καύσεως αἰγιλώπων. ἐφ' ὧν δὲ χρονίσαν τὸ πάθος ἐλίπανε τὸ ὀστέον ἢ πρὸς τὸν κανθὸν ὡς συριγγωθῆναι ἀπουλωθείσης τῆς ἐπιφανείας, τρίγωνον τὴν ἀφαίρεσιν τῆς ἐπικειμένης σαρκὸς ποιησάμενοι, τὸ στενὸν μέρος τῆς διαιρέσεως περὶ τὸν κανθὸν ἁρμόσαντες, εἶτα σπόγγον ἐπιθέντες τῷ ὀφθαλμῷ καυτήρια πεπυρωμένα ἐπιτίθεμεν τῇ διαιρέσει, μέχρις ὀστέου εἰς λεπίδος ἀπόστασιν ἐπικαίοντες καὶ τὰ πλάγια μέρη ἐν τῇ κοιλότητι τοῦ ἕλκους καὶ μάλιστα τὰ ἄνω· κατανοοῦντι γάρ σοι μετὰ τὴν προσαγωγὴν τοῦ πρώτου καυτῆρος φανήσεται τρημάτιον λεπτότατον ἄνωθεν, ἐκ τῶν πλαγίων παραπέμπον τῷ ἕλκει τὸ ὑγρὸν ὥσπερ δάκρυον· διόπερ χρὴ τὸ καυτήριον κατὰ τοῦ τρηματίου ἐρείδειν ἰσχυρῶς. αὐτάρκους δὲ τῆς καύσεως γενομένης τῇ φακῇ ἑφθῇ σὺν τῷ μέλιτι χρώμεθα. ἐκπεσούσης δὲ τῆς ἐσχάρας καὶ καθαρθέντος ποσῶς τοῦ ἕλκους, στυπτηρίαν σχιστὴν λειώσαντες καὶ ἀναλαβόντες ὑγρᾷ τερεβινθίνῃ ὀλίγῃ, ὡς ἐμπλαστρῶδες γενέσθαι, ἐντίθεμεν τῇ κοιλότητι τοῦ ἕλκους καὶ σπληνίον ἐξ αὐτοῦ ποιήσαντες ἐπιτίθεμεν. τάχιστα γὰρ ἀνακαθαίρει, σαρκοῖ καὶ ἐπουλοῖ. καλῶς πάνυ σαρκοῖ καὶ ὕαλος λειοτάτη ἐπιπασσομένη. χρῶ, πεπείραται.

3. 4 δι' ὀρόβων — μέλιτος *Gal. ib. 1 (XII 819, 17—820, 1) 2 (821, 11—12, 9—10)* 4. 5 χολὴν — αἰγίλωπι *Gal. de rem. parab. II 4,15 (XIV 415, 6—7, 5)* 12 ἐφ' ὧν κτλ. *cf. Pap. ross. l. Col. III:* χρονείων ὄντων (*sc.* τῶν αἰγιλώπων) ἔκλη|ψεις τῶν κ[ατὰ] τὴν ἐπιφ[ά|ν]ειαν ἀγγείων καὶ διὰ [π]υ[ρη]|νοειδῶν καυτηρεί[ω]ν κ[αῦ|σ]εις, ἐνίοτε δὲ καὶ ἀπόσφ[ιγ|ξ]εις καὶ ἐκτομή, *Paul. VI 18 (II 58, 21 sqq.)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 λεία μίγνυται] διαμίγνυται ω 2 μέχρις (...ρι) A Q ω 3 *post* ποιεῖ: δὲ C 4 λείου *om.* ω καὶ *om.* L^a ω 6 ἐμπλάστριον C χ A Q 7 ἐν *om.* ψ ω 8 ...πλασσόμενον α, *exc.* L^a *ante* Πρὸς: ἄλλο C A Q Πρὸς αἰγίλ.] ἄλλο P 9 ἐρίνου ω ῥίζης νεαρῶν C 10 καὶ ἐπιτιθεμένη ω ῥήσσει — αὐτὸ] καὶ C γὰρ *om.* α, *exc.* D P αὐτὸ] αὐτὸν D P *post* αὐτὸ: καὶ D P ω 11 αὐτὸ] καὶ ψ *om.* ω εἰς τέλος χ 12 αἰγίλωπος ω 13 ἢ (*om.* P) πρὸς — συριγγωθῆναι (*in textu* D)] ἢ πρὸς τ. κανθ. ἐσυριγγώθη (*in marg.* D) C χ A Q ω 16 ἐπιτιθέντες ω 17 ὑπόστασιν ω 21 διόπερ] ὅθεν C χ A Q ω 22 τοῦ *om.* χ ω γεγενημένης ω 23 τῷ *om.* P 24 σχιστὴν *om.* D P 27 *post* ἐπιτίθεμεν: τῇ κοιλότητι (ἐπιφανείᾳ *corr. Hirschb.*) τοῦ ἕλκους ω *ante* σαρκοῖ: καὶ D P σαρκοῖ *om.* A πάνυ *om.* D P 28 ὕαλλος A P Q ὕελος D ὕελλος ω λειότατος ...σσόμενος C *post* χρῶ: ὡς δόκιμον C *post* πεπείραται: θαυμαστῶς C γάρ D P

πθ Περὶ ἀγχίλωπος. περὶ τὸν προρρηθέντα τόπον, ἔνθα ὁ αἰγίλωψ γίγνεται, συνίσταται ὑγρὸν ἀργὸν μελιτῶδες ἢ ἀθερῶδες, περιεχόμενον ὡς ἐπὶ τὸ πολὺ χιτῶνι, ἀνώδυνον, κατὰ βραχὺ τὴν αὔξησιν λαμβάνον. θεραπεύεται δὲ χειρουργίᾳ, ὥσπερ καὶ τὰ λοιπὰ περὶ τὸ ἄλλο σῶμα ἀθερώματα, διαιρουμένης τῆς ἐπιφανείας καὶ ὑποδερομένου καὶ κομιζομένου τοῦ περιέχοντος τὸ ὑγρὸν χιτῶνος ἐκ βάσεως. μετὰ δὲ τὴν αὐτοῦ ἀναίρεσιν πρὸς τὴν ἀσφαλῆ θεραπείαν, ἵνα μὴ παλιγγενεσία τοῦ πάθους γένηται, καυτηρίοις πεπυρακτωμένοις ἐσχαροῦμεν τὸν τόπον. κἄπειτα θεραπεύομεν τῇ φακῇ μετὰ μέλιτος. ἀποπεσούσης δὲ τῆς ἐσχάρας χρώμεθα, ὡς προείρηται, τῇ στυπτηρίᾳ μετὰ τῆς τερεβινθίνης μέχρις ἀπουλώσεως.

ϙ Περὶ ῥυάδων ὀφθαλμῶν. ῥυάδες ὀφθαλμοὶ λέγονται, ὅταν ἐξ ἑλκώσεως ἢ πτερυγίου ἀφαιρέσεως, ἢ ἐγκανθίδος ἐκ βάσεως, ὁ κανθὸς ὅλος ἀρθῇ καὶ στέγειν μὴ δύνηται τὸ ἐπιφερόμενον δάκρυον, ἀλλὰ κατὰ τῶν μήλων ῥέῃ. συμβαίνει δὲ τοῦτο ἐνίοτε καὶ ἐπὶ τῶν κακῶς θεραπευομένων αἰγιλώπων. λέγονται δὲ ῥυάδες καὶ οἱ διὰ τοὺς συνεχεῖς ῥευματισμοὺς τῶν ὀφθαλμῶν δακρυρροοῦντες ἀεί. θεραπευτέον δὲ τοὺς τὸν κανθὸν ἐκ βάσεως ἀφαιρεθέντας παραπτομένους φαρμάκῳ δυναμένῳ πυκνοῦν τοὺς τόπους καὶ στερεοῦν, οἷόν ἐστι τὸ τεφρὸν λεγόμενον. εἰ δὲ τύλος εἴη, προερεθίζειν δεῖ διά τινος δριμυτέρου φαρμάκου. καὶ χειρουργίαις δὲ θεραπεύονται. περιθέντες γὰρ ἐκμαγεῖον τῷ τραχήλῳ καὶ περισφίγξαντες σημειοῦνται τὸ περὶ τὴν ῥῖνα ἀγγεῖον. εἶτα διαιροῦσι τὸ ἀγγεῖον σμιλίῳ διγώνῳ, εἶτα σπόγγον τῷ ὀφθαλμῷ περιθέντες ἐπερείδουσι καυτήριον τῷ τόπῳ, οὐκ ἄχρις ὀστέου, ἀλλὰ καὶ τὸ δέρμα καὶ τὴν διαίρεσιν φλογίζοντες. ἔστω δὲ τὸ καυτήριον τρίγωνον. μετὰ δὲ ταῦτα φακῷ μετὰ μέλιτος χρῶνται. καθαρῶν δὲ γενομένων τῶν ἑλκῶν ἐν διαστολῇ τηροῦσι τὸν ὀφθαλμόν, ἕως σαρκὶ καθαρᾷ πληρωθῇ ὁ κανθός, ἵνα μὴ σύμφυσις γένηται. καλῶς δὲ ποιεῖ καὶ ἐπ᾿ αὐτῶν ἡ στυπτηρία μετὰ τερεβινθίνης. τοὺς δὲ ὑπὸ χρονίου ὀφθαλμίας δακρύοντας ἢ ὑγραινομένους ὀφθαλμοὺς θεραπεύειν πρὸ

1—3 περὶ τὸν προρρηθέντα — χιτῶνι *cf. (Gal.) def. med. 362 (XIX 438,7—8)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 2 ἀργὸν (*om.* A) ὑγρὸν ω 2. 3 ὡς τὸ πολὺ περιεχόμενον χιτώνιον ἄνωδον ω 3 τὸ] τῷ α, *exc.* χ 4 δὲ *om.* D 5 καὶ *pr. om.* D P 7 ἀφαίρεσιν D P 9 *ante* μέλιτος τοῦ ω 11 *post* ἀπουλώσ.: καὶ οὕτως χρῶ C 12 ῥοιάδ., ῥυάδ. *codd.* *post* ὀφθαλμῶν: καὶ στίμμι πρὸς τούς (τοὺς *om.* D) ῥυαδικοὺς Ἀλεξάνδρου βασιλέως D P *sqr.* τὸ διὰ κρόκου καὶ Κελτικῆς καὶ ἀμπελίτιδος γῆς P *(cf. p. 336, 10 sqq.)* ῥοιάδες ω ὀφθαλμῶν A Q 13 ἢ *pr. om.* L^a 14 δύναται ω 15 ἐνίοτε *om.* χ 16 ῥυάδες *(et alibi) v. supra* 17 ῥευματ. *om.* ω 18 βάθους α, *corr. Hirschb.* θεραπευθέντας μᾶλλόν γε ἀφαιρεθέντας C 19 πόνους ω 20 ἢ ω ἐρεθίζειν D P 21 διὰ χειρουργίας D P θεραπευτέον C A Q ω γὰρ] τὸ D P ἐκπλαγίων A Q 22 *post* περισφ.: δὲ ω παρὰ C χ A Q 23 διαγώνιῳ A P διογ. C Q τριγώνῳ *Hirschb.* *post* σπόγγον: περὶ C A Q 24 περιτιθέντες C παραθέντες ω ὑπερείδ. D P καυτηρίῳ τὸν τόπον P 27 ἐν *om.* D P 28 ἀναπληρωθῇ α, *exc.* L^a *ante* ὁ: ὀφθαλμὸς μᾶλλον δὲ C 29 ὑποχρονίους χ P ω ...ας C A Q ...ως D 30 ὀφθαλμοὺς *om.* D P πρὸ] πρῶτον C A Q

μὲν πάντων ὑδροποσίᾳ τε καὶ ὀλιγοσιτίᾳ συνέχοντας καὶ γυμνασίοις καὶ περιπάτοις, τρίψει τε κεφαλῆς καὶ ξυρήσει καὶ ψυχροῦ καταχύσει, διαίτῃ τε εὐχυμοτάτῃ καὶ μᾶλλον παχυνούσῃ χρῆσθαι, ὑπαλείφειν δὲ τοὺς ὀφθαλμοὺς τοῖς μᾶλλον ἐμπλάσσουσι καὶ ψύχουσι καὶ στύφουσι φαρμάκοις. μετὰ δὲ τὴν ἐγχείρησιν καὶ ψυχρῷ καὶ ὀξυκράτῳ προσκλύζεσθαι τοὺς ὀφθαλμούς. κάλλιστον δὲ φάρμακον πρὸς τούτους πεπείραται τοῦτο· ἀρνογλώσσου φύλλα χυλίσας καὶ διηθήσας καὶ βαλὼν ἐν ὀστρακίνῳ καινῷ ἀγγείῳ τίθει ἐν ἡλίῳ, σκεπάσας ῥάκει ὑψηλῷ καθαρῷ, κινῶν καθ' ἑκάστην· ξηρανθέντα δὲ λεάνας ἀπόθου καὶ χρῶ ἀντὶ ξηροκολλυρίου. Στίμμι πρὸς τοὺς ῥυαδικοὺς τὸ Ἀλεξάνδρου βασιλέως πάνυ καλόν, ποιεῖ καὶ ἐπὶ τῶν πτίλων βλεφάρων. γῆς ἀμπελίτιδος κρόκου νάρδου Κελτικῆς ἴσα, κόψας φύρα τῷ μέλιτι καὶ βαλὼν ἐν χυτριδίῳ καὶ πωμάσας πώματι τρῆμα ἔχοντι καὶ χρίσας, τίθει ἐπ' ἀνθράκων καὶ μὴ ῥίπιζε· ὅταν δὲ μηκέτι ἀτμὸς ζοφώδης διὰ τῶν τρημάτων ἀναβαίνοι, ἆρον ἐκ τοῦ πυρὸς καὶ ἔα ψυγῆναι, ἔπειτα κόψας σήσας καὶ λεάνας χνοωδέστατα, χρῶ στιμμίζων. Στίμμι ῥυαδικόν. χαλκοῦ κεκαυμένου Γ° ᾱ ς στίμμεως Γ° ᾱ ς κρόκου Γ° ᾱ ναρδοστάχυος Γ° ᾱ φύλλα Γ° δ̄ ῥόδων χλωρῶν Γ° ᾱ ς· τὰ λοιπὰ λειότατα ποιήσας, ἔπειτα λεάνας τὰ ῥόδα κατ' ἰδίαν εὖ μάλα, ἕνωσον τὰ ξηρὰ καὶ λείου ἕως ξηρανθῇ καὶ χρῶ. Ἄλλο διὰ πολλῆς πείρας. χαλκοῦ καδμίας στίμμεως ἀνὰ Γ° β̄ πεπέρεως κόκκοι ιδ̄ καρυοφύλλου κεκαυμένου δ̄ σπόγγων καινῶν Γ° γ̄ τὸ μέλι τὸ ἀρκοῦν· χαλκὸν καδμίαν στίμμι κόψας, φύρασον τῷ μέλιτι ἀρκοῦντι· εἶτα ἀναλαβὼν αὐτὰ σπόγγῳ καὶ βαλὼν ἐν χύτρᾳ καὶ χρίσας καῖε καὶ λεάνας τὴν τέφραν ἀκριβέστατα ἐπίβαλλε τὸ πέπερι καὶ

3 ὑπαλείφειν — ὀφθαλμούς *(6)* *Or.[a] VIII 55 (261, 27—28)*

φ (CL^{a}) χ (M^{o}) ψ (ADPQ) ω (A^{t}) 1 τε *om.* ω ἐνέχοντας ω 3 μᾶλλον *om.* ω 5 ἔγχρισιν χDP χρῆσιν ω καὶ *alt.* *om.* DP 6 τὸν ὀφθαλμὸν C πρὸς *om.* DP τούτοις Cψω 7 τοῦτο] τὰ τοῦ DP *post* τοῦτο: οἷον C χυλήσας L^{a} ...ώσας CAQ ...ιάσας ω 8 κεναῖ (αι *supra*) P κενῷ L^{a} *om.* AQ ἀγγείῳ κενῷ χ ...ίῳ καινῷ ω 9 *ante* καθαρῷ: καὶ DP 10 ξηρῷ κολλυρίῳ CχAQ ξηροῦ κολλυρίου ω *ante* στίμμι: τὸ δὲ DP Στίμμι — στιμμίζων *(16)* *post* καὶ χρῶ *(20)* *transp.* CAQ *post* ἀπουλώσει *(338, 31)* *rep.* CAQ *post* χρῶ *(337, 2)* *transp.* D *om.* L^{a} πρὸς ῥυαδικοὺς *post* ποιοῦν (*pro* ποιεῖ) *transp.* DP τοῦ (*pro* τὸ) βασιλέως Ἀλεξάνδρου DP τὸ] τοῦ AQ *om.* C 10. 11 *ante* βασιλέως: τοῦ CχAω 11 *ante* ποιεῖ: τοῦτο C τῶν *om.* AD πτυλοβλεφαρίων AQ βλεφ. Q^{1} *post* βλεφάρων: σκευάζεται (δὲ *add.* P) οὕτως DP 12 ἴσα *om.* α, *exc.* DP φυράσας CAQ τῷ *om.* Cχψ λαβὼν Q^{1}ω 13 τρήματα ψ 14 μὴ *om.* Cχψ 5 ἀναβαίνει CAQω ...νοι Q^{1} ...η DP ἐκ] ἀπὸ CχAQ ἐκ Q^{1} καὶ *om.* Q^{1} 16 χνοωδεστάτῳ χ *ante* στίμμι: ἄλλο ADω Στίμμι — χρῶ *(337, 2)* *om.* P 17 Γ° ᾱ ς *pr.* *om.* *sed* *post* στίμμεως: ἀνὰ C Γ° ᾱ *pr.* *om.* *sed* *post* ναρδοστ.: ἀνὰ C Γ° ᾱ *alt.*] καὶ D φύλλων CAQ 18 Γ° *pr.*] < χD οὐλκὰς C δ̄] ᾱ ω 19 τὰ ῥόδα — ξηρὰ] εὖ μάλα τὰ ῥόδα, *in marg.* καθιδίαν ἕνωσον τὰ ξηρά D 20 *post* πείρας: στίμμι ω 21 κόκκους AD καρυοφ. — δ̄ *om.* CχDω κεκαυμ. δ̄] Γ° ᾱ α, *exc.* L^{a} 22 τὸ μέλι] μέλιτος α, *exc.* L^{a} κόψας *om.* ω φυράσας χD τῷ *om.* CADQ 22. 23 μέλιτος τὸ ἀρκοῦν C 23 χρίσας] λεάνας ω 24 καὶ λεάνας *om.* ω *ante* τὴν: δὲ ω *post* τέφραν: χρῶ ω ἐπίβαλλε — χρῶ *om.* ω ἐπίβαλε ADQ

τὸ καρυόφυλλον κοπέντα καὶ cηθέντα καὶ cυλλεάναc πάλιν ἀκριβέcτατα χρῶ.

ϙα Περὶ τῶν καιόντων τοὺc κροτάφουc. τινὲc βαρβαρικῷ νόμῳ δουλεύοντεc, ἐπὶ τῶν χρονιζόντων περὶ τοὺc ὀφθαλμοὺc ῥευμάτων καίουcι τοὺc κροτάφουc, ἤτοι διὰ φαρμάκων, ἢ τῇ ἐντεριώνῃ τῶν καρυΐνων ξύλων, ὃ καλοῦcιν ἴcχαc. τινὲc δὲ καὶ cίδηρον ἐκπυρώcαντεc ποιοῦνται τὴν καῦcιν. ἐγώ γ᾽ οὖν τοιαύτην διάθεcιν ἐθεαcάμην ἐκ τῆc τῶν κροτάφων καύcεωc cυcτᾶcαν· ἄμετρον γὰρ οὗτοι χρηcάμενοι τῷ φαρμάκῳ καὶ ἕωc βάθουc διακαύcαντεc, μετὰ τῶν ἀλλοτρίων ὑγρῶν καὶ τὰ κατὰ φύcιν κατεδαπάνηcαν καὶ εἰc ἐcχάτην ξηρότητα περιέcτηcαν τὸν ὀφθαλμὸν καὶ ἔλαθον ἑαυτοὺc ἀνίατον καταcκευάcαντεc νόcημα. τί γὰρ ἦν τὸ cυμβαῖνον; πρῶτον ὀδύνη χαλεπὴ καὶ πύρωcιc ἄμετροc. ὡc οὖν ἐπειρώμεθα διὰ τῶν κολλυρίων ἀμβλύνειν τὰc ὀδύναc, πλέον ἐπεφορτίζομεν τῷ πάcχοντι. τὸ γὰρ κολλύριον ὑγρὸν ἐπιχριόμενον τῷ ὀφθαλμῷ, οἷον ψάμμιά τινά ἐγίγνετο, ὑπὸ τῆc ἀμέτρου θερμότητοc φρυττόμενον· καὶ ᾠῷ αὖθιc βουληθέντεc παρηγορῆcαι καὶ αὐτὸ πάλιν διὰ τῆc θερμότητοc παχυνόμενον καὶ ὥcπερ ὑμένεc τινέc γιγνόμενον, δυcχερῶc τοῦ ὀφθαλμοῦ ἐχωρίζετο, καὶ γάλακτι ἐχρηcάμεθα καὶ αὐτὸ ὁμοίωc ἐπαχύνετο καὶ cυντόμωc φάναι ὥcπερ ὑπὸ πυρὸc τὰ ὑγρὰ cυνεcτρέφετο. πολλὰ οὖν καμόντεc, τῷ χυλῷ τῆc τήλεωc ἐγχυματίζοντεc, μετρίωc παρηγορήcαμεν· καὶ τοῦτο γὰρ ἐνικᾶτο ὑπὸ τῆc νόcου. ὕcτερον δὲ τῷ λόγῳ ποδηγούμενοι ἐπὶ τὴν τοῦ ῥοδίνου χρῆcιν ἤλθομεν· χλιαίνοντεc δὲ τοῦτο καὶ ἐγχυματίζοντεc μεγάλην ὠφέλειαν ἐποριcάμεθα, ὥcτε καὶ τὸν κάμνοντα μετὰ τὴν ἡμῶν ἀπουcίαν αὐτῷ μόνῳ κεχρημένον κουφίζεcθαι τῶν cυμπτωμάτων. καὶ εἰc πολλὰ δὲ ἡμῖν ἄλλα χρήcιμον ὤφθη τὸ ῥόδινον ἐπὶ τῶν ὀφθαλμῶν. εἰ γὰρ ἐκ φύcεωc ξηρότηc προcγένηται, ὡc δυcκίνητον καὶ ὅλωc ἀδάκρυτον τὸν ὀφθαλμὸν εἶναι, καὶ τούτοιc χρήcιμόν ἐcτι ἀντὶ κολλυρίου ὑπαλειφόμενον.

ϙβ Περὶ ἀρτηριοτομίαc Cεβήρου. τῶν περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον χειρουργιῶν εἷc ἡμῖν γενικώτατόc ἐcτι cκοπόc, τὸ τῆc ῥευμα-

30 Περὶ ἀρτηριοτομίαc ... τῶν περὶ τὴν κεφαλὴν κτλ. *cf. Gal. de cur. rat. per venae sect. 22 (XI 314—316) Or.*[a] *I 12 (I 12, 8 sqq.) Or.*[c] *VII 13 (I 215, 11 sqq.) Paul. VI 4 (II 47, 15 sqq.)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 *ante* κοπέντα: καὶ ω cειθέντα ω καὶ *alt. om.* ω 3 *ante* περὶ: Cεβήρου D *id. post* κροτάφουc C χ A Q 4 περὶ] ἐπὶ L[a] 5 φαρμάκου C Q *ante* τῶν: ἡ C 6 δ] ἦν D P ἴcκαc χ A Q ...εc ω ...αν D P δὲ *om.* A Q 7 ἐγὼ γοῦν χ A ἔγωγ᾽ οὖν D P ἐγὼ οὖν ω 8 ἀμέτρωc α, *exc.* L[a] 9 *ante* βάθουc: διὰ ω καύcαντεc ω 10 ἐδαπάνηcαν C A Q 12 *ante* νόcημα: τὸ C A Q ἦν] οὖν A Q ω *post* cυμβαῖνον: νόcημα ω πυρετὸc C Q 14 πλεῖον ω ὑγρὸν *om.* L[a] 15 ἐπιχεόμενον χ ψ ἐπεγίγνετο χ ἐγγίνεται ω 16 φρυττομένου ω βουληθέντων D P 17. 18 τινὲc ὑμένεc ω 18 γινόμενοι ω ἐγχωρίζοντοc ω 20 ὑπὸ *om.* L[a] 21 ἐπαρηγορήcαμεν C D P *ante* καὶ: τὸν κάμνοντα ἂν δὲ C γὰρ] πάλιν C 23 διήλθομεν ω δὲ] γὰρ D P καὶ *om.* ω 23. 24 μεγάλην—ἐποριcάμεθα *ante* μετρίωc (21) *transp.* L[a] 25 κουφίζεται L[a] 30 *ante* Cεβ.: διδαcκαλία, *post*: θαυμαcτή C Cεβήρου *om.* ω 31 ἐcτι γενικώτ. ω

τικῆς ἀπαλλάξαι διαθέσεως. εἰδικωτέρας δέ τινας καὶ οἱονεὶ μερικωτέρας ποιούμεθα τὰς ἐγχειρήσεις διὰ τὴν δύναμιν, διὰ τὰ συμπτώματα, διὰ τοὺς τόπους, διὰ τὴν ποιὰν τῶν ῥευμάτων ὕλην. τῶν μὲν οὖν ἀρτηριῶν γένος ἕν, διαφέροντες δὲ οἱ τόποι. νῦν δὲ περὶ τῶν ὀπισθίων ποιούμεθα τὴν ἐξέτασιν· αὗται γὰρ ὥσπερ ἀρχαί τινες τῶν περὶ τὴν ἐπιφάνειαν τῆς κεφαλῆς εἰσι· προσήκει οὖν ἐπὶ τῶν περιωδυνιῶν τε καὶ σφακέλων, σταφυλωμάτων τε καὶ προπτώσεων, τὰς ἐν τοῖς ὀπισθίοις μέρεσι τῆς κεφαλῆς τέμνειν ἀρτηρίας· παρ' αὐτὰ γὰρ τῆς ὠφελείας αἰσθάνονται οἱ κάμνοντες. προξυρητέον δὲ τοὺς τόπους· καὶ οὕτως ἀκριβῶς σημειωτέον τῇ ἁφῇ τὸν σφυγμὸν καὶ μετρεῖν ἀπὸ τῶν ὤτων ὡς τρεῖς δακτύλους τὸ διάστημα, ἐπὶ τὸ λεγόμενον ὀπισθοκράνιον. διαιρεῖν δὲ προσήκει μὴ πλαγίως, ἀλλ' ἐγκαρσίως, μέχρις ὀστέου καὶ ξέειν τὸν περικράνιον ὑμένα ἀκριβέστατα, ἀναμένειν δὲ τὴν ἔκκρισιν τοῦ αἵματος μέχρι λειποθυμίας, ἐφ' ὧν ἡ δύναμις ἰσχυρὰ καὶ ἡ ὀδύνη σφοδρά. οὕτως γὰρ κοιμήσεις τὸ σύμπτωμα· εἶτα σφηνίσκον ἰσόμετρον τῆς τομῆς ἐντίθεμεν καὶ τιλτὰ ὀθόνια πλεῖστα ἐπιθέντες τῷ σφηνίσκῳ πτύγματι χρώμεθα μοτοφύλακι ὀξυκράτῳ βεβρεγμένῳ· εἶτα ἐπιδέσμῳ χρώμεθα ἱκανῶς σφίγγοντες καὶ περὶ τὸ μέτωπον φέροντες ἀμφοτέρας τὰς ἀρχὰς καὶ δεσμοῦντες· τῇ δὲ ἑξῆς ἐπιβρέχομεν οἰνελαίῳ τὸν ἐπίδεσμον οὐ λύοντες· τῇ δὲ τρίτῃ ἐπιλύσαντες καὶ ἀπαντλήσαντες μετρίως τοὺς μώλωπας, [ἀποξέομεν τοῦ ὀστέου τῷ κοπαρίῳ καὶ μετὰ ταῦτα] τῇ ξύσει τοῦ ὀστέου χρώμεθα καὶ τοῦτο ποιοῦμεν ἕως τεσσάρων καὶ πέντε ἡμερῶν ἄχρις αἱμάξῃ τὸ ὀστέον· τοῦτο γὰρ σημεῖόν ἐστι τῆς αὐτάρκους ξέσεως. ἐμμότοις δὲ χρηστέον ἐπὶ τούτων τοῖς διὰ κισσήρεως καὶ κηρελαίου καὶ μετὰ τοῦτο τῷ κεφαλικῷ λεγομένῳ δι' ὀρόβων ξηρίῳ χρηστέον καὶ τὸ ὑφ' ἡμῶν δὲ σκευαζόμενον μονογενῶς ἐπὶ τούτων ποιεῖ· παρ' αὐτὰ γὰρ τῆς ξέσεως ἐπιτεθὲν τὴν σάρκα προήγαγεν. λαμβάνει δὲ ἀλεύρου πυρίνου λεπτοτάτου μέρη δύο, κολοφωνίας λειοτάτης μέρος $\overline{\alpha}$· ἐπιπάσσοντα δὲ τὸ ξηρίον σκέπειν μοτοῖς καὶ σπληνίῳ· μοτοφύλακι ⟨δὲ⟩ χρηστέον τινὶ τῶν διὰ ψιμμυθίου· συνεργεῖ γὰρ καὶ τῇ ἀπουλώσει.

ϟγ Περὶ τοῦ περισκυφισμοῦ. καὶ τὸν περισκυφισμὸν δὲ παραλαμβά-

32 *Capp. 93. 94. Cf. fragm.. pap. Heliodori Archiv f. Papyr. IV 269 sqq. (A. Olivieri, Civ. gr. n. It. merid, pp. 178—180, Nap. 1931)* τὸν περισκυφισμὸν κτλ. *cf. Gal. asc. int. s. med. ib. (XIV 784, 16 sqq.) Paul. VI 7 (II 50, 1 sqq.)*

φ (C Lᵃ) χ (Mᵒ) ψ (A D P Q) ω (Aᵗ) 1 ἰδιωτέρας P ἰδικωτέρας χ A D Q ἠδικ. ω δὲ *om.* ω 1. 2 μετριοτέρας ω 2 τὰς *om.* C A Q 3 *ante* διὰ *prius:* καὶ C τῶν *alt.*] τὸ χ D P 4 *ante* ἀρτηριῶν: τῶν χ D P 6 ἐπὶ] περὶ Lᵃ ὀδυνῶν Lᵃ ...νιῶν C 9 δὲ] τοίνυν D P 10 τῶν σφυγμῶν C D P ω *post* ἀπὸ: τοῦ ὄπισθεν D P 11 ὤμων Lᵃ ω 11. 12 ἡμικράνιον ω 15 γὰρ *om.* Lᵃ 16 τῆς τομῆς *om.* ω τιλτὰ *om.* D P 16. 17 ἐνθέντες D P 17 μοτῷ φύλακι Lᵃ ω *om.* D P 18 εἶτα ἐπιδέσμῳ *om.* ω 19 καὶ *om.* Lᵃ 20 *post* ἐπιβρέχ.: ἐν C ἐλαίῳ ω 20. 21 ἐπιλύειν D P 21 ἀντλήσαντες ω ἀποξέομεν — ταῦτα *om.* D P *canc. sepsi* 21. 22 τὸ ὀστέον Q 22 τῷ κοπαρίῳ — ὀστέου *om.* χ 23 ἕως] ἄχρι τῶν C *ante* καὶ: ἢ C αἱμάξει C χ D P Q ω 24 σημεῖον *om.* ω τῆς *om.* ω ξύσεως *(et l. 28)* D P 25 ἡδραιλαίου χ 26 τὸ *om.* C 27 γὰρ] δὲ ω 28 ἐπιθὲν Q προσήγαγε C ω 29 λεπτοτάτου *om.* ω λειοτ.] ὑγροτάτης ω ἐπιπάσσοντες P 30 μοτῷ φύλακι Lᵃ δὲ *alt. addidi* 31 γὰρ] δὲ ω 32 ἐπισκυφισμοῦ ω

νομεν, ἐφ' ὧν χρόνιον καὶ λεπτὸν τὸ ῥεῦμα τῶν ὀφθαλμῶν τυγχάνει καὶ πολλὰ τὰ ῥευματίζοντα ἀγγεῖα. δεῖ οὖν ξυρήσαντα τοὺς τόπους σημειοῦσθαι, ὡς μὴ κατὰ τῆς στεφανιαίας ῥαφῆς ἢ τῶν κροταφιτῶν μυῶν δοθῆναι τὴν τομήν· ἐμβάλλειν δὲ τὴν διαίρεσιν ὀλίγον ἀνωτέρω τοῦ μετώπου ἐγκαρσίαν ἀρχόμενοι ἀπὸ κροτάφου ἐπὶ κρόταφον, συνδιαιρουμένου καὶ τοῦ περικρανίου ὑμένος καὶ ξεομένου ἀκριβῶς. εἶτα σφηνίσκους τῇ τομῇ ἐντιθέντες διαμοτοῦμεν, καὶ τὰ ἀκόλουθα ποιοῦμεν, ὡς ἐπὶ τῆς ἀρτηριοτομίας προείρηται, δοκιμαζομένης τῆς ἀπὸ τοῦ οἰνελαίου ἐμβροχῆς· ἀπὸ δὲ τῆς τρίτης θεραπεία πυοποιός, ἔπειτα ἡ ἀναξηραίνειν ἐπαγγελλομένη. εἰ μὲν οὖν ἀπὸ τοῦ βρέγματος μόνου ῥευματίζοιντο οἱ ὀφθαλμοί, ἀρκούμεθα τῇ προειρημένῃ διαιρέσει. εἰ δὲ σὺν τοῖς ἄνωθεν ἀγγείοις καὶ ἐκ τῶν κροτάφων φέροιτο τὸ ῥεῦμα, μετὰ τὸ ἐμβαλεῖν τὴν εἰρημένην ἄνω διαίρεσιν, ἄλλας δύο παραληψόμεθα μηνοειδεῖς, μίαν καθ' ἑκάτερον μέρος. τὴν δὲ ἀρχὴν ἐχέτω ἥ τε ἐκ δεξιῶν καὶ ἡ ἐκ τῶν εὐωνύμων, ἀπὸ τῶν ἀρχῶν τῆς δοθείσης ἄνω ἐγκαρσίας διαιρέσεως· καταφερόμεναι δὲ ἄνωθεν ἐπὶ τοὺς κροτάφους, μέχρις ἡμίσους τοῦ μετώπου, προελθέτωσαν μηνοειδῶς ἀποστραφεῖσαι παρὰ τὰς ὀφρῦς, ὡς μὴ ἀδικεῖν τοὺς κροταφίτας μῦς. ἔστω δὲ τὸ σχῆμα τῶν τριῶν διαιρέσεων παραπλήσιον τῷ π̅ γράμματι, τὰς κεραίας ἔχοντι σεσιμωμένας εἰς τὰ ἐντὸς μέρη, τρόπῳ τοιούτῳ)‾(· δεήσει δὲ κἀνταῦθα τοὺς σφηνίσκους ταῖς τομαῖς ἐντιθέναι, καὶ τὰ ἀκόλουθα πράττειν, ὡς προείρηται. Αἰθίοπες δὲ ἐκ γενετῆς τὸ μέτωπον περικόπτειν φασίν, ὡς μὴ ῥευματίζεσθαι τοὺς ὀφθαλμούς. "εἴωθα" δέ, φησὶν ὁ Λεωνίδης, "ἐπιμίκτου τοῦ ῥευματισμοῦ ὄντος ἀπὸ τοῦ βρέγματος καὶ μετώπου, ἔτι δὲ τῶν κροταφιτῶν μυῶν παρὰ τοῖς μικροῖς κανθοῖς τοῖς πλησιάζουσι τοῖς κροτάφοις, ὑπεράνω τῶν περάτων τῶν ὀφρύων, ἐμβάλλειν ἐσχάρας διὰ καυτηρίων πυρηνοειδῶν, παραφυλασσόμενος σφόδρα μὴ ἅψασθαι τῶν κροταφιτῶν μυῶν. ἐπὶ δὲ τῶν ἀπὸ τοῦ βρέγματος ῥευμάτων ἀποσφίγγω τὸν τράχηλον καὶ σημειοῦμαι τὰ μᾶλλον κρατούμενα ἀγγεῖα ἐν τῷ μετώπῳ καὶ ταῦτα καίω προξυρήσας τὰς τρίχας."

Περὶ ὑποσπαθισμοῦ. τὸν ὑποσπαθισμὸν παραλαμβάνουσι φεύγοντες q̅δ̅

32 τὸν ὑποσπαθισμὸν κτλ. *cf. Gal. ib. (ib. 13 sqq.) Paul. VI 6 (II 49, 1 sqq.)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 2 ξυρήσαντας (-ἰς.) C χ Ð P 3 ἢ *om.* D P 4 ἐμβαλεῖν C D P Q ὀλίγω C Q 5 ἀρχομένους *(recte)* D P 7 ἐπιθέντες D P 8 ἀρτηροτομίας D 9 θεραπείας φ χ A Q *om.* P *post* πυοποιὸς (...οῖς C Q): ἔστω D P· 10 ἡ] τοῖς A Q ἐπαγγελλομένοις A Q 11 ῥευματίζονται χ ....οιεν ω διαθέσει L[a] 13 τὴν ἄνω διειρημένην A 15 *ante* δεξιῶν: τῶν χ ἐκ τῶν] ἐξ ω 18 περὶ D P ω ὀφρύας ...μύας Q 19 *ante* κεραίας: δὲ A Q 20 ἔχον ω σεσημειωμένας C A Q ω τὸ ...μέρος C ψ)‾(*Cornar.* π̅ (ΤΓ) ψ *om. cett. codd.* 21 τοὺς σφηνίσκους—τὰ ἀκόλουθα *om.* ω 23 *post* ὀφθαλμούς: Περὶ ἀγγειολογίας χ Περὶ καυτῆρος Λεωνίδους ὧπερ ἐχρῆτο D Περὶ ἀγγειολογίας διὰ καυτῆρος ἧ Λεωνίδης ἐχρῆτο *in marg.* P εἴωθα—τὰς τρίχας *(31) post* καδμίας *(p. 340, 27) transp.* C A Q ω 24 τοῦ ῥευματισμοῦ—τοῖς κροτάφοις *(26) om.* A Q 24. 25 τοῦ βρέγματος καὶ *om.* ω 25 παρὰ] ἐπὶ ω 26 τοῖς *pr. om.*, πλησιάσουσι χ ὑπὲρ τῶν ἄνω περάτων χ ἄνω C Q τῶν *alt om.* χ 27 ἐμβαλεῖν C Q 29 ὑποσφίγγει C ἀπο...γων Q σημειοῦμεν C 29. 30 μᾶλλον τὰ D P κυρτούμενα *a, exc.* L[a] καίω *om.* ω 32 *post* ὑποσπαθ.: διδασκαλία θαυμαστή C

τὴν ἀπρέπειαν τῆς ἐπὶ τοῦ περισκυφισμοῦ γιγνομένης κατὰ κύκλον μεγίστης οὐλῆς. ἡ δὲ ἀποθεραπεία ἀτελεστέρα ἐκείνης· ὅθεν δὴ μᾶλλον τῷ περισκυφισμῷ χρηστέον, τοῦ ἀναγκαιοτέρου φροντίδα ποιούμενοι.

ϙε Περὶ ἀγγειολογίας. τὴν ἀγγειολογίαν δὲ παραλαμβάνομεν ἐπὶ ἑνὸς ὀφθαλμοῦ παθόντος καὶ ἐπὶ ῥυαδικῶν καὶ ἐπὶ ἡμικρανίας. παραλαμβάνομεν δὲ τὴν ἀγγειολογίαν ἐφ᾽ ὧν κεκυρτωμένα καὶ προφανῆ τὰ κατὰ τὸ μέτωπον ἀγγεῖα τυγχάνει. σημειούμενοι δὲ μέλανι τὸ ἀγγεῖον, κουφίζομεν ἄκροις τοῖς δακτύλοις ἀμφοτέρων τῶν χειρῶν τὸ δέρμα τοῦ μετώπου ἑκατέρωθεν τοῦ σημείου καὶ δίδομεν ἐπιπολαίαν διαίρεσιν κατὰ τὸ σημεῖον κατ᾽ εὐθὺ τοῦ ἀγγείου· καὶ αὖθις πάλιν ἐπιδιαιροῦμεν κατὰ βραχὺ τοὺς ὑποκειμένους τῷ δέρματι ὑμένας, ἄχρι γυμνὸν φανῇ τὸ ἀγγεῖον. καὶ οὕτως ἄγκιστρα δύο καταπείροντες τοῖς χείλεσι τῆς διαιρέσεως κουφίζομεν καὶ ὑποξέοντες κατὰ βραχὺ τῷ σμιλίῳ ἐλευθεροῦμεν τὸ ἀγγεῖον τῶν παρακειμένων ὑμένων· καὶ ὑποβάλλοντες τυφλάγκιστρον ἀναιροῦμεν ἐκ τοῦ βάθους τὸ ἀγγεῖον καὶ οὕτως μετεωρίσαντες βελόνην ὑποβάλλομεν διπλοῦν λίνον ἔχουσαν καὶ ἀφελόντες τὴν βελόνην ἀφίεμεν τὸ λίνον. τὸ δ᾽ αὐτὸ ποιοῦμεν κἀπὶ τοῦ ἄλλου πέρατος τοῦ ἀγγείου. καὶ μετὰ ταῦτα κεντοῦμεν τὸ ἀγγεῖον, συγχωροῦντες κένωσιν γενέσθαι. ἐκκριθέντος δὲ αὐτάρκους αἵματος, ἀποδήσαντες ἀμφότερα τὰ πέρατα τοῦ ἀγγείου τοῖς ἤδη ἀποβεβλημένοις λίνοις, τὸ μέσον αὐτοῦ ἐκτέμνομεν καὶ οὕτως μοτώσαντες καὶ πτύγμα ἐξ ὕδατος ψυχροῦ ἐπιθέντες ἐπιδέσμῳ χρώμεθα· τῇ δὲ δευτέρᾳ οἰνελαίῳ ἐπιβρέχομεν καὶ τῇ τρίτῃ ἐπιλύσαντες, σύμμετρόν τε ἀπάντλησιν ποιούμενοι, διαμοτοῦμεν μελικράτῳ ἕως ἀποπέσωσι τὰ λίνα καὶ ἕως τελείας σαρκώσεως τῷ αὐτῷ χρώμεθα· ἀγαθὸν γάρ ἐστι βοήθημα. τὴν δὲ ἀπούλωσιν ποιούμεθα διὰ τοῦ μηλίνου φαρμάκου ἢ τῷ διὰ καδμίας. Ἄλλο πρὸς τὰ χρόνια ῥεύματα πάνυ δόκιμον. ἐχιδνῶν κεφαλὰς καύσας ἐν χύτρᾳ ἀκριβῶς καὶ λεάνας τὴν τέφραν μετ᾽ ἀφεψήματος θέρμων πικρῶν ἐπίχριε τὸν κρόταφον καὶ θαυμάσεις.

ϙϛ Περὶ τῶν κροταφιτῶν καταπλασμάτων καὶ ἀνακολλημάτων καὶ ἐπιχρίστων. ἐπειδὴ δὲ ἡ χορηγία τῶν ῥευμάτων ἐπὶ τοὺς ὀφθαλμοὺς

4 τὴν ἀγγειολογίαν κτλ. *cf. Gal. ib. (ib. 20 sq.) Paul. VI 5 (II 48, 5 sqq.)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 γιγνομένου L^a χ D P 2 εὐτελεστέρα A Q δὴ] δεῖ α, *exc.* D P 3 χρῆσθαι Q ἀναγκαιοτάτου D P ω ποιουμένους L^a D P 4 *post* ἀγγειολογίας: ἑρμηνεία δόκιμος C καὶ τοῦ διὰ τῶν κεφαλῶν τῶν ἐχιδνῶν ἐπιχρίσματος κροτάφων D P 5 καὶ *alt om.* D P 5. 6 παραλαμβ.— ἀγγειολογίαν *om.* D P 6 *ante* ἐφ᾽: καὶ D P ...φανὲς ω 7 τὸ] καὶ ω ἀγγεῖον ... σημειούμενον ω 10 κατὰ τὸ σημεῖον *om.* χ 12 ἄχρις οὗ D P ...πείραντες ω 14 περικειμ. ω 15 ἀναιρούμεθα D P 16 μετεωρήσαντες, η *correct.* ι *ut vid.* P ...ήσαντες ω ὑποβάλλομεν *om.* ω 17 ἀφαιροῦντες ω τὸ] τὸν φ A Q 18 καὶ ἐπὶ D P τοῦ *alt. om.* L^a κεντῶμεν D P 19 ἀγγεῖον] αἴτιον C A Q 20 τὰ πέρατα ἀμφότερα ω τοῦ ἀγγείου *post* ἀμφότ. *transp.* C 21 διαμοτώσαντες C A Q ω 22 καὶ *om.* D P 23 καὶ τῇ] τῇ δὲ ω τε *om* ω 24 ἀπάντλημα ω 25 *post* ἕως: οὗ P 26 ποιοῦμεν ω τῷ] τὸ C χ τοῦ ψ 27 Ἄλλο *om.* C χ ψ πάνυ δόκιμον *ante* πρὸς *transp.* ω 28 ἐν χύτρα καύσας D P 28. 29 ἑψήματος ω 30 *post* κροταφιτῶν (...κῶν D P): μυῶν ω 31 ἐπιχρισμάτων ω *ante* ἐπειδή: Σεβήρου C A Q ω δὲ *om.* C A D Q

ἐκ τῶν ὑπερκειμένων τόπων γίγνεται, ἡμικρανίαι γὰρ καὶ cφάκελοι καὶ ῥευματιcμοὶ τῆc κεφαλῆc ἐπαύξουcι τὰc τῶν ὀφθαλμῶν ὀδύναc, ὅθεν καὶ τούτοιc βραχέα βοηθήματα δέον ἀπονεῖμαι· χρηcτέον τοίνυν παρακολλήcει καὶ παραχρίcτοιc, ὡc εἴρηται, ἐφ' ὧν ῥευματίζονται οἱ ὀφθαλμοὶ καὶ ἐφ' ὧν διὰ τὴν τῆc κεφαλῆc ὀδύνην τὰ περὶ τὸ μέτωπον καὶ τοὺc κροτάφουc ἀγγεῖα κυρτούμενα διατείνεται. εἰ γὰρ ἡ ἐπιφορὰ μὴ ἐκ τῶν περὶ τὸ μέτωπον καὶ τοὺc κροτάφουc καὶ τὰ βλέφαρα ἀγγείων cυμβαίνει, ἀλλ' ἐκ τῶν ἐν βάθει, τὰ παρακολλήματα καὶ αἱ ἐγχρίcειc βλάπτουcι μᾶλλον· ἔτι δὲ εἰ μὲν ἄνευ φλεγμονῆc οἱ ῥευματιcμοὶ τῶν ὀφθαλμῶν γίγνονται, ἐπέχουcι τὰ παρακολλήματα. φλεγμονῆc δὲ γενομένηc, προcδιατείνει μᾶλλον τῇ θλίψει ἐκ τῶν κύκλῳ τόπων ἐπὶ τοὺc φλεγμαίνονταc διωθούμενα τὰ ὑγρά. τὰ μὲν οὖν διὰ τῆc cεμιδάλεωc καὶ ὠῶν καὶ λιβάνου cυντιθέμενα παρακολλήματα παραιτητέον. ξηραινόμενα γὰρ παρατείνει τὰ ἀγγεῖα καὶ τοὺc ῥευματιcμοὺc αὔξει. ὅcα δὲ μαλακὰ διαμένει ἢ περίταcιν οὐκ ἐργάζεται τῇ τε ψύξει καὶ τῇ cτύψει cτέλλει τὰ ἀγγεῖα, τούτοιc χρηcτέον. εἰ μὲν οὖν θερμὴ δυcκραcία τὸ βλάπτον ἐcτί, κρόκον ὄπιον cμύρναν λίβανον ἴcα λειώcαντεc ὕδατι καὶ γλοιοῦ πάχοc ποιοῦντεc ἐπιχρίομεν καὶ παρ' αὐτὰ ὕπνον ποιήcαντεc τῆc ὀδύνηc ἀπαλλάττομεν. καὶ ποτάμιοι cτρατιῶται cυλλειωθέντεc μετὰ ἀλόηc τὸ αὐτὸ ποιοῦcι· καὶ τὸ πολύγονον δὲ cὺν μαcτίχῃ λειωθὲν καὶ ἐπιχριcθὲν παρηγόρηcε· καὶ ὁ τοῦ μανδραγόρου δὲ φλοιὸc cὺν λιβανωτῷ θαυμαcτῶc ποιεῖ· καὶ μαcτίχη cὺν χυλῷ κράμβηc ἀπλύτου λειωθεῖcα ὑποξηραίνει θαυμαcτῶc καὶ ἡ τῶν χαλκέων αἰθάλη, ἣν καλοῦcιν ἡφαίcτιον, ἵcτηcιν ἠρέμα μετὰ ὠοῦ φυραθὲν καὶ ἄcβεcτοc μετ' ὠοῦ ἐπὶ τῶν ψυχρῶν δυcκραcιῶν καὶ χελιδόνων κόπροc μετὰ μαcτίχηc cὺν τῷ λευκῷ τοῦ ὠοῦ.

97 Ὅληc τῆc κεφαλῆc ἐπίχριcμα Cεβήρου. ὅλην δὲ τὴν κεφαλὴν δυcκραcίᾳ θερμῇ καταληφθεῖcαν ἀκακίᾳ cὺν οἴνῳ λειωθείcῃ χρίειν. παραιτεῖcθαι γὰρ χρὴ τὸ ὄξοc ἐπὶ τῶν τοιούτων τῆc κεφαλῆc ἐπιχριcμάτων. ποιεῖ καὶ Cαμία γῆ λειωθεῖcα μετ' ἀρνογλώccου χυλοῦ ἢ cτρύχνου.

25. 26 χελιδόνων κόπροc *cf. Gal. de rem. parab. II 2, 3 (XIV 399, 12. 14)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 ἐκ] ἐπὶ χ 2 ῥευματιcμὸc A Q τῶν *om.* ω . 3 ὅθεν *om.* D P 4 παρακολλήμαcι α, *exc.* L^a περιχρήcτοιc C χ ...χρίcτοιc ψ ῥευματίζ.—ἐφ' ὧν *post* ὀδύνην *transp.* χ Q 5 διὰ—ὀδύνην *om.* ω περὶ] παρὰ ω 6 ...τείνηται C χ ω 9 καὶ αἱ—παρακολλήματα *(10) om.* C αἱ *om.* L^a χ ω ἐπιχρίcειc α, *exc* L^a 11 τὴν θλῖψιν D P 12 διηθούμεθα D P 14 ἀγγεῖα] αἴτια D P 15 *post* δὲ: ἢ χ A ...μένοι C 16 τε] δὲ A cτύψει καὶ τῇ ψύξει C χ A Q 17 *post* ἐcτί: τὰ πάντα θερμά, ψυχρὰ δὲ ἐπωφελὲc τάδε οἷον C cμύρνην C 19 ὑπνοποιήcαντεc ω 19. 20 cτρατιῶτεc χ 20 τὸ *alt. om.* ω 21 δὲ *om.* C ἐπαρηγόρηcε C ψ 21. 22 μανδραγόρα ω 22 λιβάνω ω *ante* θαυμαcτῶc: οὕτω ω 24 ἡφαιcτιαίαν D P ἵcτηcι ῥεῦμα χ A Q ἵcτ. ῥεύματα D P ἥτιc ἠρέμα ω 24. 25 φυραθεῖcα D P ...θὲν *sc.* ἡφαίcτιον 25 *ante* ψυχρῶν: ἄγαν P 25. 26 χελιδόνοc (...ῶνοc) C ψ 26 *post* ὠοῦ: χρῶ C 27 περὶ ἐπιχριcμάτων ὅλ. τ. κεφ. C ἐπιχρίcματα χ ψ 28 ἀκακίαν .... λειωθεῖcαν C ψ ω 29 γὰρ] δὲ C A Q δὴ ω 30 *ante* Cαμία: ἡ C χ ψ χυλὸν L^a *om.* ω

ψυχροτέρας δὲ τῆς αἰτίας ὑπαρχούσης, ὥστε σαφῶς τὸν πάσχοντα τῆς ψύξεως αἰσθάνεσθαι κατὰ τὴν κεφαλὴν καὶ τὸ καταφερόμενον δάκρυον ψυχρὸν ὑπάρχειν, τὰ ἐναντία τῇ ψυχρᾷ διαθέσει βοηθήματα προσακτέον. κάρδαμον γὰρ ἅμα ᾠῷ λειώσαντες ὠφελήσαμεν ἱκανῶς καὶ τὸ τοῦ εὐζώμου σπέρμα λειώσαντες σὺν ὄξει τὸ αὐτὸ πεποιήκαμεν· καὶ θαψία δὲ σὺν νάπυϊ ὄξει λειωθεῖσα μεγάλως ὠφελεῖ· καὶ οἱ Λιβυκοὶ κοχλίαι σὺν λιβανωτῷ ἅμα ὄξει λειωθέντες πολλὴν φορὰν ῥεύματος ἀνέκοψαν καὶ ἡ τῶν χελιδόνων νοσσιὰ σὺν τῇ εὑρισκομένῃ ἐν αὐτῇ κόπρῳ σὺν ὄξει φυραθεῖσα τὰς χαλεπὰς ἡμικρανικὰς ὀδύνας ἰάσατο καὶ τὸ εὐφόρβιον σὺν ὄξει λειωθέν. χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις σμήγμασι καὶ πάσμασιν ἐπὶ τῶν χρονίως κεφαλαλγούντων.

ϙη Καταπλάσματα ὀφθαλμῶν. καταπλασσόμενα δὲ πραΰνει φλεγμονὰς ὀφθαλμῶν βάτου φύλλα ἢ ἀλσίνης ἢ τριβόλου χλωροῦ ἢ ἀνδράχνης ἢ ἀειζῴου ἢ πολυγόνου ἢ σέρεως ἢ κορίου ἢ κυπαρίσσου ἢ ὑοσκυάμου φύλλα λεῖα ἢ κολοκύνθης ξύσματα ἢ πέπονος σὰρξ ἢ κωδιῶν ἀφέψημα προσαντλούμενον καὶ αὐταὶ αἱ κωδίαι ἑφθαὶ λεῖαι καταπλασσόμεναι. χρήσιμος δὲ καὶ ἄρτος ὕδατι διάβροχος λεῖος σὺν ῥοδίνῳ ὀλίγῳ ἐπιτιθέμενος. καὶ ᾠὸν σὺν ῥοδίνῳ καὶ οἴνῳ ἀνακοπὲν καὶ πτύγματι ἐρίου ἀναληφθὲν καὶ ἐπιτιθέμενον ἢ ᾠῶν ὀπτῶν ἢ ἑφθῶν λεκίθους μετὰ κρόκου ὀλίγου καὶ ὀπίου ὅσον φασήλου μέγεθος μετὰ ἑψήματος λεάνας ἐπιτίθει. Ἄλλο Ἀσκληπιάδου πρὸς τὰς μεγίστας ἐπιφορὰς καὶ περιωδυνίας ῥόδων ξηρῶν < δ̄ ὀπίου κρόκου ἀνὰ < ᾱ ἀναλάμβανε τροχίσκους διὰ γλυκέος, ἐν ᾧ μελίλωτα ἥψηται, καὶ ἐπὶ τῆς χρείας λεάνας ἐξ αὐτῶν μετὰ γλυκέος καὶ ἄρτῳ συμμίξας κατάπλαττε. Ἄλλο πρὸς τὰς μεγίστας ὀδύνας καὶ ἀγρυπνίας. ψυλλίου σπέρμα βαλὼν ὕδατι

8—10 ἡ τῶν χελιδόνων — ἰάσατο *Gal. de rem. parab. II 2, 3 (XIV 399, 12—14) (cf. pag. 341, 25. 26)* 10 καὶ τὸ εὐφόρβιον — λειωθέν *cf. Gal. de comp. med. s. loc. II 3 (XII 597, 15—16)* τοῖς προγεγραμμ. κτλ. *p. I 96, 28 sqq.* 15. 17 πέπονος σὰρξ | ἄρτος — ἐπιτιθέμενος | 19 ᾠῶν — λεκίυς *cf. Gal. de rem. parab. I 5 (XIV 346, 7, 1—2. 4. 8—9)* 21 Ἄλλο Ἀσκληπιάδου — κατάπλαττε *(24) Gal. de comp. med. s. loc IV 8 (XII 743, 1—6)*

φ (C Lª) χ (M°) ψ (A D P Q) (ω Aᵗ) 1 αἰτίας ὑπαρχ.] δυσκρασίας οὔσης χ 2 ψύξεως] ῥίψεως ω 3 *post* ψυχρὸν: αἰσθάνεσθαι C ὑπάρχων C . . . ει Lª *om.* ω ψυχρᾷ] θερμῇ C A Q ω 4 ἅμα *supra scr. m. 1ª* D *om.* P λειώς. ᾠῷ χ ὠφελήσ. — σὺν ὄξει *(5) om.* ω 5 σὺν ὄξει λειώσ. C A Q 6 θαψίαν D P δὴ D P *ante* ὄξει: καὶ D P λειώσαντες D P ὠφελήσαμεν D P 7 κοχλίοι D P ἅμα ὄξει *om.* Lª *ante* λειωθ.: λειώσαντες ἢ μᾶλλον Lª συλλειωθέντες α, *exc.* C D P αἵματος Lª 8 οἱ . . . νοσιοὶ C 9 αὐτῷ C φυραθ.] λειωθεῖσα ω ἡμικρανίας καὶ Lª 10 τὸ *om.* C A D Q *ante* χρῶ: ὁμοίως χρῶ C 11 πάσμασι καὶ σμήγμασι D P χρονικῶν κεφαλιούντων C 12 περὶ καταπλασμάτων C ὀφθαλιόντων ω *ante* καταπλασσόμ.: Διοσκορίδου χ D . . . ρίδος A . . . ρίδους C Q ω 13 ἢ ἀνδράχνης *om.* D 15 κοδύων A Q κωδύων φ χ κυδωνίων ω 15. 16 ἀφεψήματα προσαντλούμενα ω 16 κωδύαι φ χ . . . δήαι A 17 καὶ *om.* Q λεῖος διάβροχος ω 18 πτυγμάτιον C A Q 21 ἐπιτίθει — χρείας λεάνας *(23) om.* ω Ἀσκληπιοῦ Lª . . . πιάδος *Ald.* τὰς *om.* C A Q 22 δ̄] ᾱ *Ald.* *post* ὀπίου: < ά χ A Q ἀνὰ *om.* χ A Q 23 ἕψηται C A D Q 24 συμμ.] σμήξας Q κατάπλασσε D P 25 τὰς *om.* Lª βαλὼν *post* ζέοντι *transp.* C A Q λαβὼν D P

ζέοντι, ἔα βραχὺ καὶ ὅταν διαλυθῇ ἀνατάρασσε ὡς ἐμπλαστρῶδες γενέσθαι καὶ κατάπλασσε τὸν ὀφθαλμόν· ὕπνον γὰρ ποιεῖ ἡδύν. Ἄλλο πρὸς τὰς ὀδύνας καὶ τὰς προπτώσεις ἐξόχως ποιοῦν. κωδίας μήκωνος ἑψήσας ἐν ὑδρομέλιτι, αὐτὰς μὲν ἐκθλίψας ῥῖπτε· τῷ δὲ ὑδρομέλιτι πυρίνην ἢ κριθίνην γῦριν μιγνὺς κατάπλασσε, ὀλίγον ῥόδινον ἐπιβαλὼν ἢ πάλην ἀλφίτου ἀντὶ τῆς γύρεως ἢ ἄρτον καθαρόν. τὰ δὲ καταπλάσματα πάντως καταλαμβανέτω τὸν κρόταφον καὶ τὴν ὀφρὺν σὺν τῷ μετώπῳ. μόνον δὲ τὸ ἄνω βλέφαρον καταπλάττομεν, οὐ παραθλίβοντες τὸ κάτω, εἰς τὸ δύνασθαι παρανοιγόμενον τὸν ὀφθαλμὸν ἐκκρίνειν τὸ ἐπιφερόμενον δάκρυον. συνεχῶς δὲ ἀλλαττέσθω, καὶ μάλιστα θέρους, ἵνα μὴ ἐκπυρούμενα παροξύνῃ· τῇ δὲ ἁφῇ ἄκρα χλιαρὰ προστιθέσθως, χειμῶνος δὲ προσηνῶς θερμά.

Ἐπίχριστα ὀφθαλμῶν. τὰ δὲ βλέφαρα ἔξωθεν περιχρίειν χρὴ ἐν ϙθ ταῖς περιωδυνίαις, μάλιστα μὲν τῷ Νείλου διαρρόδῳ ἤ τινι τῶν διὰ κρόκου ἀνωδύνων κολλυρίων, ἢ κρόκῳ λείῳ μετὰ μηκωνίου βραχέος σὺν γάλακτι ἢ ὑοσκυάμου χυλίσματι. Ἄλλο ἐπίχριστον πρὸς τὰς περιωδυνίας. ἀλόης λυκίου Ἰνδικοῦ ῥόδων χλωρῶν κρόκου ὀπίου σμύρνης, ἑκάστου τὸ ἴσον οἴνῳ λεάνας, ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως γλυκεῖ διαλύων ἐπίχριε τοὺς ὀφθαλμούς. Ἄλλο ἐπίχριστον ἀποκρουστικὸν κάλλιστον. ἐλαίας φύλλων ξηρῶν καὶ κεκομμένων καὶ σεσησμένων λι ᾱ σμύρνης ℥ β̄ γλαυκίων ℥ β̄ κόμμεως ℥ ϛ̄ ὕδωρ. Ἐπίχριστον δακνηρὸν παραχρῆμα ἐπέχει τὸ ῥεῦμα, ποιεῖ δὲ καὶ πρὸς ψωροφθαλμίας. χαλκοῦ κόμμεως ἀνὰ < δ̄ πεπέρεως ὀπίου ἀνὰ < β̄ ὕδωρ· ἔξωθεν ἐπιχριόμενον ἀνακόπτει μεγίστας ἐπιφοράς· φυλάττεσθαι δὲ χρὴ τὰς εἰς τὸν ὀφθαλμὸν παρεμπτώσεις τοῦ φαρ-

4. 5 τῷ .... ὑδρομέλιτι ... κριθίνην γῦριν *6* ἀλφίτου ... ἄρτον καθαρὸν *cf. Gal. de rem. parab. ib. (ib. 346, 5—6, 1, 10)* 16—19 Ἄλλο—ὀφθαλμούς | 22—*p. 345, 8* Ἐπίχριστον—χρώμενον *Gal. de comp. med. s. l. ib. (ib. 10—14, 744, 12—745, 2) IV 6 (XII 726, 1—9, 727, 6—8, 11—13, 16—18, 728, 2—7, 729, 2, 4—10, 18—730, 2)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 βραχῆναι D P ἀνατάρασσε] ἀνάπλασσε L^a 2 γὰρ *om.* L^a χ *post* Ἄλλο: Δημοσθένους ω 3 πρὸς τὰς—ποιοῦν *om.* L^a τὰς *alt. om.* A ω ἐξόχως *om.* A Q 4 τῷ δὲ] ἐν δὲ τῷ D P 5 γύρην φχ...ίνην ω ῥόδινον ἐπιβ. *om.* χ 6 πάλην *vel* ...ιν *codd. om.* ω τῆς *om.* D P 7 πάντα A Q 10 ἀλ(λ)α(σ)σέσθω α, *exc.* L^a 11 ἄκρως D P 12 θερμῇ L^a χ A D P 13 Ἐπιχρίσματα D P ω ἐπιχρίειν D P χρὴ] δεῖ (δὴ) C χ A D Q ω *ante* ἐν: ὥσπερ ω 14 *ante* μάλιστα: καὶ C 15 κρόκων D P μηκων.] κυμίνου C 16 περίχριστον ω 16. 17 *post* περιωδ.: Ἀσκληπιάδου C χ Q 17 *ante* σμύρνης: ζιγγιβέρεως L^a 18 λειώσας C χ A Q ω 19 χρίσεως D ω *post* ὀφθαλμοὺς: καὶ τοὺς κροτάφους C A Q ω *(Gal.)* 20 ἐλαίας] μηλέας (*om.* C) α, *exc.* L^a καὶ *om.* α, *exc.* L^a 21 κεκαυμένων χ A ω ℥ β̄ *pr. om. sed post* γλαυκίου *(sic)*: ἀνὰ C β̄ *pr.*] α A Q ω γκαύκιον *(sic)* ℥ β̄ καὶ *ante* ὕδωρ *transp.* D P ℥ β̄ *alt. om.* ω κόμμεος D P 22 *post* ὕδωρ: τὸ ἀρκοῦν C *ante* ἐπίχριστον (...χρισμα ω): ἄλλο χ D ἄλλο Ἀσκληπιάδου C A Q Ἀσκληπιάδου ω ἐπέχεον χ D P ω 23 *post* χαλκοῦ: κρόκου C κόμμεως—ἀνὰ < β̄ *(24)*] < δ̄ κρόκου < δ̄ (κρόκου < δ̄ *om.* D) πεπέρεως < β̄ ὀπίου < β̄ (< β̄ *om.* D P β̄] ᾱ ω) κόμμεως (κόμμεος ἀνὰ D P) < δ̄ α *(Gal.)*, *exc.* L^a 24 *ante* ὕδωρ: καὶ D P *ante* ἔξωθεν: τοῦτο D P 25 χρὴ *om.* ω τοῦ φαρμάκου] τῶν βλεφάρων C

μάκου. Ἄλλο τὸ φλόγινον ἐπιγραφόμενον. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου < ιβ̄ κρόκου < ϛ̄ πεπέρεως < δ̄ cμύρνης < γ̄ ὀπίου < γ̄ κόμμεως < ιβ̄, οἴνῳ λείου παλαιῷ εὐώδει cτύφοντι.

ρ̄ Περὶ ξηροκολλυρίων. τῶν ξηρῶν φαρμάκων ἔνια κωλύει cυcτῆναί τι πάθος ἐν ὀφθαλμοῖc, τὰc ἐπιφορὰc κωλύοντα δηλονότι τῶν ὑγρῶν, ἐξ ὧν εἰώθαcιν οἱ ὀφθαλμοὶ κακοῦcθαι. Τὸ διὰ τοῦ Φρυγίου λίθου· κάλλιcτον δὲ αὐτῶν ἐφάνη τῇ πείρᾳ κριθὲν τὸ ὑπ' ἐμοῦ, φηcὶν ὁ Γαληνόc, cυντεθέν, καὶ διὰ τοῦτο παρὰ πολλοῖc ὂν ἐν χρήcει cχεδὸν ἐν ἅπαcι τοῖc ἔθνεcιν, ὧν ἄρχουcιν οἱ Ῥωμαῖοι. καὶ πρῶτόν γε αὐτοῦ τὴν καταcκευὴν γράψω, βέλτιον ἡγούμενοc εἶναι τὸ μηδόλωc ἁλίcκεcθαι πάθεcι, φθάcαντα παθεῖν τοῦ θεραπεύεcθαι. χρηcιμώτατον δέ ἐcτι καὶ ὑγιαίνουcιν ὀφθαλμοῖc τὸ φάρμακον. καίεται δὲ λίθοc Φρύγιοc καταθραυcθεὶc εἰc κυαμιαῖα μεγέθη. εἰc χυτρίδιον δὲ καινὸν αὐτὸν βάλλοντεc, εἶτα πηλώcαντεc ἔξωθεν καὶ ἐπιτιθέντεc πῶμα τρῆμα ἔχον καὶ χρίcαντεc τίθεμεν ἐπ' ἀνθράκων. ὅταν δὲ ὁ λίθοc διάπυροc γένηται, τηνικαῦτα χρὴ τὸ χυτρίδιον μετακενῶcαι εἰc ἕτερον ἀγγεῖον καθαρὸν καὶ cβεννύειν βουτύρῳ προcφάτῳ. cβεcθέντοc δὲ πάλιν εἰc τὸ αὐτὸ χυτρίδιον ἐμβάλλοντεc ἐπιτίθεμεν τοῖc ἄνθραξι καὶ ῥιπίζομεν. πυρωθέντοc δὲ τοῦ λίθου, ὅταν καθαρὸν θεαcώμεθα τὸν ἀναφερόμενον ἀτμόν, πάλιν ἐκκενώcαντεc, cβέννυμεν οἴνῳ παλαιῷ κιρρῷ εὐώδει· εἶτα πάλιν ἐμβάλλοντεc τὸν λίθον εἰc τὸ χυτρίδιον, ἐκ τρίτου καίομεν καὶ cβέννυμεν αὖθιc μέλιτι Ἀττικῷ μὴ πολλῷ. ἔcχατον δὲ τῷ μέλιτι cβέννυται, ἵνα ἡ τοῦ μέλιτοc ποιότηc ἐμμείνῃ τῷ λίθῳ. ἔcτω δέ cοι προλελειωμένα πλείοcιν ἡμέραιc ἀκριβῶc, ὡc χνοώδη γεγονέναι τὰ ὑπογεγραμμένα· χαλκοῦ κεκαυμένου πεπέρεωc λευκοῦ φύλλου ⟨μαλαβάθρου⟩ ἀνὰ Γ° ᾱ cτίμμεωc < ιβ̄· τούτοιc μίγνυε τοῦ κεκαυμένου λίθου καὶ κεκομμένου καὶ cεcηcμένου καὶ λελειωμένου λι ᾱ· κἄπειδὰν ἅμα πάντα καλῶc

11—*p. 345, 8* χρηcιμώτ.—χρώμενον *Paul. VII, 16, 52 (II, 345, 6—18)*

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t)   1 ἀναγραφόμενον οἷον C   1. 2 καὶ πεπλυμ. *om* L^a χ D   2 < ιβ̄] κώμεωc ἀνὰ οὐλκὰc ιβ̄ C   ιβ̄] ᾱ ω   ϛ̄] ιϛ̄ C   δ̄ A Q   δ̄] ϛ̄ A Q   < γ̄ *pr. om. sed post* ὀπίου: ἀνὰ C   3 κόμ. < ιβ̄ *om.* C   κόμμεοc *(et alibi)* D P   *ante* cτύφοντι: καὶ D P   4 *post* ξηροκολλ.: διδαcκαλία θαυμαcτή C   Γαληνοῦ ω   6 ἐξ ὧν *om* A   Τὸ διὰ—λίθου *om.* C A Q ω   7 κριθὲν *om* χ   τὸ *om.* C A Q   φηcὶν *post* δὲ *transp.* χ   7. 8 ὁ Γαληνὸc *om.* χ   9 πρὸ τοῦ φ χ A Q   πρώτου D P ω *correxi ex Gal.*   γε] τε ω   10 γράφειν L^a ω   γράφω C χ ψ *correxi ex Gal.*   11 φθάcαντοc L^a τοῦ *ante* φθάc. α, *transposui (cf. Gal.* τοῦ θεραπεύεcθαι καλῶc τὰ γενέcθαι φθάcαντα)   12 *post* φάρμακον: τὸ διὰ τοῦ φρυγίου λίθου. Cκευαcία τοῦ διὰ τοῦ φρυγίου λίθου C   13 ...μιναῖα L^a κυαμέα χ ...αῖον ω   μέγεθοc ω   αὐτὰ D P   βαλόντεc C ψ   14 πιλώcαντεc L^a ἐπιθέντεc D P   πόμα τι C   *post* τρῆμα (τρήματα χ τριμάτιον C ...α A Q): τι ω   ἔχοντα C χ   16 μὲν κενώcαc C μὲν κενῶcαι A Q   18 ἐμβαλόντεc C A D Q   20 cβεννύομεν C Q   20. 21 ἐμβαλόντεc D   22 *post* ἵνα: μὴ ω   23 ἡ *ante* ποιότηc *transp.* C   ἐμμένῃ D P   25 *post* κεκαυμ.: Γ° ᾱ χ A ω   *post* λευκοῦ: Γ° β̄ A ω   Γ° ᾱ Q   μαλαβ. *add. ex Gal.*   ἀνὰ *om.* A Q ω   25. 26 cτίμεωc < ιβ̄ πεπέρεωc λευκοῦ Γ° ᾱ φύλλου Γ° α χ   καὶ κεκομμ. *om.* C A Q   καὶ *om.* χ D P   27 καὶ cεcημ. *om.* A C   πάντα *om.* C

ἐνωθῇ καὶ μέλλης ἀναιρεῖcθαι τὸ φάρμακον, ἐπίβαλλε ὀποβαλcάμου πρωτείου < ιβ̅. λεπτὸν δὲ καὶ διαφανὲc ἔcτω κατὰ τὴν cύcταcιν τὸ ὀποβάλcαμον, μὴ παχύ· κωλύει γὰρ τὸ πάχοc ξηρὸν γενέcθαι τὸ φάρμακον. χρῆcθαι δὲ αὐτῷ δεῖ κατὰ τῶν βλεφάρων μόνων, ἐπιφέροντα τὴν μήλην χωρὶc τοῦ ἅψαcθαι τῶν χιτώνων τοῦ ὀφθαλμοῦ. κελεύειν δὲ ἀνεῳγμένα ἔχειν τὰ βλέφαρα τὸν ὑπαλειφόμενον ἄνθρωπον. τοῦτο μὲν οὖν ὑπ' ἐμοῦ cυνετέθη, οὐκ ἐπιτρέπον ὀφθαλμιάcαι τὸν ὀφθαλμὸν τὸν καλῶc αὐτῷ χρώμενον. Cτίμμι καλλιβλέφαρον προφυλακτικόν, νηπίοιc μάλιcτα χρήcιμον. cτίμμεωc < ιϛ̅ μολύβδου κεκαυμένου καὶ πεπλυμένου < η̅ λεπίδοc κρόκου ῥόδων ἄνθουc cμύρνηc ναρδοcτάχυοc λιβάνου πεπέρεωc ἀνὰ < α̅ φοινικοβαλάνων ὀcτᾶ ι̅, ἅπαντα βαλὼν εἰc ἄγγοc κεραμεοῦν ὄπτα φιλοπόνωc, ἔπειτα κόψαc cήcαc καὶ ἐπιμελῶc ἐν θυίᾳ λεάναc ἐπίβαλλε ὀποβαλcάμου πρωτείου λεπτοτέρου τῇ cυcτάcει κοχλιάρια δύο, καὶ λεάναc καὶ ξηράναc χρῶ. Ἄλλο ποιοῦν πρὸc εὐμορφίαν βλεφάρων. cτίμμεωc Γο γ̅ πορφύραc ἀληθινῆc κεκαυμένηc Γο β̅ ναρδοcτάχυοc Γο α̅ 'χρῶ. Ἄλλο ποιοῦν πρὸc εὐπρέπειαν, μετρίωc ἀποξηραῖνον κανθοὺc ἡραιωμένουc καὶ διύγρουc. κέρατοc ἐλαφείου κεκαυμένου πορφύραc κεκαυμένηc ἀνὰ Γο γ̅ φύλλου cκύλματοc Γο α̅, χρῶ. Cτίμμι κάλλιcτον πρὸc ῥεῦμα λεπτὸν καὶ διαβεβρωμένουc κανθούc, τρέφει δὲ καὶ τοὺc κατηcθενηκόταc ὀφθαλμούc· δεδοκιμαcμένον ἐπὶ πολλῶν παθῶν καὶ παραδόξωc ἀπαντῆcαν ἐπὶ πάντων, παρέχει δὲ καὶ εὐπρέπειαν· cτιμμιζόμενον γὰρ ἐπὶ πολὺν χρόνον ἐν τοῖc κανθοῖc παραμένει. ἔχει δὲ οὕτωc· πορφύραc cαρκὸc πεπλυμένηc < δ̅ ἀνεμώνηc χυλοῦ < ϛ̅ cτίμμεωc κοπτητοῦ κεκαυμένου καὶ ἐcβεcμένου οἴνῳ < γ̅ ἀκακίαc Γο β̅ ἀκτῆc χυλοῦ τοῦ καρποῦ < γ̅ ἀκάνθηc Αἰγυπτίαc κριθῶν κεκαυμένων κηκίδων μελανῶν ἀνὰ < β̅ cυκαμίνων τῶν ἐκ τῆc βάτου ξηρῶν κεκαυμένων κόcτου κεκαυμένου

8—14 Cτίμμι—χρῶ *Gal. ib. IV 7 (XII 734, 12—735, 1)*

φ (CL^a) χ (M^o) ψ (ADPQ) ω (A^t) 1 μέλλειc χADQω 2 δὲ] μέντοι DP 4 δεῖ] χρὴ χ *om.* A μόνον CχAQ *(Gal.)* 4. 5 ...φέρονταc DP 6 κελεύει CQ τῶν ὑπαλειφομένων ἀνθρώπων χ 8 τὸν ὀφθ. *om.* Q καλὴ βλεφάρων L^a καλὴ βλέφαρον χ 9 μάλιcτα *om.* L^a ιϛ̅] ιβ̅ AQ 10 κεκαυμ. κ. πεπλυμ. *om.* P καὶ *om.* L^a καὶ πεπλυμ. *om.* χD πεπλυμ.] πεφογμένου C η̅] α̅ AQ λεπίδοc κρόκου *om.* DP *post* λεπίδοc: < α̅ α, *exc.* L^a κρόκου *om.* ω *post* κρόκου: < α̅ χAQ 11 α̅] β̅ DP φοινίκων βαλάνων CχDω ι̅ *om.* P 12 πάντα CQ 13 cήcαc—θυίᾳ *om.* ω 15 Ἄλλο—Γο α̅ χρῶ *(16)* *om* ω *post* Ἄλλο: Cεβήρου CAQ *post* εὐμορφίαν: ὀφθαλμῶν καὶ CAQ 16 β̅] α̅ DP 16. 17 εὐμορφίαν χ ὑποξηραῖνον α, *exc.* L^a 18 *ante* πορφ.: καὶ ω κεκαυμ. *om.* χ ἀνὰ Γο γ̅ *om.* D 19 *ante* χρῶ: cκευάcαc C 19. 20 ...βεβρωμένον, *om.* κανθοὺc L^a ...βεβρωμένουc, ουc *ex corr.*, *om.* κανθοὺc χ *post* δὲ: τὸ τοιοῦτον χω 21 ἀπαντήcειν L^a ...τῆcον (ω *supra*) χ ...τῆcον Cω κάλλιcτον AQ 22. 23 πολ. χρ.] χρόνον ἱκανὸν α, *exc.* L^a 24 πεπλυμ.] πεφρυγμένηc α, *exc.* L^a χυλὸν φAQω *ante* cτίμμεωc: καὶ ω κοπτικοῦ (= C) κεκαυμένηc κ. ἐcβεcμένηc AQ 25 ἀκακίαc (ἀνὰ DP) Γο β̅ *ante* cυκαμίνων *(27)* *transp.* α, *exc.* L^a 26 *post* Αἰγυπτίαc *et* κεκαυμένων: < β̅ χAQω κηκίδων—< β̅ *om.* P ἀνὰ *om.* α, *exc.* L^a < β̅ *om.* D 27 ξηρῶν *post* cυκαμ. *transp.* DP *post* κεκαυμένων < γ̅ AχQω κεκαυμένου] ὁμοίωc ω *om.* L^a

ἀνὰ < γ̄ φύλλου κεκαυμένου < δ̄, λείου ἕκαστον ἰδίᾳ καὶ ἅμα ἀποτίθει ἐν ἀγγείῳ μολυβδίνῳ καὶ χρῶ Cτίμμι καλλιβλέφαρον. cτίμμεως κεκαυμένου καὶ πεπλυμένου ὀcτέων φοινίκων ἀνὰ < η̄ χαλκάνθου < β̄ νάρδου Κελτικῆς ὁμοίως, χρῶ· πεπείραται γάρ. Περίχριcτον διὰ cάνδυκος πρὸς τὰς ψύξεις καὶ τὰς παραλύcεις τῶν βλεφάρων, οἷαι cυμβαίνουcι καὶ ἐπὶ τῶν κυνικῶν cπωμένων· ποιεῖ δὲ καὶ πρὸς ὀξυδορκίαν πρὸ βαλανείου περιχριόμενον cάνδυκος < ιδ̄ κροκομάγματος < ϛ̄ πεπέρεως < δ̄ κόμμεως < ϛ̄ ὕδωρ· ἔνιοι δὲ προcβάλλουcι καὶ ὀποβαλcάμου < δ̄ καὶ ἐγχρίουcι. Πρὸς ἀμβλυωπίαν ξηρὸν τοῦ Δανοίου, ὅπερ ὡς ἐπὶ θυῶν ἐπράθη τῇ βαcιλευούcῃ πόλει εἰς νομίcματα ρκ̄, μετὰ πολλοῦ πόνου καὶ καμάτου· ἔcτι δὲ προφυλακτικὸν πάcης ὀφθαλμίας cτιμμιζομένων τῶν βλεφάρων. χαλκοῦ κεκαυμένου Ⳝ α̅ ὄνυχας ἀρωματικοὺς μεγάλους κεκαυμένους τρεῖς πεπέρεως κόκκους κα̅ κριθῶν κεκαυμένων κα̅ κόκκους φοινίκων ὀcτᾶ κεκαυμένα θ̄ χαλκομυίας κα̅ φύλλου γράμματα θ̄ δρακοντίου αἵματος Γρ θ̄, τὸν χαλκὸν λάμβανε τὸν ξεόμενον ἀπὸ τῶν χαλκωμάτων καὶ βαλὼν εἰς ἄγγος ὀcτράκινον καῖε ἐπ᾿ ἀνθράκων ἐπὶ ἡμέρας γ̄, καθ᾿ ἑκάcτην ἡμέραν τρίτον cβεννύων αὐτὸν οὔρῳ παιδὸς ἀφθόρου, ὕcτερον δὲ ὕδατι γλυκεῖ· τὰς δὲ χαλκομυίας λάμβανε ἐκ τῶν τόπων, ἔνθα βόες διατρίβουcιν· εἰ δὲ μή, ἐκ τῶν νεκριμαίων ζῴων. Ἄλλο καλλιβλέφαρον φάρμακον ἐπιτετευγ-

20—*p. 347, 4* Ἄλλο καλλιβλέφαρον—χρῶ *Gal. ib. (ib. 734, 3—8)*

φ (CL^a) χ (M^o) ψ (ADPQ) ω (A^t) 1 ἀνὰ *om.* AχQω γ̄] β̄ ω κεκαυμένου] ὁμοίως ω *om.* DP λείοις χ λειώcας AQ 1. 2 ἀποτίθου χDPQ 2 *ante* Cτίμμι: ἄλλο D, *in marg.* ἄλλο cτίμμι καλλιβλέφαρον P cτίμμι—πεπείραται γάρ *(4) post* χρῶ *(p. 345, 16)* ω καλὴ πρὸς βλέφαρον χ *post* cτίμμεως: ὡς ω 3 κεκαυμένης (= C) κ πεπλυμένης P καὶ *om.* L^{a}χ *post* πεπλυμ. (πεφρυγμ. C): < η̄ CχAQω φοινίκων *om.* ω *post* φοινίκων: κεκαυμένων CχAQ ὁμοίως ω ἀνὰ *om.* CχAQω η̄] δ CχQ < β̄ *om. sed post* Κελτικῆς *(4)*: ἀνὰ CDP 4 ὁμοίως] < β̄ α, *exc.* L^a Περίχριcτον—πρὸς ἀμβλυωπίαν *(9) post* cτύφοντι *(344, 3) transp.* ω *ante* περιχρ. θαυμαcτὸν C περίχριcτος φ παράχρηcτοι D ...χριcτοι P 6 κυνικῶς CχD κοιν. AQ ποιοῦcι DP 7 ἐπιχριόμενον χ ...μεναι DP *post* περιχριόμ.: ἔχει δὲ οὕτως C ιδ̄] δ̄ C < ϛ̄ *om., 8* πεπ. οὐλκ. δ̄ *post* ϛ̄ *transp., post* κόμεως: ἀνὰ C 8 πεπέρεως] κρόκου ω *ante* ὕδωρ: καὶ DP *post*: τὸ ἀρκοῦν C 9 ἀμβλυωπίας L^a *ante* ξηρόν: τὸ διὰ τῶν μυίων ἤγουν τῶν χαλκομυίων C ἄλλο τὸ διὰ τῶν χαλκομυιῶν AQ Δαναοῦ DPQ *post* Δανοίου: ἄλλο ω 10 ὡς ἐπὶ θυῶν *om.* ω *(del ?) post* ἐπράθη: ἐν CQ πόλει *om.* L^a εἰς νομίcματα] ν̇ν̇ L^a π̄ Pω νομιcμάτων D *om. sed spat. vac.* χ ρβ̄ ω 11 πόνου καὶ *om.* α, *exc.* L^a 12 cτι(μ)μιζόμενον L^{a}AQ τοῖς βλεφάροις AQ *post* βλεφ.: ἔχει δὲ οὕτως C 13 μεγάλους *om.* L^a κεκαυμ. *om.* ω *ante* τρεῖς: ο̅ΓΓ́ AQ ὁμοίως ω τρεῖς] ϛ̄ DP κόκκοι L^{a}χPω κα̅ *ante* κόκκους L^a κριθῶν—χαλκομυίας κα̅ *(14) om.* A κριθῶν—κόκκους *(14) om.* ω 14 κόκκους (...οι L^a) κα̅ χDP κόκκους *om.* CQ κεκαυμένων PQ 15 γραμμάρια L^{a}DP γράμμ. θ̄ *om. sed post* αἵμ.: ἀνὰ C δρακοντίου—θ̄ *om.* ω θ̄ *alt.*] δ̄ χ 16. 17 καῖε ἐπ᾿ ἀνθράκων] καὶ cτήcας ἐπ᾿ ἀνθράκων (καῖε *add. Ald.*) ω 17 ἐπὶ *om.* Cψ 19 τῶν *om.* α, *exc.* L^a εἰ δὲ μὴ—ζῴων *om.* ω 20 νεκρῶν AQ *post* ζῴων: ἄλλο (*om.* C) ξηροκολλύριον δόκιμον ὀξυδερκὲς ἀνεπηρέαcτον, φυλάττον τοὺς ὀφθαλμούς. cτίμμεως γράμματα δ̄

μένον ποιεῖ καὶ πρὸς κεχρονισμένας ὀφθαλμίας. στίμμεως κεκαυμένου καὶ οἴνῳ ἐσβεσμένου < γ̅ μολύβδου κεκαυμένου καὶ πεπλυμένου < η̅ λιβάνου αἰθάλης ναρδοστάχυος σμύρνης πεφρυγμένης κρόκου πεφρυγμένου λεπίδος χαλκοῦ ἀνὰ < α̅, λείοις χρῶ. Ξηρὸν πρὸς θερμοτέρους κανθοὺς καὶ ἐρευθαινομένους καὶ δριμυττομένους Σεβήρου. κρόκου < δ̅ καδμίας πεπλυμένης < β̅ ψιμμυθίου < α̅ χρῶ. Σεβηριανοῦ. ψιμμυθίου Γ° η̅ καδμίας Γ° δ̅ ἁλῶν ἀμμωνιακῶν Γ° β̅ πεπέρεως Γ° β̅ φύλλων Γ° δ̅. Ἄλλο καλλιβλέφαρον ποιοῦν πρὸς ξηροφθαλμίαν· ἰᾶται δὲ καὶ πᾶσαν ὀφθαλμίαν μετὰ τὸ παρηγορῆσαι τὰς ὀδύνας ἐγχριόμενον. χαλκοῦ κεκαυμένου λειοτάτου Γ° β̅ κεδρίας καθαρᾶς Γ° δ̅, λεάνας τὸν χαλκὸν μετὰ τῆς κεδρίας, ὡς γλοιῶδες γενέσθαι, βάλλε εἰς κάλαμον καὶ φιμώσας πήλωσον ὅλον τὸν κάλαμον ἔξωθεν καὶ κρύβε εἰς ἄνθρακας ἐν κλιβάνῳ καὶ ἔα νυχθήμερον καὶ ἐξελὼν λείου καὶ ἐπίβαλλε τοῦ πηλαρίου κολλυρίου < κ̅δ̅ καὶ κρόκου < β̅ καὶ φύλλου ὁμοίως χρῶ. Ἄλλο ξηροκολλύριον δόκιμον ἀναξηραντικὸν ῥευμάτων πολλῶν καὶ ὀξυωπίαν παρέχον· λεπτύνει δὲ καὶ τὰς οὐλὰς κάλλιστα. ἰοῦ καδμίας χαλκίτεως στίμμεως ἀνὰ Γ° α̅ μέλιτος ἴσον, μᾶλλον δὲ σύμμετρον, λειότατα ποιήσας καὶ φυράσας τῷ μέλιτι, βαλὼν εἰς χύτραν καὶ πωμάσας πώματι τρήματα ἔχοντι καὶ χρίσας, καῖε ἄχρις ἂν λευκὸς ἀτμὸς ἀνέλθῃ, ἔπειτα λαβὼν καὶ λεάνας χρῶ. εἰ δὲ βούλει αὐτὸ μικρὸν ὑποδάκνειν, πρόσβαλε μετὰ τὴν καῦσιν πεπέρεως κόκκους κ̅ε̅. Ἄλλο ξηρὸν πάνυ καλόν. καδμίας μέλιτος ἁλὸς ἀμμωνιακοῦ ναρδοστάχυος ἀνὰ < β̅ χαλ-

6—8 Σεβηριανοῦ — Γ° δ̅ *Gal. ib. (ib. 734, 10—12)*

(γρ. δ̅ *om.* C) αἰθάλης πορφύρας ἀληθινῆς γράμματα δ̅ (γρ. δ̅ *om.* C) ῥόδων ξηρῶν (ἀνὰ C) γράμματα δ̅ κρόκου γράμμ. γ̅ (γρ γ̅ *om.* C) φύλλου γράμμ. γ̅ (γρ. γ̅ *om.* C) ναρδοστάχυος (ἀνὰ C) γράμμ. γ̅, λείοις χρῶ. τὴν δὲ αἰθάλην ποίει οὕτως· πορφύραν ἐρέαν βάψας κεδρίᾳ ἅψον καὶ σκέπασον λεκανιδίω λειοτάτω ἢ χαλκῷ καὶ τὴν συλλεγομένην αἰθάλην συλλέξας πτερῷ χρῶ *(p. 348, 21—349, 2)* CAQ Ἄλλο καλλιβλέφαρον — φύλλον Γ° δ̅ *(347, 8) om.* φχψ κάλλιστον βλεφαρ΄ ω καλλιβλέφ. *Ald.* ἐπιτεταμένον ω ...τετευγμ. *Ald.*

φ (C Lᵃ) χ (M°) ψ (ADPQ) ω (Aᵗ) 1 κεκαυμ. *Ald.* ὁμοίως ω 3 *ante* κρόκου: καὶ ω *om. Ald.* 3.4 πεφρυγμ. *Ald.* ὁμοίως ω 7 πεπέρεως Γ° β̅ *Ald. om.* ω 8 πρὸς *om.* D ξηροφθαλμίας CχAQ 10 λειοτ. *ante* κεκαυμ. *transp.* C β̅] α̅ ω τὸν *om.* ω 11 γλοιώδη Dω βάλε ADQω 12 πίλωσον Lᵃχ τὸν κάλαμον ὅλον D ἔξωθεν *ante* ὅλον *transp.* CχQ ἄνθρακα ω 13 ἐπίβαλε χADQω 14 κολλύρια α, *exc.* ω *om.* DP < *pr. om.* α, *exc.* P *p st* κ̅δ̅: καὶ ἐξελὼν ἐπίβαλλε, ὡς εἴρηται C ὁμοίως] γράμματα β̅ CχAQ ...άρια β̅ DPω 15 ξηρὸν κολλύριον DP 16 κάλλ.] τάχιστα· ἔχει δὲ C *post* ἰοῦ, καδμίας, χαλκίτ.: Γ° α̅ χ *id. post* ἰοῦ *et* καδμίας ω *id. post* ἰοῦ Q καδμίας *om.* Q 17 ἀνὰ *om.* χ μέλιτι DP ἴσον μᾶλλον δὲ *om.* α, *exc.* Lᵃ συμμέτρω DP 17.18 λειότητα φχ *om.* ω 18 καὶ φυράσας — χύτραν *om.* D τῷ μέλιτι *om.* ω 19 τρίματι Q καῦσον καλῶς ω ἄχρις — λαβὼν *om.* ω λευκὸς] λεπτὸς χω 20 λαβὼν] βαλὼν Lᵃ ἐκλεάνας ω 21 πρόβαλε Lᵃ πρόσβαλλε CχP *ante* πεπέρεως: καὶ Cχψ *ante* κόκκους: ὅσον C ξηραντικὸν DP 22 *post* καδμίας: Γ° β̅ χAQ *ante* μέλιτος: καὶ ω *post* μέλιτος: (ἀνὰ CDPω) Γ° β̅ CχAQ *post* ἀμμωνιακοῦ: < β̅ α, *exc.* Lᵃ ναρδοστάχυος — ἀνὰ < δ̅ *(348, 1)*] πεπέρεως < (γράμματα CA) δ̅ ναρδοστάχυος < β̅ (χαλκοῦ κεκαυμένου

κοῦ κεκαυμένου πεπέρεως ἀνὰ < δ̄, τὴν καδμίαν λειοτάτην φυράσας τῷ μέλιτι καῦσον καὶ σβέννυε οἴνῳ αὐστηρῷ καὶ λεάνας σὺν τοῖς λοιποῖς χρῶ. ἔστι γὰρ ἀποκρουστικόν· ποιεῖ καὶ πρὸς τὰ τραχέα βλέφαρα. Ξηρὸν πρὸς τοὺς δακρύοντας ὀφθαλμοὺς καὶ τοὺς ἀπὸ μακρᾶς ὀφθαλμίας μὴ καλῶς ὑγιασθέντας· ἔστι δὲ καὶ προκαταληπτικόν. καδμίας χαλκοῦ κεκαυμένου ἀνὰ < η̄ στίμμεως < δ̄· τὴν καδμίαν μετὰ τοῦ χαλκοῦ ἀδρομερῶς κόψας καὶ μέλιτι φυράσας καῦσον ἐν χυτριδίῳ, καθὼς προείρηται, καὶ σβέσον οἴνῳ εὐώδει παλαιῷ καὶ ξηράνας μίξον τὸ στίμμι ὠπτημένον ἐν χύτρᾳ κατ' ἰδίαν καὶ κόψας σήσας λειώσας χνοωδέστατα χρῶ· τινὲς προσμίσγουσι καὶ Ἀρμενιακοῦ < β̄. Ξηρὸν τὸ κροκῶδες προκαταληπτικόν. ἀλόης κρόκου γλαυκίων σαρκοκόλλης ἀνὰ Γο ᾱ, λειότατα ποιήσας χρῶ. Ἄλλο ᾧ χρῶμαι καὶ διαθέσεις ἐγχρίω καὶ ῥεῦμα μονήμερον ἵστησι πυκνῶς καὶ πλειστάκις τὸ προειρημένον ξηρὸν μετ' οἴνου ἐλείωσα, ὡς κολλύριον, καὶ ξηράνας ἐχρησάμην ὑποστιμμίζων τὰ βλέφαρα πρωῒ καὶ εἰς ἑσπέραν, ἐνίοτε δὲ καὶ στίμμεως < η̄ βάλλω. ἐγχριόμενον δὲ ποιεῖ καὶ ἐπὶ τῶν ἐχόντων αἰγίλωπας καὶ βλέφαρα περιβεβρωμένα καὶ τριχιάσεις μετὰ τὴν ἄρσιν τῶν τριχῶν [ἀνὰ τρίχα ἐγχριόμενον]. σαρκοκόλλης κρόκου γλαυκίων ξανθῶν ἀλόης χελιδονίας ἀνὰ Γο ᾱ σμύρνης τρωγλίτιδος < δ̄, τὴν χελιδονίαν κόψας σήσας ἐπίβαλλε τοῖς λοιποῖς καὶ συλλεάνας χρῶ, ἐγὼ δὲ σὺν ὕδατι ἐλείωσα, ὡς κολλύριον, καὶ ξηράνας ἐχρησάμην. Ξηροκολλύριον δόκιμον ὀξυδερκὲς ἀνεπηρεάστους φυλάττον τοὺς ὀφθαλμούς. στίμμεως αἰθάλης πορφύρας ἀληθινῆς ἀνὰ Γρ δ̄ ῥόδων ξηρῶν Γρ β κρόκου φύλλου ναρδοστάχυος ἀνὰ Γρ γ̄, λείοις χρῶ. τὴν δὲ αἰθάλην ποίει οὕτως· πορ-

5—10 καδμίας—< β̄ *Gal. ib. 7 (ib. 732, 11—16)* 10—12 Ξηρὸν—χρῶ *cf. Gal. ib. (ib. 734, 8—10)*

[κεκαυμ. *om.* ω] < δ̄ *post* μέλιτος, (Γο β̄)) α, *exc.* Lª *et* C *qui* χαλκοῦ κεκαυμ. οὐλκ. δ̄ *tantum ante* ναρδοστάχ. *transp.*

φ (C Lª) χ (M°) ψ (A D P Q) ω (A[t]) 2 καὶ καύσας A καὶ *pr. om.* A 3 ἔστι—ἀποκρουστικόν *om.* A γὰρ] δὲ ω *om.* C χ D P ἀποκρουστ.] ἀποδακρυτικὸν C χ D P ἀποδάκνοντα ω τὰ *om.* D P παχέα Lª 4 *ante* ξηρὸν (*post* ω) ἄλλο χ A ω 5. 6 καδμίας *post* κεκαυμ. C *post* καδμίας: < η̄ χ A ω ἀνὰ *om.* χ A ω 7 *post* χυτριδίῳ: καθαρῶ χ 9 τῶ στίμει C τῶ στῆμι ὀπτημένω A ὀπτημένον α, *exc.* D P καὶ *om.* Lª λειώσας *om.* χ 10 χνοωδεστέρω D P *post* τινὲς: δὲ C A Q *post* ἀρμεν.: ὅσον C *ante* ξηρὸν: ἄλλο α *exc.* Lª *post* τὸ: ἐπιλεγόμενον C 10. 11 τὸ κροκῶδες *om.* ω 11 γλαυκίου D P 12 ἐγχρίω *corrupt.?* 13 πλειστάκις *om.* Lª τὸ προειρημ.—βάλλω *(16) post* ἀρμενιακοῦ < β̄ *(10) transp.* ω *quo et* καὶ πλειστάκις *transtulerim* ξηρίον A Q 14 ἔλυσα C Q 15 πρωῒ] πυκνὰ D P εἰς] πρὸς D *om.* C Q ω 15. 16 < η̄ (*om.* A) βάλλω (...ων C A Q)] βάλλων < η̄ ω 16 ἐγχρίο Q δὲ *post* ποιεῖ *transp.* C χ Q *om.* D ω 17 περιβεβλημένα Lª 18 ἀνὰ τ. ἐγχρ. *canc. sepsi* 20 *ante* σήσας: καὶ D P ἐπίβαλε A D καὶ *om.* ω δὲ *om.* α, *exc.* Q μεθ' ὕδατος ω 21 *ante* Ξηροκ.: ἄλλο χ A Q ω Ξηροκ.—χρῶ *(349, 2) post* ζῴων *(p. 346, 20) transp.* C *repet.* A Q 22 φυλάσσων D P ...άττοντας *Ald.* *post* στίμμεως: Γρ δ̄ χ A Q ω αἰθάλης—ναρδοστάχυος ἀνὰ Γρ γ̄ *om.* ω 23 ἀνὰ *om.* χ A Q β̄] δ̄ A *post* κρόκου: Γρ γ̄ χ D P Γρ β̄ A Q *post* φύλλου: Γρα μρα D γραμ μρ' ᾱ P Γρ γ̄ χ A Q 24 ἀνὰ *om.* α, *exc.* Lª τὴν δὲ αἰθάλην—χρῶ *(p. 349, 2) om.* Q

φύραν ἐρέαν βάψας κεδρίᾳ ἅψον, καὶ σκέπασον λεκανιδίῳ λειοτάτῳ ἢ χαλκῷ καὶ τὴν συλλεγομένην αἰθάλην συλλέξας πτερῷ χρῶ. Ξηρὸν λευκὸν ὀξυδερκὲς ποιοῦν πρὸς κνησμονὰς καὶ τὰς ἐξ ἡλίου ἐγκαύσεις καὶ τὰς ἀρχομένας ἐκ ψύξεως ὀφθαλμίας καὶ πρὸ τροφῆς καὶ μετὰ τροφήν. καδμίας στυπτηρίας σχιστῆς ἀνὰ < β̄ ἁλῶν ἀμμωνιακῶν πεπέρεως φύλλου ἀνὰ Γ° α ψιμμυθίου ἡμιοβόλιον, λείου σὺν οἴνῳ λευκῷ καὶ ξηράνας χρῶ. Ἄλλο ξηρὸν δριμύ. καδμίας < κδ̄ ἁλὸς ἀμμωνιακοῦ < β̄ ναρδοστάχυος < δ̄ πεπέρεως λευκοῦ < ᾱ, λείοις χρῶ. Ἄλλο κάλλιστον. καδμίας < η̄ κρόκου < β̄ ἁλὸς ἀμμωνιακοῦ < β̄ ναρδοστάχυος < ᾱ πεπέρεως λευκοῦ < ϛ̄, λείοις χρῶ. Ξηρὸν τὸ Σεβηριανοῦ. καδμίας κεκαυμένης πεπλυμένης < η̄ ἁλῶν ἀμμωνιακῶν < δ̄ πεπέρεως λευκοῦ < β̄ φύλλου < ᾱ κόψας σήσας λεάνας εὖ μάλα χρῶ. Ἄλλο ξηρὸν δριμύ. καδμίας < η̄ σηπίας ὀστράκων Γ° β̄ ἁλῶν ἀμμωνιακῶν Γ° ᾱ πεπέρεως Γ° ᾱ φύλλου Γ° ᾱ, χρῶ. πεπείραται. Ἄλλο ξηρὸν ὀξυδερκὲς Ὀριβασίου. χελιδονίας ῥίζης ἀλόης ἀνὰ Γ° β̄ φύλλου Γ° ᾱ πεπέρεως λελεπισμένου < δ̄ ἐλλεβόρου λευκοῦ < ᾱ, χρῶ. Ξηρὸν τὸ Ἀπόλλωνος πρὸς ἀμβλυωπίαν. καδμίας < κ̄ τρυγὸς οἴνου παλαιοῦ ξηρᾶς κεκαυμένης < ε̄ πεπέρεως λευκοῦ < ε̄ ἁλὸς ἀμμωνιακοῦ < ῑ σανδαράκης φύλλου ἀνὰ < β̄ νίτρου κεκαυμένου < γ̄, χρῶ. Ἄλλο ξηρὸν πρὸς ὑποχύσεις καὶ ἀμβλυωπίας. ἄρρενα ἔχιν ὅλον ζῶντα ἐμβαλὼν εἰς χύτραν καὶ προσβαλὼν μαράθρου χυλὸν ὅσον κύαθον ἕνα καὶ λιβάνου ἀτόμου χόνδρον

10—12 τὸ Σεβηριανοῦ—χρῶ *Gal. ib. (ib. 734, 10—12)* 14 Ὀριβασίου κτλ *loc. gen. in Orib. non inveni; cf. Gal. v. supra (731, 1 sqq.)*

φ (C Lª) χ (M°) ψ (A D P Q) ω (Aᵗ) 1 ἐρίαν A ω ἄναψον D P λεκανίδιον Lª 2 λεγομένην D P *ante* ξηρὸν: ἄλλο C χ A Q 3 λευκὸν *om.* C A Q ποιεῖ ω 5 *ante* τροφὴν: τὴν A *post* καδμίας: < β̄ (ᾱ χ) α, *exc.* Lª στυπτηρίας—πεπέρεως] ἁλῶν ἀμμωνιακῶν (ἁλὸς ...κοῦ C χ D P Q) < ᾱ πεπέρεως < β̄ (< β̄ *om.* χ D P β̄] γ̄ C A Q) στυπτηρίας σχιστῆς (ἀνὰ D P) < β̄ α, *exc.* Lª 6 ἀνὰ Γ° ᾱ *om.* α, *exc.* Lª *ante* ψιμμυθ.: ἢ Q 7 κδ̄] δ̄ Lª *ante* ἁλὸς: κρόκου < ιβ̄ A Q 8 β̄] ιβ̄ C χ D P ᾱ ω ναρδοστάχ. < δ̄ *om.* C χ D P δ̄] β̄ A Q ᾱ ω ᾱ] ιϛ̄ φύλλου οὐλκὰς β̄ C ϛ̄ χ β̄ A Q λείοις χρῶ] φύλλου < β̄ χ D P Ἄλλο κάλλιστον—λείοις χρῶ *(10)* *om.* Lª A Q 9 < β̄ (ᾱ ω) *pr.*] *om. sed post* ἀμμων.: ἀνὰ C D P 10 < ᾱ *om. sed post* πεπ. λευκοῦ (λευκ. *om.* C): ἀνὰ C D P ϛ̄] ᾱ C χ D P Σευηριανὸν C χ ψ 11 πεπλυμ. (πεφυγμ. C) *om.* Lª χ < η̄ *om.* A ἁλὸς ἀμμ...κοῦ C < δ̄ *om.* C 12 φύλλου ἀνὰ οὐλκὰς δ̄ *ante* πεπ. *transp.* C ᾱ] δ̄ A Q β̄ D P *ante* λεάνας: καὶ C D P εὖ μάλα *om.* Lª Ἄλλο—φύλλου Γ° ᾱ χρῶ *(14)* *om.* Lª 13 ἁλῶν—πεπέρεως Γ° ᾱ *om.* ω Γ° ᾱ *id. pr. (14)* *om. sed post* φύλλου: ἀνά C D P 14 χρῶ πεπείραται—ἀλόης ἀνὰ Γ° β̄ *om.* ω Ἄλλο ξηρὸν—λείοις χρῶ *(350, 14)* *om.* A Q ξηρὸν *om.* C 15 *post* ῥίζης: Γ° β̄ χ ω ἀνὰ *om.* χ ω 16 *ante* ξηρὸν: ἄλλο C χ D P τὸ] τοῦ C Ἀπολλωνίου A ω ...ωπίας C 17 κ̄] η̄ α, *exc.* Lª κεκαυμ. (*om.* χ) < ε̄ *om. sed post* λευκοῦ: ἀνὰ D P < ε̄ *om. sed post* λευκοῦ: ἀνὰ C 18 *ante* πεπ.: ἐν αἷς (ἄλλαις?) ἐπονομάζεται σφέκλης, ἰταλικῇ δὲ γλώττῃ τάρταρον C ἁλὸς *om.* ω *post* σανδαράκης (...χης): < β̄ α, *exc.* Lª ἀνὰ *om.* α, *exc.* Lª 19 κεκαυμ.] κερατ´ C χ D P < *alt. om.* C χ D P Ἄλλο *om.* Lª χ ξηρὸν *om.* ω 20 ἔχιν] ἐν αἷς (ἄλλαις?) καλεῖται ἐχίδνη[ν] C ἐχῖνον D P 20. 21 ἐπιβ. C 21 χυλοῦ C D P ὅσον *om.* D P

ᾱ μέγαν, ἔπειτα περιπλάσας πηλῷ ἔξωθεν ὅλην τὴν χύτραν καῖε ἕως τέφρα γένηται καὶ λεάνας χρῶ ξηρῷ ὡς δοκίμῳ· ποιοῦσι καὶ αἱ τῆς ἐχίδνης κεφαλαὶ κεκαυμέναι καὶ λεῖαι στιμμιζόμεναι. Ἄλλο ἀσύγκριτον. ἐλλεβόρου λευκοῦ καὶ πεπέρεως ἴσα κόψας καὶ λεάνας χρῶ δι' ἡμερῶν τριῶν, προκαθάρας διὰ γαστρὸς καὶ ῥινῶν καὶ στόματος. Ξηρὸν πρὸς ἀρχομένας ὑποχύσεις γλαυκώσεις καὶ ὑμένων παχύτητας· καδμίας < κδ̄ ἁλῶν ἀμμωνιακῶν < ῑ σανδαράκης < δ̄ ἐλλεβόρου λευκοῦ < β̄ φύλλου < β, χρῶ. ἐγὼ εἰ ἀπορήσω ποτέ, ξηρίον κολλύριον τὸ πρὸς τὴν παροῦσαν διάθεσιν ἁρμόττον λεάνας καὶ χνοωδέστατον ποιῶν χρῶμαι. τὸ δὲ πλεῖστον μίγνυμι τοῖς τοιούτοις καί ⟨τι⟩ τῶν ναρδίνων ἢ Θεοδοτίων κολλυρίων καὶ οὕτως συλλεάνας χρῶμαι. Ἄλλο ξηρὸν ὀξυδερκὲς διὰ πείρας. καδμίας < η̄ φύλλου < β ναρδοστάχυος πεπέρεως κρόκου ἀρσενικοῦ ἁλὸς ἀμμωνιακοῦ χελιδονίας ἀρτεμισίας φύλλων ἀνὰ < β̄, λείοις χρῶ.

ρᾱ Περὶ ὑγροκολλυρίων Γαληνοῦ. ὑγρὰ φάρμακα ὀφθαλμικὰ συντίθεται διά τε ὀπῶν τινων καὶ χυλῶν καὶ χολῶν καὶ μέλιτος καὶ ἀμμωνιακοῦ θυμιάματος, μιγνυμένων αὐτοῖς καὶ τῶν μετριωτέρων μὲν οὐκ ἀντιπραττόντων δὲ τῇ δυνάμει, σμύρνης λέγω καὶ λιβάνου καὶ κρόκου καὶ χαλβάνης, ὅσα τε ἄλλα τοιαῦτα ἀραιοῦν τοὺς χιτῶνας δυνάμενα καὶ λεπτύνειν τὰ πάχη τῶν ὑγρῶν καὶ τοῦ πνεύματος καὶ τὴν παρὰ φύσιν ὑγρότητα διαφορεῖν, τόνον δὲ τῇ εὐκρασίᾳ ἐντιθέναι τοῖς χιτῶσι τῶν ὀφθαλμῶν. Ὀξυδορκία ὑγρά. ῥοῶν κόκκων τὸν χυλὸν πιάσας βάλε εἰς ἄγγος Ἀττικοῦ ὀστράκου λειοτάτου καὶ πυκνοτάτου καὶ ὀθονίῳ ψιλῷ περιδήσας τίθει εἰς ἥλιον, ἕως ἂν πάχος σχῇ μέλιτος· καὶ ἴσα πρὸς ἴσα βάλε μέλι τῷ χυλῷ· καὶ ἀνελόμενος εἰς ἀγγεῖον ὀστράκινον φύλαττε· παλαιούμενον γὰρ βέλτιον γίγνεται. ὅταν δὲ καθεύδειν μέλ-

φ (C L^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 ᾱ *om.* α, *exc.* L^a μέγα D P καῖε] καὶ ἔα L^a καὶ ω 2 γενέσθαι C ξηρῷ *om.* ω *ante* καὶ *alt.*: δὲ C 3 καὶ *om.* χ ω κεκαυμ. κ. λεῖαι] καὶ C *post* λεῖαι: καὶ ω διαστιμμιζ. ω ἀσύγκριτον *om.* D P 4 καὶ *pr. om.* C καὶ *alt. om.* L^a χ 5 ...θήρας C 6 *ante* γλαυκ.: καὶ C παχύτητα C 7 ἁλὸς ...ακοῦ C < β̄ *om. sed post* φύλλου: ἀνὰ D P 8 *post* ἐγὼ: δὲ D P ἀπαγορεύσω χ ἀπορήσας P ποτέ *om.* L^a P ξηρίου κολλύριον τὸ (τῶν χ) χ D P ξηρίου (= C) κολλυρίων τῶν ω 9 ἁρμοττόντων (ἁρμόττων Cχ) ω χνοωδέστερον D P ...έστατα χ ποιήσας ω *post* χρῶμαι: χρῶ C τούτω D P 10 τὸ δὲ] τὰ δὲ τὸ C τὸ δὲ πλεῖστον—χρῶμαι *om.* ω τι *addidi* τὸ νάρδινον C τῶ ναρδίνω L^a ω 11 τὸ θεοδότιον κολλύριον C Ἄλλο—χρῶ *(14) om.* C 12 < β] < η̄ ω *post* ναρδοστάχ.: < β̄ χ ω *post* πεπέρ., κρόκου, ἀρσεν., ἀμμων.: < β̄ χ 13 *post* χελιδον.: ἀνὰ (*om.* χ) < β̄ α *om.* L^a φύλλου P ἀνὰ *om.* α, *exc.* L^a 14 β̄] ᾱ α, *exc.* L^a 15 Γαληνοῦ *om.* χ P ὀφθαλμικὰ *om.* D P 16 διά τε *om.* ω τινων *om.* ω καὶ χυλῶν *om.* C χ A Q καὶ χολῶν *om.* P ω χολῆς A Q ...ὴν C μέλιτι C 21 διαφορεῖ L^a ἐντιθέναι] διδόναι χ ω 22 Ὀξυδ. ὑγρά] ὑγρὰ ὀξυδερκής (ὑγρὸν ὀξυδερκές D ὅπερ ζωγράφοις καὶ δακτυλιογλύφοις καὶ χρυσοχόοις καὶ πρεσβύταις ἁρμόζει [*p. 351, 1. 2*] *add.* D P) α, *exc.* L^a 23 ἐκπιάσας C ...έσας ψ ω βάλλε C A P Q *post* ὀστράκου: τοῦ C χ A Q 24 ὑψηλῶ α, *exc.* D P ω 24. 25 ἴσω (...ον C Q) ... ἴσω C A Q ω ἴσον ... ἴσον χ D P τὸν χυλὸν τῶ μέλιτι ω ἀνελόμ.] ἀναλάμβανε ω 26 δὲ] γὰρ L^a χ

λης ὑπόχριε τούτῳ κούφως τοὺς ὀφθαλμούς. τοῦτο ζωγράφοις καὶ δακτυλογλύφοις καὶ χρυσοχόοις καὶ πρεσβύταις ἁρμόζει. Ἄλλο. βῖκον, ἄμπουλλαν ὑελίνην, πλήσας ἐλαίου καὶ ἐμβαλὼν αὐτῷ μαράθρου τὰ ἁπαλὰ φύλλα τίθει εἰς τὸν ἥλιον ἡμέρας μ̅ καὶ ἐκπιάσας τὸ μάραθρον τῷ ἐλαίῳ χρῖε. Ἄλλο ὀξυδερκικόν. στέαρ ἐχίδνης βαλὼν εἰς ὑελίνην ἄμπουλλαν, ὅταν τακῇ, ἐμβάλλων αὐτῷ τὴν μήλην ὑπόχριε. λίαν σπουδαῖόν ἐστιν. Ἄλλο ὀξυδερκικόν. κολοκυνθίδος αὐτὸ τὸ σπέρμα κόψας σήσας λειότατον ποιήσας μετὰ μέλιτος χρῶ· πεπείραται. Πρὸς ὀξυδερκίαν καὶ ὑποχύσεις καὶ οὐλὰς ὀφθαλμῶν. χαμαιλέοντος μελανοῦ ῥίζαν καύσας λειώσας ἀκριβέστατα ἔγχριε. Ἄλλο. γῆς ἔντερα καύσας ἐπ' ὀστράκῳ ἕως τεφρωθῇ καὶ λεάνας χρῶ. Ἄλλο. χελιδόνων νεοσσοὺς ζῶντας βαλὼν ἐν χύτρᾳ καὶ χρίσας ὅλην ἔξωθεν καῖε καὶ λεάνας τὴν τέφραν μετὰ μέλιτος χρῶ· ἐγὼ ξηρῷ ἐχρησάμην πρὸς λευκώματα. Πρὸς ὑποχύσεις ἀρχομένας. μέλι ἔλαιον παλαιὸν μαράθρου χυλὸν ἴσα μίξας χρῶ. Ἄλλο. σαγαπηνοῦ < α̅ ἀφρονίτρου < ε̅ μέλιτος λίτρας β̅. ἡμεῖς δὲ τῷ ὑπογεγραμμένῳ χρώμεθα· καυκαλίδος χυλὸν χαμαίδρυος χυλὸν κορωνόποδος χυλὸν ἕκαστον ἴσον διηθήσας ξηράνας ποίει κολλύρια καὶ χρῶ· εἰ δὲ ὑγρῷ ἐθέλεις χρῆσθαι, μετὰ μέλιτος λεάνας χρῶ. Ἡ Ἀγλαΐδου ὑγρὰ πρὸς ἀρχὰς ὑποχύσεως. χαλκοῦ ἄνθους ὀβολοὶ ε̅ πεπέρεως ὀβολοὶ ε̅ κρόκου < β̅ σμύρνης ὀβολοὶ ε̅ καστορίου < β̅ ἀλέκτορος χολῆς < α̅ ὀμφακίου < τὸ ϛ̅ ναρδοστάχυος ὀβολὸς α̅ λίθου

14 Πρὸς ὑποχύσεις—ἴσα *cf. Gal. ib.* 5 *(ib. 724, 16)*

φ (C L[a]) χ (M[o]) ψ (A D P Q) ω (A[t]) 1 τοῦτο φ χ τοῖς ὀφθαλμοῖς L[a] τοῦτο—ἁρμόζει *(2) om.* D P *(cf. p. 350, 22 adn.)* 2 δακτυλιογλ. C χ ...λυογλίφ. A Q βίκην P *om.* C A Q ω 3 *ante* ἄμπ.: ἀγγεῖον ὑέλινον ἣν ἔνιοι C ἄμπουλλαν, ἀ...λλάν, ἀμπούλαν, ἄμπ. (ἄμβυκον ω) *codd.* ὑελίνην, ὑελλ. *codd.* ὑελ.] καλοῦσιν C 4 ἐκπιέσας ψ μάραθρον, ..θον *codd.* 5 ἔγχριε A Q ω ὀξυδόρκιον χ ...κικὸν A 5—7 στέαρ ἐχίδνης—ὀξυδερκικόν (...δορκ. A Q) *post* πεπείραται *(8) transp.* A Q *in marg.* C *om.* L[a] ὑελοῦν C A Q ω 6 ἐμβάπτων C ψ 8 πεπείραται *om.* ω *post* πεπείρ.: ἄλλο C χ ψ 8. 9 ὀξυδορκίαν C ψ *om.* χ 9 καὶ *pr. om.* χ μέλανος C 10 *ante* λειώσας: καὶ C D P 11 ὀστράκου L[a] χ -ων C 12 καὶ χρίσας—καῖε *om.* L[a] 13 *ante* ἐγὼ: ὦ D P *post* ἐγὼ: δὲ C *post* λευκώμ.: καὶ εὐδοκίμουν C 14 *ante* πρὸς ÷ ἄλλο C A Q καὶ D P *ante* μέλι: ἄλλο D *in marg.* P *ante* μαράθου (...θρου): καὶ C A ω χυλῷ D P *post* ἴσα: χρῶ C 15 μίξας χρῶ *om.* α, *exc.* D P ἄλλο σαγαπ.—λίτρας β̅ *om.* ω α̅] β̅ ψ ω *post* β̅: χρῶ C 16 *ante* ἡμεῖς: ἄλλο Δημοσθένους C A Q ω χυλὸν] χυλοῦ D P 16. 17 χαμαίδρυος χυλὸν (...οῦ χ D P) κορωνόποδος (...ποδίου D ...ποδ' χ P) χυλὸν (...οῦ χ D P καὶ χαμαιλέας δρυὸς *add.* χ)] κορωνόποδος (...ποδίου C Q) χυλὸν (καὶ ω) χαμαίδρυος (...δρύου A Q) χυλὸν (χυλὸν *om.* ω) C A Q ω *ante* ξηράνας: καὶ C ψ 18 εἰ δὲ—λεάνας χρῶ *om.* A εἰ δὲ] καὶ C Q ἐθέλῃς χ P Q 19 Ἡ] ἄλλο ἡ C ἄλλη ἡ A Q *om.* D P Ἀγλαΐδη C ...ους A Q ὀβολοὶ ε̅ *om. sed post* πεπέρεως. ἀνὰ D P ὀβολοὺς *(et alibi)* A 20 *ante* πεπ.: σμύρνης ὀβολοὺς ε̅ *(l. 20)* A Q οβ. *pr.*] ὀβολοὺς [α] D κρόκου—ἀπόθου *(352, 2)*] ἁλὸς ἄνθους < λ̅β̅ ὀποῦ βαλσάμου < λ̅β̅ μέλιτος 𐅻 ε̅· λεῖα πάντα ἐν ἀργυρῷ σκεύει ἀπόθου καὶ χρῶ + [β] κρόκου < β̅ σμύρνης ὀβολοὺς ε̅ καστορίου < β̅ ἀλέκτορος χολῆς < α̅ ὀμφακίου < ζ̅ ναρδοστάχυος ὀβολὸν α̅ λίθου αἱματίτου νίτρου ἀφροῦ ἀνὰ ὀβολοὺς β̅ D < β̅ *pr. om. sed post* καστορίου: ἀνὰ C σμύρνης ὀβ. ε̅ *om.* C ω ε̅ *alt.*] ι̅ε̅ C Q ω 21 ϛ̅] ὄγδοον P *post* ϛ̅: ἐν ἄλλῳ < ζ̅ χ

αἱματίτου ὀβολοὶ β̄ νίτρου ἀφροῦ ὀβολοὶ β̄ ἁλὸς ἄνθους < λ̄β̄ ὀποβαλσάμου ὁμοίως μέλιτος Γ° ε̄, λεῖα πάντα ἐν ἀργυρῷ σκεύει ἀπόθου. Ἡ Ἐρασιστράτου πάγχρηστος ὑγρὰ πρὸς ἐμφυσήματα κνησμώδη καὶ ξηροφθαλμίας σκληροφθαλμίας τραχώματα καὶ τὰς παλαιὰς ὀφθαλμίας, ὦτα πυορροοῦντα καὶ πρὸς τὰ δυσκατούλωτα ἕλκη καὶ κυνάγχην καὶ τὰς ἐν στόματι καὶ αἰδοίοις νομάς. χαλκοῦ κεκαυμένου < ς̄ σμύρνης μίσυος ὀπτοῦ ἀνὰ < γ̄ πεπέρεως < ᾱ κρόκου < ᾱ c οἴνου αὐστηροῦ παλαιοῦ κοχλιάρια γ̄ γλυκέος Κρητικοῦ κοχλιάριον ᾱ c, λεῖα ποιήσας τρῖβε σὺν τῷ οἴνῳ καὶ ὅταν συμπίῃ ἐπίβαλλε τὸν γλυκύν, καὶ ἑνώσας ἕψε ἐν χαλκῷ ἀγγείῳ μαλακῷ πυρί, ἕως σχῇ μέλιτος πάχος καὶ ἀπόθου εἰς χαλκῆν πυξίδα. Ἄλλο· ἡ διὰ τοῦ χυλοῦ τοῦ περιστερεῶνος ὑγρά, ποιοῦσα πρὸς ἀμβλυωπίαν ἀτονίαν κόρης καὶ ἀμαυρώσεις, πάνυ καλόν· ποιεῖ καὶ πρὸς βεβρωμένους κανθοὺς ῥεύματα λεπτὰ καὶ τὰς ἀρχομένας ὑποχύσεις. αἰγὸς θηλείας χολὴν < η̄ λυκίου Ἰνδικοῦ < π̄ πεπέρεως < δ̄ περιστερεῶνος ὀρθοῦ χυλὸν Γ° ις̄ καὶ ξηροῦ < η̄ μέλιτος Ἀττικοῦ Γ° ς̄, κόψας σήσας λεπτοτάτῳ κοσκίνῳ τὸ πέπερι κἄπειτα λειοτριβήσας ἐν θυίᾳ ἐπὶ πολὺ ἐπίβαλλε τὸν ξηρὸν χυλὸν καὶ συλλείου· εἶτα τὸν ὑγρὸν χυλόν, ἔπειτα λύκιον καὶ ὅταν λεῖα γένηται, ἐπίβαλλε τὸ μέλι καὶ οὕτως τὴν χολὴν καὶ ἑνώσας ἀναλάμβανε καὶ χρῶ. τινὲς αὐτὴν τὴν βοτάνην, τὸν περιστερεῶνα λέγω, κόπτοντες καὶ σήθοντες, ἐμβάλλουσι τας η̄ δραχμάς. εἰ δὲ ξηρότερον γένηται, ἀνάπλασσε κολλύριον καὶ ξήραινε καὶ χρῶ. Ἄλλο πρὸς ὀξυδορκίαν καὶ γλαυκώσεις καὶ παλαιὰς ὀφθαλμίας καὶ ἀμβλυωπίας καὶ ἀμαυρώσεις δόκιμον· λέγεται δὲ Κασσίου. χολὴν ταυρείαν ὅλην κενώσας εἰς πυξίδα χαλκῆν ἔα

3—11 Ἡ Ἐρασιστράτου—πυξίδα *Gal. ib. 8 (ib. 735, 17—736, 7)* 22—*p. 353, 5* πρὸς ὀξυδορκίαν—χρῶ *Gal. ib. (ib. 738, 10—16)*

φ (C Lª) χ (M°) ψ (A D P Q) ω (A^t) 1 ὀβ. β̄ *om. sed post* ἀφροῦ: ἀνὰ P < λ̄β̄ *om. sed post* ὀποβαλς.: ἀνὰ C λ̄β̄] ῑ A Q 1. 2 ὀποῦ βαλσάμου P *om.* ω 2 ὁμοίως] < ῑ A Q < λ̄β̄ C χ P *om.* ω ἐν *om.* ω *post* ἀπόθου: καὶ χρῶ P 3 *ante* Ἡ: ἄλλη A Q ἄλλο C D ω ὑγρὰ πάγχρηστος χ ω 4 *ante* ξηροφθ.: καὶ ψωροφθαλμίας A Q ξηροφθ.] ψωροφθαλμίας C *ante* τραχώμ. καὶ C τὰς *om.* C Q 5 κυνάγχας C D P 6 *ante* τὰς: πρὸς C *post* ἐν: τῷ ω *post* σμύρνης: < γ̄ χ A Q ω 7 ἀνὰ *om.* χ A Q ω 8 κοχλιάρια] κοτύλας C A Q κοχλιάριον] κοτυ^λ' ψ -ην C 9 ὅτε ω ἐπίβαλε χ A D Q τῶν γλυκέων C A Q τὸ γλυκὺ Lª D P ω καὶ *alt. om.* C A Q 10 καὶ ἀπόθου *om.* A 11 *post* πυξίδα: καὶ χρῶ D P ἄλλη *(sic)* διὰ—καὶ χρῶ *(22) post* τὴν ἐνέργειαν *(353, 5) transp.* D P ἄλλη ψ *om.* χ ω ἡ *om.* χ 12 *post* κόρης: ἀμβλυωπίας φ χ A P Q 13 καλὴ P ὑπὸ ῥεύματος λεπτοῦ D P ῥεῦμα λεπτὸν C χ A Q 14 χολῆς χ D P π̄] γ̄ α, *exc.* Lª 15 ὀρθῆς ω *om.* χ χυλοῦ χ D P Γ°] οὐλκὰς C < χ A Q ις̄] ια̅ ω καὶ ξηροῦ < η̄ *om.* D P 16 ς̄] γ P κοσκίνῳ *om.* ω τῷ π^εε'π A Q ω 17 ...βαλε χ D 18 *ante* λύκιον: τὸ C ...βαλε χ A D Q ω* 19 καὶ οὕτως] εἶτα C εἶθ' οὕτω A Q καὶ *alt. om.* D P *post* τινὲς: δὲ D P 20 τὸν] τὴν φ A Q ω 21 δὲ] καὶ C Q κολλύρια C Q 22 ἄλλο (...η P) πρὸς—ἐνέργειαν *(353, 5) ante* ἄλλο *(11) transp.* D P ἄλλη ἡ A ἄλλη ἡ κασία C *om.* χ ω ...δερκίαν P ω 23 δόκιμος D P 23. 24 λέγ. δὲ Κασσίου (κασία D P ...ου χ)] τοῦ κασίου (τ. κ.] ἠκασίου Q) *ante* πρὸς *(22)* A Q ω 24 κενώσας ὅλην C A Q ω

ἡμέρας δέκα· ἔπειτα ἐπίβαλλε λεῖα cμύρνης κρόκου ὀποβαλcάμου ἀνὰ < β̄ πεπέρεως κόκκους ῑ μέλιτος Ἀττικοῦ τὸ διπλοῦν τῆς χολῆς καὶ λεάνας ἅμα πάντα ἔμβαλλε εἰς χαλκοῦν ἀγγεῖον καὶ ἕψε ἐπὶ τέφρας μαλακῆς, ἕως σχῇ μέλιτος πάχος· καὶ ἀπόθου ἐν χαλκῇ πυξίδι καὶ χρῶ ὡς σπουδαίῳ· ἅμα γὰρ τῇ ἐγχρίσει δηλώσει σοι τὴν ἐνέργειαν. Ἄλλη πρὸς ὑποχύσεις Βόλου λεγομένη. σιλούρου χολὴν μέλιτος Ἀττικοῦ τὸ διπλοῦν ἱέρακος χυλὸν τὸ ἴσον τοῦ μέλιτος, χρῶ. Ἄλλη Ὥρου πρὸς ὑποχύσεις δόκιμος. χυλὸν κοράκων προσφάτων 𐆄 δ̄ σαγαπηνοῦ Περσικοῦ ὀποῦ Κυρηναικοῦ ὀποβαλσάμου ἀνὰ 𐆄 ᾱ μέλιτος 𐆄 θ̄. Ἄλλη πάνυ δόκιμος, ᾗ χρησάμενος ἐπέτυχον. χολῆς αἰγὸς < δ̄ ὀποβαλσάμου κρόκου ἀνὰ < β̄ ναρδοστάχυος κασσίας ἐλαίας Αἰθιοπικῆς δακρύου στυπτηρίας σχιστῆς μυελοῦ στρουθοκαμήλου σμύρνης ἀνὰ < ᾱ μέλιτος 𐆄 ιη̄, σκευάσας ἐπιμελῶς ἀναλάμβανε εἰς πυξίδα χαλκῆν Κυπρίαν καὶ χρῶ. Ἄλλη. τῆς θηριακῆς Ἀνδρομάχου < δ̄ ὀποῦ Κυρηναικοῦ < ϛ̄ ὀποβαλσάμου < ᾱ μέλιτος ἀκάπνου < ε̄, οἴνῳ γλυκεῖ παλαιῷ διαλύσας πρότερον τὴν θηριακήν, ἐπίβαλλε τὸ ὀποβάλσαμον καὶ τὸ μέλι καὶ χρῶ. Ὑγρὰ Ἀπολλωνίου, πρὸς ὑποχύσεις ἀνδρικὴ δύναμις. σαγαπηνοῦ < β̄ ὀποῦ Κυρηναικοῦ < β̄ ἐλλεβόρου λευκοῦ πηγάνου ἀγρίου ἀνὰ < ᾱ ἀφρονίτρου ὀβολοὺς β̄ μέλιτος 𐆄 γ̄. Ἄλλη καλῶς. ὀμφακίου χολῆς ὑαίνης ἀνὰ < β̄ σμύρνης ὀποβαλσάμου ἐλαίας Αἰθιοπικῆς δακρύου ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < ᾱ, μέλιτι ἀναλάμβανε καὶ χρῶ. Ἄλλη.

19—*p. 354, 2* ὀμφακίου — ἀρκοῦν *Gal. ib. (ib. 739, 2—5, 10—12)*

φ(C Lᵃ) χ(M°) ψ(A D P Q) ω(Aᵗ) 1 ἐπίβαλε χ ψ 2 *ante* πεπέρεως: καὶ χ P ῑ] κ̄ ω 3 ἔμβαλε χ A D Q ω 4 χαλκῷ πυξιδίῳ C 5 ὡς *om.* ω σπουδαίως ω 6 ...μένης C Q σιλούρου] ἐλλεβόρου Lᵃ σιλλουαρίου P αἰλούρου D ω χολῆς χ D P ω *ante* μέλιτ.: καὶ C 7 ἱερακίας α, *exc.* Lᵃ *post* ἱέρ.: διπλοῦν ω χυλοῦ χ D ω χολῆς C *ante* χρῶ: καὶ ω ἄλλο χ A ω Ὥρου] ῥοῦ Lᵃ Ἥρου C Σεβήρου A P *om.* ω *post* Ὥρου: λεγομένη D P 8 δόκιμον χ A ω χολῆς (-ὴν C—ῆ Q) α, *exc.* Lᵃ κόρακος προσφάτου ψ καλὴν προσφάτ' κόρακος C 8. 9 *post* Περσικοῦ: < (ογγ') ᾱ χ A D Q ω 9 *post* Κυρην.: (ἀνὰ P) 𐆄 (< P) ᾱ α, *exc.* Lᵃ ἀνὰ *om.* α, *exc.* Lᵃ *ante* μέλ.: καὶ, *post*: Ἀττικοῦ C 10 χολὴν Lᵃ χολ' χ *post* ὀποβαλσ.: < β̄ χ A Q ω 11 ἀνὰ *om.* χ A Q ω 12 μυελῶ Lᵃ ...ὸν ω 13 ιη̄] ᾱ D P ιβ̄ ω Κυπρίαν *om.* A D 14 ἄλλο (-η) πρὸς ὑποχύσεις C A Q *post* ἄλλη: ἡ Lᵃ Ἀνδρομ.] ἀνδράχνης C < δ *om.* D P 15 ὀποβαλσάμου < β *(sic!) ante* ὀποῦ *transp* D P ᾱ] β̄ ω ε̄] ῑ A οἴνου γλυκέως παλαιοῦ C 16 τῆς θηριακῆς < δ̄ (< δ̄ *supra scr. m. 1ᵃ*) P τὸ *pr.*] τὸν A ω 17 *post* χρῶ: ἄλλη C χ A Q ω Ἀπολλων. ὑγρὰ ω *post* δύναμις: λεγομένη D P 18 ὀποῦ — ἀγρίου ἀνὰ < ᾱ *om.* ω < β̄ *alt.*] ὀβολοὺς β̄ χ D P Q ὀβολὸς ᾱ A *post* λευκοῦ: < β̄ χ D P < (οὐλκ. C) γ̄ C A Q κεκαυμένου θ̄ *Ald.* ἀγρίου *om.* D ἀνὰ *om.* α, *exc.* Lᵃ 19 ᾱ] γ̄ A Q ὀβολοὶ χ < D P β̄] δ̄ C Q *post* γ̄: χρῶ C Ἄλλη — τῷ ἥπατι *(354, 8) om.* A Q καλὴ C χ D P *sqr.* ἔχει C *om.* ω *post* ὀμφακίου: < (οὐλκ. C) β̄ C χ D P < ᾱ ω χολὴν (-ὴ Lᵃ) ὑ. < (οὐλκ. C) β̄ *ante* μέλιτι (καὶ μέλιτος C) *[21] transp.* C ω 20 ἀνὰ *om.* χ D P β̄] ᾱ χ *ante* ὀποβαλσάμου: < ᾱ (*om.* C D P) ἁλὸς ἀμμωνιακοῦ < ᾱ (ἀνὰ ογγ' ᾱ C < ᾱ *om.* D P) α, *exc.* Lᵃ 21 θυμιάματος ἀνὰ *om.* ω *ante* μέλιτι: καὶ ω

χολῆς ὑαίνης κρόκου ὀμφακίου ὀποβαλσάμου ἀνὰ < ᾱ στέατος ἐχίδνης < ᾱς σμύρνης < τ̅ς̅ μέλιτος τὸ ἀρκοῦν. Ἄλλη πρὸς πᾶσαν ἀμβλυωπίαν καὶ ὑποχύσεις, ποιεῖ καὶ πρὸς τὰ τριχιῶντα βλέφαρα. μέλιτος ℥ β̅ ὀποβαλσάμου σμύρνης ἀνὰ < β̅ ὀποῦ Κυρηναικοῦ ὀμφακίου ὀποπάνακος ἀνὰ < ᾱ χρῶ. Ἄλλη πρὸς ὑποχύσεις, κἂν ὦσι χρόνιαι. λίθον οὐίτην Σκυθικὸν μετὰ χολῆς ἀσπίδος λειώσας ἔγχριε, συντόμως ἀπαλλάσσει. ἔστω δὲ ἡ ἀσπὶς ἡ ἀκοντιὰς λεγομένη. εὑρίσκεται δὲ ἐν τῷ νότῳ ἡ χολὴ προσπεφυκυῖα τῷ ἥπατι. Ἄλλη πρὸς ὑποχύσεις, ὥστε τὸν πάσχοντα ἀναβλέπειν ἐν ἡμέραις ε̅, οὕτως ἐστὶ μέγιστον καὶ θαυμαστόν· ποιεῖ καὶ πρὸς τραχύτητας βλεφάρων· σπανίως τις τοιοῦτον ἔχει. στέατος ἐχίδνης χολῆς ἀλέκτορος λευκοῦ χαλκοῦ ἄνθους πηγάνου ἀγρίου χυλοῦ γάλακτος κυνείου ὀποβαλσάμου ἴσα, λείοις χρῶ, ἐνίοτε δὲ ἀντὶ τοῦ χαλκοῦ ἄνθους χάλκανθον βάλλω. Ἄλλη ὑγρὰ μελανὰ πρὸς τὰς ἀμβλυωπίας καὶ τὰς ῥευματικὰς διαθέσεις. λαβὼν λίτραν μίαν κέντρων παλαιῶν καλιγίων προπλυθέντων καὶ ξηρανθέντων ἀκριβῶς βάλλε εἰς ξέστην ἕνα ὄξους δριμυτάτου καὶ ἔα ἡμέρας ε̅, εἶτα ἕψε ἐν χύτρᾳ ἢ σιδήρῳ, πραοτάτῳ πυρί, ἕως λάβῃ βράσματα τρία καὶ διηθήσας ἐπίβαλλε μέλιτος ἀπηφρισμένου καὶ διηθημένου ξ^{ε} ᾱ καὶ ἕψε μαλακῷ πυρί, ἕως γλοιοῦ σχῇ πάχος, κινῶν κλωνίοις στερεοῖς ἀψινθίου τρισὶν ἅμα δεδεμένοις· εἶτα μετὰ τὸ συστρέψαι, ἐπίπασσε χαλκάνθου λειοτάτου ℥ ᾱ καὶ χρῶ, προσαπτόμενος τῶν κανθῶν τῷ πυρῆνι τῆς μήλης. Ἄλλη ἀποκρουστικὴ τῶν ῥευμάτων· ἔστι δὲ σμηκτικὴ τῶν χι-

6 χολῆς ἀσπίδος | 11 στέατος ἐχίδνης χολῆς ἀλέκτορος *cf. Gal. ib. IV 5 (ib. 724, 18)*

φ (CL^a) χ (M^o) ψ (A D P Q) ω (A^t) 1 χολῆς ὑαίνης *om.* P ω χολὴ L^a *post* ὑαίνης: < ᾱ χ D *post* κρόκου: < ᾱ χ *post* ὀμφακίου: < ᾱ χ ἀνὰ *om.* χ στέατος — < ᾱ ς *post* χολῆς ὑαίνης (< ᾱ χ D *v. supra*) α, *exc.* L^a 2 τ̅ς̅] τὸ ἥμισυ C χ D P *post* ἀρκοῦν: καὶ χρῶ D P Ἄλλη πρὸς — < ᾱ χρῶ *(5) post* ἥπατι *(8) transp.* ω 3 *post* ποιεῖ: δὲ C D P 4 *post* ὀποβαλσάμου: < α (ου^{ΓΓ}) β̅ α, *exc.* L^a ἀνὰ *om.* α, *exc.* L^a β̅ *alt. om.* P *post* Κυρηναικοῦ: < ᾱ ω ὀμφακ. *om.* C P ω *post* ὀμφακ.: (ἀνὰ χ) < ᾱ καὶ (καὶ *om.* χ) χ D *ante* ὀποπ.: οὐλκὴν ᾱ C 5 ἀνὰ *om.* C χ D ω 6 οὐίτην *om.* ω 7 ἔστιν C ἡ *alt. om.* C χ ω ἀκοντία D P 7. 8 χολὴ ἐν τῶ νότω D 8 Ἄλλη] ἄριστον (δὲ P) D P πρὸς ὑποχ. — ἐμβάλλων *(pro* βάλλω *[13]) post* ℥ ᾱ *(p. 356, 10) rep.* C 9 ἐν ἡμέραις] ἡμέρας L^a οὕτω γὰρ D P 10 τραχύτητα C τραχώματα D ...χύματα P *post* σπανίως: δέ D P 10. 11 τι (— C) ἔχει *om.* Q 11 *post* ἔχει: ἔστι γὰρ πάνυ δόκιμον C^1 ἄνθους χαλκοῦ D P χαλκαν$^{θ'}$ ω πηγάνου — χυλοῦ] βισασὰ ὁ χυλὸς C^1 12 *post* ἀγρίου: σπέρμα ἢ L^a χυλὸν α, *exc.* χ D P *post* ἴσα: βαλὼν D P 13 χαλκαν$^{θ'}$ ω *ante* ἄνθους: τοῦ D P βάλλω χάλκανθον D P ἐπίβαλλε C μέλαινα χ P Q 14 τὰς *pr. om.* C ψ ω ἀμβλυωπ. καὶ *om.* D P τὰ ῥεύματα: καὶ τὰς διαθ. (-αιρέσεις L^a) α, *exc.* D P 15 κεύτρων L^a κέντρον C P κύτρων ω καλλιγγίων χ καληγίων D P ω 16 βάλε A D Q ω εἰς *om.* D P ἕνα *om.* L^a ε̅ *om.* L^a D P 17 *post* χύτρα: χαλκῇ D P σιδηρᾶ D πραοτέρω D P βράσμ. τρία *cf. p. 225, 16* 18 ἐπίβαλε A D Q καὶ διηθημ. *om.* D P διηθησμένου L^a ...θισμένου A ξ$^{ε'}$] λι C A Q ω 19 ὡς C Q σχεῖν C A Q ἀψινθίας C χ A Q ω 21 λειοτάτης C A Q λειοτάτου χαλκάνθου ω τὸν κανθὸν C Q 22 ἔστι δὲ] καὶ α, *exc.* L^a

τώνων τοῦ ὀφθαλμοῦ, λεπτύνει καὶ τὰς οὐλὰς καὶ ἔξωθεν ἐπιχριομένη τῷ ἄνω βλεφάρῳ ἀποκρούεται τοὺς ῥευματισμούς, εἴ γε εὐθὺς ἐξ ἀρχῆς ἐπιχρισθῇ. μελαντηρίας, ὡς προείρηται, ἐσκευασμένης, μέλιτος τὸ ἴσον τήλεως χυλοῦ τὸ ἴσον μίξας ἅμα καὶ διηθήσας ἕψε πραοτέρῳ πυρί, κινῶν συνεχῶς, ἕως σύστασιν μέλιτος λάβῃ καὶ ἀναλαβὼν χρῶ. τὸν δὲ χυλὸν τῆς τήλεως σκεύαζε, ὡς προείρηται ἐν τῷ περὶ τῶν ἐν ὀφθαλμῷ ἑλκῶν λόγῳ, καὶ διηθῶν δὲ τὸν χυλὸν τῆς τήλεως μὴ ἐκπίεζε τὴν τῆλιν, ἀλλὰ τὸν αὐτομάτως ἀπορρέοντα ἔμβαλλε. εἰ δὲ μετὰ τὸ σκευασθῆναι τὸ φάρμακον καὶ ψυγῆναι θρόμβοι ἐν αὐτῷ γένωνται, μετακενώσας ὅλον ἢ κατὰ βραχὺ ἐν θυίᾳ λείου καὶ διαλύσας τοὺς θρόμβους ἀναλάμβανε καὶ χρῶ. Ἄλλη ὑγρὰ πρὸς τὰς συκώσεις ἐπαναστάσεις καὶ πρὸς πάσης σαρκὸς ἐξοχὴν καὶ πρὸς τὰς ἐγκανθίδας καὶ τὰς ἀρχομένας ὀφθαλμίας. μίσυος ὀπτοῦ < η̅ σμύρνης < β̅ μέλιτος τὸ ἀρκοῦν· ἢ μίσυος ὀπτοῦ < ϛ̅ χαλκάνθου σμύρνης ἀνὰ < δ̅ μέλιτος Γο λ̅, σκεύαζε καὶ χρῶ. Ὀριβασίου ὑγρὰ πρὸς τοὺς δίχα ἑλκώσεως ὑποπύους. χαλκάνθου κρόκου ἀνὰ < η̅ ζιγγιβέρεως < δ̅ μέλιτος λι α̅. Τοῦ αὐτοῦ ὑγρά. μέλιτος Γο β̅ ὀποβαλσάμου σμύρνης ἀνὰ < β̅ ὀποῦ Κυρηναικοῦ < α̅ ϲ ὀποπάνακος ὁμοίως. ⟨Ἐκ⟩ τοῦ αὐτοῦ ὑγρὰ ὑποπύοις Βάσσου. κρόκου ἀλόης σμύρνης ἀνὰ Γο α̅ ϲ οἴνου Γο γ̅ μέλιτος Γο ϛ̅· λειοῦται ὁ κρόκος σὺν ὀλίγῳ οἴνῳ, εἶτα ἀλόη σμύρνα· κἀπειδὰν σύστασιν λάβῃ παχυνθέν, ἐπιβάλλεται τῷ μέλιτι καὶ ἑνωθὲν ἀποτίθεται ἐν ὑέλῳ· χρῶ δὲ δὶς τῆς ἡμέρας ἐγχρίων· εἰ δ' ἐπείγοι καὶ τρὶς καὶ ἐπιδέσμει τὸν ὀφθαλμόν. ἀνακαθαίρει σαρκοῖ ἐπουλοῖ μέχρι τέλους ἐγχριομένη.

6 ὡς προείρηται κτλ. *p. 268, 16 sqq.* 11—15 Ἄλλη ὑγρὰ — χρῶ *Gal. ib. (ib. 735, 8—16) Or.*[a] *III 148 Paul. VII, 16, 56* 16 τοῦ αὐτοῦ *(sc. Orib.)* κτλ. 18 Ἐκ τοῦ αὐτοῦ *(sc. Orib.)* κτλ. *locos in Orib. non inveni*

φ(CL[a]) χ(M[c]) ψ(ADPQ) ω(A[t]) 1 τῶν ὀφθαλμῶν CAQω *post* λεπτύνει: δὲ χDP καὶ *pr. om.* ω ἐπιχριομ.] ἐπιτιθεμένη AQ 3 ἐπιχρήσις Q 4 τήλεως — ἴσον *om.* AQω χυλοῦ *om.* φ πραοτάτω χω 5 λάβοι C 6. 7 ἐν τοῖς ὀφθαλμοῖς DP ὀφθαλμῶν AQω 7 δὲ *om.* ω τῆς τήλεως τὸν χυλὸν ω 8 *post* ἀπορρ.: χυλὸν Q ἔμβαλε ψ 10 θυεία DP διαλύσας τοὺς θρόμβους *post* χρῶ *transp.* DP 11 Ἄλλη — σκεύαζε καὶ χρῶ *(15) om.* AQ συκώσεις (καὶ C) Cω *post* ἐπαναστ.: ἐστὶ δὲ L[a] 12 πρὸς *pr. om.* α, *exc.* L[a] πᾶσαν ω τὰς *om.* Cω 13 τὰς] πρὸς C 14 *post* ἀρκοῦν: μίξας χρῶ DP ἢ] ἄλλη (-ο) α, *exc.* L[a] ϛ̅] β̅ χ γ̅ ω *post* χαλκ.: < ζ̅ C < δ̅ *cett. codd., exc.* L[a] σμύρνης *om.* C ἀνὰ *om.* α, *exc.* L[a] Γο λ] οὐΓΓ´ α̅ χ οὐΓΓ´ δ̅ DP τὸ ἀρκοῦν ω 15 σκεύαζε καὶ χρῶ *om.* ω δίχα] διὰ A *(Ald.)* ὑποπίους ω 16 *post* χαλκ.: < η̅ χAQω *ante* κρόκου: καὶ ω ἀνὰ *om.* χAQω < η̅] ὁμοίως ω λι] < DP *ante* τοῦ: χρῶ· ἄλλη C ἄλλη AQ σκεύαζε καὶ χρῶ DP 17 *ante* ὑγρὰ: ἑτέρα DP ὑγρὰ *om.* Q μέλιτος — Βάσσου *(18) om.* AQ *post* ὀποβ.: < (οὐλκ. C) β̅ ϲ Cχω σμύρνης ἀνὰ (ἀνὰ *om.* χ) < β̅ *om.* Cω 18 α̅ ϲ] καὶ ω *om.* C *post* ὀποπάνακος: ἀνὰ Cω ὁμοίως] < α̅ ϲ α, *exc.* L[a] *ante* τοῦ: χρῶ DP ἐκ *addidi* ὑποπύοις ὑγρὰ CDPω πρὸς ὑπωποίους ὑγρὰ χ Βάσσου] βαλσάμου χDP πράσου ω 19 ϲ *om.* Cχψ Γο γ̅] καὶ C μέλιτος (ἀνὰ C)] τὸ μέλι L[a] ϛ̅] γ̅ CQ 19. 20 λείου ταῦτα τόν τε κρόκον ω 21 ἐπίβαλλε ω τὸ μέλι χψ ἐν *om.* ω 22 κατεπείγει DP ἐπίγη Q 23 *ante* σαρκοῖ: καὶ ω ἐγχριόμενον A ...νοι Q

ἐπὶ δὲ τῶν πλείστων μετὰ τὴν ἀνακάθαρσιν ἐπὶ τὰ κολλύρια μεταβαίνομεν καὶ μάλιστα τὸ ἐπιγεγραμμένον αἰγυπτάριον αἰγοπρόσωπον.

Ὑγρὰ διὰ πείρας. περιστερεῶνος ὀρθοῦ χυλὸν λυκίου Ἰνδικοῦ ἴσα τουτέστι ἀνὰ ℔ α̅ ἑκάστου, μέλιτος τὸ ἴσον.

Ὑγρὰ διὰ στέατος ἐχίδνης, παραδόξως ποιοῦσα πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀμβλυωπίας ἰᾶται. πηγάνου χυλοῦ ὀποβαλσάμου μαράθρου χυλοῦ χελιδονίας τῆς παρὰ τοῖς φραγμοῖς χυλοῦ στέατος ἐχίδνης τετηκότος ἐν διπλώματι μέλιτος ἀκάπνου ἴσον ἑκάστου μίξας ἅμα καὶ διηθήσας διὰ ῥάκους καθαροῦ, χρῶ θαρρῶν· ἐνίοτε τοῦ μέλιτος βαλὼν ℔ α̅ς, τῶν δὲ λοιπῶν ἀνὰ ℔ α̅.

ρ̅β̅ Κολλύρια διάκροκα καὶ διάσμυρνα καὶ διάχυλα διάφορα. γλαυκίων < κ̅δ̅ σαρκοκόλλης < ι̅ς̅ κρόκου < η̅ κόμμεως < η̅ τραγακάνθης < δ̅, ξηρὰ λειότατα πάντα ποιήσας ἀναλάμβανε τῇ τραγακάνθῃ ἀποβεβρεγμένῃ· ἢ οὕτως σκεύαζε· λείου ὕδατι τὴν σαρκοκόλλην, εἶτα ἐπίβαλλε τὰ γλαύκια σεσησμένα καὶ πάλιν λείου, εἶτα κρόκον ξηρὸν χνοωδέστατον γενόμενον, εἶτα τραγάκανθαν ξηρὰν λειοτάτην καὶ χνοώδη γενομένην καὶ τὸ κόμμι ὁμοίως ἐπίπασσον, ἵνα αὐθημερὸν ἢ τῇ ἑξῆς κολλυριασθῇ. χρονίσαντα γὰρ ἐν τῇ θυίᾳ τὰ διάκροκα μελαίνεται καὶ τῇ δυνάμει ἀλλοιοῦται. χρῶ δὲ αὐτῷ δι' ᾠοῦ, ὑδαρὲς ἐγχυματίζων· ἀρχομένης δὲ τῆς παρακμῆς παχύ, βεβαίας δὲ τῆς παρακμῆς γενομένης ὕδατι ἔγχριε. Ἄλλο διάσμυρνον. γλαυκίων < μ̅η̅ σαρκοκόλλης < μ̅η̅ κρόκου < κ̅δ̅ ὀπίου σμύρνης ἀνὰ < ϛ̅ λίθου αἱματίτου < ϛ̅ τραγα-

5—10 Ὑγρὰ—℔ α̅ *cf. Gal. ib. (ib. 739, 9—12)* 11—*p. 357, 1* γλαυκίων—ᾠοῦ *Gal. ib. (ib. 745, 11—14, 746, 10—13) Paul. VIII, 16, 20*

φ (CLᵃ) χ (Mᵒ) ψ (ADPQ) ω (Aᵗ) 2 *post* μάλιστα: ἐπὶ ω ὑπογεγραμμ. A ἀναγεγραμμ. ω *om.* χ αἰγυπάρ^α P 3 *ante* ὑγρὰ: ἄλλη C Ὑγρὰ διὰ πείρας—λοιπῶν ἀνὰ ℔ α̅ *(10) om.* Lᵃ χ ψ *post* πείρας: ἔχει C ἴσα τουτέστι *om.* C 4 ἑκάστου] καὶ C τὸ ἴσον] ἀττικοῦ θου^ΓΓ' λ' καὶ χρῶ. ἄλλη C 6 χυλοῦ *Ald.* -ὸν C ω ὀποβ. *post* χυλοῦ *alt. (7) transp.* C 7 χυλοῦ (-ὸν C) *pr. Ald. om.* ω τοῖς φραγμοῖς C *Ald.* τῆς φλεγμονῆς ω (τοῦ C) χυλοῦ C *Ald.* ...ὸν ω 9 *post* ἐνίοτε: δὲ C βάλλε C 10 τὰ ..λοιπὰ C 11 Κολλύριον ω (*in marg.* P) διάκροκον ω (*in marg. P*) καὶ διάσμ. *om.* CQ διὰ χυλῶν Cχψ *ante* γλαυκίων: ὁμοίως καὶ πρὸς ἀρχάς· ἔχει δὲ οὕτως C διάκροκον A διάκ. πρὸς ἀρχὰς χD Κολλύριον διάκροκον Q διάκ. π. ἀρχ. ὀφθαλμ⟨·⟩ῶν ω 12 κ̅δ̅] ν̅δ̅ ω < η̅ *pr. om. sed post* κόμμεως: ἀνὰ CDP κόμμεως < η̅ *om.* ω η̅ *alt.*] δ̅ A δ̅] η̅ ω 13 λειώσας ω ποιήσας *om.* ω *post* ἀποβεβρεγμ.: γ̅ ω 14 ἢ] εἶθ' ω σκευάζεται C ὕδατι—πάλιν λείου *om.* ω σαρκοκόλλαν α, *exc.* Lᵃ ...βαλε ADQ 16 εἶτα—γενομένην *om.* Lᵃ εἶτα] καὶ DP τραγάκανθον *vel* ...θαν *codd.* ξηρὸν λειότατον ω καὶ χνοώδη *om.* Cχψ γενομένη ω 17 ἐπιπάσσων (= D) ὁμοίως CAQ κολλουρ. Lᵃ κολλυρισθῇ χψ κολλυρεῖσθαι ω 18 γὰρ] δὲ C *om.* ω *ante* μελαίνεται: καὶ DP 18. 19 τῇ δυνάμει *om.* AQ 19 αὐτά C αὐτοῖς Q ὑδαροῦς AQ 20 δὲ *pr.*] μὲν DP *om.* χAω *ante* τῆς *pr.*: τῆς ὀφθαλμίας ἀρχομένης δὲ (ἀρχομ. δὲ] ἤγουν χ) CχQω παχὺ—παρακμῆς *om.* A γιγνομ. χψ 21 *ante* διάσμυρν.: τὸ C διάσμυρνον—δι' ᾠοῦ *(p. 357, 1) om.* AQ < μ̅η̅ *pr.*] καὶ ω *om.* φ *post* σαρκοκ.: ἀνὰ C 22 < κ̅δ̅] < δ̅ *in marg.* Γρ^αι' κ̅δ̅ < D < δ̅ P ὀποῦ ω *post* ὀπίου: < ϛ̅ χω ἀνὰ *om.* χω ἀ. < ϛ̅ *om.* CDP αἱματίτου λίθου (ἀνὰ CDP) α, *exc.* Lᵃ 22—*p. 357, 1* τραγακάνθ. < μ̅η̅ *post* ϛ̅ *pr. transp.* ω

κάνθης < μ̅η̅ κόμμεως < ι̅ϛ̅ ὕδωρ· ἡ χρῆσις δι' ᾠοῦ. Φωσφόρος πρὸς περιωδυνίαν καὶ πᾶσαν φλεγμονὴν καὶ τὰς ἐπιτεταγμένας ἐπιφοράς. γλαυκίων < κ̅δ̅ σαρκοκόλλης κρόκου ὀπίου σμύρνης μίσυος κεκαυμένου ἀνὰ < η̅ κόμμεως < ι̅β̅, ὕδωρ. Ἄλλο εὔχρουν, ποιοῦν ὅσα ὁ φωσφόρος καὶ πρὸς βλέφαρα παχέα καὶ τραχέα καλόν ἐστι καὶ παιδικοῖς, ὃ ἐσκεύασα. γλαυκίων < ξ̅δ̅ σαρκοκόλλης < λ̅β̅ κρόκου < κ̅δ̅ ὀπίου σμύρνης λίθου αἱματίτου ἀνὰ < ϛ̅ τραγακάνθης < ι̅ϛ̅ κόμμεως ὁμοίως, ὕδωρ· ἐγχυμάτιζε δι' ᾠοῦ κατ' ἀρχάς. Ἀνώδυνον διὰ χυλῶν πρὸς πᾶσαν περιωδυνίαν, ὕπνον ποιεῖ παραχρῆμα. γλαυκίων < μ̅η̅ σαρκοκόλλης < ι̅ϛ̅ κρόκου < η̅ ὀπίου λυκίου Ἰνδικοῦ ἀνὰ < δ̅ ῥόδων χυλοῦ < δ̅ μανδραγόρου χυλοῦ < δ̅ ὑοσκυάμου χυλοῦ κωνείου χυλοῦ ἀνὰ < δ̅ τραγακάνθης < ι̅ϛ̅ κόμμεως < η̅· ἀναλαμβάνεται μελιλώτου ἀφεψήματι· συντίθεται δὲ τὸν τρόπον τοῦτον· λαβὼν μελιλώτων λίτραν μίαν καὶ ὕδατος ὀμβρίου ℨ ϛ̅, ἕψεται εἰς τρίτον καὶ διηθήσας τὸ ὑγρὸν πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν. Κολλύριον διὰ χυλοῦ πολυγόνου. χυλοῦ πολυγόνου ℥ ϛ̅ λυκίου Ἰνδικοῦ < ϛ̅ ἀλόης σμύρνης λιβάνου ἀνὰ < δ̅ ὀπίου < γ̅ ἀκακίας μελαίνης πρωτείας < ι̅β̅ οἴνου παλαιοῦ καὶ εὐώδους τὸ ἀρκοῦν. ποιεῖ πρὸς πάντα τὰ ἐν ὀφθαλμοῖς πάθη· ἀναστέλλει τὰ ῥεύματα καὶ παύει τὰς ὀδύνας· ἔστι δὲ φιλόλουτρον, ὅθεν ἐγχρίσας κέλευε λούεσθαι, ποιεῖ καὶ πρὸς ἕλκη.

1—4 Φωσφόρος—ὕδωρ | 8—15 Ἀνώδυνον—σκευασίαν *Gal. ib. IV 8 (ib. 747, 5—9, 13—748, 5)*

φ(C Lª) χ(M°) ψ(A D P Q) ω(Aᵗ) 1 κόμμεος *(= 4 et alibi)* D P *ante* ὕδωρ: καὶ D P *post*: τὸ ἀρκοῦν C *ante* Φωσφόρος: τὸ λεγόμενον ἡ D P λεγόμενον A Q ἄλλο χ ω φ(ο)ωσφόρ^ως χ 2 περιωδυνίας φ 3 *post* σαρκοκ.: η̅ χ A ω δραχμὰς (οὐλκ. C) η̅, *om.* κρόκου C Q *post* κρόκου: < η̅ χ *post* ὀπίου *et* σμύρνης: δραχμὰς η̅ Q *ante* μίσυος: ἀνὰ < η̅ ω < η̅ χ A 4 ἀνὰ *om.* χ A ω *ante* ὕδωρ: καὶ D P *post:* τὸ ἀρκοῦν καὶ χρῶ C Ἄλλο—φαρμάκου σκευασίαν *(15) om.* A Q ποιεῖ C χ ω ὃ] ἡ D P 5 *ante* καὶ *pr.*: ποιεῖ D P παχέα καὶ *om.* α, *exc.* Lª ἐστι *om.* Lª παιδικὸν C χ D P παιδίοις ω 5. 6 ὃ ἐσκεύασα *om.* ω 6 ξ̅δ̅] ξ̅ C λ̅β̅] β̅ Lª *post* ὀπίου: < (οὐλκ. C) ϛ̅ C χ ω 7 σμύρν.—αἱματίτου ἀνὰ < ϛ̅ *om.* ω *post* σμύρνης < ϛ̅ χ λίθου *post* αἱματ. *transp.* D *om.* C χ ἀνὰ *om.* χ τραγακαν^θ' P ω < ι̅ϛ̅ *om* C D P ὁμοίως] ἀνὰ < (οὐλκ ἀνὰ C) ι̅ϛ̅ C D P < ι̅ϛ̅ χ ω 8 *ante* ὕδωρ: καὶ D P κατ' ἀρχὰς δι' ᾠοῦ α, *exc.* Lª *ante* (*post* C) ἀνώδυνον: ἄλλο C ω χυλοῦ Lª 9 ποιεῖ δὲ καὶ ὕπνον D P 10 *post* ὀπίου: < δ̅ χ ἀνὰ *om.* α, *exc.* Lª < δ̅ *et id. 11 pr. et alt.* (*11 pr. tant. om.* C) *om.* D P ω 11 καὶ μανδραγόρας ω μανδραγ. χ. < δ̅ *om.* C χ χυλοῦ *pr.*] χυλὸν α, *exc.* D P *om.* ω ὑοσκυάμου χ. (χυλ. *om.* ω) *om.* Lª χ D P *ante* κωνείου (κυν., κωνίου): καὶ ω χυλοὺς ω ἀνὰ *om.* χ 12 η̅] μ̅η̅ C χ ω ...λάμβανε C μελιλώτου] τῷ C 13 *post* ἀφεψήμ.: τῷ μέλιτι C μελιλώτων *om* D P 14 ℨ] ὀβολοὺς C < ω ϛ̅] α̅ D P ἕψει P ...ε χ D ω *(Gal.)* *ante* τρίτον: τὸ χ D P *(Gal.)* 15 *ante* πρὸς: χρῶ C χ D P χυλοῦ *om.* Lª 16 χυλοῦ *om.* C πολυγόνου χυλοῦ α, *exc.* φ λυκίου πολυγόνου ἀνὰ C Ἰνδ. < ϛ̅ *om.* C *post* ἀλόης: < δ̅ χ ψ σμύρνης *om.* χ D P 17 *ante* λιβάνου: < δ̅ A Q λιβάνου *om.* P ἀνὰ *om.* χ ψ < δ̅ *om.* P γ̅] δ̅ Q 18 καὶ *om.* α, *exc.* Lª 19 ἀναστέλλων ω 19. 20 *ante* φιλόλουτρον: καὶ C ψ 20 λούσασθαι C Q

Κολλύριον διὰ χυλῶν ῥάμνου· κολλύριον πρὸϲ χημώϲειϲ καὶ περιωδυνίαϲ, εἰϲ δ μεγάλα τινὲϲ καυχῶνται. χαλκοῦ καδμίαϲ ὀπίου ἀνὰ Γ° γ̅ ἢ β̅ ἀλόηϲ κρόκου ἀνὰ Γρ ιϛ̅ ἀκακίαϲ κόμμεωϲ ἀνὰ Γ° η̅ ῥάμνου καρποῦ τοῦ χυλοῦ Γ° ιβ̅, ὕδωρ τὸ ἀρκοῦν· εἰ δὲ εὐπορεῖϲ, βάλε χυλὸν τοῦ καρποῦ ὅλον· τὸ δὲ κόμμι ὕδατι βρέχε. Κολλύριον διὰ χυλοῦ περιϲτερεῶνοϲ, ὥϲτε μεγίϲταϲ ἐπιφορὰϲ ἐντὸϲ δευτέραϲ ἐγχρίϲεωϲ λύειν. κρόκου < γ̅ μέλιτοϲ < ϛ̅ γλαυκίων < ιβ̅ ὀπίου Γρ γ̅ ἀμύλου < δ̅ κόμμεωϲ < α̅, λέαινε, παραχέων χυλὸν περιϲτερεῶνοϲ ὀρθοῦ καὶ ἀνάπλαϲϲε καὶ χρῶ· ἔϲτι δὲ καὶ ἑτέρα δύναμιϲ, μηδὲ πιϲτευθῆναι δυναμένη· ποιεῖ γὰρ πρὸϲ ὀφθαλμίαν καὶ οἰδήματα καὶ ἐμφυϲήματα καὶ πᾶϲαν ἐπιφορὰν καὶ τὰϲ ἀπηλπιϲμέναϲ ἐν ὀφθαλμοῖϲ διαθέϲειϲ ἐν ἡμέραιϲ τριϲὶν ἀπαλλάττει. κρόκου < ιδ̅ ἀμύλου < ιβ̅ γλαυκίων < ιϛ̅ ὠοῦ τοῦ λευκοῦ < γ̅ τραγακάνθηϲ < δ̅, λείοιϲ, παραχέων περιϲτερεῶνοϲ ὀρθοῦ χυλὸν καὶ χρῶ.

Τὸ διὰ μαράθρου χυλοῦ. καδμίαϲ Γ° θ̅ ϲτίμμεωϲ Γ° η̅ μίϲυοϲ ὠμοῦ Γ° ϛ̅ ὀμφακίου Γ° α̅ϲ χαλκίτεωϲ Γ° α̅ κρόκου < α̅ϲ φύλλου Γ° α̅ μαράθρου χυλοῦ Γ° η̅· καὶ πάλιν ἀφεψήϲαϲ ἕτερα μάραθρα ὕδατι ὀμβρίῳ λείου τῷ ἀφεψήματι· πολλοῖϲ ἐϲκεύαϲται.

ρ̅γ̅ Περὶ μονοημέρων κολλυρίων Γαληνοῦ. ὡϲ τὸ πολὺ τὰ μονοήμερα κολλύρια μετὰ τοῦ λευκοῦ τοῦ ὠοῦ ἐγχριόμενα εὐθὺϲ ἐξ ἀρχῆϲ ἐκθεραπεύει τὰϲ ἄνευ πλήθουϲ γιγνομέναϲ ὀφθαλμίαϲ. ὄντωϲ γὰρ οὐκ ὀλιγάκιϲ ταῦτα καὶ τὰϲ μεγάλαϲ φλεγμονὰϲ ἐπράϋνεν οὕτωϲ, ὡϲ εἰϲ ἑϲπέραν μὲν λουτρῷ χρήϲαϲθαι τὸν ἄνθρωπον, ἐπὶ δὲ τῆϲ ὑϲτεραίαϲ τῷ ναρδίνῳ κολλυρίῳ πρὸϲ ἀποκατάϲταϲίν τε καὶ τόνωϲιν ὑπαλείψαϲθαι. παραμίγνυται δὲ τῷ ναρδίνῳ κατὰ μὲν τὴν πρώτην ὑπάλειψιν ἐλάχιϲτόν τι τῶν ἀποκρουϲτικῶν δριμέων καὶ ϲτατικῶν ὀνομαζομένων κολλυρίων, κατὰ δὲ τὴν δευτέραν βραχύ τι τοῦ ϲτατικοῦ πλέον. ἀρκοῦϲι γὰρ αἱ δύο προϲφοραὶ τοῦ φαρμάκου καί τιϲ περίπατοϲ οὐ

21—*p. 359, 16* ὄντωϲ—τήλεωϲ *Gal. ib. IV 3 (ib. 712, 18—714, 10)*

φ (C L) χ (M) ψ (A D P Q) ω (A) 1 Κολλύριον—ὕδατι βρέχε *(5) om.* A Q *ante* Κολλ.: ἄλλο, *post*: τὸ C Κολλ.] τὸ D P κολλ. *om.* C χ D P χειμάϲειϲ L A Q χυμ. C ω 2 εἰϲ δ] ἧϲ C *post* χαλκοῦ: Γ° β̅ χ D P καδμίαϲ *om.* ω *post* καδμίαϲ: Γ° β̅ χ ἀνὰ *om.* χ γ̅ ἢ *om.* α, *exc.* L 3 *post* ἀλόηϲ: Γρ′ ιβ̅ χ D P ἀνὰ *pr. om.* χ D P ιϛ̅] ιβ̅ α, *exc.* L *post* ἀκακίαϲ: Γ° η̅ χ ἀνὰ *alt. om.* χ 4 ἀπορεῖϲ α, *exc.* χ D P βάλλε C P ω 4. 5 τῶν καρπῶν ὅλων C 5 *ante* Κολλ.: ἄλλο ψ *post* Κολλ.: (ἄλλο C) Γαληνοῦ (τὸ C) C A Q 6 < γ̅ *om. sed post* μέλιτοϲ: ἀνὰ C 7 μέλιτοϲ] μελιλώτων α, *exc.* L ϛ̅] γ̅ C 8 ἀναπλάϲαϲ D P καὶ *om.* C D P 9 *post* δυναμ.: πρὸϲ ὀφθαλμοὺϲ D P 10 ὀφθαλμίαν καὶ *om.* D P 12 ἀπαλλάϲϲει α, *exc.* L κρόκου—πολλοῖϲ ἐϲκεύαϲται *(18) om.* A Q < ιδ̅ *om.* C 13 τραγακάνθηϲ ἀνὰ οὐλκ. δ̅ *ante* ἀμύλου *transp.* C τραγακαν [θ′] D P ω λείοι C χ ω 15 τὸ διὰ—ἐϲκεύαϲται *(18) om.* φ χ D P ὠμοῦ *Ald.* ὀποῦ ω 16 φύλλου Γ° α̅ *(hic. Ald.) post* η̅ *transp.* ω 21 ἐθεραπευ [θ′] ω ἐπιγινομέναϲ D P 22 ὡϲ *om.* C Q 23 μὲν *om.* ω ὑϲτέραϲ χ P ω 24 ὑπαλήϲεϲθαι C 25 παραμιγνύναι *(recte) Gal.* 26 ἀποκρουϲτ. *om.* ω ϲτακτικῶν C ϲταλτικῶν D P *(Gal.)* ϲτακτῶν A Q ω 27 ϲτακτικοῦ C …λτικοῦ D P ϲτακτοῦ A Q 28 οὐ *om.* D P

πολὺς πρὸ βαλανείου εἰς τελείαν ἀποκατάστασιν. τὰ δ' οὖν μονοήμερα κολλύρια καλούμενα τὰ μὲν ἰδίως ὀνομαζόμενα τρυγώδη πολλὴν ἔχει τὴν ἀκακίαν, ἔνια δὲ ἤτοι παντάπασιν ὀλίγην ἢ οὐδόλως ἔχοντα προσείληφε τὰ μὲν τὴν λεπίδα τοῦ χαλκοῦ, τὰ δὲ τὸν κεκαυμένον χαλκὸν ὀλίγον, ἅμα πολλοῖς τοῖς ἄλλοις ὅσα στύφει μετρίως καὶ πέττει καὶ διαφορεῖ. τοιαῦτα δέ ἐστι κρόκος καὶ σμύρνα καὶ λύκιον Ἰνδικὸν καστόριόν τε καὶ λιβανωτός, ἃ ἄνευ τοῦ στύφειν πέττει ἅμα καὶ διαφορεῖ. ἐφ' ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα, πλεῖστον μὲν εἶναι δεῖ τὸ ὑγρὸν τοῦ ᾠοῦ, βραχύτατον δὲ τοῦ φαρμάκου, καὶ μάλιστα ἐὰν ἔχῃ τι τῶν μεταλλικῶν τὸ φάρμακον. ἐφ' ὧν δὲ ὅ τε κρόκος καὶ ἡ σμύρνα καὶ τὸ καστόριον ὅ τε λιβανωτὸς καὶ τὸ λύκιον ἐπικρατεῖ, βραχὺ παχυτέρῳ χρηστέον ἐστὶ τῷ φαρμάκῳ. πυρίᾳ δὲ χρηστέον πάντως ἐπ' αὐτοῖς διὰ σπόγγου μετρίως μὲν ὀδυνωμένοις ἅπαξ ἢ δὶς τῆς ἡμέρας· εἰ δὲ σφοδρότερον ὀδυνώμενοι τύχοιεν, ἄμεινόν ἐστι καὶ τρὶς καὶ τετράκις καὶ πλεονάκις χρῆσθαι, μάλιστα ἐν ταῖς μεγάλαις ἡμέραις. ἡ πυρία δὲ γιγνέσθω δι' ἀφεψήματος μελιλώτων καὶ τήλεως. παραφύλαττε δὲ τὴν χρῆσιν αὐτῶν, ἐφ' ὧν πλῆθος ὑπόκειται ἐν παντὶ τῷ σώματι· τὰ γὰρ μονοήμερα ψυχρότερα ὄντα τῇ δυνάμει πίλησιν τῶν σωμάτων καὶ πύκνωσιν τῶν πόρων ποιεῖται. πλήθους δὲ ὕλης ὑποκειμένου τοῖς ὀφθαλμοῖς ῥήξεως τοῦ κερατοειδοῦς αἰτία γίγνεται. ἡμεῖς δὲ ἐπὶ τῶν προσφάτων ὀφθαλμιῶν τῷ Θεοδοτίῳ Σεβήρου ἐγχρίσαντες μεθ' ὕδατος καὶ σπόγγον ἔξωθεν τῷ ὀφθαλμῷ ἐπιθέντες ἀπηλλάξαμεν τοῦ πάθους τὸν κάμνοντα. ὡς ἐπίπαν δὲ λουτρῷ χρῆσθαι παραιτούμεθα εὐθὺς μετὰ τὴν πρώτην ἔγχρισιν. τὰ δὲ μονοήμερα κολλύριά ἐστι τοιαῦτα· κολλύριον μονόμηλον καλούμενον διὰ τὸ ἀπὸ μιᾶς ἐγχρίσεως, φησί, θεραπεύειν· ἔστι δὲ πολυχρηστότατον· ποιεῖ πρὸς τὰς χρονίας καὶ δυσλύτους διαθέσεις καὶ μάλιστα ἐφ' ὧν καὶ τὰ βλέφαρα τετράχυνται, καθ' ὑποβολὴν ἐγχριόμενον. δεῖ δὲ μετὰ τὴν ἔγχρισιν μύειν τὸν ὀφθαλμὸν ἐπὶ πολύ. ποιεῖ καὶ πρὸς τὰς συγχύσεις τῶν ὀφθαλμῶν καὶ ἐπὶ σταφυλωμάτων· ἔστι δὲ καὶ παιδικὸν ἀγαθόν. χρῶ δὲ ἐπὶ μὲν τῶν ὑπομένειν δυναμένων τὴν δῆξιν μεθ' ὕδατος ἀνιῶν, ἐπὶ δὲ τῶν ἄλλων μετ' ᾠοῦ, ἐπὶ πάντων δὲ καθ' ὑποβολὴν τὸ βλέφαρον ὑπάλειφε. εἰ δὲ σφοδρὰ εἴη ἡ φλεγμονὴ μετ' ᾠοῦ ἐγχυμά-

φ (C L^a^) χ (M^o^) ψ (A D P Q) ω (A^t^) 1 πρὸς βαλανεῖον ω δ' οὖν] δὲ A Q γοῦν D P 2 κολλύρια *post* καλούμ. *transp.* A Q *om.* C χ D P ω ἔχουσι ω 3 ἤτοι *om.* C A Q 4. 5 τῶν κεκαυμένων χαλκῶν ὀλίγων ω 5 πολλοῖς *om.* A Q 6 τοιαῦτα — διαφορεῖ *(7) om.* C χ A Q δέ *om.* ω καὶ *alt. om.* L^a^ σμύρνη ω 6. 7 *ante* καστ.: καί, *pro* τε: δέ, ἃ *om. Gal.* 7 ἃ] ταῦτα γὰρ D P *om.* ω *post* στύφειν: ἐπιφανῶς D P 8 μὲν *alt. om.* L^a^ D δεῖ *om.* C A Q 11 κρατεῖ ω βραχεῖ L^a^ 12 ἐστὶ *om.* Q τὸ φάρμακον L^a^ *post* δέ: ἐστι ω 13 σπόγγων D P μετρίου C μὲν *om.* L^a^ ω ...ωμένων α, *correxi ex Gal.* 15 καὶ πλεον. *om.* ω *ante* μάλιστα: καὶ ω ἡ *om.* C Q 16 μελιλώτου C χ A Q ω *(Gal.)* 16. 17 παραφυλάττειν D P ...τεσθαι C Q ω 17 παντὶ] ὅλω A Q 20 τοῖς *om* ω 23 πάθους] νοσήματος C κάμνοντα] πάσχοντα α, *exc.* L^a^ 24 ...αινοῦμεν C Q 25 κολλύρια *om.* D P ταῦτα ω κολλύριον *om.* ω μονοήμερον D P Q καλ.] λεγόμενον D 26 πολύχρηστον L^a^ *post* ποιεῖ: καὶ C 28 ἐγχριόμενα ω 29 *post* (*ante* C) ποιεῖ: δὲ C χ 32 ἀνεῶν C χ ω ἀνιεὶς D P ὑπερβολὴν C A P Q 32 τοῦ βλεφάρου ω εἴη] ἢ D P

τιζε. ἔχει δὲ οὕτως· καδμίας < κδ χαλκάνθου χαλκίτεως ὀπτῆς ὀπίου ἀνὰ < ιβ πεπέρεως κόκκοι κδ μέλιτος Γ° α c κόμμεως < κδ, ὕδωρ· τὸ μέλι ἔσχατον ἐμβάλλεται. Κολλύριον πηλάριον· πρὸς μὲν τὰς ἀρχὰς ὑδαρὲς δι᾽ ὕδατος, πρὸς δὲ τὰς ἀκμὰς δι᾽ ᾠοῦ ὑδαρές, πρὸς δὲ τὰς χρονιζούσας ὀφθαλμίας παχύτερον δι᾽ ᾠοῦ, εἶτ᾽ ἐκ προσαγωγῆς καὶ ὕδατος τῷ ᾠῷ μιγνυμένου, ἐπὶ τέλει δὲ δι᾽ ὕδατος μόνου. ἐπὶ μέντοι τῶν ἑλκώσεων ἔλαττον ἐνεργεῖ. καδμίας < ιϛ ψιμμυθίου < μη ἀκακίας ὀπίου ἀνὰ < κδ ἀμύλου τραγακάνθης κόμμεως ἀνὰ < ιβ χαλκοῦ σμύρνης ἀνὰ < γ κρόκου < α c, ὕδωρ. Ἕτερον πηλάριον ὁ Ἀντωνῖνος· καδμίας ψιμμυθίου ἀνὰ < κδ ἀκακίας < η ὀπίου < ιη κόμμεως τραγακάνθης ἀμύλου ἀνὰ < θ σμύρνης < γ χαλκοῦ κεκαυμένου κρόκου ἀνὰ < α c, ὕδωρ. τοῦτο μᾶλλον ποιεῖ πρὸς ἑλκώσεις. Ἕτερον πηλάριον, ὃ καλοῦσι συνέκδημον. καδμίας πομφόλυγος ἀνὰ Γ° γ ψιμμυθίου Γ° ε ὀπίου Γ° α c ἀκακίας σμύρνης κόμμεως ἀνὰ < η τραγακάνθης Γ° γ ἀμύλου Γ° ϛ χαλκοῦ κεκαυμένου κρόκου ἀνὰ < δ, ὕδωρ· ἔστι δὲ κάλλιστον πρός τε χημώσεις καὶ τὰς λοιπὰς ὀφθαλμίας, καὶ πρὸς τὰς ἀκμὰς καὶ ἑλκώσεις πάσας μετὰ τοῦ μὴ δασύνειν τὰ βλέφαρα· ἀνακαθαίρει τε γὰρ καὶ πληροῖ καὶ κατουλοῖ μάλιστα τῷ πυρρῷ μιγνύμενον· ἀντὶ δὲ πομφόλυγος καδμίᾳ τρὶς κεκαυμένῃ χρῶμαι. Κολλύριον πηλάριον ἐδεσσηνόν. καδμίας < ιϛ ψιμμυθίου < η ὀπίου < δ σαρκοκόλλης ἀμύλου ἀκακίας τραγακάνθης κόμμεως ἀνὰ < β λεπίδος < α, ὕδωρ· ἐγχρίων δὲ μεθ᾽ ὕδατος λοῦε.

7 καδμίας κτλ. *Paul. VII, 16, 11*

φ(C L^a) χ(M^o) ψ(ADPQ) ω(A^t) 1 κδ] δ ω χαλκοῦ CAQω *ante* χαλκίτ.: καὶ ω < ιβ χAQ *(Ald.)* *post* ὀπτῆς: (ἀνὰ ω) < ιβ CχAQω 3 ἀνὰ *om.* CχAQω ιβ] ια ω κόκκους AD c *om.* CAQ *ante* ὕδωρ: καὶ DP *post* ὕδ.: τὸ ἀρκοῦν C 3 *ante* μέλι: δὲ CDP Κολλύριον *om.* ω πιλάριον *(l. 9)* L^a *post* πηλάρ.: λεγόμενον C 4 ὑδαρὲς (...ρέστερον DP) δι᾽ ᾠοῦ α, *exc.* L^a πρὸς δὲ τὰς — δι᾽ ᾠοῦ *om.* ω 5 ὀφθαλμ.] διαθέσεις ω 6 *ante* δι᾽: καὶ DP 7. 8 ἀκακίας ὀπίου ἀνὰ < κδ *om.* ω *post* ἀκακίας: < κδ χ *Ald.* < κ CAQ 8 ἀνὰ *om* CχAQ κδ] δ AQ ἀμύλου — κόμμεως ἀνὰ < ιβ *(<* κδ *add.) canc. sep.* χ χαλκοῦ — ὀπίου < ιη *(10) om.* χ χαλκοῦ *om.* L^a *post* χαλκοῦ: < γ APQ < α c D 9 ἀνὰ *om.* ψ κρόκου < α c *om.* CQ *ante* ὕδωρ: καὶ DP *post* ὕδωρ: τὸ ἀρκοῦν καὶ χρῶ C ὁ *om.* L^a 10 *post* καδμίας: καὶ ω < κδ AQ ψιμμυθ. ἀνὰ οὐλκ. κδ *ante* κόμμεως *transp.* C ἀνὰ *om.* AQ < η] < ιη AQ *om.* Cω *post* ὀπίου: ἀνὰ Cω κόμμεως *om.* ω 10. 11 τραγακαν$^{θ'}$ DPω 11 θ] δ C *post* κεκαυμ.: < α c α, *exc.* L^a 12 ἀνὰ *om.* α, *exc.* L^a < α c *om* ω *ante* ὕδωρ: καὶ DP *post* ὕδ.: τὸ ἀρκοῦν C τοῦτο — ἑλκώσεις *om.* χ πρὸς ἑλκ.] ἑλκώσεσιν CAQω Ἕτερον — λοῦε *(23) om.* AQ πιλάριον *(et alibi)* L^a 13 *post* καδμίας: Γ° γ α, *exc.* L^a ψιμμυθίου Γ° ε πομφόλυγος Γ° γ α, *exc.* L^a 14 τραγακαν$^{θ'}$ DPω Γ° *et id. 15*] < χDP 15 *post* κεκαυμ.: < δ χω ἀνὰ *om.* χω ὕδατος τὸ ἀρκοῦν C ὕδωρ *om.* DP 16 ἐγχυμώσεις C 17 μετὰ — βλέφαρα *om.* ω 19 δὲ *om.* α, *exc.* L^a καδμία *sed in marg.* γρ^{αι} καδμίας χD ...ίας CAPQ τρεῖς Dω Γ° γ P κεκαυμένης χP ...ας D λαμβάνω, *in marg.* Γρ΄ χρῶμαι D λαμβάνω P Κολλύριον] ἄλλο C ἕτερον D *in marg.* P *om.* χω 20 καδμίας — λεπίδος < α (λεπίδ. < α *om.* P)] τραγακάνθης κόμεως ἀκακίας ἀμύλου σαρκοκόλλης ἀνὰ < β ὀπίου < δ ψιμμυθίου < η καδμίας < ιϛ ω 22 *ante* ὕδωρ: καὶ DP *post* ὕδωρ: τὸ ἀρκοῦν καὶ χρῶ C ἐγχρίων — λοῦε *om.* Cω

Περὶ τῶν στατικῶν κολλυρίων καὶ ἐρικηρῶν. καὶ τὰ στατικὰ δὲ ρ̅δ̅ καλούμενα κολλύρια ἀποκρουστικὰ τυγχάνει· ἵστησι γὰρ τὴν ἄτακτον ὁρμὴν τοῦ ῥεύματος. καὶ τὰ μὲν αὐτῶν Ἑρμόλαοι καλοῦνται, ἕτερα δὲ ἑξηκοντάρχια, ὡς οἶμαι, ἐκ τοῦ τὴν σύμπασαν σκευὴν ἑξήκοντα ἀρχῶν ὑπάρχειν, καί τινα αὐτῶν ἑκατοντάρχια· πολλαὶ δὲ καὶ τούτων αἱ ὗλαι γεγόνασι, πρὸς ἃς ὁ ἰατρὸς ἀχθείς, καθάπερ ἐν πελάγει ἰλιγγιάνας, πρὸς τὸ πλῆθος ἀφίπταται τοῦ σκοποῦ. δέον οὖν πάντων διακρίνοντας τὰς δυνάμεις εἰς ἓν τέλος ἁρμόσαι τὰς τούτων ἐνεργείας. γνῶναι μὲν γὰρ δεῖ ὡς ἅπαντα τὰ στατικὰ ψύχει καὶ στύφει, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, ἀλλὰ καὶ ξηραίνει ποσῶς. πρὸς τὰς ξηροτέρας τοίνυν ὀφθαλμίας τὰ τοιαῦτα χρήσιμα, οὐ μέντοι γε κατ᾽ ἀρχὰς εὐθέως. πρὶν γὰρ ἂν ἡ πέψις φανῇ, ἄριστον ἡμῖν καὶ θαυμαστὸν ὤφθη τὸ λευκὸν Σεβήρου κολλύριον ὃ διὰ χυλοῦ τήλεως σκευάζεται καὶ καδμίας καὶ ψιμμυθίου καὶ τραγακάνθης, καὶ τὸ μετ᾽ αὐτὸ γεγραμμένον. εἰς πέψιν δὲ ἀχθείσης τῆς διαθέσεως πάλιν ἐκ τῶν πολλῶν στατικῶν ἐπιτήδειον τὸ ἑκατοντάρχιον καλούμενον εὕρομεν, καὶ μᾶλλον αὐτοῦ τὸ μετ᾽ αὐτὸ γεγραμμένον. λαμβάνει δὲ τὸ ἑκατοντάρχιον χαλκοῦ μὲν < ι̅β̅ καδμίας δὲ < ι̅ε̅ σμύρνης ὀπίου ἀνὰ < δ̅ ἀκακίας < λ̅β̅ κόμμεως < λ̅β̅ κρόκου < α̅, ὕδωρ. τοῦτο τὸ κολλύριον ὑδαρὲς πρὸς τὴν ἔγχρισιν παραλαμβανόμενον πρὸς τὰς συμπεπλεγμένας διαθέσεις ἁρμόδιον ὤφθη, ἐφ᾽ ὧν ἐστι φλεγμονὴ καὶ περίτασις καὶ ἐπίρροια τοῦ ῥεύματος. λεπτύνει μὲν γὰρ τὰ βλέφαρα καὶ τὰ τούτων δασύματα καὶ τραχώματα ἐξομαλίζει ὕδατι ἐγχριόμενον. καὶ ἀμβλυωπίας δὲ ἔπαυσε στῦψαν καὶ ὡς παρεκθλῖψαν τὰ προκείμενα τῷ ὀφθαλμῷ ὑγρά. ἐπὶ δὲ τῶν εὐαισθήτων ὀφθαλμῶν τῷ λευκῷ τοῦ ᾠοῦ τὴν ἄνεσιν τοῦ κολλυρίου δεῖ ποιεῖσθαι· ἀπορήσαντες δέ ποτε τῷ λευκῷ τοῦ ᾠοῦ, ἄρτον καθαρώτατον μὴ ὠξικότα μηδὲ ἁλῶν πλεῖστον μετέχοντα ἀποβρέχοντες, λαμβάνομεν τὸ ὕδωρ διηθημένον πρὸς τὴν ἔγχρισιν· εἰ δὲ μὴ ἄλευρον καθαρὸν ἀποβρέχοντες καὶ διηθήσαντες, χρώμεθα τῷ ἀποβρέγματι. προσήκει δὲ μὴ ἀθρόας τὰς μεταβολὰς τῶν βοηθημάτων ποιεῖσθαι,

φ(C$\mathrm{L^a}$) χ($\mathrm{M^o}$) ψ(ADPQ) ω($\mathrm{A^t}$) 1 τῶν *om.* CDPQ στακτικῶν C ...λτικῶν DPQ στακτικὰ C ...λτικὰ Q δὲ] τοίνυν C *om.* Q 2 κολλύρια καλούμενα DP 4 δραχμῶν *codd.* ἀρχῶν *Deichgräber* 6 ἃς] ὧν C ὃν Q ἰλιγγιάσας CQ 7 ἀφίσταται DP διακρίνειν DP ...τρίβοντα ω ...κρίνοντα CQ *Ald.* 8 ἔγνωμεν DP 9 μὲν *pr. om.* DPω δὴ DP χρὴ ω *post* ἅπαντα: μὲν CχDPQ σταλτικὰ ψ στακτ. Cω 10 *post* ποσῶς: καθὼς εἰρήκαμεν C ξηροτ.] θερμοτέρας ω 12 θαυμάσιον AQ 13 καὶ *pr. om.* A 14 αὐτὸν α, *exc.* ψ 15 στακτικῶν C ...λτικῶν ψ στατικὸν ω 16 καλούμενον *om.* α, *exc.* $\mathrm{L^a}$ 17 αὐτοῦ CQ ἐγγεγραμμ. C δὲ *om.* ADP μὲν *om.* CDP 18 ι̅ε̅] ι̅ϛ̅ CχDP ι̅β̅ AQ ὀπίου — κρόκου α̅ *(19)*] < δ̅ ἀκακίας < λ̅β̅ (< λ̅β̅ *om.* C) ὀπίου < δ̅ (ὀπίου < δ̅ *ante* τινὲς *transp.* C *om.* DP) κόμεως < λ̅β̅ (κόμ. < λ̅β̅ *om.* AC *post* κόμεως: ἀνὰ C)· τινὲς (δὲ *add.* ω μὲν DP) (τινὲς ἔμβαλον C) καὶ κρόκου < α̅ α, *exc.* $\mathrm{L^a}$ 19 *ante* ὕδωρ: καὶ DP 21 τοῦ *om.* Cψω 23 στῦφον CAQω 24 ὥσπερ Cψ ἐκθλῖβον CAQ ...ῖψαν DPω περικείμενα DP προσκ. CχAQω 25 τοῦ *pr. om.* ω τὴν ἄνεσιν — ᾠοῦ *om.* ω 26 ποιήσασθαι CQ ἀπορήσαντα *Ald.* ποτε *om. Ald.* τοῦ λευκοῦ Cψ *Ald.* καθαρὸν ω 27 ὀξυμότα $\mathrm{L^a}$ ...υκότα C ὠξυκότα DP ὀξικότα χAQω *correxi* πλείστων χψ κατέχοντα ω 28 ἄλευρον — τῷ *(29) om.* ω 29 βρέγματι ω 30 ἀθρόως CAQ ἐπιβολὰς DP

μηδὲ μὴν ἄλλῳ μὲν ἐγχρίειν, ἄλλως δὲ ἐπιχρίειν κολλυρίῳ. ξενισμὸν γάρ τινα παθῶν ὁ ὀφθαλμὸς μᾶλλον ἀδικεῖται. τῷ μὲν οὖν ἑκατονταρχίῳ, ὡς προείρηται, πρὸς τὰς συμπεπλεγμένας διαθέσεις χρηστέον, ἐξυδαρούντων ἡμῶν αὐτὸ ἐν τῇ χρήσει· αὕτη γὰρ αὐτοῦ θαυμάσιος ἀγωγή. Ἄλλο δέ τι κολλύριον στατικόν, τῆς μὲν αὐτῆς ὕλης τυγχάνον, διαφωνίᾳ δὲ μόνον διαφέρον πρὸς τὴν συσταθμίαν· ὑπερβάλλει δὲ τοῦ προτέρου κατὰ τὴν οἰκείαν ἐνέργειαν. μεγάλως γὰρ ἐθεασάμεθα τὴν τῶν αὐτοῦ ἔργων ἔκβασιν, καὶ τοῦτο δὲ τοῖς πολλοῖς τῶν ἰατρῶν ἀγνοεῖται. λαμβάνει δὲ χαλκοῦ κεκαυμένου Γ° γ̄ καδμίας Γ° γ̄ ὀπίου σμύρνης ἀνὰ < δ̄ ἀκακίας Γ° ζ̄ ς κόμμεως ὁμοίως, ὕδωρ. τοῦτο τὸ κολλύριον ἄρρητόν τινα κεκτημένον δύναμιν καὶ ἐν καιρῷ προσαχθὲν ἀπεγνωσμένα πάθη ἰάσατο καὶ ὀδύνας χαλεπὰς ἔστησεν. ὁ δὲ καιρὸς τῆς προσαγωγῆς αὐτοῦ ἡ τῆς ὀφθαλμίας ἀκμὴ τυγχάνει, ὁπηνίκα πέψις γένηται καὶ ἡ λήμη ὀφθείη καὶ ἐν αὐτῷ δὲ τῷ ὀφθαλμῷ ὥσπερ ὕφαιμόν τι ἐμφαίνηται. ἄν τε γὰρ χήμωσις τὸ λυποῦν, ἄν τε φλεγμονὴ τῶν βλεφάρων, ἁρμόδιόν ἐστι τούτοις τὸ βοήθημα· εἰς τοσοῦτον γὰρ ῥᾳστώνης οἱ κάμνοντες ἐπειράθησαν, ὡς ἐπὶ πολὺ πρὸ τούτου ἀγρυπνήσαντες, παρ' αὐτὰ τῆς ἐγχρίσεως ὕπνου τυχεῖν. θαρρῶν οὖν προσέρχου τῷ βοηθήματι, περισκοπῶν μὴ λεπτὸν δάκρυον μετὰ τὴν ἔγχρισιν τοῦ κολλυρίου ἀπορρεύσειεν. ἕξεις γὰρ κἂν τούτῳ τὸ σημεῖον τῆς ἐπιτεύξεως, τὸ μήθ' ὅλως μετὰ τὴν ἔγχρισιν δάκρυον ἀπορρεῦσαι. οἷς μὲν γὰρ ἐπὶ τῆς πρώτης ἐγχρίσεως ἡ ἐπίσχεσις τοῦ δακρύου γέγονεν, ἄστυφοι δὲ διέμειναν, καὶ οἷον ὕπνος ἐπῆλθε, προσδοκητέον παρ' αὐτῶν τὴν ὑγείαν, ὡς μὴ δεηθῆναι ἡμᾶς δευτέρας ἐγχρίσεως. εἰ δὲ στύψις γένηται κατὰ τὴν πρώτην ἔγχρισιν, ἐγχυματιστέον αὐτοὺς τῷ λευκῷ τοῦ ᾠοῦ καθ' αὑτὸ θερμανθέντι μετρίως, ἀλλ' ἐν τῇ δευτέρᾳ ἢ τῇ τρίτῃ ἐγχρίσει ἀπαλλάσσονται τοῦ συμπτώματος· τὸ μὲν γὰρ πρῶτον ὥσπερ ξενιζόμενος ὁ ὀφθαλμὸς δάκνεται, τὸ δὲ δεύτερον ὡς ἐν συνηθείᾳ γενόμενος μᾶλλον ἥδεται· κνησμονὴ γὰρ ὀλίγη αὐτοῖς γίγνεται μετά τινος ἡδονῆς. καὶ τοῦτό ἐστι τὸ σημεῖον τῆς ἐπιτυχίας. τὰ γὰρ ἐν βάθει σώματα ἐλευθερούμενα τοῖς

φ (C Lᵃ) χ (M°) ψ (A D P Q) ω (Aᵗ) 1 ἄλλῳ] …ως C Q ἄλλως] ἄλλω χ D P ω 2 μᾶλλον *post* τινα *transp.* ω 4 αὐτὸ] αὐτῷ φ χ θαυμάσιος *om.* D P 5 *post* κολλ.: ἐστι A Q ω στακτικὸν C …λτικὸν ψ 6 διαφωνίαν α, *exc.* Lᵃ μόνην Q φέρον α, *exc.* Lᵃ *ante* τοῦ: τοῦτο D P 7 μεγάλην D P 9 *post* ἀγνοεῖται: ὡς ἄριστον D P λαμβάνον ω Γ° γ̄] καὶ ω *om.* C D P *post* καδμίας: ἀνὰ C D P ω *post* ὀπίου: < δ̄ χ A Q 10 ἀνὰ *om.* χ A Q Γ° (< χ A) ζ̄ ς] καὶ ω *om.* D P ὁμοίως] Γ° ς C Γ° ζ̄ ς χ Γ° ζ̄ A Q ἀνὰ < ζ̄ καὶ D P ω *post* τοῦτο: δὲ C 12 ἵστησιν Q 14 ὀφθῇ ἡ C A Q ὀφθῇ D P δὲ *om.* ω 15 ἐκφαίνηται Lᵃ *post* γὰρ: σχῇ C χύμωσις D P Q ω 16 *post* φλεγμονή: ἡ D P τὸ *om.* Lᵃ τὰ βοηθήματα Q 17 ὡς ἐπὶ πολὺ — τούτου *om.* χ 19 μετὰ] μὴ τὰ Lᵃ πρὸς D P 20 ἀπορρεύσῃ D P 23 διέμενον χ 24 αὐτοῦ C …ὸ χ …ῶ A Q …ὰ D P ω *post* ἡμᾶς: γοῦν D P 25 ἐγχειρήσεως ω γένοιτο χ A Q ω *post* ἐγχυματ.: τε χ ω 27 χρίσει P *id. post* δευτέρα ω ἀπαλλάσσων Lᵃ 29 τὸ δὲ δεύτερον — ἥδεται *om.* Lᵃ δὲ *om.* χ A D P Q *sed post* δεύτερον: δ' D *post* κνησμονή: τε ω 30 αὐτοῖς ὀλίγη χ ω μεθ' ἡδονῆς τινος D P

κόψας πάντα καὶ φυράσας τῷ λευκῷ τῶν ὠῶν καὶ τῷ ὑγρῷ τοῦ πέπονος καὶ τῷ χυλῷ τῆς ὄμφακος, ἀνάπλαττε ἀρτίσκους πλατεῖς καὶ ξήραινε, ἔπειτα κόψας σήσας φύλαττε ἐν ὑελίνῳ σκεύει καὶ χρῶ.

Στίλβωμα προσώπου· τὸ δ' αὐτὸ καὶ ὑπερυθραίνει. ὀροβίνου καὶ κυαμίνου καὶ θερμίνου καὶ πτισσάνης καὶ ἐρεβίνθων ἀλεύρων καὶ ναρκίσσου βολβῶν ἀνὰ ⳨ Ἰταλικοῦ τὸ ἥμισυ σεμιδάλεως ⳨ α̅, κόψας σήσας λεπτοτάτῳ κοσκίνῳ καὶ φυράσας ὠοῦ τῷ λευκῷ, ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐπὶ δὲ τῆς χρήσεως αἴρων ὅσον ἐξαρκεῖ, διάλυε ὕδατι καὶ χρῶ μετὰ βαλανείου.

Ἄλλο λαμπρυντικὸν προσώπου καὶ παντὸς τοῦ σώματος, τετανὸν δὲ καὶ καθαρὸν ποιεῖ τὸν χρῶτα. βρυωνίας ῥίζης τὸν φλοιὸν ἀποξύσας, ξήραινε τὸ λοιπὸν τῆς ῥίζης ἐν ἡλίῳ θερινῷ, ἔπειτα κόψας σήσας λάμβανε ἐκ ταύτης Ἰταλικοῦ χοίνικος τὸ ἥμισυ, ἴρεως κεκομμένης τὸ ἴσον μυροβαλάνου λελεπισμένης ξηρᾶς τὸ ἴσον κυαμίνου ἀλεύρου χοίνικα α̅, οἴνῳ λευκῷ παλαιῷ εὐώδει φυράσας, ἀνάπλασσε τροχίσκους λεπτοὺς καὶ ξήραινε ἐν σκιᾷ· ἐν δὲ τῇ χρήσει κόπτων σήθων χρῶ μεθ' ὕδατος.

Ἄλλο σμῆγμα Κλεοπάτρας βασιλίσσης πολυτελὲς εὐῶδες. κόστου σμύρνης τρωγλίτιδος ἴρεως ναρδοστάχυος ἀμώμου φύλλου κασσίας σχοίνου ἄνθους ἀνὰ 𐅻 α̅ μυροβαλάνου λίτρας δ̅ νίτρου ἀφροῦ λίτρας β̅, κόψας σήσας χρῶ· ποιεῖ εἰς ὅλον τὸ σῶμα.

Ἄλλο σμῆγμα ἐνεργὲς εὐῶδες. σχοίνου ἄνθους ἴρεως ἀνὰ < β̅ μαστίχης < α̅, λεάνας ἀναλάμβανε πτισσάνης χυλῷ παχυτάτῳ καὶ ποίει ἀρτίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐπὶ δὲ τῆς χρείας ἀνέσας ὕδατι κατάχριε καὶ διαστήσας ὥραν πρόσκλυζε ὕδατι ψυχρῷ.

Πρὸς τὸ λαμπρὸν καὶ τετανὸν ποιεῖν τὸ πρόσωπον καὶ τὸ ὅλον σῶμα. κυαμίνου ἀλεύρου μόδιον Ἰταλικὸν α̅ σεμιδάλεως Ἰταλικοὺς ⳨ δ̅ τριφύλλου κεκομμένου ⳨ δ̅ μυροβαλάνου τὸ ἴσον ἴρεως κεκομμένης τὸ

4—9 Στίλβωμα—βαλανείου *cf. Gal. de rem. parab. II 6, 5 (XIV 422, 11—16)*

φ(L[a] P[x]) χ(M[o]) ψ(A D) ω(A[t]) 2 τῆς] τοῦ P[x] A ω *ante* ἀρτίσκους: τροχίσκους ἢ L[a] ἀρτίσκους] τροχ' P[x] τροχίσκους ω πλατεῖς *om.* ω 3 (καὶ P[x]) σείσας P[x] A ω *post* ἐν: ἡλ⟨ίω⟩ θετ' δὲ ἐν P[x] σκεύει] ἀγγείω P[x] 4 τὸ] τὰ D τῶ χ δ' αὐτὸ (...ὰ D ...ῶ χ) καὶ (καὶ *om.* L[a])] αὐτὸ δὲ καὶ ω 5 καὶ *pr., alt., tert. om.* L[a] ἀλεύρου α, *exc.* L[a] 6 ἥμισυ] ἴσον ω ⳨ *alt*] λιτρ' ω α̅] τὸ ἥμισυ ἢ ⳨ε α̅ P[x] 7 τὸ λευκὸν φ A 9 ἐν βαλανείω ω 10 *post* Ἄλλο: Κρίτωνος P[x] τοῦ σώματος ὅλου καὶ τοῦ προσώπου ω 11 *post* δὲ: ἀφανίζει ω ποιεῖ] ἀποτελεῖ χ 12 ἐν *om.* A θερμῶ P[x] ψ 13 λάμβανε *om.* ω 15 λευκῶ *post* παλ. χ *om.* ω 18 Ἄλλο *om.* P[x] A *ante* βασιλίσσης: τῆς *Ald.* *post* βασ.: πρὸς λαμπρυντικὰ πρόσωπα λίαν παραδοξώτατον τὸ τοιοῦτον ἄλειμμά ἐστιν P[x] 20 λ. β̅] λ, α̅ ω 21 εἰς] πρὸς A ω ὅλον] ἅπαν P[x] 22 σμῆγμα *om.* ω *ante* εὐῶδες: καὶ *Ald.* σχίνου A ω 23 λεάνας *om.* ω χυλῶ πτισσάνης α, *exc.* L[a] 25 *post* διαστ.: ὕδατι P[x] *post* ὥραν: κατάχριε εἶτα διαστήματος ὥρας γενομένου P[x] 26 *ante* πρὸς: ἄλλο P[x] A ω ποιῆσαι χ D ὅλον τὸ ω 27 Ἰταλικοὺς] ...οῦ P[x] A ...οί ω *om.* χ 28 κεκομμένης] ...ου α, *exc.* L[a] 28—*p. 409, 1* τὸ ἴσον] ἀνὰ ⳨ δ̅ P[x] ⳨̅ δ A ὁμοίως ω

ἶcον ἀμμωνιακοῦ θυμιάματος κόστου ἀνὰ λίτραν α̅ ὠῶν ὠμῶν προcφάτων ξ̅ τὰ λευκὰ πέπονος cπέρματος cὺν τῷ ὑγρῷ ξ β̅ ὀμφάκων χυλῶν ξ β̅, φυράcας ἀνάπλαττε τροχίcκους καὶ ξήραινε ἐν cκιᾷ· ἐπὶ δὲ τῆc χρείας ὕδατι διαλύων ὅcον ἐξαρκεῖ ἐπίχριε μετὰ βαλανείου. ποιεῖ δὲ καὶ πρὸς τὰς ἐν τῷ τραχήλῳ καὶ τῷ λοιπῷ cώματι μελανίας.

Cάπων ᾧ ἐχρήcατο Πελαγία πατρικία πρὸς τὸ λαμπρύναι τὸ πρόcωπον. cάπωνος Γαλλικοῦ ℥ ϛ̅ ἀμύλου ℥ α̅ c ψιμμυθίου ℥ α̅ c μαcτίχης ℥ τὸ c μυελοῦ ἐλαφείου ℥ α̅ ἀφρονίτρου λευκοῦ τροχίcκους δ̅ κηροῦ τρακτοῦ ℥ γ̅· πρόβρεχε τὸν cάπωνα εἰc ὕδωρ εἰc ὑελοῦν ἀγγεῖον ἡμέρας ε̅, ἀλλάccων τὸ ὕδωρ τὸ ὄμβριον καθ' ἡμέραν καὶ ὕλιζε τὸν cάπωνα· καὶ μετὰ ταῦτα βαλὼν εἰc χύτραν καινουργίαν τὸν cάπωνα καὶ τῇ ϛ̅ ἡμέρᾳ πάλιν ὕδωρ ὄμβριον, ἐπίθες ἐπ' ἀνθράκων, χθαμαλῷ πυρί, ἕως διαλυθῇ ὁ cάπων· εἶτα ἐπίπαccε κηρὸν καὶ τὸν μυελόν, καὶ ὅταν διαλυθῶcι λαβὼν τὴν λοπάδα κίνει cυνεχῶc cπάθῃ καὶ πᾶccον τὴν μαcτίχην καὶ τὸ ἄμυλον προλειωθέντα, εἶτα τὸ ψιμμύθιον προλελειωμένον ὀλίγῳ ὕδατι βάλλε εἰc κόγχον καὶ ἀνάκοπτε τῇ χειρὶ εὐτόνως καὶ βαλὼν εἰc ὑελοῦν ἀγγεῖον χρῶ καθολικῶc.

Cάπων· ἄλλο ἐν λουτρῷ cάπωνος. Γαλλικοῦ πρωτείου λίτρας ε̅ νίτρου λίτρας ε̅ κρότωνος ἀμμωνίτου· θυμιάματος λίτραν α̅ ψιμμυθίου λίτραν α̅ ὀcτρέων κεκαυμένων λίτραν α̅ κηροῦ κεκαυμένου λίτραν α̅ μαcτίχης ℥ ϛ̅ ἀμύλου ℥ ϛ̅.

Ἄλλο πρὸς μελανίας προcώπου διὰ πολλῆc πείρας. λιβάνου ℥ α̅ c ψιμμυθίου πεπλυμένου ἐπιμελῶc, λιθαργύρου πεπλυμένου πλειcτάκις ἐν ἡλίῳ ἐν ἀφεψήματι λευκῶν ἐρεβίνθων, ἀμύλου προcφάτου μαρμάρου λευκοτάτου ῥινίcματος μαcτίχης καθαρᾶc ἀφρονίτρων λευκῶν cηπίας ὀcτράκων ἀνὰ ℥ α̅ cάπωνος Γαλλικοῦ ℥ ιβ̅ ὠῶν δέκα τὰ λευκά, cκεύαζε καὶ χρῶ, καθὰ προείρηται.

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t, *inde a l. 22* V^a) 1 *post* θυμιάμ.: λίτραν α, *om.* ἀνὰ *post* κόcτου χψω λίτραν α̅] τὸ ἶcον ω 2 ξ *vel* ἑξήκοντα *pr.*] ζ̅ χ ἑπτὰ D *ante* λευκά: λεπτὰ καὶ ω πεπόνων A *(Ald.)* cπέρμα φω ξ β̅ *om.* P^x β̅] α̅ ω ὀμφάκων — β̅ *om.* A ὄμφακος P^x ω 3 (ἀνὰ P^x) ξ β̅] τὸ ἶcον ω ἀνάπλαccε ω 3. 4 ἐπὶ δὲ — διαλύων *om.* ω 4 *ante* ἐπίχριε: καὶ ω βαλανείων P^x ...νεῖον D 5 δὲ *om.* D *(Ald.)* 6—*p. 410, 11* Cάπων — μετὰ βαλανεῖον *om.* χ 6—17 Cάπων — καθολικῶc *ante* πρὸς ῥυτίδωcιν *(410, 11) transp.* ψ *om.* ω 7 *post* πρόcωπον: καθ' οἶκον (*l.* καθολικόν) P^x ἀμύλου ℥ α̅ c (℥ ϛ̅ P^x A) *om.* D *Ald.* ℥ α̅ c *alt.*] ℥ β̅ c α, *exc.* L^a 7. 8 μαcτίχης ℥ τὸ c *om.* L^a 8 τροχίcκους] ℥ ψ 9. 10 εἰc ὕδωρ — ἀγγεῖον *om.* L^a 12 πάλιν — ὄμβριον *om.* L^a ὕδωρ πάλιν P^x A 13 χθαμαλῷ πυρὶ *om.* L^a λυθῇ L^a 14—15 καὶ ὅταν — προλειωθέντα *om.* L^a τὸ ἄμυλον] τὸν ἀμι^δ P^x 16 καὶ *post* ὕδατι α, *ante* ἀνάκ. *transposui* βαλὼν ψ 17 καθολικὸν (καθ' οἶκον P^x ψ) α *correxi* 18—21 Cάπων ἄλλο (...c P^x) — ἀμύλου ℥ ϛ̅ *om.* ψω 19 ε̅] β̅ P^x κρίτονος α *correxi* ἀμμωνιακοῦ P^x λίτραν α̅ *om. sed post* λίτραν *pr.*: ἀνὰ P^x 20 ὄcτρεα κεκαυμένα α. *exc.* P^x κηροῦ — λίτραν α̅ *om.* P^x 21 ℥ ϛ̅ *pr. om. sed post* ἀμύλου: ἀνὰ P^x 22—27 Ἄλλο πρὸς — προείρηται *post* ὄξους *(406, 13)* P, *post* ὠοῦ τῷ λευκῷ *(406, 25) transp.* D *om.* A *ante* μελανίας: τὰς *Ald.* ℥ α̅ c *om.* D P 24 λευκώματος ω 25 λευκοῦ D P ω 25. 26 cηπίας — ℥ α̅ *post* λευκὰ A^t 26 ὀcτράκου D P ω δέκα] τέccαρα P^x 27 καθάπερ V^a *(Ald.)* καθὰ προείρ. *om.* A^t

Ἄλλο θαυμάσιον πάνυ ἀποκαθαῖρον τὴν ὄψιν καὶ λαμπρύνον. τηλίνου ἀλεύρου γῆς ἀστέρος ἀμμωνιακοῦ θυμιάματος ἀνὰ Ϝ γ̄ ἀμύλου Ϝ δ̄ μαστίχης Ϝ ς̄ μυελοῦ ἐλαφείου προσφάτου Ϝ ς̄ τραγακάνθης Ϝ δ̄· γάλακτι γυναικείῳ ἢ ὀνείῳ ἀπόβρεχε τὴν τραγάκανθαν καὶ λεάνας ἀναλάμβανε αὐτῇ τὰ λοιπὰ λειότατα γενόμενα καὶ ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ καὶ χρῶ, καθὰ προείρηται.

Ἄλλο σμῆγμα ὄψεως καὶ τοῦ λοιποῦ σώματος. κικέας κροτώνων τοῦ ἐντὸς ναρκίσσου βολβῶν ξηρῶν λελεπισμένων ἀνὰ < η̄ σεμιδάλεως < δ̄ λιβάνου < β̄ ὠῶν β̄ τὰ λευκὰ σκεύαζε καὶ χρῶ, καθὰ προείρηται. [τουτέστι φυράσας ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρείας διαλύων ὅσον ἐξαρκεῖ, ἐπίχριε μετὰ βαλανεῖον.] Πρὸς ῥυτίδωσιν τοῦ παντὸς σώματος, σμῆγμα ἐκ τῶν Ῥούφου· συνεχῶς γὰρ σμηχόμενον τοῦτο τὸ ῥυσὸν σῶμα περιτείνεται. σῦκα λιπαρώτατα καὶ βρυωνίας ῥίζαν λελεπισμένην ξηρὰν σηπίας ὄστρακον κεκαυμένον ὀρόβων ἄλευρον, ἕκαστον ἰδίᾳ κόπτε, ἔπειτα καὶ ἀνακόπτων παράσταζε μέλιτος τὸ σύμμετρον καὶ χρῶ. Σμῆγμα ὅλου τοῦ σώματος εὐῶδες πάνυ. γῆς κιμωλίας Ϝ κ̄ ἴρεως λειοτάτης νάρδου Κελτικῆς ἀνὰ < κδ̄ κυπέρων καρδαμώμου στύρακος ξανθοῦ λιπαροῦ ἀνὰ < ιβ̄. τὸν στύρακα οἴνῳ παλαιῷ εὐώδει διαλύσας ἔχε ἐν ἑτοίμῳ, ἔπειτα τὴν κιμωλίαν ἐν ὀστράκῳ βαλὼν τίθει ἐπ' ἀνθράκων καὶ ὅταν πυρωθῇ ἔμβαλλε εἰς τὸν διαλυθέντα στύρακα, εἶτα ἐπίπασσε τὰ ξηρὰ λειότατα καὶ ἑνώσας ἱκανῶς ἀνάπλαττε ἀρτίσκους καὶ ξήραινε ἐν σκιᾷ καὶ κόψας σήσας χρῶ.

ζ̄ Καταπλάσματα θερινὰ εὐωδίαν ποιοῦντα τῷ παντὶ σώματι Κρίτωνος. ἱδρώτων δ' ἐνοχλούντων τῷ σώματι πολλὴ ἔσται ἡ ἐκ τούτων

11—22 Πρὸς ῥυτίδωσιν — χρῶ *Ruf. id. 376* 13 σῦκα λιπαρώτατα *cf. Gal. ib. (ib. 422, 9—10)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t, *usque ad* σῦκα *[13]* V^e) 1—6 Ἄλλο — προείρηται *om.* A P V^a πάνυ *om.* α, *exc.* L^a 2 *post* ἀλεύρου: Ϝ δ̄ α, *exc.* L^a *post* ἀστέρος: Ϝ γ̄ D ω θυμιάμ. ἀνὰ (ἀνὰ *om.* D) Ϝ γ̄ *om.* ω 3 μυελοῦ — ς̄ *om.* P^x D 5 ἀνάπλασσε P^x ω 6 καθὰ προείρηται *om.* ω 7 ὄψεως — σώματος *om.* ω 8 *post* ἐντὸς: < η̄, *om.* ἀνὰ *post* λελεπ. ψ ω < η̄] Ϝ ᾱ ς P 9 ὠῶν β̄ *om.* D καὶ χρῶ *post* προείρηται *transp.* A V^a καθὰ] ὡς A^t 11 τουτέστι — βαλανεῖον *om.* φ A^t *delevi* Πρὸς ῥυτίδωσιν (τοῦ προσώπου καὶ D P V^a) τοῦ παντ. σώμ. σμ. (σμήγματα καὶ στιλβώματα D P V^a *om.* P^x) ἐκ τῶν (τοῦ P^x) Ῥούφου (⟨Ῥ.⟩ γάρ ἐστι τὸ τοιοῦτον σμῆγμα P^x)] Σμῆγμα ἐκ τῶν Ῥούφου πρὸς ῥυτίδωσιν (π. ῥυτ. *om.* A) A A^t 12. 13 συνεχῶς — ῥυσὸν] πρὸς πάντα σώματα P^x 13 τοῦτο σμηχόμενον A^t τούτοις D P V^a τὸ *om.* L^a σῶμα *om.* A^t παρατείνεται A^t 14 λελεπ. *om.* ω *ante* σηπίας: καὶ χ D P 14. 15 κεκαυμ. — ἄλευρον *om.* D P κεκαυμ. *om. Ald.* 15 κόψας P^x χ D P κόπτων ω εἶτα ω ἅμα κόπτων (κόπτων *om.* ω) P^x χ A D ω 15. 16 παρέσταζε ω 16 *ante* σμῆγμα: ἄλλο ω σμῆγμα – χρῶ *(22) om.* P τοῦ ὅλου D *(Ald.)* 17 κ̄] η̄ A ω *post* λειοτάτης: < (Ϝ P^x A) κδ̄ *om.* ἀνὰ *post* Κελτικῆς α, *exc.* L^a 18 ιβ̄] ῑ A 19 *post* παλαιῷ: λευκῷ A *id. post* εὐώδει P^x χ D 20 λειώσας χ D ὀστρακίνῳ ἀγγείῳ ω πυρωθῇ] διαλυθῇ ω ἔμβαλε P^x χ D 22 τροχίσκους ω καὶ *alt. om.* ω 23 καταπάσματα P^x A ἐμποιοῦντα χ D P ω παντὶ *om.* χ 23. 24 Κρίτωνος (*ante* καταπλάσμ. *transp.* χ) *om.* φ *sed in marg.* τὸ τοιοῦτον Κρείττωνός ἐστιν P^x 24 ἔστιν α, *exc.* L^a ἡ *om.* L^a τούτου ψ

ἀηδία, καὶ μάλιστα θέρους· καὶ γὰρ πολλὴν ἄσην ἐπιφέρει καὶ δυσωδίαν καὶ διὰ τοῦτο χρηστέον τοῖς ὑπογεγραμμένοις οὐ μόνον ἐπὶ τῶν γυναικῶν ἀλλὰ κἀπὶ τῶν ἀνδρῶν· καιρὸς γὰρ καὶ τούτων μνήμην ποιεῖσθαι σὺν τοῖς σμήγμασι. Καταπαστὸν ὅλου τοῦ σώματος εὐῶδες θερινόν. ῥόδων ξηρῶν κασσίας ἀνὰ Γ° γ̄ ἀμώμου κόστου ναρδοστάχυος ἀνὰ < β̄ στυπτηρίας ὑγρᾶς Γ° β̄, οἴνῳ παλαιῷ εὐώδει διαλύσας, ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐπὶ δὲ τῆς χρείας κόψας σήσας δίδου διαπάσσεσθαι λουομένους καὶ ἀνατριβέσθωσαν ἐπιμελῶς καὶ τότε ψυχρῷ ὕδατι περιχείσθωσαν. Ἄλλο. λιθαργύρου λελευκασμένου ἐν ἀφεψήματι ἐρεβίνθων ἐν ἡλίῳ ἀμώμου κασσίας κόστου φύλλου ναρδοστάχυος στυπτηρίας ὑγρᾶς ἴρεως, ἑκάστου ἴσον σκεύαζε· καὶ χρῶ, καθὰ προείρηται. χρηστέον δὲ καὶ τοῖς ὑπογεγραμμένοις. Καταπαστὸν ὅλου τοῦ σώματος, ἐν ᾧ βούλει χρήσασθαι καιρῷ, εὐῶδες προσηνές. ῥόδων χλωρῶν ἀβρόχων < μ̄ σμύρνης τρωγλίτιδος ἴρεως Ἰλλυρικῆς ναρδοστάχυος κασσίας ἀνὰ < η̄, οἴνῳ εὐώδει φυράσας ἀνάπλαττε τροχίσκους· ἐπὶ δὲ τῆς χρείας κόπτων καὶ σήθων κατάπλασσε τὸ σῶμα, μάλιστα μετὰ τὸ λουτρόν. Ἄλλο. κασσίας ἀμώμου φύλλου ναρδοστάχυος κόστου σμύρνης, ἴσον ἑκάστου, οἴνου τὸ ἀρκοῦν, σκεύαζε καὶ χρῶ, καθὰ προείρηται. Ἄλλο. κασσίας ἴρεως σμύρνης στυπτηρίας ἴσα λειώσας, οἴνῳ εὐώδει φυράσας, ποίει τροχίσκους καὶ χρῶ. Ἄλλο. ἴρεως ναρδοστάχυος σχοίνου ἄνθους ἀνὰ < δ̄ ἀμώμου σμύρνης ἀνὰ < β̄ μέλιτος < ε̄ σκεύαζε καὶ χρῶ ὁμοίως. Ἀρχιγένης δέ φησι πρὸς τὰς τοῦ παντὸς σώματος δυσωδίας καὶ τὰς καλουμένας γρασωνίας ἁρμόδια μὲν πρὸ πάντων γυμνάσια, ἀλείμματα, ξηροτριβία κοιλίας συνεχὴς ὑποσυρμὸς καὶ τροφαὶ καὶ χρίσματα τὰ πρὸς ἀνασκευὴν τοῦ πάθους ἁρμόδια, ὁποῖά ἐστι· ῥόδινον μήλινον μύρσινον ἶρις ξηρὰ λεία καθ' αὑτὴν ἐπιπασ-

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1 ἀηδία] ἀδικία L^a 2 διὰ τοῦ⟨το⟩ τοιγαροῦν P^x τῶν *om.* φ χ A 3—5 καιρὸς — θερινόν *om.* D P 4 ποιήσασθαι D P ω κατάπλασμα D P ω 5 θερινόν] θερμόν L^a *post* θερινόν: ἔστι δὲ ἡ σκευασία αὐτοῦ τοιάδε P^x ξηρῶν *om.* L^a *post* ξηρῶν: Γ° γ̄ *om.* ἀνὰ *post* κασσίας P^x χ A *ante* κασσίας: καὶ ω Γ°] < P^x A $\overset{ΓΓ'}{δ}$ < χ 6 ὑγρᾶς σχιστῆς] μᾶλλον δὲ ὑγρᾶς στυπτηρίας L^a 7 καὶ *om.* L^a κόψαντες σήσαντες D P *ante* σήσας: καὶ P^x 8 δίδου διαπάσσεσθαι (...πασᾶσθαι P^x ...πάσεσθαι χ A ...πάττεσθαι ω)] διαπασσέσθω D P λουόμενοι D P 9 ψυχρὸν ὕδωρ L^a περιχύσθωσαν P^x ...χείσθω χ D P 9—22 Ἄλλο — καὶ χρῶ ὁμοίως *om* P λελυκασμένης χ D ω 10 ἐν ἡλίῳ *ante* ἐν *(9) transp.* ω *om.* D φύλλου κόστου α, *exc.* L^a 11 ἑκάστου ἴσον] ἀνὰ δρ̄μ γ̄ P^x *ante* ἴσον: τὸ ω 12 καθὰ προείρ. *om.* ω προγεγραμμ. ω καταπλαστοῖς ω 13 χρᾶσθαι χ χρῆσθαι D 14 *post* τρωγλίτιδος: < η̄ χ A D ω 15 ἀνάπλασσε χ 17—19 Ἄλλο — προείρηται *om.* ω ἀμώμου κασσίας α, *exc.* L^a φύλλου *post* σμύρνης D *post* κόστου *transp.* P^x χ A 18 ἴσον ἑκ.] ἀνὰ οὐγγ⟨ίας⟩ τὸ ἥμισυ P^x 18. 19 καὶ χρῶ — προείρηται *om.* χ D 19. 20 ἄλλο. κασσίας — τροχίσκους καὶ χρῶ *om.* L^a ω ἴσα λειώσας] καλλίστης α, *exc.* χ D 20 *post* χρῶ: καθὰ προείρηται χ D 21 *post* ἀμώμου: < β̄, *om.* ἀνὰ *post* σμύρνης χ A D ω μέλιτος] μελιλώτων P^x D ω ...του χ ε̄] γ̄ P^x A β̄ ω 22 ὁμοίως *om.* ω *ante* Ἀρχιγ.: Ἀρχιγένους P^x 23 γρασωνίας (γρασσον.) P^x ω μὲν *ante* γυμνάσια *transp.* ω 24 ξηροτριβίαι D P συνεχῆς P^x ...εῖς χ ψ ...ῆ ω ὑποσυρμοὶ D P 25 καὶ χρίσματα — ἁρμόδια *om.* ω χρύσματα L^a χρῆσμ. ω τὰ *om.* P^x A D ἁρμόδια *ante* πρὸς *transp.* D P 26 μυρσίνινον P^x A λεία *post* αὑτὴν *transp.* P^x χ A ω ἑαυτὴν φ χ ω

σομένη· ἢ στυπτηρίαν ὑγρὰν λεάνας σὺν ὕδατι ἢ οἴνῳ καὶ σμύρναν λειοτάτην παραμίξας καὶ ποιήσας μέλιτος πάχος, ἐπίχριε τράχηλον μασχάλην μεσομήρια καὶ βουβῶνας καὶ τοὺς περιιδροῦντας τόπους. Ἄλλο. στυπτηρίας ὑγρᾶς < δ̅ σμύρνης < δ̅ λιθαργύρου πεπλυμένου < β̅ κασσίας < α̅, λείοις χρῶ, παρατρίβων μασχάλας μεσομήρια καὶ βουβῶνας. περιαίρει γὰρ παραχρῆμα τὰς δυσωδίας. Ἄλλο. κασσίας < β̅ στυπτηρίας σχιστῆς < ϛ̅, χρῶ μετ' οἴνου· ἐνεργὲς σφόδρα, ποιεῖ καὶ ἡ σχιστὴ μετ' οἴνου καθ' αὑτήν. Ἄλλο. μαστίχης Γ° γ̅ σχιστῆς Γ° α̅, χρῶ μετ' οἴνου. Ἄλλο. σμύρνης τρωγλίτιδος ἴρεως Ἰλλυρικῆς ῥόδων ἀβρόχων ἄνθους ἴσα κόπτε καὶ σῆθε καὶ ἀναλάμβανε τροχίσκους μετ' οἴνου καὶ ξήραινε ἐν σκιᾷ, ὅπου ἄνεμος μὴ πνεῖ· εἶτα κόψας σήσας ἀπόθου ἐν πυξίδι πωμάσας, ἵνα μὴ διαπνεύσῃ, καὶ χρῶ μετὰ τὸ λουτρὸν ἐπιπάσσων καὶ ἀνατρίβων τοὺς τόπους ἠρέμα καὶ ἐάσας συμπιεῖν, ἔπειτα κατάκλυζε ψυχρῷ καὶ μένει ἡ ὀσμὴ ὥστε θαυμάσαι. καλῶς ποιεῖ καὶ ἡ σμύρνα μετὰ στυπτηρίας σὺν οἴνῳ καὶ τὸ κροκόμαγμα μετὰ σμύρνης καὶ κυπαρίσσου πρίσματα καὶ στυπτηρία μετ' οἴνου.

η̅ Πόμα πρὸς τοὺς δυσώδη ἔχοντας τὸν χρῶτα καὶ πρὸς ὀζοστόμους. πόμασι δὲ τοιούτοις κεχρῆσθαι ἐπὶ τῶν δυσῶδες ἐχόντων τὸ σῶμα. σκολύμου ῥίζαν ἑψήσας σὺν οἴνῳ λευκῷ δίδου πίνειν, καὶ οὐρήσει οὖρον παχὺ καὶ δυσῶδες. Ἄλλο. τερεβινθίνης ὅσον ἐλαίας μέγεθος μετὰ μέλιτος ἴσου ἑψήσας, δίδου καθ' ἡμέραν καταπίνειν. Ἄλλο. σμύρναν καὶ ἕρπυλλον ἴσα λεάνας καὶ καταπότια ποιήσας δίδου δύο καταπίνειν, καὶ οἶνον ἐπιρροφεῖν. ταῦτα δὲ καὶ πρὸς ὀζοστόμους ποιεῖ.

θ̅ Πρὸς τὰς ἐπὶ τοῦ γενείου τραχύτητας Γαληνοῦ. αἱ ἐπὶ τοῦ γενείου τραχύτητες γίγνονται τὰ πολλὰ ἰχώρων ἀπὸ τῆς κεφαλῆς

14. 15 καλῶς — σὺν οἴνῳ *Or.^{a} VIII 38 (261, 25)*

φ ($L^{a}P^{x}$) χ (M^{o}) ψ (A D P) ω (A^{t}) 1 σμύρνην (..η χ) D P 2 *post* τράχηλον: μαστοὺς P^{x} 3 μασχάλας P^{x} χ A ω ..λαν L^{a} 3—5 καὶ τοὺς — βουβῶνας *om.* L^{a} 4—14 Ἄλλο — θαυμάσαι καλῶς *om.* P < δ̅ *pr. om. sed post* σμύρνης: ἀνὰ P^{x} σμύρνης < δ̅ *om.* ω 6 παραυτίκα P^{x} 6. 7 Ἄλλο — μετ' οἴνου *om.* A 7 στυπτ. *om.* α, *exc.* L^{a} σχιστῆς] σχίνου D ϛ̅] β̅ ω ἐνεργὲς σφόδρα μετ' οἴνου D 9 σμύρνης] ζιγγιβέρεως L^{a} 10 ἴσα] ἀνὰ Γ° β̅ P^{x} *post* ἀναλάμβανε: καὶ ποίει, *ante* μετ': καὶ ἀνάδευε P^{x} 11 *ante* ξήραινε: ποιήσας P^{x} μὴ] οὐ A *(Ald.) om.* P^{x} χ D ω πνέει χ D *ante* σήσας(σείς.): καὶ P^{x} 12 πυξιδίῳ ω ἀπὸ λουτροῦ ω 13 ἔα α, *exc.* L^{a} συμπεῖν P^{x} χ A ...πίνειν ω 14 ἀπομένει ω ἡ *om. Ald.* 14. 16 καλῶς — οἴνου *repetita invenimus etiam post* τόπους *(3)* D 14 καὶ *alt. om.* L^{a} 15 τὸ κροκόμαγμα — σμύρνης καὶ *om.* L^{a} τῷ κροκομίγματι (...άγματι) D *(loco sup.)*, P ω μετὰ σμύρνης] σὺν οἴνῳ A D ὁμοίως σὺν οἴνῳ P^{x} *om.* ω 16 πρίσματι ω *post* οἴνου: Παύλου ⟨περὶ⟩ τοῦ φυλάξαι πρόσωπον ἀρυτίδωτον· λιβάνου < α̅ φοινίκων < γ̅ κτλ. Πρὸς τὰς τοῦ προσώπου μελανίας τοῦ αὐτοῦ κτλ. *(III 25, 1, 2 [1 106, 11sqq.])* P^{x} πόματα α, *exc.* φ καὶ πρὸς ὀζοστόμους *om.* D P ω 18 πόμασι — σῶμα *om.* P^{x} 19 σὺν] ἐν α, *exc.* L^{a} πιεῖν D P ω εὑρήσεις ω 20 οὖρον παχὺ] οἴνῳ λευκῷ ω οὖρον] ὕδωρ L^{a} 21 καθ' ἡμέραν *om.* D P ω *post* καταπίνειν: καὶ οἶνον ἐπιρροφεῖν D P ω 22 ἴσα] ἀνὰ < γ̅ ταῦτα P^{x} δύο] δεύτερον D P 23 καὶ οἶνον — ποιεῖ *om.* ω ἐπιρροφεῖν οἶνον P^{x} A 24 *ante* πρὸς: ἄλλο ω ἐπὶ *om.* P^{x} A *post* τραχύτητας: καὶ τὰς τοῦ προσώπου ἀχωρώδεις διαθέσεις P^{x} A Γαληνοῦ *om.* P^{x} A *post* αἱ: δὲ γιγνόμεναι P^{x}

ἀπορρεόντων, προηγηcαμένης πιτυριάcεως· ἐνίοτε δὲ καὶ τῶν ἀκουcτικῶν πόρων καθάπτεται καὶ καθέρπει μέχρι τοῦ τραχήλου καὶ τῶν παρακειμένων μερῶν ἐπώδυνος δέ ἐcτιν ἡ τοιαύτη διάθεcιc κνηcμὸν ἐπιφέρουcα, καὶ περιτείνουcα τὸν χρῶτα. χρηcτέον οὖν ἐπὶ τούτων τοῖc ὑπογεγραμμένοιc, ἀμόργῃ τῇ ἀποcταζούcῃ ἀπὸ τῆc ἐλαίαc, πρὶν ἐκπιαcθῆναι ἡψημένῃ καὶ cυνεcτραμμένῃ, κατάχριε cυνεχῶc. Ἄλλο. cμύρνηc ℔ α̅ ὠῶν ὠμῶν λεκίθουc ε̅· πρότερον γάλακτι διαλύcαc, εἶτα ἐπιβαλὼν τὰ ὠά, τότε ἀναλάμβανε γλυκεῖ καὶ κατάχριε cυνεχῶc καὶ θαυμάcειc. Ἄλλο φάρμακον ἐπιτετευγμένον· πολλοὺc κατεχομένουc ὑπὸ τῆc τοιαύτηc διαθέcεωc ἀπηλλάξαμεν τούτῳ. γλαυκίων < ις̅ κόμμεωc < λ̅ ἐλαίαc δακρύου τὸ ἴcον, γλυκεῖ διαλύcαc καὶ γλοιοῦ πάχοc ποιήcαc ἐπίχριε cυνεχῶc. ἑλκουμένηc δὲ τῆc ἐπιφανείαc καὶ περιωδυνίαc οὔcηc χρηcτέον τοῖc ὑπογεγραμμένοιc. Λιπαρὰ πρὸc τὰc ἐπὶ τοῦ προcώπου διαθέcειc τὰc ἀχωρώδειc· ἔcτι δὲ καὶ ἑδρικὴ ἀγαθή, ποιεῖ καὶ πρὸc πυρίκαυcτα. λιθαργύρου ℔ γ̅ κηροῦ Τυρρηνικοῦ ℔ δ̅ ὠῶν ὀπτῶν λεκίθουc η̅ cτέατοc χηνείου κατειργαcμένου λίτραν α̅· τὴν λιθάργυρον λειοτάτην ποιήcαc ἐπίβαλλε τὰ ὠὰ καὶ ἑνώcαc ἐπίβαλλε γάλακτοc ὅcον ἐξαρκεῖ, καὶ λείου ὡc γλοιοῦ πάχοc ἔχειν· ἔπειτα κηρὸν μετὰ τοῦ cτέατοc τήξαc ψύξαc ἐπίβαλλε καὶ ἑνώcαc φύλαττε. ἐπὶ δὲ τῆc χρήcεωc αἴρων ἐξ αὐτοῦ ὅcον ἐξαρκεῖ καὶ διαλύων ῥοδίνῳ ἐπιτίθει· χρῶ δὲ καὶ ταῖc ἑδρικαῖc καὶ τοῖc πυρικαύcτοιc.

Πρὸc τοὺc ἐπὶ τοῦ προcώπου φακούc, οἷc τιcι καὶ ἐπὶ ἐφηλίδων ι̅ καὶ ἰόνθων δεῖ κεχρῆcθαι· πρὸc θύμουc δὲ καὶ μυρμηκίαc καὶ ἀκροχορδόναc γέγραπται ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ ιδ̅ λόγου. βρυωνίαc ῥίζα λευκὴ καὶ μέλαινα ἑψηθεῖcα μετ᾽ ἐλαίου, μέχρι χυλωθῇ, αἴρει φακοὺc καὶ ἰόνθουc, ἀμυγδάλινον ἔλαιον cὺν κηρῷ, κρίνου ῥίζα μετὰ μέλιτοc· μάλιcτα δὲ φακοὺc αἴρει κόμμι καὶ νίτρον ἴcα cὺν μέλιτι. Ἄλλο. cπέρμα κράμβηc μεθ᾽ ὕδατοc τρίψαc ἐπίχριε προαποcμήξαc τὸν

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 ἐπιρρεόντων D P 2 ἅπτεται ω 2. 3 μέχρι (τοῦ τραχ. *om.*) καὶ τῶν—μερῶν *post* πιτυριάcεωc *(1) transp.* ω 4 χρῶτα] χρόνον Pˣ A *ante* χρηcτέον: Κρίτωνοc ω 5 ἀπὸ] ὀπῶ ω 6 ἐκπιεcθῆναι D P ἑψημένη Pˣ A 7 ε̅ *om.* D P 8 *ante* γλυκεῖ: τῶ ω 9 ἐπιτετευγμένων Lᵃ ὑποτεταγμένον Pˣ ἐπιτεταμμένον ω *ante* πολλοὺc: ὑφ᾽ οὗ D P ὑπὸ *om.* D P 10 τῇ τοιαύτῃ διαθέcει D P τοῦτο Pˣ τούτουc A *om.* D P 11 λ̅] ι̅ A δ̅ ω ἐλαίαc—γλυκεῖ *om.* Pˣ χ A 12 ἑλκωμένηc A ω ἡλκωμ. D P περιωδ. οὔc.] περιωδυνούcηc χ A ω 13. 14 τῷ προcώπῳ ω 14 ἀχωρώδειc διαθέcειc α, *exc.* Lᵃ *ante* ἔcτι: καὶ τραχύτηταc α, *exc.* Lᵃ A 15 γ̅] α̅ ω δ̅] α̅ ϛν̅ν̅ (α′) γ̅ ω 16 η̅] γ̅ Pˣ A ω λίτραν α̅] οὐ ΓΓ′ δ̅ ω τὴν] τὸν A ω 17 ἐπίβαλε *(pr.)* D P ἑνώcαc] λειώcαc D P ἐπίβαλε *(alt.)* A D 19 *ante* ψύξαc: καὶ P *post* ψύξαc: ἀναλύcαc Pˣ A ἀναξύcαc χ D ω *ante* ἐπίβαλλε: χρηcτέον καὶ τοῖc ἀναγεγραμμένοιc πρὸc τὰ ἀχωρώδη ἐπὶ τῶν γενείων ἐξανθήματα P *post* ἑνώcαc: ἐπίβαλλε ἐν πυξίδι ω 21 ταῖc *om.* Lᵃ τοῖc] ταῖc Pˣ χ A D πυρικαύτοιc Pˣ P 23 καὶ ἰόνθων *om.* Lᵃ δεῖ κεχρῆcθαι· πρὸc θύμουc—ιδ̅ λόγου *(24) om.* Lᵃ χ D P δεῖ κεχρῆcθαι *post* ἐφηλίδων A ω πρὸc θύμουc—λόγου *om.* ω 23. 24 *post* ἀκροχορδόναc: Γαληνοῦ Pˣ 24 γέγραπται—λόγου *om.* Pˣ *post* λόγου: Γαληνοῦ A 25 ῥίζηc λευκῆc καὶ μελαίνηc A ῥίζαν λευκὴν καὶ μέλαιναν ω ἑψήcαc A ω 26 ἰόνθουc καὶ φακοὺc D P ῥίζαν A ω 27 κόμμι *om.* ω 28 κατάχριε α, *exc.* Lᵃ

τόπον. ὅταν δὲ ξηρανθῇ καὶ μετεωρίζηται ὁ χρώς, χρηστέον προσκλύσματι πολλῷ ὕδατι ψυχρῷ καὶ καταχριστέον στέατι χηνείῳ ἢ μυελῷ ἐλαφείῳ ἢ κηρωτῇ σκευασθείσῃ διά τινος τούτων. παραφυλακτέον δὲ μετὰ τὴν ἐκδορὰν τῷ μὴ περιπεσεῖν τινι τῶν βλαπτόντων, οἷον ἀέρι ψυχρῷ ἢ ἀνέμῳ ἢ προσκλύσματι. Ἄλλο πρὸς μύλωπας καὶ φακούς. κόπρον περιστερᾶς μετ' ὄξους δριμέος λειώσας χρῶ καὶ θαυμάσεις. Ἄλλο. σανδαράκην λειώσας μετὰ μέλιτος ὡς γλοιοῦ πάχος σχεῖν ἐπίχριε ἐπὶ ἡμέρας ἕξ. ξηρανθείσης δὲ τῆς ἐπιφανείας καὶ μετεωρισθείσης χρηστέον χαλβάνῃ μετ' ὀλίγου νίτρου καὶ ὄξους λειωθείσῃ. χρονίων δὲ ὄντων τῶν φακῶν, χρηστέον τούτοις· σικύου ἀγρίου ῥίζης Γο β̄ κιμωλίας Γο ᾱ, λειότατα ποιήσας ἀπόθου· ἐπὶ δὲ τῆς χρήσεως ὅσον ἐξαρκεῖ ὕδατι διαλύων, ἐπίχριε. Ἄλλο. βολβῶν κεκαθαρμένων λιβάνου ἀνὰ Γο ᾱ τρῖβε ἐπιβάλλων κοχλίων χερσαίων μεγάλων τὸν ἰχῶρα· δεῖ δὲ τούτους διακεντεῖν γραφείῳ ζῶντας καὶ τὸ ἀπορρέον αὐτῶν μυξῶδες ἐπιβάλλειν τῷ φαρμάκῳ· ὅταν δὲ διαλυθῇ, ἀναλάμβανε μέλιτι καὶ χρῶ. ποιεῖ καὶ ἡ τοῦ ἄρου ῥίζα ξηρὰ μετὰ μέλιτος καὶ ἡ τῆς κοτυληδόνος ῥίζα κηρωτῇ ὑγρᾷ ἀναληφθεῖσα καὶ καταχριομένη.

Σμήγματα πρὸς τοὺς τετυλωμένους φακούς. ἐπεὶ δὲ συμβαίνει αἰρομένων τῶν φακῶν τυλοῦσθαι τὴν ἐπιφάνειαν καὶ δυσαπαλλάκτους εἶναι τὰς διαθέσεις, χρηστέον μετὰ τὴν ἐκδορὰν τῶν φαρμάκων σμήγμασι τοιούτοις.

ια̅ Σμῆγμα πρὸς τοὺς τετυλωμένους φακούς. ἀλεύρου ὀροβίνου Ἰταλικοῦ χοίνικος τὸ ἥμισυ κριθίνου ἀλεύρου τὸ ἴσον σκίλλης ὀπτῆς Γο β̄, ἅπαντα λεῖα ποιήσας, ἀναλάμβανε ᾠῶν τῷ λευκῷ καὶ ποίει τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ὕδατι διαλύων ἐπίχριε καὶ διαστήσαντα βραχὺ ψυχρῷ προσκλύζεσθαι παραίνει, ἢ πιτύρων ἀποβρέγματι, μάλιστα ὅτε ἐστὶ φλεγμονή. Ἄλλο. ἀφρονίτρου ἀλκυονίου χαλβάνης ἀνὰ < η̄ ἀμυγδάλων πικρῶν λελεπισμένων < μ̄, μέλιτι ἀνα-

10 σικύου — ῥίζης *cf. Gal. de rem. parab. II 6, 1 (XIV 420, 10, 421, 2)* 27 ἀφρονίτρου ἀλκυωνίου | 28 ἀμύγδαλα πικρὰ *cf. Gal. ib. (421, 11) ib. 2 (ib. 13—14, 16)* ἀμύγδαλα πικρὰ *Gal. de simpl. med. VI 36 (XI, 827, 12, 828, 5—6) Or.ᵃ VIII 35 (261, 7—8) Or.ᵉ IV 52 (457, 14—15)*

φ ($\mathrm{L^a P^x}$) χ ($\mathrm{M^o}$) ψ (A D P) ω ($\mathrm{A^t}$) 1 μετεωρίζεται $\mathrm{P^x}$ ω 2 καταχρηστέον χ A 3 τι τούτων ω τινων τοιούτων D P 4 τῷ] τοῦ χ *om.* $\mathrm{P^x}$ A 5. 6 Ἄλλο πρός μώλωπας — θαυμάσεις *om.* $\mathrm{L^a}$ χ D P ω 7—9 Ἄλλο σανδαράκην — μετεωρισθείσης] τῇ σανδαράχῃ λεία καὶ μετεωριζομένης P ἔχειν χ D ω ἔχειν γλυοῦ πάχος $\mathrm{P^x}$ 8. 9 μετεωριζομένης χ ...η A 9 *ante* χρηστέον: τούτοις $\mathrm{P^x}$ D P μετά, *om.* ὀλίγου D P 10 *ante* σικύου: ἄλλο (οἷον $\mathrm{P^x}$) $\mathrm{P^x}$ D P συκίου $\mathrm{P^x}$ A Γο β̄] οὐΓΓ' ᾱ ἢ οὐΓΓ' β̄ $\mathrm{P^x}$ 11 *ante* κιμωλίας: γῆς A 12—16 Ἄλλο — καὶ χρῶ *om.* P 12 *ante* βολβῶν: λ^{α}, τὸν (*l.* τῶν) $\mathrm{P^x}$ βολβῶν κεκαθ.] λ^{α}, $\mathrm{L^a}$ *post* κεκαθαρμ.: Γο ᾱ, *om.* ἀνὰ *post* λιβάνου χ A D ω 13 ἐπιβαλὼν ω 14 τὸ ἐξ αὐτῶν μυξῶδες ἀπορρέον $\mathrm{P^x}$ 16 *ante* ποιεῖ: καὶ *ex corr.* A *post* ποιεῖ: δὲ $\mathrm{P^x}$ 16. 17 ξηρὰ — ῥίζα *om.* ω καὶ ἡ τῆς — καταχριομ. *om.* P 17 ἀναληφθεῖσα καὶ *om.* ω 18 Σμήγματα — φακοὺς *om.* P *(Ald.)* *post* φακοὺς: ἐν προσώπῳ $\mathrm{P^x}$ 20 φαρμάκων] φακῶν D P 22 Σμῆγμα — φακούς *om.* D 22. 23 Ἰταλικοῦ — ἥμισυ] Γο ᾱ A 24 τὸ λευκὸν $\mathrm{P^x}$ 26 πιτύρων] πυρῶν $\mathrm{P^x}$ χ A ω 27—*p. 415, 3* Ἄλλο — ἀνέμου *om.* P *post* ἀφρονίτρου: < η̄ χ A D ω ἀλκυωνίας $\mathrm{L^a}$ *om.* ω *post* ἀλκυον. < η̄ χ A 28 ἀνὰ *om.* χ A ω μ̄] γ̄ α, *exc.* $\mathrm{L^a}$

λάμβανε, εἶτα ἐπιχρίων ἔα ξηραίνεσθαι. ἔπειτα παραίνει σμήχεσθαι κυάμῳ διαμεμασημένῳ καὶ προσκλύζεσθαι ὕδατι συμμέτρως ψυχρῷ φειδομένους ἡλίου καὶ ἀνέμου.

Περὶ ἐφηλίδων. γίγνονται περὶ τὸ πρόσωπον καὶ αἱ λεγόμεναι ιβ
ἐφηλίδες περὶ τὰ μῆλα καὶ τὴν ῥῖνα· φαίνονται μέντοι μὴ πάνυ κατὰ βάθος εἶναι, ἀλλ' ὥσπερ ἐπανθισμῷ ὅμοιαι· διόπερ ἐλαφρῶς αὐτὰς τῇ παρατρίψει μετεωρίσαντες, ἐᾶσαι δεῖ ξηρανθῆναι καὶ παραινεῖν ἑνὶ τῶν σμηγμάτων σμήχεσθαι. διαφορεῖται γὰρ διὰ τούτων, εἶθ' οὕτως ἀφίσταται, ὥστε τοῖς δακτύλοις αὐτὰς ἀφαιρεῖν. δεῖ δὲ μὴ βιαίως τοῦτο ποιεῖν, ἀλλὰ κούφως καὶ κατ' ὀλίγον. εἰ δὲ ἐπιμένοιεν μὴ κουφιζόμεναι, χρηστέον τοῖς ὑπογεγραμμένοις· κραμβη λεία ἐπιχριομένη πρὸς ἐφήλεις καὶ φακοὺς καὶ ὅσα ἄλλα μετρίας δεῖται στύψεως ἢ ῥύψεως ποιεῖ· ὁμοίως δὲ καὶ σηπίας ὄστρακα καυθέντα ἢ πορφυρῶν ἢ κηρύκων καὶ μετὰ μέλιτος ἐπιχριόμενα. δεῖ δὲ βαλόντας ταῦτα ἐν χυτριδίῳ ὠμῷ δοῦναι ὀπτᾶσθαι ἐν καμίνῳ· χρῶ καὶ πρὸς φακούς· ἢ περιστερᾶς κόπρον εἰς ὀθόνιον βαλών, κατάκαυσον ὡς τεφρωθῆναι καὶ σὺν ἐλαίῳ λεάνας ἐπίχριε θαρρῶν, καὶ μυροβάλανος δὲ λεία ἐπιχριομένη καλῶς ποιεῖ καὶ βολβὸς ὠμὸς καθ' αὑτὸν καὶ σὺν ᾠοῦ λεκίθῳ καὶ ὄξει ἢ μέλιτι. κεκαυμένοι δὲ οἱ βολβοὶ μετ' ἀλκυονίου καὶ ἐπιχριόμενοι ἀποκαθαίρουσι τὴν ἔφηλιν. ποιεῖ καὶ ἐλατήριον ἐπιχριόμενον καὶ κασσία σὺν μέλιτι, κράμβης σπέρμα σὺν ὄξει, κισσοῦ φύλλα σὺν οἴνῳ ἑφθά, κοτυληδόνος ῥίζα μετὰ κηρωτῆς ὑγρᾶς ἐπιχριομένη ἢ σικύου ἀγρίου ῥίζα. καὶ συκῆς ἀκρεμόνας ἕψε σὺν ὄξει καὶ λείοις κατάπλασσε· ποιεῖ καὶ πρὸς ἀλφούς. ἢ ἐρυθρόδανον λεάνας σὺν ἐλαίῳ χρῖε, ἢ κόστον λεῖον μεθ' ὕδατος ἢ ἀφρόνιτρον μετὰ κηρωτῆς ὑγροτέρας ἢ θέρμους

11—13 κράμβη — ποιεῖ *Gal. de simpl. med. VII 48 (XII 42, 17 sqq.)* κράμβη — καυθέντα *(13) Or.*^{a} *VIII 35 (261, 9—11) Or.*^{e} *IV 52 (457, 16—18)* 13 σηπίας ὄστρακα καυθέντα *Gal. ib. XI, 27 (XII 347, 15—16)* 13. 14 ἢ πορφυρῶν — ἐπιχριόμενα *Gal. de rem. parab. II 6, 3 (XIV 422, 5—7)* 17—18 μυροβάλανος — ποιεῖ *Gal de simpl. med. VI 2, 1 (XI 845, 18)* 20. 21 ποιεῖ — ἐπιχριόμ. . . . σ. μέλιτι | 22—24 κοτυληδόνος — χρῖε | 25 ἢ ἀφρόνιτρον — ὑγροτ. *Gal. de rem. parab II 6, 1 (ib. 420, 15—17, 421, 2—6, 11—12)* 24—25 κόστον — ὕδατος *Or.*^{a} *VIII 35 (261, 9) Or.*^{e} *ib. (ib. 16)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ξηρανθῆναι ω 2 κυαμίνω ἀλεύρω P^x D κυάμων ἀλεύρω A *post* κυάμω: ἀλεύρω χ διαμεμασημένων A συμμέτρω ω 3 φειδόμενος α, *exc.* ω καὶ ἀνέμου καὶ ἡλίου ω 4 *post* ἐφηλίδων: καὶ στιγμάτων D P *ante* γίγνονται: καὶ (*om.* P^x χ A ω) Κρίτωνος (Κρείττωνος) P^x χ A D ω *ante* περὶ *alt.*: δὲ P^x χ D P *post* περὶ: δὲ A δὲ καὶ ἐπὶ ω καὶ *om.* ω 5 μὴ] καὶ ω 6 *ante* βάθος: τὸ ω ὥσπεραὶ P^x . . . εἰ A 7 παραίνει P^x A 8 εἶθ'] ἢ P^x χ A D ω 8. 9 ἀφίστασθαι ω 10 δ' ἐπιμένειεν A D ἔτι μένοιεν *Ald.* 12 μετρίως P *(Ald.)* στύψεως ἢ *om.* χ D P ω ἢ ῥύψεως *om.* P^x A 14 καὶ *om.* L^a 14. 15 δεῖ δὲ — φακούς *om.* P δεῖ δὲ] δεῖται χ D 15 κενῶ *supra scr.* ὠμῶ *m. 1*^{a} D 16 ἐμβάλλον P^x . . . τες A βάλλοντος D βάλλοντας χ ω 17. 18 καὶ μυροβάλανος — ποιεῖ *om.* P 18 ὠῶ λεκίθου L^a χ 19 κεκαυμ. — σὺν μέλιτι *(21) om.* P 20 *post* ποιεῖ: δὲ P^x D ω 21 κισσοῦ — ἑφθὰ *om.* D 22 κοτυληδόνος ῥίζα — ῥίζα *om.* D P ἢ] καὶ P^x A ἀγρίου *om.* A 23 σὺν] ἐν P^x χ ψ λείοις *om.* P^x ω κατάπλασσε] χρῶ ω 23—*p. 416, 11* ποιεῖ — ὕδατι γλυκεῖ *om.* P 24 σὺν ἐλαίω χρῖε *om.* ω 25 ὑγροτέρας *om.* ω

ὠμοὺς ἑψήσας μετὰ κονίας πηλοποιϊκῆς καὶ λεάνας μετὰ μέλιτος ἐπίχριε. Ἄλλο. ναρκίσσου ῥίζας λεπίσας ἕψε μετ' ὄξους καὶ λεάνας ἐπίβαλλε ἀλεύρου ὀροβίνου ὅσον ἐξαρκεῖ καὶ ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐπὶ δὲ τῆς χρήσεως λεάνας μετὰ μέλιτος ἐπίχριε ἢ ναρκίσσου ῥίζας ὁμοίως σκευάσας χρῶ, ὡς εἴρηται, ἐπιχρίων μετὰ μέλιτος ἑσπέρας, πρωῒ δὲ ἀπονίπτεσθαι παραινῶν. Ἄλλο. κρίνου βολβοὺς ε̅ τρίψας ἐπίβαλλε ἀφρονίτρου λίτραν α̅, εἶτα μέλιτι ἀνεὶς τὸ ἀρκοῦν, ἐπάλειφε μέχρι παντελοῦς ἀπαλλαγῆς, ὡς προείρηται. Ἄλλο. ἀμυγδάλων πικρῶν μέρη β̅ μελανθίου πεφρυγμένου μέρος α̅, ἕκαστον ἰδίᾳ λεάνας, μῖξον μετὰ μέλιτος καὶ ἑσπέρας ἐπιχρίων, πρωῒ ἀπόνιπτε ὕδατι γλυκεῖ. Σμήγματι δὲ χρῶ τινι τῶν προγεγραμμένων πρὸς τὰς τοῦ προσώπου μελανίας καὶ τοῖς παραπλησίοις· ποιεῖ δὲ καλῶς καὶ τοῦτο, μάλιστα πρὸς χρονίους· κήρυκας καύσας καὶ λεάνας μετὰ μέλιτος κατάχριε ἑσπέρας, πρωῒ δὲ ἀπονίπτεσθαι παραίνει ὕδατι γλυκεῖ. Ὀριβασίου πρὸς ἔφηλιν ἰόνθους ἀλφούς. ὀροβίνου ἀλεύρου λι, β̅ εὐζώμου σπέρματος λι, α̅ ἀμυγδάλων πικρῶν σικύου ἀγρίου ῥίζης ἀνὰ λι, α̅, οἰνομέλιτι λεάνας ἐπίχριε καὶ μετὰ ὡριαῖον διάστημα ἀποσπόγγιζε. Ἄλλο πάνυ θαυμάσιον. κηροῦ Τυρρηνικοῦ < ι̅ε̅ ῥοδίνου < ζ̅ ς στέατος χηνείου λιθαργύρου πεπλυμένης καὶ λευκανθείσης ψιμμυθίου ἀνὰ ℔ α̅ κόμμεως < δ̅ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν ἢ ℔ α̅· ἀναλύσας ἐπίχριε τὸ πρόσωπον καὶ μετὰ ὥρας ζ̅ ἀποσπογγίσας νίπτε σάπωνι. Ὀριβασίου πρὸς φακούς. θέρμους βρέχων ἐν κονίᾳ ἡμέρας γ̅ καὶ λειώσας, ἐπίχριε τοὺς φακούς, ἕως ἀφέλῃ. Ἄλλο. σάπωνα Γαλλικὸν ὕδατι λειώσας καὶ ὀλίγον μέλιτος προσβαλὼν ἐπίχριε καὶ ἔα ὥρας γ̅. Ἄλλο πρὸς τὰς ἐφήλεις καλὸν πάνυ. ᾠὰ ὅλα ἀποβρέχων ὄξει, μέχρις ἂν αὐτῶν τὸ ὄστρακον ἁπαλώτατον γένηται· καὶ παρακεντήσας ἄνωθεν, ἐκλάμβανε τὰ λευκὰ καὶ παραμίξας ἴρεως Ἰλλυρικῆς κεκομμένης καὶ σεσησμένης καὶ μελανθίου λειοτάτου καὶ λιβάνου, ἑκάστου ἴσον συλλεάνας καὶ ἐπιβαλὼν μέλιτος τὸ ἀρκοῦν χρῶ, καθὰ προείρηται. ἐπιμόνου δὲ τῆς

15. 16 εὐζώμου σπέρμ. | 18 κηροῦ Τυρρηνικοῦ *cf. Gal. ib. (ib. 420, 14, 421, 12)*

φ ($L^a P^x$) χ (M^o) ψ (ADP) ω (A^t, *inde a l. 13* V^a) 1 ἑψήσας ὠμοὺς ω 2 ῥίζαν χ D λεπίσας ἕψε] ἐπιξήσας εἶτα ἑψήσας P^x 2. 3 ἐπίβαλε A D 4 χρείας ω 4—6 ἢ ναρκίσσου — μετὰ μέλιτος *om.* ω 6 *ante* ἑσπέρας: ἀπὸ ω ἑσπέρας] ἐπίχριε L^a 7 ἐπίβαλε A D μέλιτος P^x A ω ἀνιεὶς ω 10 λειώσας ω πρωῒ δὲ παραίνει ἀπονίπτεσθαι A ἀπονίπτεσθαι P^x 13 *ante* μάλιστα: ἄλλο V^a 14 πρωῒ — γλυκεῖ *om.* A παραίνει *om.* A^t γλυκεῖ *om.* A^t 14—21 Ὀριβασίου — σάπωνι *post* καὶ πρὸς φακούς *(415, 15) transp* ω *om.* P Ὀριβασίου — ἀποσπόγγιζε *(17) om.* D 14 Ὀριβ. *post* ἀλφοὺς *transp.* χ *(Ald.)* 15 ἐφηλίδας *Ald.* *ante* ἰόνθους: καὶ P^x A *ante* ἀλφούς: καὶ P^x A λι, β̅ *om.* P^x β̅] α̅ A 16 σπέρμα φ λι, α̅ *om.* P^x συκίου P^x A 17 ὡριαῖον] ὥρας A^t ὥρας α̅ μεγάλης P^x 18 ς *om.* A 19 *post* χηνείου: ℔ (< A^t) α̅ α, *exc.* L^a *post* λευκανθείσης: ℔ α̅ α, *exc.* L^a ἀνὰ *om.* α, *exc.* L^a 20 τό ἀρκοῦν ἢ *om.* α, *exc.* L^a 21—24 Ὀριβασίου — ὥρας γ̅ *om.* ω 24—29 Ἄλλο πρὸς — καθὰ προείρηται *om.* P 25 ᾠὰ] τὰ A^t ἀπόβρεξον α, *exc.* L^a αὐτῶν *om.* A^t 26 ἁπαλὸν χ ...ώτερον A^t 27 καὶ *alt. om.* χ D 28 λίβανον ἕκαστον τὸ ἴσον A^t ἴσον ἑκάστου P^x χ A καὶ *tert. om.* A^t 29 καθὰ προείρηται *om.* A^t

διαθέσεως γιγνομένης, χρηστέον ἐκδορίοις τοιούτοις. Ἐκδόριον ἐφηλίδων καὶ φακῶν μελανθίου ὠκίμου σπέρματος ἄρου ῥίζης ἀνὰ ℥ γ̄, ὕδατι φυράσας κατάπλαττε, εἶτα ἔα παγῆναι· διαστήματος δὲ γενομένου ἀφελὼν τὸ ἐπικείμενον, πρόσκλυζε ὕδατι θερμῷ, ὡς ὅτι πλείστῳ. Ἄλλο ποιεῖ καὶ πρὸς τὰ τετυλωμένα πρόσωπα διὰ γῆρας ἢ διὰ συνεχεῖς ἐκδορὰς ὑπὸ φαρμάκων δριμυτάτων γενομένας. εὐζώμου σπέρματος ℥ ϛ̄ ἄμεως καρδαμώμου ἄρου ῥίζης κόστου ἀνὰ ℥ γ̄, κόψας σήσας ἀπόθου· ἐπὶ δὲ τῆς χρήσεως αἴρων ὅσον ἐξαρκεῖ καὶ ὄξει φυράσας ἐπιτίθει, εἰς πάχος καταπλάσσων· πηγνυμένου δὲ ὄξος ἢ ὕδωρ ἐπίσταζε διὰ σπόγγου. γενομένης δὲ ἐκδορᾶς, προσαντλητέον ὕδατι θερμῷ πολλῷ, μετὰ δὲ τὴν ἐπάντλησιν ἐπιτίθει τὴν ὑποκειμένην σκευασίαν εἰς ῥάκος ἐμπλάσσων ἐρεοῦν. ψιμμυθίου ℥ η̄ λιθαργύρου πεπλυμένου < δ̄ στέατος χηνείου ℥ ϛ̄ μυελοῦ ἐλαφείου ℥ γ̄ c ὑσσώπου φαρμάκου ὁμοίως στέατος χοιρείου προσφάτου ℥ γ̄ σησαμίνου ἐλαίου ὅσον ἐξαρκεῖ· δεῖ δὲ ἀποπυριᾶν δὶς τῆς ἡμέρας· ἀρθέντος δὲ τοῦ δέρματος ἐπιτιθέναι χρὴ τὴν ὑποκειμένην κηρωτήν· στέατος αἰγείου ἐξινιασμένου καὶ πεπλυμένου λι, β σουσίνου ἐλαίου ℥ ϛ̄ ῥοδίνου ἐλαίου καὶ ἀμυγδαλίνου κηροῦ μαστίχης κέρατος ἐλαφείου κεκαυμένου ἁλὸς ἀμμωνιακοῦ ἀνὰ ℥ ᾱ γῆς κιμωλίας ℥ δ̄ μυελοῦ ἐλαφείου ℥ δ̄, τὰ τηκτὰ τήξας καὶ διηθήσας πάλιν ἕψε ἐπ' ἀνθράκων ὀλίγον καὶ κατάχει ἐν τῇ θυίᾳ τῶν ξηρῶν καὶ ἑνώσας χρῶ. ἐπὶ τῶν ἡλκωμένων ἐν τῷ γενείῳ τραχυτήτων χρηστέον τοῖς ἀναγεγραμμένοις μετὰ βραχὺ ἐν τῷ ιε̅ κεφαλαίῳ πρὸς τὰ ἀχωρώδη ἐπὶ τῶν γενείων ἐξανθήματα.

Περὶ στιγμάτων. στίγματα καλοῦσι τὰ ἐπὶ τοῦ προσώπου ἢ ἄλλου τινὸς μέρους τοῦ σώματος ἐπιγραφόμενα, οἷα ἐπὶ τῶν στρατευομένων ἐν ταῖς χερσί· μέλανι δὲ χρῶνται τοιούτῳ· ἀκάνθης Αἰγυπτίας ξύλου καὶ μάλιστα τοῦ φλοιοῦ λι. ᾱ χαλκοῦ κεκαυμένου ℥ β̄ κηκίδων ℥ β̄ χαλκάνθου ℥ ᾱ, κόψας σήσας, λείου πρῶτον μετ' ὄξους τὸν χαλκόν,

22. 23 ἐν τῷ — ἐξανθήματα *p. 421, 20 sqq.*

φ (Lᵃ Pˣ) χ (M°) ψ (A D P) ω (Aᵗ Vᵃ)   2 *post* μελανθίου *et* σπέρματος: ℥ γ̄ *om.* ἀνὰ *post* ῥίζης Pˣ χ A   3 καὶ καταπλάσας χρῶ Aᵗ   4 τὸ] δὲ Aᵗ   ὅτι πλείστῳ] ἐπὶ τὸ πλεῖστον Pˣ A   5 καὶ *om.* Lᵃ Aᵗ   τὰ τυλωμένα Lᵃ τὰ τελομένα A τετυλωμένα Aᵗ   *ante* διά *pr*: ἐὰν γένηται Pˣ   6 δριμυτέρων α, *exc.* Lᵃ   γι(γ)νομένας Pˣ D ....νης A *om.* Aᵗ   σπέρμα Lᵃ χ   7 ϛ̄] γ̄ Pˣ   ἄμμεος P ...ως ω   κόστου — σήσας *om.* χ   9 ὄξους Pˣ A τοῦ ὄξους Aᵗ   9.10 ἔνσταζε Pˣ A   10.11 πολλῷ θερμῷ α, *exc.* Lᵃ A   ἀπάντλησιν χ A ἄντλησιν Aᵗ   12 ἀριοῦν Pˣ ἀραιὸν A ἐριοῦν ω   ℥] < α, *exc.* Lᵃ   η̄] δ̄ Pˣ   13 δ̄] β̄ Pˣ   ℥ ϛ̄ *om., sed post* ἐλαφείου: ἀνὰ Aᵗ   ϛ̄] γ̄ Pˣ   γ̄ c] ᾱ c δ'' Pˣ η̄ χ γ̄ A ϛ̄ Aᵗ   13. 14 ὑσσώπου — ὁμοίως *om.* Aᵗ   14 ὁμοίως] ℥ γ̄ c (c *om.* A) χ ψ   ℥ γ̄] ℥ ᾱ c' Pˣ   16 *ante* χρὴ: δὲ Lᵃ   χρὴ] δεῖ Aᵗ   17 ϛ̄] γ̄ D P   καὶ *alt.*] ἢ Pˣ A   19 μυελοῦ — ℥ δ̄ (ᾱ Pˣ χ A) *om.* ω   19—23 τὰ τηκτὰ — ἐξανθήματα *om.* P   20 ὀλίγον *om.* Pˣ A D ω   ἐπ' ὀλίγον ἐπ' ἀνθράκων χ   21 ἐπὶ] περὶ Aᵗ   *post* ἐπὶ: δὲ A   εἱλκωμένων χ D   22 *ante* τοῖς: καὶ ω   ἀναγραφησομένοις D   κατὰ Aᵗ   23 ιε̅] ιϛ̅ ω *om.* Pˣ   *post* κεφαλαίῳ: καὶ ἐν τῷ ἑτέρῳ μετὰ τοῦ κεφαλαίου Pˣ   τῷ γενείῳ χ A D   24 *post* στιγμάτων: Γαληνοῦ Pˣ   τὰ] ἃ Aᵗ   25 ἐπὶ] ἐστιν ἐπὶ Aᵗ   26 *post* τοιούτῳ: μέλαν πρὸς στίγματα P *(Ald.)*   ἀκανθ' χ P Aᵗ ...ου Pˣ   ξύλων χ A D Aᵗ   27 ℥ β̄ *om., sed post* κηκίδων: ἀνὰ P *(Ald.)*

ἔπειτα καὶ τὰ λοιπὰ λεῖα ἐπιβαλὼν ἐπίχεε ὕδατος μέρη β̄ καὶ πράσου χυλοῦ μέρος ᾱ καὶ ἑνώσας χρῶ, κεντῶν τοὺς τόπους ταῖς βελόναις καὶ ἀφελὼν τὸ αἷμα καὶ ἐπιχρίων πρῶτον χυλῷ πράσου, ἔπειτα τῷ φαρμάκῳ. ἐφ' ὧν δὲ τὰ τοιαῦτα στίγματα ἀφελεῖν βουλόμεθα, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις· τιτάνου μέρος ᾱ νίτρου ὀπτοῦ μέρος ᾱ λεῖα μεθ' ὕδατος πηλοποιἴκοῦ ποιήσας καὶ προεκνιτρώσας ἀποσμήξας κατάχριε συνεχῶς· ποιεῖ δὲ καὶ πρὸς μυρμηκίας. Ἄλλο, ὥστε ἐξαίρειν στίγματα. πεπέρεως < β̄ πηγάνου ἀρσενικοῦ ἀνὰ < δ̄, λεάνας καὶ μέλι ἐπιβαλὼν ἀναλάμβανε εἰς πυξίδα κεραμεᾶν· ἐπὶ δὲ τῆς χρήσεως προεκνιτρώσας τὰ στίγματα, κατάπλασσε ῥητίνῃ τερεβινθίνῃ καὶ κατάδησον ἐπὶ ἡμέρας ε̄, τῇ δὲ ϛ̄ κατακεντήσας βελόνῃ τὰ στίγματα καὶ κατασπογγίσας τὸ αἷμα κατάπλασσε ἁλσὶ λεπτοῖς τὰ κεντήματα καὶ διαλείπων τοσοῦτον, ὡς διελθεῖν σταδίους ῑ, ἐπίθες τὸ προειρημένον φάρμακον, ἐμπλάσας λινῷ καὶ μὴ λῦε ἐπὶ ἡμέρας ε̄· τῇ δὲ ἕκτῃ λύσας ἀπόξυε τὰ στίγματα καὶ τὸ μέλαν ἀφελὼν κατάχριε πάλιν πτερῷ ἐκ τοῦ φαρμάκου· ἐξαιρεῖται δὲ ἐν ἡμέραις κ̄, χωρὶς μεγάλης ἑλκώσεως καὶ χωρὶς οὐλῆς. ποιοῦσι τὸ αὐτὸ καὶ αἱ σηπταὶ αἱ ἐν τοῖς τραυματικοῖς γεγραμμέναι.

ιγ Περὶ συκωδῶν ὄγκων ἐν προσώπῳ καὶ τὰς ἐν τῷ προσώπῳ γιγνομένας ὑπεροχὰς μεγάλας, ἃς καλοῦσι συκάς, ἀπὸ τοῦ μεγέθους τοὔνομα θέμενοι, Γαληνοῦ. ἕν τι καὶ τοῦτο πάθημα τῶν ἐπὶ τοῦ γενείου γιγνομένων ἐστί, διαφέρον τῶν ἰόνθων τῷ μὴ μόνον παχὺν εἶναι τὸ ἐργαζόμενον αὐτὸ χυμόν, ἀλλὰ καὶ λεπτότητος ἰχωροειδοῦς μετέχειν, δι' ἣν καὶ ταχέως ἑλκοῦται μὴ θεραπευόμενον ὡς προσήκει καὶ διὰ τοῦτο δεῖται ξηραντικωτέρων φαρμάκων ἢ κατὰ τοὺς ἰόνθους. [Ὀριβασίου πρὸς Εὐστάθιον· σῦκα ὀνομάζουσι βλαστήματα ἑλκώδη στρογγύλα ὑπόσκληρα ἐνερευθῆ, οἷς ἀκολουθεῖ καὶ ὀδύνη. φύεται δὲ ταῦτα τὸ μὲν πλεῖστον ἐν κεφαλῇ καὶ ἐν τῷ ἄλλῳ σώματι.] περὶ ὧν ὁ

9. 10 προεκνιτρώσας — στίγματα *Gal. ib. 13 (ib. 419, 18—420, 5)* 17 αἱ σηπταὶ κτλ. *v. libr. XIV.* 21—25 ἕν τι — ἰόνθους | 28 περὶ ὧν — ὕδατος *(419, 8) Gal. de comp. med. s. loc. V 3 (XII, 823, 14—824, 2, 828, 5—6, 8—12)* 25 bis 28 Ὀριβασίου — σώματι *Or.ª VII 40 (237, 7—9)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t V^a) 1 *post* ὕδατος: μὲν P^x χ A P ω 2 χυλὸν P^x A A^t 3 πράσου χυλῷ (*post* χυλῷ *transp.* πρῶτον D) α, *exc.* L^a 4 σμίγματα P^x A *om.* D 5 μέρος ᾱ *om. sed post* ὀπτοῦ: ἀνὰ P *(Ald.)* 6 πηλοποιήσας P^x A πηλοποιηκῷ A^t 7 *post* ποιεῖ: θαυμαστῶς P^x δὲ *om.* P^x χ ω 7—18 Ἄλλο — γεγραμμέναι *om.* P 8 < β̄ *om.* A ω *post* πηγάνου: < δ̄, *om.* ἀνὰ *post* ἀρσενικοῦ χ A D 9 κεραμαίαν (...μίαν) (...εοῦν L^a) α, ...εᾶν *scripsi* 11 ϛ̄] ἐπαύριον A^t *post* ϛ̄: ἡμέρα λύσας P^x λύσας χ A D A^t κατακέντει χ D ...κέντα P^x A ω 11. 12 περισπογγίσας α, *exc.* L^a 12. 13 διαλιπὼν D 14 ἐμπλάσσων A^t 15 ἀφαιρῶν α, *exc.* L^a 17 τὸ αὐτὸ (δεῖ [*l.* δὴ] P^x) *ante* ποιοῦσι *transp.* P^x A δὲ τὰ αὐτὰ ω 19—*419, 23* Περὶ συκωδῶν — ηὐδοκίμησα *post* σμήχεσθαι *(421, 19) transp.* χ D P ω *post* προσώπῳ *pr.*: Γαληνοῦ ω *in marg.* χ 19—21 καὶ τὰς — Γαληνοῦ] πρότερον περὶ ἰόνθων ἔδει γραφῆναι χ *om.* D P A^t 20 ἃς *om.* L^a 21 τὸ ὄνομα P^x A Γαληνοῦ *om.* P^x A V^a τοῦτο] τὸ A^t τῶν γενείων P^x 22 γενομένων A^t τῷ] τὸ α, *exc.* L^a *ante* εἶναι: αὐτὸν P^x A 23 αὐτὰ P^x A 25 φαρμάκων *post* ἰόνθους *transp.* α *(Gal.)*, *exc.* L^a 25—28 Ὀριβασίου — σώματι *om.* α, *exc.* ω *delevi*

Κρίτων οὕτως ἔγραψεν. Πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις. λιθαργύρου < δ λιβάνου σανδαράκης ἁλῶν ὀρυκτῶν ἀνὰ < β, λείοις κατάπλασσε. Ἄλλο. χαλκάνθου < β θείου ἀπύρου < β ἰοῦ < α νίτρου ἐρυθροῦ < δ, λείοις κατάπλασσε. Ἄλλο σφόδρα γενναῖον. ἐλατηρίου ἁλῶν ὀρυκτῶν ἀνὰ < δ χαλκάνθου < β μίξας κατάπλασσε, παραπτόμενος πυρῆνι μήλης προϋγραίνων τὸν τόπον, ὥστε προσκαθίσαι τὸ φάρμακον. μετὰ δὲ τὴν ἐπίθεσιν καταπλαστέον ἄνωθεν λινοσπέρματι λειωθέντι μεθ' ὕδατος. Ἀρχιγένους· ἄλλο πρὸς τὰς ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ γενείου συκώσεις. χαλκάνθου ὀπτοῦ στυπτηρίας σχιστῆς ταυροκόλλης ἴσα, λεπίδος χαλκοῦ τὸ διπλοῦν· ὄξει βρέξας τὴν ταυρόκολλαν καὶ λύσας, ἀναλάμβανε αὐτῇ τὰ λοιπὰ λεῖα· ἐπὶ δὲ τῆς χρείας ὄξει διαλύων ἐπίχριε τὰς συκώδεις ὑπεροχὰς καὶ κάλυπτε ξύσματι ὀθονίου λεπτοῦ. ἐμφύεται δὲ συντόνως καὶ χωρὶς οὐλῆς ἀποκαθαίρει τὰ συκώματα. χρῶμαι δὲ αὐτῷ καὶ πρὸς ἐκτύλωσιν συρίγγων, ἀναπλάσσων αὐτὸ εἰς κολλύρια. καθύγρων δὲ ὄντων τῶν ὄγκων, καὶ γὰρ καὶ ὕδωρ ἀπ' αὐτῶν ἀπορρεῖ καθαρὸν ὡς ἀπὸ πηγῆς, χρηστέον ταῖς ὑπογεγραμμένοις. Τροχίσκος πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις· ἔστι δὲ καὶ παντὸς ὄχθου καταςταλτικός, οἷα συμβαίνουσιν ἐπὶ τῶν κακῶς συνουλωκότων, ὥσπερ ἐπὶ τῶν ἀναρραφέντων τὰ βλέφαρα εὑρίσκομεν, ἢ τὰ χείλη ἐρραμμένων. λεπίδος μίσυος ὀπτοῦ ἀρσενικοῦ ἀνὰ ℔ β διφρυγοῦς ℔ γ χαλκίτεως κεκαυμένης χαλκοῦ κεκαυμένου κόλλης τεκτονικῆς ἀνὰ < δ, συντίθει καὶ χρῶ, καθὰ προείρηται ἐπὶ τοῦ προτέρου· καὶ γὰρ καὶ αὐτῷ χρησάμενος ηὐδοκίμησα.

2. 3 λιθαργύρου—κατάπλασσε *Or.*^{a} *VIII 37 (261, 22—23)* 4—8 Ἄλλο—ὕδατος *Or.*^{e} *IV 52 (457, 3—6)* 8—10 πρὸς τὰς—χαλκοῦ *cf. Gal. de rem. parab. I 6 (XIV 353, 4—5)* 15—22 καθύγρων—< δ *Gal. de comp. med. s. loc. ib. (ib. 828, 13—829, 3)* καθύγρων—ὑπογεγραμμένοις *(17) cf. Or.*^{a} *ib. (ib. 6—8)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t V^a) 1 τῶν γενείων P^x 2 *ante* λιθαργύρου: Κρίτωνος P ω *id. ante* πρὸς *(1)* χ D *in marg.* ἄλλως Γαληνοῦ V^a *post* λιβάνου: < β χ A D *post* σανδαράκης: < β χ D ἁλῶν ὀρυκτῶν (< β A) σανδαράχης P^x A P ω ἀνὰ *om.* χ A D 3 λειῶν P^x χ κατάπασσε L^a Ἄλλο—κατάπλασσε *om.* L^a χ P A^t < β *alt. om. sed post* θείου: ἀνὰ P^x ἀπύρου *et* ἐρυθροῦ *om.* P^x A D 4 δ] β *Ald.* 5 *post* ἐλατηρίου: < δ χ ψ ω ἀνὰ < δ] τὸ (τὸ *om.* χ D) ἴσον. χ ψ ω *post* χαλκάνθου: σανδαράκης ἀνὰ A^t 5. 6 κατάπασσε φ A P παράπασε P^x προσυγραίνων χ D 7 προσκαθῆσαι χ A προκαθίσαι L^a ω προκαθῆναι P^x 8 λινόσπερμα P V^a λίνου σπέρμα L^a λειωθὲν P V^a ἄλλο *ante* Ἀρχιγένους *transp.* P^x χ ψ ω 10 ἴσα] ἀνὰ < ϛ P^x τὸ διπλοῦν] < ιβ P^x 11 λειώσας P^x διαλύσας D 12 λύων *Ald.* 13 ἐκφύεται A καὶ ἐκφ. P^x συντόμως D P ἀποκαθαίρων V^a 14 χρῶ D P 15 ἀναπλάττων A^t αὐτὰ L^a A^t 17 Τροχίσκος] Κρίτωνος D P ἐπὶ *om.* L^a 18 ὄγκου A^t καταςταλτικὸν P^x D P ω οἷοι D P οἷς χ οἱ P^x A ω *in marg.* ἄλλως Γαληνοῦ V^a 20 *post* λεπίδος: ουΓΓ' β χ μίσυος ὀπτοῦ ℔ β *post* διφρυγοῦς ℔ γ *transp.* D P *post* ὀπτοῦ: ℔ β χ A 21 ἀνὰ *om.* χ A κεκαυμένης *om.* P^x A *ante* χαλκοῦ: < δ (κδ A) χ ψ ω 21. 22 χαλκοῦ—τεκτονικῆς ἀνὰ < δ *om.* D P κεκαυμένου] ὁμοίως A^t *post* κεκαυμένου: < δ, *om.* ἀνὰ *post* τεκτονικῆς χ A ω 23 ἐπὶ τοῦ προτέρου *om.* A^t καὶ *alt. om.* P^x χ A A^t αὐτῷ *post* χρησάμενος *transp.* P^x *ante* χρησάμ.: ἐγὼ P^x χρησάμ. *om.* A^t εὐδοκίμησας A^t

ιδ Περὶ ἰόνθων ἐν προσώπῳ· τινὲς δὲ ἄκνας καλοῦσιν. ὄγκος μικρὸς καὶ σκληρὸς ἐν τῷ κατὰ τὸ πρόσωπον δέρματι γίγνεται καλούμενος ἰόνθος, ὑπὸ παχέος δηλονότι χυμοῦ συνιστάμενος. ἡ οὖν τούτου θεραπεία διὰ τῶν μαλαττόντων τὴν σκληρότητα καὶ διαφορούντων τὸν ὄγκον φαρμάκων γίνεται, ὧν ἡ ὕλη ἐστὶ τοιαύτη· κρίνου ῥίζαν λεάνας σὺν μέλιτι ἐπίχριε ἢ κυκλαμίνου ῥίζαν σὺν μέλιτι ἢ ναρκίσσου ῥίζαν ὁμοίως ἢ κασσίαν μετὰ σμύρνης καὶ μέλιτος ἢ μολύβδαιναν σὺν ὄξει ἢ γλήχωνα λειοτάτην κηρωτῇ ἀναλαβὼν ἐπιτίθει. Ἄλλο. μέλιτος καὶ ὄξους δριμυτάτου τὸ ἴσον ἑκάστου μίξας ἐπίχριε τῷ δακτύλῳ παρατρίβων. Ἄλλο. σηπίας ὀστράκων κεκαυμένων κόστου ἀνὰ ℥ β̄ μυροβαλάνου ℥ ᾱ, λεάνας μεθ᾽ ὕδατος ἐπίχριε, ξηραινόμενον δὲ πάλιν νότιζε. Ἄλλο. κόστον κόψας σήσας λεπτοτάτως ἀναλάμβανε αἰγείᾳ χολῇ καὶ ποιήσας κηρωτῆς πάχος, ἐπίχριε τοὺς ἰόνθους πρὸς ἑσπέραν καὶ πρωΐ ἀναστὰς κέλευε γάλακτι τῷ παρόντι προσκλύζεσθαι τὸ πρόσωπον. Ἄλλο. στυπτηρίαν σχιστὴν λειοτάτην ποιήσας, ἀναλάμβανε τερεβινθίνῃ ὀλίγῃ καὶ ἐμπλάσας ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν ἰόνθων χρηστέον τοῖς ὑπογεγραμμένοις. Πρὸς τετυλωμένους ἰόνθους. σάπωνος Γαλλικοῦ < δ̄ ἀμμωνιακοῦ θυμιάματος λιβάνου ἀνὰ < ᾱ, ὕδατι διαλύσας ποίει κηρωτῆς πάχος καὶ τούτῳ ἐπιχρίσας καὶ διαστήσας ὥραν μίαν, ἀπονίπτεσθαι παραίνει χλιαρῷ. Ἄλλο. ῥοῦ μαγειρικοῦ ὑσσώπου γλήχωνος ἁλῶν ὀρυκτῶν ὠκίμου σπέρματος ἴσον ἑκάστου ἀναλαβὼν κηρωτῇ ῥοδίνῃ χρῶ. Ἄλλο. ὠκίμου σπέρματος ῥοῦ μαγειρικοῦ γλήχωνος κόστου σχιστῆς, ἑκάστου ἴσον ἀναλάμβανε στέατι χηνείῳ ἢ ὀρνιθείῳ, ὡς ἐμ-

1—5 ὄγκος—γίνεται | 8—9 μέλιτος—παρατρίβων | 12—20 κόστον—χλιαρῷ *Gal. ib. V 3 (XII 822, 16—823, 4, 825, 7—10, 17—826, 9)* 1—3 ὄγκος—ἰόνθος | 8—9 μέλιτος—παρατρίβων *Gal. de rem. parab. I 6 (XIV 352, 6—7, 13—15)* ὄγκος ...σκληρός *(2)* | 3. 4 ἡ οὖν—διαφορούντων | 8—9 μέλιτος—παρατρίβων | 15—16 στυπτηρίαν—ἐπιτίθει *Or.*^{a} *ib. 36 (261, 14—18)* ὄγκος—γίνεται *(5)* | μέλιτος—παρατρίβ. | 17—20 Πρὸς—χλιαρῷ *Or.*^{e} *IV 51 (456, 24—31)* ὄγκος—πρόσωπον | μέλιτος—παρατρίβ. | 15. 16 στυπτ.—ἐπιτίθει | 17—20 Πρὸς—χλιαρῷ *Paul. III 25 (I 197, 16—21)* 20—*p. 421, 12* ῥοῦ—ἰόνθων *Gal. de comp. med. s. loc. ib. (ib. 826, 12—827, 16)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t V^a) 1 ἀκμὰς L^a V^a ὄγκος *om.* L^a *ante* μικρὸς: ἰόνθος ἐστὶν ψ 2 τὸ *om.* χ P δέρματι *om.* A^t γιγνόμενος D P καλούμ. ἰόνθος *om.* D P 4 τῶν ὄγγων P^x A τ. ὄγκων χ τοὺς ὄγκους P *(Ald.)* 5 τοιαύτη] αὕτη A^t *post* τοιαύτη: ἡ δὲ τούτου θεραπεία τοιάδε P^x ῥίζας A^t λεάνας *om.* A^t 6 ἐπίχριε—σὺν μέλιτι *om.* A^t *post* μέλιτι *alt.*: ἢ γλήχωνα λειώσας V^a ἢ ναρκίσσου—σὺν ὄξει *om.* P 7 ὁμοίως] σὺν μέλιτι α, *exc.* L^a μολιβδαίνης P^x *Ald.* 8 λειοτάτη P^x A P ω κηρωτὴν L^a μέλιτι P^x ω καὶ *om.* A^t 9 τὸ *om.* P^x χ A D A^t ἕκαστον P^x A P ἀνατρίβων A^t 10—14 Ἄλλο—τὸ πρόσωπον *om.* P V^a ὄστρακον P^x A A^t κεκαυμένου L^a P^x A A^t *post* κεκαυμ.: ℥ β̄ (ᾱ) *om.* ἀνὰ *post* κόστου α, *exc.* L^a κόστου—℥ β̄ *om.* A^t 12—22 Ἄλλο—ῥοδίνῃ χρῶ *om.* A 13 *ante* πάχος; τὸ P^x D πρὸς] περὶ α *(Gal.)*, *exc.* L^a 15 τερεβινθίνης ὀλίγης L^a A ...θίνην ...γην A^t 16 ἐμπλάσας] ἑνώσας P^x 16. 17 τοῖς ὑπογεγραμμ.] τούτοις α, *exc.* L^a 17 Πρὸς—ἰόνθους *om.* A^t 18 *post* θυμιάματος: < ᾱ, *om.* ἀνὰ *post* λιβάνου χ A^t 19 τούτῳ] οὕτω(ς) χ D 20—22 Ἄλλο—ῥοδίνῃ χρῶ *om.* P 21 ὠκίμου σπέρματος *om.* P^x χ D *(Gal.)* 22—*p. 421, 1* Ἄλλο—ἀπαλλαγῆς *om.* P ω σπέρμα φ χ A 23 *ante* σχιστῆς: στυπτηρίας A σχιστῆς] ἁλῶν ὀρυκτῶν· ἀντὶ δὲ τῆς ἁλὸς ἐπὶ *ἢν P^x

πλαστρῶδες γενέσθαι καὶ ἐπιτίθει μέχρι παντελοῦς ἀπαλλαγῆς. Ἄλλο· ποιοῦν καὶ πρὸς τὰς ὀχθώδεις διαθέσεις καὶ τοὺς ἐπὶ τοῦ προσώπου κνησμοὺς καὶ ἀρχὴν ἐλεφαντιάσεων. κόμμεως λευκοῦ καὶ νίτρου τὸ ἴσον ὄξει δριμεῖ διαλύων ἐπίχριε· ὅταν δὲ ξηρανθῇ, ἀπόσμηχε τῇ ὑπογεγραμμένῃ σκευασίᾳ· σάπωνος Γαλλικοῦ ἀμμωνιακοῦ θυμιάματος ἀνὰ λι, α̅ λιβάνου < δ̅ μαστίχης ἀφρονίτρου ἀνὰ Γο γ̅· ἕψε σάπωνα καὶ ἀμμωνιακὸν εἰς ἀγγεῖον κεραμεοῦν μεθ' ὕδατος ξ β̅, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τὰ ξηρὰ κεκομμένα καὶ σεσησμένα λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα μετεράσας εἰς θυίαν καὶ ἀνακόπτων ἐπιμελῶς ἀνελοῦ εἰς ἀγγεῖον ὑέλιον· ἐπὶ δὲ τῆς χρήσεως μολύνων τὸ πρόσωπον καὶ μικρὸν διαστήσας ἀπονίπτου ὕδατι δαψιλεῖ προανατρίβων μαλακῶς. χρῶ δὲ αὐτῷ ἀεὶ ἐπὶ ἰόνθων. Ἄλλο δόκιμον πρὸς ἰόνθους. νίτρου ἐρυθροῦ Γο β̅ κιμωλίας Γο α̅ λιβάνου Γο δ̅ ἀλεύρου ὀροβίνου Γο α̅· χρῶ δὲ οὕτως· λαβὼν ἁλκυόνιον καθ' αὑτό, λέαινε καλῶς, εἶτα ἐπιβαλὼν ἔλαιον καὶ συλλεάνας, χρῖε τὸ πρόσωπον ἑσπέρας, ἕωθεν δὲ ἀναστὰς σμήχου τῷ προγεγραμμένῳ συνθέτῳ. Ἄλλο σμῆγμα, ᾧ δεῖ κεκρῆσθαι παρ' ὅλην τὴν θεραπείαν τῶν ἰόνθων καὶ ὄγκων. κυαμίνου ἀλεύρου ἢ σησαμίνου πέπονος ἐντεριώνης ξηρᾶς ἀνὰ < δ̅, λεάνας σμῆχε. Ἄλλο. νίτρον μετὰ σμύρνης λεάνας, δίδου μεθ' ὕδατος σμήχεσθαι.

Πρὸς τὰ ἐπὶ τοῦ γενείου ἀχωρώδη ἐξανθήματα. ποιεῖ μὲν καὶ ιε
πρὸς τούτους τὰ πλεῖστα τῶν προγεγραμμένων ἐπὶ τῶν ἐν κεφαλῇ ἀχώρων, ἰδίως δὲ καὶ ταῦτα· λιθαργύρου χαλκάνθου σιδίων μύρτων ἴσα λεάνας μετὰ οἴνου καὶ ἐλαίου μυρσίνου ἐπίχριε. Ἄλλο. περιστερεῶνος ὑπτίου ἀκακίας ἀνὰ < η̅ σμύρνης < β̅ μετ' οἴνου λεάνας, χρῶ. ⟨Ἄλλο⟩. σμύρνης Γο α̅ λιβάνου Γο β̅ ἀκακίας Γο γ̅, χρῶ μετ' ἐλαίου. Ἄλλο.

2 3 ποιοῦν—ἐλεφαντιάσεων | 4. 5 ὄξει—σκευασίᾳ *Gal. de rem. parab. ib.* *(ib. 18—353, 2, 352, 17—18)* 2—5 ποιοῦν—σάπωνος *Or.° ib. (456, 31—35)*

φ(L^a P^x) χ(M^o) ψ(ADP) ω(A^t V^a) 1 Ἄλλο—ἰόνθων *(12) om.* A 2 ποιεῖ χ D A^t ποιεῖ τοῦτο P^x 3 λευκοῦ νίτρου ἀφροῦ θείου ἀπύρου ἑκάστου *add. in marg. m. r.* V^a 4. 5 τὴν ὑπογεγραμμένην σκευασίαν A^t 5 *post* σκευασίᾳ: ταύτῃ οἷον P^x *post* γαλλικοῦ (γαλικ.): λι α̅, *om.* ἀνὰ *post* θυμιάματος α, *exc.* L^a 5. 6 θυμιάματος—μαστίχης *om.* A^t 6 λι, α̅] τὸ ἴσον χ D *om.* Pω *post* λιβάνου: ἀνὰ Pω *post* μαστίχης: Γο γ̅, *om.* ἀνὰ *post* ἀφρον. χ D *ante* σάπωνα: τὸν P^x P καὶ *om.* χ D A^t 7 *ante* ἀμμων.: τὸ Pω *ante* εἰς: καὶ A^t β̅] α̅ A^t 9 μετάρας DP ....ράσας A^t 10 ὑέλινον (ὑέλλ.) P^x χ D P V^a *post* ὑελ.: κεραμεοῦν L^a χρείας A^t 11 προσανατρίβων Pω ἀεὶ *om.* A^t 12 β̅] α̅ A κιμωλίας *om.* A 13 Γο α̅] Γο β̅ D *om.* AP λιβάνου Γο (< P^x χ A D) δ̅ *ante* χρῶ *transp.* L^a A P καὶ λιβάνου—καὶ ἀλεύρου ὀροβ. Γο α̅ *post* οὕτως *transp.* A^t *post* ὀροβίνου: ἀνὰ AP 14 καὶ *om.* P^x A P 15 χρίου (χρείου) P^x χ A χρίον P τὸ] δὲ L^a 16—19 Ἄλλο—σμήχεσθαι *om.* A 17 ἄκνων α, *exc.* L^a P ἀλεύρου *ante* πέπονος *transp.* P^x D ἢ] καὶ A^t *om.* P^x D P σησάμου α, *exc.* P^x ω 20 τοῦ] τῶν P^x ἐν τῷ χ τῷ A *om.* ω γενείων P^x ...είω χ A *post* ἐξανθήματα: Κρίτωνος A^t ποιεῖ μὲν] θαυμαστῶς δὲ τὸ τοιοῦτον ἐπωφελές ἐστι P^x μὲν] δέ A^t 21 *post* πλεῖστα: τὰ πρὸς ἐξανθήματα (= P^x) προγεγραμμένα A τῶν *om.* P^x ἐν *om.* χ *ante* κεφαλῇ: τῇ χ D 23—*p. 422, 2* Ἄλλο—ῥοδίνου *om.* P 24 *post* ὑπτίου: < η̅, *om.* ἀνὰ *post* ἀκακίας α, *exc.* φ 25 Ἄλλο *pr. add.* ψ σμύρνης—μετ' ἐλαίου *om.* L^a Ἄλλο. λιθαργ.—ῥοδίνου *om.* V^a

λιθαργύρου λαδάνου μύρτων μελανῶν ὑοσκυάμου σπέρματος σιδίων ἴσα, χρῶ μετ' οἴνου καὶ ἐλαίου μυρσίνου ἢ ῥοδίνου.

Ἄλλο· ποιεῖ καὶ πρὸς τὰ μελικηρώδη ἕλκη ἐν τῷ γενείῳ καὶ τῇ κεφαλῇ, ἃ καλοῦσι Σύροι σανάλια. λιθαργύρου καὶ δαφνοκόκκων ἴσα, λείοις μετ' ὄξους καὶ μυρσίνου ἐλαίου ἐπίχριε, πεπείραται πλειστάκις.

ιε Περὶ τῶν ἐν τῷ γενείῳ καὶ τῷ λοιπῷ σώματι λειχηνωδῶν ὄγκων.

καὶ τοῦτο τὸ πάθος ἐκ μικτοῦ τινος γίγνεται χυμοῦ, μιγνυμένων τῶν ἰχωροειδῶν τε καὶ λεπτῶν καὶ δριμέων χυμῶν τοῖς παχέσι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ψώραν τε καὶ λέπραν μεταπίπτει. δέεται μὲν οὖν τὸ πάθος τῶν ξηραινόντων ἰσχυρῶς φαρμάκων· ἐὰν δὲ εἰς ψώραν ἢ λέπραν καταπέσῃ πρὸς τὸ ξηραινόντων δεῖσθαι, ἔτι καὶ τῶν ῥυπτόντων χρῄζει. ὁ μὲν οὖν Κρίτων περὶ τούτων ἔγραψεν οὕτως πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας· πάθος δέ ἐστιν ἀηδέστατον καὶ κνησμὸν ἐπιφέρον καὶ περίστασιν καὶ κίνδυνον οὐκ ὀλίγον· ἕρπει γὰρ ἔστιν ὅτε καὶ καθ' ὅλου τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν ἐφάπτεται καὶ διὰ τοῦτο χρηστέον ἂν εἴη ἐπιμελέστερον τῇ θεραπείᾳ, διακρίνοντας ἀπὸ τῶν κεχρονισμένων τὰ νεοσύστατα. πρὸς μὲν οὖν τοὺς προσφάτους λειχῆνας ἁρμόσει ταῦτα· περδικίου βοτάνης φύλλοις συνεχῶς ἀπότριβε τὸν τόπον ἢ λίβανον ἢ ἀμμωνιακὸν ὄξει λεάνας ἢ τῷ χυλῷ τῆς περδικίου ἐπίχριε ἢ ὑγρὸν τὸ ἀπορρέον ἐκ ξύλων ὑγρῶν ἐλαίας καιομένων ἐπίχριε. ποιεῖ καὶ τὸ ἀπορρέον ἐκ τῶν τῆς κράμβης καυλῶν

6—10 Περὶ—φαρμάκων *Or.*[a] *III 59 (428, 26—29)* 7—10 μιγνυμένων—φαρμάκων *Paul. IV 3 (I 323, 16—18)* 12—18 ὁ μὲν οὖν—ἁρμόσει |

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω($A^t V^a$) 2 ἐλαίου] οἴνου χ A D A^t 3 ποιοῦν P^x χ D P V^a μελικηρώδη ἕλκη *post* κεφαλῇ *transp.* P *(Ald.)* σανάλια *om.* P ω 5 λειῶν D P *(Ald.)* ἐλαίου μυρσίνου P^x A μυρσινελαίου D P *ante* πλειστάκις: γὰρ D P *post* πλειστ. ἐν Ἀλεξανδρίᾳ P^x 6 σώματι *om.* A^t *post* ὄγκων: Γαληνοῦ P^x A A^t 7 τινος *om.* L^a 7. 8 μιγνυμένων—παχέσι *om.* P 9—12 δέεται—χρῄζει *om.* P V^a *sed in marg.* δεόμενον καὶ αὐτὸ τῶν ἰσχ. ξηραιν. φαρμ. V^a 10. 11 ἐὰν δὲ—δεῖσθαι *om.* L^a 11 ἐμπέσῃ P^x A πρὸς τὸ] πρῶτον P^x τῶ D τῶν χ *post* δεῖσθαι (δεῖ A^t): φαρμάκων P^x χ A A^t 12 οὕτως ἔγραψεν α, *exc.* L^a 13 ἔστιν *om.* φ χ 14 ἔστιν *om.* L^a 15 †προσω$^{π'}$, *in marg.* †Γρ$^{αι'}$ σώματος D σώματος P 20 *post* ἐπίχριε: ἀλοιφὴ πρὸς λειχῆνας· χελιδωναίας 𐅻 $\bar{α}$ (𐅻 $\bar{α}$ *om.* P^x) κριθαλεύρου (ἢ ἀλεύρου μᾶλλον θέρμων P^x) 𐅻 $\bar{α}$ (𐅻 $\bar{α}$ *om.* P^x) ψιμμυθίου (ἀνὰ P^x) 𐅻 $\bar{α}$ ἀλεύρου λουπίνων 𐅻 $\bar{α}$ (ἀλ.—𐅻 $\bar{α}$ *om.* P^x) (ταῦτα τὰ τέσσαρα εἴδη ὁμοῦ P^x), ζυμώσας πάντα (πάντα *om.* P^x) μετὰ τοῦ (πρωτοστάκτου τοῦ P^x) σάπωνος ἄλειφε τοὺς τόπους. ἄλλη ἀλοιφὴ εἰς λειχῆνας καὶ εἰς κελεφούς. λίθου (λιθαργύρου P^x) θείου ἀπύρου δαφνελαίου καρελαίου, κοπανίσας τὸν λίθον (τὴν λιθάργυρον P^x) καλῶς μίξας τὸ θεῖον (ἄπυρον P^x) καὶ βαλὼν ὄξος σκιλλητικὸν (ὄξους σκιλλητικοῦ P^x), τρῖβε ἕως γένωνται ὕδωρ, εἶτα δέουσαι (δέον, εἰς τὸ *leg.?*) καθαίρειν τοὺς ἔχοντας λειχῆνας ἢ λέπρας, τὰ καθαρτικὰ προσπλέκειν τῶ διὰ καλαμίνθης ὀξυπορίω ἢ τῶ ἰσχυροτέρω ὀρῶ τοῦ γάλακτος. κεῖται δὲ ἡ σκευασία αὐτοῦ ἐν τῶ δευτέρω λόγω κεφάλαιω $\bar{ϙ}\bar{ε}$. ἡ δὲ σκευασία τοῦ διὰ καλαμίνθης κεῖται ἐν τῶ $\bar{θ}$ λόγω κεφαλαίω $\overline{κε}$, ἔνθα εἰσὶ τὰ πεπτικὰ (κεῖται δὲ ἡ σκευασία αὐτοῦ κτλ.] σκευασία τοῦ διὰ κυκλαμίνου ὀξυπορίου αὕτη· κυκλαμίνου κτλ. P^x) P^x A ἢ] ἄλλο P^x χ A ω ὑγρῷ τῷ ...έοντι *expectaverimus* ἐλαίας ὑγρῶν *Ald.* 21 χυλῶν ἢ καυλῶν A^t

καιομένων. Ἄλλο. μαλάχης ἀγρίας τὸν καρπὸν καθαρίως συνάγων κόψας σήσας καὶ ἐκθλίψας τὸν χυλὸν ἀπόθου καὶ τούτῳ συνεχῶς ἐπίχριε ἢ ἀνδράχνης χυλῷ ἐπίχριε συνεχῶς. Ἄλλο. ἐλαίας ἀγρίας δάκρυον λεάνας μεθ' ὕδατος καὶ στύρακος ὀλίγον ἐπιβαλὼν καὶ ἑνώσας ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν λειχήνων ἄγνου τὰ φύλλα λεάνας μετ' ὄξους ἐπίχριε ἢ ἀσφοδέλου ῥίζαν ὄξει ἑψήσας καὶ λεάνας ἐπίχριε. Ἄλλο. χαμαιλέοντος μέλανος ῥίζαν σὺν ὄξει ἑψήσας λεάνας χρῶ. πρὸς δὲ τοὺς κεχρονισμένους λειχῆνας, ἐπεὶ πολλή ἐστι καὶ ποικίλη ἡ τούτων θεραπεία, ἐν μέρει περὶ ἑκάστου ἐρῶ· ἄρχομαι δὲ ἀπὸ τῶν τροχίσκων. Τροχίσκος πρὸς λειχῆνας ἐν παντὶ τόπῳ τοῦ σώματος. ἀλκυονίου κεκαυμένου < ιβ χαμαιλέοντος μέλανος ῥίζης ἀσφοδέλου ῥίζης ταυροκόλλης ἀνὰ < δ θείου ἀπύρου λιβάνου πυρέθρου νίτρου ἀφροῦ ἀνὰ < β, ὄξει διαλύων τὴν ταυρόκολλαν ἀναλάμβανε αὐτῇ τὰ λοιπὰ καὶ ξήραινε καὶ χρῶ σὺν ὄξει. Ἄλλο· τροχίσκος εὐδόκιμος. συκῆς φύλλων ξηρῶν < ιβ χαλκίτεως ὠμῆς < ι ἀσβέστου < η μίσυος ὠμοῦ λιβάνου ἀνὰ < δ θείου ἀπύρου < η, ὄξει ἀναλάμβανε καὶ χρῶ σὺν ὄξει. Ἄλλο· τροχίσκος λειχηνικὸς ἀφίστησι καὶ τύλους καὶ οὐλὰς παραδόξως. λιβάνου κηρύκων ὀστράκων κεκαυμένων κόπρου περιστερᾶς ἀλκυονίου κόμμεως ἴσα λείου γάλακτι καὶ ποίει τροχίσκους καὶ χρῶ σὺν ὄξει. Ἄλλο· τροχίσκος. ἐλαίας ἀγρίας δακρύου < δ λιβάνου ὁμοίως θείου ἀπύρου < β ἀλκυονίου ἀφρονίτρου ἅλικος κεκομμένου καὶ σεσησμένου ἀνὰ < η· ὄξει δριμυτάτῳ πλείστῳ ἐπιπάσας τὸν ἅλικα ἕψε ἐπὶ πολύ, ὡς ἰξῶδες γενέσθαι· καὶ τούτῳ ἀναλάμβανε τὰ λοιπὰ λεῖα καὶ ἀνάπλαττε τροχίσκους καὶ χρῶ σὺν ὄξει. Περίχριστον πρὸς λειχῆνας, πρὸς τοὺς ἀγρίους λειχῆνας. νίτρου χαλκίτεως ὀπτῆς ἀμμωνιακοῦ θυμιάματος σεραπιάδος τῆς τριόρχεως χυλῷ ἴσα λεάνας σὺν ὄξει ἐπίχριε. Ἄλλο·

1—14 μαλάχης—ὄξει *Gal. de comp. med s. loc. ib. (ib. 830, 7—17, 831, 9—13, 14—17, 832, 1—4, 18—833, 3)* 19 τροχίσκους—ὄξει *cf. Gal. ib. (ib. 832, 15—18)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω($A^t V^a$) 1—4 Ἄλλο—ἐπιτίθει *om.* P Ἄλλο] ἢ D *om.* P^x 2 τοῦτο φ A 2. 3 ἀπόχριε ω 3 ἢ (ἄλλο χ ω) ἀνδράχνης—συνεχῶς *post* καιομένων *(1) transp.* D *om.* P^x A 6 ἢ ἀσφοδέλου—λεάνας ἐπίχριε *om.* χ P ἢ *om.* P^x A 6. 7 Ἄλλο—χρῶ *om.* A 7 *ante* χαμαιλέοντος: περιχρονίων ω *ante* λεάνας: καὶ α, *exc.* L^a ω 8 τὰς κεχρονισμένας P^x A ἔσται L^a ἡ *om.* ω 9 ἄρξομαι ω *(Gal.)* 10 Τροχίσκος *om.* L^a 11 *post* ῥίζης *pr. et alt*: < δ χ A 11. 12 ταυροκόλλης < δ *post* ιβ *(11) transp.* P^x χ A 12 θείου—ἀνὰ < β *om.* D 13. 14 καὶ χρῶ σὺν ὄξει] ἐπὶ δὲ τῆς χρήσεως σὺν ὄξει διαλύων χρῶ P^x 14 Ἄλλο *om.* P ω 14—16 τροχίσκος εὐδόκιμος—σὺν ὄξει *om.* A P ιβ] ια ω 15 ὠμῆς *om.* L^a χ D *post* ὠμοῦ: < δ, *om.* ἀνὰ *post* λιβάνου χ D ω 16 *ante* χρῶ: ποίει τροχίσκους ἐπὶ δὲ τῆς χρήσεως P^x σὺν ὄξει] μετ' ὄξους P^x χ D *om.* ω 18 ὄστρακα κεκαυμένα P^x A 18—21 κόμμεως—ἀφρονίτρου *om.* ω 19—*p. 424, 3* Ἄλλο—θαυμάσεις. Ἄλλο *om.* P τροχίσκος *om.* P^x A 20 < δ *om. sed post* λιβάνου: ἀνὰ P^x ὁμοίως] < δ α, *exc.* L^a 21 κεκαυμένου ω 22 ἐπιπλάσας P^x ...σσας A ἀνασπάσας ω 24—26 Περίχριστον—ἐπίχριε *om.* A 24. 25 πρὸς τοὺς ἀγρίους λειχῆνας *om.* L^a 26 χυλοῦ P^x χ D ...ὸν ω Ἄλλο (..σ) *om.* χ A ω

ποιεῖ καὶ πρὸς ὑγροὺς λειχῆνας, ᾧ χρώμενος ἐπιτυγχάνω. δορκάδος κόπρου Ϝ α̅ λιβάνου Ϝ β̅, λεάνας χρῶ σὺν ὄξει. [Ἄλλο. τὸν ἀφρὸν τοῦ θείου λαβών, χριστέον λειχῆνα προστρίψας καὶ θαυμάσεις.] Ἄλλο τῶν λινοπλύτων. τὸν ἀφρὸν τοῦ θείου λαβὼν χρῖε τὸν λειχῆνα καὶ θαυμάσεις. Ἄλλο· ποιεῖ πρὸς λειχῆνας καὶ ἀλφοὺς καὶ λέπρας, ἀγαθὸν σφόδρα. μυοχόδων χαλκάνθου θείου ἀπύρου ἀνὰ Ϝ η̅ κυαμίνου ἀλεύρου Ϝ ι̅δ̅ ὄξους ξ^ε δ̅, λεάνας τὰ μυόχοδα ἕψε σὺν τῷ ὄξει. καὶ ὅταν ἀναζέσῃ δὶς ἢ τρίς, ἐπίπασσε θεῖον καὶ χάλκανθον, προσέχων μὴ ἀναζέσῃ καὶ ὑπερχυθῇ, εἶτα ἕψε ἐπ᾿ ὀλίγον καὶ ἐπίπασσε τὸ κυάμινον ἄλευρον, καὶ ἕψε ἕως σχῇ γλοιοῦ πάχος· καὶ ἄρας χρῶ, πρὸς μὲν τὰς λέπρας ἐμπλάσσων εἰς ὀθόνιον καὶ λύων δι᾿ ἡμερῶν ε̅, πρὸς δὲ λειχῆνας ἀνέσας ὄξει ἐπίχριε συνεχῶς. Ἄλλη περίχριστος ἑφθὴ πρὸς λειχῆνας χρονίους, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν. ἅλικος ἀληλεσμένου καὶ σεσησμένου λεπτοτάτως Ϝ ι̅δ̅ θείου ἀπύρου μίσυος χαλκίτεως κιμωλίας ἀνὰ Ϝ β̅ νίτρου ἀφροῦ σχιστῆς ἀλκυονίου ἀσφοδέλου ῥίζης λιβάνου ἐλαίας δακρύου ἀμμωνιακοῦ θυμιάματος σμύρνης ἀνὰ Ϝ α̅ ὄξους ξ^ε γ̅· ἕψε ἀλκυόνιον ἀσφόδελον μετ᾿ ὄξους. ὅταν δὲ εἰς ἥμισυ ἔλθῃ διύλιζε < ε̅, ἐκ δὲ τοῦ διυλισθέντος διάλυε ἀμμωνιακὸν σμύρναν λίβανον ἐλαίας δάκρυον, εἶτα ἐπίβαλλε αὐτοῖς τὰ λοιπὰ ξηρά· τὸν δὲ ἅλικα ἕψε ἐν τῷ ὑπολιμπανομένῳ ὄξει καὶ ἐπίβαλλε τοῖς λοιποῖς καὶ ἑνώσας χρῶ. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτως· θείου ἀπύρου μίσυος χαλκίτεως ἀνὰ Ϝ α̅ καὶ < β̅, τὰ δὲ λοιπὰ ὁμοίως. Ἄλλο σφόδρα ἐνεργές. ὄξους δριμυτάτου ξ^ε η̅ ἀλεύρου κριθίνου Ϝ κ̅ μάννης λιβάνου ἀνὰ Ϝ ι̅δ̅ λαπάθου ἀγρίου ῥίζης < κ̅ ἀσφοδέλου ῥίζης ὁμοίως ἐλλεβόρου λευκοῦ < ι̅ ἀλκυονίου ὁμοίως καρδαμώμου < λ̅ γῆς κιμωλίας < ι̅η̅ ταυροκόλλης ἀφρονίτρου ἀνὰ < ι̅ϛ̅ ἁλικακάβου χλωρῶν ἀκρεμόνων δεσμίδιον χειροπληθές, σκεύαζε καὶ χρῶ, ὡς προείρηται. ἐπιτεινομένης δὲ τῆς δια-

12—26 περίχριστος—χειροπληθὲς *Gal. ib. (ib. 834, 11—12, 835, 13—836, 16)* 27—*p. 425, 6* ἐπιτεινομένης—ἐξαρκεῖ *Gal. ib. (ib. 833, 3—11)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (A⁴) 1 ᾧ] καὶ ω χρῶμαι ἐπιτυγχάνων Pˣ χ ω *post* ἐπιτυγχ.: ἄλλο χ A ω 2 β̅] α̅ χ 2. 3 Ἄλλο. τὸν ἀφρὸν—θαυμάσεις *om.* φ χ A D *delevi* τοῦ θείου *Ald. om.* ω 3. 4 Ἄλλο τῶν λινοπλύτων—θαυμάσεις *om.* A ω 5 ποιοῦν χ ψ καὶ *pr. om.* Pˣ χ ω καὶ *alt. om.* Pˣ χ A ω ἔστι δὲ ἀγαθὸν σφόδρα τὸ τοιοῦτον Pˣ 7 δ̅] ι̅δ̅ P τῷ *om.* Pˣ A 10 σχῇ] γένηται Pˣ 11 διαλύων Pˣ A 12 ἀνιεὶς D P καὶ ἐπιχρίων (ἐπίχριε ω) D P ω Ἄλλη *om.* A P ω 12—*p. 425, 8* Ἄλλη—μισθὸν *om.* P 14 λεπτοτάτου (λεπτῶ^ττ' Pˣ) D ω ι̅δ̅] δ̅ Pˣ A θείου—(γῆς A) κιμωλίας ἀνὰ Ϝ β̅] (κοσκίνου D) χαλκίτεως κιμωλίας (χαλκίτ. κιμ. *post* μίσυος *transp.* D) θείου ἀπύρου μίσυος Ϝ β̅ D ω 17 *ante* εἰς: καὶ ω 18 < ε̅ *om.* Lᵃ χ D ω σμύρναν, ...ην, σμυ^ρ^ν' *codd.* 18. 19 ἐλαίας—ἐπίβαλλε αὐτοῖς *om.* ω 19 λοιπὰ *om.* Lᵃ 22 α̅] β̅ Pˣ χ A D καὶ < β̅ *om.* χ A ω Ἄλλο—ὅσον ἐξαρκεῖ *(p. 425, 6) om.* A σφοδρότερον ω 23 κ] κ̅η̅ Pˣ χ D κ̅δ̅ ω ἀνὰ *om.* α, *exc.* Lᵃ 24 ἀγρίας φ A κ̅] δ̅ ω ὁμοίως] < κ̅ Pˣ χ D < η̅ ω ἐλλεβόρου] ἀλεύρου χ D < ι̅ *om. sed post* ἀλκυονίου: ἀνὰ Pˣ 25 ὁμοίως] < ι̅ Pˣ χ ω λ̅] α̅ ω *post* ταυροκόλλης: < ι̅ϛ̅, *om.* ἀνὰ *post* ἀφρονίτρου Pˣ χ D

θέϲεωϲ καὶ τυλώδουϲ γιγνομένηϲ, χρηϲτέον καὶ τούτοιϲ τοῖϲ ὑπογεγραμμένοιϲ [καὶ τοῖϲ νῦν προρρηθηϲομένοιϲ]· μίϲυοϲ ϲμύρνηϲ λιβάνου ϲχιϲτῆϲ ἀνὰ < η̄ ἀλόηϲ θείου ἀπύρου ἀνὰ < δ̄ ἀναλάμβανε γλυκεῖ, ὡϲ γλοιοῦ ϲχεῖν πάχοϲ καὶ δὶϲ καὶ τρὶϲ τῆϲ ἡμέραϲ προαποϲμήχων ἐπίχριε καὶ ἔξωθεν ἐπιτίθει φυλακῆϲ χάριν τοῦ φαρμάκου κύϲτεωϲ ὑμένα ἢ ᾠοῦ ⟨τῶν λεπύρων⟩ ἢ χλωρῶν φύλλων ὅϲον ἐξαρκεῖ. Ἄλλο· λειχηνικόν. θεραπεύομεν ὀλίγαιϲ ἡμέραιϲ· πάνυ κάλλιϲτον, διὸ παραλάμβανε τὸν μιϲθόν. θείου < η̄ ἀϲβέϲτου < η̄ χαλκίτεωϲ ὠμῆϲ < η̄ λιβάνου < δ̄ μίϲυοϲ < δ̄ καππάρεωϲ χλωρῶν φύλλων κεκαυμένων < ιβ̄· ὄξει λείου καὶ ποίει τροχίϲκουϲ καὶ χρῶ. Ἔμπλαϲτροι πρὸϲ λειχῆναϲ. ἐπεὶ δὲ οἱ πολλοὶ τὰϲ μὲν τῶν ἐπιχρίϲτων δυνάμειϲ παραιτοῦνται, αἱροῦνται δὲ τὰϲ τῶν ἐμπλάϲτρων, αἵτινεϲ οὔτε ἱδρώτων ἐπιγιγνομένων ἀπορρέουϲιν οὔτε ξηραινομένων περιτείνουϲι τὸν χρῶτα, ϲυναπτέον ἂν εἴη καὶ τὰϲ τούτων ϲκευαϲίαϲ. Ἔμπλαϲτροϲ ὑγρὰ πρὸϲ λειχῆναϲ πάνυ διὰ πείραϲ, ἣν ἄρτι ἐδοκίμαϲα. πίϲϲηϲ ξηρᾶϲ κηροῦ κολοφωνίαϲ ἐλλεβόρου λελειωμένου ἐλαίου ἴϲα. ἐν πείρᾳ, διὸ δεῖ προϲλαμβάνειν τὸν μιϲθόν.

Ἔμπλαϲτροϲ λειχηνική, ὥϲτε χωρὶϲ ἑλκώϲεωϲ ἀπαλλάττειν. κηροῦ πίϲϲηϲ ὑγρᾶϲ λιβανωτοῦ τερεβινθίνηϲ θείου ἀπύρου ἀνὰ ℔ ϛ̄· τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλη ὁμοία. πίϲϲηϲ ὑγρᾶϲ λι, ᾱ μάννηϲ θείου ἀπύρου θερμίνου ἀλεύρου ἀνὰ ℔ ᾱ χαλβάνηϲ ℔ β̄· θερμάναϲ τὴν πίϲϲαν ἐπίβαλλε τὴν χαλβάνην προμεμαλαγμένην καὶ τακείϲηϲ ἄραϲ ἀπὸ τοῦ πυρὸϲ ἐπίπαϲϲε τὰ λοιπὰ καὶ ἑνώϲαϲ χρῶ, ὡϲ πάνυ ϲπουδαίῳ. Ἄλλη ὁμοία. χρυϲοκόλληϲ τῆϲ τῶν χρυϲοχόων ξηρᾶϲ χαλκίτεωϲ ὀπτῆϲ μίϲυοϲ ὀπτοῦ λεπίδοϲ διφρυγοῦϲ ἁλὸϲ ἀμμωνιακοῦ γῆϲ κιμωλίαϲ ἀνὰ < δ̄ ἰοῦ < ιβ̄ χαλκάνθου λίθου ἀϲίου χαλκοῦ κεκαυμένου ἀνὰ < ϛ̄ ϲώρεωϲ < ε̄ ϲτυπτηρίαϲ ὑγρᾶϲ < δ̄, ἅπαντα λεάναϲ ἐπιμελῶϲ καὶ ἐπιβαλὼν ὄξοϲ τρῖβε φιλοπόνωϲ ἐν ἡλίῳ, ἐν τοῖϲ ὑπὸ κύνα καύμαϲιν, ἕωϲ ἂν

18—*p. 426, 8* Ἔμπλαϲτροϲ—γίγνεται *Gal. ib. (ib. 837, 5—8, 838, 3—6, 10—839, 9)*

φ($L^{a}P^{x}$) χ(M^{o}) ψ(ADP) ω(A^{t}) 1 τοῖϲ ὑπογεγραμμένοιϲ *(cf. Gal.)* καὶ *om.* α, *exc.* L^{a} 2 καὶ τοῖϲ νῦν προρρ. (προρρηθεῖϲι α, *exc.* L^{a}) *delevi ante* μίϲυοϲ: καὶ τοῦτο δὲ α, *exc.* L^{a} 4 ἔχειν P^{x} χ D ἔχοι ω 6 τῶν λεπύρων *addidi ex Gal.* ἢ χλωρῶν—ἐξαρκεῖ *om.* α, *exc.* L^{a} 6—10 Ἄλλο· λειχηνικόν—χρῶ *om.* φχ Ἄλλο—μιϲθόν *(8) om.* D 8 < η̄ *pr. et alt. om. sed post* ὠμῆϲ: ἀνὰ ω 9 μίϲυοϲ < δ̄ *om.* ω κεκαθαρμένων ω 10 Ἔμπλαϲτροι (. . . οϲ P^{x}) πρὸϲ λειχῆναϲ *om.* ψω 11—14 ἐπεὶ δὲ—ϲκευαϲίαϲ *post* ἀπαλλάττειν *(18) transp.* Dω ἐπειδὴ ψω 12. 13 ἐπιγενομένων P^{x}χAD 13 ξηραινόμεναι χD ἐπιτείνουϲι ω 14 Ἔμπλαϲτροϲ—μιϲθόν *(17) om.* φχω 20 κατὰ τῶν ξηρῶν] τοῖϲ ξηροῖϲ P *(Ald.)* *post* ξηρῶν: χρῶ P^{x} Ἄλλη ὁμοία] ἄλλη (. . . ο) χωρὶϲ ἑλκώϲεωϲ ἀπαλλάττει P^{x}χAω *haec usque ad* γίγνεται *(426, 8) post* ἐγκαταλιμπανόμενα *(426, 9) transp.* D *om.* P ὑγρᾶϲ *om.* L^{a} 22 τακεῖϲαν P^{x}ψ 23 ὡϲ *om.* ω Ἄλλη ὁμοία] ἄλλη (. . . ο) χωρὶϲ ἑλκώϲεωϲ ἀπαλλάττει *[cf. l. 18]* P^{x}χDω *(Gal.)*, *haec usque ad* δερμάτιον λεπτὸν *(426, 11) om.* A 25 ὀπτοῦ] ὁμοίωϲ ω 26 ιβ̄] β̄ D *(Ald.)* *post* χαλκάνθου: < ϛ̄ χDω λίθου ἀϲίου *om.* L^{a} *post* ἀϲίου: ἀνὰ < ϛ̄ P^{x} < ϛ̄ χD ἀνὰ *om.* α, *exc.* L^{a} ϛ̄] ε̄ P^{x} 27 δ̄] ϛ̄ ω 23 ὄξουϲ P^{x}ω

ἐξιπωθῇ τὸ φάρμακον. cκευαζέcθω δὲ ἐν ἄλλῃ θυίᾳ λιβάνου cμύρνης ἀνὰ 𐅻 β̄ ἀλόης λαδάνου ὀποπάνακος ἀνὰ 𐅻 ᾱ, ὄξει διαλύcας καὶ ταῦτα, ὡς ἔχειν γλοιοῦ πάχος, ἐπίβαλλε τοῖς ἐν ἡλίῳ λειωθεῖcι καὶ πάλιν λείου καὶ τούτοις ἐπίβαλλε ἀριcτολοχίας κεκομμένης καὶ cεcηcμένης 𐅻 ᾱ, εἶτα λείου· ὅταν δὲ λειούμενα ἐμπλαcτρώδη γένηται, τήξας τὰ τηκτὰ ἐπίβαλλε· ἔcτι δὲ ταῦτα· κηροῦ < ρ̄ τερεβινθίνης < c̄ χαλβάνης < θ̄ ἐλαίου λι, ᾱ· καὶ μαλάξας ἀνελόμενος χρῶ. κείμενον ⟨δὲ⟩ τὸ φάρμακον διπρόcωπον γίγνεται. Ἄλλη ποιεῖ πρὸς τοὺς εἰργομένους λειχῆνας, ὥcτε καταcτέλλειν τὰ ἐγκαταλιμπανόμενα. πίccης ἀcφάλτου κηροῦ πιτυίνης θείου ἀπύρου μάννης ἴcα ἐλαίου κυπρίνου βραχύ, τήξας ἐπίπαccε τὰ ξηρὰ καὶ χρῶ ἐμπλάccων εἰς δερμάτιον λεπτόν.

Ἔμπλαcτρος λειχηνικὴ διὰ πείρας. πίccης ξηρᾶς 𐅻 γ̄ καὶ ὑγρᾶς 𐅻 ᾱ κολοφωνίας θείου ἀπύρου κηροῦ ἀνὰ 𐅻 γ̄ νίτρου πυρροῦ 𐅻 ᾱ ἅλατος χαλκίτεως ἀνὰ 𐅻 ᾱ ἐλαίου 𐅻 β̄, χρῶ. Ὀριβαcίου λειχηνικὴ καὶ πρὸς κνηcμούς. χαλκάνθου θείου ἀπύρου νίτρου λιβάνου ἴcα, χρῶ ἐπὶ μὲν λειχήνων ὄξει, ἐπὶ δὲ κνηcμοῦ οἴνῳ.

Ἐκδόρια λειχήνων. τῆς δὲ διαθέcεως ἐμμόνου γενομένης καὶ πρὸς τὴν τῶν φαρμάκων ἐπίθεcιν ἀντιβαινούcης, χρηcτέον τοῖς ἐκδορίοις· καὶ γὰρ ἀφίcτηcι τὴν ἐπιφάνειαν ἐκ προχείρου.

Ἐκδόριος λειχήνων· ταύτῃ Πάμφιλος χρηcάμενος ἐπὶ τῆς Ῥώμης, πλεῖcτα ἐπορίcατο, ἐπικρατούcης ἐν τῇ πόλει τῆς μεντάγρας λεγομένης, τουτέcτιν ἀγριολειχήν. λεπίδος ἀρcενικοῦ ἀνὰ < η̄ cανδαράκης < δ̄ χαλκοῦ κεκαυμένου ἐλλεβόρου λευκοῦ κανθαρίδων χωρὶς πτερῶν καὶ ποδῶν ἀνὰ < ᾱ c· ἕκαcτον τρῖβε κατ' ἰδίαν, εἶτα καὶ ἅμα λεάνας ἀναλάμβανε κεδρίᾳ καὶ ποιήcας ῥύπου τὸ πάχος ἀπόθου εἰς πυξίδα

8—11 Ἄλλη—λεπτόν *Gal. ib. (ib. 837,13—838,2)* 14 Ὀριβαcίου κτλ. *loc. gen. in Orib. non inveni; at cf. Or.*[a] *III 100 (94,22—23) Or.*[e] *III 60 (429, 10—11) Or.*[c] *77, 78 (IV 250, 10sqq. 251,7—8)* 20—*p. 427,19* Ἐκδόριος—φαρμάκων *Gal. ib. (ib. 839,13—841,8)*

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (A[t]) 1 ἐξιωθῇ ω δὲ *om.* D ω *post* λιβάνου: 𐅻 β̄, *om.* ἀνὰ *post* cμύρνης χ D cμύρν. ἀνὰ 𐅻 β̄ *om.* ω 2 *post* ἀλόης *et* λαδάνου: 𐅻 ᾱ *om.* ἀνὰ *post* ὀποπάνακος χ D ὀποπάνακος—ᾱ *om.* ω 3 γλοιοῦ] ἰοῦ ω ἐν ἡλίῳ λειωθ.] ἐνηλειωθεῖcιν P[x] ἡλιωθεῖcι ω 4 καὶ τούτοις *om.* ω ἐπίβαλε χ D *post* ἐπίβ.: καὶ ω κεκαυμένης ω καὶ *alt. om.* ω 5 εἶτα] καὶ P[x] χ D *om.* ω λείου *om.* D ω δὲ *om.* P[x] χ D 6 c̄] κ̄ *Gal.* 7 δὲ *addidi ex Gal.* 8 *post* φάρμακον: καὶ ω ἄλλο χ P ω τὰς ω εἰργομένους] εἰρημένους P[x] P ἠργμένους χ D εἰρημένας ω ἐπαιρομένους *Gal.* 10 παχὺ ω 11 χρῶ *om.* ω 12 Ἔμπλαcτρος—𐅻 β̄ χρῶ *(14) om.* P διὰ πείρας *om.* ω καὶ] πίccης α, *exc.* L[a] 13 κολοφωνίας—πυρροῦ 𐅻 ᾱ *om.* D κηροῦ θείου ἀπύρου ω κηροῦ *om.* P[x] χ A γ̄] ᾱ χ ω 𐅻 ᾱ *om.* P[x] 14 ἅλατος—𐅻 ᾱ *ante* Κολοφωνίας *transp.* D ω ἀνὰ *om.* χ Ὀριβαcίου—οἴνῳ *post* ᾠοῦ *(425,6) transp.* ω *repet.* D λειχηνικὸν α, *exc.* L[a] 15 λιβάνου] λιθαργύρου D *(hoc loco)* 16 *ante* λειχήνων: τῶν P *(Ald.)* 17 ἐκδόρια λειχήνων *om.* P *(Ald.)* δὲ *om.* L[a] 20 ἐκδόριον P[x] A 21 πλειcτάκις L[a] μελτάγρας L[a] μελιτάγρας P 22 δ (ἡ D P) ἐcτιν P[x] ψ ω ἄγριος λειχήν α, *exc.* L[a] *post* λεπίδος: < η̄ *om.* ἀνὰ *post* ἀρcεν. P[x] χ A ω < η̄] < δ̄ χ ω *(Gal.) om. sed post* cανδαράκ.: ἀνὰ P[x] cανδαράκης < δ̄ *om.* ω 25 πυξίδιον ω

κυπρίου χαλκοῦ· ἐπὶ δὲ τῆς χρήσεως νίτρῳ καὶ ὄξει βραχεῖ ἀποσμήχων τὸν λειχῆνα ἐπίχριε τῷ φαρμάκῳ σπαθομήλῃ χρώμενος καὶ παρατρίβων καὶ διαστήσας ἀπόξυε τῇ σπαθομήλῃ καὶ πάλιν ἕτερον ἐπίχριε· εἶτα δὶς καὶ τρὶς αὐτὸ ποιήσας, σκέπαζε τοὺς ἐπιχρισθέντας τόπους ὑμένι κύστεως βοείας ἢ ἑτέρου τινὸς ζῴου· μετὰ δὲ τὴν τοῦ ὑμένος ἐπίθεσιν ταινιδίῳ κούφως ἐπιδήσας ἔα διανυκτερεῦσαι, εἰ ὑπομένοι· εἰ δὲ μή, μέχρις ὡρῶν τινων, ὥστε φλυκταίνας γενέσθαι ἰχῶρας περιεχούσας παχεῖς καὶ κωλλώδεις. φλυκταίνης οὖν γενομένης, λούεσθαι παραινοῦμεν καὶ χρονίζειν ἐν τῷ βαλανείῳ· καὶ γὰρ συνεργεῖ τῇ θεραπείᾳ. ἔστω δὲ θερμότερον τὸ βαλανεῖον· εἰ δέ τι κωλύοι χρῆσθαι τῷ βαλανείῳ, ἀποπυριατέον θερμῷ ὕδατι πολλῷ. πολλῆς δὲ παρενοχλήσεως γενομένης, περιμάττειν καὶ καταπλάττειν ἄρτῳ φυραθέντι ὑδρομέλιτι. ῥυπαρῶν δὲ γενομένων τῶν ἑλκῶν τῆς χλωρᾶς ἐπιτίθει σπληνίον, προσβάλλων αὐτῷ ὀλίγον τοῦ ἐκδορίου. ἰχώρων δὲ ἐκκρινομένων καὶ μηδεμιᾶς ἐπικειμένης ἐφελκίδος, ἐπιτίθεμεν τῆς λευκῆς σπληνίον καὶ ταύτῃ χρώμεθα μέχρι παντελοῦς ἀπουλώσεως, ἀποπυριῶντες καθ᾽ ἑκάστην ἡμέραν καὶ νεαρῷ χρώμενοι σπληνίῳ. πρὸ δὲ τῆς τῶν ἐκδορίων ἐπιθέσεως περιλαμβάνειν χρὴ τὰ ἔξωθεν τοῦ λειχῆνός τινι τῶν ἀφλεγμάντων φαρμάκων καὶ οὕτως ἐπιτιθέναι ἐπὶ τὸν λειχῆνα μόνον τὸ ἐκδόριον. Ἄλλη ἐκδόριος πρὸς τὰς λεγομένας μεντάγρας, ὥστε χωρὶς οὐλῆς ἀποθεραπεύειν· ποιεῖ δὲ καὶ πρὸς ἀλωπεκίας, ἐν ἡλίῳ ἢ παρὰ πυρὶ καταχριομένη. φλυκταίνης δὲ γενομένης βελόνῃ χρὴ κεντεῖν, ὑγροῦ δὲ ἐκκριθέντος κηρωταῖς ἀποθεραπεύειν. μετὰ δὲ τὴν ἀπούλωσιν ἐκφύονται αἱ τρίχες. ταῦτα μὲν ἐπὶ τῶν ἀλωπεκιῶν, ἐπὶ δὲ τῶν λειχήνων χρηστέον καθὰ προείρηται ἐπὶ τῆς πρώτης ἐκδορίου· τὸ δὲ φάρμακον ἔχει οὕτως· σανδαράκης ἀρσενικοῦ λεπίδος ἐλλεβόρου μέλανος ἀνὰ < β̄ ἐλατηρίου < ᾱ κανθαρίδων τῶν κοιλιῶν < ᾱ, ἀναλάμβανε κεδρίᾳ· ἡ χρῆσις δεδήλωται. χλωραὶ μετὰ τὰ ἐκδόρια ἐπιτιθέμεναι. μετὰ δὲ τὴν τῶν ἐκδορίων χρῆσιν χρηστέον ταῖς ὑποκειμέναις χλωραῖς πρὸς τὴν τῶν ἑλκῶν ἀνακάθαρσιν. Χλωρά· ταύτῃ Πάμφιλος ἐχρήσατο ἐπὶ τῆς μεντάγρας λεγομένης μετὰ τὴν ῥῆξιν τῆς φλυκταίνης·

20—*p* 428, 3 Ἄλλη ἐκδόριος—χρῶ *Gal. ib. (ib. 841, 14—842, 6, 14—843, 4)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 4 εἶτα] ἔπειτα (*post* δὶς *transp.* ω) α, *exc.* L^a 6 ἔνθεσιν P^x A κούφω D P ἐπίδησον L^a διανυκτερεύσας ω ὑπομένει P^x A ω 7 τινων] τριῶν L^a 7. 8 ἰχῶρας—λούεσθαι *om.* L^a 10 κωλύει α *(Gal.)*, *exc.* L^a τῷ *om.* α *(Gal.)*, *exc.* L^a 11 ἐνοχλήσεως L^a 14 προσβαλὼν χ D P αὐτῇ χ D P καὶ κρινομένων ω 15 ὑποκειμένης P^x A ἐφελκίδων ω 17 πρὸς P^x A ω 17 *et* 18 τῶν *om.* A 18 ἀφλεγμάτων P^x A P ω 20 Ἄλλη—δεδήλωται *(28) om.* A Ἄλλη *om.* ω ἐκδόριον ω μελιτάγρας L^a P 21 θεραπεύειν χ P *ante* ποιεῖ: χρησιμωτάτη D P ..ώτατον ω παρὰ *om.* P^x χ 22 καταχριόμενον L^a χ A ω κεντᾶν D P 24 *post* τρίχες: πρὸς ἀλωπεκίας ω 25 καθὰ] ὡς ω ἐπὶ—ἐκδορίου *om.* ω 27 < ᾱ *pr.*] < δ̄ χ D P *om.* P^x ω κανθαρίδων—< ᾱ *om.* L^a τῆς κοιλίας ἀνὰ P^x ω 28 ἡ χρῆσις—ἐπιτιθέμεναι *om.* P τὰ *om.* L^a 29 δὲ *om.* α, *exc.* L^a ω 30 *post* χλωρά: Παμφίλου D P ἐχρήσατο Πάμφιλος D P 31 μελιτάγρας L^a μελάγγρας χ λεγομένης μεντάγρας (μελιτ. P λεγομ. *om.* ω) D P ω †ἐκρίζωειν, *in marg.* Γρ^{αι} ῥῆξιν *m. 1*^{a} D ἐκρίζωσιν P

κηροῦ πιτυίνης ξηρᾶς ἀνὰ λίτραν α̅ ἰοῦ Γ° γ̅ ἐλαίου παλαιοῦ Γ° η̅ ὄξους δριμυτάτου ὅσον ἐξαρκεῖ· τὸν ἰὸν λείου ἐν ἡλίῳ μετ' ὄξους καὶ τήξας τὰ τηκτὰ καὶ ψύξας ἐπίβαλλε ἐν τῇ θυίᾳ καὶ ἑνώσας χρῶ. Ἄλλη. ἰοῦ < β̅ μάννης < δ̅ χαλβάνης < γ̅ στέατος μοσχείου < ιβ̅ κηροῦ πιτυίνης ἀνὰ < η̅ ὄξους τὸ ἀρκοῦν. Ἄλλη εὔχρους λεγομένη. χαλκοῦ κεκαυμένου Γ° γ̅ στυπτηρίας στρογγύλης ἰοῦ ἁλὸς ἀμμωνιακοῦ μάννης ἀνὰ Γ° β̅ κηροῦ πιτυίνης ξηρᾶς ἀνὰ λι, β̅ ἐλαίου Γ° γ̅, ὄξους ὅσον ἐξαρκεῖ εἰς τὰ ξηρά. Λευκαὶ ἀπουλωτικαί. μετὰ δὲ τὰς χλωράς, καθαρῶν γενομένων τῶν ἑλκῶν, χρηστέον ταῖς λεπταῖς ἐμπλάστροις· καὶ γὰρ φροντιστέον ὥστε χωρὶς οὐλῆς ἀπουλοῦσθαι· καὶ διὰ τοῦτο χρηστέον ἐστὶ φαρμάκοις τοιούτοις, ἅτινα πολλὴν εὐάφειαν ἐπιφέρει. Λευκὴ ὑδατίνη λεγομένη· ταύτῃ Μάγνος ἐχρήσατο μετὰ τὴν τῶν λειχήνων ἐκδοράν. ψιμμυθίου λιθαργύρου κηροῦ Τυρρηνικοῦ ὕδατος καθαροῦ ἀνὰ λι' α̅ ἐλαίου ὀμφακίνου λι' β̅· τρῖβε λιθάργυρον, ψιμμύθιον καὶ τὸ ὕδωρ, καὶ ὅταν λειότατον γένηται ἐπίβαλλε κατὰ βραχὺ τὸ ἔλαιον καὶ τρῖβε καὶ ὅταν ἱκανῶς ἑνωθῇ, μεταίρου εἰς ἀγγεῖον κεραμεοῦν καὶ ἐπιτίθει ἐπὶ τὸ πῦρ συνεχῶς κινῶν, καὶ ὅταν τὸ ὕδωρ δαπανηθῇ, ἐπίβαλλε τὸν κηρόν· καὶ οὕτως ἐπίχεε ἐν θυίᾳ καὶ μαλάξας χρῶ. Ἄλλη. ψιμμυθίου λι' β̅ μίσυος ὠμοῦ τερεβινθίνης ἀνὰ Γ° β̅ κηροῦ Γ° ς̅ ἐλαίου λι' γ̅ ὕδατος χοίνικας β̅· συντίθει, καθὰ προείρηται, καὶ χρῶ. χρῶ δὲ καὶ ταῖς ἑδρικαῖς κηρωταῖς καὶ ταῖς πυρικαύστοις ἁπλαῖς.

ιζ Πρὸς στόματα δυσώδη. πρὸς τὰς δυσχερεῖς ὀσμὰς τοῦ στόματος δίχα ἑλκῶν γιγνομένας ἶριν ἀποβρέχων οἴνῳ παλαιῷ εὐώδει δίδου διακλύζεσθαι συνεχῶς καὶ κατέχειν ἐν τῷ στόματι χρόνον τινά· ἢ σμύρναν οἴνῳ ἀκράτῳ διαλύσας δίδου διακλύζεσθαι ἢ ὄξει δριμεῖ διακλυζέσθω

3—20 ἰοῦ—χρῶ *(pr.)* *Gal. ib. (ib. 843, 8—14, 844, 3—17, 845, 1—4)* 22—25 πρὸς τὰς—διακλύζεσθαι *Or.° IV 55 (458, 11–13)* 23—25 ἶριν—τινά | σμύρναν—διακλύζεσθαι

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 *post* κηροῦ: λι α̅ *om.* ἀνὰ *post* ξηρᾶς χ ψ α̅] β̅ χ D P ω 2 ἐν ἡλίῳ *post* ὄξους *transp.* D *om.* P ω μετὰ τοῦ Pˣ χ A D ω 3 ἐπίβαλε χ D 4 *post* κηροῦ: < η̅ *om.* ἀνὰ *post* πιτυίνης χ A *ante* πιτυίνης: καὶ D P 5 Ἄλλη—ἀπουλωτικαί *(8)* *om.* P *post* Ἄλλη: ἡ *Ald.* 7 β̅ *pr.*] α̅ Pˣ A *post* κηροῦ: λι β̅ χ A D πιτυίνης—λι, β̅ *om.* A ἀνὰ *om.* χ D γ̅] ι̅ Pˣ χ A ω *(Gal.)* ὅσον ἐξαρκεῖ] τὸ ἀρκοῦν A P *(Ald.)* 10 ἀπουλῶσθαι Lᵃ …ωθῆναι A 11 τούτοις P *(Ald.)* 12 ταύτῃ] ᾗ D P ω Μάγνος] Πάμφιλος χ 15 γένηται λειότατον D P ἐπίβαλε Pˣ χ A 16 μετάγγιζε Pˣ μετάρας χ μετέρε A *om.* ω …τέρα *Gal.* *ante* ἐπιτίθει: βάλλε καὶ ω καὶ Pˣ χ A 17 ἐπίβαλε Pˣ χ A D 18 μαλάξας] λεάνας ω Ἄλλη—χρῶ *[pr.]* *(20)* *om.* A P ἄλλο D *om.* ω 19 *post* ὠμοῦ: Γ° β̅, *om.* ἀνὰ *post* τερεβινθ. Pˣ χ D Γ° β̅] ὁμοίως Pˣ ἐλαίου—χοίνικας β̅ *om.* Lᵃ γ̅] α̅ Pˣ D χ 20 χοίνικας] ξε^{ς'} Pˣ χ D ℅ ω καὶ *alt*] ἐν ω 21 κηρωταῖς *om.* ω ἁπαλαῖς Pˣ χ A ω 22 Πρὸς—δυσώδη] Περὶ τῶν κατὰ τὸ στόμα παθῶν, ὧν α̅ περὶ δυσωδίας στόματος Pˣ στόματα δυσώδη] τὰς δυσχερεῖς ὀσμὰς τοῦ στόματος D *post* πρὸς *alt.*: δὲ Pˣ D ὀδμὰς Pˣ ψ 23 εὐώδει *om.* ω 24 κλύζειν Lᵃ σμύρνην Pˣ …ης χ σμυρ^{ν'} D P 25 ἀκράτῳ *om.* ω κλύζεσθαι A ἀκατασχέτως ἀκλύζεσθαι καὶ διακλυζέσθω Pˣ *om.* ω ἢ] καὶ *Ald.* *ante* ὄξει: ὁμοίως Pˣ ὄξους δριμὺ ω διακλυζέσθω] δίδου διακλύζεσθαι χ δίδου ω

καθ' ἡμέραν μέλλων καθεύδειν· ἕωθεν δὲ ἀφέψημα ναρδοστάχυος διακλυζέσθω ἢ αὐτὴν διαμασάσθω ἢ ποταμογείτονος φύλλα καθ' ἑκάστην διαμασσόμενος ἀποπτυέτω. ἢ ῥόδων ἄνθος παράτριβε συνεχῶς ἢ συκῆς ἀγρίας ῥίζαν καύσας διάχριε τὴν τέφραν μετὰ μέλιτος καὶ βραχὺ κυπέρου ἢ σχοίνου ἄνθος λεαίνων παράτριβε τὰ οὖλα συνεχῶς. ἢ κιμωλίαν μεθ' ἁλῶν λεάνας παράτριβε τὰ οὖλα συνεχῶς ἢ κριθὰς μεθ' ἁλῶν μέλιτι φυράσας καὶ εἰς ὀθόνιον ⟨οἴνῳ⟩ ἐμβαλὼν καῦσον καὶ λείοις χρῶ· ἢ σεμίδαλιν μέλιτι φυράσας καὶ καύσας χρῶ ἢ κίσσηριν σμύρναν ναρδόσταχυ μετὰ μέλιτος λεάνας χρῶ. Ἄλλο. ἁλὸς λευκοῦ κισσήρεως ὀριγάνου ἀνὰ ℥ α̅ ἴρεως σχοίνου ἄνθους ἀνὰ ℥ β̅, τούτοις λείοις παράτριβε τούς τε ὀδόντας καὶ ὅλον τὸ στόμα· εὐωδίαν γὰρ ἐμποιεῖ καὶ τοὺς ὀδόντας λευκούς. Ἄλλο πρὸς ὀζοστόμους. χαλκίτεως ὠμῆς < ι̅β̅ ἐλλεβόρου λευκοῦ < η̅, λειότατα ποιήσας διάχριε. Ἄλλο. χαλκίτεως < ι̅β̅ ἐλλεβόρου λευκοῦ καδμίας ἀνὰ ℥ η̅, ὄξει λεάνας ἐν ἡλίῳ θερινῷ ἐπὶ πλείους ἡμέρας καὶ ξηράνας χρῶ. ποιεῖ καὶ πρὸς αἱμορραγοῦντα οὖλα καὶ σηπόμενα. πινέτωσαν δὲ καὶ οὗτοι καὶ τὰ πρὸ βραχέος γραφέντα πρὸς τοὺς δυσώδες τὸ πᾶν σῶμα ἔχοντας ἐν τῷδε τῷ λόγῳ ἐν τῷ η̅ κεφαλαίῳ.

Πρὸς παχύτητας χειλῶν. προκύπτει ἐπὶ πολλῶν τὸ ἄνω χεῖλος, ἐνίοτε δὲ καὶ τὸ κάτω ἐξ ἐπιφορᾶς ῥεύματος σφοδροῦ ἀπὸ κεφαλῆς καταφερομένου, ὥστε παχυνομένου τοῦ χείλους διοιδίσκεσθαι καὶ ἐμποδίζειν τῇ τοῦ λόγου προφορᾷ μετὰ τοῦ καὶ ἀπρέπειαν παρέχειν. θεράπευε δὲ ἢ φλεβοτομῶν ἢ καθαίρων ἢ τὰς συνήθεις ἐκκρίσεις ἐπεσχημένας κινῶν, οἷον καταμήνια γυναιξὶ καὶ ἀνδράσι τὰς συνήθεις ἐκκρίσεις. μετὰ δὲ ταῦτα διαχρίστοις χρηστέον καὶ ἀποφλεγματισμοῖς, ἔπειτα ταῖς λεγομέναις στοματικαῖς διαχρίστοις διαχριστέον τὴν ὑπερῴαν. τούτων δὲ προγεγενημένων, πράσου χυλῷ σὺν ἐλαίῳ παλαιοτάτῳ ι̅η̅

5—8 ἢ σχοίνου — φυράσας | 8—9 ἢ κίσσηριν — χρῶ *Gal. de rem. parab. I 4 (XIV 424, 12—14, 17—425, 2, 4—5)* 16 πινέτωσαν κτλ. *cf. p. 412, 17sqq.*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1. 2 καθ' ἡμέραν — διακλυζέσθω *om.* P^x 2 κλυζέσθω D P 3 ἢ ῥόδων — συνεχῶς *om.* P *(Ald.)* 4 λεία χρῖε P *(Ald.)* τῇ τέφρᾳ P *(Ald.)* μετὰ] διὰ ω *om.* A μέλιτι A καὶ βραχὺ κυπέρου *om.* ω 5 σχίνου A D λεάνας μεθ' ἁλῶν D P *(Ald.)* 6 τὰ οὖλα συνεχῶς *om.* χ D P ω 7 καὶ εἰς ὀθόνιον — φυράσας *(8) om.* A οἴνῳ *addidi ex Gal.* καύσας L^a 8 φυράσας μέλιτι ω ἢ κίσσηριν — χρῶ *(9) om.* P ω 9 *post* Ἄλλο: πρὸς ὀξοστόμους (ὀζ. *leg.*) A 10 α̅] ι̅α̅ χ *post* ἴρεως: ℥ β̅ *om.* ἀνὰ *post* ἄνθους χ A ω σχίνου χ A P ω τούτοις *om.* ω 11 τε] δὲ P^x *om.* ψ ω *post* στόμα (σῶμα D): ὁμοῦ ἐξ αὐτοῦ P^x 12. 13 Ἄλλο — διάχριε *post* κεφαλαίῳ *(18) transp.* A ὠμῆς (ὠμῆς D) *om.* P 13 < η̅ — χαλκίτεως < ι̅β̅ *om.* D P Ἄλλο — σηπόμενα *(16) om.* A 14 ἐλλεβόρου λευκοῦ *om.* α, *exc.* L^a καδμίας] ἐλλεβόρου ω ἀνὰ *om.* α *exc.* L^a *ante* ἐν: ἢ ω θερμῷ L^a 16 καὶ *alt. om.* D P καὶ *tert. om.* P^x A ω 17. 18 ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦδε τοῦ λόγου (τοῦδε τοῦ λόγου *om.* ω) χ ψ ω *om.* P^x 19 παχύτητα D P ω 21 φερομένου L^a προσεμποδίζει ω 22 προσφορᾷ P^x ω προάπρέπειαν ω 23 ἢ *tert.*] καὶ ω 24 γυναικῶν P^x A 25 καὶ] ἢ ψ 26 *post* ὑπερῴαν: ὧν μετὰ βραχὺ ἐρῶ τὰς σκευασίας τῶν στοματικῶν διαχρισμάτων κτλ. P^x 27 δὲ] γὰρ ω *ante* πράσου: εἶθ' οὕτω καὶ ταύτας τὰς διαχρίστους χρηστέον οἷον P^x

διάχριε ἔνδοθεν τὰ χείλη cυνεχῶc ἢ κράμβηc φύλλων χυλῷ cὺν τῷ ἐλαίῳ διάχριε, ἔξωθεν δὲ ἐπίχριε τὸ πεπονθὸc χεῖλοc γλαυκίῳ μετ' οἴνου ἢ κιμωλίᾳ ἢ τῷ Μούcα τροχίcκῳ ἢ τῷ δι' ἀλικακάβου μετ' οἴνου.

ιθ̅ Πρὸc χείλη κατερρωγότα. ᾠοῦ τὸν ἐντὸc ὑμένα ταῖc ῥαγάcι τῶν χειλῶν προcκόλλιζε ἢ τῶν φοινίκων τὸ περὶ τὸ ὀcτέον ὑμενῶδεc ἢ ἀραχνίων τῶν ἐν τοῖc δοκοῖc τὸ λευκὸν ὕφαcμα. τὰc δὲ βαθυτέραc ἐν χείλεcι ῥαγάδαc cτέατι αἰγείῳ ἢ χηνείῳ προτεθεραπευμένῳ ἢ μυελῷ βοείῳ ἢ ἐλαφείῳ μετ' ἀειζῴου καὶ τερεβινθίνηc ἑνώcαc ἐπιτίθει ἢ κηκῖδα ὀμφακίνην λείαν ἀναλάμβανε τερεβινθίνῃ ἢ ὑccώπῳ ὑγρῷ ἢ μέλιτι καὶ ἐπιτίθει. Ἄλλο. κηκῖδα καὶ μαcτίχην λειότατα ποιήcαc ἀναλάμβανε ὑccώπῳ τῷ κηρωτοειδεῖ καὶ χρῶ. Ἄλλο. κηκίδων καδμίαc ἀνὰ Γ° α̅ ψιμμυθίου Γ° γ̅, λεάναc cὺν ῥοδίνῳ κατάχριε. Ἄλλο. κυπέρου Γ° β̅ κηκίδων Γ° α̅ cχιcτῆc Γ° β̅, λεάναc ξηρὸν ἐπίπαccε. Ἄλλο. μαcτίχην cὺν οἴνῳ λεάναc ἐπίχριε. Ἄλλο. τρύγα ὄξουc καύcαc καὶ κηρωτῇ ῥοδίνῃ ἢ μυρcίνῃ ἀναλαβὼν ἐπιτίθει. ποιεῖ δὲ καὶ πρὸc τὰc ἐν τοῖc ἄλλοιc ἀκρωτηρίοιc ὑπερμεγέθειc φλεγμονάc. Ἄλλο. ᾠῶν κελυφῶν κεκαυμένων κηκίδων cμύρνηc cτυπτηρίαc cχιcτῆc ἴcα, ὑccώπῳ ἀναλαβὼν ἐπιτίθει. Ἄλλο πρὸc πάντα τὰ ἐν τοῖc χείλεcιν ἕλκη καὶ τὰ κακοήθη. ὄcτρεα κεκαυμένα λειότατα ἐπίπαccε. ἐγὼ δὲ καὶ ἄκαυτα λειότατα ποιήcαc ἐχρηcάμην καὶ ηὐδοκίμηcα. Ἄλλο πρὸc ῥαγάδαc ἐν χείλεcι. τὸν τοῦ Μούcα τροχίcκον ἀνέcαc μετὰ ἑψήματοc ἢ οἴνου παχὺν ἐπίχριε. καλῶc ποιεῖ καὶ τὸ διὰ ἀμόργηc cκευαζόμενον πρὸc ἄφθαc ἐν cτόματι καὶ τὰ ὅμοια πρὸc ῥαγάδαc ἀναγραφέντα καὶ ὁ δι' ἀλικακάβων τροχίcκοc [ἐν τοῖc ἑδρικοῖc] μετ' οἴνου [ἀνέcαc] καὶ Ἡρᾶ τροχίcκοc.

4—5 Πρὸc—προcκόλλιζε | ἢ ἀραχνίων—ἐπιτίθει *(8) Or.^{a} VIII 34 (261, 1—4)*. 6—8 τὰc δὲ—μυελῷ βοείῳ *Or.^{e} IV 56 (458, 18—19)* 9—10 κηκῖδα—ἐπιτίθει *Gal. de rem. parab. II 7 (XIV 424, 5—7) Or.^{a} III 180 (111, 13–14) Or.^{e} IV 56 (458, 17—18)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 φύλλων *om.* L^a τῷ *om.* P^x ω 2 ἔξωθεν δὲ ἐπίχριε *om.* ω 3 ἀλικακάβων ω *post* οἴνου: cκευαcία τοῦ Μούcα τροχίcκου *sqr. spatium vacuum quinque linearum* P^x 5 χειλέων ω πρόcκλυζε P^x A προcκόλυζε ω προcκόλλα D P 6 τῶν] τὸ L^a τῆc P^x P τοῖc] ταῖc A P 7 αἰγείῳ ἢ χηνείῳ] χοιρείω ἢ αἰγείω ω προθεραπευμένω L^a τεθεραπ. P^x χ A P *(Or)* θεραπευτέον D ω 8 βοείῳ] αἰγείω θεραπευτέον ω 9 λίαν D P ω ἢ *alt.*] μίξαc A 10 Ἄλλο—ἐπίπαccε *(13) om.* P 11 *post* κηκίδων: Γ° α̅, *om.* ἀνὰ *post* καδμίαc α, *exc.* L^a 12 κυπέρων ω β̅] γ̅ ω 13 *ante* cχιcτῆc: cτυπτηρίαc A ω β̅] α̅ ω ἐπίπαccε] ἐπιτίθει χ D 14 καὶ *om.* χ D 15 ποιεῖ—ἐπιτίθει *(17) om.* L^a τοῖc *om.* ω 16 Ἄλλο—ἐπιτίθει *(17) om.* P ᾠῶν κελυφῶν] τῶν λεκίθων ω 17 κηκῖδοc χ A D cτυπτηρίαc *om.* P^x χ A *ante* ὑccώπῳ: cὺν A cὺν οἴνω ἢ P^x 18 Ἄλλο· πρὸc πάντα—ηὐδοκίμηcα *post* πρὸc ῥαγάδαc *(23) transp.* D P καὶ τὰ κακοήθη *om.* ω 19 *post* λειότατα *pr.*: ποιήcαc P^x P ἐπίπαccε—ηὐδοκίμηcα] καὶ χρηcάμενοc εὐδοκίμηcα P ἐγὼ δὲ—ηὐδοκίμηcα *om.* D καὶ *om.* P^x A *ante* ἄκαυτα: ταῦτα P^x 20—24 Ἄλλο—τροχίcκοc *om.* L^a χ 21 οἴνω παχεῖ D P καλῶc] ἄλλωc δὲ P^x 22 τὰc ἐν cτόματι ἄφθαc D 22. 23 καὶ τὰ ὅμοια πρὸc *om.* P 23 *ante* πρὸc: καὶ D *ante* ῥαγάδαc: τὰc ἐν cτόματι D ἀναγραφέντα—τροχίcκοc *om.* D P ἀναγραφέcι χ ω 24 ἐν τοῖc ἑδρικοῖc *om.* ω *delevi* ἀνέcαc—τροχίcκοc *om.* ω ἀνέcαc *canc. sepsi* *ante* Ἡρᾶ (. . . c P^x): ὁ P^x A

κ Πρὸς φύματα ἐν χείλεσι. χρηστέον τοῖς προγεγραμμένοις κηρωτοειδέσι καὶ τούτῳ δέ· λαπάθου ῥίζης κεκαυμένης νίτρου κεκαυμένου τερεβινθίνης κεκαυμένης ἴσα, λεάνας ἀναλάμβανε κηρωτῇ καὶ τὰ ἕλκη προσμίξας ἐπίχριε. Ἄλλο. στέαρ χήνειον μέλιτι καὶ στρύχνου χυλῷ μίξας διάχριε πτερῷ πλεονάκις· ἀποκαθαίρει γὰρ τὰ ἔνδοθεν τῶν χειλῶν γιγνόμενα φύματα· διακλυζέσθω δὲ γάλακτι γυναικείῳ πρὸ τῆς διαχρίσεως καὶ μετὰ τὴν διάχρισιν.

κα Περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν Γαληνοῦ. μέρος τι τῆς τρίτης συζυγίας τῶν ἀπ' ἐγκεφάλου νεύρων καταφερόμενων ἑκατέρωθεν, διανέμεται μὲν τῷ ὑπειληφότι τὸ στόμα καὶ τὴν γλῶτταν καὶ τὰ οὖλα ὑμένι, αἴσθησιν τούτοις χορηγοῦν. ἐμφύεται δὲ εἰσδῦνον τῇ τε ἄνω καὶ τῇ κάτω γένυι καὶ ὑποστρωννύμενον πᾶσι τοῖς ὀδοῦσι κατὰ τὰς ῥίζας αὐτῶν· διὰ τοῦτο μόνοι ἐν τοῖς ὀστοῖς ὀδόντες ὀδυνῶνται. ταῦτα δὲ τὰ νεῦρα δεχόμενα τὴν χορηγουμένην αὐτοῖς τροφήν, ὅσον μὲν ἐν αὐτῇ ὑγρότερόν ἐστι, τοῦτο κερδαίνει, ὅσον δὲ ξηρότερον τοῦ δέοντος, ἀποβάλλεται ὡς ἀλλότριον. τοῦτο γὰρ τὸ τῶν νεύρων περίττωμα ἐν ταῖς τῶν φατνίων κοιλότησιν, ἐν αἷς πεπήγασιν οἱ ὀδόντες, ἀθροιζόμενον κατὰ βραχὺ γλισχρότερον καὶ παχύτερον ἑαυτοῦ γιγνόμενον τῇ πολυχρονίῳ ὁμιλίᾳ πρὸς τὴν ἰδέαν τῶν ὀστῶν μεταβάλλεται καὶ οὕτω τροφὴ τοῖς ὀδοῦσι γίγνεται. οἱ οὖν ὀδόντες τοιαύτην δεχόμενοι τροφὴν μέχρι γήρως τὴν αὔξησιν ἔχουσιν· ὅθεν ἐπὶ τῶν γερόντων ἐνδείᾳ τῆς τρεφούσης ὕλης λεπτύνονται οἱ ὀδόντες καὶ σαλεύονται καὶ ἀποπίπτουσιν. ὅσον μὲν οὖν αὔξονται οἱ ὀδόντες, τοσοῦτον ἐν τῇ τῶν σιτίων λειώσει τριβόμενοι ἀναλίσκονται· εἰ δὲ ἀδύνατόν ἐστιν αὐξάνεσθαι χωρὶς τοῦ τρέφεσθαι, πάντως δήπου καὶ δυοῖν ὑποκείσονται παθήμασιν ἐναντίοις, ἐνδείᾳ τε καὶ πλεονεξίᾳ τῆς χορηγουμένης αὐτοῖς τροφῆς. ἡ μὲν οὖν ἔνδεια ξηροτέρους τε καὶ ἀτροφωτέρους καὶ διὰ τοῦτο καὶ λεπτοτέρους ἐργάζεται, ἡ πλεονεξία δὲ ποιήσειεν αὐτοῖς διάθεσιν ἀνάλογον τῇ κατὰ τὰ σαρκώδη μόρια φλεγμονῇ. ταύτης μὲν οὖν τῆς διαθέσεως ἰάματα γενήσεται τὸν αὐτὸν ἔχοντα σκοπὸν τοῖς τὰς φλεγμονὰς ἰωμένοις, ὅπερ ἐστὶ κενῶσαι τὴν πλεονεξίαν τὰ μὲν δια-

24—*p. 432, 16* εἰ δὲ ἀδύνατον—φλεγμαίνουσιν *Gal. de comp. med. s. loc. V 4 (XII 850, 17—851, 14, 16—17, 852, 1—3, 15—853, 1, 5—9, 15—17)*

φ (L^a P^x) χ (M^c) ψ (A D P) ω (A^t) 2 κεκαυμένης] . . . ου P^x καὶ ψ κεκαυμένου] ὁμοίως ω 3 *ante* τερεβινθ.: καὶ D P κεκαυμ.] ὁμοίως ω ἴσα] ἀνὰ Γρ ς̄ P^x 4. 5 Ἄλλο—διάχριε *om.* ω μέλι L^a χ . . . τος A καὶ *om.* φ χ A χυλὸν P^x A *om.* L^a 5 *ante* διάχριε: καὶ P *(Ald.)* γὰρ] δὲ ω 6. 7 διακλύσεως μᾶλλον δὲ πρὸ τῆς διαχρήσεως P^x 7 τὴν διάχρισιν] τῆς χρήσεως ω 8 Περὶ τῶν—φαρμάκων *(432, 11)* *post* θεραπεία *(438, 4)* *transp.* D P ἐν *om.* ψ *post* παθῶν: Ϲη̄ πόθεν γίγνονται ἐν αὐτοῖς νόσοι καὶ πῶς αὐξάνονται οἱ ὀδόντες καὶ τί ὀδόντ⟨ες⟩ P^x τι *om.* D P 9 καταφερόμενον L^a χ D P 10 ὑπαλείφοντι α *correxi* 11 ἐκφύεται P^x A 16 γὰρ *om.* α, *exc.* D P *ante* ἐν: δ A 17 ἐμπεπήγασιν P^x A 19 καὶ οὕτω—γίγνεται *om.* L^a 22 καὶ σαλεύονται—οἱ ὀδόντες *add. in marg. extremo m. 1ª* D *om.* P 24 ἁλίσκονται P^x A δὲ] γε L^a *om.* ω δυνατόν ω 25 *ante* χωρὶς: καὶ P^x A 26 πλεονεξίᾳ τῆς] πλεονεστάτης χ 27 καὶ *alt. om.* ω 28 δὲ *post* ἡ *transp.* ω *post* ποιήσ.: ἂν *addendum?* 29 τῆς . . . . φλεγμονῆς P^x χ A

φοροῦντα, τὰ δὲ ἀποκρουόμενα αὐτῆς. τῆς δὲ δι᾽ ἔνδειαν τροφῆς λεπτότητος τῶν ὀδόντων ἴαμα μὲν οὐδέν ἐστι· χαλᾶσθαι γὰρ ἀναγκαῖον τηνικαῦτα καὶ σείεσθαι τοὺς ὀδόντας χαλαρωτέρας τῆς ἐγγομφώσεως γεγονυίας, οὐ μόνον αὐτῶν τῶν ὀδόντων λεπτυνθέντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοὺς φατνίων. αὕτη μὲν οὖν ἡ διάθεσις ἐξ ἀνάγκης ἐπιγίγνεται τοῖς γηρῶσιν ἢ πρωιαίτερον ἢ ὀψιαίτερον. βοηθητέον δὲ αὐτοῖς διὰ τῶν στυφόντων φαρμάκων, εὐτονώτερα τὰ οὖλα καὶ περιεσφιγμένα περὶ τοὺς ὀδόντας ποιοῦντας καὶ τοὺς ἐκτριβομένους δὲ ὀδόντας, ὡς ἂν ἐκ μαλακότητος τοῦτο πάσχοντας, ἐργάζεσθαι χρὴ σκληροτέρους τε καὶ δυσπαθεστέρους διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν φαρμάκων.

κβ Πρὸς οὖλα φλεγμαίνοντα. οὔλων δὲ διὰ φλεγμονὴν ὀδυνωμένων ἄριστόν ἐστι φάρμακον ἔλαιον σχίνινον θερμαινόμενον ἐπὶ διπλώματος καὶ διακρατούμενον ἐν τῷ στόματι. ἔστω δὲ νέον τὸ ἔλαιον, βλαβερὸν γὰρ τὸ παλαιόν· ἀποκρούεται γὰρ τὸ σχίνινον ἄνευ τραχύτητος καὶ διαφορεῖ ἄνευ δήξεως, ὧν μάλιστα χρεία τοῖς φλεγμαίνουσιν. καὶ τὸ ὄνειον δὲ γάλα ἐν ταῖς μεγίσταις ὀδύναις διακρατούμενον ἐν τῷ στόματι γενναίως τὰς ὀδύνας παρηγορεῖ καὶ παραχρῆμα ταύτας παύει καὶ τὸ ἐκ τοῦ οἴνου ἀποτριτουμένου ἐν τῇ ἑψήσει σκευαζόμενον, ὃ καλοῦσιν ἕψημα, καὶ τὸ ἀπὸ τῶν φοινίκων στάγμα διακρατούμενον ὁμοίως ἐν τῷ στόματι θερμὸν σφόδρα παρηγορεῖ. δεῖ δὲ θερμὸν ὕδωρ προσπλέκειν τῷ ἀπὸ τῶν φοινίκων στάγματι διὰ τὸ παχὺ τῆς συστάσεως· καὶ τὸ τοῦ μικροῦ ἀειζῴου ἀφέψημα καθ᾽ αὑτὸ καὶ σὺν ῥοδομέλιτι ἢ ἑψήματι διακρατούμενον ἁρμόδιον φλεγμαίνουσιν οὔλοις, καὶ ὁ τοῦ ὑοσκυάμου χυλὸς ἢ ἀφέψημα καθ᾽ αὑτὸ θερμὸν ἢ σὺν τῷ ἑψήματι ἢ στάγματι διακρατούμενον παραδόξως παρηγορεῖ καὶ ἀνδράχνης χυλός· πολεμιώτατον δὲ ὄξος τοῖς φλεγμαίνουσιν οὔλοις καὶ πάντα τὰ στρυφνὰ καὶ τὰ δριμέα καὶ ἁλυκά.

κγ Αἱμασσομένοις οὔλοις. αἱμασσομένοις οὔλοις διὰ δριμύτητα παραδόξως ποιεῖ ὑοσκυάμου φύλλων χυλὸς ἢ τὸ ἀφέψημα σὺν ἑψήματι ἢ

12—16 οὔλων δὲ—φλεγμαίνουσιν *Or.° IV 67 (461, 16—19)* 16 καὶ τὸ ὄνειον.. γάλα *cf. Gal. ib. (ib. 856, 18)* 25 ὁ τοῦ ὑοσκυάμου—ἀφέψημα | 27 πολεμιώτατον.. ὄξος *cf. Gal. ib. V 5 (XII 874, 14—15)* 29—*p. 433,1* αἱμασσομένοις—στόματι *Gal. de rem. parab. II 9, 5 (XIV 433, 16—434, 2)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 διακρουόμενα D P αὐτῶν P^x A ...τὴν D P ...τοῖς ω *ante* τῆς: περὶ (*l.* πρὸς) ἔνδεια(ν) θεραπεία P^x A 3 ἐκγομφώσεως φ χ A 5 αὐτοῖς L^a χ 6 ἢ *pr. om.* L^a D P 8 περὶ τοὺς ὀδόντας—ὀδόντας ὡς *om.* ω *post* ποιοῦντας: περὶ τῶν ἐκτριβομένων καὶ δαπανωμένων ὀδόντων A οἷον βάτου φύλλα καὶ οἱ ἀκρεμόνες ῥόδα μέσπιλ⟨α⟩ ῥοῦ μαγειρικοῦ κτλ. P^x καὶ τοὺς—ὀδόντας *om.* P 11 *post* φαρμάκων: βεβρωμένων δὲ ὀδόντων θεραπεύομεν κτλ. P^x 12 *post* φλεγμαίνοντα: Γαληνοῦ P^x 13 ἄριστον] εὔχρηστον D P σχοίνινον P^x ω 14 τὸ *om.* P^x A ω 17 δὲ *et* τῷ *om.* ω 20 *(et alibi)* ἕψεμα φ χ 21 θερμὰ L^a θερμῷ P^x A 23 ὑδρομέλιτι D P 24 ἀφεψήματι ω φλεγμαίνοντα L^a 25 ὁ τοῦ] τὸ α, *exc.* L^a χ χυλοῦ P^x χύλισμα D P ω 26 ἢ *om.* α, *exc.* L^a χ στάγματι *om.* D P *post* ἀνδράχνης: παρηγορεῖ ὁ P^x 27 *post* δὲ: αὐτοῖς L^a τὰ *om.* P^x ψ 28 *ante* ἁλυκά: τὰ P^x A 29 αἱμασσομ. οὔλοις *pr.*] (τὰ A) πρὸς (τὰ P^x) αἱμασσόμενα οὖλα P^x ψ 30 *post* φύλλων: χλωρῶν ὁ P^x

στάγματι θερμὸν διακρατούμενον ἐν τῷ στόματι· μὴ παρόντων δὲ τῶν φύλλων τὴν ῥίζαν ἕψε μετὰ γλυκέος καὶ δίδου διακρατεῖν. ποιεῖ δὲ καὶ στυπτηρία σχιστὴ μετὰ μυρσίνης, λειοτάτων προσπαττομένων· στυφθέντων δέ, διακλυζέσθωσαν ἑψήματι θερμῷ. Ἄλλο πρὸς αἱμασσόμενα οὖλα Ἀσκληπιάδου. βαλαυστίων ῥόδων ἄνθους μυρσίνης ἀκρεμόνων ἑκάστου ἴσα ἕψε μεθ' ὕδατος ἢ ὀξυκράτου καὶ τὸ ὑγρὸν διηθήσας δίδου ἐν τῷ στόματι διακρατεῖν. Ἄλλο. σχοίνου ἀκρεμόνων βαλαυστίων μήλων κυδωνίων ῥίζης ἑκάστου ἴσον ἑψήσας ὀξυκράτῳ δίδου. Ἐπίθεμα πρὸς τὰς ἐκ τῶν οὔλων αἱμορραγίας. ἀλφίτων μέρος ᾱ γιγάρτων σταφυλῆς τὸ ἴσον πολυγόνου χυλοῦ ὅσον ἐξαρκεῖ, τρίψας ἅμα καὶ κηρωτῆς ποιήσας πάχος ἐπιτίθει κατὰ τῶν αἱμορραγούντων τόπων ἢ λεάνας αὐτῷ τῷ χυλῷ ἕως ξηρανθῇ ἐπίπασσε λεῖα. Ἄλλο ξηρόν. σπόγγον καινὸν βρέξας αἵματι ταυρείῳ καὶ καύσας ἐν ὀστρακίνῳ ἀγγείῳ καὶ λεάνας ἀπόθου καὶ βαλὼν τῆς μὲν σποδοῦ < δ̄ λιβάνου δὲ < β̄ χαλκίτεως ὠμῆς < β̄ λεάνας ἐπίπασσε. Ἄλλο. τερεβινθίνης ἐν ὄξει πεφρυγμένης < δ̄ χαλκάνθου < β̄ λείοις χρῶ.

Τὰς μὲν ἐν τῷ στόματι θερμὰς φλεγμονὰς καὶ τὰς διαβρώσεις τῶν οὔλων, ἐφ' αἷς ἁλυκοῦ ὄντος τινὸς ἢ δακνώδους ὑγρότητος αἴσθησις γίνεται, ὠφελεῖ μεγάλως τὰ ἐκ τῶν γλυκέων ὑδάτων βαλανεῖα, κενοῦντα μὲν δι' ὑδάτων τὸ περιττόν, ἀμαυροῦντά τε καὶ κατακενοῦντα τὸ [μόνον τε καὶ] δριμὺ τοῦ αἵματος· ὥστε, εἰ μηδὲν κωλύει, καὶ δεύτερον καὶ τρίτον εἰ λδύσεις οὐ βλάψεις. καταχρίειν δὲ τὴν κεφαλὴν [τοῖς ἐλαίοις τοῖς] διὰ ῥοδίνου καὶ ὄξους.

Πρὸς τὰ ἐκσαρκοῦντα οὖλα καὶ οἰδοῦντα καὶ σηπόμενα. πρὸς τὰ κδ
οἰδήματα τῶν οὔλων καὶ πρὸς ἐκσαρκοῦντα καὶ σηπόμενα ἁρμόζει διακλυζόμενα καὶ διακρατούμενα ἔλαιον ὠμοτριβές, ἐλαιῶν κολυμβάδων

3. 4 στυπτηρία—θερμῷ *cf. Gal. de comp. med. s. loc. V 5 (XII 861, 12—15) Or.*° *IV 67 (461, 30—32)* 5—8 βαλαυστίων—δίδου | 26 ἔλαιον—ἅλμη *Gal. de rem. parab. ib. (ib. 434, 2—5)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 θερμῶ P^x A ...μὰ D P *om.* L^a διακρατούμενα D P 2 ἕψε *et* δίδου *om.* ω 3 σμύρνης (= L^a) μᾶλλον δὲ μετὰ μυρσίνης ω λειότατον P^x A ...τάτη *Ald. om.* P προσπλαττομένων ω ...παττόμενον A ...μένη D P *om.* χ 4 στυφθέντες (...φεντ´) a *correxi 'ubi vero adstrictas iam cognoveris gingivas' Corn.* Ἄλλο *om.* χ ω *post* Ἄλλο: σχιστῆς καὶ λιβάνου ἴσα μετὰ μέλιτος διάχριε καὶ ὕστερον διακλυζέσθω οἴνω D P πρὸς—διακρατεῖν *(7) om.* D P 5 Ἀσκληπιάδου *ante* πρὸς *transp.* ω βαλαυστίου P^x A 6 ἕκαστον P^x A ἴσον χ A ω *om.* L^a μετὰ ὑδαροῦς a, *exc.* L^a ἢ *om.* a, *exc.* L^a 7 σχίνου χ ψ 8 μηλοκυδωνίων D P ὀξυκράτου A P 10 χυλὸν L^a A 12 αὐτὰ P^x χ A D ω Ἄλλο—ἀγγείῳ *om.* P 13 κενὸν P^x χ A *ante* αἵματι: ἐν ω 14 δὲ *om.* ω β̄] ε̄ χ 15. 16 Ἄλλο—χρῶ *om.* A P ἐν *om.* ω 16 χαλκοῦ χ ω 17 Τὰς μὲν—ὄξους *(23) om.* L^a χ D P ω 18 *post* δακνώδους: τινὸς P^x 21 μόνον τε καί, 23 τοῖς—τοῖς *delevi* 22 λούσῃς P^x A 24 καὶ σηπόμενα καὶ οἰδοῦντα ω σεσηπότα D P πρὸς τὰ οἰδήματα—σηπόμενα *(25) om.* P^x 25 *post* ἐκσαρκοῦντα: οὖλα ω 26 διακρατούμενα καὶ διακλυζόμενα D: ἐν τοῖς τοιούτοις εἰρημένοις πάθεσιν διακλύζειν καὶ διακρατεῖν ἐν τῶ στόματι οἷον P^x *ante* ἔλαιον: ἐν τῶ στόματι χ A ω *ante* ὠμοτριβές: τὸ P^x

ἅλμη, κεδρία cὺν ὄξει κηκίδων ἀφέψημα κοκκυμηλέας φύλλα ἐν οἴνῳ ἑψηθέντα κυτίνων ἀφέψημα μόρων φλοιοῦ ἢ φύλλων ἀφέψημα· ξηρὰ δὲ λεῖα προcαπτόμενα τοῖc οὔλοιc ὠφελεῖ τὰ τοιαῦτα· ἀριcτολοχίαc ῥίζα ἀρνογλώccου cπέρμα λεῖον ἄcφαλτοc λεία μαράθρου ῥίζα κεκαυμένη γλήχων κεκαυμένοc διφρυγὲc ἰὸc cιδήρου χάλκανθοc ὀπτὴ κηκῖδεc κύτινοι cίδια βαλαύcτια. κάλλιcτα δὲ ποιεῖ πρὸc τὰ ῥευματιζόμενα οὖλα ὄξουc καὶ μέλιτοc ἀνὰ λι' ᾱ cτυπτηρίαc Γ° β̄, ἕψε ἕωc τὸ ὄξοc ἀναλωθῇ καὶ χρῶ. Ἄλλο. cτυπτηρίαc cχιcτῆc cμύρνηc λιβάνου ἴcα μέλιτι διάχριε καὶ ὕcτερον διακλυζέcθω οἴνῳ.

κε Πρὸc τὰ διαβιβρωcκόμενα καὶ νεμόμενα οὖλα. ἐπὶ δὲ τῶν διαβιβρωcκομένων οὔλων μετ' οἰδήcεώc τε καὶ ὀδύνηc ἢ καὶ ὑπονεμομένων ἄκρωc ποιεῖ πυρία ἥδε· μηλωτρίδι ἔριον περιειλήcαc εἰc ξεcτὸν ἔλαιον ἀπόβαπτε καὶ πρόcαγε τοῖc οὔλοιc, ἕωc ἐξομαλιcθῇ καὶ λευκὰ τὰ κύκλῳ γένηται· οὕτω γὰρ ἵcταται ἡ νομή, καὶ ἐξ ὑγιοῦc τῆc cαρκὸc τὸ περιβρωθὲν τρέφεται. μετὰ δὲ ταῦτα χρῶ προcτρίμμαcι τοῖc πρὸc ταῦτα ἀναγεγραμμένοιc· ἰδίωc δὲ cυμφωνεῖ κηκὶc λειοτάτη ὅcον ὀξύβαφον μετὰ cμύρνηc κυάμου μέγεθοc· χρῶ λείοιc ξηροῖc. παραδόξωc δὲ ποιεῖ πρὸc τὰ διαβεβρωμένα καὶ νεμόμενα οὖλα τὸ διὰ χαλκίτεωc καὶ καδμίαc ξηρόν· ἔcτω δὲ τῆc μὲν χαλκίτεωc ὠμῆc Γ° β̄, τῆc δὲ καδμίαc Γ° ᾱ· λειούcθω δὲ πρῶτον ἡ καδμία μετ' ὄξουc ἐν ἡλίῳ θερινῷ ἐπὶ ἱκανὰc ἡμέραc, ἔπειτα ἐπιβαλλέcθω ἡ χαλκίτηc καὶ cυλλειούcθω ὁμοίωc, ἐπιβαλλομένου πλειcτάκιc ὄξουc· ἔπειτα ξηράναc κόπτε καὶ cῆθε καὶ χρῶ ξηρῷ, κελεύων μὴ καταπίνειν ἐκ τοῦ φαρμάκου. ποιεῖ δὲ γενναίωc ἐπὶ τῶν νεμομένων οὔλων καὶ τὸ ἡλιοκαὲc λεγόμενον ξηρὸν δι' ἀcβέcτου δύο μερῶν καὶ ἀρcενικοῦ ἑνὸc μέρουc

3. 4 ἀριcτολοχίαc—cπέρμα | 5 διφρυγὲc ἰὸc cιδήρου | χάλκανθοc ὀπτὴ | 6 κύτινοι *cf. Gal. ib. 2 (XIV 433, 6—8)* 6—8 κάλλιcτα—χρῶ *cf. Gal. de comp. med. s. loc. ib. (ib. 879, 4—6)* 10—17 ἐπὶ δὲ—ξηροῖc *Or.*° *ib. (ib. 21—27)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 *ante* κηκίδων: ἀμόργη cὺν ὄξει P χ A D 2 κυτίνων—φύλλων ἀφέψημα] μορέαc φλοιοῦ ἢ φύλλων ἀφέψημα κυτίνων ἀφέψημα (κυτ. ἀφέψ. *om.* D) D P 3 προcαπτόμενα] προcαγόμενα ω προcπαccόμενα *Ald* τοὺc τοιούτουc χ τοῖc ...οιc φ A τὰ *om.* D 4 ῥίζαν *pr.* χ *om* L^a *post* ῥίζα *alt.*: ἢ D P κεκαυμένη *om.* D P 5 γλήχονοc κεκαυμένου (κεκαυμ.] ὁμοίωc ω) φ A D *om.* χ *post* ὀπτὴ: διφρυγὲc L^a 6 cιδίων βαλαυcτίων ἴcα πάντα ὁμοίωc ἐπίπαccε (ἴcα—ἐπίπαccε *suprascr. m. 2*ᵃ) P^x καλῶc ω 8 Ἄλλο—οἴνῳ *om.* L^a cτυπτηρίαc *et* cμύρνηc *om.* P^x χ ω *ante* λιβάνου: καὶ D P 9 μετὰ μέλιτοc P^x χ A ω διάχριε *om.* ω οἴνῳ *om.* P ω 10 καὶ νεμόμενα *om.* L^a *post* οὖλα: Ἀρχιγένουc A 10. 11 ἀναβιβρωcκομένων ω διαβεβρωμένων D P 12 ποιεῖ—ξεcτὸν *om.* χ περιειλίcαc L^a ξεcτῷ ἐλαίῳ D P 13. 14 τὰ κύκλῳ] κατὰ κύκλον L^a 15 τὸ *om.* D P τέφρωται L^a τρέπεται P τρέψεται A ω προcχρίcμαcι ω 16 ταῦτα] αὐτὰ P^x A cυμφέρει D P κηκῖδοc λειοτάτηc D P 17 δὲ] γὰρ ω 18 τὰ διαβεβρωμένα—οὖλα] ταῦτα χ D P 19 καὶ καδμίαc—χαλκίτεωc *om.* ω ξηρίον A *om.* P^x ἔcτωcαν P *(Ald.)* μὲν *om.* P *(Ald)* 20 λειοῦcθαι P^x καὶ λουομένηc ω πρότερον ω 21 ἐπιβαλέcθω P^x χ A D 22 ἐπιβάλλων ... ὄξοc P *(Ald)* 23 κόψαc .. cήcαc χ D P καὶ *alt. om.* D P ξηρὸν α *correxi* μὴ *om.* D P ἐκ *om.* D P 25 *(p. 435, 4)* ξηρίον A *om.* D *post* ἑνὸc: ἥμιcυ ω μέρουc *om.* ω

cκευαζόμενον. λειούcθω δὲ καὶ τοῦτο ἐν τοῖc ὑπὸ κύνα καύμαcι cὺν ὕδατι, ἀποχεομένου τοῦ ὕδατοc τρίτον, ἔπειτα ξηραινόμενον. παραφυλάττεcθαι δὲ χρὴ καὶ τὴν τούτου κατάποcιν. θαυμάcιον δὲ βοήθημα ἐπὶ τῶν νεμομένων οὔλων καὶ τὸ διὰ τοῦ κεκαυμένου χάρτου ξηρὸν καθ᾽ αὑτὸ καὶ cὺν μέλιτι προcαγόμενον. Πρὸc τὰc τῶν οὔλων νομάc. cτυπτηρίαc cχιcτῆc ῥόδων ἄνθουc ἀνὰ < β̅ ἁλῶν ὀρυκτῶν < δ̅ κρόκου < α̅, χρῶ ξηρῷ καὶ μετὰ μέλιτοc ἑφθοῦ. Ἄλλο. ὀμφακίου < β̅ cχιcτῆc cμύρνηc νίτρου κρόκου ἀνὰ < α̅, χρῶ ξηρῷ καὶ μετὰ μέλιτοc. Ἡ ἀνθηρὰ πρὸc οὖλα ἀφεcτῶτα καὶ ἐcχάραc ἐν cτόματι. cχιcτῆc κυπέρου cμύρνηc ἀνὰ < η̅ cανδαράκηc < δ̅ ἴρεωc < γ̅ κρόκου < α̅. Ἄλλο. κυπέρου < γ̅ cανδαράκηc < γ̅ cμύρνηc κρόκου cχιcτῆc ἴρεωc ἀνὰ < β̅, χρῶ ξηρῷ καὶ μετὰ μέλιτοc. τὰ δὲ γεγυμνωμένα οὖλα cαρκοῖ τοῦτο· ῥόδων cπέρματοc μὴ παλαιοῦ μέρη β̅ καλάμου ἀρωματικοῦ ἢ Ἰνδικοῦ μέροc α̅, ξηρῷ λείῳ προcάπτου. Ἄλλο. ῥόδων ἄνθουc < δ̅ καλάμου < Γ° γ̅ cιδίων < β̅ cτυπτηρίαc cχιcτῆc < α̅. καλῶc δὲ cαρκοῖ καὶ τὸ δι᾽ ὀρόβων κεφαλικὸν ξηρόν· γραφήcεται δὲ ἐν τοῖc τραυματικοῖc.

Περὶ παρουλίδοc. παρουλὶc φλεγμονή ἐcτι περί τι μέροc τῶν κϛ οὔλων, ἥτιc μὴ λυθεῖcα ἐκπυΐcκεται. κατ᾽ ἀρχὰc μὲν οὖν cυνεργεῖν δεῖ τῇ τῆc φλεγμονῆc λύcει διὰ τῶν χαλαcτικῶν διακλυcμάτων, οἷόν ἐcτι χυλὸc πτιccάνηc λινοcπέρμου ἀφέψημα μελίκρατον χλιαρὸν ἢ οἰνόμελι, ἔπειτα ξηροῖc προccτέλλειν τὴν τῆc cαρκὸc ἐπανάcταcιν. ἁρμόδιον δὲ αὐτοῖc τοῦτο· θείου ἀπύρου πεπέρεωc cχιcτῆc ἴcα προccτέλλει

3. 4 θαυμάcιον—χάρτου *cf. Gal. de comp. med. s. l. ib. (ib. 879, 17 sqq., 880, 17 sqq.)* 9—12 Ἡ ἀνθηρὰ—μέλιτοc *Gal. ib. (ib. 957, 1—5), de comp. med. sec. gen. V, 13 (XIII, 839, 1 sqq.)* 16 γραφήcεται δὲ ἐν τοῖc τραυματικοῖc *cf. adnot.* 18. 19 παρουλὶc—ἐκπυΐcκεται *Or.*[c] *17 (IV 191, 8—9) Paul. III 26 (I 199, 17—19)* 23 θείου—ἴcα | *p. 436, 2, 3* φλεβοτόμῳ—ὀθονίου | *p. 436, 16—22* ἰᾶται—cφοδρᾶc *Or.*[c] *ib. (ib. 191, 10—11, 9—10, 12—17)* 23 θείου—ἴcα | *p. 436, 2. 3* εἰ δὲ—μοτῷ *Paul. ib. (ib. 199, 17. 19)*

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (A[t]) 1 cὺν *om.* ω 4 τῶν νεμομένων οὔλων] τούτων P *(Ald.)* τοῦ *om.*, χάρτου κεκαυμένου ω 5 *post* προcαγόμενον: cκευαcία τοῦ ἡλιοκαοῦc ξηρίου κτλ. P[x] *ante* Πρὸc: ἄλλο P[x] χ A D Πρὸc τὰc—μέλιτοc *(8) om.* P 7 καὶ] ἢ ω *(Ald.)* ἑφθοῦ—μέλιτοc *(8) om.* A Ἄλλο—μέλιτοc *om.* L[a] ω 8 κρόκου *post* < α̅ α *transposui* 9 *ante* ἡ: ἄλλο P[x] D P Ἡ ἀνθηρὰ] ἀνθηρὸν D P ἐφεcτῶτα L[a] *ante* cτόματι: τῷ ω *ante* cχιcτῆc: cτυπτηρίαc D P *(Ald.)* κυπέρου cχιcτῆc ω 10 cμύρνηc ἀνὰ < η̅] ῥόδων ἄνθοc ω δ̅] γ̅ ω *ante* ἴρεωc: ζ́ζ́ κρόκου (*om.* κρόκου < α̅), *post* ἴρεωc: ἀνὰ ω γ̅] β̅ ω 11 Ἄλλο—τραυματικοῖc *(16) om.* L[a] Ἄλλο—ἀνὰ < β̅ *(12) om.* χ D ω Ἄλλο—μέλιτοc *(12) om* P γ̅ *pr.*] η̅ P[x] A 12 *ante* χρῶ: ἀλόη (ἁλόc χ) < η̅ χ D 13 μέρη] < P[x] ἢ *om.* P[x] χ A ω 14 μέροc—προcάπτου] μη[τη] προcάπτου ξηρῷ λείῳ· ἔcτω δὲ ὁ κάλαμοc < α̅ P[x] Ἄλλο—cχιcτῆc < α̅ *om.* χ D P ω <] γράμματα P[x] A 15 < *pr.*] Γρ´ P[x] *om.* A ω Γ° *delendum?* < *alt. et tert.*] Γρ´ P[x] 16 τὸ *om.* ω ξηρίον A γραφήcεται] κεῖται P[x] χ A D ω *post* τραυματικοῖc: εἰc τὸν ι̅δ̅ λόγον κεφαλαίῳ λ̅η̅ A ι̅δ̅ λόγῳ *Ald.* 18 ἐcτι φλεγμονή χ ψ ω τι] τὸ D P 19 [ἐκ]πυΐcκεται D πυΐcκεται P μὲν *om.* α, *exc.* L[a] 20 οἷοc P[x] A οἷα ω 21 λινόcπερμα ω ...ματοc χ D P

καὶ τὰς παρουλίδας, στυπτηρία πᾶσα κεκαυμένη ἢ σῶρι λεῖα προσαπτόμενα. εἰ δὲ διαπυηθείη, φλεβοτόμῳ αὐτὴν διελὼν καὶ ἐκτάμνων διάστελλε μοτῷ ἢ ξύσματι ὀθονίου· χαίρει γὰρ ἐκτομῇ τὰ ἀφιστάμενα οὖλα· ἁπλοτομούμενα γὰρ συριγγοῦται. μετὰ δὲ τὴν ἐκτομὴν θεράπευε τὸ ἕλκος διακλύσματι καὶ τὸ μὲν κοῖλον τῷ κεφαλικῷ δι' ὀρόβων ξηρῷ ἀναπλήρου· ἰσόπεδον δὲ γενόμενον τῷ ἀνθηρῷ χρῶ.

Ξηρὸν πρὸς σηπεδόνας ἐν στόματι καὶ οὖλα νεμόμενα καὶ αἱμασσόμενα. ποιεῖ πρὸς παρίσθμια καὶ ἀντιάδα καὶ κιονίδα ξηρὸν προσαγόμενον. ἐπὶ δὲ σειομένων ὀδόντων ὄξει διαλυθὲν διακρατεῖται ἐν τῷ στόματι. κηκίδων ὀμφακίνων σχιστῆς ἴσα, χρῶ ὡς ἐνέργῳ. Ξηρὸν ἀνθηρόν. κυπέρου κρόκου ἀνὰ < β̄ στυπτηρίας < δ̄ ῥόδων ἄνθους < ϛ̄ σανδαράκης ἴρεως κηκῖδος κυτίνων ἀνὰ < δ̄, χρῶ. Ἄλλο ἀνθηρόν. κυπέρου < η̄ σμύρνης κροκομάγματος σχιστῆς ἴρεως ἀνὰ < β̄ κρόκου < ᾱ σανδαράκης < γ̄. Πρὸς σηπεδόνας ἐν στόματι. ἐλαίας φύλλων κεκαυμένων θρίδακος ῥίζης κεκαυμένης σιδίων ἴσα, κόστου βραχύ. ἰᾶται τὰς τῶν οὔλων διαβρώσεις καὶ πλάδους γάλα ὄνειον διακλυζόμενον θερμὸν ἐλαίας φύλλων ἀφέψημα ἀσπαλάθου ἀφέψημα πλατάνου φύλλων ἐν ὄξει ἢ οἴνῳ ἡψημένων· ξηρὰ δὲ προσαπτόμενα ἰὸς σιδήρου βαλαύστια κύτινοι.

κζ̄ Περὶ ἐπουλίδος. ἐπουλίς ἐστιν ἀπὸ φλεγμονῆς ὑπερσάρκωμα κατὰ τὸν ἐσώτατον γομφίον, ἔσθ' ὅτε δὲ καὶ μετὰ πυρετοῦ καὶ ὀδύνης σφοδρᾶς ἔνδον πρὸς τοῖς χαλινοῖς γιγνομένης, ὥστε μηδὲ διανοίγειν

2 εἰ δὲ — διελὼν *Gal. ascr. int. s. med. ib. (ib. 785, 11—12)* 20—22 ἐπουλὶς — σφοδρᾶς *Or.*[c] *ib. (ib. 15—17) Paul. ib. (ib. 20—22)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 καὶ] δὲ P^x χ A ω *om.* D P *ante* στυπτηρία: καὶ D P κεκαυμένη *om.* P^x A *ante* ἢ *(sic)*: καὶ P^x A σωρία L^a σόρι A . . . η P^x προσαπτόμενα] προσπασσόμενα χ P 2 καὶ ἐκτέμνων χ A ω ἔκτεμνε D P *om.* P^x 3 *ante* διάστελλε: καὶ P^x D P ἐκτομαῖς D P ἐκτεμνόμενα ω ἐφιστάμενα A ἐφεσταμένα P^x ἀφ. χ 4 *post* γὰρ: οὐ L^a συριγγοῦνται L^a D P 5 τῶ . . . κοίλω A 6 ξηρίω A ἰσοπέδου D P γενομένου χ D P *post* χρῶ: ἔστι δὲ ἡ σκευασία τοῦ ἀνθηροῦ αὕτη· στυπτηρίας σχιστῆς κυπέρου σανδαράχης ἀνὰ < η̄ κτλ. P^x 7—10 Ξηρὸν — ἐνέργω + 10—14 ξηρὸν ἀνθηρὸν — σανδαράκης < γ̄ + 10—12 ἄλλο ἀνθηρὸν Ὀριβασίου κυπέρου κρόκου — χρῶ 10—12 *praecedunt* 12—14 ω] + 14—15 Πρὸς σηπεδόνας — κόστου βραχυτάτου *ante* Πρὸς τὰ διαβιβρωσκόμενα *(p 434, 10) transp.* D P ω 7 καὶ *pr. om.* φ χ A ω αἱμασσόμενα *om.* P^x χ A 8 ποιεῖ *om.* χ D P *post* καὶ *pr.*: πρὸς D P ἀντιάδας α, *exc.* L^a κιονίδας D P ω ξηρὸν προσαγόμενον *om.* D P 9 διακρατητέον P^x A τῷ *om.* L^a 10 *ante* σχιστῆς: στυπτηρίας D P *post* σχιστῆς: ἀνὰ ϝ ᾱ P^x ἐνεργὲς P^x . . ῶν χ 11 *post* κυπέρου: < β̄ *om.* ἀνὰ *post* κρόκου χ A ω *post* στυπτηρίας: σχιστῆς ω < δ̄ ῥόδων ἄνθους (τὸ ἄνθος P^x) < ϛ̄ *ante* χρῶ, *cui praec.* καί, *transp.* D P 12 κηκῖδος κυτίνων *om.* D P χρῶ *om.* ω Ἄλλο — σανδαράκης < γ̄ *om.* L^a 13 σμύρνης *ante* σχιστῆς *transp.* ω *om.* P^x 14 *post* ἐν: τῶ ω 14. 15 φύλλα κεκαυμένα P^x χ A D ω 15 κεκαυμένης *om.* D P ἴσα] ἀνὰ < ᾱ D P *post* βραχυτάτου *(v. supra)*: χρῶ D P ω 16 ἰᾶται — βαλαύστια κύτινοι *(19) post* διακλυζέσθω οἴνῳ *(p. 434, 9) transp.* D P ω 18 φύλλα . . . . ἡψημένα D P σὺν οἴνω ἢ ὄξει ω ξηρίον A ξηρὰ — κύτινοι *om.* P 19 βαλαυστίων P^x χ A ω . . . αύστιον D P 21 ἐσώτατον] ὀδόντα D P *ante* γομφίον: τὸν D P καὶ *pr. om.* D P 22 γιγνομένη D P μη P^x ω διανύγειν χ ἀνοίγειν ψ

τὸ cτόμα δύναcθαι τὸν πάcχοντα. πρότερον οὖν ἡ φλεγμονὴ λυέcθω διὰ τῶν χαλώντων διακλυcμάτων, ὡc τῷ μελικράτῳ χλιαρῷ ἢ χυλῷ πτιccάνηc ἢ λινοcπέρμου ἀφεψήματι. cυμφέρει δὲ καὶ ὅλην τὴν cιαγόνα περιπλάccειν τῷ διὰ λινοcπέρμου καὶ μελικράτου καταπλάcματι. τῆc δὲ φλεγμονῆc διαλυθείcηc, ἤδη τοῦ πάcχοντοc χαίνειν δυναμένου, θεραπεύειν χρὴ τὴν ἐπουλίδα ξηρῷ cταλτικῷ, μάλιcτα μὲν τῷ προρρηθέντι ἐπὶ τῶν παρουλίδων, ἤδη δὲ καὶ τῷ πρὸc τὰ νεμόμενα οὖλα ἀναγραφέντι τῷ τε διὰ χαλκίτεωc καὶ καδμίαc χρῆcθαι καὶ τῇ τοῦ ξυcματίου τῆc ὀθόνηc παρενθέcει. βραδέωc δὲ δαπανωμένηc τῆc cαρκόc, cαρκοφάγον ξηρίον προcτιθέcθω, οἷον ἰὸc καθ᾽ αὑτόν τε καὶ μετὰ ἴcηc κηκῖδοc ἢ τὸ ξανθὸν καὶ πάλιν ξυcμάτιον ὀθονίου προcτιθέcθω. κἂν οὕτω βραδύνῃ ἡ θεραπεία, αὐτὴ ἡ ἐπουλὶc μυδιοcκέλῳ ἀποτεμνέcθω ἀποταθεῖcα cμιλαρίῳ cτενῷ ἢ μᾶλλον τῷ cπαθίῳ καὶ ταῖc ἑξῆc ἡμέραιc θεραπευέcθω τὸ ἕλκοc διακλύcματι, μελικράτῳ καὶ τῷ κεφαλικῷ ξηρῷ, τοῦ ξυcματίου προcτιθεμένου, ἔπειτα τῷ ἀνθηρῷ ἀποθεραπευέcθω. καταcτέλλει τὰc ἐπουλίδαc καὶ κηκὶc καθ᾽ αὑτὴν καὶ χαλκίτηc ὠμὴ ἢ κεκαυμένη, cῶρι κεκαυμένον cτυπτηρία πᾶcα κεκαυμένη βαλαύcτια λεπὶc χαλκοῦ μετ᾽ ὄξουc λειωθεῖcα ἐπὶ ἱκανὰc ἡμέραc, ἐν ἡλίῳ μάλιcτα καὶ ξηρανθεῖcα. ποιεῖ καὶ τοῦτο καλῶc· cχιcτῆc < $\bar{\beta}$ κηκῖδοc < $\bar{\alpha}$ ἁλῶν ὀπτῶν ὁμοίωc, χρῶ ξηρῷ.

Περὶ τῶν κατὰ τὰ οὖλα cυρίγγων. τὰ μὲν ἐν τοῖc οὔλοιc cυρίγγια κη
ἐπιδιαιρεῖcθαι καὶ ἐξαπλοῦcθαι ὀφείλει καὶ θεραπεύεcθαι μετὰ τὴν ἐπιδιαίρεcιν τὸ ἕλκοc, ὡc μικρῷ πρόcθεν εἴρηται. ἐὰν δὲ εἰc τὰc ῥίζαc φθάcῃ τοῦ πληcίον ὀδόντοc ἡ cύριγξ, πειρᾶcθαι μὲν διὰ τῶν cυριγγιακῶν κολλυρίων ἁπλώcαντα, ὡc οἷόν τε, θεραπεύειν ἀναλαμβάνοντα

16—19 καταcτέλλει — ξηρανθεῖcα | 21—24 τὰ μὲν — φθάcῃ *Or.*[c] *ib.* (*ib.* 17—20) *XLIV 20 (III 139, 16—18)* καταcτ.— ξηρανθ. *Paul. ib.* (*ib.* 21—200, 2)

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 πρῶτον χ D P τὴν φλεγμονὴν ω λύεcθαι ω διαλυέcθω χ D P 2 ὡc τῷ] οἷόν ἐcτι D P μελίκρατον χλιαρὸν P^x D P ω χυλὸc P^x D P ω 3 λινοcπέρματοc ἀφέψημα D P 4 καὶ μελικράτου *om.* D P 5 λυθείcηc α, *exc.* L^a χαίνειν] φέρειν D P 7 τῷ] τοῖc D P *om.* ω *post* νεμόμ.: ἕλκη ἢ L^a 8 ἀναγραφεῖcι D P τῷ] τὸ P^x χ A ω τε *om.* φ χ A ω 9 ξύcματοc D P ω *ante* τῆc *pr.*: καὶ ω δὲ *om.* φ A 10 προcτίθεcθαι P^x προτ. A οἷον] ἰάρον τὸ ἐπιλεγόμενον λατινιcτὶ βαρδερομ[π·] μετὰ ὄξου[Γρ] (ὀξυγάρου?) κοπανιcτοῦ ἢ P^x αὐτὸ L^a A 11 ξύcματι A ξυc[μτ′] P^x ω ὀθώνῳ P^x ὀθόνην A ω προcτίθεcθαι P^x A προτιθέcθω D P ω 12 βραδύνῃ — αὐτὴ *om. sed spat. vac.* χ θεραπεία αὐτὴ ἡ *om.* ω αὐτὴ ἡ ἐπουλὶc *om.* D μυδίῳ cκελῷ L^a μὴ διοcκέλλῳ P^x μυοcκεφάλῳ ω 12. 13 ἀποταθεῖcα (. . . τεθεῖcα χ) ἐκτεμνέcθω α, *exc.* L^a 14 διακλύcματι] διὰ ξύcματοc P διὰ μελικράτου (. . . των P^x) κλυcμοῖc P^x A μελικράτου D P ξηρίῳ A ω 15 προτιθεμένου P^x A 16 *post* καταcτέλλει: δὲ ω καὶ *pr. om.* D P ω κηκὶc *om.* D P ἢ] καὶ P^x A ω *om.* D P 17 κεκαυμένη (*pr*) *om.* P^x A cῶρι κεκαυμένον *om.* D P κεκαυμένον] ὁμοίωc ω πᾶcα κεκαυμ.] ὁμοίωc ω 19 $\bar{\beta}$] $\bar{\alpha}$ D P κηκίδων χ A D ω 20 ὁμοίωc] < $\bar{\alpha}$ α, *exc.* L^a ξηρὸν φ . . . ίον A 21 cυριγγίων ω 22 ἐπιδιαιρέcθω . . . ἐξαπλούcθω ω 24 φθάcῃ *om.* ω πειράcθω ω 25 ἁπλώcαντac P^x D P ἀναλαμβάνονταc P^x D P ἀλλὰ λαμβάνοντα ω

μέλιτι ἑφθῷ τὸ ξανθὸν ξηρίον, ἔπειτα τὸ δι᾽ ὀρόβων ὁμοίως. ἐὰν δὲ συναναςχεθῇ ὁ πάσχων καὶ μᾶλλον ἡδέως ἔχῃ στερήσει τοῦ πάσχοντος ὀδόντος, συνεξαιρεθήσεται καὶ τὸ συρίγγιον καὶ τὸ οὖλον συμπεσεῖται καὶ εὐχερὴς ἔσται ἡ μετὰ ταῦτα θεραπεία.

κθ Περὶ ἐπιμελείας ὀδόντων θερμὸν νόσημα ὀδυνῶδες ἐχόντων Ἀδαμαντίου σοφιστοῦ. οὔλων μὲν ὀδυνωμένων ἐκ φλεγμονῆς ἢ διαβρώσεως τὰ κατάλληλα τῇ χρήσει βοηθήματα γυμνοῖς τοῖς πάσχουσι τόποις προσφέρεται, καὶ διὰ τοῦτο ἢ ἄδηκτα παντάπασίν ἐστιν ἢ μετρίως στρυφνὰ καὶ γεώδη ταῖς συστάσεσι. τῶν δὲ ὀδόντων πασχόντων μόνων ἢ μετὰ τῶν ἐν αὐτοῖς ἐμφυομένων νεύρων τε καὶ ὑμένων τοῖς ἰωμένοις φαρμάκοις προσπλέκομεν τὰ λεπτομερῆ ταῖς οὐσίαις, πρὸς τὸ τὴν δύναμιν τοῦ βοηθήματος εἰς τὸ βάθος διαδοθῆναι. καὶ εἰ μὲν ψυχρὸν εἴη τὸ νόσημα, θερμὰ λεπτομερῆ προσπλέκομεν τοῖς βοηθήμασιν, εἰ δὲ θερμὸν εἴη, τὰ δυνάμενα ψύχειν καὶ λεπτομερῆ ταῖς οὐσίαις συνάψομεν. θερμῆς οὖν οὔσης τῆς διαθέσεως καὶ ἡλικίας ἀκμαζούσης καὶ κράσεως θερμῆς καὶ ἐν χωρίῳ καὶ καταστάσει ἀέρος τοιαύτῃ διακλύσματα προσάξομεν, ἐναφεψῶντες ὄξει λευκῷ ῥίζαν ἁλικακάβου ἀείζῳν τὸ μικρὸν ἀνδράχνην περδίκιον γλυκύριζαν. εἰ δὲ ἀφόρητος εἴη ἡ συναίσθησις τῆς θερμασίας, χρηστέον ὑοσκυάμου φύλλοις ἢ σπέρματι μήκωνος [μήκωνί τε κηπαίᾳ καὶ σπέρματι] ἢ θριδακίνης, ἑψομένων τούτων ἐν τῷ λευκῷ ὄξει. εἰ δὲ σὺν τοῖς ὀδοῦσι καὶ τὰ οὖλα ἐν ὀδύνῃ ὑπάρχοι καὶ φλεγμαίνοι, τὸ ὄξος τούτοις, ὡς ὀξὺ ξίφος πολεμιώτατον παραιτοῦ, τῇ δριμύτητι διάβρωσιν ἐργαζόμενον τῶν οὔλων· τὸ γὰρ δριμὺ ἕπεται τῷ θερμῷ. παρηγορικώτατον οὖν ἐπὶ τούτοις ἐστὶν ὄνειον γάλα· ἐγὼ δὲ τοιαύτην ἔχοντί τινι κρᾶσίν τε καὶ διάθεσιν περιπεσὼν ἔλαιον ῥόδινον καὶ μύρσινον ἔδωκα διακατέχειν ἐν τῷ

16. 17 διακλύσματα — ἁλικακάβου | 19 χρηστέον — σπέρματι | 25 ὄνειον γάλα *cf. Gal. de comp. m. s. l. ib. (ib. 855, 10—11, 13—14, 856, 18)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 *post* δὲ: μὴ D P 2 δυσαναςχεθῇ χ D P συνεχέθει ω *post* πάσχων: ἢ D P ἔχεις P^x A ...ει χ *ante* στερήσει: τῇ P υι τὴν στέρησιν D 5 Π. ἐπιμ.] ἐπιμέλεια α, *exc.* L^a *ante* ὀδόντων: καὶ θεραπεία D ω 6 Ἀδαμαντίου (...τίνου P^x) σοφιστοῦ *om.* L^a χ *post* ἢ: ἐκ ω 7 γυμνοῖς] μιγνὺς L^a 8 ἢ *pr. om.* D P μετρίως — μόνων ἢ *(10) om.* ω 9 *post* συστάσεσι: Γαληνοῦ (Περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν P^x). τῶν ἐν τοῖς ὀδοῦσι παθῶν, ἔνια μὲν ἐναργῶς φαίνεται, καθάπερ ὅ⟨ταν⟩ τρηθῶσιν ἢ μελανθῶσιν ἢ ἐκτρίβωσιν — εἰ δὲ πελιδνοὶ δι᾽ ὅλης αὐτῶν τῆς οὐσίας οἱ (οἱ *om.* P^x) ὀδόντες φαίνονταί ποτε γιγνομένων (...όμενοι), θαυμαστὸν οὐδὲν ὡς τοῦτο *Gal. ib. (ib. 848, 5 sqq,)* P^x A 10 ἐμφυομένων (φυομ. P^x A) (ἐν *om.*) αὐτοῖς D P 11 *post* οὐσίαις: συνάπτομεν ω 12 εἰς τὸ βάθος *om. Ald.* 15 οὖν] μὲν οὖν P^x μὲν χ ψ ω 16 ἐγχωρίῳ L^a ἐν *om.* P^x χ A ω καὶ *alt. om.* ω 17 προσάξωμεν P^x χ A ἀφεψοῦντες D P 18 *ante* ἀνδράχνην: καὶ ω *post* περδίκιον: βοτάνην καὶ (καὶ *om.* P^x) P^x D P γλυκύριζον A ω ἡ *om.* P^x D 19 *ante* ὑοσκυάμου: τοῦ ω 20 μήκωνι — σπέρματι *delevi* μήκωνί τε] τε P^x χ A *om.* ω κηπαίας P^x χ A ω 21 *post* δὲ: καὶ ω καὶ *om.* ω 22 ὑπάρχει ψ φλεγμαίνει χ ψ 23 παραιτοῦ *om.* D P *post* τῇ: γὰρ L^a 24 τὸ (τῶ A) γὰρ δριμὺ (...εῖ A) ἕπεται τῶ θερμῶ (τὸ θερμὸν P^x A) *om.* χ D P ω ἐπὶ *om.* ω 25 *post* δὲ: ποτε ψ ω τινὶ τοιαύτην κρᾶσίν τε ω 26 καὶ παραπεπτωκότι ω κατέχειν ω

στόματι καὶ φλέγεσθαι ἐδόκει ὁ ἄνθρωπος καὶ ὡς ὑπὸ λαμπάδος ἐξάπτεσθαι· χιόνα τοίνυν ῥοδομέλιτι μίξας καὶ χλιάνας μετρίως πρὸς τῷ τὸ σφοδρὸν τῆς ψύξεως θραῦσαι ἔδωκα διακατέχειν ἐν τῷ στόματι καὶ τῆς ὀδύνης ἀπήλλαξα. μέγιστον δὲ αὐτοῖς ἀγαθὸν καὶ ἡ διὰ κωδιῶν σκευαζομένη ἀντίδοτος ὑπνωτικὴ χλιαρὰ ἐν τῷ στόματι κατεχομένη καὶ τὸ ὄνειον γάλα συνεχῶς διακλυζόμενον καὶ τὸ ἕψημα θερμὸν κατεχόμενον ἐν τῷ στόματι. ἀγαθὸν δὲ αὐτοῖς φάρμακον καὶ ὁ διὰ σπέρματος ὑπνωτικὸς τροχίσκος καὶ οἱ παραπλήσιοι ἑψήματι φυρόμενοι καὶ περιπλαττόμενοι τῷ πάσχοντι. χρὴ δὲ θερμοτέραν τε εὑρισκομένην τὴν κεφαλὴν τῷ ὀξυροδίνῳ ἢ τῷ ὀμφακίνῳ ἐλαίῳ σὺν ὄξει δριμυτάτῳ ⟨διαβρέχειν⟩. εἰ δὲ μὴ τοῦτο παρείη, τῷ γλυκεῖ ἐλαίῳ συνεψεῖν ἀείζῳον ἢ στρύχνον ἢ ὑοσκύαμον καὶ πολύγονον καὶ κωδίας. μὴ ἀποσμήχεσθαι δὲ τὴν κεφαλήν, εἰ μὴ πολὺν ἔχει ῥύπον. αὖθις δὲ ἀλείφειν σὺν ὄξει δριμυτάτῳ καὶ τὴν κεφαλὴν διαβρέχειν ῥοδίνῳ μετὰ βραχέος ὄξους καὶ τοῖς ὠσὶν ἐγχεῖν τὸ ῥόδινον σὺν τῷ ὄξει· ἢ τὰ λεγόμενα γῆς ἔντερα ἐν ἐλαίῳ ἑψήσας ἐγχυμάτιζε εἰς τὸ κατάλληλον οὖς ἢ τοὺς ὑπὸ τὰς ὑδρίας ὄνους ὁμοίως ἢ ἀράχνας ὁμοίως ἢ τίλφης τὸ ἐντὸς ὁμοίως μετ᾿ ἐλαίου ἐγχυμάτιζε ⟨εἰς⟩ τὸ οὖς. τροφαὶ δὲ ἔστωσαν πτισσάνη χόνδρος ᾠὰ θριδακίναι κολοκύνθη καὶ ὅσα τῆς τούτων ἔχεται δυνάμεως. οἴνου δὲ ἀφεκτέον· δίδου δὲ καὶ μασᾶσθαι κατὰ τὸν ἀλγοῦντα ὀδόντα βοτάνης περδικίου ῥίζαν ἢ ὑοσκυάμου καὶ μάλιστα ἐν βαλανείῳ καὶ διακρατείτω τὸν χυλὸν μέχρις ἂν ἐξέλθῃ· καὶ ὑποθυμιᾶν δὲ τῷ ἀλγοῦντι ὀδόντι ὑοσκυάμου σπέρμα ἢ κυνὸς νεκροῦ ὀδόντα καὶ παραχρῆμα ἄπονος ἔσται, ὁμοίως καὶ γῆς ἔντερα ὑποθυμιᾶν.

Ἄλειμμα εἰς πόνον ὀδόντων καὶ εἰς τὸ βιβρωσκόμενον τοῦ Κουφαρᾶ. ξανθοκάρυα ὁλόκληρα τῶν φοινίκων ὀστᾶ κεκαυμένα ἐλαίων μαύρων ὀστᾶ κεκαυμένα σηπίας ὀστράκου πυρέθρου λεπτοκαρύων τηκτῶν κεκαθαρμένων στάχυος κινναμώμου καρεοφύλλου σμύρνας ἀνὰ ἐξάγιον ἓν

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 λαμπάδας ἀνάπτεσθαι ω 2 τοίνυν] τινα ω 3 τὸ σφοδρὸν *om.* ω τὴν ψῦξιν ω 5 *post* κατεχομένη: ἔστι δὲ ἡ σκευασία τῆς ἀντιδότου αὕτη· γλυκόριζον τετράκανθαν κωμ δ′ (κόμμι) ἀραβικὸν κτλ. P^x 6 καὶ τὸ ὄνειον — διακλυζόμενον *om.* D P 7 διακατεχόμενον D P ἐν τῷ στόματι κατεχόμενον ω φάρμακον *om.* D P 8 σπερμάτων (*ex* ...ατος D) P^x χ A ω *post* τροχίσκος: ἔστι δὲ ἡ σκευασία αὐτοῦ τοιάδε· ἀνίσου λι β̄ ἄμεως λι c̄ μαράθρου σπόρου λι ᾱ κτλ. P^x 9 *post* πάσχοντι: ὀδόντι D P ω θερμοτέραν — δριμυτάτῳ *(14)* *om.* χ D P ω 10 τὸ ὀμφάκινον ἔλαιον L^a 11 διαβρέχειν *addidi* 12 ὑοσκυάμου ῥίζαν P^x A 13 *post* ῥύπον: εἰ δὲ ἀνάγκη κατεπείγη, χρὴ ἀπορυπῶσαντα (...τες [*l.* ...τας] A) τὴν κεφαλὴν ἐν τῷ λουτρῷ P^x A δὲ *alt.* *om.* P^x A 15 *post* ἐγχεῖν: τὸ φάρμακον ἤγουν L^a τῷ ῥοδίνῳ L^a ω 16 ἀφεψήσας ω λειῶν D P 17 τὰς] τῆς P^x A P ἢ ἀράχνας ὁμοίως *om.* L^a ὁμοίως *om.* ω ἢ τίλφης (τιλφὺς L^a σίλφης [...ῆς] P^x χ ...ις A ...η ω) — μετ᾿ ἐλαίου (μετ᾿ ἐλαίου *om.* L^a χ) ἐγχυμάτιζε ⟨εἰς⟩ τὸ οὖς *om.* D P εἰς *addidi* 19 ᾠὰ *om.* P^x D P κολοκυν θ′ L^a ω ...κύνθαι P^x D P ...όκυνθα χ A 20 καὶ *om* α, *exc* L^a διαμασᾶσθαι (...σσᾶσθαι) α, *exc.* L^a 21 τῶν ὀδόντων τῶν ἀλγούντων ω *ante* βοτάνης: μετὰ P^x χ A ἢ *om.* P^x A 22 ὑποθυμία D P ...θυμίαν, ...θυμιᾶν *cett. codd.* 23 ὀδόντι *om* ω 24 ὑποθυμία P^x χ A D 25—*p. 440, 2* Ἄλειμμα — τοῦ ἀλείμματος *om.* L^a χ D P ω καφορᾶ δεδοκιμασμένον δόκιμον (δεδοκ. δόκ. *exaravit m. 2*[a]) P^x 26 τῶν *(Ald.)*] *om.* P^x A 28 ἐξαγίου ἑνὸς α *correxi*

μέλιτι ἀναδεύσας καλλίστῳ ἀπηφρισμένῳ· τὸ χρυσοβάλανον ἔχε κεκοπανισμένον ἰδίως καὶ ἐπίπασσε ἐπάνω τοῦ ἀλείμματος.

λ Θεραπεία τῶν διὰ ψῦξιν ὀδυνωμένων τοὺς ὀδόντας. ψυχροῦ δὲ ὄντος τοῦ νοσήματος, ὅπερ διαγνώσῃ ἐκ τῆς ἰδέας τῆς τε κεφαλῆς καὶ τοῦ λοιποῦ σώματος καὶ τῆς προγεγενημένης διαίτης καὶ τῶν ἐπιτηδευμάτων καὶ τῆς λοιπῆς συστοιχίας, θεράπευε [δὲ] τὴν δίαιταν πᾶσαν θερμὴν ἐπιτηδεύων. τροφαὶ μὲν οὖν ἔστωσαν πτισσάνη μετὰ γλήχωνος καὶ πηγάνου καθεψηθεῖσα ἢ πεπέρεως προσλαβοῦσα μετὰ τὴν ἕψησιν καὶ ἅλιξ ὡσαύτως, λάχανα δὲ πετροσέλινα καὶ τὰ παραπλήσια. ποτὸν δὲ οἶνον δοτέον σύμμετρον τῷ πλήθει καὶ οἰνόμελι καὶ κονδῖτον. διδόναι δὲ πίνειν ἢ ἐκλείχειν καὶ τοῦ διὰ καλαμίνθης ὀξυπορίου εἰς ὕπνον· διακλύσματα δὲ διδόναι ὄξει συνεψῶν ὀρίγανον καλαμίνθην ὕσσωπον γλήχωνα δίκταμνον θύμον θύμβραν κύμινον μελάνθιον τιθυμάλλου ῥίζαν ἢ ἀγρίου σικύου ῥίζαν ξανθίου ῥίζαν χαμαιλέοντος μέλανος ῥίζαν περιστερεῶνος ὀρθοῦ ῥίζαν φλόμου ῥίζαν ἠρυγγίου ἐλλεβόρου μέλανος καππάρεως ῥίζαν· τούτων ἕκαστον σὺν ὄξει ἡψημένον καὶ διακλυζόμενον παύει τὰς ὀδύνας τῶν ὀδόντων τὰς διὰ ψύξιν γιγνομένας. εἰ δέ τινες αἰσθητικώτατον ἔχουσι τὸ στόμα σὺν ὀξυκράτῳ ταῦτα ἑψείσθω. σὺν οἴνῳ δὲ ἀφηψημένα τὰ προειρημένα καὶ διακλυζόμενα δὶς ἢ τρὶς τοῦ μηνὸς ἐπὶ τῶν ψυχροτέρων κράσεων προφυλάττει καὶ διατηρεῖ ἀπόνως τοὺς ὀδόντας. τετήρηται δὲ ὠφελοῦν αὐτοῖς καὶ τὸ ἀφέψημα τῶν λιπαρῶν ξύλων, οἷον δᾳδίνων ἢ συκίνων· θλᾶται δὲ ταῦτα καὶ ἕψεται μετὰ ἰσχάδων ἐπιχεομένου οἴνου. διακλυζόμενον γὰρ τοῦτο ἐπὶ τῶν τοιούτων ὀδονταλγίας παρηγορεῖ καὶ μετ' ἐλαίου δὲ ἑψήσας

12–16 διακλύσματα — καππάρεως ῥίζαν *cf. Gal. ib. (ib. 857, 11 sqq. 856, 15, 18—857, 1 etc.)* 14 τιθυμάλλου ῥίζαν | 19—21 σὺν οἴνῳ — ὀδόντας | 22—*p. 441, 2* θλᾶται — ὀδόντα *cf. Gal. ib. V 8 (ib. 876, 2—4, 857, 1, 5—6 etc.)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 καλλίστῳ ... φρισμένῳ *(Ald.)*] ...στου ...μένου P^x A τὸ *om.* A *(Ald.)* 3 τοὺς ὀδόντας] ὀδόντων D P *(Ald.)* 4 τε *om* P^x χ ω 5 τῆς *om.* ω προγεγραμμένης P^x A προσγενομένης ω 6 δὲ *om.* ψ *del.* 7 τροφὴ ...ἔστω D P 8 καὶ πηγάνου — μετὰ *om.* ω 9 ἅλιξ] ἁλὸς D P 10 δὲ *om.* P^x D P δοτέον οἶνον D P σύμμετρον — κονδῖτον *om.* L^a 11 ἢ ἐκλείχειν — διδόναι *(12) om.* D P 12 *post* ὕπνον: ἔστι δὲ ἡ σκευασία τοῦ διὰ καλαμίνθης ὀξυπορίου αὕτη· καλαμίνθης ὀρεινῆς πετροσελίνου κτλ. P^x *ante* διακλύσματα (διάκλυσμα α, *exc* L^a): (ἄλλο P^x) περὶ διακλυσμάτων (Γαληνοῦ P^x) P^x χ A διδόναι] δοτέον D P ω συνεψοῦντας D P 13 θύμον (θύ$^{μ'}$ P^x θύμα χ D P) *om.* L^a ω *post* θύμον: καὶ P^x χ A P θύμβραν — μελάνθιον *om.* P θύμβρα χ A D ω *ante* κύμινον: καὶ χ A κύμινον μελάνθιον *om.* ω *ante* μελάνθιον: καὶ χ 14 ἢ ἀγρίου σικύου ῥίζαν *om.* A ἢ ἀγρίου — ξανθίου ῥίζαν *om* ω 14—16 ἢ ἀγρίου — καππάρεως ῥίζαν *om.* χ ξανθίου — ὀρθοῦ ῥίζαν *et* ἠρυγγίου — καππάρεως ῥίζαν *om.* L^a 15 ἠρυγγίου *ante* φλόμου *transp.* ω ῥίζαν *post* φλόμου *om.* ω 16 *ante* καππάρεως: καὶ P^x A ῥίζαν] ὁ φλοιὸς D P τούτων ἕκαστον *om.* D P ἑψόμενος D P ...νον P^x χ A ω 17 διακλυζόμενος D P τὰς *alt. om.* χ A ω 18 αἰσθητικὸν P^x A 19 ἀφεψούμενα (...όμενα χ ω) D P 20 τρὶς ἢ δὶς ω παραφυλάσσειν ω 21 ἄπονος P^x ἀπόνους χ ψ ω αὐτοὺς α, *exc.* L^a 22 συκίνων] πευκίνων ω 23 ταῦτα *ante* μετὰ *transp.* D P ἕψαι P^x A διακλυζόμενα ... ταῦτα D P 24 δὲ ἑψήσας] διεψήσας ω

τὰς δᾳδας τεθλαςμένας δίδου τὸ ἔλαιον θερμὸν ἐν τῷ στόματι διακρατεῖν καὶ αὐτὰ τὰ θραύματα τῶν δᾴδων διακρατεῖν κατὰ τὸν ἀλγοῦντα ὀδόντα· καὶ τὸ ὀποβάλςαμον δὲ διακρατούμενον ἐν τῷ στόματι μεγάλην ὠφέλειαν ἐνδείκνυται καὶ τὸ καςτόριον μετὰ νάρδου τοῖς ὠςὶν ἐγχεόμενον. ἐὰν δὲ καὶ πάντες πονῶςιν οἱ ὀδόντες, κεδρίαν διακρατείτω ἐν τῷ στόματι, εἰςερχόμενος ἐν τῷ βαλανείῳ μέχρις ἂν ἐξέλθῃ καὶ ἄπονος ἔςται. δίδου δὲ καὶ διαμαςᾶςθαι τούτοις καὶ διακρατεῖν κατὰ τὸν ἀλγοῦντα ὀδόντα πυρέθρου ῥίζαν κικέας τῆς κροτωνίας καλουμένης ῥίζαν ξανθίου ῥίζαν λευκῆς ἀκάνθης ῥίζαν τιθυμάλλου ῥίζαν· καὶ τῆς θηριακῆς δέ καὶ τῆς Ἔςδρα ἀντιδότου λαβὼν καὶ διαλύςας ἑψήματι δίδου διακατέχειν ἐν τῷ στόματι. καλῶς δὲ ποιεῖ καὶ ἡ Φίλωνος ἀντίδοτος διαχριομένη καὶ ἡ ςώτειρα. ὑποθυμία δέ, ἵνα τὸν καπνὸν ὑποδέχεται τῷ στόματι, κυνὸς νεκροῦ ὀδόντα, εἶτα τὸν καυθέντα ὀδόντα λεάνας ςὺν ὀλίγῳ ὄξει καὶ θερμάνας δίδου διακρατεῖν ἐν τῷ στόματι καὶ ἄπονος ἔςται, ἢ ἀλκυόνιον ὑποθυμία. ἐπιμελητέον δὲ καὶ τῆς κεφαλῆς πάςμαςι χρώμενοι τοιούτοις· ἐλενίου ℔ γ̅ ἴρεως ℔ β̅ ἀριςτολοχίας μακρᾶς ℔ α̅. ἀλγημάτων δὲ ςφοδρῶν ἐπικειμένων καὶ πυρία τούτοις ἁρμόδιος διὰ κέγχρου ἢ ὀρόβου ἢ πυρῶν πεφρυγμένων ςὺν δαφνίςιν, ἁλῶν ὀλίγων ἐμβαλλομένων. Πρὸς τὸ μύλας ἀςήπτους καὶ ἀκινήτους διαφυλάξαι. βρυωνίας τῆς λευκῆς τῶν βοτρύχων χυλοῦ λι' α̅ μορέας φλοιοῦ τῆς ῥίζης ℔ ϛ̅, ἕψε εἰς τὸ ἥμιςυ καὶ δίδου θερμαίνειν καὶ διακρατεῖν ἐν τῷ στόματι ἐπὶ ἡμέρας ζ̅ καὶ ὁ τούτῳ χρώμενος οὐδέποτε πονέςει ὀδόντας. Μαντιδίου διάκλυςμα ὀδόντων. ὑοςκυάμου ῥίζης φλοιοῦ < η̅ πυρέθρου < δ̅ ναρδοςτάχυος < α̅ μέλιτος ℔ θ̅ ὄξους λι' γ̅, ἕψε μετ' ὄξους ἐν καινῇ χύτρᾳ καὶ διηθήςας ἐπίβαλλε τὸ μέλι καὶ χρῶ.

Θεραπεία τῶν δι' ὑγρότητα ὀδυνωμένων ὀδόντων καὶ ςειομένων. λα̅
πάλιν ἕτερος ἄρρωςτος ὑποκείςθω τῷ λόγῳ τὴν κρᾶςιν πᾶςαν τοῦ ςώματος καὶ μάλιςτα τῆς κεφαλῆς ὑγροτέραν ἔχων καὶ ἁβροδίαιτος

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 2 καὶ αὐτὰ—διακρατεῖν *om.* P θραύςματα P^x χ A ω 3 *post* ὀδόντα: ὁμοίως ω δὲ] καὶ L^a διακρατούμενον—στόματι] κατέχειν ω 5 ἐκχεόμενον P^x A οἱ ὀδόντες πονῶςι P ω 6 ἐν *pr. om* ω 7 μαςᾶςθαι D P 8 ὀδόντα] πόνον ω *ante* κικέας: τιθύμαλλον ω τῆς κροτωνίας—τιθυμάλλου ῥίζαν *om.* ω 9 ξανθίου—τιθυμάλλου ῥίζαν *post* στόματι *(11) transp.* L^a *om.* χ ῥίζαν *post* ἀκάνθης *om.* D P ω *ante* τιθυμάλλου: καὶ D P ω 10 τὴν θηριακὴν χ D P δέ *om.* χ ψ καὶ *alt.*] ἢ α, *exc.* L^a τὴν ... ἀντίδοτον D P λαβὼν καὶ *om.* D P 11 *post* δίδου: καὶ ω καλῶς δὲ—ςώτειρα *om.* α, *exc.* ω 13 δέχηται P^x χ A ω ...χωνται D P *ante* τῷ: ἐν D P ω τὸν *post* καυθέντα *transp.* P^x A 15 ἐπιμελητέον—ἐμβαλλομένων *(19) post* μέλι καὶ χρῶ *(26) transp.* P^x A 16 *post* χρώμενοι: ℔ β̅ *Ald.* ℔ *pr.*] < χ A ἴρεως ℔ β̅ *om.* L^a ℔ β̅] ℔ α̅ ἢ β̅ P^x *om.* D P 17 *ante* ἀριςτολοχ.: καὶ D P μακρᾶς *om.* L^a *post* μακρᾶς: ἀνὰ D P δὲ *om.* ω 18 τούτοις ἁρμόδιος *om.* ω ὀρόβων α, *exc.* L^a πυρῶν] πιτύρων D P 19 ἐπεμβαλλομένων χ A P ἐπιβαλλ. P^x D 20 χυλὸν L^a A ω 21 α̅] α̅ ς ω β̅ P^x χ ψ *ante* φλοιοῦ: τοῦ D P ϛ̅] β̅ χ θερμαίνειν δίδου P^x A 22 καὶ *pr. om.* α, *exc.* L^a ἐπὶ *om.* χ ὁ *om.* L^a 23 Μαντιδίου—καὶ χρῶ *(26) om.* P 25 ἐν *om.* ω ἐπίβαλε P^x A D 27 *post* ςειομένων: Γαληνοῦ P^x 28 τῷ λόγῳ *om.* ω 28.29 τοῦ ςώματος ἅπαςαν D P 29 καὶ ἁβροδίαιτος—ἔχων *(442, 1) om.* D ἁβροδίαιτον P^x A

καὶ τὴν οἴκηcιν ἐν ὑγροτέροις τόποις ἔχων καὶ ἐν καταcτάcει νοτινῇ καὶ ὥρᾳ ἐαρινῇ πάcχων, τίς νοῦν ἔχων θεώμενος ταῦτα, οὐκ ἂν εἴποι τῆς ὑγρότητος εἶναι τὴν νόcον τούτου ἀπόγονον; διαβρεχομένων γὰρ τῶν εἰς τοὺς ὀδόντας ἐμφυομένων νεύρων καὶ χαλωμένων τούτων cὺν τοῖς περικειμένοις cώμαcι cειcμὸν ὑπομένουcι· τοῖς πλείcτοις δὲ χωρὶς ὀδύνης τοῦτο cυμβαίνει. εἴρηται γὰρ πλειcτάκις ὅτι ἡ ὑγρότης καθ' αὑτὴν οὐκ εἴωθεν ὀδύνας ἐπιφέρειν· εἴρηται δὲ καὶ πρόcθεν ὡς διὰ γεροντικὴν ἡλικίαν ἔνιοι τῶν ὀδόντων cείονται καὶ ὅτι τοῖς cτύφουcι καὶ πυκνοῦcι τὰ οὖλα φαρμάκοις οἱ γέροντες βοηθοῦνται. ἔνιοι δὲ πληγέντες ἐcείcθηcαν καὶ μεγάλως τούτοις ὠφελεῖ cτυπτηρία cχιcτὴ μετὰ cμύρνης τρωγλίτιδος λεῖα ἐπιπαccόμενα τῷ πεπονθότι ὀδόντι δαψιλῶς καὶ cυνεχῶς· ἵcτηcι γὰρ αὐτόν. τοὺς δὲ δι' ὑγρότητα cειομένους θεραπευτέον ξηρὰν τὴν δίαιταν ἐπιτηδεύοντας μετὰ μακρᾶς ἀcιτίας. τροφαὶ μὲν οὖν τούτοις ἁρμόδιοι ῥοφηματώδεις χόνδρος ἄλικος ἢ ἄρτος διάβροχος ἢ ὄρυζα ἢ ἄλφιτα cὺν μελικράτῳ καὶ κέγχρος δὲ τούτοις οὐκ ἀνεπιτήδειος καὶ φακός, ἰχθύων δὲ οἱ ταριχηροί, πτηνῶν τὰ ὄρεια καὶ ξηρότερα, λαχάνων ἡ κράμβη καὶ τὰ ὅμοια. ποτὸν δ' ὕδωρ δοτέον μὴ πάνυ δαψιλῶς. εἰ δὲ τὰς πέψεις μὴ βλάπτοιντο, μελίκρατον δοτέον, εἰ δὲ οὐκ ἀνέχοιντο, προcπλέκειν τῷ ὕδατι οἶνον ὀλίγον. κατὰ δὲ τοὺς παροξυcμοὺς πυριᾶν τοῖς τόποις κέγχρῳ cὺν ἁλcί· διακλύcματα δὲ διδόναι τὰ cτύφοντα καὶ ξηραίνοντα ἢ ἁλυκά, εἰ μὴ τὰ οὖλα cυμπάcχοι. κηκῖδας οὖν ὀμφακίτιδας ὄξει δριμεῖ cυνεψήcαντες καὶ cτυπτηρίαν τῷ ὄξει cυμπλέξαντες προcάξομεν, τῆς τε ἀκάνθης τῆς Αἰγυπτίας τὸν καρπὸν cίδια μυρρίνας κυτίνους βαλαύcτια ἐλαίας φύλλα πλατάνου φύλλα κυπαρίccου cφαιρία λαπάθου ἀγρίου ῥίζαν ξανθίου ῥίζαν βάτου φύλλα καὶ τὰ ἄλλα ὅcα cτρυφνῆς ποιότητος ἔχεται, ἀεὶ ἑψῶντες ἐν ὄξει ἢ ὀξυκράτῳ ἢ οἴνῳ προcάξομεν διακλύζεcθαι καὶ διακατέχειν ἐν τῷ cτόματι τὸ κατάλληλον ὑγρὸν τῇ τοῦ κάμνοντος αἰcθήcει, δηλονότι κρίνοντες καὶ μετροῦντες τὰς δυνάμεις τῶν φαρμάκων τῶν προcφερομένων παρὰ τὸ μᾶλλον ἢ ἧττον τῷ ποcῷ

7—10 εἴρηται—ἐcείcθηcαν *Gal. ib. (871, 5—8)*

φ(L^{a}P^{x}) χ(M^{o}) ψ(A D P) ω(A^{t}) 1 καὶ *pr.*] ἢ L^{a} νοτία D νοτιαία P 2 πάcχων *ante* καὶ ὥρᾳ *transp.* D P ω εἴπῃ χ D 3 *ante* τῆς: περὶ P^{x} χ ω ταύτην D P 4 τούτοις P^{x} A 5 παρακειμένοις P^{x} D P δὲ *om.* L^{a} 7 δὲ *post* πρόcθεν *transp.* L^{a} καὶ *post* πρόcθεν *transp.* A πρόcθεν *om.* D P *ante* διὰ: καὶ ω 8 τοῖς *om.* D P 9 *post* βοηθοῦνται: περὶ (*l.* πρὸς) τοὺς διὰ πληγῆς cειομένους ὀδόντας θεραπεία Γαληνοῦ P τοὺς δὲ ἀπὸ πληγῆς cειομένους ὀδόντας P^{x} A *post* δὲ: καὶ D P 10 τούτους A P ω τοῦ$^{\tau'}$ P^{x} 11 τρωγλυτικῆς P^{x} τρωγλοδυτικῆς ω 12 αὐτῶν P^{x} ...ῶ A ...οὺς D P τοῖς ... cειομένοις L^{a} 14 οὖν *om.* P^{x} D P ω τούτων ω 17 *ante* ποτὸν: καὶ ψ 18 μὴ *pr.* *om.* L^{a} βλάπτοιντο] πέπτοιντο ω 21 διδόναι *om.* D P 22 cυμπάcχειν P^{x} χ ...χει A ω οὖν *om.* ω 23 προcάξωμεν P^{x} χ 24 μυρcίνας P^{x} χ A ω 25 *ante* πλατάνου: καὶ ω φύλλα *alt.* *om.* ω 26 *ante* ξανθίου: καὶ ω ῥίζαν *alt.* *om.* ω τἄλλα P^{x} ω 27 ἑψῶντες, ἕψοντες, ἑψοῦντες *codd.* ἐν] cὺν ω προcάξωμεν P^{x} χ A προcτάξομεν ω 29 μετροῦντες] ζητοῦντες ω 30 τῶν φαρμάκων *om.* α, *exc.* L^{a} ἢ] καὶ φ

τοῦ πλεονάζοντος χυμοῦ. ἄριστον δὲ διάκλυσμα τούτοις οἶδα τὸ τῶν ἀλμάδων ἐλαιῶν ὕδωρ, εἰς ὃ ταριχεύονται. τήν τε γὰρ ἐν τῷ στόματι ὑγρασίαν ἡ τῆς ἅλμης ἐκβόσκεται δύναμις καὶ τὴν τῶν σωμάτων χάλασιν ἡ τῶν ἐλαιῶν στύψις περισφίγγουσα εἰς ῥώμην καὶ τόνον ἐπάγει. ἐνίοτε δὲ τῶν λευκῶν ἐλαιῶν τεθλασμένων καὶ ἐκπιεσθέντων τὸν χυλὸν μετὰ πηγάνου χυλοῦ καὶ μέλιτος μίξαντες παρατρίβομεν τοὺς ὀδόντας, ἔπειτα παραπάσσομεν νάρδῳ Ἰνδικῇ μετὰ στυπτηρίας στρογγύλης ἴσοις καὶ ἅλατος τὸ διπλοῦν. ἄριστα δὲ τούτοις καὶ τὰ στρυφνὰ διάχριστα ἥ τε διὰ μόρων στοματικὴ προσλαμβάνουσα σχιστῆς στυπτηρίας καὶ ἡ διὰ καρύων χυλοῦ σκευαζομένη ὁμοίως, ἢ σχιστὴ στυπτηρία καὶ μίσυ ἴσα κεδρίᾳ ἀναλαβὼν ὡς ἔχειν ὑγρᾶς κηρωτῆς πάχος, διάχριε τοὺς ὀδόντας καὶ ἔα ἀπορρεῖν φλέγμα, ἔπειτα διακλυζέσθωσαν διὰ τὴν δῆξιν γάλακτι ὀνείῳ θερμῷ ἢ οἴνῳ γλυκεῖ· ἢ στυπτηρίαν καὶ σμύρναν τρωγλοδυτικὴν καθ᾽ αὑτὴν ἐπίπασσε ἢ σὺν ὄξει ἢ μέλιτι διάχριε. ξηρὰ δὲ ἀεὶ τούτοις προσπασσόμενα ἁρμόδια· πρὸς γὰρ τὸ τοὺς κινουμένους ὀδόντας ῥωννύναι καὶ τὰ μυδῶντα οὖλα προσστέλλει κυπρία σποδὸς πεπλυμένη, ξηρὰ προσπάσσων διακλύζεσθαι δίδου ὕδατι, μυρσίνης ἢ βάτου ἤ τινος παραπλησίου ἀφηψημένου, ἔπειτα πάλιν τῇ σποδῷ παραπτόμενος ἡσυχάζειν κέλευε· ἢ ἰῷ σιδήρου ξηρῷ λείῳ παράπτου ἢ σώρει κεκαυμένῳ. Ἄλλο πρὸς σειομένους ὀδόντας καὶ οὖλα μυδῶντα. στυπτηρίας σχιστῆς κεκαυμένης ἐπ᾽ ὀστράκῳ < ζ̄ σμύρνης < δ̄ κηκίδων ῥόδων ἄνθους ἴρεως ἀνὰ < β̄ κρόκου < ᾱ, χρῶ. Ἄλλο. κέρατος ἐλαφείου κεκαυμένου < η̄ ῥοῦ μαγειρικοῦ < δ̄ ὀμφακίου ξηροῦ < β̄ βαλαυστίων < δ̄ πίτυος φλοιοῦ κρόκου σμύρνης ἀνὰ < ᾱ, χρῶ. Ἄλλο. στυπτηρίας στρογγύλης μεθ᾽ ἁλὸς διπλοῦ λεάνας περίπασσε τοῖς δι᾽ ὑγρότητα κινουμένοις ὀδοῦσιν. Ἄλλο. στυπτηρίας σχιστῆς σμύρνης ἀμύλου πομφόλυγος ἴσα λεῖα ξηρὰ ἐπιπασσόμενα πήσσει τοὺς κινουμένους ὀδόντας. Ἄλλο. ὀδόντας σειομένους στῆσαι. κεράτια ἀκάν-

23—25 κέρατος—χρῶ *Gal. ib. (ib. 867, 14—16)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 δὲ] οὖν ω διάκλυσμα *post* οἶδα *transp.* α, *exc.* L^a 2 τε *om.* D P 3 ἡ τῆς ἅλμης—χάλασιν *om.* P 5 *ante* τεθλασμένων: ἐλάβομεν P^x P ω ἐκπιεσθεισῶν D ...ασθεισῶν P 7 πάσσομεν P^x A παραπάσσωμεν χ περιπάσσομεν D P ω ναρδίνω L^a ἴσης ψ 8 ἁλὸς D P διαχρίσματα α, *exc.* L^a 9 στυπτηρία σχιστὴ P^x ...ρίαν ...στὴν χ σχιστὴν ...ρίαν A ω 10 σχιστῆς στυπτηρίας P ω ...ὴν ...ρίαν χ A στυπτηρία σχιστὴ D μίσυος P^x D P 13 γάλακτι—θερμῶ ἢ *om.* D P καὶ] ἢ D P σμύρναν] ζιγγίβερι L^a 14 τρωγλυτικὴν P^x A ω ...γλίτιν D P 15 τούτοις *post* προσπασσόμενα *transp.* α, *exc.* L^a *post* ἁρμόδια: ταῦτα D P 16 προστέλλειν P^x P 16. 17 κυπρία σποδῶ χ D P ω 17 πεπλυμένη] παράπτω P ξηρίον A (δὲ D) ὕδατι δίδου χ D P ὕδατι *om.* L^a 18 ἀφεψημένου L^a A 19 παρασπόμενος L^a 20 σῶρι κεκαυμένον L^a χ Ἄλλο—χρῶ *(25) om.* P 21 ὀστράκων χ D 22. 23 Ἄλλο. κέρατος—χρῶ *(25) om.* L^a 24 ᾱ] ζ̄ P^x A 25 χρῶ *om.* χ A D 25 Ἄλλο. στυπτηρίας—κιν. ὀδόντας *(28) post* κεκαυμένῳ *(20) transp.* D *om.* P 26 Ἄλλο—ἄπονος ἔσται *(444, 5) om.* A 27 σμύρνης *ante* στυπτηρίας *transp.* P^x χ ω *om.* L^a D πίση ἤτοι στεῖ P^x πίσσει χ ...η ω 28 Ἄλλο—ἄπονος ἔσται *(444, 5) om.* L^a D ὀδόντα χ ω σειομ.] κινουμένους P^x ...νούμενον χ ω

θης Αἰγυπτίας τρίψας μετὰ μέλιτος χρῶ. Ἄλλο. ἴαμα ἀπαράβατον σειομένων καὶ ἐπαλγῶν ὀδόντων. στυπτηρίας σχιστῆς 𐅻 β̄ στρουθίου ῥίζης ξηρᾶς λειοτάτης 𐅻 ᾱ, λεάνας ἅμα ἐπίπασσε τὸν ἀλγοῦντα ὀδόντα καὶ διακρατείτω ἄχρις οὗ πληθῇ τὸ στόμα σιέλου καὶ τότε ἀποχεέτω καὶ ἄπονος ἔσται. Πρὸς τοὺς σειουμένους ὀδόντας Γαληνοῦ, ᾧ ἐγὼ χρῶμαι, φησί. πολυτρίχου καρφῶν κεκαυμένων ℥ᵋ ᾱ [ἔχει δὲ τοῦτο ὄξος 𐅻 ῑ] στυπτηρίας σχιστῆς 𐅻 γ̄ στυπτηρίας στρογγύλης 𐅻 γ̄ ναρδοστάχυος 𐅻 β̄ φύλλου πεπέρεως ἀνὰ 𐅻 ᾱ πυρέθρου < ε̄, κόψας σείσας παράπτου τῶν οὔλων αὐτῶν ἄχρι τῶν ῥιζῶν τῶν ὀδόντων. ὠφέλιμος δὲ αὐτοῖς καὶ λιβανωτὸς διαμασσόμενος μετὰ πεπέρεως καὶ βάτος διαμασσομένη καὶ κικέας ῥίζα. ἀγαθὸν δὲ καὶ ἡ τοῦ Ἔσδρα ἀντίδοτος μετὰ ἑψήματος ἀναλυθεῖσα καὶ διακατεχομένη ἐν τῷ στόματι καὶ ἡ θηριακὴ Ἀνδρομάχου ὁμοίως καὶ πινομένη δὲ ἡ θηριακὴ Ἀνδρομάχου εἰς ἑσπέραν ὀνίνησι τούτους μεγάλως. φυσικὸν δέ, γράφει Ἀρχιγένης, ἀληθὲς πρὸς τοὺς κινουμένους ὀδόντας· ὀδόντα κυνὸς τεθνεῶτος ἐπ' ὀνόματος μάλιστα τοῦ πάσχοντος λαβὼν τίθει ἐπ' ἀνθράκων καὶ δεχέσθω τὸν ἀτμὸν ἐν τῷ στόματι ὁ πάσχων καὶ στερεωθήσονται οἱ ὀδόντες· τὸν δὲ καυθέντα ὀδόντα τρίψας μετ' ὄξους καὶ θερμάνας δίδου κατέχειν ἐν τῷ στόματι, ἐπὶ δὲ τῶν εὐαισθήτων μετ' οἴνου. Ἄλλο ὀδόντας κινουμένους ἵστησι καὶ κρατύνει. ἰοῦ σχιστῆς ἢ φορίμης μᾶλλον στυπτηρίας μίλτου ἴσα, χρῶ ξηρῷ ἢ μετὰ γλυκέος. Ἄλλο πρὸς σειομένους ὀδόντας. ῥόδων ἄνθους βαλαυστίων σμύρνης μαστίχης ἀνὰ 𐅻 ᾱ χαλκίτεως ὀπτῆς λιβάνου ἄρρενος πίτυος φλοιοῦ ἀνὰ < δ̄ ἁλῶν ἀμμωνιακῶν 𐅻 ᾱ· χρῶ ξηρῷ. Πρὸς σειομένους ὀδόντας καὶ τὰς περὶ τὸ στόμα ἑλκώσεις. ἰὸν σιδήρου ἢ αὐτὸν τὸν σίδηρον ἔχοντα πολὺν ἰὸν πυρώσας σβέσον ὄξει ἢ ὀξυκράτῳ ἢ οἴνῳ ἐπὶ τῶν εὐαισθήτων καὶ δίδου διακρατεῖν ἐν τῷ στόματι· κρατύνει γὰρ τοὺς ὀδόντας καὶ τὰ

5—9 Πρὸς τοὺς — ὀδόντων | 15—17 ὀδόντα — στόματι *Gal. ib. (ib. 886, 14—19, cf. 856, 12—14)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 2 ἀπαλγῶν Pˣω 4 ἀποχ.: ἀπόπτυε καὶ ἀποχεέτω ω 5 ἔστω Pˣχ Πρὸς (τοὺς *om.*) σειομένους ὀδόντας — μετ' οἴνου *(19) ante* Περὶ ῥινήσεως *(445, 5) transp.* ω τοὺς *om.* DP 6 καλλιτρίχου *Gal.* ἔχει — 𐅻 ῑ *delevi* 6. 7 τοῦτο ὄξος] ὄξους χ P τοῦτο ὁ ξέστης A ὁ ξ̄ τούτου ω ὁ ξ̄ καμπανὸν Pˣ 7 ῑ] β̄ ω στυπτηρίας *pr. om.* Lᵃ χ ω 𐅻 γ̄ *pr. om.* Pˣ D P ω στυπτηρίας *alt. post* στρογγύλης *transp.* χ *om.* Pˣ ψ ω *ante* στρογγύλης: καὶ χ *ante* 𐅻 *alt.*: ἀνὰ Pˣ D P ω 8 φύλλων ω *ante* πεπέρεως: 𐅻 ᾱ, *om.* ἀνὰ *post* χψω <] 𐅻 Pˣ D P ω 9 αὐτῶν *om.* α, *exc.* Lᵃ 10 διαμασώμενος DP 10—11 βάτου διαμασσομένου Pˣ β. μασσομ. ω 11 διαμασσώμενος Lᵃ κικαίσς (κικκ.) Pˣ D P 13 *post* θηριακὴ *pr.*: δὲ ω δὲ *om.* ω ἡ θηριακὴ *om* DP Ἀνδρομάχου *alt. om.* α, *exc.* Lᵃ 14 *ante* φυσικὸν: φυσικὸν Ἀρχιγένους Pˣ A δὲ *et* τοὺς *(15) om.* ω 15 ὀδόντα (...σ χ ...τος Pˣ) *post* ὀνόματι *(sic) transp.* DP 19 διακατέχειν D P ω 20 Ἄλλο — χρῶ ξηρῷ *(24) om.* Pˣ A D Ἄλλο — γλυκέος *(21)* + Πρὸς σειομένους — ἀνθηρὸν *(24—445, 1) ante* Ἄλλο πρὸς σειομ. ὀδ. *(5; v. adn. ad hanc lin.)* ω ἰοῦ] ᾠοῦ ω ἰοῦ σιδήρου στυπτηρίας μᾶλλον σχιστῆς μίλτου ἴσα D 21 ἢ *om.* P ω Ἄλλο — χρῶ ξηρῷ *(24) om.* Lᵃ 24 *ante* πρὸς: ἄλλο D P ω 25 αὐτὸν τὸν *om.* ω 25. 26 ἰὸν πολὺν ω 26 καὶ (*om.* ω) σβέσας D P ω *post* σβέσον: εἰς Pˣ A καὶ *om.* DP 27 ἐν *om.* DP τὰ *om.* Pˣ A

ἕλκη ἰᾶται. ποιεῖ καλῶς καὶ τὸ ἀνθηρὸν ξηρίον. Πρὸς κινουμένους ὀδόντας καὶ τὰ αἱμασσόμενα οὖλα· ἵστηςι καὶ τὸ ἐπιφερόμενον ῥεῦμα καὶ λευκαίνει τοὺς ὀδόντας. σχιστῆς Ϝ δ̄ μαστίχης Ϝ ᾱ λιβάνου φύλλου ἀνὰ < δ̄.

Περὶ ῥινήσεως ὀδόντων. ἐπειδὴ δὲ προπετεστέρους τῶν ἄλλων λβ
ἑώρων τοὺς σειομένους ὀδόντας καὶ κινουμένους, καὶ μάλιστ᾽ ὅταν ἐκ πληγῆς τοῦτο πάθωσιν, ἔδοξέ μοι ῥινᾶν αὐτῶν τοσοῦτον ὅσον ὑπὲρ τοὺς ἄλλους ἐστίν, ὅπως μὴ προσκρούωσι τοῖς ἀντιτεταγμένοις ἐν τῷ διαλέγεσθαι καὶ μασᾶσθαι. εὑρὼν δὲ καὶ τὴν πεῖράν μοι μαρτυρήσασαν σιδηροῦν ἐποίησα ῥινάριον, ὡς ἐνεργεῖν ταχέως. αἱ γὰρ πολλαὶ παραγωγαὶ σείουσι τὸν ὀδόντα δεόμενον ἀκινησίας, εἰ μέλλοι παγήσεσθαι. ἔστω δὲ ἡ ἀρχὴ τοῦ ῥιναρίου ἀμβλεῖα καὶ πυρηνοειδὴς καὶ λειοτάτη· ποτὲ μὲν οὖν ἐξοχαί τινες ἀνώμαλοι τῶν ὀδόντων φαίνονται κατά τινα μέρη ῥινήσεως δεόμεναι, ἔσθ᾽ ὅτε δὲ ὁμαλὸν ἔχουσαι τὸ πέρας ὁμαλῆς καὶ τῆς ῥινήσεως δέονται. χρὴ δὲ περιτιθέντα τοῖς οὔλοις ἄχρι τῆς ῥίζης τῶν ὀδόντων ὀθόνην μαλακήν, εἶτα περιλαμβάνοντα πρᾴως τοῖς δακτύλοις τῆς ἀριστερᾶς χειρός, ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως, ὅπως μὴ σείοιτο ῥινούμενος, οὕτως ἐπιχειρεῖν τῇ χειρουργίᾳ. ἐὰν δὲ ἀλγήματος αἰσθάνηται ὁ πάσχων ἐν τῷ παράγεσθαι τὴν ῥίνην ἢ ἐν τῷ διακρατεῖσθαι σφοδρότερον τοῖς δακτύλοις ὀδόντας, παύεσθαι μὲν ἐν τῷ παραυτίκα, προσενεγκόντα δὲ ἐν τῷ μεταξὺ τῶν προρρηθέντων ⟨τι⟩ πραϋντικῶν διακλυσμάτων, αὖθις ἐπιχειρεῖν, ὡς εἴρηται, πάλιν καὶ κατὰ βραχὺ ῥινᾶν καὶ τοῦτο ποιεῖν οὐ τῇ πρώτῃ μόνον ἡμέρᾳ δίς που καὶ τρίς, ἀλλὰ καὶ τῇ δευτέρᾳ προστάξαντα τῷ πάσχοντι μήτε φθέγγεσθαι σφοδρότερον μήτε σκληρῶδες μηδὲν ἔδεσμα προσφέρεσθαι, χρῆσθαι δὲ ταῖς ῥοφηματώδεσι τροφαῖς ἢ ἄρτῳ διαβρόχῳ ἢ τοῖς οὕτω μαλακοῖς. εἰ δέ τισι χωρὶς τοῦ σείεσθαι αὔξησίν τινα λαμβάνοιεν οἱ ὀδόντες πλεῖον τοῦ δέοντος καὶ τούτους ῥινᾶν ὁμοίως καὶ διακλύσματα πυκνωτικὰ προσάγειν.

5—27 ἐπειδὴ — μαλακοῖς *Gal. ib. (ib. 871, 12—873, 2)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^c)   1 ποιεῖ — ξηρίον *om.* α, *exc.* ω   *ante* πρὸς: ἄλλο D P   2 *post* οὖλα: ἰᾶται P^x A ω   τοῦτο ἵστηςι (στήσει ω) — τοὺς ὀδόντας λευκαίνει (λευκ. τ. ὀδόντ. ω) *post* μαστίχης Ϝ ᾱ *(v. adn. ad l. 3) transp.* D P ω   καὶ *alt. om.* D P   3 *ante* σχιστῆς: στυπτηρίας χ D P   Ϝ δ̄ *om.* χ D P   *post* δ̄: ἥμισυ P^x A   μαστίχης — ἀνὰ < (Ϝ P^x) δ̄] μαστίχης — λιβάνου < δ̄ φύλλου < δ̄ χ A λιβάνου φύλλων ἀνὰ Ϝ δ̄ μαστίχης Ϝ ᾱ D P ω   5 *post* ὀδόντων: Γαληνοῦ P^x A   7 αὐτὸν P^x A ω   ...οὺς D P   8 προσκρούσουσιν P^x κρούσωσι P   10 αἱ γὰρ — σείουσι *om.* ω   11 μέλλει P^x D P ω   12 πυρηνοειδής, πυριν. *codd.*   13 φαίνονται τῶν ὀδόντων D P *(Gal.)*   14 ἔσθ᾽ ὅτε — δέονται *(15) om.* ω   ἔχων (...ον P^x A) τὸ L^a χ ἔχοντες D P ω *correxi ex Gal.*   15 δεῖται φ χ A   περιτεθέντα L^a ...τηθέντα A τιθέντας D P ω   16 *post* οὔλοις: ὅλοις P^x χ A ω   17 ...λαμβάνοντας P   18 ῥινόμενος P^x χ A   ...ώμενος D P   ῥινιζόμενος ω   19 πάσχων] κάμνων χ D P   παραγενέσθαι P^x A ω   ...γίνεσθαι P   20 ῥῖνιν P^x P ω   τοὺς ὀδόντας τοῖς δακτύλοις D   21 προσενεγκόντας P^x D P   22 τι *addidi ex Gal.*   23 καὶ *alt.*] ἢ ω   24 προστάξοντα χ   ...τες D   ...τας P   25 μήτε *pr.*] μὴ L^a σκληρὸν α, *exc.* L^a 27 ἢ τοῖς — μαλακοῖς *om.* α, *exc.* L^a

Θεραπεία τῶν ἐπὶ ξηρότητι ὀδυνωμένων ὀδόντων. τέταρτος ἄρρωστος τῷ λόγῳ ὑποκείσθω ὑπὸ ξηρᾶς δυσκρασίας ἐνοχλούμενος. γεννητικὴ δὲ τῆς τοιαύτης δυσκρασίας ἐστὶν ἡ φθινοπωρινὴ κατάστασις, μᾶλλον καὶ βίος ταλαίπωρος ἐπὶ διαίτῃ λεπτῇ χωρίον τε ξηρὸν καὶ κατάστασις τοῦ περιέχοντος ἡμᾶς ἀέρος τοιαύτη πρὸς τούτοις δὲ καὶ ἡ τοῦ παντὸς σώματος κρᾶσις ξηρὰ καὶ μάλιστα τῆς κεφαλῆς τοῖς τῇ τοιαύτῃ δυσκρασίᾳ ἐνεχομένοις. δίψος ⟨δὲ⟩ συνεδρεύει, εἰ μὴ συμπάρεστι ψῦξις τῇ ξηρότητι καὶ ἥκιστα σιαλοχοοῦσιν οὗτοι. διὰ δὲ τὴν ξηρότητα καὶ ἄλγημα δυσφορώτατον αὐτοῖς συνεδρεύει, πολεμιωτάτη τοῖς τοιούτοις ἡ τῶν αὐστηρῶν καὶ στρυφνῶν ἐστι χρῆσις. πολλάκις οὖν ἡ διὰ μόρων αὐτοῖς σφοδρὰν ὀδύνην ἐπήγαγε. πάντα δὲ χρὴ ἄστυφα καὶ μετρίως ὑγραίνοντα μηχανᾶσθαι διακλύσματα· ὕδωρ χλιαρὸν καθ' αὑτὸ ἢ πιτύρων ἀφέψημα ἢ γλυκυρίζης ἢ πτισσάνης χυλὸν ἢ ἄμυλον μετὰ ἑψήματος· θερμῷ κεκραμένον γάλα εὔκρατον καὶ μάλιστα ὄνειον, μαλάχης ἀφέψημα καὶ τὰ ἄλλα ὅσα τούτοις ἐστὶ παραπλήσια· τροφὴ δὲ τούτοις ἐπιτήδειος χυλὸς πτισσάνης ψίχες πλυταὶ κολοκύνθη μαλάχη ὠὰ ῥοφητὰ καὶ ὅσα συντελεῖ τοῖς ὑγραίνεσθαι δεομένοις.

λδ Διάγνωσις καὶ θεραπεία τῶν συνθέτων δυσκρασιῶν. αὕτη μὲν ἡ τῶν ἁπλῶν δυσκρασιῶν ἐπιμέλεια· εὐσύνοπτος δὲ καὶ ἡ τῶν συνθέτων μίξει μὲν τῶν εἰρημένων γνωριζομένη, κράσει δὲ τῶν δεδειγμένων βοηθημάτων ἐπιτελουμένη. διὰ δὲ τοὺς ἀρτιμαθεῖς ἢ ἀπείρους φέρε διὰ βραχέος συνθέτου μιᾶς δυσκρασίας μνημονεύσωμεν, ὑπόδειγμα σαφὲς τῶν λοιπῶν ἐσόμενον.

Θεραπεία ὀδόντων ὀδυνωμένων διὰ θερμότητος καὶ ὑγρότητος. ἔστω εἶναι τὸ χωρίον θερμὸν καὶ ὑγρὸν τὴν δὲ ὥραν τοῦ ἔτους τὸ ἔαρ καὶ τὴν κατάστασιν τοῦ ἀέρος ὑγρὰν καὶ θερμήν, οἷά ἐστιν ἡ νότιος· αὐτὸν δὲ τὸν ἄρρωστον κεφαλὴν ἔχοντα ῥᾳδίως πληρουμένην τοιαύτης ὑγρότητος καὶ κόμην πολλὴν καὶ ὑπέρυθρον ἔχειν καὶ τὴν τοῦ παντὸς σώματος κρᾶσιν ὑγρὰν καὶ θερμὴν καὶ διαίτῃ τοιαύτῃ χρῆσθαι· τίς τῶν εὐδοκίμων ἰατρῶν οὐκ ἂν θερμὸν καὶ ὑγρὸν φαντασθείη τὸ νόσημα; θεραπεύειν δὲ τοὺς τοιούτους διττῶς· εἰ μὲν γὰρ ἡ τοῦ κατὰ φύσιν ἐκτροπὴ μόνον εἴη τῶν ποιοτήτων, ἔσται σοι σκοπὸς

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 *post* ὀδόντων: Ἀδαμαντίου σοφιστοῦ (σοφ. *om.* ω) A ω 2 ὑποκείσθω *om.* ω 3 γεννητικὰ P^x χ A ω ...ὸν D P ταῖς τοιαύταις δυσκρασίαις L^a δυσκρασίας *om.* ω 4 μάλιστα α, *exc.* L^a τε *om.* D P 6 *post* μάλιστα: τοῖς χ ω τὴν κεφαλὴν χ ω τοῖς τῇ] τῆς τῇ L^a τῆς χ A *om.* ω 7 ἐχομένοις χ ἀνεχ. P^x ἐνοχλουμένοις P ω δὲ *addidi* 8 ψῦξις] στύψις D P καὶ ἥκιστα—ξηρότητα *om.* D 9 πολεμιώτατον D P 13 *post* ἀφέψημα: τε ω 14 θερμῷ] χυλοῦ ω 17 μαλάχαι ω 18 δυναμένοις μᾶλλον δὲ δεομένοις P^x 19 Διάγνωσις—δυσκρασιῶν *om.* ω *post* δυσκρασιῶν: Γαληνοῦ P^x 20 καὶ *om.* P 21 δεδογμένων L^a 22 ἀρτιφανεῖς L^a ἢ] καὶ ω 23 φέρεται ω βραχέου χ ...έων P^x ψ ω 24 ἐσομένης P^x ψ ...ην χ ω ....ων L^a *corr. Deichgräber* 25 θερμότητα ... ὑγρότητα χ ψ ω 26 *post* ἔστω: οὖν D P εἶναι *om.* ω τὸ *alt. om.* L^a 27 θερμὴν καὶ ὑγρὰν ω 29 ἔχοντα ω 31 ὑγρὸν καὶ θερμὸν D P 32 θεραπεύσεις α *exc.* L^a τοῖς τοιούτοις P^x τὸν τοιοῦτον ω διссῶς D P 33 ἡ *om.* D P μόνων χ D P

τῆς ἐπιμελείας ἡ ἀλλοίωσις· εἰ δὲ καὶ πλῆθος σὺν ταῖς ποιότησι παρέσται, εὔδηλον ὡς πρῶτον μὲν δοκεῖ κενῶσαι, ἔπειτα κατακεράσαι. τοῦτο μὲν οὖν ἐπὶ πάσης δυσκρασίας μεμνῆσθαι χρή. τὸν δὲ θερμὸν καὶ ὑγρὸν ἔχοντα νόσημα, περὶ οὗ νῦν πρόκειται λέγειν, ὡς ὑπὸ πλήθους αἵματος ἐνοχλούμενον κενώσεις διὰ φλεβοτομίας· ὑγρὸν γὰρ καὶ θερμὸν τὸ αἷμα. τέμνειν δὲ δεῖ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἄνω καλουμένην ὠμιαίαν· εἰ δὲ μή, τὴν μέσην· εἰ δέ τε ἕτερόν τι κωλύει τὴν φλεβοτομίαν, διαίτῃ ὀλίγῃ καὶ λεπτῇ τὸν περιττὸν τῆς χρείας κλέπτε χυμόν. ἀλλὰ ταῦτα μὲν ὡσαύτως κἀπὶ τῶν ἄλλων ἐργάσῃ συνθέτων δυσκρασιῶν, τὰς μὲν κατὰ ποιότητα μόνον συνισταμένας ἀλλοιῶν καὶ μεταβάλλων ταῖς ἐναντίαις ποιότησιν, [εἰ μὲν χυλώδης ἦν ὁ περιττεύων χυμὸς τοῖς διὰ σκαμμωνίας καὶ κολοκυνθίδος κενώσεις αὐτόν, εἰ δὲ μελαγχολικὸς εἴη τῇ σκαμμωνίᾳ σὺν τῷ ἐπιθύμῳ χρῆσθαι, ἀπέχειν τε αὐτοῖς τά τε παχύνοντα πόματα καὶ σιτία· εἰ δὲ φλέγμα εἴη, πρόσθες τῇ κολοκυνθίδι μᾶλλον [[ὑπὲρ]] τὴν σκαμμωνίαν καὶ δίδου αὐτοῖς μετά τινος ὀξυπορίου ἢ διὰ καλαμίνθης ἢ τοῦ διοσπολίτου ἢ μετὰ κυδωνάτου]· τὰς δὲ μετά τινος οὐσίας χυμῶν κενῶν διὰ τῶν καταλλήλων καθαρτηρίων, εἰ μὴ πάλιν κἀπὶ τούτων ἕτερόν τι κωλύοι τὴν κένωσιν. καὶ τὰ λοιπὰ δὲ βοηθήματα, οἷον διακλύσματα καὶ διαιτήματα, ῥᾷον ἀπὸ τῶν προειρημένων εὑρεῖν. ἔχων γὰρ ἐπὶ τῶν ἁπλῶν νοσημάτων τοὺς τύπους τῶν ἐγχειρήσεων, ἑτοίμως δυνήσῃ κἀπὶ τῶν συνθέτων ἐξευρίσκειν κατάλληλα. διαγιγνώσκεται δὲ ὁ ἐνοχλῶν χυμὸς σὺν τοῖς λοιποῖς περὶ τὸ σῶμα σημείοις καὶ ἐκ τῶν ἑπομένων ἀλγημάτων. τῇ μὲν γὰρ ξανθῇ χολῇ τὸ νυγματῶδες ἄλγημα παρέπεται, τῷ δὲ φλέγματι τὸ μετὰ ψύξεως διατείνεσθαι τοὺς τόπους· καὶ τῷ μὲν τρυγώδει τῷ μελαγχολικῷ [τῆς τρυγὸς καὶ ἰλύος τοῦ αἵματος] τὸ οἷον θλάσεως τῶν ἐν βάθει σωμάτων συναίσθησιν ἔχειν, τῷ δὲ πλήθει τὸ βαρὺ ἀλλὰ καὶ ἡ γεῦσις τοῦ ἐπιρρέοντος χυμοῦ ἐμφαίνει τῷ κάμνοντι τὴν ἰδέαν αὐτοῦ· ἢ γὰρ πικρότητος αὐτῷ αἴσθησις γίγνεται ἢ ἁλυκότητος ἢ ὀξύτητος.

Θεραπεία βεβρωμένων ὀδόντων Γαληνοῦ. τὰ βρώματα καὶ λε

31—*p. 448, 8* τὰ βρώματα—ἐπιμελουμένους *Gal. ib. (ib. 852, 5—7, 9—15)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 2 πάρεστιν α, *exc.* L^a δοκεῖ] δεῖ α, *exc.* L^a 3 τούτου P^x χ A ω τούτῳ D P οὖν *om.* L^a μεμνῆσθαι] χρῆσθαι D P χρή] δέον P^x δεῖ ψ *om.* χ 4 λέγειν] διελθεῖν ω 5 κενῶσαι P^x A κένωσιν ω *post* φλεβοτομίας: ἐπειδή ἐστιν ἡ φυσικὴ οὐσία τοῦ αἵματος θερμὴ καὶ ὑγρά, φλέβα δὲ τέμνειν χρὴ P^x ὑγρὸν—δεῖ *om.* P^x 7 τι ἕτερον α, *exc.* L^a *ante* κωλύει: μεῖζον P^x A P ω μείζω χ 9—10 συνθέτων ἐργάσῃ ω 11 εἰ μὲν—κυδωνάτου *(17) om.* χ D P ω *delevi* χυλῶδες L^a 11—13 ἦν ὁ περιττεύων—τῇ σκαμμωνίᾳ σὺν *om.* L^a 13 *ante* τῷ ἐπιθύμῳ: εἴη L^a 14 τε: δὲ P^x A αὐτοῦ τῶν παχυνόντων πομάτων καὶ σιτίων P^x A 15 ὑπὲρ *seclusi* εὐσκαμωνίαν L^a καὶ δίδου] διδόναι L^a 16 αὐτοῖς] καὶ αὐτὴν P^x A τὴν διοσπολίτην L^a 17 τινας φ 18 καὶ ἐπὶ ω καὶ D P τι *om.* ω κωλύειν P^x ...ει χ D P ω 19 καὶ διαιτήματα *om.* D 20 *post* ἐπὶ: τούτων L^a 21 τῆς ἐγχειρήσεως P^x χ A ω 22 εὑρεῖν ω 24 τὸ *om.* ω 26 τὸ ... τρυγῶδες ω τῷ μελαγχολικῷ *om.* χ D P ω τῆς τρυγὸς—αἵματος *om.* χ D P ω *delevi* ἰλύης L^a ἰλίος A 27 τὸ] τῶ χ *om.* P^x A 28 τὸ ...πλῆθος L^a

τρήματα τῶν ὀδόντων ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων τε καὶ διαβρωτικῶν ἀποτελεῖται, καθάπερ τὰ ἐπὶ τοῦ δέρματος ἕλκη, χωρὶς τῆς ἔξωθεν αἰτίας. δῆλον οὖν ὅτι καὶ ἡ ἴασις ἔσται τῶν διαβιβρωσκομένων ὀδόντων ἀναξηραινομένης τῆς ἐπιρρεούσης κακοχυμίας. εἰ μὲν ὀλίγη τις εἴη, τοῖς τοπικοῖς βοηθήμασι χρηστέον διὰ τῶν ξηραινόντων φαρμάκων, εἰ δὲ πλεῖον εἴη τὸ ἐπιρρέον, καὶ ὅλης τῆς κεφαλῆς πρόνοιαν ποιουμένους, κἂν ἡ κεφαλή ποτε πάσχοι διὰ τὸ σύμπαν σῶμα καὶ τοῦ παντὸς σώματος ἐπιμελουμένους. ὁ μὲν οὖν Ἀρχιγένης πρὸς τούτους τοιαῦτα βοηθήματα ἔγραψε· σῶρι ῥητίνῃ ἢ τερεβινθίνῃ ἀναλαβὼν περίπλασσε τὸν ὀδόντα καὶ τῷ βρώματι ἐντίθει ἢ ἀνιεὶς αὐτὸ νάρδῳ ἢ ῥοδίνῳ, μάλιστα δὲ ἀμυγδαλίνῳ καὶ εἰς τὸ οὖς δὲ τὸ αὐτὸ ποίει ἢ κόμην γλήχωνος τρίψας ἐντίθει. ποιεῖ δὲ καὶ τοῦτο ἄκρως· θεῖον ἄπυρον λυκίῳ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα καὶ προπερικαθάρας τὸν ὀδόντα περίπλασσε ἢ κηκῖδα λείαν τῷ λυκίῳ ἢ τερεβινθίνῃ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα καὶ προπερικαθάρας περὶ κύκλον περίπλασσε. ἐπὶ δὲ τῶν μεγίστων ὀδονταλγιῶν ἄκρως ποιεῖ τοῦτο· ὄφεως γῆρας καύσας καὶ λεάνας μετ' ἐλαίου, πάχος ποιῶν μέλιτος, χρῶ καθὰ προείρηται. ἢ προσπίεζε τῷ γήρᾳ τοὺς ὀδόντας μὴ κεκαυμένῳ καὶ ἐκπίπτουσιν ἢ μελάνθιον φρύξας λεάνας μετ' ἐλαίου χρῶ ὁμοίως· ἢ τὸ μελάνθιον φρύξας καὶ μετ' ὄξους δριμέος λεάνας ἐντίθει τῷ βρώματι καὶ περίπλασσε· καὶ οὐκέτι βρωθήσεται ἀλλὰ μένει οἷον ἦν. Ἄλλο. μελανθίου μέρος $\bar{\alpha}$ σκορόδου τὸ $\bar{c}$ καὶ ἁλὸς ὀλίγον συλλεάνας περίπλασσε· ἀπόνους ποιεῖ. Ἄλλο. ἐλλέβορον μέλαν λεῖον σὺν μέλιτι ἑφθῷ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα καὶ προπερικαθάρας περίπλασσε τὸν ὀδόντα. Ἄλλο. λιβάνου μέρος $\bar{\alpha}$ χαλκάνθου μέρη $\bar{\beta}$ λεάνας σὺν γλυκεῖ καὶ ποιήσας

11. 12 κόμην γλήχωνος—ἐντίθει | 14—19 κηκῖδα—ὁμοίως *Gal. ib. (ib. 860, 3, 1–2, 4–8, 10–11)* 14—15 κηκῖδα—περίπλασσε *cf. Or.° IV 58 (459, 13–14)* 19—21 ἢ τὸ μελάνθιον—οἷον ἦν *Gal. de rem. parab. I 5 (XIV, 358, 10—12)* 21—23 μελανθίου—ποιεῖ | *p. 449, 6–9* Ἀνδρομάχου—βρῶμα | *p. 449, 9–12* τούτῳ—ὀδόντα *Gal. de comp. med s. loc. ib. (ib. 861, 1—3, 877, 4—7, 868, 17—869, 3)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 *ante* τρήματα: τὰ P^x A τε *om.* ψ 3 οὖν] δὲ L^a 5 χρηστέον *om.* P^x χ A ω *(Gal.)* 6 πλέον P^x A ω ποιουμένη L^a 7 ποτε] τότε L^a πάσχει P^x χ P ω ...η A ...ει *corr.* ...η *ut vid.* D τοῦ] τοῦτο L^a 8 ἐπιμελούμενος P^x P ω ἐπὶ τούτοις τοῖς πάθεσι τοιαῦτα βοηθήματα ὁ Ἀρχιγένης ἔγραψεν, οἷον P^x 9 βοηθήματα (πρὸς τούτοις χ) τοιαῦτα χ ψ ῥοδίνῃ L^a 9—10 ἐντίθει εἰς τὸ βρῶμα καὶ περίπλασσε τὸν ὀδόντα D 10—12 ἢ ἀνιεὶς—τρίψας ἐντίθει *om.* α, *exc.* L^a 13 *ante* τὸν: κατὰ κύκλον χ P *id. post* ὀδόντα ω 14 ἢ κηκῖδα—βρῶμα *(15) post* εἰς τὸ βρῶμα *(13) transp.* χ P *om.* A ω *ante* τερεβινθίνῃ: τῇ χ A P ω 15 καὶ προπερικ. περὶ κύκλον (κατὰ κύκλω [...ον χ] τὸν ὀδόντα P^x χ) περίπλασσε *om.* ψ ω *ante* ἐπὶ: περὶ μεγίστης ὀδονταλγίας P^x A 17 μέλιτος ποιῶν ω 18 τὸ γῆρας τοῖς ὀδοῦσι ω 19 *ante* λεάνας: καὶ P^x D P ω 20 *post* φρύξας: μετ' ἐλαίου χρῶ A καὶ *pr.*] ἢ ω καὶ περίπλασσε—ἦν *om.* ω 21 οἷος φ *post* Ἄλλο: χολὴν ἄρκου ἐντίθει καὶ ἄπονον ποιήσεις. ἄλλο P^x A 22 σκόρδου P^x χ A P 23 *post* ποιεῖ: χρῶ ἐπὶ βεβρωμένων ὀδόντων καὶ τῷ πρὸς σειομένους ὀδόντας γραφέντι διὰ χυλῶν (...οῦ D) βρυωνίας καὶ μορέας φλοιοῦ διακλύσματι ω *eadem post* ὁμοίως *(p. 450, 13) transp.* D Ἄλλο. ἐλλέβορον—τὸν ὀδόντα *(24) om.* L^a λεῖον *om.* χ D P 25 χαλκάνθου] χαλβάνης P^x μετὰ γλυκέος ω ποιήσας *post* πάχος *transp.* ω

κηρωτῆϲ πάχοϲ χρῶ, ὡϲ προείρηται, καὶ τάχιον παύϲειϲ τῆϲ ὀδύνηϲ. Ἄλλο. χαλβάνηϲ μέρη β̄ λιβάνου μέροϲ ᾱ λεάναϲ μετὰ γλυκέοϲ καὶ κηρωτῆϲ πάχοϲ ποιήϲαϲ χρῶ, ὡϲ προείρηται, καὶ αὐθημερὸν παύϲεται. Ἄλλο. ϲτυπτηρίαν ϲχιϲτὴν ἐντίθει εἰϲ τὸ βρῶμα καὶ ἄπονον ποιήϲειϲ. Ἄλλο. χολὴν ἄρκου ἐντίθει καὶ ἰάϲῃ αὐτό. Ἄλλο. ῥοδοδάφνηϲ κλάδον καύϲαϲ καὶ λεάναϲ ἐπίπλαϲϲε καὶ ἰάϲῃ. Ἄλλο Ἀνδρομάχου· μυλικὴ Ἀνδρομάχου παύουϲα αὔθωρὸν τὰϲ ὀδύναϲ. πεπέρεωϲ πυρέθρου τιθυμάλλου ὀποῦ χαλβάνηϲ ἴϲα λεάναϲ πάντα ἀναλάμβανε τῇ χαλβάνῃ καὶ ἐντίθει εἰϲ τὸ βρῶμα. Ἄλλο Ἀϲκληπιάδου. τούτῳ, φηϲί, χρηϲάμενοϲ διετήρηϲα βεβρωμένουϲ ὀδόνταϲ ἀνωδύνουϲ. ζιγγίβερι ἕψε μετ' ὀξυμέλιτοϲ καὶ τρίψαϲ ἐπιμελῶϲ, ἐντίθει εἰϲ τὸ βρῶμα καὶ περίπλαϲϲε ἔξωθεν τὸν ὀδόντα. καλῶϲ δὲ ποιεῖ καὶ ἡ διὰ δύο πεπέρεων ἀντίδοτοϲ ἐντιθεμένη τῷ βρώματι καὶ ἐλαίῳ ἀμυγδαλίνῳ ἢ ναρδίνῳ ἢ ῥοδίνῳ ἀνιεμένη καὶ ἐγχεομένη χλιαρὰ εἰϲ τὸ παρακείμενον οὖϲ τῷ ὀδόντι. ἐγὼ δὲ τούτῳ χρῶμαι πρὸϲ βρώματα ὀδόντων μετ' ὀδύνηϲ· τῆϲ Ἔϲδρα ἀντιδότου ἀναλύων μεθ' ἑψήματοϲ καὶ θερμαίνων δίδωμι διακρατεῖν τῷ ϲτόματι καὶ θαυμαϲίωϲ τὰϲ ὀδύναϲ παρηγορεῖ. ταύτηϲ δὲ μὴ παρούϲηϲ τῇ θηριακῇ Ἀνδρομάχου χρῶμαι ὁμοίωϲ. πυρία δὲ ἁρμόζει κατὰ τοῦ ἀλγοῦντοϲ ὀδόντοϲ τοιαύτη· ὀριγάνου ξηροῦ κλωνίον εἰϲ ζεϲτὸν ἔλαιον βάπτων ἐπέρειδε τῷ πονοῦντι ὀδόντι, ἢ κίκεωϲ χαυλῷ ὁμοίωϲ χρῶ. ἢ ἀγρίαν ϲταφίδα γραφείῳ πήξαϲ ἢ πύρεθρον, χρῶ ὁμοίωϲ· ἢ κηρὸν ἐπιθεὶϲ τῷ ἀλγοῦντι ὀδόντι ἄνωθεν, ἐπέρειδε πυρῆνα μήληϲ πυρώϲαϲ καὶ ϲυνεχῶϲ τοῦτο ποίει. εἶδοϲ δὲ πυρίαϲ ἐϲτὶ καὶ τοῦτο· εὖ μάλα περικαθάραϲ τὸν ὀδόντα ὑποθυμία ὑοϲκυάμου ϲπέρματι, διὰ χωνείου δὲ τὸν ἀναφερόμενον ἀτμὸν δεχέϲθω ὁ πάϲχων εἰϲ τὸν ἀλγοῦντα ὀδόντα. θαυμαϲτῶϲ δὲ παρηγορεῖ, καθὼϲ προείρηται, καὶ τὰ βρώματα τῶν ὀδόντων κυνὸϲ νεκροῦ ὀδούϲ, ὁμοίωϲ ὑποθυμιώμενοϲ καὶ μετὰ τὸ καυθῆναι λειούμενοϲ ϲὺν ὄξει θερμῷ καὶ ἐν τῷ ϲτόματι διακρατούμενοϲ. ἱκανῶϲ δὲ ὠφελεῖ καὶ γῆϲ ἔντερα ὑπο-

18—23 πυρία—ποίει *Gal. ib. (ib. 863, 2—6)* 23—26 εἶδοϲ—ὀδόντα *Gal. ib. (ib. 863, 12—15)* 26 θαυμαϲτῶϲ—παρηγορεῖ | 27—29 κυνὸϲ—διακρατούμενοϲ *Gal. ib. (ib. 856, 12—14)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 τάχιον *om.* ω ἀναπαύϲειϲ ω τὴν ὀδύνην α, *exc.* L^a τῆϲ ὀδύνηϲ—παύϲεται *(3) om.* ω 2 Ἄλλο. χαλβάνηϲ—αὐτὸ *(5) om.* L^a β̄] ϛ̄ χ P 3 αὐθίωρον P^x αὔθωρὸν χ A D 4 ποιεῖϲ A ω 5 Ἄλλοι χολὴν—αὐτὸ *om.* P^x A *(sed confer p. 448, 21 app. crit.)* χ 6 ἐπίπαϲϲε P^x χ Ἄλλο Ἀνδρομάχου—βρῶμα *(9) om.* L^a Ἄλλο Ἀνδρομ. *om.* χ A ω Ἀνδρεμ. *om.* P^x ὁμυλικὴ P^x μηληκὴ A μηλίκη χ P ἰυλικὴ ω 7 παύουϲα *ante* τὰϲ *transp.* P^x A ω αὐθημερὸν A ω αὐθίορον P^x 8 ὀπτοῦ ω 9 *post* βρῶμα καὶ ἐπίθεϲ κατὰ τὸν ἀλγοῦντα ὀδόντα P^x 12 *post* ἀντίδοτοϲ: ἔϲτι δὲ ἡ ϲκευαϲία αὐτῆϲ αὕτη· καρδαμώμου καϲτορίου ὀπίου ἀνὰ < ϒ̄ κτλ. P^x 15 *ante* ἐγὼ: ἄλλο ω 17 θαυμάϲειϲ ὡϲ ω 19 κατὰ τοῦ ὀδόντοϲ τοῦ ἀλγοῦντοϲ ἥδε ω 20 ἐμβάπτων ω ἐπαίρει δὲ P^x ω ἢ κίκεωϲ—χρῶ *om.* A 21 ὁμοίωϲ *om.* ω 22 ἢ κηρὸν—ποίει *om.* L^a κηρῶ P^x A ω ἀλγοῦντι] πονοῦντι ω ἐπαίρει P^x ω 25 ϲπέρμα χ D P ἀτμὸν] καπνὸν P^x A D *post* ἀτμὸν: ἢ καπνὸν L^a 26 ὡϲ ω

θυμιώμενα. καὶ εἰς τὸ παρακείμενον δὲ τῷ ὀδόντι οὖς ἐγχεόμενον ἔλαιον χλιαρόν, ἐν ᾧ ἥψηται γῆς ἔντερα, παρηγορεῖ ἢ σίλφης κατοικιδίου τῆς βδεούσης τὸ στέαρ σὺν ῥοδίνῳ τήξας, ἔνσταζε εἰς τὸ οὖς ἢ κισσοῦ λευκοῦ κορύμβους ε̄ μετὰ ῥοδίνου τρίψας καὶ ἐν κελύφει ῥόας θερμάνας ἔνσταζε εἰς τὸ οὖς συνεχῶς. καὶ ἀσφοδέλου ῥίζης χυλὸς καὶ καρδάμου ὠφελεῖ ἐνσταζόμενος ὁμοίως. εἰς δὲ τὸν πλησίον τοῦ ἀλγοῦντος ὀδόντος μυξωτῆρα ἔνσταζε ἀναγαλλίδος τῆς κυανῆς χυλὸν ἢ σεύτλου ῥίζης χυλὸν ἢ χάλκανθον μετὰ γάλακτος. Ἄλλο Ἀπολλωνίου. κυμίνου ὅσον τοῖς τρισὶ δακτύλοις καὶ σμύρνης ὅσον κύαμον καὶ σικύου ἀγρίου τὸ ἐντὸς διπλάσιον γάλακτι γυναικείῳ ἀνάπλασσε κολλύρια καὶ ἔνθες εἰς ἑκάτερον τῶν μυκτήρων, εἶθ᾽ οὕτω κέλευε ἀνασπᾶν, ἐφ᾽ ὅσον ἄν τις διέλθῃ σταδίους ε̄· εἶτα ἐκμυξάσθω τὸ φάρμακον. ποιεῖ καὶ πρὸς ὠταλγίαν ὁμοίως.

λϛ Ὀδόντα ἆραι χωρὶς σιδήρου. εἰ δὲ δόξειεν ἀρθῆναι τὸν ὀδόντα, ἀπόνως ἂν ἀρθείη φαρμάκῳ συμφωνοῦντι λίαν τῷδε· πύρεθρον δριμυτάτῳ ὄξει ταριχεύσας ἡμέρας μ̄ τρῖψον καὶ ἀπόθου· ἐπὶ δὲ τῆς χρείας τοὺς λοιποὺς κηρωτῇ ἀσφαλισάμενος, αὐτὸν τὸν ἀλγοῦντα περικαθάρας περίπλασσε τῷ φαρμάκῳ, εἶτα διαστήσας ὥραν ἕλκυσον τοῖς δακτύλοις ἢ γραφείῳ ἀνάλαβε. Ἄλλο. σῶρι μετ᾽ ὄξους δριμυτάτου ἐπὶ ἡμέρας ἱκανὰς ἐν ἡλίῳ θερινῷ λεάνας καὶ ξηράνας κατάπλασσε προπερικαθάρας καὶ ἐκπεσεῖται. Ἄλλο. σανδαράκην ὁμοίως καύσας χρῶ. Ἄλλο. σῶρι καὶ τιθυμάλλου ὀπὸν ἀναλαβὼν χαλβάνῃ περίπλασσε προπερικαθάρας. Ἄλλο. σικύου ἀγρίου ῥίζαν σκεύαζε ὡς τὸ πύρεθρον καὶ χρῶ. Ἄλλο. κόκκους κνιδίους λεάνας ἀναλαβὼν χαλβάνῃ περίπλασσε καὶ ἐκπεσεῖται. Ἄλλο. ξανθίου βοτάνης ῥίζα θερμαινομένη ἐν θερμοσποδίᾳ καὶ ἐπιτιθεμένη τῷ ὀδόντι συνεχῶς καλῶς ποιεῖ· μετὰ γὰρ βραχὺ αἴρεται τοῖς δακτύλοις. Ἄλλο. κολοκυνθίδος ἀγρίας ῥίζαν ἐντίθει τῷ βρώματι, καὶ ἐκπεσεῖται ὁ ὀδοὺς ἢ αὐτὴν τὴν κολοκυνθίδα κόψας σήσας ἀπόβρεχε ὄξει ἐπὶ πολλὰς ἡμέρας, ὡς πάχος ἔχειν μέλιτος, καὶ ἀποβάπτων εἰς τὸ φάρμακον τὸν περιχαρακτῆρα καὶ περιχαράσσων πλειστάκις, κέλευε μύειν τὸ στόμα ἐπ᾽ ὀλίγον, εἶτα ἐπιλαβόμενος τοῖς

8—13 Ἀπολλωνίου—ὁμοίως *Gal. ib. II, 2 (ib. 582, 6—7, 11—17)* 15—19 πύρεθρον—ἀνάλαβε | 451, 8—11 σώρεως—περίπλασσε *Gal. ib V, 5 (ib. 883, 17—884, 2, 883, 12—16)* 21 σανδαράκην—χρῶ | 24 κόκκους—ἀκολουθήσει *(451, 1) Gal. de rem. parab. 8, 11—13 (XIV 430, 17, 431, 9—432, 2)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 τῷ *om.* L^a 3 *post* βδεούσης: ἤγουν γαλῆς P^x A στὴρ D ω 4 ἢ *om.* L^a 5 *post* ῥίζης: φλοιοῦ L^a χυλὸν L^a ...οῦ P^x A 6 ἐνσταζόμενος *om.* ω 7 ἀναγαλλιάδος ω 8 ἄλλο *et* ὅσον *om.* ω 11 κολλύρια (...ον ω)] τροχίσκους L^a καὶ ἔνθες—φάρμακον *om.* L^a ἐντίθει ω 12 ἐκμυζάσθω P ἐκβιβαζέσθω ω 14 *ante* ὀδόντα: πρὸς τὸ ω 15 ἀνωρθείη ω 16 τρίψας, *om.* καὶ ω 17 *post* λοιποὺς: ὀδόντας ω κηρῶ α *exc.* L^a αὐτὸν *om.* χ D P 19 ἀνάβαλλε P^x A μετ᾽ ὄξους—σῶρι *(22) om.* A 20 ἐπὶ *om.* ω ἱκανὰς] ῑ D ω κατάπασσε χ D P 21 περικαθάρος ω 22 Ἄλλο. σῶρι—βρώματι *(451, 2) om.* L^a 23 ἄλλο] ἢ ω 24 ἀναλαβὼν *om.* ω 25 Ἄλλο. ξανθίου—δακτύλις *(27) om.* A βοτάνη P^x ω 28 ὁ *om.* ω ἢ] καὶ A ὁμοίως δὲ καὶ P^x 30 τὸν *om.* ω

δακτύλοις ἕλκε καὶ ἀκολουθήσει. Ἄλλο. ῥοὸς βυρσοδεψικῆς δάκρυον ἐπιτιθέμενον τῷ βρώματι. Ἄλλο. γῆς ἔντερα ἐπ' ὀστράκῳ καύσας ὡς τεφρωθῆναι καὶ λεάνας καὶ προσπεριχαράξας ἐπίπασσε δαψιλῶς· καὶ διὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς αὐτομάτως ἐκπίπτει, χρῶ. πολλάκις γὰρ ἐδοκιμάσθη ὡς μυστήριον· ἔστι δὲ ὅτε καὶ χωρὶς τοῦ περιχαράξαι ἐπιπασσόμενον τὸ αὐτὸ ποιεῖ. Ἄλλο. μορέας ῥίζης τὸν φλοιὸν τρυφερώτατον λαβὼν καὶ λεάνας ἐπιτίθει κατ' αὐτοῦ μόνου τοῦ ὀδόντος καὶ ἐκπεσεῖται. Ἄλλο. σώρεως κηκῖδος ὀμφακίτιδος σταφίδος ἀγρίας σχιστῆς θείου ἀπύρου πεπέρεως μακροῦ λεῖα ποιήσας καὶ ἐπιβαλὼν κεδρίαν λέαινε· εἶτα κηρὸν ὀλίγον τήξας ἐπίχεε, καὶ ἀναλάμβανε καὶ ἐπὶ τῆς χρείας μαλάσσων ἐξ αὐτοῦ καὶ προπερικαθάρας περίπλασσε. Ἄλλο. κράμβης κάμπην λαβὼν πυκνότερον προσάπτου τοῦ ὀδόντος καὶ ἐκπεσεῖται αὐτομάτως. ἀποβάλλει δὲ τὸν ὀδόντα καὶ ἐλαίας ἀγρίας δάκρυον ἐντιθέμενον τῷ βρώματι καὶ ῥοὸς βυρσοδεψικῆς δάκρυον καὶ ὀπὸς ἀγρίας συκῆς καὶ τιθυμάλλου, ἄνωθεν δὲ χαλβάνῃ φράττε τὸ τρῆμα ἢ κηρῷ.

Σμήγματα διάφορα ὀδόντων μελαινομένων καὶ πελιδνουμένων καὶ ἠραιωμένων Γαληνοῦ. λζ πελιδνοῦνται δὲ οἱ ὀδόντες δι' ὅλης αὐτῶν τῆς οὐσίας καὶ μελαίνονται φλεγμονῇ τινι παραπλήσιον πάσχοντες ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν. ὁμοίας οὖν δέχονται θεραπείας τοῖς τετρωμένοις διὰ τῶν ξηραινόντων φαρμάκων, σμήγματα δέ εἰσι τὰ τούτοις ἁρμόδια. Ἀπολλώνιος οὖν, φησί, πρὸς μεμελασμένους ὀδόντας τάδε γράφει· ἅλας ὀρυκτὸν μέλιτι φυράσας ὄπτα ἐπ' ὀστράκῳ καὶ τρίψας μίσγε σμύρνης βραχὺ καὶ παράτριβε τοὺς ὀδόντας. [εἰ δὲ πελιδνοὶ δι' ὅλης αὐτῶν τῆς οὐσίας φαίνονται, θαυμαστὸν οὐδέν ἐστι πάσχειν αὐτούς τι καὶ τῇ φλεγμονῇ παραπλήσιον, ἔτι δὲ μᾶλλον ἄν τις τοῦτο πιστεύσῃ ἐκ τοῦ τρέφεσθαί τε καὶ σχεδὸν ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ τὴν αὔξησιν ἔχειν. ἐναργῶς γὰρ τοῦτο φαίνεται πολλάκις ἐπὶ τῶν ἀντικειμένων τοῖς ἐξαιρεθεῖσιν ὀδοῦσιν, ὡς ἂν αὐξανομένων μὲν διὰ παντός, οὐδὲ αὔξονται τοσοῦτον ἐν τῇ τῶν σιτίων λειώσει τριβομένων· εἰ δὲ ἀδύνατόν ἐστιν αὐξάνεσθαι χωρὶς τοῦ τρέφεσθαι, πάντως

23—*p. 452, 20* ἅλας—ἀποτελεῖται *Gal. de comp. med. s. l. ib. (ib. 866, 5—7) 4 (850, 9—852, 6)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 ἄλλο ῥοὸς—βρώματι *om.* P^x χ A ω 2 ὀστράκου D P ...ων ω 3 καὶ λεάνας *om.* ω 4 διὰ τῆς] διαστήσας P^x A χρῶ—μυστήριον *om.* ω 5 γὰρ *om.* P^x A 6 *ante* τὸ: καὶ P^x χ D ω τὸν *om.* P^x A 8 ὀμφακίτιδος *om.* ω 9 μακροῦ *om.* L^a 11 ἀνάπλασσε P^x A 13 αὐτομάτως *om.* ω ἀγρίας ἐλαίας ω 14 ἐντιθέμενον—δάκρυον *om.* L^a καὶ ῥοὸς —δάκρυον *om.* A P 16 κηρωτῇ ω 17 *ante* μελαινομένων: ὀδυνωμένων ω καὶ πελιδν. *om.* ω 18 Γαληνοῦ *om.* χ D ω δὲ] ποτὲ P^x χ ψ *om.* ω 19 καὶ μελαίνονται *om.* ω φλεγμονῆς P ω -γμαῖνον D τινι] τῇ P^x τι χ ψ ω 20 ὁμοίως P^x D P δέονται A D ω 20. 21 τετρημένοις D ω 22 φησί *om.* χ ψ ω 23 ἁλὸς (= χ) ὀρυκτοῦ L^a P ὀστράκων P^x ω ...ου D P *ante* καὶ: σμῆχε ω 24 σμύρνην (...αν ω) α, *exc.* L^a βραχυτάτης P^x A *post* ὀδόντας: Γαληνοῦ P^x A εἰ δὲ—ἀποτελεῖται *(452, 20) om.* χ D P ω *delevi* εἰ δὲ—οὐδὲν *cf. p. 438, 9 app. crit.* P^x 25 αὐτῶν *om.* P^x A *ante* φαίνονται: οἱ ὀδόντες P^x A 26 αὐτούς *om.* P^x A τούτῳ *Gal.* 29 ὡς ἂν—οὐδὲ] ὥστε αὐξ. μέν αὐτῶν δ. π., ὅσον δ' *Gal.* 30 διὰ παντ.] παντὶ P^x A

δήπου καὶ δυςὶν ὑποκεῖςθαι παθήμαςιν ἐναντίοις, ἐνδείᾳ τε καὶ πλεονεξίᾳ τῆς χορηγουμένης αὐτοῖς τροφῆς. ἡ μὲν οὖν ἔνδεια ξηροτέρους καὶ ἀτροφωτέρους καὶ διὰ τοῦτο καὶ λεπτοτέρους ἐργάζεται, ἡ πλεονεξία δέ ποτε ποιήςει διάθεςιν αὐτοῖς ἀνάλογον τῇ κατὰ τὰ ςαρκώδη μόρια φλεγμονῇ. ταύτης μὲν οὖν ἰάματα γενήςεται τὸν αὐτὸν ἔχοντα ςκοπὸν τοῖς τὰς φλεγμονὰς ἰωμένοις, ὅπερ ἐςτὶ κενῶςαι τὴν πλεονεξίαν, τῶν μὲν διαφορούντων, τῶν δὲ ἀποκρουομένων αὐτῆς. τῆς δὲ δι' ἔνδειαν τροφῆς λεπτότητος τῶν ὀδόντων ἴαμα μὲν οὐδέν ἐςτιν, χαλᾶςθαι δὲ ἀναγκαῖον τηνικαῦτα καὶ ςείεςθαι χαλαρωτέρας τῆς ἐγγομφώςεως γεγονυίας, οὐ μόνον αὐτῶν τῶν ὀδόντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοῖς φατνίων. αὕτη μὲν οὖν ἡ διάθεςις ἐξ ἀνάγκης ἐπιγίγνεται τοῖς γηρῶςιν εἴτε πρωϊαίτερον εἴτε ὀψιαίτερον, ὥςπερ γε καὶ ἔτι μᾶλλον ἢ ἧττον ἢ ἀνάλογον τῇ φλεγμονῇ, μᾶλλον τοῖς νέοις. βοηθητέον γοῦν ἐςτι καὶ τοῖς γέρουςι τῇ διὰ τῶν οὔλων θεραπείᾳ· καλοῦνται δὲ λίπαι αἱ περιλαμβάνουςαι τοὺς ὀδόντας ςάρκες, ἔνθα ἂν ἴςχωςι τῶν φατνίων· ταύτας οὖν τοῖς ςτύφουςι φαρμάκοις εὐτονωτέρας καὶ μᾶλλον ἐςφιγμένας περὶ τὸν ὀδόντα ποιεῖν, ὡς ἂν καὶ αὐτὰς προςωφελούςας τῇ τῶν μονίμων τε καὶ δυςκινήτων διὰ τὸ τῆς ἐγγομφώςεως ἀκριβείᾳ γεγονός. καὶ μὴν καὶ τὰ τμήματα τῶν ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων τε καὶ διαβρωτικῶν ἀποτελεῖται]. Ἄλλο. γλήχωνος καὶ ἁλὸς ἴςον ἑκάςτου ὕδατι φυράςας καὶ φρύξας ὁμοίως χρῶ. Ἄλλο. ἰςχάδας κατακαύςας καὶ τρίψας νάρδου βραχὺ καὶ μέλιτι διεὶς χρῶ· τοῦτο καὶ τὰ οὖλα προςςτέλλει. Ἄλλο. ἄλφιτα φυράςας ὄξει δριμεῖ· κατακαύςας ἐν χύτρᾳ καὶ λεάνας παράτριβε τοὺς ὀδόντας. τοῦτο καὶ τὰ οὖλα κρατύνει. κοινῶς δὲ πρὸς πάντα ςμήγμαςιν ὀδόντων χρώμεθα τοῖς τοιούτοις· ἀριςτολοχίας ῥίζης κεκαυμένης ἢ ἐλάφου ὀςτέον καύςας καὶ λεάνας χρῶ. ἰᾶται καὶ πόνους ὀδόντων. Ἄλλο. κέρας ἐλάφειον καύςας καὶ μαςτίχην ὀλίγην μίξας χρῶ. Ἄλλο. ἀςτραγάλους προβατίους καύςας, λείοις χρῶ· καλῶς ποιοῦςι καὶ κήρυκες πληρωθέντες ἁλςὶ καὶ καυθέντες καὶ κίςςηρις ὀπτὴ οἴνῳ ςβεςθεῖςα, ςηπίας ὄςτρακα καέντα κεκαυμένοι μύακες κοχλίας χερςαῖος καεὶς ςὺν μέλιτι·

20—25 γλήχωνος—κρατύνει | 453, 2—6 ἄριςτα—ςμήχου | 453, 18—22 τρίμμα—διακλύζου *Gal. ib. 5 (ib. 866,7—13, 876, 14—17, 889, 7—12)*

φ (Lᵃ Pˣ) χ (M°) ψ (A D P) ω (Aᵗ) 4 τὰ *om.* Pˣ A 5 ἴαμα α, *corr. ex Gal.* 7 αὐτὴν A 9 καὶ ςείεςθαι *ante* τηνικαῦτα *transp.* Pˣ 12 εἴτε *pr.*] ἢ Pˣ A 13 ἔτι *om.* Pˣ *(Gal.)* 14 τῇ] τοῖς Pˣ *om.* A 15 λίπαι *om.* Pˣ A *(Gal.)* *post* ἔνθα: πρῶτον Pˣ A *(Gal.)* 15. 16 ἀνίςχωςιν (...ουςιν Pˣ) φατνία Pˣ A 18 τῇ] τι Lᵃ *(Gal.)* 19 ἀκριβείας Lᵃ ...ίβειαν Pˣ A *correxi* γεγονόςι Lᵃ ...ότι A ...νῶτος Pˣ *correxi* καὶ τὰ τμ. (τρήμ. *Gal.*)] κατατμητὰ A 21 *post* φυράςας: ὄξει δριμυτάτῳ κατάκαυςον ω καὶ φρύξας—χρῶ· τοῦτο καὶ τὰ *(23) om.* ω 22 ἰςχάδα χ *(Ald.)* νάρδῳ βραχεῖ χ P 23 ςτέλλει Lᵃ Ἄλλο. ἄλφιτα—ὀδόντων *(27) om.* Lᵃ Ἄλλο *om.* A ω δριμυτάτῳ ω *(Gal.)* 24 κατάκαυςον Pˣ D A ω *(Gal.)* τοῦτο *post* κρατύνει *transp.* ω 25 πάντας Lᵃ χ D P 26 τοῖς *om.* Pˣ A ω ἐλάφ(ε)ιον χ D A ω ὀςτοῦν D P 27 καὶ λεάνας—μίξας χρῶ *(28) om.* ω ἰᾶται—λείοις χρῶ *(29) om* Pˣ A ἐλάφου χ P 28 Ἄλλο—ςμήχου *(453, 6) om.* Lᵃ 30 ἁλῶν ω 31 μύακες κεκαυμένοι χ D ω *om.* A κοχλίος Pˣ χ D ω

ἑκάστῳ δὲ τούτων εὐωδίας χάριν μίγνυται ἴρεως Ἰλλυρικῆς βραχὺ ἢ σχίνου ἄνθους ἢ καλάμου Ἰνδικοῦ ἢ ναρδοστάχυος. ἄριστα δὲ ποιεῖ, φησὶν Ἀρχιγένης, πρός τε προφυλακὴν ἀλγημάτων καὶ ῥῶσιν τῶν οὔλων καὶ τῶν ὀδόντων καὶ εὐπρέπειαν καὶ τοῦτο· ἔρια οἰσυπηρὰ ὀθονίῳ ἐνδήσας καῦσον, εἶτα ἁλῶν πεφρυγμένων τὸ τρίτον μίξας λείοις σμῆχου. Ἄλλο. μέλι καὶ ἁλὸς λεάνας ὡς κηρωτοειδὲς γενέσθαι καὶ ὀθονίῳ ἐνδήσας καῦσον, εἶτα μίξας ἶριν Ἰλλυρικὴν ὀλίγην σμῆχε τοὺς ὀδόντας. Πόλλητος ὀδοντότριμμα. θεῖον ἄπυρον λεάνας χρῶ. Ἄλλο σμῆγμα. ἁλὸς ἀμμωνιακοῦ κυπέρων ἴρεως ἴσα διατρίψας ἐπὶ ἱκανόν, τούτῳ τὰ οὖλα διακλυζέσθω οἴνῳ εὐώδει. Σμῆγμα καλόν. μαρμάρου Γο δ̄ ἁλὸς κεκαυμένου Γο β̄ φύλλου Γο ᾱ ἀμώμου Γο β̄ κέρατος ἐλαφείου κεκαυμένου Γο β̄ βαλαυστίων Γο ᾱ ἴρεως Γο ᾱ ϲ μαστίχης Γο ϛ̄ σμύρνης < ε̄ κόστου < γ̄. Σμῆγμα κάλλιστον. κισσήρεως Γο δ̄ σηπίας ὀστράκων Γο γ̄ μαστίχης σχιστῆς φύλλων ἀνὰ Γο ᾱ. Ἄλλο. κισσήρεως κεκαυμένης Γο γ̄ σηπίας ὀστράκων Γο δ̄ κέρατος ἐλάφου κεκαυμένου Γο β̄ ἁλῶν ὀπτῶν Γο β̄ ναρδοστάχυος < δ̄ κυπέρου < β̄ κόστου Γρ δ̄. Ἄλλο. βοὸς ἀστράγαλος κεκαυμένος σμήχει κάλλιστα τοὺς ὀδόντας καὶ στερεοῖ τοὺς κινουμένους καὶ τοὺς ἐπαλγεῖς ἀπόνους ἐργάζεται. Ἄλλο· τρίμμα εὐῶδες ποιοῦν τὸ στόμα καὶ λευκοὺς καὶ ἀβρώτους ποιοῦν καὶ ἀσινεῖς τοὺς ὀδόντας φυλάττον. νίτρου σηπίας ὀστράκων σμύρνης τρωγλίτιδος ἴσα, χρῶ. Ἄλλο κάλλιστον. σχιστῆς Γο ϲ μαστίχης Γο ᾱ ῥόδων κάλυκας ξηροὺς Γο ᾱ λείοις χρῶ καὶ ὕδατι χλιαρῷ διακλύζου. Ἄλλο ὀδοντότριμμα, ὃ σκευάζω. κισσήρεως Γο β̄ σηπίας ὀστράκων Γο ᾱ ϲ μαστίχης Γο δ̄ σχιστῆς < δ̄ φύλλου < δ̄ χρῶ. Ἄλλο ὃ σκευάζω. κηρύκων κεκαυμένων ἁλὸς πεφρυγμένου σηπίας ὀστράκων κεκαυμένων ῥινήματος μαρμάρου Προικοννησίου ἀνὰ Γο ᾱ κόστου Γρ η̄ κόψας χρῶ. Ἄλλο· Τιμοκράτους

26—*p. 454, 14* Τιμοκράτους—χρῶ *Gal. ib. (ib. 887, 1—17)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 δὲ *om.* ω τούτω φψ 2 σχοίνου Pˣ χ ω δὲ *om.* ω 3 Ἀρχιγένης φησὶ ω 4 καὶ *alt. om.* A D ω 5 ἁλῶν—σμῆχου (χρῶ ω)] μίξας ἶριν ἰλλυρικὴν ὀλίγην σμῆχε τοὺς ὀδόντας P *(Ald.)* 6 *post* σμῆχου: σμῆγμα πρὸς τὸ μὴ βιβρώσκεσθαι τοὺς ὀδόντας καὶ λευκαῖνον καὶ εὐῶδες ποιοῦν. νίτρου (ἀλεξανδρίνου Γο ᾱ Pˣ χ D P) σηπίας ὀστράκων (σμύρνης χ D P) ἀνὰ (*om.* Pˣ) Γο α λειώσας (λείοις χ) χρῶ Pˣ A *eadem post* κάλλιστον *(21)* χ D P ἅλας ω 7 ἐνδήσας *om.* ω 8 Πόλητος χ D P ...ιτος Pˣ 9 *post* σμῆγμα: Ὀριβασίου ω Ὀρόβης Pˣ A 10 Σμῆγμα—κόστου < γ̄ *(13) post* κόστου Γρ δ̄ *(16) transp.* ω *om.* Lᵃ 11 ἁλὸς κεκαυμ. Γο β̄ *om.* ω ἀμώμου—βαλαυστίων Γο ᾱ *om.* ω 13 ε̄] ϛ̄ ω Σμῆγμα—ἀνὰ Γο ᾱ *(14) om.* χ A 14 Ἄλλο. κισσήρεως—κόστου Γρ δ̄ *(16) om.* Lᵃ A 15 Γο γ̄ *om. sed post* ὀστράκων: ἀνὰ Pˣ D P δ] γ̄ Pˣ ἐλαφ(ε)ίου Pˣ ω 16 κυπέρων ω 18 ἐργάζεται] ποιεῖ χ D P Ἄλλο—διακλύζου *(22) om.* A 19 *post* λευκοὺς: ὀδόντας ω ποιοῦν *om.* α, *exc.* Lᵃ 20 τοὺς ὀδόντας *om.* ω *post* φυλάττον: αὐτοὺς ω 21 Ἄλλο κάλλιστον—διακλύζου *(22) om.* Lᵃ ϲ] ᾱ ϲ ω μαστίχης Γο ᾱ *om.* ω *ante* ῥόδων: ἴρεως Γο ᾱ (Γο ᾱ *om.* Pˣ) Pˣ χ D P 22 *post* χρῶ: σὺν τούτω δὲ διάκλυζε Pˣ καὶ *om.* Pˣ δοιακλύζων α *(om.* Pˣ), *exc.* χ P Ἄλλο *om.* ω 23 κισσήρεως—Ἄλλο ὃ σκευάζω *(24) om.* ω Γο ᾱ ϲ—σηπίας ὀστράκων *(25) om.* Lᵃ 24 σχιστῆς < δ̄ *om.* A D Ἄλλο—χρῶ *(26) om.* A 25 ῥινίσματος Pˣ ω ῥηνίματος χ D P 26 προ(σ)κονησίου Pˣ χ χρῶ] ψυχρῶ Lᵃ Ἄλλο—παρουλίδας *om.* Lᵃ

πρὸς οὖλα μυδῶντα καὶ πλαδῶντα καὶ αἱμάσσοντα, σηπεδόνας παρουλίδας, κινουμένους ὀδόντας καὶ ὀδυνωμένους καὶ πάντα τὰ ἐν τῷ στόματι. λαβὼν περδικίου βοτάνης τῶν ἁπαλῶν φύλλων μόδιον Ἰταλικὸν καὶ ἁλῶν λεπτῶν καὶ λευκῶν ℥ α̅ καὶ μέλιτος ℥ α̅, κόψας ἅμα ὡς γενέσθαι μάζαν ψαφαρωτέραν, εἶτ᾽ ἐμβαλὼν εἰς χύτραν περίπλασον πηλῷ, ἐάσας κατὰ τὸ μέσον τοῦ πώματος τρῆμα, δι᾽ οὗ κινείσθω ῥάβδῳ καὶ ὄπτα ἐπ᾽ ἀνθράκων, μέχρις οὗ ὁ ἀναφερόμενος καπνὸς καθαρὸς γένηται, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ ἐάσας ψυγῆναι λάμβανε ἐξ αὐτοῦ < ι̅δ̅ πεπέρεως λευκοῦ < ε̅ πεπέρεως μέλανος < ϛ̅ πυρέθρου < ϛ̅ στυπτηρίας σχιστῆς κεκαυμένης ἐπ᾽ ἀνθράκων ἢ ἐπ᾽ ὀστράκῳ καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ < β̅ κισσήρεως κεκαυμένης σμύρνης ὑσσώπου γλήχωνος σελίνου σπέρματος ἀνὰ < β̅ ἡδυόσμου ξηροῦ ἴρεως ἀνὰ < γ̅. ταῦτα προξηράνας ἐν ἡλίῳ κόψας σήσας μίγνυε τοῖς ἐν τῇ χύτρᾳ κεκαυμένοις καὶ χρῶ. ἐπὶ τίνων δὲ βούλεται προσφέρεσθαι τὸ φάρμακον ὁ Τιμοκράτης προείρηται· εἰδέναι δὲ χρὴ ὡς ἐπὶ τῶν ψυχρῶν διαθέσεων τῶν ὀδόντων μάλιστα ἁρμόζει, ἐάν τε διὰ ψυχροῦ πόσιν ἢ ὀπωρῶν ψυχρῶν γεγόνασι καὶ ἐπὶ τῶν διὰ χυμὸν ψυχρὸν βλαβέντων μετὰ τὸ ἱκανῶς διὰ κλυσμάτων καὶ διὰ μασημάτων ἀποφλεγματίσαι, τούτῳ κεχρῆσθαι καὶ τοῖς ὁμοίοις.

λη̅ Περὶ ἀγκυλογλώσσων ἤτοι μογιλάλων. ἀγκυλόγλωσσοι γίγνονται οἱ μὲν ἐκ γενετῆς, οἱ δὲ ἐκ πάθους τινός. ἐκ γενετῆς μὲν οὖν γίγνονται τῶν ἀντεχόντων τὴν γλῶτταν ὑμένων κάτωθεν σκληροτέρων τε καὶ κολοβωτέρων γεγονότων· ἐκ πάθους δὲ ἡ ἀγκύλωσις τῆς γλώττης γίγνεται, ἕλκους προηγησαμένου καὶ οὐλῆς σκληρᾶς ὑπὸ τὴν γλῶσσαν γιγνομένης. οἱ τοιοῦτοι δὲ μόγις διαλέγονται, διὸ καὶ μογιλάλοι ὑπό τινων προσαγορεύονται, μάλιστα δὲ οἱ ἐκ φύσεως ἀγκυλόγλωσσοι· κατ᾽ ἀρχὰς μὲν βραδέως ἄρχονται διαλέγεσθαι, ἀρξάμενοι δὲ τοῦ λόγου ἀνεγκόπτως καὶ μετὰ σπουδῆς ὁμιλοῦσιν, παραποδίζονται δὲ καὶ τῇ προφορᾷ τῶν δυσφράστων ὀνομάτων ἢ ῥημάτων, ὡς τοῦ ρ̅ ἢ τοῦ λ̅ ἢ τοῦ κ̅. τούτους μὲν οὖν χειρουργία μόνη θεραπεύει. δεῖ δὲ πρὸς

21—27 ἐκ γενετῆς—διαλέγεσθαι | 30 δεῖ δὲ—πάσχων *(455, 8)* *Paul. VI 29 (II 66, 15—18, 23—67, 2)* 28—30 παραποδίζονται—κ̅ *cf. Or.*[c] *XLV 16 (III 170, 11)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 καὶ πλαδῶντα *om.* ω 2 *ante* κινουμένους: πρὸς L^a 4 λευκῶν καὶ λεπτῶν P^x A D ω καὶ μέλιτος ℥ α̅ *om.* A καὶ *tert. om.* ω 5 βαλὼν ω περίπλασσε L^a 6 πηλὸν L^a A ω 9 ι̅δ̅] δ̅ L^a ω πεπέρεως *alt. om.* L^a 10 πυρέθρου < ϛ̅ *ante* κισσήρεως *(11) transp.* ω ἐπ᾽ ἀνθράκων ἢ *om.* α, *exc.* L^a 11 ὀστράκων P^x ἀνθράκων ω ἐσβεσμ.] σεσεισμένης P^x A 12 σελίνου (. . . ήνου)] σεύτλου L^a σπέρμα L^a χ 13 *post* ξηροῦ: < γ̅, *om.* ἀνὰ *post* ἴρεως P^x χ ψ 14 καὶ *om.* L^a βούλεται—εἰδέναι δὲ *om.* ω 16 μᾶλλον α, *exc.* L^a 17 *post* τε: γὰρ ω 18 χυμῶν ψυχρῶν P^x χ 19 (καὶ ω) τοῦτο P^x A ω τῶ χ D τότε P *post* ὁμοίοις: ἄλλο ὀδοντότριμμα ἀσ[πρ′] ποιοῦν τοὺς ὀδόντας καὶ οὖλα στέλλει καὶ τὸ στόμα εὐῶδες ποιοῦν κτλ. P^x 20 *post* μογιλάλων (μογγ. α): Λεονίδους P^x A 21 οὖν *om.* P^x A ω 24 γλῶτταν P^x ω 25 διὸ—προσαγορεύονται *om.* L^a 28 ἀνεκκόπτως P^x A ἀνεγκόπως D ω 29 *post* προφορᾶ (προσφ. P^x): τοῦ λόγου ω 30 μόνη θεραπεύει *subsign. canc. sep.* A

τὴν χειρουργίαν καθέδριον σχηματίσαντα τὸν πάσχοντα τὴν γλῶσσαν ἄνω ὡς πρὸς τὴν ὑπερῴαν μετεωρίσαι, ἔπειτα εἰ μὲν ὑμένες εἰσὶν οἱ τῆς ἀγκύλης αἴτιοι μικροκαμπεῖ ἀγκίστρῳ τούτους ἀνατείνοντα ἐκτέμνοντα, προσέχειν μὴ συνδιαιρεῖν τὰ ὑποκείμενα ἀγγεῖα. ἐὰν δὲ οὐλὴ ἔσται ἡ τῆς ἀγκύλης αἰτία, ὁμοίως τῷ ἀγκίστρῳ ἀναταθεῖσα ἡ οὐλὴ ἐκκοπτέσθω ⟨καὶ⟩ πᾶν τὸ σκληρὸν σῶμα ἀπὸ τοῦ κατὰ φύσιν ἔχοντος. μετὰ δὲ τὴν χειρουργίαν ὕδατι ψυχρῷ ἢ ὀξυκράτῳ διακλυζέσθω ὁ πάσχων. ἔπειτ' ἐμπλασσέσθω ἡ τοῦ λιβανωτοῦ μάννα καὶ τότε περιτιθέσθωσαν οἱ τιλτοὶ μοτοί· ταῖς δὲ ἑξῆς ἡμέραις θεραπευέσθω τὸ ἕλκος διακλύσματι μὲν μελικράτῳ, διαχρίσματι δὲ τῇ Αἰγυπτίᾳ, τῶν τιλτῶν μοτῶν ἐκτιθεμένων, ἵνα ἐν διαστάσει ἡ διαίρεσις θεραπευθῇ, καὶ πάλιν μὴ ἡ αὐτὴ γένηται ἀγκύλη.

Πρὸς τὸν ὑπογλώσσιον λεγόμενον βάτραχον. πρὸς δὲ τὸν ὑπο- λ̅θ̅
γλώσσιον βάτραχον — ἔστι δὲ διόγκωσις τῶν ὑπὸ τὴν γλῶσσαν μερῶν, μάλιστα δὲ φλεβῶν — χρηστέον μὲν πᾶσι τοῖς ἰσχυροτέροις πρὸς ἄφθας ἀναγραφησομένοις, ἰδίως δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ τὰ τοιαῦτα· ἰοῦ ξυστοῦ χαλκίτεως κηκῖδος ἴσα σὺν γλυκεῖ, ἔστι καὶ διάκλυσμα. Ἄλλο. ὀροβίῳ μετὰ μέλιτος προαποσμήξας τοὺς τόπους διάχριε, κηκῖδι λείᾳ μετὰ τοῦ μέλιτος ἢ ῥόδων σπέρματι μετὰ μέλιτος ἐπὶ τῶν εὐαισθητοτέρων σωμάτων ἢ ῥοῦ ἐρυθροῦ ⟨σπέρματι⟩ μετὰ μέλιτος. ἢ τοῦτο ῥοῦ < η̅ ῥόδων ἄνθους < δ̅ κρόκου < β̅ κόστου < β̅ μίσυος ἰοῦ ἴσα, ξηρῷ διάτριβε τοὺς ὑπὸ τὴν γλῶσσαν τόπους. ἐλαίας δὲ φύλλων ἀφέψημα διακλυζέσθωσαν συνεχῶς. Ἄλλο. κάρυα βασιλικὰ παλαιὰ κατακαύσας ὁλόκληρα πέντε μετὰ τοῦ κελύφους λείου, ἔπειτα ἐπίβαλλε πεπέρεως κόκκους ι̅β̅ λιβάνου χόνδρους συμμέτρους γ̅ καὶ ἐπιβαλὼν μέλιτος τὸ ἀρκοῦν διάχριε καὶ θαυμάσεις. τῶν δὲ τελείων καὶ χρονίων δίελε τὰς ὑπὸ τῇ γλώσσῃ φλέβας, κατὰ δὲ τοῦ ἀνθερεῶνος ἔξωθεν ἐπιθετέον τὸ δι' ᾠῶν φάρμακον, μᾶλλον δὲ τὸ σφαιρίον.

Πρὸς τὸν ὑπογλώσσιον βάτραχον. ἀρτεμισίαν μάλιστα χλωρὰν καὶ πάλιν λειώσας μεθ' ἁλῶν ὑπότριβε τοὺς ὑπὸ τῇ γλώσσῃ τόπους.

13—19 Πρὸς τὸν—μετὰ μέλιτος | 22. 23 ἐλαίας—συνεχῶς | 26—28 τῶν δὲ τελείων—σφαιρίον *cf. Paul. III 26 (I 201, 10—11, 15—16, 17—19, 12—14)* 16 ἀναγραφ. *cf. Cap. 42* 21—22 μίσυος—τόπους | 26—28 τῶν δὲ τελείων—σφαιρίον *Or.*[c] *22 (IV 192, 20—23)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 2 οἱ *om.* χ A 3 μακροκαμπεῖ L^a μικρὸν καμ^π' P^x μικροκάμπη χ P ἀνατείνοντας P^x A 3. 4 ἐκτέμνειν προσέχων α, *exc* L^a 4 ἀγγεῖα] αἴτια χ D P 5 ἔστιν α, *exc* L^a 6 καὶ *addidi* 8 ἐμπλασέσθω P^x ω ...πασσέσθω χ D P περιτεινέσθωσαν ω 9 ἐφεξῆς ω 10 *post* μὲν: ἢ ω *ante* διαχρίσματι: ἢ ω δὲ *om.* ω 12 μὴ πάλιν α, *exc.* L^a ἀγκύλη] οὐλή ω 13 *post* ὑπογλώσσιον *alt.*: λεγόμενον ω 15 *ante* μάλιστα: καὶ ω μὲν] δὲ ω 17 Ἄλλο — συνεχῶς *(23) om.* L^a 18 ὄροβον P ω κηκῖδα λείαν P^x A ω 19 μετὰ ... μέλιτος] ὁμοίως ω τοῦ *om.* P 20 ἐρυθροῦ ῥοῦ ω σπέρμ. *addidi* 21 β̅ *pr.*] α̅ ω μίσυος—τόπους *(22) om.* A *ante* μίσυος: ἄλλο P^x χ D P 22 ξηρὰ ω τῇ γλώττῃ P^x χ D 24 εἶτ(α) α, *exc.* L^a ἐπίβαλε A D 25 ι̅β̅] ι̅α̅ ω γ̅] π̅ χ P 26 χρονίων καὶ τελείων ω 27 τῇ γλώττῃ P^x χ D τὴν γλῶσσαν ω 28 ἐπιτίθει P *(Ald.)* 29 πρὸς τὸν — τόπους *(30) post* προσπλέκουσι *(456,13) transp.* D *om. cett. codd. exc.* ω

μ̄ Πρὸς γλῶσσαν φλεγμαίνουσαν ἢ λεπιζομένην ἢ φυσωμένην. πρὸς γλῶσσαν λεπιζομένην ἢ οὐρανίσκον καὶ οὖλα. γλαύκιον ἐπ᾽ ἀκόνης μεθ᾽ ὕδατος ἀνέσας διάχριε τοὺς τόπους καὶ αὐθημερὸν παύσεται. ποιεῖ καλῶς καὶ ἀμόργη ἐν χαλκῷ σκεύει ἑψηθεῖσα ἕως συστάσεως καὶ διαχριομένη. Ἄλλο· πρὸς ἕλκωσιν γλώσσης. παλιούρου φύλλα διαμασάσθωσαν καὶ ἀποπτυέτωσαν. ὅταν δὲ ἡ γλῶσσα φυσηθῇ, ἄμμι διαμασάσθωσαν καὶ ἀποπτυέτωσαν. ἐὰν δέ τις ἀλγῶν τὰ πλησία τῆς γλώττης καὶ τὸν χαλινὸν μὴ δύνηται διαλέγεσθαι, φύλλα ἁπαλὰ ἐλαίας τρίψας καὶ ἐλαίῳ διεὶς διάχριε· ἀγαθὸν σφόδρα· ἢ ὀρίγανον ἐν γλυκεῖ ἑψήσας δίδου διακλύζεσθαι ἢ φύλλα κοκκυμηλέας τρίψας μετὰ μέλιτος, χρῶ.

Πρὸς γλῶσσαν σαπεῖσαν καὶ σχεδὸν ἀπονεκρωθεῖσαν. τῆς λευκῆς βρυωνίας τῶν φύλλων τὸν χυλὸν μίξας μετὰ μίσυος διάχριε· ἀνακαθαίρει καὶ ἀναπληροῖ· τινὲς καὶ μέλι προσπλέκουσι. πρὸς δὲ τὸ ἐπουλῶσαι τὴν ῥίζαν τῆς βρυωνίας κόψας σήσας ἐπίπλασσε· βέλτιον δὲ τὸ μέλι μίσγειν, ἵνα μὴ ἀφανισθῇ.

μᾱ Πρὸς ἀποστήματα ἐν τῇ γλώσσῃ. εἰ δὲ ἀπόστημα ἐν τῇ γλώττῃ γένηται, πίτυρα ἀφεψήσας μεθ᾽ ὕδατος ἐπὶ πολύ, ὡς γλίσχρον γενέσθαι τὸ ὑγρόν, καὶ διηθήσας καὶ προσβαλὼν τῷ χυλῷ μέλι δίδου κατέχειν ἐν τῷ στόματι θερμόν, πλειστάκις τοῦτο ποιῶν· ἢ γὰρ διαφορεῖ ἢ ῥήσσει· μετὰ δὲ τὴν ῥῆξιν τῷ ἀνθηρῷ χρώμεθα.

μβ̄ Πρὸς ἄφθας Γαληνοῦ. τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι γιγνομένας ὀνομάζουσιν ἄφθας, ἐχούσας τι καὶ θερμότητος πυρώδους. γίγνονταί δὲ τοὐπίπαν τοῖς βρέφεσιν, ὅταν ἤτοι μοχθηρὸν ᾖ τὸ γάλα τῆς τίτθης ἢ μὴ καλῶς αὐτὸ πέττῃ τὸ παιδίον. εὐίατοι δέ εἰσι τοὐπίπαν ἐπὶ τοῖς μετρίως στύφουσι καθιστάμεναι· ποτὲ μὲν καὶ χρονίζουσαι δυσλύτως τῷ χρόνῳ σηπεδονῶδές τι ἴσχουσιν ἢ τὴν καλουμένην νομήν. γίγνονται δ᾽ ἐνίοτε καὶ ἐπὶ τῶν τελείων ἢ χυμῶν μοχθηρῶν συρρευσάντων εἰς τὸ στόμα ἢ διὰ δριμύτητα τῶν ἐσθιομένων ἢ πινομένων. διαγιγνώσκονται δὲ ἅπασαι ῥᾳδίως ὄψει τε ἅμα καὶ ἁφῇ· τῇ

21—27 Πρὸς ἄφθας—νομήν *Gal. ib. VI 9 (XII, 988, 5—13)* 23 γίγνονται—βρέφεσιν | 25—27 ἐπὶ τοῖς μετρίως—νομήν *Or.*[e] *IV 68 (463, 2—4)* 29—*p. 457, 26* διαγιγνώσκονται—χρώμεθα *Gal. ib. (ib. 1003, 14—1005, 11)*

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (A[t]) 1 *ante* πρὸς *pr.*: πρὸς ἄφθας Παύλου· ἰοῦ ξυστοῦ κηκῖδος χαλκίτεως κτλ. *[cf. Paul. I 10]* P[x] ἢ *alt.*] καὶ χ A ἢ φυσωμένην *om.* ω *ante* πρὸς *alt.*: καὶ οὐρανίσκον καὶ οὖλα χ A P ω πρὸς γλῶσσαν—καὶ οὖλα *om.* A ω 3 ἐπίχριε ω ποιεῖ—διαχριομένη, *praemissis verbis:* πρὸς δὲ γλῶσσαν λεπιζομένην, *post* μετὰ μέλιτος χρῶ *(10) transp.* ω 4 καλῶς *om.* P[x] A καὶ *pr. om.* ω ἐν *om.* ω καὶ *alt. om.* L[a] 5 *post* διαχριομένη: παύσεται P[x] A Ἄλλο *om.* φ *ante* φύλλα: τὰ ω 6 ὅταν—ἀποπτυέτωσαν *om.* φ ἄμμι—ἀποπτ. *om.* ω ἄμμι] ἅλμη φ A 7 *ante* ἐὰν: καί, *om.* δὲ ω πλησία] πλάγια P[x] D P ω *ante* τῆς: καὶ ω γλώσσης ω 8 καὶ *om.* ω δυνήσεται ω 9 διάχριε] διάτριβε ω 10 κοκκυμηλέας φύλλα ω 11 Πρὸς γλῶσσαν—ἀφανισθῇ *(15) post* χρώμεθα *(20) transp.* D *om. cett. codd., exc.* ω 12 τὸν *om.* ω *ante* μίξας: ποιήσας ω 15 σμίγειν ω 16 γλώττῃ χ ψ ἀποστήματα D ω 17 γένοιτο α, *exc.* L[a] ὡς *om.* L[a] 18 καὶ *alt. om.* P[x] A 20 δὲ *om.* ω 21 *ad* ἄφθας: καὶ γλῶσσαν σαπεῖσαν καὶ σχεδὸν ἀπονεκρωθεῖσαν *in marg. add.* P 24 αὐτὸ *om.* ω πέπτῃ L[a] πέττει D P ἀποπέττει ω 25 μὴν α, *exc.* L[a] χρονίζουσι P[x] A 29 ἅμα *om.* A P

μὲν γὰρ ἁφῇ θερμότεροι τοῦ δέοντος οἱ τόποι γίγνονται καὶ ὄγκον ἴσχουσι, τῇ δὲ ὄψει διὰ τῶν χρωμάτων. αἱ μὲν γὰρ ἐρυθρότεραι τὸν αἱματικὸν ἐπικρατεῖν ἐνδείκνυνται χυμόν, αἱ δὲ ξανθότεραι τὸν πικρόχολον, καὶ αἱ μὲν λευκότεραι τὸν φλεγματικόν, αἱ δὲ πελιούμεναί τε καὶ μελαινόμεναι τὸν μελαγχολικὸν χυμόν. ὁ γὰρ ταῦτα διορισάμενος ἐπιστάμενός τε τὴν ἑκάστου τῶν ἁπλῶν φαρμάκων δύναμιν καθ' ἕκαστον εἶδος ἄφθας ἐπιστήσεται χρῆσθαι τοῖς τε ἁπλοῖς καὶ τοῖς συνθέτοις φαρμάκοις. συνεπισκέψεται δὲ καὶ τὰς τῶν σωμάτων φύσεις, εἰ μαλακαί τέ εἰσι καὶ ὑγραὶ ἢ σκληραὶ καὶ ξηραί. τοῖς γὰρ ἰσχυροτέροις σώμασι τὰ ἰσχυρότερα προσάξεις φάρμακα, τοῖς δὲ ἀσθενεστέροις τὰ μαλακώτερα. ἐπὶ μὲν οὖν τῶν βρεφῶν ἐπιτήδειά ἐστιν ὅσα ψωμίζουσιν αἱ γυναῖκες, φακῇ μετὰ βραχέος ἄρτου καὶ μυελοῦ ἐλαφείου ἢ μοσχείου. μιγνύειν δὲ δεῖ τῇ τροφῇ μηλοκυδωνίων ἢ τῶν ἄλλων ὅσα στύφει, οἷον ἀπίων μεσπίλων, καί ποτε καὶ θριδακίνης καὶ σέρεως καὶ ἀνδράχνης μικτέον τῷ ψωμίσματι, διαπύρου τῆς ἄφθης ὑπαρχούσης. εἰ δὲ μηδέποτε δύναιτο τὸ παιδίον ψωμίζεσθαι, τὴν τροφὴν αὐτοῖς τοιούτοις χρὴ διαιτᾶν καὶ μέντοι καὶ διαχρίειν τὰ στόματα τῶν βρεφῶν φαρμάκοις, ὑπερύθρων μὲν οὐσῶν τῶν ἀφθῶν τοῖς μετριώτατα στύφουσί τε καὶ ψύχουσι φαρμάκοις κατ' ἀρχάς, ἑξῆς δὲ τοῖς διαφοροῦσιν ἀδήκτως. εἰ δὲ ὑπόξανθοι αἱ ἄφθαι εἶεν, τοῖς αὐτοῖς μὲν χρηστέον, ἀλλὰ μᾶλλον ψύχουσιν· εἰ δὲ ὑπόλευκοι καὶ φλεγματικώτεροι, τοῖς ῥυπαροῖς χρηστέον· εἰ δὲ μελαινόμεναι γένοιντο, τοῖς γενναιότερον διαφοροῦσι χρηστέον. ἐπὶ δὲ τῶν μειζόνων παίδων ταῖς ὁμογενέσι δυνάμεσι τῶν φαρμάκων χρώμενος ἐπιτείνω τὴν δύναμιν αὐτῶν, ἐπὶ δὲ τῶν ἤδη τελείων καὶ σκληρότερα τὰ σώματα ἐχόντων τοῖς ἤδη δραστικοῖς χρώμεθα. μέτρια μὲν οὖν ἐστι πρὸς ἄφθας καὶ μάλιστα τὰς ἀρχομένας ὀμφάκιον διαλυόμενον σὺν οἴνῳ ἢ οἰνομέλιτι καὶ ῥοῦς ὁ μαγειρικὸς ὁμοίως. ἐπὶ δὲ τῶν βρεφῶν ἀρκεῖ ἐν ἀρχαῖς καὶ τὸ τῶν ῥόδων ἄνθος καὶ αὐτὰ τὰ ῥόδα ξηρὰ σὺν τῷ οἰνομέλιτι ἢ ῥοδομέλιτι

11—13 ἐπὶ μὲν οὖν τῶν βρεφῶν ... φακῇ ... ἄρτου | μηλοκυδωνίων *Gal. de rem. parab. I 7 (XIV 363, 14—15)* 24—29 ἐπὶ δὲ τῶν — ἐχόντων | μέτρια — ξηρὰ *Or.° ib. (ib. 15—16, 19—22)* 26—29 μέτρια — ξηρὰ | *458, 7* ἤρκεσε — λειωθεῖσα *(458, 15) Gal. de comp. med. s. loc. ib. (ib. 1006, 4—7, 1005, 11—1006, 3)* 28 τὸ τῶν ῥόδων — ξηρὰ | *458, 2* κηκῖδας — φαρμάκῳ *(458, 4) Gal. de rem. parab. ib. (ib. 363, 15—16, 3—4)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 3 χυμόν *om.* ω 5 χυμόν *om.* α, *exc.* L^a 6. 7 καθ' ἕκαστον εἶδος *om.* ω 7 ἄφθης A D αὖθις P^x χ P ω στήσεται χ ω 8 συνεπισκέψεται — μαλακώτερα *(11) om.* L^a συνεπίσκεψαι P^x A ω *ante* φύσεις: χρήσεις τε καὶ P^x 9 τέ *om.* D 10. 11 μαλακωτέροις τὰ ἀσθενέστερα P^x A 12 φακῆν L^a ω 13 μιγνύει A ...ῦναι χ D P δὲ *om.* L^a δεῖ] χρὴ (*post* τροφῇ ω) χ D P ω *om.* P^x A μήλων κυδωνίων (κυδ. *om.* ω) α, *exc.* L^a ἢ τῶν ἄλλων — στύφει] στρυφνῶν ω 15 ἄφθας L^a 16 μηδέπω χ D P μήπω A δέ πω ω πω P^x τροφὸν D P αὐτοῖς] αὐτοῦ τοῖς α, *exc.* L^a 17 τὸ στόμα P^x τῷ στόματι A 18 ἀφθῶν] βρεφῶν αἱ ἄφθες ω 19 *post* ἀρχάς: ἔφην L^a δὲ *om.* ω 22 εἰ δὲ μελαινόμεναι — χρηστέον *(23) om.* ω 25 *ante* σκληρότερα: ἤδη P^x A 26 *post* μάλιστα: μὲν χ P 27. 28 ὁ ἐπιλεγόμενος μαγειρικὸς ῥοῦς P^x

χρονίζοντος δὲ ἤδη τοῦ πάθους, ἐπὶ μὲν τῶν μικροτέρων παίδων θαυμάσιον ὤφθη βοήθημα τοῦτο, φησὶν Ἀσκληπιάδης· κηκῖδας θλάσας ἕψε σὺν ὕδατι καὶ διηθήσας καὶ ἴσον τῷ ἀφεψήματι μέλιτος μίξας ἕψε πάλιν ὡς ἔχειν μέλιτος ὑγροτέρου πάχος καὶ χρῶ ὡς μεγίστῳ φαρμάκῳ διαχρίων καὶ τῷ δακτύλῳ παρατρίβων τοὺς τόπους ἐπὶ πολύ, ἢ κροκύδα διαφυράσας περὶ τὸν δάκτυλον ἑλίξας οὕτω σμῆχε τοὺς τόπους. ἐπὶ δὲ τῶν τελειοτέρων καὶ σκληροτέρων σωμάτων ἤρκεσέ μοι διὰ παντὸς ἐπὶ τούτων μίσυι ὠμῷ χρῆσθαι μετ' οἴνου στύφοντος, ἐπιτείνοντι καὶ ἀνιέντι τὴν δύναμιν αὐτοῦ, τῷ ποτε μᾶλλον ἢ ἧττον στύφειν τὸν οἶνον καὶ τῷ παχύτερον ἢ ὑγρότερον ἐργάζεσθαι τὸ σκευασθὲν ἐκ τῆς τοῦ μίσυός τε καὶ τοῦ οἴνου μίξεως. εἰ δὲ ῥυπαρὰ ἡ ἄφθα φαίνοιτο, σὺν οἰνομέλιτι τρίβω τὸ μίσυ. τοῖς δὲ ἔτι ἰσχυροτέρων χρῄζουσι φαρμάκων ὁ ἰὸς σὺν οἴνῳ τε καὶ οἰνομέλιτι χρήσιμος ὑπάρχει. ἀγαθὸν δὲ τούτοις φάρμακόν ἐστι καὶ ἡ χαλκίτης ὠμὴ σὺν ἐλαίῳ λειωθεῖσα. διαχρίεται δὲ δηλονότι τοῖς τοιούτοις φαρμάκοις μόνα τὰ πεπονθότα μόρια τοῦ στόματος καὶ διακλύσματα δὲ προσάγοντες ἢ μέτρια ἢ ἐπιτεταμένα τῇ στύψει, τοῖς μὲν ἰσχυροῖς σώμασι τὰ ἰσχυρότερα, τοῖς δὲ μαλακοῖς τὰ ἀσθενέστερα. εἰ δὲ εἰς σηπεδόνα ἡ ἄφθα τραπείη, οὔτ' ἄφθαν ἔτι προσήκει τὸ πάθος ὀνομάζειν· οὔτε γὰρ τὰ τὰς ἄφθας ἰώμενα φάρμακα προσάγομεν τούτοις, ἀλλὰ τὰ ἰσχυρότερα, ἅτινα ἐν τῷ περὶ ἐσχαρῶν ἐν στόματι μετὰ βραχέος εἰρήσεται. ποιεῖ μὲν οὖν ἐπὶ τῶν ἀρχὴν σηπεδόνος λαβόντων μάλιστα ἐπὶ τῶν νηπίων καὶ τὸ προγεγραμμένον δι' ἀφεψήματος κηκίδων καὶ μέλιτος διάχρισμα καὶ ἡ στοματικὴ ἀνθηρὰ μετὰ μέλιτος διαχριομένη καὶ τὸ διὰ τοῦ ῥοῦ καὶ ῥόδων ἀνθῶν καὶ κρόκου καὶ κόστου πρὸς κιονίδας φλεγμαινούσας γραφησόμενον ξηρὸν φάρμακον, μετὰ μέλιτος δὲ ἐπὶ τούτων διαχρίεται καὶ ἡ τοῦ λεπτοῦ κενταυρίου κεκαυμένου τέφρα μετὰ μέλιτος διαχριομένη γενναίως ποιεῖ καὶ ἡ σφαιρῖτις κεκαυμένη ὁμοίως· ἰδίως δέ, φησὶν Ἀρχιγένης, ποιεῖ· κέρας ἐλάφου καύσας λεάνας παράτριβε· ἄκρως δὲ ποιεῖ πρὸς τὰς νεμομένας ἄφθας καὶ μαράθρου ῥίζα κεκαυμένη καθ' αὑτὴν καὶ μετὰ μέλιτος διαχριομένη.

15—20 διαχρίεται—τούτοις *Gal. de comp. med. s. loc. ib. (ib. 1006, 1—2, 7—12, 1007, 7—9)* 21 εἰρήσεται *cf. Cap. 49* 23 κηκίδων—διάχρισμα *Gal. de rem. parab. ib. (ib. 362, 16)* 29—31 ἰδίως—διαχριομένη | *p. 459, 7 10* τὸν γαργαρεῶνα—γαργαρεῶνος | *12 13* ὀλιγάκις—πολλάκις | *16—460, 14* στυπτικῆς—ἀγήρατος *Gal. de comp. med. s loc. ib. 8 (ib. 1001, 17—1002, 3, 959, 15—960, 5, 7—10, 15—961, 5. 9—962, 10)* 26 γραφησόμ. *cf. Cap. 43* 29 κέρας—παράτριβε | *p. 459, 19—24* διακλύσματα—αὐστηρῶν *Gal. de rem. parab. ib. (ib. 363, 12—13, cf. 361, 13—17)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 μὲν *om.* L^a 2 ὤφθη] ἐστιν ω κλάσας P^x A 3 μέλι L^a ...ιτι ω 4 ὡς μέλιτος παχυτέρου ἔχει⟨ν⟩ σύστασιν ω 6 κροκοι$^{Δ'}$ P^x ...κύδαν χ D ...ίδα A ...ίδων ω ...ίδας P διαφυράσας] πορφύρας α, *exc.* L^a 9 τῷ *om.* L^a 10 τὸν *om.* ω τῷ] τὸ α, *correxi* 11. 12 εἰ δὲ ῥυπαρὰ—τὸ μίσυ *om.* ω 12 *post* δὲ: ἑτέροις τε καὶ ω ἰσχυροτέροις ...φαρμάκοις φ ω 13 ὁ ἰὸς] ἢ ω 16 προσάγομεν P *(Ald.)* 17 ἢ *om.* ω 18—20 τοῖς δὲ μαλακοῖς—τὰ ἰσχυρότερα *om.* ω 19 ἔτι *om.* L^a 21 βραχέων P^x ...έα χ ψ ...ὺ ω 25 τῶν ῥόδων ἄνθους καὶ ῥοῦ ω ἄνθους α, *exc.* L^a 28. 29 καὶ ἡ σφαιρῖτις—ποιεῖ *om.* P^x καὶ ἡ σφ.—ὁμοίως *om.* A 29 *ante* λεάνας: καὶ P^x χ P 30 ἄφθας *om.* L^a

Πρὸς ἄφθας καὶ λοιπὰς περὶ τὸ στόμα καὶ τὴν γλῶτταν ἑλκώσεις. ἀμόργην ἑφήσας ἐν χαλκῷ μέχρι μελιτώδους συστάσεως διάχριε. Ἄλλο πρὸς ἄφθας καὶ τὰ λοιπὰ ἐν τῷ στόματι ἕλκη. σχιστῆς 𐅻 β κηκίδων 𐅻 α̅, λεῖα ποιήσας, εἶτα ἐλαίῳ φυράσας βρέχων τὸν δάκτυλον ἀναλαβὼν τοῦ ξηρίου ἐκμάσσου ἐπὶ πολὺ τοὺς ἑλκώδεις τόπους· ἀφίστησι δέρματα, αἴρει τραχυσμοὺς καὶ ἐπουλοῖ τὰ ἕλκη.

Περὶ τῶν τοῦ γαργαρεῶνος παθῶν Γαληνοῦ. τὸν γαργαρεῶνά μ̅γ̅ τινες καὶ κιονίδα ὀνομάζουσι. σταφυλὴ δὲ καλεῖται καὶ τὸ ἕτερον ἐν αὐτῷ γιγνόμενον πάθος, ὅταν ῥαγὶ σταφυλῆς ἐοικὸς γίγνηται τὸ ἄκρον τοῦ γαργαρεῶνος, ἱμάντα δὲ καλοῦσιν ἕν τι τῶν ἐν αὐτῷ γιγνομένων παθῶν, ὅταν ἐξ ἀναθυμιάσεων πυρωδῶν λεπτυνθεὶς ἐπὶ πολὺ οἷον ἱμαντώδης γένηται. ὀλιγάκις μὲν οὖν ταῦτα τὰ παθήματα γίγνεται περὶ τὸν γαργαρεῶνα, φλεγμαίνει δὲ πάνυ πολλάκις. ἔστι δ' ὅτε καὶ χωρὶς φλεγμονῆς ὑγραινόμενος ἐπὶ πλέον χαλᾶται, ὡς ἐν τοῖς κατάρροις συνεχῶς γίγνεται. ἀρχομένης τοίνυν τῆς φλεγμονῆς τῶν ἀποκρουομένων φαρμάκων ἐστὶ χρεία· στυπτικῆς μὲν οὖν αὐτὰ χρὴ εἶναι δυνάμεως· μετρίας μὲν οὔσης τῆς ἐπιρροῆς τῶν ὑγρῶν τὰ μετρίως στύφοντα παραλαμβάνειν· ὅταν δὲ σφοδροτέρα συστῇ, τὰ στρυφνὰ προσάγειν. διακλύσματα μὲν μέτρια τά τε διὰ τῶν φοινίκων ἐστίν, ἀφηψημένων ποτὲ μὲν ὕδατι μόνῳ, ποτὲ δὲ καὶ βραχυτάτου μέλιτος ἐπεμβαλλομένου. παραπλησίως δὲ τούτῳ καὶ τὸ διὰ τῶν ῥόδων καὶ γλυκυρίζης ἑλίκων τε ἀμπέλου καὶ βάτου ⟨καὶ⟩ σχίνου καὶ τερεβινθίνης καὶ ῥάμνου ⟨καὶ⟩ κυπέρου καὶ τῶν κερατίων καὶ μορέας ῥιζῶν, ὑποκυστίδος τε καὶ μηλοκυδωνίων καὶ ἀπίων αὐστηρῶν. τούτων δὲ ἰσχυρότερα τὸ τῆς μυρσίνης καὶ τῶν μύρτων ἐστὶν ἀφέψημα καὶ πρίνου ἀκρεμόνων ⟨τε⟩ τῶν μαλακῶν καὶ πάσης δρυὸς καὶ τῶν βαλάνων αὐτῶν, μεσπίλων τε καὶ κράνων. γενναιότατα δὲ κηκίδων καὶ ῥοῦ

15—*p. 460, 11* ἀρχομένης — ῥόδα *Or.*° *IV 69 (463, 24—37)* 27—*p. 460, 4* ῥοῦ— ὕδατι | *p. 460, 8—9* καὶ ξηροῖς—ἀνάγοντα *Gal. ib. (ib. 361, 17—362, 5)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1—6 Πρὸς ἄφθας—τὰ ἕλκη *om.* φ χ A P λοιπαῖς .... ἑλκώσεσιν ω 2 Ἄλλο *(Ald.) om.* D ω 3 *post* ἄφθας: καὶ τὰς λοιπὰς περὶ στόμα καὶ τὴν γλῶσσαν ἑλκώσεις. ἄλλο D ἕλκη ἐν (τῷ ω) στόματι D ω 4 βρέχον α *correxi* 5. 6 ἐκμάσσου—ἕλκη *om.* D ἐκμάσου ω 6 δέρματι καὶ ω 7 τοῦ *om.* ω *post* παθῶν: ἤτοι κιονίδος (...ων P^x) ἢ σταφυλῆς P^x A Γαληνοῦ *om.* L^a 8 κιονίδων A D καὶ τὸ ἕτερον] τὸ L^a 9 γένηται P^x χ D γένοιτο A P γίνεται ω 10 *post* γαργαρεῶνος: σταφυλὴν ὀνομάζουσι τὸ πάθος A ἕν τι] ἑνός τι A ἐν τῇ P^x P ω ἐν *om.* ω γιγνομένων αὐτῷ ω 11 *post* ἀναθυμιάσεων: αὐτῶν ω λεπτυνθέν φ χ D P ...θεῖ ω 12 ἱμαντῶδες L^a D 16 μὲν *om.* α, *exc.* L^a αὐτὰ] ταῦτα P^x A χρὴ *om.* ω εἶναι χρὴ P^x A 17 *ante* μετρίας (...ίως P^x): καὶ P^x A μὲν] οὖν ω *post* μέν: οὖν χ τὰ *om.* L^a 18 σφοδροτέρα] στερρο$^{ττ'}$ ω 20 καὶ *om.* ω βραχυτάτου] παχυτάτου ω 21 τούτων P^x τοῦτο χ τὸ *om.* α, *exc.* χ A 22 βα$^{τ'}$ P^x ...των χ D P ..τον A ω καὶ *alt. addidi ex Gal.* σχοίνου P^x χ ω καὶ *extrem. om.* ω τερεβινθίνης] τερμίνθου χ D P 23 καὶ *alt. addidi* κερατίνων φ χ A P 24 ὑποκυστίδων ω τε *om.* ω μηλοκυδωνίων *v. supra* 25 μυρρίνης χ D μυρίκης A μυρίνης P σμύρνης φ 26 τε *addidi ex Gal.* καὶ πάσης—αὐτῶν *om.* L^a

μαγειρικοῦ καὶ τοῦ βυρcοδεψικοῦ, Αἰγυπτίας τε ἀκάνθης καὶ μυρίκης ἢ ἐρείκης καρποῦ, βαλαυςτίων τε καὶ κυτίνων καὶ ςιδίων, τούτων ἑκάςτου κατὰ μόνας τε καὶ ςὺν ἀλλήλοις ἀφεψηθέντων ἀνακογχυλίζεςθαι χρὴ τῷ ὕδατι· θαυμαςτὸν δὲ ὅπως αἱ μίξεις αὐτῶν ὠφελιμώτεραι πολλάκις γίγνονται τῆς τῶν ἁπλῶν χρήςεως. καλῶς ⟨δὲ⟩ ποιεῖ ἐπ᾿ αὐτῶν καὶ ἀνάθλιψις διὰ κοχλιαρίου ψυχρότατον ὕδωρ ἔχοντος καὶ ὀξύκρατον ἐν τῷ βαλανείῳ ψυχρὸν ἀναγαργαριζόμενον. καὶ ξηροῖς δὲ λειωθεῖςι προςάπτεςθαι χρὴ τοῦ γαργαρεῶνος, ἀτρέμα πως ἀνάγοντα πρός τε τὴν ἄνω χώραν καὶ τὴν ἐκτός, ὡς ἐπὶ τὴν γλῶτταν. ἐμβεβλήςθω δὲ κοχλιαρίῳ ἢ κυαθίςκῳ μήλης τὸ προςαγόμενον. τῶν μὲν οὖν ξηρῶν μέτρια μέν ἐςτι τά τε ξηρὰ ῥόδα καὶ τὸ ἄνθος αὐτῶν καὶ ἀκρεμόνες ξηρανθέντες τῶν προειρημένων φυτῶν, ὑποκυςτὶς καὶ τὸ Ποντικὸν ῥέον, ὅ τε τῶν ςκυτέων λίθος, ᾧ λαμπρύνουςι τὰ ὑποδήματα, ἀγήρατος καλούμενος, ὅ τε Cάμιος ἀςτὴρ καὶ τὸ ὀμφάκιον ξηρόν. τούτων ἀςθενέςτερα καὶ ἀδηκτότερά ἐςτι κόμμι τραγάκανθα ςαρκοκόλλα ἄμυλον, οἷς χρηςτέον ἐπὰν θλιβῇ μᾶλλον ὁ γαργαρεὼν ςφιγγόμενος ὑπὸ τῶν ςτυφόντων ἢ ἐρεθιζόμενος ὑπὸ δακνόντων καὶ διαφορούντων. ἰςχυρότερα δὲ τῶν πρότερον εἰρημένων ἐςτὶν αἱματῖτις λίθος καὶ οὐκ ἔλαττον ὁ Φρύγιος κεκαυμένος καὶ Cινωπὶς μίλτος καὶ ἡ Λημνία ςφραγὶς καὶ τὸ διφρυγὲς τῆς τε Αἰγυπτίας ἀκάνθης ὁ καρπὸς καὶ ῥοῦς μαγειρικός· ςτύφει δὲ ταῦτα ἐπιφανῶς χωρὶς μὲν τοῦ τραχύνειν. ςτρυφνὰ δέ ἐςτι βαλαύςτια καὶ κύτινοι καὶ ςίδια καὶ κηκῖδες. ςτύφουςι δὲ ἱκανῶς καὶ αἱ ςτυπτηρίαι πᾶςαι. ἁπλᾶ μὲν οὖν ταῦτα χρήςιμα· ςύνθετα δὲ ἐξ αὐτῶν γίγνεται, ὅταν τῷ ςφοδρῷ τὸ μαλακὸν μίςγομεν ἢ ὅταν τὸ ςτῦφον τῷ διαφοροῦντι, τὴν μῖξιν πρὸς τὴν κρᾶςιν τοῦ θεραπευομένου ςώματος ποιούμενοι. χρονίςαντος δὲ ἤδη τοῦ πάθους ἀδύνατόν ἐςτι διὰ τῶν ἀποκρουομένων αὐτὸ τελείως ἰάςαςθαι, καὶ μάλιςθ᾿ ὅταν ἤτοι τὸ τοῦ κάμνοντος ςῶμα πολύχυμον ἢ τὸ πεπονθὸς μόριον ἄρρωςτον φύςει ὑπάρχει. διὰ τοῦτο οὖν ἀναγκαζόμεθα πολλάκις μὲν εὐθὺς ἐν ἀρχῇ ἢ πάντως γοῦν ὀλίγον ὕςτερον μιγνύναι τι τοῖς ςτύφουςι τῶν διαφορητικῶν. εἰ δὲ ὀδύνη

14. 15 ἀγήρατος—ὀμφάκιον | 15—17 τούτων—ςτυφόντων | 18—21 ἰςχυρότερα—καρπός *Paul. III 26 (I 202, 27—203, 5)* 18—23 ἰςχυρότερα—πᾶςαι *Gal. de comp. med. s. loc. ib. (ib. 962, 11—17)* 26—*p. 461, 10* χρονίςαντος—κρᾶςιν *Gal. ib. (ib. 967, 11—968, 7, 11—15)*

φ(LᵃPˣ) χ(Mᵒ) ψ(ADP) ω(Aᵗ) 2 ἢ ἐρείκης *om.* Pˣ A 2—5 τούτων—χρήςεως *om.* Lᵃ 4 θαυμαςτῶς ω δὲ *om.* ω 5 δὲ *addidi* 6 ψυχρότατον (...τερον Pˣ)] βραχύτατον Lᵃ 8 δὲ *om.* ω 9 *post* πως: ἐπ᾿ ὀλίγον ω 10 γλῶςςαν α, *exc.* Lᵃ 13 ῥέον *om. at est spatium vacuum* χ P 14 ἀγόρατος ω *post* ἀςτήρ: ὧν ω 15 ξηρίον A 15. 16 τραγάκανθον ω ἀμύλιον φ 18 δὲ *om.* ω πρότερον εἰρημ.] προειρημένων Pˣ A P εἰςὶν Lᵃ 21 ὁ καρπὸς *om.* Lᵃ 22 μέντοι A D ω 23 κηκίς α, *exc.* Lᵃ ςτύφουςι] ςτρυφνὰ Pˣ A 24. 25 αὐτῷ ςφοδρῷ ω τὸ ςφοδρὸν χ D P *(Ald.)* τῷ μαλακῷ α, *exc.* Lᵃ ω ςμίγωμεν (...ομεν) Pˣ χ A μίςγωμεν P *(rect.)* μὴ ἄγωμεν ω 26 ποιούμεθα Lᵃ ποιοῦμεν ω 28 ἰᾶςθαι α, *exc.* Lᵃ 29 ὑπάρχῃ *(rect.)* A P 29. 30 διὰ τοῦτο—ἀρχῇ *om.* ω

cυνείη cφοδρὰ καὶ τῶν παρηγορικῶν προcπλέξωμεν. ὄντων δὲ καὶ τῶν διαφορητικῶν παμπόλλων, ἀπὸ τῶν μαλακωτέρων ἄρχεcθαι χρή· παροξύνεται γὰρ ὑπὸ τῶν δριμέων τὰ φλεγμαίνοντα· διὰ τοῦτο οὖν ἐγένετο cύνθετα φάρμακα πρόc τε τὰc τῶν ἄλλων μορίων φλεγμονὰc καὶ πρὸc τὰc τοῦ γαργαρεῶνοc, οἷον ὅταν τῇ cτυπτηρίᾳ μίξωμεν ἶριν Ἰλλυρικὴν ἢ λίβανον ἢ cμύρνην. cὺ δὲ θεαcάμενοc ὅπωc ἔχῃ μεγέθουc τε καὶ θερμότητοc ἡ φλεγμονὴ τό τε ἀπορρέον αὐτῆc ποcὸν ἐπιcκεψάμενοc, ἔτι καὶ τὴν ἐν τῷ παντὶ cώματι ποcότητα τῶν χυμῶν cτοχαcάμενοc ἢ τῶν cτυφόντων ἢ τῶν διαφορούντων ἐπιτείνειc τὴν κρᾶcιν. κάλλιcτον δὲ φάρμακόν ἐcτι πρὸc γαργαρεῶναc φλεγμαίνονταc καὶ ἐν ἀρχῇ καὶ ἐν ἀκμῇ προcαγόμενον· ῥοῦ μαγειρικοῦ < η̄ ῥόδων ἄνθουc κρόκου κόcτου ἀνὰ < β̄, κόψαc cήcαc ἀπόθου ἐν ὑελῷ ἀγγείῳ. ἐπὶ δὲ τῆc χρήcεωc ὅcον ἥμιcυ κοχλιάριον δυcὶ κυάθοιc ἐνδιαλυθὲν μελικράτου ὑδαρεcτέρου εἰc ἀναγαργάριcμα παραλαμβανέcθω. ποιεῖ δὲ ἐπ' αὐτῶν καὶ ὁ διὰ κρόκου τροχίcκοc, ὃν ἶριν ὀνομάζουcί τινεc, διὰ τὸ προcλαμβάνειν cμύρνηc μὲν καὶ κρόκου ἀνὰ < η̄ cτυπτηρίαc δὲ ὑγρᾶc < ρ̄· λειοῦται δὲ οἴνῳ. τὴν δὲ ἀλόην, ἥν τινεc τούτῳ προcπλέκουcι, παραιτούμεθα. οὗτοc ταῖc ῥευματικωτέραιc καὶ καθύγροιc φλεγμοναῖc ἄκρωc ἁρμόζει· διαχρίεται δὲ ἀναλυόμενοc οἴνῳ καὶ τοῖc ἀναγαργαρίcμαcι προcπλέκεται. ἐπὶ δὲ τῶν cκληροτέρων cωμάτων ποιεῖ καὶ ὁ τοῦ Μούcα τροχίcκοc, ἔτι δὲ τούτου δραcτικώτεροc ὁ τοῦ Ἄνδρωνοc τροχίcκοc. ποιεῖ καὶ τοῦτο δὲ ὅπερ Ἀcκληπιάδηc ἔγραψε· λίθου ἀγηράτου λίθου ἀcίου ἄνθουc γῆc Caμίαc ἀνὰ < δ̄ cχιcτῆc κρόκου πεφρυγμένου κηκίδων ἀνὰ < β̄, λείοιc χρῶ. τούτῳ καὶ ἡμεῖc ἐχρηcάμεθα, φηcὶν ὁ Γαληνόc, πολλάκιc ὄντι καλλίcτῳ, πλὴν μήτε κατ' ἀρχὰc εὐθὺc μήθ' ὅταν ἐξέρευθοc ἢ καὶ θερμὸc ὁ τῆc φλεγμονῆc ὄγκοc ὑπάρχῃ. ἐπὶ δὲ τῶν κεχρονιcμένων καὶ τοῦ cώματοc περικεκενωμένου, κατὰ μίαν χρῆcιν εὐθὺc ἐπιδείκνυται μεγάλην ὠφέλειαν.

23—28 λίθου—ὠφέλειαν *Gal. ib. (ib. 986, 12—987, 2)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 εἴη ω παρηγορητικῶν A D προcπλέξομεν χ ψ cυμπλέξομεν ω 2 τῶν *alt. om.* ω 3 γοῦν ω 5 τῇ *om.* P^x A ἴρεωc ἰλλυρικῆc ω 6 ἔχει φ χ D ...οι P 7 τε *pr. om.* ω 8. 9 *ante* cτοχαc.: καὶ L^a 9 ἐπιτενεῖc *leg.?* 12 *post* ἄνθουc: < δ̄, *post* κρόκου < β̄ α, *exc.* L^a κόcτου ἀνὰ < β̄ *om.* ω ἀνὰ *om.* α, *exc.* L^a ἀγγείῳ *om.* χ ψ ω 13 κοχλιαρίου A D 14 μελικράτω L^a ...κρα^{τ}' P^x P *ante* ἀναγαργάριcμα: τὸ P^x A ἀναγαργαρίcματα παραλαμβανέcθωcαν ω *post* δὲ: καὶ ω 15 κρόκων L^a 16 *ante* cμύρνηc: οἷον P^x *post* μὲν: < (Γ° P^x) η̄ (ε̄ ω) α, *exc.* L^a καὶ (*om.* ω) κρόκου < (Γ° P^x) η̄ *ante* λειοῦται *transp.* α, *exc.* L^a δὲ] καὶ L^a 17 ὑγρᾶc *om.* ω ρ̄] β̄ χ A ω 17—19 τὴν δὲ ἀλόην—οἴνῳ *om.* ω 18 οὕτωc φ A ω 20 προcπλέκεcθαι ω δὲ *om.* ω 21 ἔτι δὲ τούτου] πρὸc δὲ καὶ τοῦτο ω ἔτι] ἐcτὶ P^x P δραcτικώτερον L^a χ 23 *post* ἀγηράτου: < (Γ° P^x) δ̄ α, *exc.* L^a *post* ἄνθουc: < (Γ° P^x) δ̄ P^x χ ψ γῆc *om.* L^a ἀνὰ *om.* α, *exc.* L^a *post* cχιcτῆc: ἀνὰ < δ̄ ω < β̄ *cett. codd., exc.* φ 24 πεφωγμένου P^x χ D P *(Gal.)* *ante* κηκίδων: (ἀνὰ P^x) < (Γ° P^x) β̄ α, *exc.* L^a ἀνὰ *om.* α, *exc.* L^a β̄] ᾱ ω 25 ὄντι] τῷ ω 26 καὶ *om.* ω 28 ὠφέλειαν μεγάλην ω

Πρὸς τὰς χωρὶς φλεγμονῆς κεχαλασμένας κιονίδας. κηκῖδος ὀμφακίνης ἁλὸς ἀμμωνιακοῦ ἴσα λεῖα διὰ κοχλιαρίου προσαπτόμενα παραδόξως ποιεῖ· ἄριστα δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ ὁ Κυρηναικὸς ὀπὸς λεῖος προσαπτόμενος· εἰ δὲ μὴ παρείη οὗτος, τὸ λάσαρ. Πρὸς κεχαλασμένην κιονίδα. κηκίδων < λ̄β̄ διφρυγοῦς < ῑβ̄ μετὰ μέλιτος διάχριε. Πρὸς κιονίδα τοῦ φιλοσόφου· σκεύαζε παρ' αὐτὸν τὸν καιρόν, χρονίσαν γάρ, ἀδυναμώτερον γίγνεται. κάρυα χλωρὰ ἄωρα λαβὼν ξήραινε καὶ φοινίκων ὀστᾶ καὶ ὅτε βούλει καύσας τὸ ἀρκοῦν καὶ βαλὼν ἑκάστου ἴσον, λείοις, χρῶ ξηρῷ. ἱκανῶς δέ ἐστι διαφορητικόν. καὶ γὰρ καὶ ἐπ' ἄλλων παθῶν πεῖραν αὐτοῦ ἔσχομεν. Ἄλλο πρὸς κιονίδας κεχαλασμένας. μέλιτος λι ᾱ στυπτηρίας ὑγρᾶς λι ᾱ ῥόδων ἄνθους < ϛ̄ ὑποκυστίδος χυλοῦ Γο γ̄, ἕψε στυπτηρίαν καὶ μέλι, εἶτα ἐπίβαλε τὰ ἄλλα λειωθέντα καὶ ἐπ' ὀλίγον ἑψήσας χρῶ, ποτὲ μὲν διαλύοντα ὕδατι θερμῷ, ποτὲ δὲ μελικράτῳ εἰς ἀναγαργάρισμα, ποτὲ δὲ διαχρίοντα καὶ ἀναστέλλοντα αὐτῷ τὴν κιονίδα. καλόν ἐστι τοῦτο τὸ φάρμακον, φησὶν ὁ Γαληνός, καὶ δεῖ κεχρῆθαι αὐτῷ. Ἄλλο πρὸς κιονίδα κεχαλασμένην· ὑγιάζει καὶ τὰς μελλούσας ἤδη τέμνεσθαι, ποιεῖ καὶ πρὸς οὖλα νεμόμενα καὶ πᾶσαν τὴν ἐν τῷ στόματι νομήν· ἀκάνθης Αἰγυπτίας κηκίδων μυρίκης καρποῦ βαλαυστίων φύλλων στυπτηρίας σχιστῆς κασσίας ἴσα ξηρῷ χρῶ. Ἄλλο Ἀσκληπιάδου. ῥόδων ξηρῶν ἀβρόχων ⅓ ᾱ Ἰταλικὸν νάρδου Κελτικῆς σὺν ταῖς ῥίζαις καὶ τῇ περικειμένῃ γῇ δεσμίδιον ἓν χελιδόνων ἀγρίων κόπρου ἐκ τῆς νεοττίας ξηρᾶς < γ̄ σμύρνης < η̄ κηκῖδας ὀμφακίτιδας ἀριθμῷ μ̄ε̄, κόψας σήσας ἐμφύσα διὰ καλάμου καὶ παράπτου διὰ κυαθίσκου μήλης. Ἄλλο ξηρὸν πρὸς τὰς ἄγαν κεχρονισμένας καὶ κεχαλασμένας κιονίδας καὶ ὀγκώσεις ὑπαρχούσας. πεπέρεως σμύρνης

1—3 Πρὸς τὰς χωρὶς — προσαπτόμενος | 6—9 σκεύαζε — διαφορητικόν | 10—13 πρὸς κιονίδας — χρῶ | 15—16 καλόν — αὐτῷ | 20—23 ἄλλο — ...ῥόδων — παράπτου | 24—*p. 463, 1* ξηρὸν — λείοις χρῶ *Gal. ib. (ib. 983, 1—4, 979, 18, 980, 18 sq. etc., 987, 6—10) 6 (944, 6—10) 8 (985, 4—8, 986, 4—6)* 3 ὁ Κυρηναικὸς ὀπὸς | 18 ἀκάνθης Αἰγυπτίας κτλ. *cf. Gal. de rem. parab. 10 (ib. 434, 8, 10 etc.)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 *ante* Πρὸς: ἄλλο Pˣ *supra scr. m. 1ᵃ* D 1—4 Πρὸς — λάσαρ *om.* ω 2 διὰ κοχλιαρίου *om.* A 4 Πρὸς κεχαλασμένην — κεχρῆσθαι αὐτῷ *(16) om.* Lᵃ Πρὸς κεχαλ. — ἔσχομεν *(10) ante* Ἄλλο ξηρὸν *(24) transp.* Pˣ A *ante* Περὶ ἀφαιρέσεως *(463, 14)* χ P *om.* ω 5 Πρὸς κιονίδα] ἄλλο Pˣ A 6 σκευάζεται (δὲ χ) χ A *post* σκεύαζε: δὲ Pˣ 7 ἄωρα *om.* Pˣ A 9 ξηρῷ *om.* Pˣ A 10 ἔχομεν Pˣ A 11 στυπτηρίας ὑγρᾶς λι ᾱ *et* ὑποκυστίδος — γ̄ *om.* ω ϛ̄] ο̄ϛ̄ Pˣ A 12 ἐπίβαλλε Pˣ χ P ω ἄλλα *om.* Pˣ A 13 διαλύον αὐτὰ A ...ων D 14 διαχρίων .... ἀναστέλλον A 15 αὐτὴν ω 16 κιονίδας κεχαλασμένας P ω 18 κηκίδων *om.* Lᵃ 19 φύλλων βαλαυστίων Pˣ A στυπτηρίας *om.* Lᵃ σχιστῆς *om.* ω χρῶ ξηρῷ α, *exc.* Lᵃ 20—24 Ἄλλο — μήλης *om.* Lᵃ 22 κόπρον χ D 23 ἀριθμῶν Pˣ ω μ̄ε̄] μ̄ < P ε̄ χ 23. 24 καὶ παράπτου — μήλης *om.* ω 24 *ante* Ἄλλο: στύψιν φακῆν καὶ βόλον ἴσα μετὰ τὸν σταφυλάκτην προσάπτου ἢ στυπτηρίαν σχιστὴν πρωὶ καὶ ἑσπέρας Pˣ A 24 *ante* ἄγαν: ἄλλας ω κεχρονισμένας *om.* α, *exc.* Lᵃ 25 ὀγκώδεις χ A D ω ὑπαρχούσας *om.* α, *exc.* Lᵃ *post* πεπέρεως: < (Γο Pˣ) ᾱ, *om.* ἀνὰ *post* σμύρν. α, *exc.* Lᵃ σμύρνης — β̄ *om.* ω

ἀνὰ < β̄ cχιcτῆc κηκίδων ἀνὰ > ᾱ, λείοις χρῶ· σταφιδοῖ γὰρ αὐτὰς παραχρῆμα. Ἄλλο· εὐπόριστον πρὸς κεχαλασμένην κιονίδα καὶ πνίγουσαν. νίτρον λεάνας καὶ λαβὼν τῷ δακτύλῳ ἀνάθλιβε· ἀπορρεύσει γὰρ φλέγμα πολὺ ᾐματωμένον καὶ ὑγιὴς ἔσται. Φυσικόν. φυσικὸν Φιλουμένου πρὸς κιονίδα κεχαλασμένην. πίσσαν ὑγρὰν λαβὼν μόλυνον τὸ ἄκρον τοῦ ἀντίχειρός σου, καὶ διαστείλας τοῦ βρέγματος τὰς τρίχας, διάχριε τὸ πισσάριον καὶ ἀναδραμεῖται ἡ σταφυλή. εἰ δέ τις ἀνενόχλητος ἀπὸ σταφυλῆς καὶ ἀντιάδων ἐθέλοι διαμένειν, ἐν τοῖς διαλείμμασιν ἑκάστης ἡμέρας ἅμα τοῦ λούεσθαι καὶ ἐκ τοῦ θερμοῦ ἀνελθεῖν, ψυχροῦ ὕδατος βρόχον καταπινέτω. τὸ δ᾽ αὐτὸ καὶ πρὸς βῆχας καὶ πλευροῦ πόνον καὶ στομάχου πλάδοις πολλοῖς ἥρμοσεν· διὰ τῶν προειρημένων τοίνυν εἰς τὸ κατὰ φύσιν ἐπανάγειν προσήκει τὸν γαργαρεῶνα παντὶ τρόπῳ καὶ μὴ σπεύδειν ἐκτέμνειν.

Περὶ ἀφαιρέσεως κιονίδος. εἰ δὲ συνεχῶς ἐνοχλοίη καὶ τὸν ἐκ πνιγμοῦ ἢ φθίσεως κίνδυνον ἐπιφέρει, ἢ ὅταν ἰσχνὸς καὶ ἱμαντώδης γένηται δι᾽ ἀτροφίαν, ὥς ποτε συμβαίνει, ἢ ὅταν πάρεσιν ὑπομένῃ, γίγνεται γὰρ καὶ τοῦτο ἐπί τινων, τότε δεῖ ἀφαιρεῖν. ἄριστος δέ ἐστι καιρὸς τῆς ἀφαιρέσεως, ὅταν ὁ πνιγμὸς κατεπείγῃ, τότε γὰρ κινδυνεύοντι τῷ πάσχοντι δεῖ βοηθεῖν, ἐπὰν ἡ φλεγμονὴ λήξῃ. πρὸς δὲ τὴν χειρουργίαν καθέδριος ὁ πάσχων σχηματιζέσθω πρὸς αὐγὴν λαμπρὰν καὶ τότε διαστελλέσθω τὸ στόμα, ἔπειτα τῷ μυδίῳ ἀποτεινέσθω ἐρείδοντες τὴν σταφυλάγραν κατὰ τὸ μεσώτατον αὐτῆς ἢ μᾶλλον ἐξωτέρω καὶ ἀποταθεῖσα ἐπιστρεφέσθω· τῇ γὰρ ἐπιστροφῇ ὡς ἂν εἴη ἀποβροχιζομένη γρυποῦται πελιοῦται, γίγνεται δυσαιμορράγητος καὶ διὰ τοῦτο ἐπιμένειν χρὴ ἐπί τινα χρόνον κατέχοντα ἐφ᾽ ὅσον ὁ πάσχων μὴ δυσανασχετῇ καὶ τότε ἀφαιρεῖν μὴ ἀνωτέρω τοῦ μυδίου, ἀλλὰ πρὸς τῇ βάσει αὐτοῦ. δερματώδης γὰρ οὖσα ἡ κιονὶς καὶ τῇ ἀποστάσει εἴκουσα, εὐμήκης φαίνεται τοῖς ὁρῶσιν, ὅθεν πολλοὶ τῶν ἀπείρων

(margin: μδ̄ beside line 14)

5. 6 πίσσαν—ἀντίχειρός σου *cf. Gal. de comp. med. s. l. ib. (ib. 979, 17, 975, 3 sqq., 980, 16 sq.)* 16. 17 ὅταν—ἀφαιρεῖν *cf. Gal. de meth. med. XIV 13 (X 988, 11—12)* 17—19 ἄριστος—λήξῃ *cf. Gal. de comp. med. s. loc. ib. (ib. 971, 15 sqq.)*

φ(Lᵃ Pˣ) χ(Mᵒ) ψ(A D P) ω(Aᵗ) 1 β̄] ᾱ α, *exc.* Lᵃ *post* σχιστῆς: < β̄, *om.* ἀνὰ *post* κηκίδων α, *exc.* Lᵃ ᾱ] β̄ α, *exc.* Lᵃ σταφιδεῖ A ω γὰρ *om.* ω 2 Ἄλλο *om* Pˣ χ P ω κεχαλασμένας κιονίδας Pˣ ω 3 ἀνάτριβε ω παράτριβε Pˣ 4 αἱματωμένον (ἱματ.) φ 4—13 Φυσικόν — ἐκτέμνειν *om.* Lᵃ φυσικὸν *alt. om.* Pˣ D ω 7. 8 ἀνεμόχλητος Pˣ A 8 μένειν Pˣ A 10 βρόχθον Pˣ A D βρόγχον χ P 12 τοίνυν *om.* Pˣ χ A ω ἐπανάγει ω προσήκει τὸν *om.* ω 13 *post* ἐκτέμνειν: ἄλλο· λαβὼν πέπερι τρῖψον μετ᾽ οἴνου καλοῦ καὶ παράτριβε τὸν οὐρανίσκον κτλ. Pˣ 14 κιόνίδων Pˣ ω *post* κιονίδος: Λεωνίδου P Γαληνοῦ ω ἐνοχλείη Pˣ . . ήοι A . . . εῖν τι ω 15 φθίσεων χ D P 15—17 ἢ ὅταν — ἀφαιρεῖν *post* κατεπείγῃ *(18) transp.* ω 16 *ante* πάρεσιν: τὴν ω ὑπομείνῃ χ ψ ω 17 γίγνεται—ἐπὶ τινων *om.* ω 19 ἐπὰν — λήξῃ *om.* ω 21 διατεινέσθω Pˣ A ἀποτεινέσθω — μᾶλλον *(22) om.* ω 22 μεσαίτατον D P αὐτοῖς ω 23 ἀποτμηθεῖσα Lᵃ ἀποτεθεῖσα χ ὡς ἂν εἴη] ὡσανεὶ ψ ω *sqr.* ἀπλείου τε γίγνεται ω βρογχυζομένη ω 24 *ante* πελιοῦται: καὶ χ D πελιοῦται γίγνεται *om.* ω *ante* γίγνεται: καὶ χ D *post* γίγν.: δὲ A δυσαιμορράγιστος χ ω . . . γιτος P 25 χρὴ] δεῖ α, *exc.* φ 28 ἤκουσα φ χ ω

ἰατρῶν πλανώμενοι ἢ ἀγνοοῦντες ἀνωτέρω τέμνοντες ἐκ βάσεως αὐτὴν ἀφαιροῦσι καὶ μεγίστης βλάβης αἴτιοι γίγνονται τῷ πάσχοντι· καταλιπεῖν τοίνυν χρὴ τὴν πρὸς τὴν ὑπερῴαν αὐτῆς βάσιν. μετὰ δὲ τὴν ἀφαίρεσιν διδόναι ὀξύκρατον ὑδαρὲς τῷ πάσχοντι. ἠρέμα δὲ τοῦτο προσκολλιζέσθω ἢ κογχυλιζέσθω· ἡ γὰρ πλῆξις αἱμορραγίας αἰτία γίγνεται. ὅταν δὲ ἀναδάκνηται, ὕδατι ψυχρῷ προσκλυζέσθω καὶ ταῦτα ἐκ διαδοχῆς γιγνέσθω, ἕως ἐπισχεθῇ τὸ αἷμα. ταῖς δὲ ἑξῆς ἡμέραις ἀναγαργάρισμα διὰ γλυκυρίζης καὶ φοινίκων προσφερέσθω καὶ διάχριστοι αἱ πρὸς φλεγμονὰς τῶν παρισθμίων ἀναγεγραμμέναι. ὁ δὲ Γαληνός φησιν· ἐγὼ μετὰ τὴν ἐκτομὴν ἀεὶ τῷ διφρυγεῖ χρῶμαι μέχρι συνουλώσεως· τὴν γὰρ οὐλὴν ἀκριβῶς ἐσφιγμένην ἐργάζεται τοῦ μορίου τούτου καὶ πάντων δὲ τῶν ἑλκῶν. ἄλλοι δὲ διὰ καυστικοῦ φαρμάκου καίουσι τὴν σταφυλὴν ἤτοι κιονίδα. τὸ δὲ ὅπως δεῖ σκευάζειν τὸ φάρμακον καὶ ἐγχειρεῖν ἐγράφη ἐν τῷ δ̅ λόγῳ κεφαλαίῳ ν̅.

μ̅ε̅ Περὶ τῶν ἐν τῷ στόματι φλεγμονῶν Γαληνοῦ. ὅταν μὲν πᾶν τὸ σῶμα φαίνηται πληθωρικὸν ἢ κακόχυμον, φλεβοτομίᾳ δεόντως χρώμεθα ἢ καθάρσει καὶ κλυστῆρσι καὶ ἀσιτίαις. εἰ δὲ μηδέτερον τούτων εἴη, ἐπὶ τὴν διὰ τῶν τοπικῶν βοηθημάτων ἴασιν εὐθὺς ἀφικνούμεθα, κατ' ἀρχὰς μὲν ἀναστέλλοντες διὰ τῶν στυφόντων καὶ ψυχόντων. τῆς δὲ τῶν στυφόντων ἐστὶν ὕλης χάλκανθος καὶ τὰ παραπλήσια. ἀλλὰ τοῖς οὕτως ἰσχυροῖς τε ἅμα καί τινα δηλητηρίαν δύναμιν ἔχουσιν οὐ προσήκει χρῆσθαι, θεραπεύοντας τὰς ἐν τῷ στόματι διαθέσεις ἄνευ μεγάλης ἀνάγκης. βλάπτει γὰρ ἱκανῶς, ὁπότε παραρρυῇ τι ἐξ αὐτῶν πρὸς στόμαχον καὶ γαστέρα ἢ τὸν λάρυγγα καὶ τὸν πνεύμονα. συνυπάρχει δὲ τοῖς τοιούτοις καὶ ἡ κατὰ τὴν γεῦσιν ἀηδία, κατά τε τὴν χρῆσιν αὐτὴν ἀνιῶσα καὶ παραμένουσα δι' ὅλης ἡμέρας. περὶ δὲ τῶν γυναικῶν τί χρὴ καὶ λέγειν, καὶ μάλισθ' ὡς αἱ πλούσιαι δυσχεραίνουσιν ὑπὸ

5. 6 ἡ γὰρ πλῆξις — γίγνεται *cf. Gal. ib. (ib. 12—13)* 9—12 ὁ δὲ Γαληνὸς — ἑλκῶν | 15—18 ὅταν μὲν — ἀφικνούμεθα | 20—26 ἀλλὰ τοῖς — ἡμέρας *Gal. de simpl. med. temp. etc. IX 8 (XII 215, 5—8) de comp. med. s. loc. VI, 1 (XII 896, 10—14, 899, 1—4, 898, 2—17)* 12. 13 ἄλλοι — κιονίδα *cf. Gal. de rem. parab. 10 (XIV, 434, 18sqq.)* 14 ἐγράφη κτλ. *v. infra app. crit.* 15—19 ὅταν μὲν — ψυχόντων *Or.ᵉ IV 68 (462, 2—6)* 26—*p. 465, 14* περὶ δὲ — ἥμισυ | *p. 465, 17—21* σκευάζεται — ᾱς | *465, 25—26* ποιεῖ — ἀνακογχυλιζόμενον *Gal. de comp. med. s. loc. ib. (ib. 947, 17—948, 3, 5—13, 949, 2—3, 3—4, 4—5, 6—9, 929, 3—14)*

φ(Lᵃ Pˣ) χ(Mᵒ) ψ(A D P) ω(Aᵗ) 2—4 καταλιπεῖν — πάσχοντι *om.* Lᵃ 5 προσκολλιζέσθω ἢ *om.* α, *exc.* Lᵃ προσκογχυλιζέσθω α, *exc.* Lᵃ ἡ γὰρ πλῆξις — γιγνέσθω *(7) om.* ω 6 ἀναδάκνυται Pˣ A ὕδωρ ψυχρὸν (ψυχρὸν *post* προσκλυζέσθω *transp.* χ) α, *exc.* P ω 12 τούτου *et* δὲ *om.* ω 12—14 ἄλλοι — ν̅ *in marg.* χ *om.* D P ω 13 καίουσι — κιονίδα *om.* Lᵃ δεῖ *om.* φ χ 14 δ̅] ι̅δ̅ Pˣ A *recte, ut vid., cf. Aet. XIV 52 (Or.ᵃ III 115)* *post* λόγῳ: Ἀετίου Pˣ 15 Γαληνοῦ *om.* ω 16 φλεβοτομεῖν *(sic) post* χρώμεθα *transp.* ω 17 καὶ *pr.*] ἢ ω μηδὲν ἕτερον Pˣ A μὴ ἕτερον ω εἴη *om.* ω 19 *post* μὲν: οὖν χ D P τῆς] τίς Pˣ A 20 *post* στυφόντων: καὶ ψυχόντων Pˣ A ἡ ὕλη Pˣ A 21 *post* οὕτως: εἰς τὰ τοιαῦτα Pˣ τινα] τὴν ω 22 θεραπεύοντα Pˣ χ D P τῷ *om.* Pˣ χ D P 25 τοῖς] τοὺς Pˣ *om.* A P τοιούτους Pˣ A τούτους P τε] δὲ Lᵃ 26 αὐτῆς Lᵃ ψ *om.* χ *ante* ἡμέρας: τῆς ω 26—*p. 465, 3* περὶ δὲ — φάρμακα *om.* P 27 χρὴ] δεῖ α, *exc.* Lᵃ πλούσιαι *om.* Pˣ A δυσχεραίνουσαι ω

τρυφῆς τὰς φαρμακώδεις στοματικάς; ἤδη δὲ καὶ ἄνδρες τινὲς οὐ μόνον ὑπὸ τρυφῆς, ἀλλὰ καὶ φύσει κακοστόμαχοί πως ὄντες, οὐ φέρουσι τὰ τοιαῦτα φάρμακα. τὰ γοῦν ἐπιεικέστατα τῶν στοματικῶν κρόκον ἔχει καὶ σμύρναν καὶ στυπτηρίαν. ἄμεινον οὖν ἐστιν ἐνίας τῶν στοματικῶν σκευάζειν ἄνευ τούτων. ἐπὶ μὲν γὰρ τῶν μετρίων φλεγμονῶν ἀρκοῦσιν οἱ χυλοὶ μόνοι τῶν καρπῶν, μόρων λέγω ἢ ῥοῶν καὶ τῶν ὁμοίων [μετὰ μέλιτος μόνον ἀποθεραπεύειν, ἡδεῖαν ἔχοντα καὶ τὴν γεῦσιν]. καὶ μέντοι καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν καρύων, ὅταν μετὰ μέλιτος μόνου σκευάζηται, ἡδεῖαν ἔχει τὴν γεῦσιν. τῶν μὲν οὖν μόρων ὁ χυλὸς ἀσθενέστερόν ἐστι φάρμακον, ἰσχυρὸς δὲ οὐδενὸς ἧττόν ἐστιν ὁ τοῦ λέμματος τῶν καρύων χυλός· μέσος δὲ τούτων ἐστὶ κατὰ τὴν στύψιν ὁ τῶν βατίνων μόρων. προσήκει δὲ τούτων ἑκάστῳ μιγνύειν, ἐὰν βουληθείης σφοδρότερον ἐργάσασθαι τὸ φάρμακον, ὄμφακος χυλὸν κατὰ τὸ ἴσον, εἰ δέ μή γε, κατὰ τὸ ἥμισυ. Ἀνδρόμαχος βάλλει κρόκου σμύρνης ὀμφακίου σχιστῆς ἀνὰ < ᾱ.

μϛ

Διάχριστοι στοματικαί, ἥ τε διὰ μόρων ἢ διὰ ῥοιῶν ἢ διὰ καρύων ἢ δι' ὄμφακος καὶ αἱ παραπλήσιαι. σκευάζεται δὲ ἡ διὰ μόρων οὕτως, ὥς Ἡρᾶς φησι. μόρων χυλοῦ κοτύλας ε̄ οἴνου αὐστηροῦ κοτύλην ᾱ μέλιτος κοτύλην ᾱ, ἕψε τὸν χυλὸν τῶν μόρων μετ' οἴνου, ἕως γλοιοῦ σχῇ πάχος, εἶτα ἐπιβαλὼν τὸ μέλι ἕψε μέχρι καλῆς συστάσεως. εἶτα πρόσμιξον λεῖα ἐν τῇ θυίᾳ· κρόκου σμύρνης ὀμφακίου ξηροῦ ἀνὰ < ᾱ ς. κάλλιστον δέ ἐστι καὶ τοῦτο καὶ πᾶσι τοῖς στοματικοῖς διαχρίστοις συνεψεῖν τῷ προγεγραμμένῳ μέτρῳ καὶ γλυκυρίζης < κ̄· πραϋντικὴ γάρ ἐστι καὶ κατὰ τοῦτο τὴν ἐκ τῶν στυφόντων τραχύτητα παρηγορεῖν δυναμένη. ποιεῖ δέ, φησὶν ὁ Ἡρᾶς, πρός τε παρίσθμια καὶ τὰς ἄλλας ἐν τῷ στόματι φλεγμονὰς διαχριόμενόν τε καὶ ἀνακογχυλιζόμενον· ἔνεστι δὲ τὸν χυλὸν τῶν μόρων μόνον μετὰ τοῦ μέλιτος σκευάσαντας

17—20 σκευάζεται—συστάσεως *Or.° IV 73 (465, 14—16)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t)   1 στομακικὰς L^a 3 οὖν χ P   ἐπιεικέστερα ω   3—4 κρόκον—στοματικῶν *om.* A   4—6 ἄμεινον—καρπῶν *om.* ω   4 οὖν *om.* P   ἔνια (*at cf. l. 1*) L^a 5 μετρίως· P^x A P   6 μόνων P   *post* μόρων: δὲ ω   ἢ] καὶ ω   7 μετὰ—γεῦσιν *delevi*   μόνου χ D P   ἔχοντες P^x D P   καὶ *om.* P^x P   8 τὸ] τοῦ P^x τῶ χ   μετὰ *om.* P^x, *ut vid. quoque* ω   9 μόνον ω   *ante* τῶν: καὶ ω   οὖν *om.* ω   10 ἰσχυρῶς χ ω   ...ρῶς D   ...ρὸν P   ἐστιν ἧττον P (*Ald.*)   11 *ante* ὁ: φάρμακον D P   13 βουληθείη P^x A   ...θῆ P   14. 15 Ἀνδρόμαχος—< ᾱ *in marg.* D *om.* φ χ A P   16. 17 ἥ τε διὰ—παραπλήσιαι (...οι A) *om.* L^a χ ω   *post* παραπλήσιαι: τούτων· Γαληνοῦ. σκευασία τῆς διὰ μόρων P^x 17 *post* οὕτως: ἐστὶ ὄνομα κύριος P^x 18 φησι *om.* L^a A ω   κοτύλας] κοτύλην $L^a P^x$ κ° χ ω   κοχλιάρια D P   κοτύλην] κοχλιάριον D P   κ° χ   19 κοτύλην] κοχλιάριον P^x ψ ω   κ° χ   μετὰ τοῦ α, *exc.* L^a *post* ἕως: τοῦ ω   20 πάχος σχῇ (ἔχει ω) α, *exc.* L^a τῷ μέλιτι ω   21 λεῖα *om.* ω   *post* κρόκου: < (ϛ° P^x) ᾱ ς α, *exc.* L^a σμύρνης *om.* ω   *ante* ὀμφακίου < (ϛ° P^x) ᾱ α, *exc.* L^a ω   ὀμφακίου—ᾱ ς *om.* P   ἀνὰ *om.* α, *exc.* L^a 22 *ante* κάλλιστον: καὶ ω   τοῦτο] τὸ D P   καὶ *alt. om.* D ω   23 < (ϛ° P^x) κ̄] < η̄ A P ω   25 *post* δυναμένη: ἔνιοι δὲ ἀντὶ τῆς σμύρνης ζιντζίβερι βάλλουσιν διὰ τὴν ἄμετρον ἀηδίαν τούτου P^x δέ] γάρ ω   *ante* τὰς: πρὸς ω   ἄλλας *om.* ω   27 ἔστι P^x A   ἐνίοτε L^a δὲ] μὲν ω   μόνων χ D P   σκευάσαντες A   ...ζοντες ω

ἀποτίθεσθαι διὰ τὸ ἡδὺ τῆς γεύσεως. Διὰ μόρων ἁπλῆ, ὡς Ἀσκληπιάδης. μόρων χυλοῦ ℥ γ̄ ὄμφακος χυλοῦ ὁμοίως μέλιτος λι$^{τρ'}$ ι̅β̅, τοὺς χυλοὺς ἑψῶμεν μέχρι ποσῆς συστάσεως, εἶτα τούτοις ἐπιβάλλομεν τὸ μέλι καὶ πάλιν ἑψῶμεν τὸ φάρμακον· πάνυ ἐστὶ καλόν. Ἡ διὰ τῶν ῥοῶν Γαληνοῦ· ῥόας λαβόντας δεῖ τῶν ἀκμαίων καὶ πεπείρων καὶ προσφάτων ἐξ ἴσης τῶν τριῶν διαφορῶν γλυκειῶν τε καὶ ὀξειῶν καὶ αὐστηρῶν κόπτειν ἐν ὅλμῳ μετὰ τῶν λεμμάτων, εἶτα τὸν χυλὸν ἐκθλίψας καὶ βαλὼν τοῦ μὲν χυλοῦ κ^{o} ε μέλιτος δὲ κ^{o} ᾱ καὶ γλυκυρίζης < ᾱ ἕψε βαλὼν τὸν χυλὸν καὶ τὴν γλυκύριζαν καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι καὶ ἕψε μέχρι συστάσεως καὶ χρῶ. ἐπιτηδειότερον δὲ τοῦτο προσάγεσθαι ἐφ' ὧν φλεγμαίνει μὲν τὸ στόμα, ἔκλυτον δὲ ἔχουσι τὸν στόμαχον καὶ ἀνόρεκτον, χρήσιμον δὲ καὶ πινόμενον πρὸς τὰς κοιλιακὰς διαθέσεις. προσπλέκειν δ' αὐτῷ ἐγχωρεῖ, καθάπερ καὶ τοῖς ἄλλοις στοματικοῖς φαρμάκοις, κατ' ἀρχὰς μὲν τὰ στύφοντα, κατὰ δὲ τὰς ἀκμὰς τὰ συμπέπτοντα, κατὰ δὲ τὰς παρακμὰς τὰ διαφοροῦντα. ποιεῖ δὲ πρὸς τὰ ἐν στόματι ἕλκη καὶ τὰ ἀφθώδη. Ἡ διὰ ῥοῶν Ἀσκληπιάδου· φάρμακον στοματικὸν ἐπιτετευγμένον, ποιεῖ καὶ πρὸς νομάς. ῥοᾶς χυλοῦ Ἰταλικοὺς ℥ ϛ̄ μέλιτος λι$^{τρ'}$ ιβ κρόκου < δ̄ σμύρνης ὁμοίως, ἕψε τὸν χυλὸν καθ' αὑτὸν ἐπὶ πολύ· ἔπειτα ἐπιβαλὼν τὸ μέλι ἕψε μέχρι καλῆς συστάσεως, εἶτα ἕνωσον ἐν τῇ θυίᾳ κρόκον καὶ σμύρναν καὶ χρῶ ὡς μεγίστῳ φαρμάκῳ. Στοματικὴ διὰ γλεύκους Ἀνδρομάχου, ᾗ χρῶμαι, φησί, καλή. κηκῖδας λ̄ ῥοῦ βυρσοδεψικοῦ ℥ β γλεύκους καλλίστου λευκῆς Ἀμιναίας σταφυλῆς ℥ ϛ̄· τὰς κηκῖδας θλάσας βρέχε σὺν τῷ ῥοῒ ἡμέραν καὶ νύκτα ἐν τῷ γλυκεῖ, εἶτα ἕψε ἕως ἂν τὸ τέταρτον ὑπολειφθῇ καὶ διηθήσας δι' ὀθονίου ἕψε πάλιν τὸν χυλὸν ἐν λωπάδι, ἕως ἂν μελιτῶδες γένηται, εἶτα πρόσβαλε κρόκου < ᾱ σχιστῆς < ᾱ

4—10 Ἡ διὰ τῶν ῥοῶν—χρῶ *cf. Gal. ib. (ib. 919, 5—14, 950, 1—3)* 13—15 προσπλέκειν—διαφοροῦντα | 21—*p. 467, 1* Στοματικὴ—< ᾱ | *p. 467, 12—18* δέχεται—μεθόδῳ *Gal. ib. VI 5 (XII 926, 10—12, 932, 14—933, 3) VI 4 (ib. 921, 10—14, 905, 12—906, 2, 907, 9 sqq.)* 13—15 προσπλέκειν—διαφοροῦντα | δέχεται—φάρμακον *(p. 467, 18) Or.° IV 73 (465, 16—18, 24—27, 19—20)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1—4 Διὰ μόρων—καλόν *om.* ω διάμορον P^x ...ρος P ἁπλῆ *post* Ἀσκληπιάδης P^x χ A 2 γ̄] ι̅γ̅ P^x A ὀμφακοῦ L^a ὁμοίως] τὸ ἴσον P ξ γ̄ *cett codd., exc.* L^a λι$^{τρ'}$] ξ^ε P^x χ A †ξ^ε *in marg.* Γρ$^{αι'}$ λι$^{τρ'}$ D 3 ἑψῶμεν, ἕψ. ἕψομεν, ἑψοῦμεν *codd.* ἐμβάλλομεν P^x A 4 πάνυ] (τοῦτο P^x) σφόδρα P^x χ A D 5 λαβόντα L^a χ A D καὶ πεπείρων *om* L^a 6 γλυκέων α, *exc.* P^x D P 7 κόπτε φ χ D ω 8 ἐκθλίβων P^x χ A D ω ...βειν P βάλλων D λαβὼν ω βάλλειν P κ^{o} *pr.*] κοκλιάρια D P δὲ *om.* L^a χ κ^{o} *alt.*] κοχλιάριον χ D P 9 < α] < η̄ A ω < κ̄ P^x χ D < ι̅β̅ P *ante* ἕψε: ἢ ὡς ἐν ἄλλοις κ̄ P ἐπίβαλε ψ 10 καὶ ἕψε *om.* ω ἐπιτηδειότερον—διαφοροῦντα *(15) om.* L^a δὲ *om.* α, *exc.* χ P ω 11 μὲν *om.* A ω 16 *post* ἐν: τῷ A P ω Ἡ διὰ ῥοῶν—ἕλκη *(p. 467, 2) om.* P ῥόδων L^a ω 16. 17 Ἀσκληπιάδους L^a ὡς Ἀσκληπιάδης P^x χ A D 17 φάρμακον—ἐπιτετευγμένον *om.* L^a ἐπιτεταγμένον P^x A ω ...τετευμένον χ D καὶ *om.* L^a 18 ιβ] ᾱ *Ald.* σμύρνης *om.* ω ὁμοίως] < (ϛ̄ P^x) δ̄ α, *exc.* L^a *om.* ω 19 αὐτὸ α, *exc.* A D 21—*p. 467, 2* Στοματικὴ—ἕλκη *om.* L^a 22 βυρσοδεψικῆς P^x χ D β̄] ᾱ ω 23 σταφυλῆς ἀμιναίας (...ναίας) P^x χ A D ϛ̄] γ̄ A 24 καὶ *om.* ω 26 πρόβαλλε ω

σμύρνης < ᾱ καὶ ἑνώσας ἀπόθου· ποιεῖ καὶ πρὸς τὰ ἐν ὠσὶ καὶ ἕδρᾳ ἕλκη. Ἐκ τοῦ νάρθηκος στοματικὴ Σωρανοῦ διάχριστος διὰ χυλοῦ ὄμφακος πρὸς τὰς ἀρχομένας φλεγμονὰς καὶ οὖλα πλαδῶντα καὶ τὰ καθαρὰ ἕλκη τῶν παρισθμίων. ὄμφακος χυλοῦ ἑψηθέντος μέχρι συστάσεως 𐅻 ᾱ ῥόδων ἄνθους < ιβ̄ κρόκου < δ̄ μέλιτος κ^{o} ᾱ· σκευάζεται ὡς προείρηται, σκευάζεται δὲ ὁμοίως καὶ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων καὶ ἀπίων καὶ ἀχράδων καὶ μεσπίλων καὶ τῶν βατίνων μόρων καὶ τοῦ τῶν ἄλλων ὀπωρῶν χυλοῦ καὶ τῶν κρανίων. πλεῖον δὲ ἐμβάλλεται τούτοις τοῦ μέλιτος ὅσα ἐστὶ στυπτικώτερα. δέχεται γὰρ ὁ τῶν ἀπίων καὶ ἄλλων ὀπωρῶν χυλός, ἐνίοτε ἴσον ἑαυτῷ τὸ μέλι, τῶν δὲ στυφόντων ἱκανῶς, οἷός ἐστιν ὁ τῆς κρανίας, ἐνίοτε δὲ καὶ διπλάσιον δέχεται τὸ μέλι. Ἡ διὰ καρύων. σκευάζεται δὲ καὶ διὰ τοῦ χυλοῦ τῶν χλωρῶν καρύων στοματικὸν φάρμακον οὕτως· τὸ ἔξωθεν λέπος, ᾧ οἱ βαφεῖς χρῶνται, λαβὼν χλωρὸν κόπτε ἐν ὅλμῳ, καὶ ἐκπιέσας καὶ διηθήσας τὸν χυλὸν ὀθονίῳ λάμβανε τούτου μὲν κ^{o} ε̄ [λι$^{τρ'}$ λ̄ϛ̄ ς] μέλιτος δὲ κ^{o} ᾱ [λι$^{τρ'}$ ξ̄ ς] γλυκυρίζης < κ̄ [λι$^{τρ'}$ β̄ 𐅵 ᾱ], καὶ ἕψε τὸν χυλὸν μετὰ τῆς γλυκυρίζης μέχρι συστάσεως καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι καὶ συνεψήσας χρῶ τῇ ῥηθησομένῃ μεθόδῳ, ἔστι μὲν οὖν τὸ διὰ τῶν καρύων φάρμακον ἁπάντων δραστικώτερον καὶ εὐτονώτερον, οὐ μέντοι εὐστόμαχον ὡς τὰ ἄλλα, καὶ μάλιστα ὡς τὸ διὰ τῶν ῥοῶν.

μζ̄ Καθολικὴ διδασκαλία περὶ τῆς χρήσεως πάντων τῶν στοματικῶν διαχρίστων. μίγνυται χρησίμως ἀρχομένων τῶν φλεγμονῶν πᾶσι τοῖς στοματικοῖς φαρμάκοις τι τῶν στυφόντων καὶ ἀποκρουομένων. καὶ διὰ τοῦτο χρήσιμον τὸν χυλὸν μόνον μετὰ τοῦ μέλιτος σκευάζειν καὶ ἀποτίθεσθαι. ἔστι δὲ εὐπόριστα τῶν στυφόντων τὰ κατ᾽ ἀρχὰς μιγνύμενα ῥόδα καὶ τὸ ἄνθος αὐτῶν μύρτα μυρσίναι σχῖνος βάτος ὀμφάκιον, ἐφεξῆς δὲ τούτων κύτινοι καὶ βαλαύστια καὶ τὰ τῆς ῥόας λέμματα, κηκῖδες καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπός· καὶ στυπτηρίαι

25—*p. 468, 1* ἔστι—βυρσοδεψικός |-*p. 468, 6—p. 469, 7* εἰ δὲ πολυτ.—προσπλεκομένων *Gal. ib. 1, 3—5 (ib. 927, 15—928, 2, 5—6, 923, 13—15, 902, 13—903, 1, 915, 16—916), 7 (911, 11—16), 928, 6—12 (903, 2—4), 924, 5—7, 10—11, 12—925, 5)*

φ(L^{a} P^{x}) χ(M^{o}) ψ(A D P) ω(A^{t}) 1 σμύρνης < ᾱ *om.* A 2 Ἐκ τοῦ νάρθηκος *om.* P στοματικὴ *om.* L^{a} 3 ὀμφάκου L^{a} 5 < *pr.*] ξ^{ε} P^{x} *post* ιβ̄: οὐκ ἀλλὰ 𐅵 ιβ̄ P^{x} κ^{o}] κοχλιάριον D P κοτύλην P^{x} A ω 6 σκευάζεται (σκεύαζε P^{x} χ A) ὡς προείρηται] ἕψε τὸν χυλὸν καθ᾽ αὑτόν, ἔπειτα ἐπ. μέλι ἕ. μ. συστ., εἶτα ἕν. ἑ. τ. θ. καὶ χρῶ *(p. 466, ll. 19—21)* D P 6—8 σκευάζεται δὲ ὁμοίως — τῶν κρανίων *om.* L^{a} 8 τοῦ *om.* P^{x} χ A ω 8—10 πλεῖον—χυλός *om.* P^{x} 10 *ante* χυλός: ὁ ω ἑαυτοῦ P^{x} A ..τὸ χ 12 *ante* ἡ: ἄλλο ω *post* καρύων: Γαληνοῦ P^{x} χ P ω 14 ἐκπιάσας φ χ ω 15 τούτου μὲν *om.* ω κ^{o}] κοχλιάρια D P κοτύλας P^{x} χ A λι^{τρι} λ̄ ϛ̄ ς *om.* α, *exc.* L^{a} *delevi* μέλιτος—κ^{o} ᾱ *om.* ω 16 δὲ *om.* L^{a} κ^{o}] κοχλιάριον D P κοτύλην P^{x} A *om.* χ ᾱ *om.* χ λι$^{τρ'}$ ξ̄ ς *om.* α, *exc.* L^{a} *del.* κ̄] γη̄ L^{a} ϛ̄ ω η̄ A λι$^{τρ'}$ β̄ 𐅵 ᾱ L^{a} *tant. del.* καὶ *om.* P^{x} χ A D ω σὺν τῇ γλυκυρίζῃ P 17 ἐπίβαλε P^{x} χ ψ 18 τῇ—μεθόδῳ *om.* ω μὲν οὖν] δὲ P οὖν *om.* L^{a} 19 καὶ εὐτονώτερον οὐ μέντοι *om.* ω 20 καὶ μάλιστα—ῥοῶν *om.* L^{a} 23 καὶ *pr. om.* ω 25 τὰ *om.* D P 26 μύρτα *om.* ψ σχοῖνος P^{x} χ ω 27 κυτίναι L^{a} χ

πᾶσαι ῥοῦς ὅ τε μαγειρικὸς καὶ ὁ βυρσοδεψικός· ἕψεται δὲ τούτων ἕκαστον ὕδατι μέχρι καλῆς συστάσεως καὶ οὕτως διηθέντα μίγνυται τῇ διαχρίστῳ. κάλλιστον δὲ καὶ ὁ τῶν ῥοῶν χυλὸς κατ᾽ ἀρχὰς μιγνύμενος. χρὴ δὲ θλᾶν αὐτὰς ὅλας ἐν ὅλμῳ σὺν τῷ λέμματι καὶ οὕτως ἐκπιέζειν καὶ διηθεῖν καὶ ἑψεῖν μέχρι συστάσεως ποσῆς καὶ μιγνύειν τῇ παρούσῃ διαχρίστῳ. εἰ δὲ πολυτελέστερον ἐθέλεις ποιῆσαι τὸ φάρμακον ἢ πλουσίοις σκευάζων ἐμβάλλεις κασσίας φλοιὸν νάρδον Ἰνδικὴν ἢ Κελτικὴν ἢ μαλαβάθρου φύλλα· μετὰ δὲ τὴν ἀρχήν, ὅταν στῇ τὸ ἐπιρρέον, μόνον ἀρκεῖ τὸ διὰ μόρων τοῦ κρόκου τι καὶ τῆς σμύρνης προσειληφὸς εἰς τὸ πέψαι τὴν φλεγμονήν. κατὰ δὲ τὰς ἀκμὰς τῶν φλεγμονῶν, ὀλιγάκις μὲν χρῆσθαι δεῖ τοῖς στοματικοῖς διαχρίστοις, διακλύσμασι δὲ καὶ ἀνακογχυλισμοῖς παρηγορητικωτέροις πέττειν τὴν φλεγμονήν, οἷόν ἐστι τό τε διὰ πιτύρων καὶ διὰ γλυκυρίζης. ἐνίοτε δὲ καὶ ἰσχάδων λιπαρῶν ἀφέψημα, ἀλλὰ καὶ αὐτὸ τὸ στοματικὸν φάρμακον ἐν ἀκμαῖς ἀνακογχυλίζεσθαί τις δύναται, μιγνύων μελικράτῳ ἢ ὕδατι ἢ ἑψήματι θερμανθέντι ἐπὶ διπλώματος ἢ αὐτῷ μόνῳ τῷ θερμῷ ὕδατι, μὴ παρόντος μέλιτος ἢ ἑψήματος. κάλλιστον δὲ κατὰ τὰς ἀκμὰς τῶν φλεγμονῶν καὶ τὸ σχίνινον ἔλαιον θερμανθὲν ἐπὶ διπλώματος καὶ κατεχόμενον ἐν τῷ στόματι· μὴ παλαιὸν δὲ ἔστω. συμπεφθείσης δὲ ἤδη τῆς φλεγμονῆς καὶ τῶν σφοδρῶν ὀδυνῶν παυσαμένων ἤδη καὶ τῶν διαφορούντων μίγνυμεν τῷ στοματικῷ φαρμάκῳ, ἅτινά ἐστι τοιαῦτα· ἑψήματι ἢ μελικράτῳ ἑψῶντες ὀρίγανον ἢ ὕσσωπον ἢ γλήχωνα ἢ θύμον ἢ καλαμίνθην ἢ θύμβραν ἢ ἡδύοσμον, εἶτα διηθήσαντες μίγνυμεν τὸ ἀφέψημα τῷ στοματικῷ φαρμάκῳ. εὐπόριστον δέ ἐστι τῶν διαφορούντων καὶ τὸ τῶν ἰσχάδων ἀφέψημα μελιτῶδες γενόμενον· ἕκαστον γὰρ τῶν προρρηθέντων ἰσχυρότερον ποιῆσαι βουλόμενοι ἐπὶ πλέον ἑψῶμεν. ἔτι δὲ τούτων ἰσχυρότερα νίτρου ἀφρὸς καὶ τὸ βερνικάριον νίτρον καὶ μάλιστα κεκαυμένον, καὶ τούτου ἰσχυρότερον τὸ θεῖον ἄπυρον. πρὸς δὲ τὰς ἤδη χρονιζούσας καὶ σκληρυνομένας φλεγμονὰς τὰ δυνάμενα διαφορεῖν γενναιότερον ἐμβάλλεται, κοπέντα δηλονότι καὶ σηθέντα. ἔστι δὲ καὶ ταῦτα ἐπὶ μὲν τῶν πλουσίων κόστος καὶ ἄμωμον καὶ τὸ καλούμενον μάκερ, θερμαῖνον ἱκανῶς μετὰ

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (A[t]) 1 ἕψε P[x] χ A ω 2 διηθηθέντα χ ...θὲν D P διητηθέντα A μιγνῦναι P[x] A 3 κάλλιστος P[x] P 4 θλάνων L[a] ὅλας *supra scr. m. 1*[a] D *om.* P 5 καὶ διηθεῖν *supra scr. m. 1*[a] D *om.* P 6 πολὺ τελειότερον L[a] ἐθέλης P[x] ...οις χ D P 7 ἢ *om.* D P ω πλουσίως P[x] χ A ω σκευάζειν χ A ἐμβαλεῖς P[x] A ω ἐμβα[λλ'] χ ἔμβαλλε P ...βαλε D *ante* φλοιόν: χυλὸν ἢ ω 8 Κελτικὴν ἢ *om.* L[a] φύλλων χ A τὸ *om.* ω 11 δεῖ *om.* φ χ A ω 12 διακλύσματι χ ω 13 τε *om.* P[x] χ A P διὰ *alt. om.* α, *exc.* L[a] 14 καὶ *pr. om.* ω λιπαρῶν—ἀλλὰ καὶ *om.* ω 15 φάρμακον *om.* ω 16 ἢ *pr. om.* P[x] A ω τεθερμασμένω α, *exc.* L[a] ἐπὶ διπλώματος *om.* α, *exc.* L[a] 18 σχοίνινον P[x] χ ω 19 ἐν *om.* χ ψ 22 εἰσὶ (ἐστὶ D) ταῦτα D P μελίκρατον ω ἑψῶντες *om.* ω *ante* ὀρίγανον: τὸ μελίκρατον L[a] ὀρίγανον *om.* ω 24 τῷ ἀφεψήματι φ A ω 26 ἰσχυρότερα α, *exc.* L[a] 28 καὶ τὸ βερνικάριον—ἰσχυρότερον *om.* P καὶ *alt. om.* L[a] χ ω τοῦτο ω 29 τὸ *post* θεῖον *transp.* P *om.* P[x] χ A D ω 31 κοπέντα] δὲ ω *post* πλουσίων: κουμπε[π'] ἐλελίσφακον μυρτόκοκκα κάρυα μοσχ[ττ] ῥόδα σχοίνου ἄνθη P[x]

στύψεως καὶ ὁ Κυρηναικὸς δὲ ὀπὸς εἰς διαφόρησιν τῶν σκληρυγομένων φλεγμονῶν ἐπιτήδειος ἤ τι τῶν μετ᾽ αὐτῶν, οἷόν ἐστι τὸ λάσαρ. τοῖς δὲ πένησιν ἐμβλητέον ἀντὶ τῶν πολυτελῶν φαρμάκων δίκταμνον ἢ ἄκορον ἢ μῆον ἢ πύρεθρον ἢ καρδαμώμου βραχὺ ἢ νάπυος. ἔστι δὲ ὁ σταθμὸς ἑκάστου τῶν προσπλεκομένων πρὸς τὴν ἐξ ἀρχῆς εἰρημένην συμμετρίαν, ἐν οἷς ἦν ἡ λίτρα τοῦ μέλιτος καὶ πέντε τοῦ χυλοῦ λίτραι, < δὲ δ̄ ἢ ε̄ τῶν προσπλεκομένων.

Περὶ τῶν ἐν τοῖς παρισθμίοις φλεγμονῶν ἐκ τῶν Φιλουμένου. μη̄
συνεχέστατα τὰ παρίσθμια ἐν φλεγμονῇ γίγνεται· θερμοὶ γὰρ καὶ ὑγροὶ οἱ τόποι. ἁλίσκονται δὲ μάλιστα τῷ πάθει οἱ πολύαιμοι καὶ παῖδες, ὡς ἁπαλοὶ τὴν σύγκρισιν καὶ ἀδηφάγοι καὶ τὰ θηλάζοντα βρέφη ἐν τῇ καταπόσει τοῦ γάλακτος κακοπαθοῦντα. φέρει δὲ τὸ πάθος καὶ ἡ παρὰ τὸ ἔθος ἀκρατοποσία πολλὴ καὶ ἡ βιαιοτέρα τῶν τροφῶν κατάποσις καὶ μάλιστα τῶν δριμυτέρων ἢ τραχυτέρων. παρέπεται δὲ τοῖς πάσχουσι δυσκαταποσία καὶ ὀδύνη, ἔσθ᾽ ὅτε δὲ καὶ πυρετός. ἀρχομένης μὲν οὖν τῆς φλεγμονῆς ὑποστολῇ σιτίων δεῖ κεχρῆσθαι καὶ ὑδροποσίᾳ καὶ μάλιστα πυρετοῦ συνεισβάλλοντος. ἀναγαργαρίσματά τε διδόναι τὰ στύφοντα καὶ ἀποκρουόμενα, οἷον φακοῦ ἀφέψημα μετὰ ῥόδων καὶ μύξων καὶ φοινίκων καὶ τὰ λοιπὰ τὰ ἐν ταῖς ἀρχαῖς τῆς φλεγμαινούσης κιονίδος παραλαμβανόμενα. παραιτητέον δὲ ἐν ἀρχαῖς τὸ μέλι προσπλέκειν τοῖς ἀναγαργαρίσμασι· δριμὺ γὰρ καὶ ἐρεθιστικόν. σφοδροτέρου δὲ τοῦ πάθους γενομένου καὶ τοῦ κατὰ πνιγμὸν κινδύνου ἐν ὑπονοίᾳ ὄντος, μάλιστ᾽ ἐπὶ νέου πολυαίμου, φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος μετὰ ἐπαφαιρέσεως καὶ τροφὰς διδόναι ῥοφηματώδεις καὶ εὐκοιλίους καὶ τῆς κοιλίας μὴ εὐοδούσης κλύζειν. ἐπὶ δὲ τῶν νηπίων βαλάνοις καὶ διαχρίστοις τῆς ἕδρας ἐρεθιστέον τὴν κοιλίαν. μετὰ δὲ τὴν κένωσιν ἀναγαργαριζέσθωσαν πιτύρων ἀφεψήματι θερμῷ ἢ πτισσάνης χυλῷ, ἐναφεψημένων αὐτῷ σταφίδων ἢ ἑψήματι χλιαρῷ ἢ ἀφεψήματι γλυκυρίζης καὶ μετὰ τοῦ γλυκέος ἢ σύκων καὶ ὑσσώπου ἀφεψήματι. ἔστω δὲ ἅπαντα χλιαρά· οὔτε γὰρ ψύξεως ἀνέχεται τὰ φλεγμαίνοντα, οὐδὲ

15—21 ἀρχομένης — ἀναγαργαρίσμασι | 21—23 σφοδροτέρου — ἀγκῶνος | 27—29 ἀναγαργαριζέσθωσαν — ἀφεψήματι | *p. 470, 1—4* ἱκανῶς — ἅμα *Gal. ib. 8 (ib. 972, 13—18, 976, 10—12, 975, 15—976, 5)* 17—19 καὶ μάλιστα — φοινίκων *Or.° 19 (IV 191, 26—28) Paul. III 26 (I 201, 21—22)* 18 φακοῦ ἀφέψημα *cf. Gal. de rem. parab. III (XIV 513, 16)*.

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1. 2 καὶ ὁ Κυρηναικὸς — λάσαρ *om.* P 2 ἤ τις L^a εἴ τις χ καὶ εἴτι D ἤτι A P αὐτὸν A P ω 3 ἀντὶ — φαρμάκων *post* ἄκορον (4) *transp.* D *om.* P 4 ἢ μῆον *om.* A μαῖον L^a καρδάμωμον α, *exc.* L^a D 6 ἡ *om.* ψ ω *post* λ$^{τρ'}$: ε̄ P^x 7 δὲ] τε χ *om.* D P 8 ἐκ — Φιλουμ. *om.* L^a 9. 10 τὰ παρίσθμια — ἁλίσκονται *om.* ω 11 τὰ *om.* D P *ante* βρέφη: δὲ P^x A P ω 13. 14 τῶν τροφῶν — μάλιστα *om.* L^a 14 παχυτέρων ω 15 *ante* πάσχουσι: τοῦτο ω καὶ *alt. om.* L^a 17 πυρετοῦ μάλιστα P ω τε] δὲ χ D P γὰρ ω διδόναι τὰ στύφοντα *om.* L^a *post* τὰ: τε ω 18 *ante* ἀποκρουόμενα: τὰ ω 19 καὶ *pr. om.* L^a τὰ *om.* ω τῆς *om.* ω 22 δὲ] τε P^x γὰρ ω γιγνομένου P ω τοῦ *om.* ω 25 τῆς *om* ω 27 χυλὸν L^a ...οῦ P^x 29 καὶ *pr. om.* P^x A D 30 τὰ πάντα P^x χ ψ πάντα ω οὐδὲ] οὔτε D P ω

πλείστης θερμασίας. ἱκανῶς δὲ ὠφελοῦνται ἐὰν ἀμυγδάλινον ἔλαιον τοῖς ὠςὶν ἐγχέοις. ἔξωθεν δὲ πυριαστέον πράως σπόγγοις ἀποτεθλιμμένοις καὶ καταπλαστέον διὰ κριθίνου ἢ λινοσπέρμου ἢ τήλεως ἢ καὶ μίξας ἅμα. ἐνδιδούσης δὲ τῆς φλεγμονῆς ἢ παρακμαζούσης μικτέον τοῖς ἀναγαργαρίσμασι τὸ μέλι, ὃ ἐν ἀρχαῖς οὐ δεῖ ποιεῖν οὐδ' ἐν ἐπιδόσει. ἔστω δὲ ἐν τούτῳ τῷ καιρῷ καὶ θερμότερα τὰ ἀναγαργαρίσματα, περιθετέον δὲ τῷ τραχήλῳ ἔξωθεν ἔριον μαλακὸν ἐλαίῳ θερμῷ βεβρεγμένον καὶ μάλιστα χειμῶνος καὶ συνεχῶς τῷ θερμῷ ἐλαίῳ ἐμβαπτόμενον τὸ ἔριον περιτιθέσθω τῷ τραχήλῳ. εἰ δὲ δριμυτέρων προσαχθέντων διακλυσμάτων ἢ διαχρίστων τραχύνοιτο ἡ φλεγμονὴ καὶ δῆξις παρέποιτο, τοῖς πραοτέροις ἀναγαργαριστέον, οἷά ἐστι πτισσάνης χυλὸς ἢ χόνδρου καὶ ψιχῶν σιλιγνιτῶν ἀπόβρεγμα. χλιαρώτατα δὲ ἔστω τὰ προσαγόμενα καὶ τὸ γάλα δὲ χλιαρὸν ἀναγαργαριζέσθωσαν. ἐνδιδούσης δὲ τῆς ὀδύνης διαχριστέον ταῖς προειρημέναις στοματικαῖς καθιέντας τὸν λιχανὸν δάκτυλον καὶ μετὰ προσηνοῦς ἐπαναθλίψεως παραπιεζοῦντας τὰ παρῳδηκότα τῶν παρισθμίων, ἵνα τὴν περιεχομένην ὕλην προΐηται· μὴ μέντοι βιαίως προσπιέζειν, ὥς τινες ποιοῦσιν αἴτιοι γιγνόμενοι τῆς αὐξήσεως τῆς φλεγμονῆς. εἰ μέντοι περιπέσωμέν τινί ποτε ὑπὸ τῆς τοιαύτης θεραπείας βλαβέντι, ἀρκεσθησόμεθα τοῖς παρηγορεῖν δυναμένοις ἀναγαργαρίσμασι μὴ διαχρίοντες. ἐπιμενούσης δὲ τῆς φλεγμονῆς καὶ τῶν παρισθμίων κατὰ τὴν χρόαν ὑπερύθρων ὄντων καὶ μὴ κουφιζομένων πρὸς τὰ ῥηθέντα βοηθήματα προσδοκητέον μεταβολήν· ταχὺ γὰρ ἀφίσταται τὰ παρίσθμια. ἀποστήματος δὲ γενομένου παραύξεται τὰ τῆς φλεγμονῆς σημεῖα· καὶ οἱ παροξυσμοὶ περὶ ἑσπέραν μᾶλλον σφοδρότεροι γίγνονται μετὰ φρίκης τινὸς καὶ ἀνωμαλίας, ἔσθ' ὅτε δὲ καὶ πυρετοῦ. χρὴ οὖν κατὰ τὰς ὑπονοίας τῶν διαπυήσεων συνεργεῖν τῇ διαπυήσει ὡς τάχιστα. ἔστω δὲ τὰ ἀναγαργαρίσματα ἐπ' αὐτῶν θερμότερα, μελίκρατον θερμὸν ἀφέψημα ἰσχάδων καὶ ὑσσώπου· συνεργεῖ δὲ εἰς τὸ μαλάξαι καὶ πεπᾶναι τὰ παρίσθμια ἐν ἀποστάσει γενόμενα διάχριστος, ἡ λεγομένη Αἰγυπτία, σκευαζομένη διὰ ῥητίνης τερεβινθίνης καὶ μέλιτος καὶ ἐλαίου γλυκυτάτου· καὶ καταπλάττειν ἔξωθεν τῷ κρι-

4. 5 ἐνδιδούσης—ἐπιδόσει *Or.^{c} ib. (ib. 28—29) Paul. ib. (ib. 23—24)*

φ($L^{a}P^{x}$) χ(M^{o}) ψ(ADP) ω(A^{t}) 2 ἐγχέας L^{a} ...αίης P^{x} ...χέης P ἐκχέοις ω δὲ *om* L^{a} πυριατέον α, *exc.* L^{a} πραέως χ D ἀποτιθεμένοις ω 3. 4 κριθίνου—ἐνδιδούσης δὲ *om.* ω 3 *post* μίξας. καὶ L^{a} 5 ὃ] καὶ L^{a} 6 ἔστω—ἀναγαργαρίσματα *om.* P 7 ἔξωθεν τῷ τραχήλῳ P^{x} D P ἔριον—βεβρεγμένον] ἀψίνθιον σὺν ἐλαίῳ ἑψηθὲν μετὰ ἐρίου ἢ μόνον ἔριον μετὰ ἐλαίου θερμοῦ βεβρεγμένον P^{x} 7. 8 βεβρεγμένον—ἐλαίῳ *om.* ω 8 βαπτόμενον P^{x} A ω 9. 10 διαχρισμάτων D P 12 καὶ] ἢ P^{x} A ἀποβρέγματι φ χ A ...ματα ω τὰ *om.* ω 13 *post* δὲ *alt.*: τῆς φλεγμονῆς καὶ ω 14 τοῖς προειρημένοις στοματικοῖς ω καθιέντες L^{a} χ A 15 ἐπαλήψεως (...λείψεως) α, *exc.* L^{a} παραπιέζοντας ψ ω 16 προαιρεῖται ω (ὡς χ) προείρηται χ D 17 προσπιέζῃς A ...πιαίζειν ω 18 περιπέσοιμεν α, *exc.* L^{a} 21 χροιὰν A ω 23 τὰ παρίσθμια *om.* ω παροξύνεται τουτέστι παραύξεται P^{x} παροξύνεται χ A D 24 μᾶλλον (*om.* ω) πρὸς (περὶ ω) ἑσπέραν P ω 26 *ante* πυρετοῦ: μετὰ D P ω 27 *post* ὡς: ὅτι P^{x} χ D P ω

θίνῳ μετὰ τήλεως καὶ ἀφεψήματος ἰσχάδων καὶ ἀλθαίας καὶ μέλιτος. ὅταν δὲ ἤδη πύον γένηται, μειοῦνται οἱ πόνοι καὶ τῷ δακτύλῳ μαλακώτερος ὑποπίπτει ὁ τῆς φλεγμονῆς ὄγκος, τότε δεῖ δριμύτερα προσαγαγεῖν τὰ ἀναγαργαρίσματα καὶ τὰς προειρημένας στοματικὰς διαχρίστους, διδόντας αὐτοῖς ἐν τροφῇ ψωμοὺς ἐξ ὕδατος εὐμεγέθεις καὶ τὰς λοιπὰς δὲ προσφορὰς ἀθρόας ποιείτωσαν. βιαιοτέρᾳ γὰρ τῇ τῶν παρισθμίων περιστολῇ χρησάμενοι, οἷόν τινα τομὴν ὑπομένουσιν οἱ ὄγκοι. μετὰ δὲ τὰς ῥήξεις ἀναγαργαριστέον μελικράτῳ κατ᾿ ἰδίαν ἢ μετὰ φακοῦ ἢ ῥόδων καὶ τούτοις ἐπιμενητέον μέχρι παντελοῦς ἀπουλώσεως, συνεμπλέκοντας πολλάκις αὐτοῖς καὶ τὰς στοματικὰς λεγομένας τὰς προρρηθείσας. εἰ δὲ ἡ ῥῆξις χρονίζοι διὰ στερεότητα τῶν ἐπικειμένων σωμάτων, ἐπωδύνου τῆς φλεγμονῆς οὔσης, διελεῖν χρὴ τὸ ἀπόστημα πρὸς τὴν τοῦ πύου ἔκκρισιν. ἐπὶ μὲν οὖν τῶν τελείων καθέδριον δεῖ σχηματίζειν τὸν πάσχοντα, ἔπειτα διαστεῖλαι τὸ στόμα καὶ τὴν γλῶτταν σπαθομήλῃ καταστεῖλαι ἢ γλωσσοκατόχῳ καὶ τότε διελεῖν τὸ ἀπόστημα σμιλαρίῳ ἢ κατιάδι. εἰ δὲ παιδίον ὁ πάσχων εἴη τὸ κεφάλιον ἐρειδέσθω ἐπὶ τῶν τοῦ ἐνεργοῦντος γονάτων, εἶτα ἅμα τῇ διαιρέσει ἐπικλινέσθω τὸ κεφάλιον πρὸς τὴν τοῦ ὑγροῦ ἔκκρισιν. μετὰ δὲ τὴν χειρουργίαν ὕδωρ γαλακτῶδες προσδιδόσθω πλειστάκις· μετὰ δὲ διάστημα ἱκανὸν τῆς χειρουργίας καὶ ταῖς ἑξῆς ἡμέραις μελίκρατον διακλυζέσθω, διάχριστος δὲ προσφερέσθω ἡ ἐπὶ τῶν ἡλκωμένων παρισθμίων ἁρμόδιος, οἷά ἐστιν ἡ Αἰγυπτία κροκηρὰ καὶ αἱ παραπλήσιοι. ἔστι δὲ ἡ Αἰγυπτία αὕτη· κρόκου < γ̄ μέλιτος λι^τρ′ ᾱ ς ῥοδίνου ἐλαίου γο̅ β̄ τήλεως καὶ λινοσπέρμου ἑψηθέντων τοῦ χυλοῦ 𐅻 γ̄· τὸν κρόκον τῷ χυλῷ λείου καὶ ἐπιβαλὼν τὸ ἔλαιον καὶ ἑνώσας καὶ ἀπαφρίσας τὸ μέλι ἐπίβαλλε καὶ μίξας χρῶ.

Περὶ τῶν ἐν παρισθμίοις ἐσχαρωδῶν καὶ λοιμικῶν ἑλκῶν. τὰ ἐν μ̅θ̅
παρισθμίοις γιγνόμενα λοιμώδη καὶ ἐσχαρώδη ἕλκη τὰ πολλὰ μὲν ἄρχεται μὴ προηγησαμένου ῥευματισμοῦ τῶν παρισθμίων, ἔστι δ᾿ ὅτε

8—10 μετὰ—στοματικὰς *Or.*[c] *ib.* *(ib. 30—32)* *Paul. ib.* *(ib. 25—27)*

φ(L[a] P[x]) χ(M[o]) ψ(A D P) ω(A[t]) 1 καὶ *pr.* *post* ἀφεψήματος *transp.* D P 2 ἤδη πύον] διάπυον D P 3 ὄγκος *om.* ω τότε] ὅτε α, *exc.* L[a] χ 3. 4 προσάγειν α, *exc.* L[a] 5 τροφαῖς P[x] χ A ω 6 δὲ *om.* A ω προσφορὰς] τροφὰς D P *om.* A ἀθρόως P[x] A βιαιότερον χ D P 7 χρησαμένων D P οἷον] πρὸς ὅμοιον P[x] χ A ω τινα] τῇ χ A ω τομῇ P[x] χ A ω 9 ἐπιμενητέον] ἐπιχριστέον L[a] 10 συμπλέκοντας P[x] D P ω 11 ἡ *om.* ω χρονίζει χ A P ω *ante* διὰ: αὐτοῖς ω 12 διελεῖν] ἕλκειν ω 13 *post* ἔκκρισιν: Λεωνίδους ω 14 πάσχοντα] κάμνοντα ω 16 ἀκατίδει L[a] ἀκατιδίῳ P τὸ πάσχον α, *exc.* ω 18 πρὸς] ἔτι ω 20 *ante* διάστημα: τὸ ω 21. 22 εἱλκωμένων P[x] χ ὀγκομέν⟨ων⟩ A 23 *post* αἰγυπτία: ἔστι δὲ ἡ σκευασία αὐτοῦ τοιάδε· μήου 𐅻 γ̄ πετροσελίνου σπέρματος 𐅻 δ̄ κτλ.—χρῶ *(26)* + ἢ τὴν αἰγυπτίαν κροκηράν· ἔστι δὲ ἡ σκευασία αὐτῆς τοιάδε P[x] κροκηρὰ—παραπλήσιοι *om.* P[x] 24 ἐλαίου *om.* ω λινοσπέρματος P[x] D P λινόσπερμα ω τοῦ] τῶν P[x] *om.* A χυλῶν P[x] A 25 τὸν *om.* ω τὸν χυλὸν P[x] A ω καὶ *extr.* *om.* P[x] χ ω 26 ἐπίβαλε A D *post* χρῶ: ὡσαύτως καὶ αἱ παραπλήσιοι P[x] 27 *post* ἐν *pr.* τοῖς P[x] A λοιμωδῶν D P *post* ἐν *alt.*: τοῖς ω 28 *post* παρισθμίοις: καὶ τῷ λοιπῷ σώματι (μᾶλλεν δὲ στόματι P[x]) P[x] A 29 ῥεύματος ω

ἀπὸ τῶν συνήθως γιγνομένων περὶ τὰ παρίσθμια φλεγμονῶν ἀποτελεῖται ἀγριωθεισῶν τῶν φλεγμονῶν. γίγνεται δὲ συνεχέστατα μὲν παιδίοις, ἤδη δὲ καὶ τελείοις καὶ μάλιστα τοῖς κακοχύμοις ἐν ταῖς περὶ τὸ ἔαρ συμβαινούσαις λοιμικαῖς καταστάσεσιν. ἐπὶ δὲ τῶν παίδων ὡς ἐπίπαν ἄφθης προηγησαμένης ἀποτελεῖται τὸ πάθος. ἔστι δὲ τὰ μὲν αὐτῶν λευκὰ σπίλοις ὅμοια, τὰ δὲ τεφρώδη τὴν χρόαν ἢ ἐσχάραις ταῖς ἀπὸ καυτηρίων προσεικότα. παρέπεται δὲ τοῖς πάσχουσι ξηρότης περὶ τὴν κατάποσιν καὶ πνιγμὸς ἀθρόως ἐπιπίπτει, καὶ μᾶλλον ὅταν ἐρύθημα ὑπὸ τὸν ἀνθερεῶνα γίγνοιτο, ἢ ταύτης τῆς ὀξύτητος παραδραμούσης νομὴ διαδέχεται τοὺς τόπους καὶ σηπεδών. ὀξέως οὖν δεῖ βοηθεῖν καὶ ἐπὶ τῶν τελείων, εἰ μηδὲν μεῖζον κωλύει, τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα ἀνυπερθέτως. πολλαὶ γὰρ ἐπ' ἀκμῆς παρθένοι ὀργῶσαι πρὸς τὴν ἔμμηνον κάθαρσιν ἁλίσκονται τῷ πάθει, καὶ αὗται μᾶλλον δέονται τῆς φλεβοτομίας, ἐφ' ὧν δεῖ μᾶλλον τὰς ἐν τοῖς σφυροῖς τέμνειν φλέβας. ὑπὸ μίαν δὲ ἀφαίρεσιν ἀρκεῖ κενῶσαι καὶ μὴ μέχρι λειποθυμίας· εἶτα βαλανισμοῖς καὶ διαχρίσμασι τῆς ἕδρας καὶ κλυστῆρσι χρηστέον καὶ σικύαις κατ' ὀσφύος καὶ διαδέσμοις τῶν ἄκρων, καὶ πάσῃ τῇ ἀπὸ τῶν πεπονθότων μερῶν ἀντισπάσει. μετὰ δὲ ταῦτα ἀναγαργαρίσματα προσάγειν φακοῦ ἀφέψημα καὶ μύξων καὶ φοινίκων μετὰ μέλιτος πτισσάνης χυλοῦ, εἶτα πιτύρων ἀφέψημα γλίσχρον ἐν τῇ ἑψήσει γενόμενον καὶ προσλαβὸν μέλι, ἢ ⟨τὴν⟩ διὰ τῶν μόρων στοματικὴν καὶ μάλιστα τὴν διὰ τῶν ῥοῶν σὺν τῷ ὑδρομέλιτι μίξαντα διδόναι ἀναγαργαρίζεσθαι. Φιλουμένου. ἐμπάσσεται δὲ τῷ ὑδρομέλιτι καὶ κόστος καὶ ἶρις καὶ ἀριστολοχία καὶ τὰ παραπλήσια μετὰ τὰς ἀρχάς. καλῶς δὲ ποιεῖ ἐμπασσόμενον τῷ μελικράτῳ καὶ τὸ προγεγραμμένον πρὸς τὰς κιονίδας ξηρὸν φάρμακον διὰ τοῦ ῥοῦ καὶ ῥόδων ἄνθους καὶ κρόκου καὶ κόστου. καὶ γλαυκίου δὲ τῶν φύλλων ξηρῶν ἀφέψημα πικρὸν μέν, ἀλλὰ βέλτιστα ποιεῖ. ἐγὼ δὲ καὶ τοῦ χυλοῦ, ᾧ εἰς τὰ κολλύρια χρώμεθα, ὑδρομέλιτι ἀκρατεστέρῳ διαλύων χρῶμαι ἀναγαργαρίσματι, καὶ μετὰ τοῦτο τῷ τῆς ἴρεως ἀφεψήματι. αὐτοῦ μέντοι τοῦ θαμνίσκου ξηροῦ

24 καλῶς δὲ ποιεῖ κτλ. *cf. Or.*^{c} *ib. (ib. 192, 1—6)* καλῶς—χειραπτεῖν *(473, 3)* *Paul. III 26 (I 201, 28—202, 7)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1 συνήθως (...ν ω) γιγνομένων] συρρηγνυμένων D P περὶ—φλεγμονῶν *om.* ω 2 ἀγριωθέντων φ χ ω 3 καὶ *pr. om.* χ A ω 5. 6 τὸ πάθος—τὰ δὲ τεφρώδη *om.* ω 6 ἢ *om.* P^x χ A ω 7 καυστηρίων L^a χ ω παρεοικότα D P 8 ἀθρόος P ω μάλα ω 9 ἢ† ταύτης, *in marg.* Γρ^{αι} εἶτ' αὖθις D εἶτ' αὖθις P 10 *ante* ὀξέως: Ἀρχιγένους ω οὖν] δὲ ω 11 μηδὲν] δὲ μὴ ω *ante* τέμνειν: καὶ P^x A 12 ἀργῶσιν P^x ...σαι χ A ὀργοῦσαι P ὁρῶσαι ω 15 μὴ *om.* φ D P 16 διαχρίσεσι P^x χ A ω 18 μορίων P^x A D 18. 19 ἀναγαργαρίσμασι L^a ω ...άρισμα ω προσάγειν] προσήκει χρῆσθαι ω 19 φακῆς ω 20 *post* μέλιτος: καὶ D P χυλῶν P^x ...ὸν A ...ῶ ω ἕψεμα L^a γλίσχρων .....γενομένων L^a 21 γιγνομένων ω γινόμενον χ προσλαβὼν φ χ ω τὴν *addidi* τῶν διὰ α, διὰ τῶν *scripsi* 22 τῷ *om.* P^x A μίξοντα L^a χ ...τας P^x 23 Φιλουμένου *om.* α, *exc.* L^a ω 27 γλαυκίων P^x A ω δὲ *om.* ω 28 ποιοῦν D P ποῖα ω τὸν χυλὸν D P · ᾧ (ὃ χ)] ὡς L^a κολλύρια] ταβλία D 29 ἀναγαργαρίσμασι L^a ἀναγαργαρίσματι—τοῦτο *(30)* τῷ *om.* ω 30 *ante* τῷ: καὶ P^x A μέντοι] μὲν ω

τοῦ γλαυκίου λέγω κεκομμένου καὶ σεσησμένου ἀρίστη χρῆσις, ἐμφυσωμένου ἐν τῷ στόματι, ἔνθα τὸ ἕλκος ἐστί. πειρᾶσθαι δὲ δεῖ μὴ προσάγειν δάκτυλον τοῖς τόποις τὸ σύνολον ἢ εὐαφῶς γε πάνυ χειραπτεῖν. οἱ γὰρ ἰδιῶται, οὓς μάλιστα ἐν ἀπόροις ἔχουσιν οἱ ἄνθρωποι, βιαιότερον διαχρίουσιν, ἅμα μὲν πιέζοντες τὸν φλεγμαίνοντα τόπον, ἅμα δὲ ἀποσύροντες τὰς ἐσχάρας· τοῦτο δὲ δεῖ ποιεῖν, ὅταν προσηρτημένην ἤδη τὴν ἐσχάραν θεασώμεθα. εἰ δὲ ἐχέκολλον οὖσαν τὴν ἐσχάραν ἀποσπᾶν αὐτὴν ἐπιχειροῦμεν, βαθύνονται μᾶλλον αἱ ἑλκώσεις καὶ ἐρεθίζονται αἱ φλεγμοναὶ καὶ αὔξουσιν αἱ ὀδύναι καὶ παρακολουθοῦσιν αἱ νομαί. οὐκ οὖν τὰ μὲν ξηρὰ προσήκει ἐμφυσᾶν, τὰ δὲ ὑγρὰ πτερῷ διαχρίειν, ὡς ἔνι ἐσωτάτω ἐκτείνοντας τῷ πτερῷ. χρηστέον δὲ καὶ τῇ δι' αὐτοῦ τοῦ βησασὰ συναγχικῇ καὶ τῇ διὰ τῶν κεκαυμένων χελιδόνων, ἀνιέντας μέλιτι καὶ διαχρίοντας καὶ σὺν ὑδρομέλιτι ἀναγαργάρισμα προσάγοντας. ὤνησε δὲ πολλάκις καὶ ἀριστολοχία καὶ ἶρις καὶ χαλκῖτις μετὰ μέλιτος προσαχθεῖσαι, ἐν αἷς ἐστι καὶ ὁ τοῦ Ἄνδρωνος τροχίσκος καὶ ὁ τοῦ Μούσα. θαυμαστῶς δὲ ἀφιστᾷ τὰς ἐσχάρας καὶ ἡ κυνεία κόπρος μετὰ μέλιτος διαχριομένη καὶ τῶν κεκαυμένων χελιδόνων ἡ τέφρα καὶ τοῦ κεκαυμένου κενταυρίου λεπτοῦ ἡ τέφρα μετὰ μέλιτος διαχριομένη καὶ τῶν χερσαίων κοχλιῶν μάλιστα τῶν γυμνῶν κεκαυμένων ἡ τέφρα μετὰ μέλιτος. πρὸς δὲ τοὺς ἀπηλπισμένους ὑπὸ τῶν ἰατρῶν ἕνεκα ἐσχαρῶν χολὴν κροκοδείλου ξηράνας καὶ λεάνας ἐπίπασσε τῇ ἐσχάρᾳ ἢ μετὰ μέλιτος. δεήσει δὲ μετ' αὐτοὺς ἐκ τῶν τοιούτων φαρμάκων γιγνομένους ἐρεθισμένους, πραΰνειν ἀφεψήματι γλυκυρίζης καὶ τῷ διὰ τοῦ σκυβελλίτου καὶ μαστίχης Χίας καὶ σμύρνης καὶ κρόκου

14 ὤνησε δὲ | 15 καὶ ὁ τοῦ Ἄνδρωνος τροχίσκος *Paul. ib. (ib. 202, 7)* 16. 17 κυνεία — χελιδόνων *Gal. de comp. med. s. loc. ib. 6 (ib 954, 7—8, 13—14)* 19. 20 τῶν χερσαίων — μέλιτος *Gal. de rem. parab. II 11 (XIV, 438, 6—8)* 22—*p. 474, 2* δεήσει — γῆν *Paul. ib. (ib. 202, 7—11)* 23. 24 ἀφεψήματι γλυκυρίζης — κρόκου *cf. Gal. ib. (ib. 437, 1sqq.)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 2 ἐν *om.* D P ω τῷ στόματι *om.* ω ἔνθα — ἐστί *om.* χ D P ω 4 οὓς *om.* L^a ἐν ἀπείροις L^a ἐμπείρους D P 6 δεῖ *om.* ω προηρτημένην A προσηρεισμένην ω 7 *ante* θεασώμ.: θεασάμενος ἢ L^a 8 ἐπιχειρῶμεν P^x A D ...ήσομεν P 9 ἐρεθίζονται] παρακολουθοῦσιν ω 11 ὡς ἔνι (ἐνὶ P^x)] ὡς ἐνεῖν ω ὡσανεὶ D P ἐκτείνοντα P^x ...ναντας P τὸ πτερὸν χ D P τὸ πρότερον P^x A 12 δι' αὐτοῦ] διὰ τοῦ α, *exc.* L^a 13. 14 ἀνιέντες ....διαχρίοντες ...προσάγοντες L^a χ A καὶ διαχρίοντες καὶ — καὶ χαλκῖτις μετὰ μέλιτος *(15) om.* ω *post* ὑδρομέλιτι: ὧν τὰς τοιαύτας σκευασίας μετὰ μικρὸν ἐρῶ ἐν τοῖς κυναγκικοῖς νοσήμασι σαφές, ὁμοίως δὲ τὰς τοιαύτας δὴ ὡς P^x 14 δὲ *om.* P^x A 15 προσαχθέντα P^x χ A ..ῖσα ω διαχριομένη L^a ἐν αἷς] ἐνίοις ω αἷς] οἷς α, *exc.* D P *post* ἐστι: δὲ ω 16 *post* Μούσα: ὧν τὰς σκευασίας νῦν ἐροῦμεν. σκευασία τοῦ Ἄνδρωνος τροχίσκου *sqr. spatium vacuum trium linearum, inde* ἀγαθὴ δὲ καὶ ἡ διὰ καρύων ἀντίδοτος ὧν μετὰ βραχὺ ἐρῶ ἐν τοῖς κυνάγχοις κτλ. P^x ἀφιστᾷ] ἀφαιρεῖ D P ω 17. 18 καὶ τῶν κεκαυμένων — μετὰ μέλιτος *om.* P 18 *ante* τοῦ: ἡ ω λεπτοῦ *om.* χ ω μετὰ μέλιτος *om.* ω 19 διαχριομένη *om.* α, *exc.* L^a D 19 μάλιστα — κεκαυμένων *om.* P^x κεκαυμ. *post* τέφρα *transp.* χ *om.* A 20—22 πρὸς δὲ — μέλιτος *om.* P ἀφηλπισμένοις P^x χ A ἀφελπ. ω 21 ἕνεκα ἐσχαρῶν *om.* ω καὶ *om.* ω 22 τὴν ἐσχάραν P^x χ A D ω μετ' αὐτοὺς] μετὰ τοὺς P^x χ ψ μετὰ τῶν ω τῶν τοιούτων] ποιούντων ω 23 γεγυμνωμένους ω 24 τοῦ] τῶ χ *om.* P^x ψ ω Χίας] λείας χ D P

ἀναγαργαρίσματι, εἶτα καὶ ἀμύλου καὶ τραγακάνθης. σταθείσης δὲ τῆς νομῆς γάλα ἀναγαργαριστέον προσειληφὸς Σαμίαν γῆν. ἐπιμελεῖσθαι δὲ καὶ τῶν πυρετῶν προσήκει· εἰώθασι γὰρ σφοδροὶ παρακολουθεῖν καὶ ἐν ταῖς ἀνακαθάρσεσι μάλιστα τῶν ἑλκῶν φροντίζειν· ἐσπάσθη γὰρ ἤδη τὰ μὲν πολλὰ τῶν νηπίων ἐν τῷ τῆς ἀνακαθάρσεως καιρῷ, τὰ δὲ ἀποξηρανθείσης τῆς καταπόσεως ἀπεπνίγη. εἰσὶ δὲ οἷς αὐτῶν ἐπιβιβρώσκονται οἱ γαργαρεῶνες καὶ μέχρι πολλοῦ κατασχόντων τῶν ἑλκῶν καὶ βαρυνθέντων οὐλῆς ἐπιδραμούσης φθέγγονται στενώτερον. καὶ τὸ πινόμενον πόμα αὐτοῖς ἐπανακάμπτεται εἰς τὰς ῥῖνας, ὥστε καὶ μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν ἔγνων τινὰ διαφθαρεῖσαν κόρην ἤδη ἐπὶ τῆς ἀναλήψεως οὖσαν· μέχρι δὲ τῶν ἑπτὰ ἡμερῶν οἱ πλεῖστοι κινδυνεύουσιν. ἀεὶ δὲ τῶν φλεγμονῶν καὶ τῶν νομῶν ἐπίτασιν εἰληφυιῶν καὶ ἔξωθεν δεῖ πυριᾶν καὶ καταπλάσμασι κοινοῖς χρῆσθαι, φυλαττομένους περίψυξιν· ἄμεινον γὰρ εἰ γένοιτο μεταστῆναι εἰς τὸ ἔξω τὴν ἔνδον ὕλην. προσκεπέσθω οὖν ἀεὶ μετὰ τὰ καταπλάσματα τὰ περὶ τὸν ἀνθερεῶνα μέρη ναρδίνῃ ἢ κυπρίνῃ κηρωτῇ μετὰ περιθέσεως ἐρίων μαλακῶν. τῶν δὲ ἐσχαρῶν ἀπολυθεισῶν καὶ καθαρῶν γενομένων τῶν ἑλκῶν ταῖς ἀνθηραῖς χρηστέον· ἀποθεραπεύουσι γὰρ τὰς ἑλκώσεις καὶ ξηραίνουσι προσαπτόμεναι καὶ μετὰ μέλιτος διαχριόμεναι. ἔστι δὲ τὰ πρὸς τὰς ἐν τῷ στόματι καὶ παρισθμίοις ἐσχάρας σύνθετα φάρμακα τοιαῦτα· Ἀσκληπιάδου διάχριστος πρὸς τὰς μεθ' ἑλκώσεως φλεγμονάς. ῥόδων ἄνθους < η̄ κρόκου <'δ̄ βαλαυστίων σμύρνης ἀνὰ < ᾱ στροβίλων καθαρῶν < ᾱ, ἀναλάμβανε μέλιτι καὶ χρῶ διαχρίων. Ἄλλη Ἀσκληπιάδου πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας. ῥοῦ μαγειρικοῦ < δ̄ ἀκακίας < ᾱ μυελοῦ ἐλαφείου ἢ μοσχείου < δ̄, οἴνῳ γλυκεῖ διαλύσας, ἀναλάμβανε μέλιτι ἀπηφρισμένῳ καὶ χρῶ. Ἀνδρομάχου στοματικὴ εὐώδης ἁπαλὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. στροβίλων κεκαθαρμένων < γ̄ ἀμύλου < β̄ σχιστῆς ἀστέρος ῥόδων ἄνθους κρόκου ἀνὰ

24—*p. 475, 9* Ἀσκληπιάδου—προσφερομένῳ *Gal. de comp. med. s. loc. ib. 6, 7 (ib. 947, 5—8, 946, 5—8, 12—16, 954, 1—7, 955, 7—9)*

φ(Lª Pˣ) χ(Mᵒ) ψ(A D P) ω(Aᵗ) 2 προσειληφότα α, *exc.* Lª δὲ *om.* ω 3 εἴωθεν Pˣ ω ...αν χ A σφόδρα Pˣ χ A ω 3. 4 καὶ ἐν ταῖς] καίοντες Pˣ A 4 ἐν *om.* Lª ἔσπασται D P 5 τῷ τῆς] ταῖς ω ἀνακαθάρσεσι ω καιρῷ] μάλιστα τῶν ἑλκῶν ω 6 *ante* οἷς: καὶ ω 8. 9 οὐλῆς—πόμα *om.* ω *post* φθέγγονται: μὲν D P στεγνώτερον (...ότ.) χ D P τὸ πινόμ.] πινόμ. τὸ D P ω 10 τὴν *om.* φ χ ω 11 ἡμερῶν *om.* α, *exc.* Lª 14 ἄμεινον] μακάριον Pˣ χ A ω γένοιτο] δύναιντο ω μεταστῆσαι D ω τὰ D P ω ἔξωθεν χ ω 15 ἔνδοθεν Pˣ χ A ω προσκείσθω Lª προκείσθω D P περισκέπεσθαι Pˣ ...πτέσθω ω τὰ] *alt.* τοῖς Lª D P 16 μέρεσι Lª D P ἢ *om.* ω 17 *post* μαλακῶν: ἐγράφησαν αἱ ἀνθηραὶ (καὶ αἱ ἀνθηραὶ προεγράφησαν Pˣ) ἐν τῷ πρὸς τὰ νεμόμενα οὖλα κεφαλαίῳ κε̅ (ἐν τῷ κεφαλαίῳ τῷ πρὸς τὰ διαβιβρωσκόμενα καὶ νεμόμενα οὖλα Ἀρχιγένους Pˣ) Pˣ A 19 ξηραὶ Pˣ ψ ω προσαγόμεναι D P ἔστω ω τὰ] καὶ D *om.* P 20 τῷ *om.* D P 21—*p. 475, 6* Ἀσκληπιάδου (...ους Pˣ A)—χαλκίτιδι *om.* P 22 βαλαυστίου χ ω *post* βαλαυστ.: < ᾱ χ A ω *post* σμύρνης: τρωγλίτιδος Pˣ A ἀνὰ *om.* χ A D ω ᾱ] δ̄ α, *exc.* Lª 23—26 Ἄλλη—χρῶ *om.* Lª χ Ἄλλη Ἀσκληπ.] τοῦ αὐτοῦ ω 24 τῷ *om.* A D 25 *ante* μυελοῦ: ὀμφακίου < ᾱ D ω 27 καλή *om.* ω 27. 28 κεκαθαρισμένων Pˣ A *post* σχιστῆς: < ᾱ Pˣ χ A ω *post* ἄνθους: ἀνὰ < ᾱ D < ᾱ ω ἀνὰ *om.* α, *exc.* Lª

< α̅ μέλιτος τὸ ἀρκοῦν. Ἄλλη πρὸς πάντα τὰ ἐν τῷ στόματι καὶ παρισθμίοις. ῥοῦ μαγειρικοῦ < δ̅ ῥόδων ἄνθους < β̅ κρόκου κόστου ἀνὰ < α̅ σὺν μέλιτι διάχριε καὶ σὺν ὑδρομέλιτι ἀναγαργαρίζεσθαι δίδου. Κρίτωνος πρὸς ἐσχάρας. μίσυ ὠμὸν ἢ ὀπτὸν μετὰ μέλιτος διάχριε, παραχρῆμα αἴρει. ἔστω δὲ τοῦ μὲν μίσυος < γ̅, τοῦ δὲ μέλιτος λιτρ΄ α̅· χρῶ δὲ ὁμοίως καὶ τῇ χαλκίτιδι. Ἀρχιγένης δέ φησιν· ἐπὶ τῶν ἐσχαρῶν συμφωνεῖ κυνεία κόπρος μετὰ μέλιτος. ἀρίστη δέ ἐστιν ὅταν ὀστᾶ βεβρωκότες ὦσιν οἱ κύνες· βοηθεῖ γὰρ οὕτως μεγάλως καὶ οὐδεμίαν ἀηδίαν παρέχει τῷ προσφερομένῳ. χρῶ καὶ τοῖς πλείστοις τῶν πρὸς συναγχικοὺς ἀναγραφησομένων βοηθημάτων. Ἄλλο Ἀρχιγένους πρὸς ἐσχάρας ἐν στόματι. χελιδόνων κεκαυμένων καὶ ἀνθρωπείας κόπρου τὸ ἴσον σὺν μέλιτι διάχριε. λάμβανε δὲ τὴν κόπρον οὐ τὴν τυχοῦσαν, ἀλλὰ παιδίῳ διδοὺς τροφὴν πρὸ ἡμερῶν β̅ ἄρτον μετὰ θερμίων καὶ οἶνον σύμμετρον καὶ οὕτως τῇ τρίτῃ τῶν ἡμερῶν λαμβάνων τὴν κόπρον καὶ ξηραίνων ἔχε ἀποκειμένην καὶ ἐπὶ τῆς χρείας λεάνας χρῶ, ὡς προείρηται· ποιεῖ καὶ πρὸς συνάγχας. καὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων φαρμάκων, φησὶν ὁ Γαληνός, πεπειράμεθα καλῶς ποιούντων, ἃ κατὰ λέξιν οὕτως ἔγραψεν. Στοματικὴ πρὸς ἐσχάρας ποιοῦσα καὶ πρὸς οὖλα μυδῶντα καὶ δυσώδη. μίσυος κεκαυμένου < η̅ ἴρεως Ἰλλυρικῆς < δ̅ κρόκου < α̅, λεῖα ποιήσας ἀπόθου εἰς πυξίδα ξυλίνην καὶ χρῶ κατ' ἰδίαν καὶ μετὰ μέλιτος. Ἀνθηρὰ ποιοῦσα πρὸς τὰ εἰρημένα. ἴρεως Ἰλλυρικῆς σανδαράκης κυπέρου ἀνὰ < δ̅ σχιστῆς σμύρνης ⟨κρόκου⟩ ἀνὰ < β̅ κροκομάγματος ἴσον, λεῖα ποιήσας χρῶ. τινὲς δὲ καὶ ῥόδων ἄνθους καὶ κηκῖδος προσβάλλουσιν ἀνὰ < β̅. χρῶ δὲ πρὸς μὲν τὰς σηπεδόνας καὶ τὰ ἀφιστάμενα οὖλα ξηρῷ, πρὸς δὲ τὰς ἐσχάρας μετὰ μέλιτος. Φιλαγρίου πρὸς τὰς ἐν στόματι ἀναβρώσεις.

10—15 Ἀρχιγένους—ἀποκειμένην | 16—26 ποιεῖ—μέλιτος *Gal. ib. 7 (ib. 954, 13—15, 955, 12—15, 956, 11—13, 15—957, 8)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1—3 Ἄλλη—δίδου *om.* A ἐν *om.* ω τῷ *om.* L^a 2 β̅] α̅ ω *post* κρόκου: < α̅ *om.* ἀνὰ *post* κόστου χ A D ω 4—6 Κρίτωνος—χαλκίτιδι *post* μέλιτος *(26) transp.* A D ὀπτὸν ἢ ὠμὸν ω 5 *ante* παραχρῆμα: καὶ P^x A *post* αἴρει κυπέρου < δ̅ L^a ἔστω δὲ] καὶ L^a μὲν *om.* L^a < γ̅] Γο ϛ̅ P^x δὲ *alt. om.* L^a χ 6 καὶ *om.* L^a Ἀρχιγένης—βοηθημάτων *(10) ante* Φιλαγρίου *(26) transp.* P 7. 8 ὁπόταν οἱ κύνες εἰσὶ βεβρωκότες ὀστᾶ ω 9 ἀηδίαν *om.* ω παρέχει] ἐμφέρει P^x A ..φαίνει χ D P ω 10 *post* πρὸς: τοὺς P^x A P ω συναγχικοῖς L^a κυναγκικοὺς P^x χ Ἄλλο Ἀρχιγ. πρὸς ἐσχάρας—στοματικὴ *(18) om.* P Ἀρχιγ.] τοῦ αὐτοῦ ω *om.* L^a 11 *ante* στόματι: τῷ P^x ω κεκαυμένων χελιδόνων ω 12 τὸ *om.* L^a 12. 13 λάμβανε—τυχοῦσαν *om. Ald.* δὲ *om.* ω 13 ἄριστον L^a μετὰ *om.* P^x 14 θέρμου ω *om.* P^x 15 καὶ ξηραίνων—χρείας *om.* ω 16 χρῶ λεαίνων αὐτὴν ω ὡς προείρηται *om.* ω 16. 17 τὰ .....γεγραμμένα φάρμακα ω 18 ἃ κατὰ λέξιν *om.* A 19 μυδοῦντα P^x A 21 καὶ *alt. om.* ω *ante* ἀνθηρὰ: ἕτερα D ἕτερον P 22 *post* ἰλλυρικῆς: < δ̅ χ ψ *post* σανδαράκης: < δ̅ *om.* ἀνὰ *post* κυπέρου χ A *post* σχιστῆς: < β̅ χ ψ ω 23 κρόκου *addidi ex Gal.* ἀνὰ *om.* α, *exc.* L^a < β̅] Γο α̅ ω *om.* P^x D κροκομάγματος ἴσον *om.* ω ἴσον] ἀνὰ < β̅ P^x D < β̅ χ A P 24 κηκίδων P^x A 26 Φιλαγρίου *om.* L^a *post* ἐν: τῷ ω

cχοίνου καρποῦ μηδέπω μελανθέντοc κηκίδων ἀνὰ < δ̄ κόcτου φύλλου ἀνὰ < ᾱ χρῶ. Θεοδώρου πρὸc τὰ ἐν παριcθμίοιc ἕλκη καὶ ἐν οὔλοιc καὶ αἰδοίοιc καὶ πρὸc cηπεδόναc καὶ ἄνθρακαc. cτυπτηρίαc cχιcτῆc cανδαράκηc cμύρνηc τρωγλίτιδοc ἴcα, χρῶ ξηρῷ. Ἕρμου πρὸc τὰc ἐν cτόματι περιcτάcειc πάcαc ἀπὸ ἄφθηc μέχριc ἐcχαρῶν καὶ καρκινωμάτων. ἐρείκηc καρπὸν λεάναc ἀναλάμβανε ὑοcκυάμου χυλῷ καὶ χρῶ μετὰ μέλιτοc. Ἄλλο πρὸc νομὰc ἐν cτόματι καὶ οὔλοιc καὶ γλῶccαν νεμομένην. χυλῷ φύλλων λευκῆc ἀμπέλου, ἣν βρυωνίαν καλοῦcι, μίcυ λεάναc καὶ μέλι ἐπιβαλὼν καὶ cυλλεάναc χρῶ διαχρίων· cμήχει θειότατα καὶ ἀνακαθαίρει· μετὰ δὲ τὸ ἀνακαθᾶραι καὶ cαρκῶcαι τὴν τῆc βρυωνίαc ῥίζαν κόψαc cήcαc χρῶ καὶ ἐπουλοῖ. Ἄλλο τοῦ αὐτοῦ πρὸc τὰc ἐν τῷ cτόματι cήψειc καὶ ἑλκώcειc καὶ νομάc. φύλλων λευκῆc ἀμπέλου χυλοῦ ℥ γ̄ cχιcτῆc ℥ δ̄ μίcυοc ὠμοῦ < δ̄ ἴρεωc < δ̄ μάννηc < δ̄ χαλκάνθου < β̄, λείου ἕωc ξηρανθῇ καὶ χνοῶδεc γένηται καὶ χρῶ ξηρῷ· ἀνακαθαίρει πληροῖ ἀναcτέλλει τὸ ἐπιφερόμενον ῥεῦμα· ἐγὼ δὲ τοῦ πρὸ αὐτοῦ πεπείραμαι· διακλύcματι δὲ χρῶ πρὸc πάντα τὰ ἐν cτόματι ἕλκη καὶ νομὰc καὶ cηπεδόναc καὶ μελανίαc οὔλων· περιcτερεῶνα ὀρθὸν ἑψήcαc cὺν οἴνῳ δίδου τὸ ἀφέψημα θερμὸν διακρατεῖν ἐν τῷ cτόματι. πρὸc πάντα τὰ ἐν τῷ cτόματι καὶ παριcθμίοιc μακάριον βοήθημα φύλλα ἐλαίαc χλωρὰ ἐν ὕδατι ἑψήcαc δίδου ἀναγαργαρίζεcθαι.

ν̄ Περὶ cυνάγχηc καὶ κυνάγχηc Γαληνοῦ. τῆc cυνάγχηc τέccαρέc εἰcι διαφοραί, μία μέν, ὅταν ἡ φάρυγξ φλεγμαίνοι· φάρυγγα δ᾽ ὀνομάζω τὴν ἔνδον τοῦ cτόματοc χώραν, εἰc ἣν ἀνήκει τό τε τοῦ cτομάχου καὶ τὸ τοῦ λάρυγγοc πέραc. ἑτέρα δέ, ὅταν μήτ᾽ ἄλλο τι τῶν κατὰ τὸ cτόμα μήτε ἡ φάρυγξ, ἀλλὰ μηδὲ τῶν ἔξωθέν τι φαίνηται φλεγμαῖνον, αἴcθηcιc δὲ πνίξεωc ᾖ τῷ κάμνοντι κατὰ τὸν λάρυγγα.

22—*p* 477, 16 τῆc cυνάγχηc—ἀνακάμπτει *Gal. de loc. aff. IV 6 (VIII, 249, 3—250, 7)* 25—27 ἑτέρα—φλεγμαῖνον *cf. Or.° IV 71 (464, 22—26)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 cχίνου ψ *post* μελανθέντοc: < δ̄ P^x A ω *ante* κηκίδων: καὶ D P ἀνὰ *om.* P^x χ A ω *post* κόcτου: < ᾱ *om.* ἀνὰ *post* φύλλου χ A ω *ante* φύλλου: καὶ D P 2—4 Θεοδώρου—χρῶ ξηρῷ *om.* L^a P οὖλα α ἐν οὔλοιc *correxi* 3 αἰδοῖα χ ω *ante* ἄνθρακαc: νομὰc καὶ P^x χ A D 4 Ἕρμου (Ἑρμοῦ) *om.* L^a 5 *ante* cτόματι: τῶ ω 6 χυλὸν P^x ω ...οῦ χ 8 χυλῷ φύλλων *om.* ω *post* ἀμπέλου: χυλῶ χ D *post* καλοῦcι: φύλλων χυλὸν ω 9 καὶ μέλι—cυλλεάναc *om.* A ἀναλαβὼν L^a καὶ *alt. om.* A ω 10—16 μετὰ—πεπείραμαι *om.* P τὴν *om.* L^a 11 ῥίζηc L^a Ἄλλο—πεπείραμαι *(16) om.* A 12 τῷ *om.* φ χ D ἑλκώcειc cήψειc ω 13 χυλὸν L^a *om.* P^x ω ἴρεωc μάννηc ἀνὰ < (℥ P^x) δ̄ P^x D *om.* ω 14 λείου ἕωc λεανθὲν D ἕωc ξηρανθῇ λείοι ω γένηται καὶ] καὶ P^x χ *om.* ω 16 δὲ *pr. supra scr. m. 1ª* D *om.* φ τοῦ] τοῦτο ω *post* ἐν: τῶ P ω 19 *post* cτόματι: ἄλλο P^x ψ ω πρὸc πάντα—παριcθμίοιc *om.* ω 20 μακάριον βοήθημα *ante* πρὸc πάντα *(19) transp.* P χλωρὰ ἐλαίαc P ω 22—*p.* 477, 17 Περὶ cυνάγχηc—ὀλίγοιc διαφέρει *post* ἐκλείχειν *(478, 11) transp.* ω Γαληνοῦ *om.* χ D P 23 φλεγμαίνει χ ...η P^x ψ ω 24 ἀνήκη P^x ..έχει *cett. codd., exc.* χ τό *om.* D P 25 ὅτ᾽ ω μήτ᾽ *et* τῶν *om.* ω 26 *post* cτόμα: τότε ω φαίνεται L^a ω 27 τῷ κάμνοντι *om.* L^a

τρίτη δὲ ἐπὶ τούτοις, ὅταν ἡ ἐκτὸς χώρα τῆς φάρυγγος συμφλεγμαίνοι κατὰ τὰς γνάθους· καὶ τετάρτη, ὅταν ἡ τοῦ λάρυγγος ἐκτὸς χώρα ὁμοίως συμφλεγμαίνῃ τῇ ἐντὸς ἢ κατὰ τὸν ἀνθερεῶνα. [πρὸς] ἐπὶ τούτοις δὲ καὶ κατὰ τὸν αὐχένα γίγνεταί τι πάθος εἰς τὴν πρόσω χώραν μεθισταμένου τινὸς τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, ὡς κοῖλον φαίνεσθαι τὸν τόπον καὶ ἀλγεῖν τῇ ἁφῇ ἔξωθεν ψαυόμενον. τοῦτο δὲ συμβαίνει ἑλκωμένων εἴσω τῶν σπονδύλων ὑπὸ τῆς συνισταμένης περὶ τοὺς μῦς τῆς φάρυγγος ἢ τοῦ λάρυγγος φλεγμονῆς [ὅτι ἐπὶ τῶν κυναγχῶν ἡ γλῶσσα ἔξω τῶν ἑαυτῆς ὠθεῖται τόπων ὑπὸ τοῦ μεταστάντος τῇ βίᾳ σπονδύλου, καὶ δυσχεραίνουσι πρὸς τὸ ἀναπνεῖν]. τοῦτο δὲ τὸ εἶδος ἰδίως κυνάγχην ὠνόμασαν οἱ ἀρχαῖοι. ὠθουμένη γὰρ ὑπὸ τοῦ μεταστάντος σπονδύλου κατὰ τὴν ῥίζαν ἡ γλῶττα ἔξω τῶν ἑαυτῆς τόπων προέχει. ἀλλὰ καὶ δυσχέρεια τούτοις πλείστη μᾶλλον γίγνεται περὶ τὴν ἀναπνοήν, ὅθεν ἀναγκάζονται ἀεὶ τῷ στόματι κεχηνέναι καὶ ἕλκειν τὸν ἀέρα. πάντες δὲ οἱ προειρημένοι δυσχερῶς καταπίνουσι παρὰ τὸ μᾶλλον καὶ ἧττον καὶ τὸ ποτὸν αὐτοῖς εἰς τὰς ῥῖνας ἀνακάμπτει. τὰ μὲν οὖν πάθη ταῦτα, ἡ δὲ θεραπεία ἐν ὀλίγοις διαφέρει. [Ἀρεταῖος δέ φησιν· αἰτίαι τῆς συνάγχης πολλαὶ μέν, μάλιστα δὲ ψῦξις πλείων τῶν ἐγκαύσεων καὶ πληγὴ καὶ ὀστέων ἰχθυηρῶν εἰς τὰ παρίσθμια ἔμπαρσις καὶ ψυχροποσίαι, μέθη, πλησμονὴ καὶ τὰ ἀναπνεόμενα κακά. Ἀρχιγένης δέ φησι τῆς κρυπτῆς συνάγχης αἴτιον εἶναι ἐπί τινων τὰ νεῦρα τὰ καταφερόμενα ἐπὶ τὸν στόμαχον κακῶς παθόντα· ταῦτα καὶ τοῖς κατωτέρω μορίοις, πνεύμονι λέγω καὶ καρδίᾳ, πυροῦντι τὴν ἀναπνευστικὴν ὁρμήν, καρωτίσι δὲ ἀρτηρίαις καὶ ταῖς ἄλλαις ταῖς παρακειμέναις μεταδίδωσι. οὐ μὴν κακροῦνται οὗτοι διὰ τὸ δυσκρασίαν εἶναι τὴν αἰτίαν τοῦ πάθους ἐπὶ τούτων, οὐ μέντοι στενοχωρίαν. ἀγαθαὶ οὖν, φησὶν Ἀρχιγένης, αἱ ἐμετικαὶ δυνάμεις ἐπὶ τούτων αἱ διὰ τοῦ ἐλατηρίου καὶ λεπίδος μετὰ μέλιτος διαχριόμεναι. ἐγὼ δέ φησι, τοὺς ὑπὸ τῆς κρυπτῆς κατεχομένους συνάγχης τῷ διὰ

13—16 ἀλλὰ—ἀνακάμπτει *Paul. III 27 (I 203, 26—204, 1)* 18—21 Ἀρεταῖος—κακά *1, 7 (9, 23—25)*

φ(L[a] P[x]) χ(M[o]) ψ(A D P) ω(A[t]) 1 ἐπὶ τούτοις *om.* ω συμφλεγμαίνει χ....η P[x] ψ ω *(Gal.)* 2 κατὰ—συμφλεγμαίνῃ *(3) om.* ω χώρα *om.* P[x] 3 συμφλεγμαίνει L[a] χ P[x] πρὸς *delevi* 4 τι] τὸ P[x] A 5—7 ὡς κοῖλον—σπονδύλων *om.* ω *post* κοῖλον: ἤγουν βαθύτατον ἢ ὁμοίως πάλιν κοῦφον P[x] 7 ἐπὶ ω 8 ἢ τοῦ λάρυγγος *om.* ω *ante* φλεγμονῆς: τῆς ω 8—10 ὅτι—ἀναπνεῖν *om.* χ D P ω *delevi* 10—17 τοῦτο δὲ—διαφέρει *post* ἐκλείχειν *(478, 11) transp.* D P 11 ἰδίως *om.* D P συνάγχην ω 13 προέχει] τρέχει D P πλείστη τούτοις P[x] ψ ω 14 περὶ] παρὰ ω τὸ στόμα P P[x] 16 αὐτοῖς *om.* ω 16. 17 ἀνακάπτει A ω 17 τοιαῦτα D P 18—*p. 478, 11* Ἀρεταῖος—ἐκλείχειν *om.* φ χ A *delevi* μέν *om.* D 19 πλέων ω πληγαὶ ω ἰσχυρῶν *Ald.* 20 ἐμπάρσιαι ω μέθη—κακὰ *(21) om.* ω 22 ἐπί τινων] ἐπιτεῖναι ω 24 πηροῦντα D πληροῦντα P πυροῦντα ω ὁρμήν] ἀρχὴν ω 25 μεταδ. *sc. inflammationen* καροῦνται ω κακ. *corrigendum?* 26 τοῦ πάθους *om.* P 27 ἀγαθὸν D P Ἀρχιγένης *om.* D P ἡ ἐμετικὴ δύναμις D P 28 αἱ] ἡ D P τοῦ *om.* D P χριόμεναι ω διαχριομένη D P *correxi* 29 ἀπὸ ω κατεχομένους *om.* ω

τοῦ cινήπεως ἀναγαργαρίςματι κουφίcας, αὐτίκα εἰc βαλανεῖον ἀπήγαγον, καὶ οὕτως ἐρρυcάμην κινδύνου, ὥcπερ λήθης γενομένης τοῦ πάcχοντος μέρους διὰ τῆc εἰc ὅλον τὸ cῶμα μεταδόcεωc. Ἀρεταῖoc δὲ πρὸc τούτοιc φηcί· ἐπὶ τῆc κρυπτῆc, εἰ ἐπὶ τοῖc ἄλλοιc μὴ ἐνδίδωcι, cικύαc δεῖ κολλῆcαι πάντῃ τοῦ θώρακοc· ἀρχὴ δὲ γιγνέcθω κάτωθεν τοῦ ὀμφαλοῦ, προcανατρέχειν δὲ ἐπὶ πλευρὰc καὶ μετάφρενα, cυνεχῶc μεταφέροντα ἀπὸ τόπου εἰc ἕτερον τόπον καὶ ἕλκοντα τὴν cικύαν ἄνωθεν ἐπὶ τὰ κάτω. εἰ δὲ πάνυ ἐπείγει ἡ πνῖξιc, cίνηπι τρίψανταc cὺν ὕδατι καὶ ἐμπλάcανταc ῥάκει, ἐπιτιθῆναι ἐπὶ τὸ cτῆθοc. ἔκλειγμα δὲ ἐπὶ τούτοιc· cίνηπι νίτρον ὕccωπον cκίλλαν ὀπτὴν θεῖον ἄπυρον δίδου ἴcα πάντα μετὰ μέλιτοc κοχλιάριον ἐκλείχειν].

Ἀρχιγένουc. ἐξ ἀρχῆc οὖν cυντόμου καὶ ἀποτόμου τῆc βοηθείαc χρῄζει πᾶcα cυνάγχη· ἐπειδὴ ὡc ἐπίπαν τοῖc νέοιc γίγνεται, φλεβοτομητέον αὐτοὺc τοίνυν ἀπ' ἀγκῶνοc αὐτίκα, εἰ μηδὲν μεῖζον κωλύοι· ἀφαιρεῖν δὲ πεφειcμένωc καὶ μὴ μέχρι λειποθυμίαc· θᾶττον γὰρ οὗτοι λειποθυμοῦcιν· ἄλλωc τε διὰ τῶν περιψύξεων καὶ τῶν λειποθυμιῶν ῥᾳδίωc ἡ ὕλη εἰc τὸν πνεύμονα ἐκ τῶν περὶ φάρυγγα τόπων μεθίcταται καὶ ἄφυκτον τὸν κίνδυνον ἐπιφέρει. φροντιcτέον δὲ καὶ τοῦ cύμμετρον εἶναι τὴν διαίρεcιν· ἐπὶ γὰρ τῶν μεγάλων διαιρέcεων ἀθρόωc ἐμπίπτει λειποθυμία, μηδὲ μὴν cτενὴν διδόναι τὴν διαίρεcιν, ἵνα μὴ διυλιζόμενον τὸ αἷμα ἔνδον ἀπομείνῃ τὸ παχύτερον, ὅπερ ἐcτὶ τῆc διαθέcεωc αἴτιον. ὠφέλιμοc δὲ αὐτοῖc ἡ ἐπαφαίρεcιc τῇ ἑξῆc ἡμέρᾳ γιγνομένη, εἰ φόβοc εἴη λειποθυμίαc. εἰ δὲ γυνὴ εἶεν cφυροτομεῖν πάντωc καὶ cυμμέτρωc ἀφαιρεῖν, εἶτα μετὰ τρεῖc ἡμέραc τέμνε τὰc ἐπιγλωττίδαc, cκοπῶν μηδόλωc λειποθυμίαν γενέcθαι. τοῦτο δὲ ποίει ἐὰν ὁ ζωτικὸc τόνοc ἐπιτρέπῃ καὶ ἰcχνότηc τοῦ cώματοc οὐκ ἔcτιν. εἰ δέ τι κωλύοι τὴν φλεβοτομίαν, κλύζειν δι' ἀφεψήματοc κενταυρίου ἀψινθίου καλαμίνθηc ἀριcτολοχίαc μέλιτοc νίτρου πλείcτου,

3 Ἀρεταῖοc κτλ. *loc. genuinum non inveni at cf. I, 7 (9, 18 sqq.) V 8, 16 (109, 111, 23 sqq.)* 7. 8 τὴν cικύαν | 13—20 φλεβοτομητέον—λειποθυμία *cf. Paul. ib. (ib. 24, 5—8)* φλεβοτ. αὐτοὺc *cf. Or.*^e *ib. (ib. 24—25)*

φ (L^{a} P^{x}) χ (M^{o}) ψ (A D P) ω (A^{t}) 1 cινάπεωc ω εἰc βαλανεῖον αὐτίκα ω 4 πρὸc τούτοιc *om.* ω 4. 5 ἐπὶ τῆc κρυπτῆc—θώρακοc *om.* ω 5 δὲ *om.* ω γενέcθω ω 6 *ante* μετάφρενα: τὰ D 7 *ante* τόπου: τοῦ *Ald.* ἕτερον *om.* ω 8 κατεπείγει ω πνὺξ ω cίνηπι] †πέπλιον, *in marg.* †Γρ^αι' δίπλι^ον D δίπλιον P 8. 9 cὺν ὕδατι τρίψαc cίνηπι λεῖον καὶ ἐμπλάcαc ῥάκει ἐπιτίθει ω 10 ἔλιγμα ω ἐπὶ *om.* ω λίτρον D P cκίλλα ὀπτὴ D P 11 δίδου *post* μέλιτοc *transp.* D ω ἴcα *om.* ω 12 Ἀρχιγένουc *in marg.* P^{x} *om.* L^{a} D P 14 αὐτοὺc—ἀπ' *om.* P^{x} τοίνυν *om.* ψ *ante* ἀγκῶνοc: τὴν τοῦ κρανίου φλέβα, εἰ δὲ μὴ ἠὺριcκο^μν, τὴν τοῦ P^{x} 15 πεφειcμένωc (....φυcμ.)] πεφοβιcμένωc P^{x} A *ante* καὶ: ὀλιγάκιc αἷμα κατὰ τὸ cύμμετρον ὡcεὶ ℔ γ̄, εἰ δὲ εὐεξίαν cώματοc ἔχει ὁ κάμνων ἔα κενῶcαι ὡcεὶ λι c̄ P^{x} 18 τὸν *om.* P^{x} D P 19 διαίρεcιν] δύναμιν L^{a} *post* ἐπὶ: μὲν P^{x} χ ψ *ante* μεγάλων: ἄλλων καὶ ω 21 τὸ *om.* χ D P 22 τῆc ...ἡμέραc P^{x} A 23 εἴη] ἢ P^{x} ψ ω 23—27 εἰ δὲ γυνὴ—cώματοc οὐκ ἔcτιν *om.* χ D P ω 25 ἐπιγλωττίδων α, *exc.* L^{a} 26 ἐπιτρέπηται L^{a} 27 ἔcται L^{a} κωλύει P^{x} χ D P ω ἐψήματοc P^{x} A 28 *post* ἀψινθίου: χαμαιμήλου μελο^χ' λινοζώcτ⟨εωc⟩ ἀνεμοχορ^τ' πτιcάνηc καὶ κριθαρίου, εἶτα βράcαc ἐπίθεc πικρὰν ℔c κτλ. P^{x} καλαμίνθου P^{x} χ D P ...θίου ω

ἔπειτα δὲ καὶ καθαρτήριον διδόναι τῶν μᾶλλον φλέγμα κενούντων. καταλληλότατον δὲ τοῖς συναγχικοῖς εἶναι δοκεῖ τὸ ἐλατήριον, ἄμεινον δὲ αὐτὸ διδόναι μετ᾿ ὀροῦ γάλακτος καὶ κνήκου τοῦ ἐντὸς συνεψομένου τῷ ὀρῷ. καὶ τὰ ⸢δι᾿ ἀλόης δὲ καὶ κολοκυνθίδος καταπότια αὐτοῖς ἁρμόδια, εἴγε καταπίνειν δύναιντο. εἰ δ᾿ εὔτολμος εἴη ὁ ἰατρὸς καλὸν ἐπὶ τούτων καὶ τῆς διὰ κολοκυνθίδος ἱερᾶς Ἀρχιγένους < γ̄ μετ᾿ ἀφεψήματός τινος τῶν προρρηθέντων διὰ κλυστῆρος ἐνιέναι προκενώσαντα ἐκκοπρωτικῷ τινι. μετὰ δὲ τὰς καθολικὰς κενώσεις σικύας δεῖ προσάγειν. ὄγκου μὲν οὖν ὄντος παρὰ τὰς γνάθους ἢ ὑπὸ τῷ ἀνθερεῶνι, κατ᾿ αὐτοῦ τοῦ ὄγκου μετὰ ἀμυχῶν καὶ ἱκανὸν αἷμα ἑλκυστέον καὶ ἁλσὶ καταπάσσειν τὰς ἀμυχὰς καὶ ἀνατρίβειν. εἰ δὲ μηδεὶς ὄγκος ἔξωθεν φαίνοιτο, ὡς εἴωθε γίγνεσθαι ἐπὶ τῆς κρυπτῆς λεγομένης κυνάγχης, ὄπισθεν ὑπὸ τῷ ἰνίῳ κολλητέον τὴν σικύαν κατὰ τῶν πρώτων σπονδύλων, ἐπιμόνως δὲ τῇ ὁλκῇ χρησόμεθα καὶ δαψιλέστερον ἐπισπασόμεθα τὴν σικύαν. καλῶς γὰρ ἀντιβαίνει ταῖς γιγνομέναις τῶν σπονδύλων μεταβάσεσιν ἡ τοιαύτη ἔντασις· εἶτα διαστήματος γιγνομένου ἀπὸ τῶν ἄλλων βοηθημάτων καταπλάσσειν χρὴ τῇ αὐτῇ ἡμέρᾳ ἢ τῇ ἑξῆς, τὴν δὲ πλείω ἐλπίδα ἐν τοῖς διαχρίστοις καὶ τοῖς ἀναγαργαρίσμασι θετέον. καταπλάσμασι δὲ κεχρῆσθαι δεῖ τοῖς δυναμένοις συμπέττειν καὶ διαφορεῖν τὰ φλεγμαίνοντα, οἷόν ἐστι τὸ διὰ κριθῶν καὶ λινοσπέρμου [καὶ φοινίκων ἑψηθέντων εἰς ἕψημα, ἔχοντα κρόκου καὶ ψιχῶν, πολλάκις μετὰ τοῦ ἑψήματος, χωρὶς τοῦ λινοσπέρμου] καὶ τῶν ἄλλων φεύγειν δὲ δεῖ τὰ χαλῶντα μόνον καὶ πάνυ ἀποκρούοντα. εἰ δὲ χρονίζουσα ἡ φλεγμονὴ σκληρὰ γένοιτο, προσπλέκειν δεῖ ἰσχάδας καὶ λάπαθα καὶ στέατα καὶ νίτρου βραχέος, ἕλκειν δὲ τὴν ὕλην τὴν παγεῖσαν. φεύγειν δὲ τὰ δι᾿ ὑδρελαίου γιγνόμενα καταπλάσματα, ὡς πάνυ βλαπτικὰ τυγχάνοντα. ἐπὶ μὲν οὖν τῶν μετὰ φλεγμονῆς πολλῆς

27—*p. 480, 5* ἐπὶ μὲν οὖν—διακλυζέσθωσαν *Or.*ᶜ *35 (IV 198, 12—18)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 δὲ *om.* ω 2 εἶναι *post* δοκεῖ *transp.* ω *om.* L^a ἄμεινον] οὐ μὴν ω 3 δὲ *om.* P^x A μετὰ γάλακτος ὀρροῦ ω καὶ *om.* α, *exc.* L^a κνήκου τοῦ] κατὸ L^a 3. 4 τοῦ ἐντὸς—ὀρῷ *om.* ω συνεψομένῳ L^a A 5 εἴγε] ἐὰν ω *post* δύναιντο: καταπλάττειν δὲ τὸν λάρυγγα καὶ τὴν ὑποκειμένην ἀρτηρίαν δι᾿ ἀλθαίας κτλ. P^x δ᾿ (δὲ) *om.* P^x χ D P 6 *post* τούτων: καθαίρειν τὸν πάσχοντα P^x καὶ τῆς *om.* L^a 7 ἀφεψήματος—ἐνιέναι] ἀποζέματος ὑσσώπου σχοίνου ἄνθους ζίζιφα κρι$^{θρ'}$ γλυκυριζ' πολυτρι$^{χ'}$ σεμπεστε$^{ν'}$ καὶ δαμάσκινα P^x τινῶν P *om.* χ *ante* διὰ: ἢ L^a 7. 8 προδιακενώσαντος D ...σαντα P κενώσαντα ω 9 μὲν οὖν ὄντος] μένοντος P^x A ω οὖν *om.* L^a D P περὶ D P ω 9. 10 τὸν ἀνθερεῶνα P^x A 10 κατ᾿ αὐτοῦ] κατὰ ψ 13 συνάγχης D ω ὑπὸ] ἐπὶ ω 13. 14 τὸν πρῶτον σπόνδυλον P^x A ω 14 (καὶ ω) ἐπιμόνῳ L^a ω δὲ *om.* ω χρησώμεθα φ χ A 15 ἐπισπασώμεθα P^x χ A τῇ σικύᾳ D P 16 μεταστάσεσιν P^x χ A ω τάσεσιν D P ἔντασις D P 16. 17 γενομένου D P 17 *ante* ἀπὸ: ἀπὸ τῶν σπονδύλων ἢ L^a 18 ταῖς P^x A τοῖς *om.* χ ψ 19—27 καταπλάσμασι—βλαπτικὰ τυγχάνοντα *om.* χ D P ω 20 κριθίνου L^a 21 λινοσπέρμων P^x 21. 22 καὶ φοινίκων—λινοσπέρμου *om.* A *delevi* κρόκον ...ψυχὰς (ψύχας) P^x A 23 τοῦ ἄλλου L^a χολοῦντα P^x *ante* πάνυ: τὰ P^x A 24 γένηται P^x 25 λάπαθον P^x A στεάτων P^x A δὲ] δεῖ P^x τὴν *alt. om.* P^x A

ἀρχομένων τὰ πράως cτύφοντα παραλαμβάνειν χρὴ ἐν ἀρχαῖς, ῥόδων φακῆς φοινίκων ἀφέψημα, ἄνθος ῥόδων ὑδρομέλιτι ἐμπάσσοντα, ῥοῦν ἐναφεψῶντας τῷ ὑδρομέλιτι, μύξων ἀφέψημα. εἰ δέ τις ἀναδορὰ γένηται τῶν cωμάτων, ἄρτου ἀπόβρεγμα θερμὸν δοτέον ἢ πιτύρων ἀφέψημα διακλυζέcθωcαν ἢ γάλα. ἐμοὶ δὲ ξηρὸν φάρμακον ἀπόκειται, φηcὶν Ἀρχιγένης, πεποιημένον ἀπὸ ῥοὸς μὲν μαγειρικοῦ < η̄ ῥόδων δὲ ἄνθους < δ̄, κόστου δὲ καὶ κρόκου ἀνὰ < β̄· ἐκ τούτου εἰς μελίκρατον ἐμπάccων ἀναγαργαρίcματι χρῶμαι καὶ φλεγμονὰς καὶ ἑλκώcειc ἐν παριcθμίοιc θεραπεύω ῥᾷcτα, κἂν τύχωcιν ἐπὶ τῆc ἀνωτάτω ἀπειλῆc οὖcαι. καὶ διαχρίcματα δὲ τοῖc ἐν φλεγμονῇ οὖcι τὰ πραότερα οἰκειότερα, οἷόν ἐcτι τὸ διὰ μόρων καὶ τοῦ ῥοὸc τοῦ μαγειρικοῦ τὸ ἀπόβρεγμα ὑδρομέλιτι ἑνεψόμενον, ἕωc cυcτάcεωc. προαποβρέχειν δὲ δεῖ τὸν ῥοῦν ἕωc κατακόρωc χρωcθείη τὸ μελίκρατον καὶ τῇ γεύcει ἐμφαίνοι τὴν δύναμιν. ποιεῖ δὲ καὶ ῥόαc γλυκείαc ὅληc μετὰ τῶν λεμμάτων θλαcθείcηc, ὁ χυλὸc μέλιτι μιγείc, ὥc εἶναι τοῦ μὲν χυλοῦ μέρη τρία, τοῦ δὲ μέλιτοc μέροc ᾱ· ἕψεται δὲ μέχριc cυcτάcεωc καὶ διαχρίεται. εἰ δὲ πρὸc μηδὲν τούτων εἴκοι, ἀλλ᾽ ἐπιτείνοιτο τὸ πάθοc, τὰc ὑπὸ τὴν γλῶτταν φλέβαc τμητέον ἢ τὰc ἐν μετώπῳ ἢ τὰc παρὰ τοὺc μεγάλουc κανθούc· ἔξωθεν δὲ ἀεὶ περὶ τὸν τράχηλον ἔρια περιτιθέcθω ἐλαίῳ θερμῷ cυνεχῶc βρεχόμενα ἢ κηρωτὴ διὰ κυπρίνου ἐcκευαcμένη ἐπικείcθω, μᾶλλον δὲ διὰ γλευκίνου. εἰ δὲ ἐγχρονίζοι, προcδοκητέον ἀπόcταcιν ἔcεcθαι· τότε δὲ ἁρμοδιώτατον τὸ ἀφέψημα τῶν cύκων καὶ πολὺ μᾶλλον εἰ τὸ ὕccωπον προcλάβοι. οὐκ ἀνεπιτήδειον δὲ ἐπὶ τῶν ἡλκωμένων πωc κρόκοc cὺν μελικράτῳ ἢ γλυκυρίζηc ἀφέψημα. ἐν δὲ ταῖc ἀκμαῖc πάντων ὠφελιμώτατον καὶ διαλύει

11. 12 τὸ διὰ μόρων—cυcτάcεωc | 17—21 εἰ δὲ—γλευκίνου *cf. Paul. III 27 (I 204, 13—17, 8—13)* 22—*p. 481, 1* ἀφέψημα—πτιccάνηc *Or.ᶜ ib. (ib. 18—20)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ἀρχῇ D P ω 2 φακῆc] ὄμφακοc P^x A ἐμπάccοντα—ὑδρομέλιτι *om.* L^a ἐμπάccονταc D ...πλάccοντα ω *ante* ῥοῦν: καὶ ω 3 ἐναφέψοντεc χ ω τῷ ὑδρομέλιτι *om.* ω *ante* εἰ: περὶ ἀναδορᾶc cώματοc ἐν τῷ cτόματι P^x A 6 η̄] ᾱ ω 7 δὲ *pr. om.* P^x P ω δὲ *alt. om.* D P ω 9 ῥᾷcτα] κάρτα L^a ἀνωτάτηc P^x A 9. 10 ἁπλῆc L^a 10 *post* οὖcαι: ὅτι ἐπὶ τῶν ἐχόντων φλεγμονὴν πολλὴν τὰ πράωc cτύφοντα P^x A πραοττ′ ω 11 οἰκειότερον P^x *om.* ω οἷον—διὰ μόρων *om.* P *post* μόρων: καὶ τοῦ διὰ καρύων ἑνὲc εἰρήκαμεν ἔμπροcθεν μετὰ ἀποβρέγματοc P^x *ante* τοῦ *pr.*: τὸ P^x D P τὸ *alt. om.* P^x χ D P 12 *post* ἀπόβρεγμα: μυρτοκόκκων cιδίων ἢ ῥοιδίων γλυκέων ἀμφότερα—ἢ τοῦ ῥοὸc τοῦ μαγειρικοῦ μόνου τὸ ἀπόβρεγμα P ἐναφηψημένων D P 13 δεῖ] χρὴ χ *om.* ω 14 ἐμφαίνει χ A ω ...φαιν′ P^x ...νοιτο D P *post* δύναμιν: δίδου δὲ ἀναγαργαρίζειν τὴν διὰ τοῦ βηc⟨α⟩cὰ ἀντίδοτον κτλ. P^x ποιεῖ] ἔcτι A εὖ P^x χ ω 17 διαχρίcεται ω εἴκει P^x A *om.* ω ἐπιτείνει P^x A ω ...νοι χ P τὸ πάθοc] τῷ πλήθει ω 18 γλῶccαν α, *exc.* φ φλέβαc *om.* ω περὶ χ D P 19 *post* κανθούc: εἶτα τῇ ἑξῆc cικυαcτέον ὄπιcθεν τῷ ἰνίῳ κτλ. P^x δὲ *om.* L^a 20 μετὰ ἐλαίου θερμοῦ ἑνὲc ἑψείcθω μετὰ ἀψινθίου P^x βρεχόμενα] ἀλλαττόμενον θερμὸν ἢ δι᾽ ἀλθαίαc P^x 21 *post* γλευκίνου: ἐλαίου ω ἐγχρονίζει α, *exc.* L^a D 22 *post* προcδοκ.: ὃν L^a τότε] τὸ δὲ A τὸ ω δὲ *om.* L^a ἁρμοδιώτερον α, *exc.* L^a 23 *ante* πολύ: ἔτι A ἐπὶ P^x εἰ *om.* L^a προcλάβῃ ω 24 πωc καὶ cὺν μελικράτῳ ἢ κρόκοc ω πωc] ποcῶc D P ἢ] ἢ καὶ χ καὶ D P *om.* ω

ἀπειλὰς ἀποστηματικὰς καὶ παρίστησι ταχέως χυλὸς πτισσάνης ἀναγαργαριζόμενος ἢ χόνδρου, εἰ δὲ μή, πιτύρων πάνυ καθηψημένων. ταῦτα μὲν τούτοις. ἐπὶ δὲ τῶν χωρὶς φλεγμονῆς καὶ ἕλκους συναγχικῶν, οἵτινες αὐτῷ τῷ πλήθει μόνῳ ἐμπεφραγμένοι κινδυνεύουσιν, τὰ δριμύτερα εὐθὺς ἐξ ἀρχῆς ἁρμοδιώτερα μετὰ τὰς καθολικὰς κενώσεις· ὑδρόμελι τοίνυν ἀκρατέστερον ὠφέλιμον ἐναφεψηθέντος αὐτῷ ὑσσώπου καὶ ὀριγάνου. εἰ δὲ περὶ τὰ ἄνω μέρη κατ' αὐτὴν τὴν φάρυγγα εἴη τὸ αἴτιον, καὶ σίνηπι λεαίνοντες σὺν τῷ μελικράτῳ καὶ διηθήσαντες προσάξομεν ἀναγαργάρισμα.¦ ἁρμόδιον τούτοις καὶ κασσίας ἀφέψημα καὶ ἴρεως καὶ πάνακος ῥίζης γεντιανῆς κενταυρίου ἀριστολοχίας ἀγαρικοῦ σικύου ἀγρίου ῥίζης, ἕκαστον σὺν ὑδρομέλιτι ἐπὶ πολὺ ἡψημένον, ὥστε χυλωθῆναι. ἐχρησάμην δὲ καὶ ἐπὶ τῆς κρυπτῆς συνάγχης τῷ διὰ τοῦ σινήπεως ἀναγαργαρίσματι καὶ πολλάκις ἐρρυσάμην τοῦ κινδύνου. διάχρισμα δὲ ἐπὶ τούτων ἁρμόδιον, λέγω δὴ τῶν χωρὶς ἑλκώσεων συναγχικῶν, τὸ διὰ τοῦ βησασὰ σκευαζόμενον καὶ τὸ διὰ τῶν κεκαυμένων χελιδόνων, ὧν τὰς σκευασίας μετὰ βραχὺ ἐρῶ σὺν τοῖς ἄλλοις βοηθήμασιν. ὠφελοῦνται δὲ καὶ δι' ἀτμοῦ πυριώμενοι ἔσωθεν τόνδε τὸν τρόπον· ὀρίγανον ὕσσωπον θύμβρα μαράθρου σπέρμα νίτρον σὺν ὄξει πλείστῳ ζέσας ἐπιμελῶς ἐν χύτρᾳ καὶ πωμάσας τὴν χύτραν πώματι τρήματα ἔχοντι κατὰ τὸ μέσον, εἶτα κάλαμον τῷ τοῦ κάμνοντος στόματι καὶ τῷ τρήματι ἐναρμόσας ἔα πυριᾶσθαι. ἐὰν δὲ κατακαίονται τὸ στόμα, ζέοντος τοῦ καλάμου ᾠὸν κενὸν τετρημένον μικρὸν ἑκατέρωθεν τῷ στόματι διακρατείτωσαν καὶ δι' αὐτοῦ ὁ κάλαμος διερχέσθω. μαλακωτέρα δὲ ἡ πυρία γίγνεται, ἐὰν ἀντὶ τοῦ ὄξους ὀξύκρατον ἐμβάλλοις ἢ ὕδωρ. χρὴ μέντοι ἐπὶ τούτῳ τὰ ἀμυκτικώτερα προσάγεσθαι, ἵνα ἐπαναστῇ ἡ σὰρξ καὶ μεταβῆναι δυνηθείη τὴν ἐν τῷ βάθει θλῖψιν. ἄπορος γὰρ ὑπὸ τῆς ἀγριότητος πολλάκις γίγνεται ἡ διάθεσις

1 χυλὸς πτισσ. ἀναγαργαρ. | 6. 7 ὑδρόμελι—ὀριγάνου *Or.*^{e} *IV 71 (469, 31, 33)* 3 ἐπὶ δὲ τῶν χωρὶς φλεγ. | 6. 7 ὑδρόμ.—ὀριγ. *cf. Or.*^{c} *ib. (ib. 198, 24—26)* 6 ὑδρόμελι—ὑσσώπου | 10 ἴρεως | 15 τὸ διὰ τοῦ βησ. σκευαζ. *Paul. ib. (ib. 204, 25—26, 22)* 26. 27 ἵνα—θλῖψιν *cf. Or.*^{c} *ib. (ib. 198, 28, 29)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 *post* ἀπειλὰς: πολλὰς εἴ τι καὶ ω 3 *post* μὲν: οὖν D P 3. 4 τούτοις—τῷ πλήθει *om.* ω *ante* ἐπὶ: περὶ τῶν χωρὶς φλεγμονῆς (...ῶν P^x) ἕλκους συναγχικῶν (κυν. P^x) P^x A 4 ἐμπεφραγμένω D P 5 καθολικὰς] καθεξῆς P ω 7 καὶ] ἢ ω *om.* φ χ A *ante* εἰ: ὅτι ἐπὶ τῶν χωρὶς φλεγμονῆς καὶ ἕλκους τὰ δριμύτερα εὐθέως προσακτέον P^x A *post* μέρη: ἢ D P 8 λεάναντες D P τῷ *om.* A D 8. 9 προσάξωμεν P^x χ A 10 *ante* γεντιανῆς *et* κενταυρίου: καὶ D P 11 ἑψώμενον P^x χ 13 πολλάκις *om.* ω 14 ἁρμόδιον *om.* D P ἑλκώσεως P^x χ A 15 τὸ *alt.* *om.* A ω 16 τοῖς *om.* ω 17 *post* βοηθήμασιν: πυρία δι' ἀτμοῦ τῆς λοπάδος P^x A διὰ τοῦ ἀτμοῦ ω 18 νίτρον *post* πλείστω *transp.* ω *post* πλείστῳ: τινὲς δὲ καὶ ἀψίνθ⟨ιον⟩ καὶ χαμαίμηλον P^x 20 τρῆμα (..μμα) α, *exc.* L^a 26 καὶ τῷ τρήματι *om.* D P εἰ D P κατακαίωνται A ...εται D P ω 22 τῷ στόματι ω τοῦ ζέοντος καλάμου L^a τοῦ καλ. ζέοντ. ω 22 καινὸν L^a μικρὸν τετρημένον (...τρυμμ. P^x ...τριμμ. ω) α, *exc.* L^a 23 διακρατείτω D P ω 24 δὲ] γὰρ ω 25 ἐμβάλης P^x A 26 μεταλαβεῖν P^x A ω ...βαλεῖν ...βάλλειν *corr.* D ...λαβεῖν χ ... βάλλειν P 27 ὑγρότητος P^x A

αὕτη, ὥςτε καὶ μυςαρὰ αὐτῇ προςάγεςθαι. κόπρῳ γὰρ ἀνθρωπείᾳ τινὲς ἐπ' αὐτῶν ἐχρήςαντο διαχρίςματι καὶ ςφόδρα ὠφέληςαν, τινῶν μὲν πρόςφατον λαμβανόντων αὐτήν, τινῶν δὲ ξηρὰν λεαινόντων [καὶ καταπότια διδόντων] καὶ νάρδῳ τὴν ὀςμὴν καλυπτόντων ἢ ςμύρνῃ. ἀπὸ δὲ τῶν δριμυτέρων καὶ ἀμυςςόντων ἐπὶ τὰ μετριώτερα δεῖ μεταβαίνειν, οἷά ἐςτιν ὁ Ἀνδρόνιος τροχίςκος καὶ τὰ παραπλήςια. ἀγαθαὶ δὲ ἐπὶ τούτων καὶ ἐμετικαὶ δυνάμεις, μάλιςτα ἐφ' ὧν βάρους ςυναίςθηςις περὶ τὴν γαςτέρα ςυνεδρεύει. κινεῖ δὲ ἔμετον ἐλατήριον ςὺν ἐλαίῳ ἢ μέλιτι λειωθὲν καὶ διαχριόμενον ἐςωτάτω, πολλῷ δὲ μᾶλλον προςλαβὸν λεπίδα χαλκοῦ, ἢ αὐτὸν τὸν κεκαυμένον χαλκὸν καὶ λεανθέντα ςὺν ἐλαίῳ κυπρίνῳ καὶ διαχριόμενον. καλῶς δὲ ποιεῖ καὶ χολὴ ταυρεία διαχριομένη καὶ νίτρον ςὺν ὀξυμέλιτι πινόμενον καὶ κενταυρίου χυλὸς μετὰ μέλιτος καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι ςὺν μέλιτι ἐκλειχόμενοι. τινὲς δὲ καρδάμου ςπέρμα λειώςαντες ἐπότιςαν ὅςον κοχλιάριον μετὰ μελικράτου, εἶτα μικρὸν ὕςτερον ἤμεςαν οὗτοι φλέγμα παχύτερον καὶ γλίςχρον, καὶ παραχρῆμα τῶν πλείςτων ὀχληρῶν ἀπηλλάγηςαν. ἢ ἀλεκτορίδος κόπρου τὸ λευκὸν καὶ ψιμμύθιον ξηράνας ἀπόθου καὶ ἐπὶ τῆς χρείας λεάνας μεθ' ὕδατος ἢ μελικράτου πότιζε κοχλιάριον· καὶ γὰρ ἀπεγνωςμένους ἰᾶται· εἰ δὲ πίνειν μὴ δύναιντο, λεάνας μετὰ μέλιτος διάχριε ὡς ὅτι ἐςωτάτω ἢ κενταυρίου νίτρου καὶ ἁλὸς κοινοῦ ἀνὰ < η̄ λεάνας ἀπόθου ξηρὸν καὶ ἐπὶ τῆς χρείας μέλιτι δεύςας διάχριε πτερῷ ἢ ὡς βούλει χρῶ θαρρῶν· πεπείραται γάρ. Ἄλλο. κόψας ςήςας ἀψίνθιον καὶ νίτρον λεῖον ἐπιβαλὼν διάχριε μετὰ μέλιτος. Ἄλλο. ἐλατήριον μετὰ χολῆς ταυρείας καὶ μέλιτος λεάνας διάχριε. Ἄλλο. ἅλας κοινὸν λεάνας μετὰ μέλιτος ἢ μετ' ἐλαίου παλαιοῦ καὶ ὄξους, ἐν ᾧ ἥψηται ςκίλλα, διάχριε. Ἡ διὰ τοῦ βηςαςὰ ςτοματικὴ Ἀνδρομάχου πρὸς ςυνάγχας καὶ τὰ ἀπηλπιςμένα, ᾗ χρῶμαι, φηςί,

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 μυςερὰ P^x A ἀνθρωπίνῳ ω 2 ἐπ' αὐτῶν *et* διαχρίςματι *om.* ω 3 *post* λεαινόντων: αὐτὴν ω 3. 4 καὶ καταπ. διδ. *om.* P^x χ A ω *delevi* ςμύρνῃ] μυρςίνῃ L^a 5 *ante* ἀπὸ: ὅτι ἐπὶ τῶν ςυναγχικῶν μετὰ τὸ προςαγαγεῖν τὰ δριμέα καὶ ἀμύςςοντα ἐπὶ τὰ μετριώτερα βοηθήματα δέον μεταβαίνειν P^x A ἀμυςόντων D P *ante* ἐπὶ: τοὺς τόπους P^x D P 6 οἷος α, *exc.* L^a *ante* ἐςτιν: τε ω ἀγαθὸν χ ω ...ἡ P 7 ἡ καθαρτικὴ δύναμις P *post* δυνάμεις: εἰςὶν P^x χ A D 7. 8 βάρος ςὺν αἰςθήςει L^a 9 ἐλαιομέλιτι P *(Ald.)* καὶ *om.* ω 10 προςλαβὼν φ χ ω παραλαβὼν P *(Ald.)* λεπίδος L^a κεκαυμένον *post* χαλκὸν *transp.* D *om.* P *(Ald.)* 11 λειωθέντα P^x λεανθὲν P ω 12 ταυρεία χολὴ P^x A διαχριομένη] ὁμοίως ω 13 κενταύριον ω χυλὸς μετὰ μέλιτος *om.* ω χυλοῦ P^x ...ὸν A 14 *ante* καρδάμου: καὶ D P 15 ὕςτερον *om.* ω 16 παχύτατον α, *exc.* L^a 17 ἢ] ἄλλο α, *exc.* L^a κόπρον P^x D P ψιμίζωνος L^a ψιμιθήζον P^x ψιμι$^{θ'}$ χ ψυμίζον A 18 λεάνας *om.* ω 19 καὶ *om.* L^a *ante* πίνειν: καὶ P^x A δύνηται D ...ναται P 20 *ante* λεάνας: τότε D P ὅτι *om.* ω 20—22 ἢ κενταυρίου — πεπείραται γὰρ *om.* L^a ἢ] ἄλλο P^x χ A ω *post* κενταυρίου *et* νίτρου < (ϝ P^x) η̄ *om.* ἀνὰ *post* κοινοῦ P^x χ A 22 ἢ ὡς βούλει *om.* ω 23 ἀψίνθιον κόψας καὶ (καὶ *om.* χ A D ω) ςήςας καὶ νίτρον (καὶ νίτρον *om.* χ P) α, *exc.* L^a 24. 25 Ἄλλο. ἐλατήριον—λεάνας *om.* L^a διάχριε λεάνας A P 25 μετ' ἐλαίου παλαιοῦ καὶ μέλιτος α, *exc.* L^a 26 ςκίλλα ἥψηται α, *exc.* L^a *ante* ἡ: ἄλλο P^x P 27 τὰ *om.* ω φηςί *om.* D P *del.?*

ποιεῖ καὶ στοματικοῖς δυσεντερικοῖς ἄκρως ἐν ψυχρῷ διδομένη κυάμου μέγεθος· ἀνίσου σπέρματος σελίνου σπέρματος σχοίνου ἄνθους ἄμεως στυπτηρίας σχιστῆς ἴρεως Ἰλλυρικῆς βησασὰ σπέρματος, ὅ τινες ἁρμαλὰ καλοῦσιν, κινναμώμου σμύρνης τρωγλίτιδος ἀριστολοχίας μακρᾶς ἀνὰ Γ° ᾱ κασσίας κροκομάγματος ῥόδων ξηρῶν ἀνὰ Γ° β̅ κόστου Γ° γ̅ χελιδόνων σποδοῦ προσφάτου Γ° γ̅ κρόκου Γ° ᾱς ναρδοστάχυος ἀμώμου ἀνὰ < δ̅ κηκῖδας ὀμφακίτιδας ἀριθμῷ η̅, λείου καὶ ἀναλάμβανε μέλιτι καὶ χρῶ, ἐν ἀρχαῖς μὲν διαλύων τὸ φάρμακον ἀφεψήματί τινι τῶν μετρίως στυφόντων, ἅτινα πλειστάκις προείρηται, κατὰ δὲ τὰς ἀκμὰς καροίνῳ ἢ πτισσάνης χυλῷ, κατὰ δὲ τὴν παρακμὴν μέλιτι ἢ ὑδρομέλιτι ἢ οἰνομέλιτι, χρονιζούσης δὲ καὶ οἷον σκιρρουμένης τῆς φλεγμονῆς ὀξυμέλιτι. Φιλάγριος δέ φησιν· ἐνίοτε δὲ μετὰ τὰς προειρημένας τοῦ παντὸς σώματος κενώσεις καὶ τὸν σικυασμὸν καὶ τῶν ὑπὸ τὴν γλῶτταν φλεβῶν διαιρεθεισῶν, μίγνυμεν τῷ φαρμάκῳ καὶ ἕτερά τινα τὰ μὲν ἀναστέλλοντα τὸ ἐπιφερόμενον, τὰ δὲ διαφοροῦντα ἅπαν τὸ ἱδρυμένον. ἐμβάλλεται δὲ τῆς μὲν διὰ τοῦ βησασὰ διαχρίστου < η̅ κηκίδων δὲ ὀμφακιτίδων καὶ κόπρου κυνείας λευκῆς καὶ ἀνθρωπείας κόπρου ξηρᾶς ἀνὰ < β̅. δεῖ δέ, καθὼς προείρηται, τὴν μὲν κυνείαν λαμβάνειν ὀστᾶ προβεβρωκότων τῶν κυνῶν πρὸ ἡμερῶν β̅, τὴν δὲ ἀνθρωπείαν ἄρτῳ μετὰ θερμίων προδιαιτηθέντος πρὸ ἡμερῶν β̅ τοῦ παιδίου. Ἀρχιγένης δέ φησι τὴν ἀνθρωπείαν κόπρον, οἵαν προείπομεν, λαβὼν καὶ ξηράνας καὶ κόψας καὶ ἐνδήσας ῥάκει καὶ καύσας καὶ λεάνας μετὰ μελικράτου δίδου πίνειν· τοῦτο τοῖς ἤδη πνιγομένοις βοηθεῖ. Ἀντώνιος δέ φησιν ὁ Μούσα· τὴν κυνείαν κόπρον, οἵαν προείπομεν, λαβὼν καὶ ξηράνας καὶ κόψας σήσας χρῶ ἐπὶ κυναγχικῶν, διαχρίων μετὰ μέλιτος ἐσωτάτω, ὥστε καταπίνειν· ἰσχυρότερον γὰρ τούτου φάρμακον,

9—11 κατὰ δὲ—ὀξυμέλιτι | 18. 19 ὀστᾶ—κυνῶν | 23—*p. 484, 3* Ἀντώνιος—ἀπειλούντων *Gal de comp. med. s. loc. VI 7 (XII 956, 3—10) cf. Or.^{a} ib. (ib. 464, 31—32, 37—465, 1, 464, 34—37) Paul. III 27 (I 204, 19—20)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 *ante* στοματικοῖς: ἐπὶ P^x ω *ante* δυσεντερικοῖς: καὶ D P ἐν] ἐπὶ ω *om.* L^a 2 σπέρμα L^a *ante* σελίνου: καὶ ω σπέρμα L^a χ *om.* D ω σχίνου D P ω 3 *post* Ἰλλυρικῆς: τὸ ἀγριοπήγανον A σπέρμα L^a χ 4 μακρᾶς *om.* L^a 5 β̅] ᾱ D P ω 6 *post* ναρδοστάχυος: < δ̅, *om.* ἀνὰ *post* ἀμώμου χ A ω *ante* ἀμώμου: καὶ ω 7 < δ̅ *om.* ω δ̅] η̅ D κηκῖδος (...δίου) ὀμφακίτιδος P^x D P ω καὶ *pr. om.* ω 8 ἀρχῇ P^x D P 9 ἅτινα πλειστάκις] ὡς ω κατὰ δὲ—χυλῷ *(10) om.* ω καὶ οἴνῳ L^a καρυίνῳ P^x χ A *om.* D P ω *correxi* 10 ἢ *pr. om.* α, *exc.* ω ἢ ὑδρομ. ἢ οἰνομ. *om.* L^a ἢ οἰνομέλιτι *om.* D P 11 τῆς φλεγμονῆς καὶ οἷον σκληρούμενον ω *post* ὀξυμέλιτι: ἄρισ^T ἢ ποίησον ἕτερον ἀπόζεμα ζίζιφα ὕσσωπον κτλ. P^x 12 δὲ *alt. om.* ω 13 τῶν σικυασμῶν L^a χ ω τῶν] τοὺς ω γλῶσσαν ω φλεβῶν διαιρεθεισῶν] βουλομένων διαιρεῖσθαι φλεβῶν ω 14 τῷ *om.* ω 15. 16 ἐκβάλλεται ω 16 δὲ] μὲν ω μὲν *om.* ω διὰ *om.* D P 18 β̅] η̅ ω *post* κυνείαν: κόπρον ω 18 ἀναλαμβάνειν P^x A ω 18. 19 ὀστᾶ—κυνῶν *om.* ω 19 βεβρωκότων L^a ἄρτον ω κόπρον D P 22 καὶ κόψας *om.* φ χ A ω 23 *post* βοηθεῖ: ὡς οὐχ ἕτερον P^x 24 ὁ Μούσα φησὶ P^x A 25 *ante* σήσας: καὶ P^x ω 26 *ante* ἰσχυρότερον: κατὰ Γαληνοῦ P^x ἰσχυρότατον D P τούτου φαρμάκου *(sic)* *post* Γαληνὸς P φαρμάκου ω τοῦ φαρμάκου A *(Gal.)*

φηcὶν ὁ Γαληνόc, οὐδὲν ἔγνων, οὔτε ἐπὶ κυναγχικῶν οὔτε ἐπὶ παριcθμίων φλεγμονῆc μεγάληc καὶ ἐπὶ ἀντιάδων πνιγμὸν καὶ κίνδυνον ἀπειλούντων. καὶ cὺν ὀξυμέλιτι δὲ καὶ πίccῃ ὑγρᾷ διαχριομένη ἡ κυνεία κόπροc ἄκρωc ποιεῖ πρὸc κυνάγχαc. Ἡ διὰ τῶν χελιδόνων πρὸc cυνάγχαc. χελιδόνων ἀγρίων κεκαυμένων τῆc cποδοῦ < η̄ κρόκου < β̄ ναρδοcτάχυοc < ᾱ ἀναλάμβανε μέλιτι· ἡ κρᾶcιc πρὸc τὰc ὑποκειμέναc διαθέcειc. δεῖ δὲ τὰc χελιδόναc καίειν τὸν τρόπον τοῦτον· ἁλcὶ cυμμέτροιc καταπάττοντεc τοὺc νεοττουc cὺν τοῖc πτεροῖc βάλλομεν ζῶνταc εἰc ἄγγοc κεραμεοῦν καὶ τοῦτο φιμώcαντεc ἐπιτίθεμεν ἐπ' ἀνθράκων, ἕωc cποδὸc γένηται καὶ λεάναc χρῶ. Ἄλλη διὰ χελιδόνων πρὸc τὰc cυνάγχαc. χελιδόνων κεκαυμένων νεοccοὺc ια̅ μυρcίνηc χλωρᾶc χυλοῦ κυάθουc ιβ̅ μυρcίνηc τριώβολον μέλιτοc κυάθουc β̄. τοὺc νεοccοὺc καύcαc καὶ λεάναc μίcγε πάντα καὶ χρῶ. Ἄλλο πρὸc cυναγχικοὺc πεπειραμένον. φύλλου κόcτου καρυοφύλλου πεπέρεωc ἀνὰ Γ° ᾱ cανδαράκηc Γ° δ̄ μέλιτι ἀπηφριcμένῳ ἀναλαβὼν διάχριε πτερῷ καὶ θαυμάcειc. Ἄλλο. κοχλίουc τοὺc γυμνοὺc τοὺc χωρὶc ὀcτράκων ἐν κήποιc εὑριcκομένουc ἐν χυτριδίῳ καύcαc καὶ λεάναc, τὴν τέφραν ἀναλάμβανε μέλιτι καὶ διάχριε· ἀπαράβατόν ἐcτι. χρῶ δὲ ὁμοίωc καὶ τῇ τῶν κεκαυμένων καρκίνων τέφρᾳ μετὰ μέλιτοc καὶ τὸ ἀφέψημα δὲ τῶν καρκίνων ἀναγαργαριζόμενον καλῶc ποιεῖ. ἐγὼ δὲ τὸν καρκῖνον λεαίνων ἐν ὕδατι κοτύλῃ μιᾷ καὶ διηθῶν καὶ θερμαίνων δίδωμι ἀναγαργάριcμα· παχέα γὰρ ἄγει πολλὰ καὶ κουφίζει παραυτίκα. Ἄλλο. κενταύριον λεπτὸν καύcαc, διάχριε τὴν τέφραν μετὰ μέλιτοc. Ἄλλο. cιαγόνοc χοίρου κεκαυμένου Γ° ᾱ κόπρου κυνείαc λευκῆc, ὀcτᾶ βεβρωκότων τῶν κυνῶν, < δ̄ κηκίδων cιδίων ἀνὰ Γ° ᾱ κόcτου < δ̄ πεπέρεωc

4—13 διὰ τῶν χελιδόνων—χρῶ *Gal. ib. (ib. 942, 10—17, 943, 6—10)* Ἡ διὰ τῶν χελιδ.—μέλιτι *(6) cf. Gal. de simpl. med. temp. etc. XI 35 (XII 359, 15—17) Paul. ib. (ib. 204, 20—21)* 16—18 κοχλίουc—ἐcτι *Gal. de rem. parab. II 11 (XIV 438, 6—8)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 φηcὶ *ante* φάρμακον D 2 φλεγμονὰc μεγάλαc D P ω *ante* καὶ *pr.*: ἐχόντων D P 3 ἀπειλοῦντα P^x ... ουcῶν D P πίccῃ] πτιccάνῃ P ἡ *om.* ω 4 κόπροc *om.* L^a A ἄκρωc *om.* D P cυνάγχαc χ ω 5 πρὸc cυνάγχαc] πρὸc κυναγχικὰc θαυμαcτὴ P^x *om.* D P 7 ἐπικειμέναc ω 8 νεοcιτοὺc ω 10 λεάναντεc χρώμεθα D P 10—13 Ἄλλη—καὶ χρῶ *om.* L^a Ἄλλη—θαυμάcειc *(16) om.* P ἄλλοc ω ἄλλο διάχριcμα ἡ P^x 11 τὰc *om.* ω κεκαυμένων] τῆc cποδοῦ ὡc προείπομεν A *ante* ια̅: τὸν ἀριθμὸν A 11. 12 μυρcίνηc χλωρᾶc *post* ιβ̅ *transp.* ω 12 β̄] ιβ̅ P^x A 13 νεοττοὺc P^x χ D καὶ χρῶ *om.* D 14 πεπέρεωc] περιcτερεῶνοc L^a 15 μέλιτοc ἀπηφριcμένου ω ἀναλαβὼν *om.* ω πτερῷ κ. θαυμάcειc *om.* ω 16—22 Ἄλλο — παραυτίκα *om.* L^a τοὺc *pr. om.* D P 18 διάχριε] χρῶ ω ἀπαράβατόν ἐcτι] τινὲc δὲ καὶ πέπερι ὅcον κοχλιάρια δέκα, ἐπίβαλλε καὶ διάχριε ἐcωτάτω P^x ἐcτι *om.* ω 20 δὲ *pr. om.* ω 20—22 ἐγὼ δὲ—παραυτίκα *repet. post* θαρρῶν *(485, 15)* D *transp. post* θαρρῶν P 20. 21 τοὺc καρκίνουc ὁ Γαληνόc φηcιν P^x λεάναc D P κοτύλῃ μιᾷ] κοχλιάρια θ̄ D P 22 κουφίζεται ω 22—*p. 485, 1* Ἄλλο. κενταύριον—μετὰ μέλιτοc *om.* P 23 *ante* καύcαc: ποιήcαc καὶ ω 24 cιαγόνα L^a ω ᾱ] β̄ ω κόπρον ω λευκῆc] λεΓ′ P^x *om.* L^a 25 < δ̄ *om.* ω κηκίδων Γ° ᾱ cιδίων Γ° ᾱ P^x χ A D κόcτου Γ° δ̄ *ante* κόπρου *(24) transp.* P^x, *post* ξ *Ald.*

πεφρυγμένου Γρ ϛ̅, χρῶ μετὰ μέλιτος. πάνυ δὲ ἀγωνίζεσθαι χρὴ κἀπὶ τῶν παρακμῶν· καὶ γὰρ τὰ ἤδη ἑλκυσθέντα ἐκ τοῦ βάθους τῶν περὶ τὴν φάρυγγα σωμάτων, ἐὰν ἀμεληθείη, ἀδοκήτως εἰς τὸν πνεύμονα μεθίσταται καὶ αἰφνίδιον τὸν θάνατον ἐπιφέρει. Ἀρχιγένους ἐμετικόν, ᾧ χρῶμαι, φησί, πρὸς τὰς κρυπτὰς συνάγχας θαυμαστῶς ποιοῦντι καὶ πρὸς ἀσθματικούς. ἐλατηρίου ἡμιώβολον νίτρου ἀφροῦ τριώβολον σινήπεως < α̅, λεάνας ὕδατι ἀνάπλαττε καταπότια η̅ καὶ δίδου ὄρθρου β̅ καὶ δείλης β̅. Ἄλλο συναγχικὸν Μαρκιανοῦ κινοῦν ἐμέτους, ποιοῦν καὶ πρὸς τὰς κρυπτὰς κυνάγχας, πρόλαβε, φησί, τὸν μισθὸν ν̊ν̊̅ γ̅. χαλκοῦ κεκαυμένου χαλκάνθου ἀνὰ < ι̅β̅ σμυρνης ἐλατηρίου ἀφρονίτρου λευκοῦ ἀνὰ < α̅ χολῆς ταυρείας < δ̅, ἀναλαβὼν μέλιτι διάχριε πτεροῖς ἐσωτέρω. Πρὸς συνάγχας μάλιστα ἐν ἀρχαῖς, ὅτε φλεγμαίνουσι, ποιεῖ καὶ πρὸς παρισθμίων φλεγμονὰς ἐμφυσώμενον καὶ μετὰ μέλιτος διαχριόμενον καὶ ἀναγαργαριζόμενον. κηκίδων Γο β̅ κόστου Γο α̅, χρῶ θαρρῶν.

Περὶ ἀντιάδων. πᾶσιν ἀνθρώποις μικραί εἰσι σάρκες φυσικαὶ παρ' ν̅α̅ ἑκατέρᾳ τῶν παρισθμίων· αὗται σῴζουσαι τὰ φυσικὰ μέτρα οὐδὲν ἐμποιοῦσι χαλεπόν. ὅταν δὲ κατὰ πάθους ἰδιότητα αὐξηθῶσι καὶ μᾶλλον τοῦ κατὰ φύσιν μέτρου μεγεθοποιηθῶσι, τότε δυσκαταποσίας καὶ δυσπνοίας αἴτιοι γίγνονται. συνίστανται δὲ ὡς ἐπίπαν χωρὶς φλεγμο-

10. 11 ἐλατηρίου . . . . χολῆς ταυρείας *cf. Gal. de comp. med. s. loc. ib. 8 (ib. 977, 12)* 16. 17 πᾶσιν—παρισθμίων *cf. Gal. de symptom. caus. III 11 (VII 263, 11—13)* πᾶσιν—γίγνονται *(20) cf. Paul. VI 30 (II 67, 5—8)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 *ante* χρῶ: καὶ L^a χρῶ—μέλιτος *om.* ω 1—4 πάνυ—ἐπιφέρει *repet. post* παραυτίκα *(p. 484, 22)* D, *post* παραυτίκα *transp.* P χρὴ] δεῖ P^x A P ω 2 *post* ἑλκυσθέντα: καὶ P^x A 3 ἀμελισθείη P^x . . . ληθῇ ω 4 *post* ἐπιφέρει: πρὸς συνάγχας καὶ ἐσχάρας ἐν στόματι. χελιδόνων καὶ ἀνθρωπείας κόπρου τὸ ἴσον σὺν μέλιτι διάχριε· τὴν δὲ κόπρον, παιδίῳ δοὺς τροφὴν πρὸ ἡμερῶν δύο ἄρτον μετὰ θερμίων *(cf. 483, 17 sq.)* καὶ οἶνον σύμμετρον καὶ οὕτως τῇ τρίτῃ τῶν ἡμερῶν λαβὼν τὴν κόπρον καὶ ξηράνας, ἔχε ἀποκειμένην καὶ ἐπὶ τῆς χρείας λεάνας χρῶ, ὡς προείρηται D P ἄλλο· κηκῖδα σίδιον κόστον πύρεθρον καὶ πέπερι ἐξ ἴσου ποίησον ἄλευρον καὶ διάχριε τὸν οὐρανίσκον ἐσωτάτω· κηκῖδα κόστον ἀνὰ Γο α̅ κτλ. P^x Ἀρχιγένους *om.* L^a Ἀρχιγένους—ἀνάπλαττε *(7) repet. post* συνεδρεύει *(482, 8)* D (= D′) *post hoc verbum transp.* P ω ἐμετικόν *om.* D ω 5 ποιοῦν A D′ ποιεῖ ω 6 ἐλατήριον P^x D ω νίτρον ἀφρὸν ω 7 ἀνάπλασσε P^x D P *post* ἀνάπ.: ἀγαθὸν δὲ ἐπὶ τούτων καὶ αἱ ἐμετικαὶ δυνάμεις εἰσὶ μάλιστα *(482, 6 sq.)* P καταπότια—δείλης *(8) om.* P ω *post* β̅: καὶ τῇ ἑξῆς ὁμοίως P^x 8 Ἄλλο *om.* P ω συναγχικὸν (κυναγχ. P^x) Μαρκιανοῦ—ἐσωτέρω *(12) post* παιδίου *(483, 20) transp.* ω *om.* P 9 συνάγχας α, *exc.* L^a χ 9. 10 πρόλαβε—χαλκάνθου *om.* A 9 ν̊ν̊̅ γ̅ *om.* α, *exc.* L^a 10 *post* κεκαυμένου: < ι̅β̅ (Γο β̅ P^x) *om.* ἀνὰ *post* χαλκάνθου α, *exc.* L^a χαλκάνθου—ι̅β̅ *om.* χ *post* σμύρνης *et* ἐλατηρίου: < α̅, *om.* ἀνὰ *post* λευκοῦ χ A D λευκοῦ *om.* A ω 11 < δ̅] Γο ϛ̅ οὐχὶ ἀλλὰ δ̅ P^x 12 ἐσωτάτω P^x ω *post* ἐσωτ.: περὶ κυνάγχης Παύλου Αἰγινήτου· τῶν μὲν ἔνδον τοῦ φάρυγγος μυῶν φλεγμαινόντων κτλ. *[III, 27]* P^x *ante* πρὸς: ἄλλο ψ Πρὸς συνάγχας—θαρρῶν *(15) om.* P^x 13 ἐμφυσάμενον L^a ἑψόμενον D ἑψούμ. P 14 ἐγχριόμενον ω κηκίδων—χρῶ *om.* ω β̅] α̅ χ 15 θαρρῶν *om.* α, *exc.* L^a 16 *post* ἀντιάδων: Γαληνοῦ P^x φύσει καὶ (καὶ *om.* A) α, *exc.* L^a ω 17 ἑκατέρων ω 20 αἰτίαι P^x χ ψ *post* φλεγμονῆς: καὶ ω

νῆς διὰ τὸ κατὰ βραχὺ αὔξεσθαι, ἔστι δὲ ὅτε καὶ φλεγμαίνουσι. διασταλέντος δὲ τοῦ στόματος ἐναργῶς φαίνονται οἱ τῶν ἀντιάδων ὄγκοι μείζονες, ἐπὶ μὲν τῶν ἀφλεγμάντων ὁμόχροοι τοῖς τῶν παρισθμίων σώμασι, φλεγμαίνουσαι δὲ ἐνερευθεῖς φαίνονται καὶ ὀδύνας ἐμποιοῦσι. φλεγμονῆς μὲν παρούσης τοῖς ἐπὶ τῶν παρισθμίων φλεγμαινόντων ἀναγαργαρίσμασι καὶ διαχρίσμασι χρηστέον. ὅταν δὲ ἀφλέγμαντοι γένωνται καὶ πειρᾶσθαι δεῖ διὰ φαρμάκων κατὰ βραχὺ καταστεῖλαι προσπιεζοῦντας καὶ ἐκθλίβοντας τῷ δακτύλῳ. τὰ δὲ πρὸς τὰς ἀφλεγμάντους ἀντιάδας βοηθήματά ἐστι τοιαῦτα· κηκῖδος ὀμφακίτιδος ἁλῶν ἀμμωνιακῶν στυπτηρίας σχιστῆς ἀνὰ Ϝ α̅, ξηρῷ παράπτου. ἔνιοι δὲ καὶ σμύρνης ἐπεμβάλλουσιν Ϝ β̅. Ἄλλο. σμύρνης κηκίδων ἀνὰ < η̅ μίσυος ἁλῶν πεφρυγμένων ἀνὰ < β̅, χρῶ ξηρῷ. Ἄλλο. κηκῖδος μίσυος σμύρνης στυπτηρίας ὑγρᾶς ἴσα, χρῶ ξηρῷ, καὶ μετὰ μέλιτος. Ἄλλο Ἀσκληπιάδου πρὸς ἀντιάδας φάρμακον ἐπιτετευγμένον. κηκίδων ὀμφακίνων < δ̅ διφρυγοῦς < β̅ σμύρνης κρόκου ἀνὰ < γ̅ μέλιτος τὸ ἀρκοῦν. τὸ φάρμακον χωρὶς ἑλκώσεως ἀντιάδας καταστέλλει. Ἄλλο Ἀπολλωνίου. διφρυγοῦς χαλκίτεως ὀπτῆς ἀνὰ < β̅ κηκίδων κρόκου σμύρνης ἀνὰ < α̅, μέλιτι ἀναλάμβανε καὶ χρῶ. Χειρουργία. νικωμένων δὲ τῶν φαρμάκων ἐκτέμνεσθαι χρὴ τὰς ἀντιάδας. πρὸς δὲ τὴν χειρουργίαν καδέδριος ὁ πάσχων σχηματιζέσθω πρὸς αὐγὴν λαμπρὰν καὶ διαστελλέσθω τὸ στόμα, ἔπειτα ἑκάστη ἀντιὰς ἀγκίστρῳ ἀποτεινέσθω καὶ ἐκτεμνέσθω. ἐκτέμνεται δὲ αὐτῆς τὸ ὑπερέχον κατὰ τὸ μέσον παρὰ φύσιν. οἱ γὰρ συνεκτέμνοντες τῇ παρὰ φύσιν σαρκὶ καὶ τὰς κατὰ φύσιν σάρκας ἀπὸ τῆς βάσεως αἱμορραγίας ἐπικινδύνου αἴτιοι γίγνονται. μετὰ δὲ τὴν ἀφαίρεσιν ὀξύκρατον προσφερέσθω ψυχρὸν πρὸς τὴν τοῦ αἵματος ἐποχήν, καὶ μετ᾿ αὐτὸ

9. 10 κηκῖδος—παράπτου | 11. 12 κηκίδων—ξηρῷ *Paul. III 26 (I 202, 16—18)* 18—*p. 487, 6* Χειρουργία—γίγνεται *cf. Paul. VI 30 (II 13 sqq.)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 διὰ *om.* ω τοῦ P^x ω φλεγμαίνει L^a χ A ω ....η P^x 1. 2 διαστέλλοντος ω 2 οἱ *ante* ὄγκοι *transp.* D P 3 ἐπὶ μὲν—ὁμόχροοι τοῖς *om.* P 4 ἐνευστρευθεῖς ω 5 οὔσης L^a 6 διαχρίστοις α, *exc.* L^a 7 καὶ *om.* α, *exc.* L^a δεῖ] χρὴ α, *exc.* L^a 7. 8 προσπιέζοντας ψ ω τὰς] τοὺς χ ω *om.* P^x A 9. 10 ἁλὸς ἀμμωνιακοῦ P^x A 10. 11 ξηρῷ—Ἄλλο *om.* ω 11 ἐπεμβάλλουσιν *om.* α, *exc.* P^x 11. 12 Ἄλλο—χρῶ ξηρῷ *om.* A 11 σμύρνης *alt.* (Ϝ β ω) *om.* φ ἀνὰ α, *exc.* φ ω η̅] κ̅η̅ P^x *post* μίσυος: < β̅ *om.* ἀνὰ *post* πεφρυγμένων χ ω 12 <] Ϝ P^x χ P ξηρῷ χρῶ P^x ω 12. 13 Ἄλλο. κηκῖδος—μέλιτος *om.* L^a κηκίδων χ D ω 13 καὶ *om.* ω Ἄλλο—ἀναλάμβανε καὶ χρῶ *(18) om.* P 14 ὀμφακι^{τί}δων D ..φακίδων P^x ...φακίων ω 15 β̅] α̅ χ ω *post* σμύρνης: < γ̅ (δ̅ P^x A) P^x χ A ω κρόκου—< γ̅ *om.* P^x A ἀνὰ *om.* χ ω 16 Ἀπολλωνιάδου χ ω *post* διφρυγοὺς: < β̅ (ι̅β̅ D) *om.* ἀνὰ *post* ὀπτῆς χ A D ω 17 *post* κηκίδων (...ος P^x): < α̅ χ A ω κρόκου—ἀνὰ < α̅ *om.* χ *post* κρόκου: < α̅ *om.* ἀνὰ *post* σμύρνης A 18 Χείρ.] Περὶ χειρουργίας ἀντιάδων P^x *om.* χ 19 χρὴ] δεῖ P^x ω κάθεδρος L^a ω 20 αὐγῇ λαμπρᾷ P^x χ ω 21 ἑκάστου ω καὶ ἐκτεμνέσθω *om.* ω ἐκτέμνεται] ἐκτέμνειν D P 22 ἐκτέμνοντες P^x A P τὴν ....σάρκα P^x A 23 κατὰ] παρὰ L^a 25 προσφερέσθω] προσδιδόσθω (προδ. P ἐπιδ. ω) α, *exc.* L^a μετὰ D P αὐτοῦ τὸ P^x τοῦτο D P

ψυχρότατον ὕδωρ. σταλείσης δὲ τῆς αἱμορραγίας καὶ ἱκανοῦ διαστήματος γινομένου τὸ μελίκρατον χλιαρὸν προσφερέσθω. ταῖς δὲ ἑξῆς ἡμέραις σὺν τούτῳ καὶ διάχριστοι προσαγέσθωσαν, αἱ πρὸς τὰ ἡλκωμένα παρίσθμια προγεγραμμέναι. σπανίως δ', ὅταν ποτὲ τὰ ἕλκη ὑπερέχειν φαίνηται, τῷ ἀνθηρῷ ξηρίῳ προσαπτόμεθα τῶν παρισθμίων, δι' οὗ καταστέλλονται αἱ ὑπεροχαὶ καὶ ἡ κατούλωσις αὐτῶν γίγνεται.

Τῶν ἀπαγχομένων ἀνάκλησις καὶ τῶν ἐκ ναυαγίου ἢ ἀπὸ ὕδατος νβ
μελλόντων πνίγεσθαι. ἀνακαλοῦνται ἐνίοτε οἱ ἀπαγχόμενοι ὄξους ἐγχεομένου τῷ στόματι μετὰ πεπέρεως ἢ κνίδης σπέρματος. ἰσχυρῶς δὲ καταδέχονται, ἀλλὰ βιάζεσθαι δεῖ καὶ ἐγχεῖν τῷ στόματι καὶ ἐρεθίζειν πρὸς ἔμετον. λυομένων δὲ τῶν περὶ τὸν τράχηλον ἐρυθηματων, εὐθὺς ἀναβλέπουσι καὶ ἀνίενται· διὸ ἐμβρέχειν δεῖ καὶ τὸν τράχηλον κατὰ τὸν τῶν βρόγχων τόπον καὶ τὰ πέριξ ἐλαίῳ θερμῷ πολλῷ συνεχῶς καὶ ἐρίῳ περιλαμβάνων ἢ κηρωτῇ. παραπλησίως δὲ δεῖ ἀνακαλεῖσθαι καὶ τοὺς ἀπὸ ναυαγίων, εἴ γε σῴζεται ἔτι ποσῶς αὐτοῖς ἡ ἀναπνοή. ἐπὶ τούτων δὲ πρότερον χρὴ ἐπὶ κεφαλὴν κρεμόντας βιάζεσθαι ἀπεμεῖν τὸ καταποθὲν ὕδωρ ἐρεθίζοντας μὲν πτεροῖς ἢ δακτύλοις, τῇ δὲ ἐπιθέσει τῶν χειρῶν ἔξωθεν βοηθοῦντας τῷ τῆς γαστρὸς τόπῳ.

Περὶ τῶν καταπειρομένων εἰς τὰ παρίσθμια ἀκανθῶν ἢ ὀστοῦ καὶ νγ
τῶν εἰς τὸν λάρυγγα παραρρεόντων. εἰ μὲν εἰς τὸν λάρυγγα καὶ τὴν τραχεῖαν ἀρτηρίαν τι τῶν καταπινομένων ὄγκων παραρρυῇ, βῆχα ἐρεθιστέον διά τινος ὀξώδους ποιότητος καὶ πταρμικὸν ταῖς ῥισὶ προσαπτέον. τῇ γὰρ σφοδρᾷ περιστολῇ καὶ ἐντάσει καὶ τῇ μετά τινος βίας ἐξωθήσει τοῦ πνεύματος, εἴωθε τὰ τοιαῦτα ἐκκρίνεσθαι. εἰ δὲ περὶ τὰ παρίσθμια ἢ κατὰ τὴν ἀρχὴν τοῦ στομάχου ἄκανθα ἢ ὀστέον καταπαρῇ, εἰ μὲν τῇ ὄψει ὑποπίπτει καὶ ἔξω τῶν παρισθμίων ἐξέχει τὸ πλεῖον

7—12 Τῶν ἀπαγχομένων—ἀνίενται *Or.*ᵃ *VIII 59 (270, 1—5) Paul. III 27 (I 205, 5—9)* 14. 15 παραπλησίως—ναυαγίων *Or.*ᵃ *ib. (ib. 5—6) Paul. ib. (ib. 10)*.

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 ψυχρότερον P^x P *ante* ἱκανοῦ: τοῦ ω 2 γενομένου χ D P προσφερέσθω χλιαρόν D P ἐφεξῆς ω 3 προσφερέσθωσαν P^x 4 γεγραμμένα⟨ι⟩ A προεγράφησαν P^x *ante* σπανίως: ἢ (ὁμοίως P^x) βρυωνίας χυλῷ μίσυ λεάνας καὶ μέλι (...ιτι P^x) ἐπιβαλὼν (...άλλων P^x) καὶ (*om.* P^x) συλλεάνας χρῶ διαχρίων, σμῆχε καὶ θειότατα ἀνακαθαίρει· ἐπουλοῖ δὲ (καὶ P^x) ἡ ταύτης ῥίζα κεκομμένη καὶ σεσεισμένη P^x A ποτέ *om* L^a 5 ξηρίον A ...ρῷ *cett. codd., exc.* L^a 6 *post* γίγνεται: σκευασία τοῦ ἀνθηροῦ ξηρίου αὕτη· στυπτηρίας σχιστῆς κυπέρου σανδαράχης κτλ. P^x 7. 8 καὶ τῶν ἐκ—πνίγεσθαι *om.* L^a χ ω 7 *ante* τῶν: περὶ P^x ω ἀπὸ] ἐξ P^x ψ 9 κνιδίου L^a ἰσχυρῶς] ἐργωδῶς *Or. Paul.* 10 *post* δὲ: οὐ L^a D P κατέχονται P^x χ A ω 11 ἐρεθημάτων *ante* περὶ *transp.* ω 12 13 ἐμβρέχειν—καὶ τὰ *om.* ω δεῖ] χρὴ P^x A *om.* P καὶ *alt. om.* D P 13 κατὰ—βρόγχων *om.* D κατὰ] καὶ τὰ A τὸν] κατά A τε χ P τὸν βρόγχον A P τόπον (...ων χ) *om.* ψ πολλῷ (*om.* ω) θερμῷ α, *exc.* L^a 15 ἐπὶ ποσῶ P^x A αὐτοῖς *ante* ἔτι *transp.* D P 16 κρεμνόντας P^x χ ...ῶντας D P 18 τῷ *om.* L^a 20 ἢ ὀστοῦ *om.* φ χ ω 21 *post* παραρρεόντων: Γαληνοῦ P^x 23 πταρμὸν D P 24 ἐνστάσει χ A P ω βίας *om.* L^a χ A 25 συγκρίνεσθαι ω συνεκκρίνεσθαι *cett. codd., exc.* L^a 27—*p. 488, 2* εἰ. μὲν—ἐμπαρῇ *om.* A πλέον P^x D P.

αὐτῆς μέρος, τριχολαβίῳ κομιζέσθω· ὅταν δὲ ἐν τοῖς κατωτέροις τόποις τοῦ στομάχου ἐμπαρῇ, κομιζέσθω οὕτως· σπογγίον τερεβινθίνῃ βεβρεγμένον ἢ κρεάδιον ὠμὸν πρόσφατον ἐγκεχαραγμένον περιδήσας λίνῳ στερεῷ καὶ ἀναγκάσας καταπιεῖν, μετὰ ταῦτα ἀνάσπα ἀθρόως διὰ τοῦ ἀπηρτισμένου λίνου· εἴωθε γὰρ πολλάκις συνεφέλκεσθαι τὸ ἐμπεπηγός. δεῖ δὲ καὶ ἄρτου ἁπαλοῦ τοὺς ἐντὸς ψωμοὺς ἀμασήτους διδόναι καταπιεῖν ἢ ἰσχάδα λιπαρὰν ποσῶς μεμασημένην, μὴ μέντοι γε διαλελυμένην. ὅτε δὲ ἐν τῷ βάθει τῶν σωμάτων καταπεπαρμένη κομίζεθαι μὴ δύναιτο, μελίκρατον διδόσθω ἀναγαργαρίζεσθαι καὶ τροφὰς ῥοφηματώδεις, οἷον πτισσάνην μετὰ μέλιτος ἢ ἄλικα ὁμοίως ἢ ψίχας τῷ μελικράτῳ βεβρεγμένας θερμῷ· ἔξωθεν δὲ ἐπιτιθέναι αὐχένι καὶ ὅλῳ τῷ τραχήλῳ ἔριον ἐλαίῳ θερμῷ βεβρεγμένον καὶ καταπλάττειν τὸν τράχηλον καταπλάσματι θερμῷ χαλαστικῷ ὡς τῷ λινοσπέρμῳ ⟨σὺν⟩ μελικράτῳ σκευαζομένῳ. εἴωθε γὰρ τῇ τοιαύτῃ ἀγωγῇ πυοποιηθέντος τοῦ τόπου σαλευθεῖσα ἡ ἄκανθα σὺν τοῖς καταπινομένοις κατάγεσθαι.

$\overline{νδ}$ Πρὸς ὀστοῦ κατάποσιν καὶ πρὸς ἀναβολὴν τῶν καταπειρομένων εἰς τὰ παρίσθμια. προσέχων τῷ πάσχοντι ἀνθρώπῳ ἄντικρυς καθεζομένῳ καὶ ποιήσας αὐτὸν προσέχειν σοι λέγε· ἄνελθε, ὀστοῦν, εἴτε ὀστοῦν ἢ κάρφος [ϛ] ἢ ἄλλο ὁτιοῦν, ὡς Ἰησοῦς Χριστὸς Λάζαρον ἀπὸ τοῦ τάφου ἀνήγαγε, καὶ ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους. Ἄλλο. κατέχων τὸν λάρυγγα τοῦ πάσχοντος λέγε· Βλάσιος ὁ μάρτυς ὁ δοῦλος τοῦ θεοῦ λέγει· ἢ ἀνάβηθι, ὀστοῦν, ἢ κατάβηθι.

$\overline{νε}$ Περὶ τῶν ἀρτηριακῶν φαρμάκων Γαληνοῦ. τὸν λάρυγγα καὶ τὴν ὑποκειμένην αὐτῷ τραχεῖαν ἀρτηρίαν σὺν τοῖς ἰδίοις μυσὶν ὑμὴν ἰσχυρὸς ὑπαλείφει· ὅταν οὖν πάθος τι ἤτοι κατὰ τοῦτον τὸν ὑμένα

2—7 κομιζέσθω—μεμασημένην *Or.*[a] *IV 72 (465, 6—11)* 23—*p. 489, 2* τὸν λάρυγγα—δυνάμεις | *p. 489, 3—18* τὸ γὰρ—ἐργάζεται *[nonn. om.] Gal. de comp. med. s. loc. VII 1 (XIII, 2, 16—3, 2, 4, 8—5, 15)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 τριχολάβω α, *correxi* κομίζεσθαι ω ἐν] καὶ ω 2 σπογγον Lᵃ τερεβινθίνην φ βεβρεγμένην Lᵃ ...νω χ 4 ἀνακάμψας ω διὰ] μετὰ ω 5 ἀπηρτημένου χ D P 6 τὸ Lᵃ ω τοῦ χ διδόναι *om.* χ D P 6. 7 καταπίνειν α, *exc.* Lᵃ ω 7 ἢ] καὶ D P μὴ—διαλελυμένην *om.* P γε *om.* Lᵃ 8 ὅταν α, *exc.* Lᵃ χ (τὰ D) καταπεπαρμένα ψ δύνοιτο χ δύνηται *cett. codd., exc.* Lᵃ 9 διδόναι ω 10 πτισσάνη α, *exc.* D P ἄλιξ α, *exc.* D P τῷ μελικράτῳ *om.* ω 11 δὲ *om.* Lᵃ *ante* αὐχένι: τῷ D P 12 ἔλαιον *(sic) post* τραχήλῳ *transp.* Lᵃ 13 τὸ Pˣ D P ω λινόσπερμα σκευαζόμενον ἐν μελικράτῳ D P λινοσπέρμων Lᵃ σὺν *addidi* 14 γὰρ] τοιγαροῦν ω πυωθέντων τῶν τόπων D P ποσωποιηθέντος χ πυοποιηθέντα ω *ante* τοῦ: καὶ σαλευθέντος A *post* τόπων (*v. sup.*): ποσῶς D 15 ἀκάνθη Pˣ χ ω 16—22 Πρὸς ὀστοῦ—κατάβηθι *om.* Lᵃ Πρὸς—κατάποσιν καὶ *(Ald.)*] ἄλλο Pˣ A *om.* χ D P ω πρὸς ἀντιβολὴν *(sic)* τῶν καταπ.—κατάβηθι *post* γλῶτταν *(494, 21) transp.* χ ἀντιβολὴν Pˣ A καπινομένων Pˣ A 17 ἀνθρώπῳ *om.* ω ἄντικρυς *om.* Pˣ χ A P 18 εἴτε ὀστοῦν *om.* Pˣ D εἴτε] ἤτοι χ A ω 19 ϛ (*ex corr.* P) *om.* Pˣ χ A D ω *delevi ante* Χριστὸς: ὁ D ω Λάζαρον *post* τάφου *transp.* χ τοῦ *om.* χ 20 ὡς *om.* P *post* κήτους: οὕτω καὶ σὺ ἄνελθε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἀμὴν Pˣ Ἄλλο *om.* ω 21 λέγε *ante* κατέχων *transp.* P Βλαστιανὸς χ P ὁ *alt.*] καὶ A D ω 22 ἢ *pr. om.* D P ὀστοῦν *om.* Pˣ A 23 Γαληνοῦ *om.* ω 25 ἰσχυρῶς Pˣ χ ω τοῦτον *om.* D P

ἢ κατὰ τοὺς ἐν τῷ λάρυγγι μῦς γένηται, ἀρτηριακὰς κοινῶς ὀνομάζουσι τὰς ἰωμένας αὐτὰ δυνάμεις. πάσχει δὲ ὁ ὑμὴν αὐτὸς ἢ ὑπερυγραινόμενος ἢ τραχυνόμενος ἢ ἑλκούμενος. τὸ γὰρ βλάπτεσθαι τὴν φωνὴν ἢ ἀποκεκόφθαι, ὅπερ ἐστὶ μὴ δύνασθαι φθέγγεσθαι, καὶ τὸ βραγχώδη δὲ φθέγγεσθαι, πλείοσιν αἰτίοις ἕπεται. τοῦτο μὲν τοῖς ἀπὸ κεφαλῆς χρονίσασι κατάρροις, τοῦτο δὲ ἐμπύοις καὶ φθισικοῖς καὶ ἐκ κραυγῆς δὲ μεγάλης καὶ πολλῆς ἡ βραγχώδης γίνεται φωνὴ καὶ διὰ ψυχροῦ καὶ ἀήθους πνεύματος εἰσπνοὴν καὶ διὰ πλείστην καὶ ἀήθη ἀκρατοποσίαν. μεγέθει δὲ ἀλλήλων διαφέρει τὰ πάθη· σφοδρότερον μὲν γὰρ διαβραχέντων τῶν φωνητικῶν ὀργάνων ἡ ἀφωνία γίγνεται· μετριώτερον δὲ ὑγρανθέντων ἡ βραγχώδης ἀποτελεῖται φωνή. τοῖς μὲν οὖν ἐκ τοῦ βοῆσαι σφοδρῶς ἐπὶ πλέον κακωθεῖσι τὴν φωνὴν ὅμοιόν τι συμβαίνει πάθημα τῷ γιγνομένῳ πολλάκις τοῖς ἄλλοις μορίοις τοῦ σώματος πλείονα κοπωθεῖσιν. ὁ γὰρ ὑπαλείφων τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν λάρυγγα ὑμὴν ὑπὸ τοῦ κατὰ τὰς μεγάλας φωνὰς ἔξω φερομένου πνεύματος πληττόμενος, φλεγμονώδη διάθεσιν ἴσχει. κατὰ δὲ τὸν λάρυγγα πρὸς τῇ πληγῇ ταύτῃ καὶ ἡ τῶν κινούντων αὐτὸν μυῶν βλάβη τῆς ἐνεργείας μείζονα τὴν διάθεσιν ἐργάζεται. οὗτοι γὰρ οἱ τὴν φωνὴν ἐργαζόμενοι μύες ἐν ταῖς μεγάλαις ἐκβοήσεσιν οὐ μόνον πληττόμενοι τῷ διεξερχομένῳ πνεύματι βλάπτονται, ἀλλὰ καὶ ὑπερτεινόμενοι σφοδρῶς μέγιστον κόπον ὑπομένουσι. θεραπεία δὲ καὶ τούτων κοινὴ τοῖς τὰ ἄλλα μόρια τοῦ σώματος κεκοπωμένοις. λουτρὰ μὲν γὰρ γλυκέων καὶ εὐκράτων ὑδάτων ὀνίνησι μεγάλως τοὺς φωνασκοῦντας πάντας, κιθαρῳδοὺς λέγω καὶ κήρυκας καὶ τραγῳδούς, ὅταν ἀγωνιζόμενοι θραύσωσι τὴν φωνήν. ὥσπερ δὲ τὸ ἔλαιον ἐπαλειφόμενον ἔξωθεν παραμυθεῖται τὸ πᾶν σῶμα κεκοπωμένον, οὕτω καὶ τροφαὶ ἄδηκτοί τε καὶ χαλαστικαὶ καὶ παρεμπλαστικὰ τῶν ἀρτηριακῶν φαρμάκων ὀνίνησι τὸν πεπονθότα ὑμένα τῆς ἀρτηρίας καὶ τοὺς μῦς. ὅταν μὲν οὖν οἷον τονώδεις κόποι περὶ τοὺς τοῦ λάρυγγος μῦς καὶ τὸν ὑμένα γένωνται, ἐν ἀρχῇ μὲν ἁρμόττει τὰ πραότατα μὲν

21—25 θεραπεία—φωνήν *Gal. ib. (ib. 6, 10—18)* 29—*p. 491, 11* ὅταν—γεγραμμένα *Gal. ib. (ib. 10, 1—17; 11, 8—12, 5; 8, 4—9, 11)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 τῷ *om.* P^x A γίνηται χ D P κοινῶς *post* ὀνομάζουσι *transp.* χ *om.* L^a 2 αὐτῷ P^x ...τὸ L^a ..ὸν P ...οῦ ω αὐτὸς] οὕτως P^x χ ω οὗτος ψ 3 ἑλκώμενος L^a 4 καὶ τὸ βρα(γ)χώδη (βραχῶδες P^x ...γχῶδες A ...χω^δ' D) δὲ φθέγγεσθαι *om.* χ P 7 βραχώδης χ ψ βρογχ. L^a 11 βραχώδης P^x βρογχ. L^a βραγμώδης ω 12 κακοηθείση χ κοπωθεῖσιν D 13 πάθει L^a παθημάτων (*pro* πάθ. τῷ) ω τὸ γιγνόμενον P^x γιγνομένων ω 14 κοπωθεῖσιν πλείονα χ ἐπιπλεῖον κακωθεῖσιν (*v. l. 12*) D P πλείοσιν ὀπωθεῖσιν ω 15 ὑμὴν *om.* L^a χ κατὰ *om.* D P τῆς μεγάλης φωνῆς D P 17 κοινωνούντων ω 18 αὐτῶν P^x χ ω 21 ὑπερτεινομένοις L^a ὑπομένουσι κόπον α, *exc.* ω *in marg.* θεραπεία Ἀρχιγένους A Ἀρχιγ. θεραπ. P^x 23 λουτρῶν L^a D P γὰρ] οὖν ω *om.* χ 25 θραύωσι ω 25. 26 ὑπαλειφόμενον ω 26 τὸ *om.* ω 27 *ante* παρεμπλαστικὰ (....καὶ P^x A): τὰ D P ω 28 φαρμάκων *om.* ω 29 τοὺς] τοῦ ω μυὸς ω τενώδεις ω 30 *post* ὑμένα: τῆς ἀρτηρίας P^x A γίγνωνται D P γεννῶνται ω ἁρμόττονται ω μὲν *alt. om.* D P ω

τῶν ἐδεσμάτων, φάρμακα δὲ ἐμπλαστικά. καταστάσης δὲ τῆς φλεγμονῆς βραχύ τι τῶν ῥυπτικῶν προσθετέον, εἶτ᾽ ἐφεξῆς πλέον, εἶτ᾽ ἄλλο πάλιν ἐκείνου γενναιότερον, ὥστε κατὰ βραχὺ τὴν σύνθεσιν ἐπὶ τὸ μέσον ῥυπτικὸν ἀφικέσθαι, εἶτ᾽ ἀπὸ τούτου διαφορητικώτερον καὶ ῥυπτικώτερον μικτέον, εἶθ᾽ οὕτως ἐπὶ τὸ σφοδρότερον ἐλθεῖν, ὅταν ἐπὶ πλέον οἷον σκιρρώδης τις διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις παραμένῃ. τῆς μὲν οὖν πρώτης τάξεώς ἐστι τραγάκανθα καὶ κόμμι καὶ Σάμιος ἀστὴρ ἄμυλόν τε καὶ τὸ διὰ χόνδρου καὶ τράγου καλῶς ἑψηθέντων ῥόφημα. καὶ γάλα δὲ ἐπιτήδειόν ἐστι καὶ ἴτρίον καὶ ᾠὰ ῥοφούμενα καὶ στρόβιλοι βεβρεγμένοι καὶ τὰ σήσαμα καὶ τὸ σίραιον, τὸ ἕψημα καλούμενον καὶ τὸ τῆς γλυκυρίζης ἀφέψημα παχυνθὲν ἐν τῇ ἑψήσει. ἐφεξῆς δὲ τούτων ὑπάρχει τὸ βούτυρον. ταῦτα μὲν οὖν ἐπὶ ταῖς φλεγμονώδεσι διαθέσεσι κατὰ τὴν τραχεῖαν ἀρτηρίαν τε καὶ τὸν λάρυγγα κατ᾽ ἀρχάς ἐστι χρήσιμα, ἄχρις ἂν ἡ φλεγμονὴ μετριωτέρα γένηται· οἴνου δὲ πόσεως ἀπεχέσθωσαν κατὰ τοῦτον τὸν καιρόν. ὅταν δὲ μετριώτερα τὰ τῆς φλεγμονῆς γένηται, δοτέον αὐτοῖς ποτὸν τὸν γλυκὺν Θηραῖον ἢ σίραιον, ἐν ᾧ καιρῷ καὶ τὸ βούτυρον ἐπιτήδειόν ἐστι καὶ τὰ ἀμύγδαλα συνεψόμενα τοῖς ῥοφήμασι καὶ γάλα καὶ μέλι ἑψηθέντα ἐπὶ πλέον ἐμβληθέντος αὐτοῖς ἀμύλου. εἰ δὲ μὴ παρείη ἄμυλον, ἄρτον σιλιγνίτην ξηρὸν κεκομμένον καὶ σεσησμένον ἐμπαστέον τῷ γάλακτι ἑψομένῳ. εὔδηλον οὖν ὅτι κατὰ τὴν τοιαύτην δίαιταν ἡ μὲν φλεγμονὴ παύεται τῶν κατὰ τὸν λάρυγγα καὶ τὴν ἀρτηρίαν ὑμένων τε καὶ μυῶν, ὑγρότης δὲ καταλείπεται πολλή, δι᾽ ἣν ἀδύνατόν ἐστι λαμπρὰν εἶναι τὴν φωνήν, ἄνευ τοῦ πάλιν χρήσασθαι ἐδέσμασί τε καὶ φαρμάκοις ἀδήκτως ῥύπτουσιν, ὁποῖόν ἐστι τό τε κυάμινον ἔτνος καὶ ἡ πτισσάνη καὶ τὸ πεφρυγμένον λινόσπερμον. ἐν τῷ μεταξὺ γάρ ἐστι τὰ τοιαῦτα τῶν τε μέσων κατὰ τὴν δύναμιν φαρμάκων καὶ τῶν ἐμπλαστικῶν. τούτων δὲ ῥυπτικώτερά ἐστι ῥητίνη τερεβινθίνη καὶ λιβανωτὸς τό τ᾽ ἀπηφρισμένον μέλι καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων

12 τὸ βούτυρον *cf. Paul. III 28 (I 207, 20)* 15—21 οἴνου—ἑψομένῳ | 23—26 ὑγρότης—ἔτνος | 29 τό τ᾽ ἀπηφρισμένον μέλι | *p. 491, 1* κράμβη—πράσα *cf. Paul. ib. (ib. 16—19, 20—22)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t) 1 τῶν ἐδεσμάτων] ἐδέσματα α, *exc.* L^a ἐμπλαστικὴν ω καταστάσης] ἔχοντα δύναμιν. καταθείσης ω 2 βραχυ^ττ´ ω τῶν *om.* ω εἶτ᾽ ἐφ. πλέον *om.* ω 3 ὅτε ω 4 *ante* διαφορητικ.: τὸ P^x χ A ω *post* διαφ.: τε D τι P 4. 5 καὶ ῥυπτικ. μικτέον *om.* ω 5 σφοδρότατον P^x χ A *(Gal.)* 7 παραμείνῃ χ D P .μένει ω τραγάκανθον ω 9 *ante* ῥόφημα: τὸ P^x A ἔσται L^a 10 ῥοφώμενα A P τὸ *om.* ω σίρειον, ...ρεον, σήρεον, σείραιον, σύρεον *codd.* 11 τὸ ἕψημα καλ. *om.* D P τὸ *pr.*] τὸ καὶ χ ὃ καὶ P^x A καὶ ω καλοῦμεν P^x A καὶ τὸ τῆς—βούτυρον *(12) om.* ω 13 τραχεῖαν *om.* P^x χ ω *(Gal.)* τε *om.* P^x D P 17 σείραιον D P σήρεον χ σέρεον· θήρεον γὰρ ὀνομάζ⟨ουσι⟩ τὸν πρόωρον οἶνον P^x 18 ἔσται L^a συνεψώμενα P^x ...ούμενα P συνεψόμενα τοῖς ῥοφήμασι *post* ἑψηθέντα *(19) transp.* ω καὶ γάλα *om.* ω 19 αὐτοῖς ἐμβληθέντα ω 20 ἐμπλαστέον χ ω 22 τὸν] τὴν ω 24 πάλιν *om.* A 25 *post* ὁποῖον: δέ ω 26 ἡ *om.* ω πεφωγμένον χ D P λινόσπερμα D P ω 27 τε *om.* D P κατὰ *om.* D P τὴν *om.* ω 28 ῥυπτικώτερον P^x D P ω ῥητίνη] ἢ ω *post* ῥητ.: ἢ χ 29 τοῦ τ᾽ ἀπηφρυγμένου μέλιτος ω

κράμβη τε καὶ τὰ καλῶς ἑψηθέντα πράσα. τούτων δὲ πάλιν ἰσχυρότερά ἐστι τό τε τῶν ὀρόβων ἄλευρον ὁρμίνου τε σπέρμα καὶ ἴρεως ἡ ῥίζα καὶ πάνακος. ἅπασι δὲ τοῖς μὲν πρώτοις ὅσα μαλακά ἐστι, γλυκὺς ὁ Κρητικός, εἶτα ὁ Θηραῖος καὶ σκυβελλίτης τ᾿ ἐπιτηδείως μίγνυται. τὸ γὰρ ἐκ τοῦ γλεύκους ἀποτριτωμένου σκευαζόμενον, ὃ σίραιον καὶ ἕψημα καλοῦσιν, ἐμπλαστικώτατόν ἐστι καὶ ἀδηκτότατον. τὸ δὲ ἐκ τῶν ἰσχάδων σκευαζόμενον μελιτῶδες ἀφέψημα διαφορητικώτερόν ἐστι καὶ ῥυπτικώτερον. ἁπάντων οὖν χρὴ τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι τὰς δυνάμεις τὸν μέλλοντα σύνθετόν τι ποιήσειν φάρμακον. ὁ δὲ αὐτὸς οὗτος καὶ τοῖς ὑφ᾿ ἑτέρων συγκειμένοις ὀρθῶς χρήσεται καὶ μάλισθ᾿ ὅταν ἀδιορίστως ᾖ γεγραμμένα. τούτων ⟨οὖν⟩ προδιωρισμένων ὑποτακτέον τὰς ὑπὸ τῶν ἀρχαίων γεγραμμένας ἀρτηριακάς. Ἀρτηριακὴ πρὸς τὰς τῆς φωνῆς τραχύτητας ἐν ἀρχαῖς διδομένη παρηγορικωτάτη. κόμμεως < β̅ τραγακάνθης < α̅ ἑψήματος ʒ α̅, κόψας σήσας, κόμμι καὶ τραγάκανθαν λέαινε μετὰ τοῦ ἑψήματος μέχρι διαλύσεως, ἔπειτα ἕψε ἐπ᾿ ἀνθράκων ἀκάπνων, ἕως μὴ μολύνῃ ἐνσταζόμενον ἐπ᾿ ὀστράκῳ, καὶ δίδου ἐξ αὐτοῦ ὑπὸ τὴν γλῶσσαν κατέχειν. Ἄλλη ἀρτηριακή. κόμμεως Γ° ε̅ γλυκέος ʒ α̅ μέλιτος λιτρ′ α̅, λείου τὸ κόμμι ὀλίγῳ ὕδατι καὶ βαλὼν ἕψε ἅμα ἐπ᾿ ἀνθράκων ἀκάπνων, ὡς προείρηται, καὶ δίδου ἐκλείχειν εἰς ὕπνον πορευομένῳ.

Ἀντωνίου Μούσα πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς. κράμβης χλωρᾶς τοὺς καυλοὺς καθάρας δίδου διαμασᾶσθαι καὶ τὸ μὲν ἀχυρῶδες αὐτῶν ἀποπτύειν κέλευε, τὸν δὲ χυλὸν καταπίνειν. [ἢ στύρακος ἐρεβίνθου τὸ ἴσον καταπινέτω]. Ἄλλη κράμβης καυλὸν μετὰ μέλιτος ἑψήσας, δίδου ἐκλείχειν· τοῦτο ὠφελεῖ παραχρῆμα. Ἄλλη. ἠρυγγίου ἐν ὕδατι ἡψημένου λαβὼν τοῦ χυλοῦ κοτύλην α̅ καὶ σύκων ἐν ὕδατι ἡψημένων ν̅ς̅

17—19 ἀρτηριακή—ἀκάπνων | 21—*p. 492, 3* Ἀντωνίου—ἑνός *Gal. ib. 2 (ib. 26, 6—13, 47, 17—48, 8)*

φ(Lᵃ Pˣ) χ(Mᵒ) ψ(A D P) ω(Aᵗ) 1 ἰσχυρότερον Pˣ ω ...ροτρ′ χ 2 ἡ *om.* D ω 3 μὲν *om.* D P ὁ] καὶ D P 4 *ante* σκυβελλίτης: ὁ D P τ᾿ *om.* α, *exc.* Lᵃ 5 ἀποτριτομένου Pˣ —ουμ. χ ψ ω ὃ] οἷον Pˣ A *om.* ω *post* σίραιον: ὃ Pˣ A 7 διαφορητικώτατον Pˣ A 9 τι (*om.* ω) σύνθετον D *om.* Lᵃ ποιεῖσθαι Lᵃ ...ῆσαι χ P *ante* φάρμακον: τι Lᵃ 11 *post* τούτων: τῶν ω οὖν *addidi* διωρισμένων Lᵃ 12 ἀναγεγραμμένας χ D P ω *ante* Ἀρτηριακή: ἀρτηριακαὶ διάφοροι D P (ἄλλη D) ἀρτηριακή—πορευομένῳ *(20) post* κυάθου ἑνὸς *(492, 3) transp.* D *om.* P 14 κόμμεως < β̅ *om.* ω 14. 15 κόμμι καὶ (καὶ *om.* Lᵃ) τραγάκανθαν] τὴν κώμην καὶ τὴν τραγάκανθαν Pˣ τραγάκανθαν καὶ κόμμι D *om.* ω 16 μολυνθῇ ω ὀστράκων Pˣ A ἀνθράκων χ D 17 γλῶτταν α, *exc.* Lᵃ ω *post* κατέχειν: καὶ τὸν σίελον καταπίνειν Pˣ 18 λεῖε Pˣ A λῦε χ A D 19 καὶ *pr. om.* Lᵃ ἕψε ἅμα] ἕψημα ω 20 πορευομένοις μέχρι κυάθου ἑνὸς D πορευομ. *om.* ω 21 πρὸς τὰς τῆς φωνῆς ἀποκοπὰς (καὶ τὰς κεχρονισμένας διαθέσεις P) ἐν τραχείᾳ ἀρτηρίᾳ καὶ πνεύμονι· ἀρτηριακή (ἀρτηρ. *om.* P) Ἀντωνίου (Ἀντίνου P) Μούσα (Μούσα *om.* D) D P 22 αὐτῆς Lᵃ 23. 24 ἢ στύρακος—καταπινέτω *om.* Lᵃ χ D P ω *(Gal.) delevi* *ante* καταπινέτω: λεπτοκάρ⟨υα⟩ Pˣ 24. 25 Ἄλλη—παραχρῆμα *post* ἑνός *(492, 3)* ω 25 ὠφελεῖ παραχρ.] θαυμαστὸν ὠφελεῖ. Ἀντίδοτος ἡ διὰ ἴρεως ὠφελεῖ ἀσθματικοῖς δυσπνοικοῖς φωνῆς ἀποκεκομμένοις κτλ. Pˣ ἄλλο Pˣ ω *in marg.* P 26 κοχλιάριον D P α̅ *om.* ω

τὸ ἴσον καὶ τούτοις ἐπιβαλὼν κόμμεως λειοτάτου < η̅ ἕψε φιλοπόνως, ὡς ἀρτηριακῆς σχῇ πάχος καὶ δίδου ἐκ τούτου ἐκλείχειν εἰς ὕπνον πορευομένοις μέχρι κυάθου ἑνός. Ἄλλη πρὸς τραχύτητας βρόγχου καὶ βῆχας καὶ διαίμους πτύσεις. ἀμύγδαλα πικρὰ λελεπισμένα κ̅ε̅ λινοσπέρμου πεφρυγμένου < δ̅ τραγακάνθης < β̅ ⟨στροβίλων κόκκοι λ̅⟩ ᾠοῦ ὠπτημένου ἐν ζύμῃ τὴν λέκιθον· ἡ τραγάκανθα ὕδατι ὀλίγῳ βρέχεται, τὸ δὲ ὅλον γλυκεῖ ἀναλαμβάνεται. δίδου ἐκλείχειν εἰς ὕπνον ℥ β̅. εἰ δὲ καὶ ὁ ἦχος εἴη τῆς φωνῆς τεθραυσμένος, μέλιτος μίσγε ἀντὶ τοῦ γλυκέος, καὶ μάλιστα ἐφ' ὧν ἀναχθῆναί ⟨τι⟩ ἐκ τοῦ θώρακος ᾖ χρεία. Ἄλλο ἔκλειγμα, ᾧ χρώμεθα. σκυβελλίτου ξ α̅ κόμμεως ℥ ϛ̅ μέλιτος ℥ θ̅, προβρέξας ὕδατι ὀλίγῳ τὸ κόμμι καὶ συλλεάνας ἅμα πάντα ἕψε ἐν διπλώματι καὶ χρῶ. Ἄλλη ἀρτηριακή, ποιεῖ καὶ πρὸς βῆχας. λινοσπέρμου κεκομμένου καὶ σεσησμένου, σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων, στροβίλων πεφρυγμένων, καρύων ποντικῶν κεκαθαρμένων ἴσα λεάνας μέλιτι ἀρκοῦντι ἀπέφθῳ ἀναλαβὼν δίδου κοχλιάριον εἰς ὕπνον. και ἡ ὑπογλωσσὶς πρὸς τὰς τῆς φωνῆς ἀποκοπὰς καὶ τὰς λοιπὰς περὶ τὴν ἀρτηρίαν διαθέσεις· τραγακάνθης < ι̅β̅ κόμμεως < ι̅ε̅ σμύρνης < γ̅ λιβάνου ὁμοίως φοινικοβαλάνων ϛ̅ τὰς σάρκας < ϛ̅ γλυκυρίζης < ϛ̅ γλυκέος προτρόπου ἢ Θηραίου εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ. ἔστω δὲ τὸ γλυκὺ προηψημένον, ὡς μέλιτος ἔχειν πάχος. δίδου κυάμου Αἰγυπτίου μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον καταπίνειν. Ἄλλη Χαριξένου. γλυκυρίζης χυλοῦ τραγακάνθης ἀνὰ < ϛ̅ κρόκου < β̅ καὶ σμύρνης ὁμοίως λιβάνου < α̅ ναρδοστάχυος

3—10 πρὸς τραχύτητας—χρεία *Or.*[c] *27 (IV 194, 2—6)* 10—*493, 8* ἔκλειγμα—ξ γ̅ *Gal. ib. (ib. 36, 16—37, 1, 58, 12—59, 3, 50, 11—51, 2, 49, 14—16, 50, 4—12)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 καὶ τούτοις *om.* ω λειοτάτης P ω η̅] β̅ ω 2 σχεῖν P^x A D ἔχειν χ ω *(Gal.)* 3 πορευομένων P^x A πρὸς τραχύτητας—πτύσεις *(4) om.* A βρόγχους P^x χ D ω 4. 5 λινοσπέρματος D P 5 πεφωγμένου P^x χ ψ *(Or.)* στροβίλων—λ̅ *add. ex Or.* 6 ὀπτημένου φ χ A ἑψημένου ω *ante* ζύμῃ: ὕδατ. μᾶλλον δὲ ἐν L^a εἰς ζύμην ω ἢ ω *ante* τραγάκανθα: τὴν ω 7 βρέχε P^x ω 7. 8 δίδου—β̅ *om.* D P ω 8 ὁ] τὸ P^x χ ψ τεθραυσμένον P^x χ ψ μέλιτι ψ ω 9 τι *addidi ex Or.* 10 *post* χρεία: πρὸς κεχρονισμένας διαθέσεις διαφοραὶ ἀρτηριακαὶ Ὀριβασίου ω ἄλλο *in marg.* P *om.* A ω 10—12 ἔκλειγμα—χρῶ *post* ὕπνον *(16) transp.* ω 12 ἅπαντα (πάντα P^x χ A) ἅμα (ἅμα *om.* P^x A ω) α, *exc.* L^a ἐν *et* ἄλλη *om.* ω ἀρτηριακή—ὕπνον *(16) ante* ἀρτηριακαὶ ποικίλαι *(p. 495, 2) transp.* ω ποιοῦσα D P ἡ τοιαύτη ὠφελεῖ P^x 13 λινοσπέρματος D P 14 στροβ. πεφρυγμ. *om.* ω πεφωγμένων α, *exc.* L^a 15 *post* κοχλιάριον: ἢ ποίησον ὑπογλωττ⟨ίδα⟩ καὶ δίδου P^x 16 *post* ὕπνον: ὑπὸ τὴν γλῶσσαν A πορευομένου, ἵνα ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ σίελον καταπίνειν P^x καὶ ἡ ὑπογλωσσὶς] καὶ *(supra scr. m. 1*[a]*)* ὑπὸ γλώσσης κατέχειν D ὑπογλωττὶς ἑτέρα P^x ἄλλη· ὑπογλωσσὶς A *om.* χ καὶ ἡ ὑπογλωσσὶς—μετ' αὐτήν *(493, 2) om.* P 17 λοιπὰς] οὔσας L^a χ A παρὰ ω ὑποθέσεις L^a D κόμμεως < ι̅ε̅ *om.* ω 18 ι̅ε̅] ι̅β̅ α, *exc.* L^a < γ̅ *om.* P^x γ̅] ι̅β̅ χ D ὁμοίως] (ἀνὰ P^x) < γ̅ P^x χ A D ω ϛ̅ *om.* L^a αἱ σάρκες ω 19 *post* προτρόπου: ἤτοι προσύρου P^x 20 ἐπαρκεῖ ω δὲ *om.* L^a τῷ γλυκεῖ P^x A ω 21 γλῶσσαν ω τὸ *om.* ω 22 ἄλλο D P Χαριξένους P^x A *post* χυλοῦ: < (℥ P^x) ϛ̅ *om.* ἀνὰ *post* τραγ. α, *exc.* L^a 23 < β̅ *om.* P^x β̅] ϛ̅ χ D καὶ *om.* α, *exc.* L^a ὁμοίως] ἀνὰ ℥ β̅ P^x < β̅ χ A D *om.* ω < α̅ *om. sed post* ναρδοστάχ. ἀνὰ P^x

< α̅ προτρόπου ʒ ς̅, ἑψήϲαϲ εἰϲ μελιτώδη ϲύϲταϲιν, ἀναλάμβανε τὰ ξηρὰ καὶ χρῶ· ποιεῖ ὅϲα ἡ μετ' αὐτήν. Ἄλλη ἀρτηριακή· ποιεῖ πρὸϲ ἤχουϲ καὶ βρόγχουϲ καὶ φωνῆϲ ἀποκοπὰϲ φλεγμονὰϲ παριϲθμίων, ποιεῖ τοῖϲ φωναϲκοῖϲ καὶ πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺϲ ἀγῶναϲ διδομένη καὶ τοῖϲ κατεψυγμένοιϲ γε ὠφελεῖ, ποιεῖ βήττουϲι προϲφάτωϲ τε καὶ χρονίωϲ, ποιεῖ αἱμοπτυικοῖϲ ἀναφορικοῖϲ κοιλιακοῖϲ, ποιεῖ πρὸϲ τὴν τοῦ ϲτόματοϲ δυϲωδίαν. κρόκου < γ̅ ϲμύρνηϲ λιβάνου γλυκυρίζηϲ ἀνὰ < α̅ γλυκέοϲ Κρητικοῦ ʒ γ̅, ἕψε εἰϲ τὸ τρίτον καὶ ἀναλάμβανε αὐτῷ τὰ προειρημένα καὶ χρῶ.

Ὀριβαϲίου ἀρτηριακὴ πρὸϲ τραχύτητα καὶ ἀποκεκομμένην φωνήν. κρόκου < ζ̅ γλυκυρίζηϲ ναρδοϲτάχυοϲ ἀνὰ < δ̅ λιβάνου ϲμύρνηϲ ἀνὰ < γ̅ ὑοϲκυάμου ϲπέρματοϲ < α̅ μέλιτοϲ ἀπηφριϲμένου Γº ς̅ πεπέρεωϲ λευκοῦ κόκκοι ν̅, δίδου ὑπὸ τὴν γλῶϲϲαν κατέχειν κυάμου μέγεθοϲ. Ἄλλη Χαριξένου πρὸϲ ἡλκωμένην ἀρτηρίαν, ποιεῖ πρὸϲ τοὺϲ φωναϲκουμένουϲ πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺϲ ἀγῶναϲ διδομένη· ποιεῖ πρὸϲ ὀφθαλμῶν περιωδυνίαϲ ἔξωθεν ἐπιτιθεμένη ἐρίου αὐτῇ βεβρεγμένου, ποιεῖ πρὸϲ τὰϲ ἐντὸϲ διαθέϲειϲ ἐκλειχομένη. κόμμεωϲ τραγακάνθηϲ ἀνὰ < ιβ̅ λιβάνου ϲμύρνηϲ ἀνὰ < γ̅ κρόκου < β̅ ὑποκυϲτίδοϲ χυλοῦ < β̅ γλυκέοϲ ϲκυβελλίτου ἢ Θηραίου ʒ β̅. κόμμι τραγάκανθαν κόψαϲ ϲήϲαϲ, ἕκαϲτον ἰδίᾳ λέαινε ϲὺν ὀλίγῳ γλυκεῖ, τὰ δὲ ἄλλα θλάϲαϲ προβρέξαϲ λείου ὁμοίωϲ μετ' ὀλίγου γλυκέοϲ. τὸν δὲ κρόκον εἰϲ ἐριοῦν ῥάκοϲ ἐνδήϲαϲ ἀραιὸν καὶ ἀποδήϲαϲ ἀποκρέμαϲον τῆϲ χύτραϲ καὶ βαλὼν πάντα ἕψε κινῶν ϲυνεχῶϲ· εἶτα ἐξελὼν τὸν κρόκον καὶ λεάναϲ

10—13 Ὀριβαϲίου—μέγεθοϲ *locum genuin. non inveni; at cf. Or.ᵉ IV 76 (466, 24sqq.) Or.ᶜ 27 (IV 194, 1sqq.)* 14—*p. 494, 1* Ἄλλη Χαριξένου—χρῶ *Gal. ib. (ib. 49, 1—8, 9—15)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 *ad* προτρόπου: *in marg.* προτροπ^' λέγω τὸ προττακ' τῶν ϲταφυλίων A *post* προτρόπου: ἤτοι προώρου *(v. ad 492, 19)* Pˣ ς̅] γ̅ ω ἐν μελιτώδει ϲυϲτάϲει ω 2 μετὰ ταύτην Pˣ A μετ' αὐτῆϲ χ ω Ἄλλη—χρῶ *(9) post* καταπίνειν *(p. 492, 22) transp.* ω Ἄλλη *om.* Pˣ ψ ἀρτηριακὴ—μέγεθοϲ *(13) post* ἑϲπέραν *(p. 494, 14) transp.* P ἀρτηριακὴ—εἰϲ νύκτα *(p. 494, 8) post* ἑϲπέραν *(p. 494, 14) transp.* D ποιοῦϲα D P *om.* χ 3 καὶ *alt.*] τῆϲ ω φλεγμονῆϲ φ χ ω 4 *ante* τοῖϲ: καὶ D P φωναϲτικοῖϲ Lᵃ καὶ *pr. om.* α, *exc.* Lᵃ 5 τοὺϲ κατεψυγμένουϲ α, *exc.* Lᵃ γε] δὲ Pˣ χ ψ *om.* ω ποιεῖ *om.* χ D P 6 ποιεῖ *alt.*] καὶ D P ω 7 τὰϲ ...δυϲωδίαϲ ω ϲτόματοϲ] πνεύματοϲ α, *exc.* Lᵃ *post* ϲμύρνηϲ *et* λιβάνου: < α̅, *om.* ἀνὰ *post* γλυκ. α, *exc.* φ *post* γλυκυρίζηϲ: χυλόν ω 8 γ̅] α̅ A 10—13 Ὀριβαϲίου—μέγεθοϲ *post* ἀρτηριακαὶ Ὀριβαϲίου *(v. p. 492 adn. ad l. 10) transp.* ω, *post* βάλλομεν *(p. 495, 2)* Pˣ χ A *om.* Lᵃ ἀρτηριακὴ *om.* ω 11 ζ̅] α̅ A ϲμύρνηϲ (< γ̅ χ A) λιβάνου (< γ̅ χ A) Pˣ χ A ω 12 πεφρυγμένου μέλιτοϲ ω 13 γλῶτταν Pˣ D P ω κυάμου μέγεθοϲ κατέχειν καὶ τὸ ϲίελον καταπίνειν Pˣ 14 Ἄλλη *om.* Pˣ P ω Χαριξένουϲ φ χ A τοὺϲ *om.* Pˣ A 15 ποιεῖ] καὶ ω 16 ἐπιτιθεμένου D P ω αὐτῇ *om.* ω *(Gal.)* 17 *ante* ἐντὸϲ: τῶν α, *exc.* Lᵃ ω *post* κόμμεωϲ: < ιβ̅ *om.* ἀνὰ *post* τραγακάνθ. α, *exc.* φ 18 ιβ̅] ια̅ ω *post* λιβάνου: < γ̅ *om.* ἀνὰ *post* ϲμύρνηϲ α, *exc.* φ γ̅] β̅ ἢ γ̅ Pˣ χυλοῦ] χλωροῦ Lᵃ 19 ἢ Θηραίου *om.* ω β̅ *alt.*] α̅ χ P ω κόμμι τραγάκανθαν (...θα Pˣ D) *om.* ω 20 ἑκάϲτω Pˣ A λεάναϲ ω τὰ δὲ—θλάϲαϲ *om.* ω 21 ὁμοίωϲ μετ' *om.* ω *ante* ὀλίγου: ὀλίγον ω 22 εἰϲ τὴν χύτραν D ω

εὖ μάλα ἐν θυίᾳ ἐπιβαλὼν τὰ ἑψηθέντα καὶ ἑνώcαc χρῶ. Ἀρτηριακή, ᾗ χρηcάμενοc πολλάκιc ηὐδοκίμηcα. cτροβίλια ξ̅ ἀμύγδαλα πικρὰ λελεπιcμένα μ̅ φοινικοβαλάνων ϛ̅ τὰc cάρκαc γλυκυρίζηc χυλοῦ Γρ ιβ̅ κρόκου Γρ α̅ cμύρνηc Γρ α̅ τραγακάνθηc Γρ ϛ̅ γλυκέοc Κρητικοῦ τὸ ἱκανόν· ἐφ' ὧν δὲ ἀναγωγῆc τῶν ἐν τῷ θώρακι χρεία γένοιτο καὶ μέλιτοc ἐπίβαλε cὺν τῷ ἑψήματι. Ἄλλη ἀρτηριακὴ Ἀνδρομάχου. cτέατοc ὀρνιθείου προcφάτου 𐅻 γ̅ μέλιτοc κοτύλην α̅, ἕψε ὁμοῦ κινῶν πηγάνῳ, ἕωc cυcτῇ, καὶ δίδου νήcτεcι καὶ μετὰ τροφὴν καὶ εἰc νύκτα. Ῥόφημα πρὸc ἀποκεκομμένουc ἤχουc, μάλιcτα δι' ὑγρότητα, ποιεῖ καὶ πρὸc φωναcκούc. πράcα ⟨ζ̅⟩ ἕψε εἰc ἀποτρίτωcιν καὶ αὐτὰ μὲν ῥῖψον, τῷ δὲ ὕδατι μῖξον χόνδρου χυλὸν καὶ μέλι καὶ ᾠῶν τὰ πυρρὰ γ̅ καὶ ἑνώcαc ἕψε εἰc ἀποτρίτωcιν καὶ διηθήcαc ἐπίβαλλε ἑψήματοc καλοῦ ⳨ α̅ καὶ ἕψε πάλιν μέχρι cυcτάcεωc κινῶν ἀνήθου κλωνίοιc καὶ δίδου κοχλιάριον ἕωθεν καὶ εἰc ἑcπέραν. Ἀρτηριακὴ ἀναγκαῖα ποιοῦcα φωναcκικοῖc· ἐπειράθη καὶ πρὸc βραγχιῶνταc δι' ὑγρότητα πλείcτην. κόcτου φύλλου ναρδοcτάχυοc ἀμώμου πεπέρεωc καccίαc μαcτίχηc ἀνὰ < ε̅ ὀπίου < β̅ μέλιτοc καὶ μόρων χυλὸν ἐξ ἴcηc μεμιγμένον τὸ ἀρκοῦν, ἵνα ἀναλαμβανόμενον αὐτοῖc τὸ φάρμακον ἰξῶδεc γένηται τῇ cυcτάcει. [καὶ] χρῶ διδοὺc ὑπὸ τὴν γλῶτταν κατέχειν καρύου ποντικοῦ τὸ μέγεθοc· μὴ πάνυ δὲ cτερεὸν cκεύαζε, ἵνα ῥᾷον τήκηται ὑπὸ τὴν γλῶτταν.

Ἀρτηριακὴ ὑπογλωccὶc φωνὴν ἀποκεκομμένοιc, βραγχιῶcιν, ἀναφορικοῖc. τραγακάνθηc < ϛ̅ κόμμεωc < ϛ̅ cμύρνηc < β̅ λιβάνου < α̅c πεπέρεωc λευκοῦ κόκκουc κ̅ κρόκου < α̅ γλυκυρίζηc χυλοῦ < ϛ̅ φοινικοβαλάνων γ̅ τὴν cάρκα γλυκέοc Κρητικοῦ τὸ ἱκανόν· τὸ κόμμι καὶ ἡ τραγακάνθα κοπέντα καὶ cηθέντα βρέχεται τῷ γλυκεῖ cὺν τῷ

1—4 Ἀρτηριακή—ἱκανὸν *cf. Gal. ib. (ib. praesertim 50, 13 sqq., 51, 3 sqq. etc.)* 6—8 Ἄλλη—νύκτα *Or.*^{c} *27 (IV 194, 12—14)* 8—13 Ῥόφημα—κλωνίοιc *Paul. III 28 (I 208, 29—209, 3)* 22—25 Ἀρτηριακὴ—ἱκανόν *[cf. p. 492, 16 sqq.] Paul. ib. (ib. 208, 21—25)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1 *ante* ἐπιβαλὼν (βαλλὼν ω): καὶ χ D P τὰ] πάντα ω ἑνώcαc *post* θυία *transp.* ω Ἀρτηριακή—ἑψήματι *(6) om.* L^a 2 *post* ηὐδοκίμηcα: ποιεῖ πρὸc βῆχαν χρονίαν D cτροβίλων ω 3 τὰc cάρκαc ϛ̅ ω 4 cμύρνηc—α̅ *om.* D 5 τῷ *om.* P^x χ A D 6 ἐπίβαλλε P^x A ω *post* ἑψήματι: ἕψημα δὲ εἴρηται τὸ γάροc P^x Ἄλλη *om.* P ω 7 *post* α̅: ἔcτι δὲ ὁ cταθμὸc τῆc κοτύληc θ̅ P^x πηγάνου κλωνίοιc α *(Or.), exc.* L^a 8 νηcτεῦcιν P^x P ω νήcτειc A *ante* ῥόφημα: ἄλλο ω *id in marg.* P^x 9 ποιοῦν D P πρὸc φωναcκούc] φυναcκικοῖc (...αcκοῖc) α *(Paul.), exc.* L^a ζ̅ *addidi ex Paul.* 12 ἐπίβαλε α, *exc.* L^a ω 14 *ante* ἀρτηριακή: Κο̆ εἰc τὸ αὐτό· cίνηπι πέπερι cμύρνα κνιδίου cπέρματοc cεραπίων ἀνὰ ⳨ α̅ κτλ. P^x Ἀρτηριακὴ—ὑπὸ τὴν γλῶτταν *(21) post* μέγεθοc *(p. 493, 13; v. adn.) transp.* A 15 *ante* ἐπειράθη (...θην A): ἧc A P διὰ πλείcτην ὑγρότητα χ P *om.* A 16 καccίαc πεπέρεωc χ P 17 χυλοῦ P^x χ D ω 18 ἵνα *om.* ω αὐτοὺc L^a τὸ *om.* χ A P 19 καὶ *delevi* τὸ] μικροῦ P^x D *om. sed post* μέγεθοc: μικροῦ χ 20 δὲ cτερεὸν] ὑδαρέcτερον ω 22—*p. 495, 2* Ἀρτηριακὴ—βάλλομεν *post* μέγεθοc *(p. 493, 13) transp.* ω *om.* L^a φωνῆc P^x ω 23 < β̅] < α̅ P^x χ A D *post* β̅: ἢ ὀβολὸν ω ὀβολοὺc β̅ P^x χ D 25 γ̅] < ϛ̅ ω 26 ἡ] τὴν P^x

χυλῷ τῆς γλυκυρίζης· μὴ παρόντος δὲ τοῦ χυλοῦ τὴν γλυκύριζαν θλάσαντες καὶ ἑψήσαντες ἕως συστάσεως τετραπλῆν βάλλομεν. Ἀρτηριακαὶ ποικίλαι πρὸς τὰς κεχρονισμένας διαθέσεις ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ πνεύμονι. Ἀρτηριακὴ ποιεῖ ἀναφορικοῖς καὶ πρὸς πάντα τὰ ἐν κατακαλύψει ἀποστήματα καὶ πᾶσαν χρονίαν βῆχα, τέμνει φλέγμα καὶ ὑπάγει κοιλίαν· μάλιστα δὲ ὠφελεῖ ὀρθοπνοικοῖς. σκίλλης καθαρᾶς ἑφθῆς < ϛ̄ λινοσπέρμου κνίδης σπέρματος ἀνὰ < β̄ περιστερεῶνος χυλοῦ ξηροῦ θύμου ἀλεύρου ὀροβίνου γλήχωνος ἴρεως βεττονίκης ἀνίσου καρδαμώμου μαράθρου σπέρματος σελίνου ἀνήθου σπέρματος πεπέρεως τήλεως ἀνὰ < ᾱ, ἀναλάμβανε μέλιτι Ἀττικῷ καὶ δίδου κοχλιάριον ἕωθεν καὶ εἰς ἑσπέραν ὁμοίως. Ἄλλη πρὸς τὰ τῆς ἀρτηρίας πάθη καὶ ἕλκη ἐν πνεύμονι καὶ πύου ἀναγωγὰς καὶ αἵματος καὶ τοὺς εἰς θώρακα ῥευματισμοὺς καὶ πρὸς τὸ ἀνάγειν τὰ ἠθροισμένα ἐν τῷ πνεύμονι σφόδρα ἐνεργής. ῥητίνης τερεβινθίνης κρόκου λιβάνου σμύρνης τρωγλοδύτιδος γῆς ἀστέρος κινναμώμου στροβίλων κεκαθαρμένων γλυκυρίζης ἀνὰ < δ̄ ἀμώμου τραγακάνθης φοινίκων λιπαρῶν τῆς σαρκὸς ἀνὰ < γ̄ ναρδοστάχυος κασσίας ἀνὰ < β̄ κόστου < ᾱ χαλβάνης καθαρᾶς ὀβολοὺς δ̄ μέλιτος Ἀττικοῦ λιτρ´ ϛ̄· τὸ μέλι καὶ τὴν τερεβινθίνην ἕψε ἐν διπλώματι καὶ ὅταν ἄρξηται συστρέφεσθαι μίγνυε τὴν χαλβάνην προμεμαλαγμένην ἀκριβῶς καὶ ἕψε ἄχρις οὗ μὴ μολύνῃ, εἶτα ψύξας κινῶν μίγνυε ἐν θυίᾳ τοῖς λοιποῖς κεκομμένοις καὶ σεσησμένοις καὶ χρῶ διδοὺς κατέχειν ὑπὸ τὴν γλῶτταν. Ἄλλη ποιοῦσα πρὸς πάντα τὰ προρρηθέντα. ναρδοστάχυος < δ̄ κρόκου < ᾱ πεπέρεως κόκκοι λ̄ γλυκυρίζης < ᾱ στρόβιλοι κεκαθαρμένοι ρ̄ βαλαύστια < γ̄ στύρακος· τραγακάνθης κινναμώμου ἀμώμου λιβάνου ἀνὰ < ᾱ μέλιτος ἢ γλυκέος Κρητικοῦ κοτύλαι η̄· ὁ γλυκὺς ἐν διπλώματι ἕψεται,

11—22 Ἄλλη—χρῶ *Gal. ib. (ib. 28, 10—29, 4)* 22—*p. 496, 5* Ἄλλη—βοήθημα | *p. 496, 6—14* πανάκεια—οὕτως *Gal. ib. (ib. 29, 9—30, 7, 54, 16—55, 8)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 3 ποικίλαι *et* τὰς κεχρονισμένας *om.* ω 4 Ἀρτηριακὴ *om.* P^x ω ἀναφωνικοῖς ω 5 ἀποκαλύψει P^x A P ω ἀποστήματα—κοιλίαν *(6) om.* ω 6 ὀρθοπνοικούς χ A D ω 7 *post* λινοσπέρμου (...ματος D): < β̄ α, *exc.* L^a ω κνιδίου L^a ἀνὰ *om.* α, *exc.* L^a ω < β̄ *om.* ω 8 *post* ξηροῦ: < ᾱ (β̄ ω) α, *exc.* φ θύμου *om.* A *post* θύμου: < α χ D P *post* ὀροβίνου: < ᾱ χ ψ 9 σπέρματος *om.* ω σελίνου—σπέρματος *(10) om.* P^x A 10 σπέρματος] τὰ σπέρματα ω πεπέρεως *ante* σελίνου *transp.* P *om.* χ 11 ἑσπέραν] κοίτην χ D ἄλλο ω *om.* A 12 ἀναγωγαῖς ω καὶ *tert. om.* P^x A αἱμάτων ω 13 ἀναγαγεῖν P^x A ἄγειν χ τὰ *om.* ω 14 σφόδρα] σφραγὶς L^a ἐνεργὲς A ...γῶν ω 15. 16 στροβίλων—ἀμώμου *om.* D ω 17 *post* ναρδοστάχυος: < β̄, *om.* ἀνὰ *post* κασσίας χ A P κασσίας—β̄ *om.* ω 18 τὸ μέλι καὶ] μετὰ ω 19 καὶ *om.* L^a 20 μιγνὺς P ω καὶ *om.* ω 22 καὶ σεσησμένοις *om,* ω *post* διδοὺς: ὅσον λεπτοκαρύου τὸ μέγεθος ὡς ὑπογλωττ⟨ίς⟩ P^x *post* γλῶτταν: καὶ τὸ σίελον καταπίνειν P^x 23 ποιοῦσα *om.* L^a 24 στροβιλία κεκαθαρμένα (...ίλων ...μένων D) P^x A P ω *ante* ρ̄: κοcc´ P^x < ω 25 στύρακος < ᾱ (β̄ ω) βαλαυστίου (...ίων P^x) < γ̄ α, *exc.* L^a *post* τραγακάνθης: < ᾱ χ ψ *post* κινναμώμου: < ᾱ χ A P ἀμώμου *om.* D ω *post* ἀμώμου: < α, *om.* ἀνὰ *post* λιβάνου χ A P 26 *post* μέλιτος (μέλι L^a χ): λι ᾱ ς (< η̄ D) P^x A P ἢ γλυκέος—ἕως *(p. 496, 1) om.* ω

ἕως μέλιτος cχῇ πάχος καὶ καταχεῖται κατὰ τῶν ξηρῶν λείων ἐν θυίᾳ. ἡ δὲ τραγάκανθα κόπτεται καὶ cήθεται καὶ λειοῦται cὺν τῷ cτύρακι μετ' οἴνου γλυκέος ὀλίγου καὶ οὕτωc μίγνυται· δίδου κοχλιάριον καὶ χρῶ. εὗρον γὰρ ἀμφότερα παραγεγραμμένα ὅτι πάνυ εὐδόκιμα τοῦτό τε καὶ τὸ πρὸ αὐτοῦ βοήθημα. Ἐκ τῶν Ἀcκληπιάδου πανάκεια Μιθριδάτου φωναcκουμένοιc καὶ πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺc ἀγῶναc διδομένη, ποιεῖ καὶ πρὸc ἀντιάδων φλεγμονάc, κιονίδα κεχαλαcμένην, ποιεῖ πρὸc οὖλα πλαδαρὰ καὶ τὰc ἐν cτόματι νομὰc καὶ cειομένουc ὀδόνταc· ἁρμόζει πρὸc κατάρρουν καὶ βῆχα χρόνιον καὶ πρόcφατον, ποιεῖ αἱμοπτυϊκοῖc ἀναφορικοῖc. χρῶμαι δὲ τῷ φαρμάκῳ ποτὲ μὲν ἀκράτῳ, ἔcτι δὲ ὅτε καὶ διαλυθέντι γλυκεῖ ἢ cκυβελλίτῃ ἢ ὕδατι θερμῷ· πρὸc μὲν γὰρ τὰc τῶν παριcθμίων φλεγμονὰc καὶ τὰc τοιαύταc διαθέcειc χρηcτέον ἀνιεμένῳ τῷ φαρμάκῳ, πρὸc δὲ τὰc ἐν βάθει ἀκράτῳ. τὰ δὲ τῆc cυνθέcεωc ἔχει οὕτωc· ῥίζαι πτέρεωc ὡc ὅτι παχύταται πλύνονται ἐπιμελῶc, ἕωc ἂν τὸ γεῶδεc ἀποcτῇ, εἶτα ψύχονται κατατεμνόμεναι εἰc δακτυλιαῖα μεγέθη· ἐκ τούτων αἴρομεν $λι^{τρ'}$ γ̄ καὶ κωδύαc μήκωνοc ἀγρίαc cυμμέτρουc ρ̄ν̄, cυμφύτου ῥίζηc κεκαθαρμένηc μανδραγόρου ῥίζηc φλοιοῦ, ῥήου Ποντικοῦ ῥόδων ξηρῶν ἴρεωc Ἰλλυρικῆc γλυκυρίζηc βαλαυcτίων ἀνὰ Γ° γ̄ καccίαc Γ° δ̄ νάρδου Κελτικῆc Γ° ᾱc ὕδατοc ὀμβρίου ℥ ιε̄· τὰ προειρημένα ἅπαντα παχυμερῶc κόπτεται καὶ βρέχεται ἐπὶ ἡμέραc γ̄, τῇ δὲ ἑξῆc ἕψεται ἐν διπλώματι εἰc τὸ τρίτον, ἔπειτα ἐκθλίβομεν καὶ διηθοῦμεν. ἐκ δὲ τούτου τοῦ βοηθήματοc βάλλοντεc βρέχομεν τὰ ὑπογεγραμμένα ἡμέραν καὶ νύκτα. ἔcτι δὲ ταῦτα κόμμεωc καθαροῦ τραγακάνθηc διαυγοῦc $λι^{τρ'}$ ᾱ cμύρνηc τρωγλίτιδοc Γ° β̄ γλυκυρίζηc χυλοῦ Γ° β̄ ὑποκυcτίδοc χυλοῦ Γ° β̄ κρόκου μαcτίχηc ἀνὰ Γ° ᾱ. τῇ δὲ ἑξῆc λεαίνομεν φιλοπό-

14—*p. 497, 5* ῥίζαι—χρώμεθα *Gal. ib. (ib. 55, 8—56, 11)*

φ ($L^a P^x$) χ (M^o) ψ (A D P) ω (A^t)   1 ἔχειν P^x cχεῖν A   3 ὀλίγου καὶ οὕτωc *om.* ω   3. 4 *post* κοχλιάριον: ᾱ ω   4 καὶ *om.* L^a D ω   *post* χρῶ: θαρρῶν D ἢ ποίηcον ὑπογλώττην δίδου ἕνα ὑπὸ τὴν γλῶτταν κατέχειν P^x εὗρον—βοήθημα *(5) om.* χ   *post* γὰρ: εὐδοκιμοῦντα τὰ ω   παραγεγραμμένα—βοήθημα *om.* ω   5 τε *om.* α, *exc.* L^a τὸ (τὰ P^x) *om.* χ P   βοηθήματα P^x *ante* ἐκ: ἄλλο P ω   6 καὶ *pr. om.* α, *exc.* L^a 7 ποιεῖ *om.* ω   7. 8 κιονίδαc κεχαλαcμέναc ω   8 *post* ποιεῖ: καὶ P ω   *post* ἐν: τῷ P^x χ A P ω   νομὰc] γιγνομέναc P^x A   9 ἁρμόζει] καὶ ω   βήττουcι χρονίωc α *(Gal.)*, *exc.* L^a 10 προcφάτωc α *(Gal.)*, *exc.* L^a 10. 11 ποιεῖ—ποτὲ μὲν *om.* ω   τῷ *om.* P ω   11 καὶ *om.* α *(Gal.)*, *exc.* L^a D   12 μὲν *om.* ω   τὰc *om.* L^a ω   13 καὶ τὰc—διαθέcειc *om.* ω   14 ἀκράτωc P^x P   τῆc *om.* ω   17 cυμμέτρου P^x A   ρ̄ν̄] c̄ρ̄ν̄ D   18 ῥίζηc φλοιοῦ *om.* ω   ῥᾶ χ A D   20 πάντα P^x A P ω   21 γ̄ *om.* L^a 22 ἐκθλίβωμεν χ ....βόμενα P ω   καὶ *om.* P^x A   διηθούμενα χ P ω *om.* P^x A   23 βοηθήματοc] ἀφεψήματοc P^x χ A D ἑψήματοc P ω   βαλόντεc A λαβόντεc P^x *post* ἡμέραν: ᾱ *et post* νύκτα: ὁμοίωc μίαν P^x 24 ταῦτα *om.* ω   *post* καθαροῦ: λι ᾱ α, *exc.* L^a τραγακάνθηc—γλυκυρίζηc χυλοῦ Γ° β̄ *(25) om.* A   τραγακάνθηc—ᾱ *(25) post* γλυκυρίζηc χυλοῦ Γ° β̄ *transp.* P^x 25 γλυκυρ. χυλ. Γ° β̄ *om.* L^a Γ° β̄ *alt. om.* ω   25. 26 ὑποκυcτίδοc—μαcτίχηc ἀνὰ Γ° ᾱ] ὑποκυcτίδοc—κρόκου Γ° ᾱ μαcτίχηc Γ° ᾱ χ A D κρόκου (ἀνὰ ω) Γ° ᾱ (β̄ ω) μαcτίχηc Γ° ᾱ ὑποκυcτίδοc χυλοῦ Γ° β̄ (ὑποχ. χ. Γ° β̄ *om.* ω) P^x P ω

νως κατὰ βραχὺ ἐπιβάλλοντες τοῦ ἐκθλιβέντος ὑγροῦ; ἔπειτα οἴνου σκυβελλίτου ἢ θηραίου· ἢ ἑτέρου γλυκυτάτου ἐπιβάλλοντες ξε κ̅δ̅· εἰς ἀγγεῖον ὀστράκινον ἑψοῦμεν, καὶ ὅταν ἔχῃ μέλιτος πάχος, τούτῳ ἐπιβάλλομεν τὰ λελειωμένα πάντα, καὶ πάλιν ἑψοῦμεν μέχρι συστάσεως, εἶτα ἀνελόμενοι χρώμεθα, ἡ δόσις κοχλίαριον. ἡ διὰ κωδυῶν πρὸς βῆχας ὑγρὰς καὶ πόνους ἀρτηρίας καὶ φάρυγγος καὶ πρὸς τοὺς ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματισμοὺς καὶ τὰς ἀγρυπνίας· κωδύας ἀγρίας θηβαικὰς συμμέτρους ι̅η̅ σὺν τῷ σπέρματι ὕδατος ὀμβρίου ξε α̅ γλυκυρίζης ὀλίγον προβρέχων ἡμέραν μίαν, ἕψε μέχρι τακεραὶ γένωνται τῇ ἁφῇ αἱ κωδύαι, καὶ ἐκθλίψας διηθήσας ἐπίβαλλε τῷ ἀφεψήματι μέλιτος τὸ ̅c καὶ ἕψε ἐπ’ ἀνθράκων μέχρι συστάσεως μελιτώδους καὶ χρῶ. ἡ μὲν οὖν ἐπιμελεστέρα σκευασία τῆς ἀντιδότου καὶ ἡ κατὰ μέρος χρῆσις προείρηται ἐν τῷ περὶ τῶν ἡδέων πομάτων τοῖς νοσοῦσι λόγῳ, τουτέστιν ἐν τῷ ε̅ λόγῳ. εἰ δὲ βούλει αὐτὸ ἐφεκτικώτερον τῶν τῆς κοιλίας ῥευμάτων ἐργάσασθαι καὶ αἱμοπτυικοῖς ἁρμόδιόν ἐστι· ῥοῦ ἐρυθροῦ χυλοῦ πρόσβαλλε < β̅ καὶ ἀκακίας < β̅· ταῦτα δὲ γλυκεῖ διαλύων, ἔμβαλλε ἐν τῇ χύτρᾳ μέλλων ἀφαιρεῖν τὸ φάρμακον ἀπὸ τοῦ πυρὸς καὶ συναναζέσας ἐπ’ ὀλίγον χρῶ παρέχων κοχλιάριον εἰς κοίτην.

Ἡ διὰ κωδυῶν ποικίλη. κωδύας μήκωνος ρ̅κ̅ βάλλε εἰς ὕδατος ξε γ̅, καὶ ἔα βρέχεσθαι ἡμέρας γ̅, καὶ ἑψήσας ὡς λειφθῆναι τὸ τρίτον τὰς μὲν κωδύας ῥῖψον, τῷ δὲ ὕδατι μῖξον μέλιτος ξ α̅, καὶ ἑψήσας ἕως μελιτώδους συστάσεως, ὥστε μὴ ἀπορρεῖν, ἔμβαλε κρόκου σμύρνης ἀκακίας ὑποκιστίδος χυλοῦ ἀνὰ < α̅ καὶ δίδου εἰς ὕπνον ἔκλειγμα. ποιεῖ δὲ αἱμοπτυικοῖς κοιλιακοῖς καὶ δυσεντερικοῖς· ἐγὼ δὲ τῇ διὰ κωδυῶν τῇ δεχομένῃ εἰς λι α̅ ὕδατος κωδύας δέκα, μιγνὺς τὰ εἰρημένα, χρῶμαι σταλτικῷ φαρμάκῳ.

13. 14 λόγῳ τουτέστιν ἐν τῷ ε′ λόγῳ *p. 113,3 sqq* 20—24 ἡ διὰ κωδυῶν—ἀνὰ < α̅ *ib. (ib. 39, 3, 7—15)* ἡ διὰ κωδυῶν—ἔκλειγμα *Or. Ecl. med. 27 (IV 194, 6—12)*

φ (Lª Pˣ) χ (M°) ψ (A D P) ω (Aᵗ) 1. 2 τοῦ ἐκθλιβέντος—κ̅δ̅ *om.* ω 3 *post* ὀστράκινον: ξ κ̅δ̅ ω ἑψῶμεν Pˣ A ἕψωμεν χ ἕψομεν D ω σχῇ A D ἔχει Pˣ χ P ω πάχος] σύστασιν P ω τούτῳ *om.* ω 4 λειούμενα P ω 5 κοχλιαρίου ἑνὸς A *post* κοχλ.: α̅, Ἀντίδωτος ἡ διὰ κωδυῶν Pˣ 6 *ante* ἀρτηρίας: καὶ ω φάρυγγας φ ω 7 ἀγρίας *om.* ω 8 θηβαικῆς ω ι̅η̅] ι̅ α, *exc.* Lª *ante* σὺν: καὶ ω 10 *ante* διηθήσας: καὶ Pˣ D P ἐπίβαλε A P 11 *post* μέλιτος (…τι ω): κοχλιάριον D P ἐπ’ ἀνθράκων *om.* ω 13 προείρηται] ἐρῶ μὲν ὕστερον ἐπὶ τῶν ἀντιδότων Pˣ 13. 14 λόγω τουτέστιν ἐν τῷ (ἐν *om.* χ) L a χ: λόγω, ε̅ (ε̅ *om.* A) Pˣ χ ψ ω 14 εἰ δὲ] καὶ εἰ ω βούλῃ ω 15 ἐστι *om.* α, *exc.* Lª 16 χυλὸν Lª χ β̅ *pr.*] ι̅β̅ ω καὶ *om.* Pˣ ω 17 ἔμβαλε M° Pˣ A D τῇ *om.* Lª *ante* μέλλων: μὴ παρόντος δὲ εἰς τὴν χρῆσιν γλυκύριζαν θλάσαντες καὶ ἑψήσαντες ἕως συστάσεως τετραπλοῦν βάλλομεν D P *post* μέλλων: δὲ χ D P 19 *post* κοίτην: ἄλλη σκευασία διὰ κωδυῶν· γλυκύριζον τετραγάκανθα κόμι ἀραβικὸν *et multa alia* Pˣ 20—27 ἡ διὰ κωδυῶν—φαρμάκῳ *post* ἀμφότερα *(496, 4) transp.* ω *om.* φ χ A 20 ἐν ὕδατι ω 21 γ̅ *alt.*] ε̅ ω 22 τὸ … ὕδωρ ω μέλιτι ω 23 ὥστε—ἔμβαλε] πρὸς τὸ ἐπαίρειν ἔμπλασον ω *(Or.)* 25 δέ *et* καὶ *om.* ω 26 εἰς λι] ξε′ ω ὕδατι ω

νζ Περὶ κατάρρου καὶ κορύζης ἐκ τῶν Γαληνοῦ, αἴτιος ὁ ἐγκέφαλος ἐν μὲν ταῖς ψύξεσιν εἰς δυσκρασίαν ψυχρὰν ἀγόμενος, ἐν δὲ ταῖς ἐγκαύσεσι θερμαινόμενος καὶ πληρούμενος. καὶ οἶνος πλέον τοῦ δέοντος ποθεὶς πληροῖ τὴν κεφαλὴν καὶ λουτρὰ θερμότερα καὶ δαψιλὴς θερμοῦ κατάχυσις κατὰ κεφαλῆς μάλιστα θερμοτέρας καὶ τροφὴ ἐν τῇ γαστρὶ ἀπεπτηθεῖσα καὶ μὴ διαχωρηθεῖσα κάτω ἐπὶ τὴν κεφαλὴν τὴν ὁρμὴν λαμβάνει. πληρωθεῖσα μὲν οὖν ἡ κεφαλὴ πάλιν τοῖς ὑποκειμένοις παραπέμπει τὰ ὑγρὰ καὶ εἰ μὲν εἰς τὰς ῥῖνας καταρρέοι τὸ περίττωμα, κόρυζαν τὸ πάθος ὀνομάζουσιν, εἰ δὲ εἰς τὸν γαργαρεῶνα κατασκήψῃ ἤτοι τὴν καλουμένην σταφυλὴν γεννᾷ. πάθος δὲ ἐστὶ τοῦτο περὶ τὸν γαργαρεῶνα συνιστάμενον ἢ ἄλλως εἰς ὄγκον ἐγείρει αὐτόν. ἑτοιμοτάτη μὲν οὖν ἡ εἰς τὰς ῥῖνας καὶ τὸ στόμα φορὰ τοῦ ῥεύματος, παραγίγνεται δ' ἐνίοις καὶ εἰς ὀφθαλμούς, ἐνίοτε δὲ καὶ εἰς τὰ ὦτα· τὴν δὲ εἰς τὸ στόμα φορὰν ὑποδέχεται ὁ στόμαχος καὶ ἡ τραχεῖα ἀρτηρία καὶ δηλονότι καὶ ὁ λάρυγξ· ὑγραινόμενος δὲ ὁ λάρυγξ ὑπὸ τῶν εἰς αὐτὸν ἐκ τῆς κεφαλῆς καταρρεόντων, ἐν ἀρχῇ μὲν βραγχώδη τὴν φωνὴν ἀπεργάζεται, προιόντος δὲ τοῦ χρόνου καὶ μικράν, εἰ δὲ ἐπὶ πλέον αὔξει τὸ κακόν, ἀπόλλυται πᾶσα ἡ φωνή· συνδιαβρέχεται γὰρ τῷ λάρυγγι καὶ ἡ τραχεῖα ἀρτηρία. δριμέος δὲ τοῦ ῥεύματος ὄντος οὐκ εἰς φωνὴν μόνην ἡ βλάβη τοῖς εἰρημένοις μορίοις γίγνεται, ἀλλὰ καὶ χαλεπωτάτη τις ἀνάβρωσις προσέρχεται, τοιαύτη τὴν φύσιν, οἵασπερ καὶ κατὰ τὸ δέρμα θεώμεθα γιγνομένας πολλάκις ἄνευ τῆς ἔξωθεν αἰτίας· οὕτως δὲ καὶ πνεύμων αὐτοῖς ἑλκοῦται καὶ καλεῖται φθόη τὸ πάθος· ἐὰν δὲ εἰς τὸν στόμαχον καὶ τὴν γαστέρα τραπῇ τὸ ῥεῦμα, ψυχρὸν μὲν ὑπάρχον, εἰς δυσκρασίαν ψυχρὰν ἄγει τὰ σώματα,

1—3 Περὶ — πληρούμενος | 7—11 πληρωθεῖσα — αὐτόν *Gal. de symptom. caus. III 11 (VII 262, 18—263, 3, 6—7, 9—11)* 1. 2 αἴτιος — ἀγόμενος | πληρωθεῖσα — ῥεύματος *(12) cf. de hum. lib. et Gal. in eum comm. I 18 (XVI 171, 4—9)* 2 ἐν ταῖς ἐγκαύς. θερμαινόμ. *cf. id. Hippocr. Prognost. et Gal. in eum libr. comm. II 49 (XVIII B 181, 5)* 3 πληροῖ τὴν κεφαλὴν | πληρωθεῖσα — αὐτόν *cf. Gal. ascr. intr. s. med. 13 (XIV 742, 4sqq,)* 16 βρογχώδη — ἀπεργάζεται *Gal. de loc. aff. IV 9 (VIII, 298, 16—17) Paul. III 28 (I 205, 18)*

φ(L^aP^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 κατάρρων ω ἐκ τῶν Γαληνοῦ (*post* κατάρρου, *om.* καὶ κορύζης χ) α, *exc.* L^a *ante* αἴτιος: κατάρρου (δὲ P^x) καὶ κορύζης α, *exc.* L^a 3 *post* οἶνος: δὲ D P πλεῖον P^x χ ω πλείων D P 4 θερμότατα D P *post* θερμότ.: μὲν χειμῶνος P^x δαψιλοῦς L^a 5 *post* θερμοτέρας: θέρους δὲ αὐτὴ καθ' αὑτήν ἡ ὥρα τήκει P^x 6 διαχωρήσασα α, *exc.* L^a κάτω — κεφαλὴν] κατὰ τῆς κεφαλῆς ω 8 καταρρρέει P^x χ D P 10 κατασκήψῃ ἤτοι *om.* ω κατασκήψει D P ...κύψει A γεννᾶν L^a *post* γεννᾶ: τὸν καλούμενον κατάρρουν ω δὲ *om.* L^a *post* τοῦτο: τὸ ω 11 ἢ *om.* ω ἐξείρῃ χ ἐξαίρει D P 12 μέν *om.* P ω *ante* τὸ: εἰς D P τὸ *om.* L^a χ 13 δ' *om.* L^a 15 καὶ *pr. om.* χ ω ὑγραινόμενος δὲ ὁ λάρυγξ *om.* D P 15. 16 ὑπὸ τῶν] καὶ τῆς ω 15 ἐκ] ἀπὸ ω βρογχώδη L^a χ 18 αὔξῃ P^x αὔξητο χ ..ξήσει D P συνδιατρέφεται ω 19. 20 δριμέος — ὄντος *om.* χ 20 *post* εἰς: τὴν D P ἡ *om.* χ ω 21 *post* τις: ἀναπνοὴ μᾶλλον δὲ L^a τῇ φύσει ω 22 οἵαπερ P^x A καὶ *om.* χ D P ω δέρμα] δεῦμα ω 23 αὐτὸς P^x χ ...οὺς ω 24 τὸ *om.* ω δὲ *om.* L^a *post* στόμαχον: τε P^x χ A τὴν *om.* ω 25 ψυχρὰν ὑγρασίαν ω τὸ στόμα A τὸν στόμαχον P^x

θερμὸν δὲ εἰς θερμήν, ἑλκοῖ δὲ καὶ τοῦτο τῷ χρόνῳ, κατ' ἀρχὰς δὲ τὰς ὀρέξεις βλάπτει καὶ τὰς πέψεις. ἐὰν μὲν οὖν ψυχρὸν ᾖ, βραδυπεψίας τε καὶ ἀπεψίας καὶ ὀξυρεγμίας ἐργάζεται, ἐὰν δὲ θερμόν, διεφθαρμένον εἰς διαφθορὰν ἄγει τὴν τροφήν, ἤτοι κνισσώδεις ἢ βρομώδεις ἢ ὀξώδεις ἐρυγὰς ἀναπέμπουσαν ἤ τινος ἀρρήτου τε καὶ ῥητῆς ποιότητος ἑτέρας. ὑποκαταβαίνουσα δὲ ἡ βλάβη καὶ τὴν νῆστιν ἀδικεῖ καὶ τοῦ κώλου ἅπτεται καὶ τῶγ κατὰ τὸ μεσεντέριον ἀγγείων, δι' ὧν εἰς ἧπαρ ἡ ἀνάδοσις γίγνεται, καί τισι μὲν ἀνορεξίαι παρακολουθοῦσιν, ἐνίοις δὲ ὀρέξεις παρὰ φύσιν, ἃς ὀνομάζουσι κυνώδεις ἢ καὶ μοχθηρῶν ἐδεσμάτων ἐπιθυμίας, καθάπερ ταῖς κιττώσαις γυναιξὶ συμβαίνει. εὔδηλον δὲ ὅτι καὶ γαργαρεὼν καὶ παρίσθμια πάσχει καὶ παρουλίδες ἀντιάδεις τε καὶ βρώσεις ὀδόντων ἑλκώσεις τε καὶ σηπεδόνες ἐν τῷ στόματι τοῖς ἐκ τῆς κεφαλῆς εἰς αὐτὸ καταρρέουσιν ἰχῶρσιν ἕπονται. καὶ τότε πολὺ πλῆθος τῶν ἰατρῶν ἢ τὸν γαργαρεῶνα τέμνουσιν ἢ φάρμακα διδόασιν, ὅπως ἀναπτύηται τὰ διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κατενεχθέντα. τῆς δὲ γαστρὸς ἄλλοι προνοοῦνται, καθάπερ ἄλλοι τῶν ὀδόντων τε καὶ τοῦ στόματος ἢ καὶ τῶν ἐν τῇ ῥινὶ συνισταμένων ἢ εἰς τοὺς ὀφθαλμοὺς ἢ τὰ ὦτα παθῶν. βέλτιον δὲ ἦν, οἶμαι, τὴν οἷον πηγὴν τῶν κακῶν ἐκκόψαι, ῥώσαντα τὴν κεφαλήν, ἢ εἴπερ ἀδύνατον εἴη τοῦτο διὰ τὴν σφοδρότητα τῆς φυσικῆς δυσκρασίας, προνοεῖσθαι γοῦν αὐτῆς διὰ παντός, τὴν ἔνδειξιν τῆς προνοίας ἀπὸ τῆς κατ' αὐτὴν ἰδέας ποιούμενον, οὐχ ὡς ἔνιοι τῶν ἰατρῶν ἁπάσαις ἀεὶ ταῖς κεφαλαῖς τὸ διὰ θαψίας καὶ νάπυος προσφέρουσι κατάπλασμα, οὕτως καὶ σὲ πράττειν ἀξιῶ. εἰ γὰρ ὑπὸ θερμῆς δυσκρασίας ἡ κεφαλὴ κάκωσιν ἴσχει, βλαβερὰ πάντα τὰ θερμαίνοντα φάρμακα. χρὴ τοίνυν αὐτοῖς λουτροῖς πολλοῖς θερμοῖς ποτίμων καὶ γλυκέων ὑδάτων παρηγορεῖν, διαφοροῦντά τε ἅμα τοὺς ἐν τῇ κεφαλῇ γινομένους ἀτμοὺς θερμοὺς καὶ τὴν κρᾶσιν ὅλην ἐργαζομένους βελτίω. βλαβερὰ δὲ τούτοις ἡ τῶν αὐτοφυῶν ὑδάτων θερμῶν χρῆσις· ὅσα μὲν γὰρ αὐτῶν θειώδη τέ ἐστι καὶ ἀσφαλτώδη τῷ θερμαίνειν, ἐναντιώτατά ἐστι ταῖς φύσει θερμαῖς κεφαλαῖς· ὅσα δὲ στυπτηριώδη τῷ στεγνοῦν τὴν κεφαλὴν βλαβερὰ γίγνεται. ἀλλ' οὐδὲ

26 χρὴ τοίνυν — θερμοῖς *cf. Paul. III 28 (I 206, 14—15)*

φ($L^a P^x$) χ(M^v) ψ(A D P) ω(A^t) 1 θερμὸν L^a θερμόν ω τοῦτον α, *exc.* D P 3 τε *om.* L^a θερμὸν *om.* A ω 4 διεφθαρμένον *canc. res. et supra scrip.* θερμὸν *m. 1ª ut vid.* ω *om.* D P τὴν τροφὴν] τὰ σιτία ω 5 ἀναπέμπουσα φ χ A ω 6 ἑτέρας *post* τινὸς α, *exc.* L^a *om.* χ 7 τὸ] τῶν χ *om.* ω 8 δι' ὧν — γίγνεται *om.* P 10 καὶ *om.* ω κιττῶσι α, *correxi* γυναιξὶ *om.* L^a χ 11 σημαίνει ω πάσχει *om.* L^a 12 ἀντιάδες τε *om.* ω 14 καὶ] ἢ ω 15 δεδίασιν L^a δίδωσι χ 17 πρὸς ὀδόντας ω τοῦ *om.* ω 18 εἰς *om.* L^a χ A ω *ante* τὰ: εἰς D P 20 ῥώσαντας P^x D P 21 *ante* δυσκρασίας: ὑγρασίας καὶ ω γοῦν] γὰρ ω 22 ποιουμένους D P 23 ἀεὶ] δὴ D P τὰ ... 24 καταπλάσματα D P *post* οὕτω: δὲ D P 25 *ante* κάκωσιν: τὴν D P ἴσχῃ P^x A 26 αὐτοὺς χ D P ω πολλοῖς *om.* D P 27 καὶ *om.* L^a 28 γενομένους P^x χ A ω 29 θερμῶν *om.* D P εἰσὶ D P *om.* χ 30. 31 τῷ θερμαίνειν — στυπτηριώδη *om.* ω 32 τῇ κεφαλῇ A^t οὐ P^x χ A D ω

τά γλυκέα θερμὰ ὀνομάζομεν αὐτοφυῆ· οὐ γὰρ ἂν εὕροις αὐτοφυῆ θερμὰ μὴ μετέχοντά τινος φαρμακώδους ποιότητος. ὅσοι δὲ σφόδρα θερμὴν καὶ διακαῆ τὴν κεφαλὴν ἔχουσι καὶ διὰ τοῦτο συνεχῶς τοῖς κατάρροις ἁλισκόμενοι, ἄμεινον αὐτοῖς ὥρᾳ θέρους ἀλείφεσθαι ῥοδίνῳ τῷ χωρὶς στυμμάτων ἐκ μόνων ῥόδων καὶ ὀμφακίνου ἐλαίου τοῦ καλλίστου γεγονότι. τινὲς δὲ κεφαλαὶ διὰ τὴν τῶν ἀρτηριῶν θερμοτέραν κρᾶσιν συμπτώμασιν ἁλίσκονται σκοτωματικοῖς τε καὶ κεφαλαλγικοῖς ἐφ' ὧν καὶ ταῖς ἀρτηριοτομίαις χρώμεθα. ἐπισκέπτεσθαι τοίνυν χρὴ τὴν προηγησαμένην τοῦ κατάρρου αἰτίαν καὶ τὴν προγεγενημένην δίαιταν, καὶ οὕτως τὰ ἐναντία βοηθήματα προσάγειν. καθόλου δὲ ὀλιγοσιτίᾳ χρηστέον καὶ ἡσυχίᾳ, ἀπεχόμενοι ψύξεως καὶ ἐγκαύσεως. εἰ δὲ καὶ τὰ σιτία ἄπεπτα ἔτι ἐν τῇ γαστρὶ ἐμπλέοι, ἐμέτῳ χρῆσθαι παραινεῖν. πάνυ γὰρ ὠφέλιμόν ἐστι τοῖς τὸν κατάρρουν ἔχουσι, τριβομένων αὐτῶν τῶν πελμάτων εὐτόνως πίσσῃ καὶ ἐλαίῳ διαλυθείσῃ πολλῷ, τῷ δ' αὐτῷ καὶ βουβῶνας διαχρίειν καὶ δακτύλιον, τὰς δὲ ῥῖνας διαχρίειν λιβάνῳ καὶ σμύρνῃ σὺν οἴνῳ ὀλίγῳ λειωθεῖσι καὶ ἐλαίῳ, ὡς μέλιτος ἔχειν πάχος, καὶ ἴρινον δὲ μύρον ἐνστάζειν ταῖς ῥισί. καὶ μελάνθιον δὲ πεφρυγμένον ἀποδεθὲν ἐν ὀθονίῳ ὀσφραινέσθωσαν ἢ τὸ ἡδύχροον μετὰ χεῖρας ἐχέτωσαν καὶ συνεχῶς ὀσφραινέσθωσαν ἢ τὸ κῦφι ὁμοίως. ἀναγαργαριζέσθωσαν δὲ συνεχῶς σκυβελλίτην ἢ ἕψημα θερμόν. ἀφλέγμαντον δὲ ἐπιτιθέναι κατὰ τοῦ μετώπου, οἷον τὴν ἱκεσίου ἢ τὴν ὀξηρὰν ἢ τὴν βάρβαραν ἢ τὴν Ἀθηνᾶν· διδόναι δὲ καταρροφεῖν τὸ δι' ὑσσώπου καὶ σύκων καὶ στροβιλίων καὶ ἴρεως ἀφέψημα καὶ ἄλικα διὰ τοῦ γλυκέος ἐσκευασμένον. εἰ δὲ ἐπὶ τούτοις μὴ παύοιτο ὁ κατάρρους, μηδὲ μὴν αὔξησιν λαμβάνοι ἀλλ' ἐπιμένοι,

11 ὀλιγοσιτίᾳ χρηστέον | 15—22 τὰς δὲ ῥῖνας — Ἀθηνᾶν *Paul. ib. (ib. 206, 21, 22—207, 1)* 15—18 τὰς δὲ ῥῖνας — ταῖς ῥισί *Or. Ecl. med. 26 (IV 193, 22—23, 20)* 18 μελάνθιον — ὀσφραινέσθωσαν *Gal. de simpl. med. temp. etc VII 7 (XII 69, 10—11) Or.° IV 77 (467, 23—25) Or.^{c} 26 (IV 193, 23—24)* 20—24 ἀναγαργαριζέσθωσαν — ἴρεως ἀφέψημα *Or. Ecl. med. ib. (ib. 25, 20—22, 25—26)* 22—24 διδόναι — ἐσκευασμένον *cf. Gal. de rem. parab. III (XIV 514, 4—5)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1 *post* θερμά: ἃ P *(Ald.)* οὐ] οὐδὲ P^x ψ εὕρης α, *exc.* L^a A 4 ἁλισκομένην D P 6 γεγονότος L^a τὴν *om.* ω 7 εὑρίσκονται ω 8 χρὴ τοίνυν P^x ω 9 προηγήσασαν P^x A 11 ἀπεχομένους D P ω καύσεως ω 12 ἔτι (*om.* L^a χ ω) ἄπεπτα D P τῇ *om.* χ D P ἐμπλέει D P 13 *ante* πάνυ: ἐκ τῶν Φιλουμένου *Ald.* ἄλλο φιλούμενον A^t γὰρ *om.* P^x χ A D ω 14 τῶν *om.* ω 15 διαχρίειν] χρίειν α, *exc.* L^a ω *om.* χ *post* δακτύλιον: διαχρίειν φ 15. 16 τὰς δὲ ῥῖνας *om.* D P οἴνῳ] ἐλαίῳ καὶ P^x ὀλίγῳ *om.* α, *exc.* L^a 16. 17 καὶ ἐλαίῳ *om.* P^x 17 *post* πάχος: τὴν δὲ κεφαλὴν ἄλειφε ἐπὶ τοῖς μᾶλλον ἔχουσι ψυχρὰν διάθεσιν, ἔλαιον νάρδινον κτλ. P^x συνενστάζει⟨ν⟩ ω στάζειν *cett. codd. exc.* L^a 19 ἢ τὸ ἡδύχροον — ὀσφραινέσθωσαν *om.* P^x χειρὸς L^a 20 δὲ *om.* P^x A 21 *post* θερμόν: ἔστι δὲ ἡ σκευασία τοῦ κῦφι αὕτη· τοῦ ἁπλοῦ κρόκου κιναμώμου ἀνὰ < $\bar{δ}$ σμύρνης καθαρᾶς < $\bar{ϛ}$ βδελλίου < $\bar{δ}$ κτλ. P^x ἀφλέγμαντον — Ἀθηνᾶν *(22) om.* P^x ἀφλεγμάτων P^x ω ...γμαντα D ...ματα P δὲ *om.* ω 22 ἢ *alt.*] καὶ *Ald.* βαρβάρον L^a *post* βάρβ.: τὴν ἔναιμον ω 23 τὸ δι'] τόδε P^x A στροβίλων α, *exc.* L^a 24 ἐσκευασμένον] ἑψημένον ω ἐπὶ] καὶ L^a οὐ P^x A ω 25 μηδέ — λαμβάνοι *om.* χ λαμβάνει A χ ἐπιμένη A ...ει χ ἐμμένοι D P

ὡcαύτωc ἔχων ἐπὶ πλείουc ἡμέραc, κατακρουνιcμὸc τῆc κεφαλῆc δραcτικώτατόν ἐcτι βοήθημα, καὶ μάλιcτα ἐν θέρει καὶ ἐπὶ κεφαλῆc θερμοτέραc. δεῖ δὲ ἀφ' ὑψηλοῦ ῥέοντοc ψυχροῦ ὕδατοc ἐν τοῖc βαλανείοιc τὴν κεφαλὴν ὑπέχειν, ὥcτε αὐτὴν βιαίαν πλῆξιν ὑπομεῖναι· παραχρῆμα γὰρ λύει τὴν cφήνωcιν. προcεπιcκέπτεcθαι δὲ χρὴ μὴ ἐνπαθὴc ὁ θώραξ ὑπάρχῃ· μεταλαμβάνειν γὰρ εἴωθε ῥᾳδίωc τὴν ἀπὸ τῆc κεφαλῆc ψῦξιν καὶ φέρειν ὀχλήcειc ἰcχυράc. ἰᾶται δὲ τοὺc χρονίουc κατάρρουc κλυcτὴρ δραcτικὸc ἢ ἀπὸ ῥαφανίδων νήcτειc ἔμετοc ἢ κάθαρcιc τοῦ πλεονάζοντοc χυμοῦ καὶ ἐμβροχὴ τῆc κεφαλῆc δι' ἰρίνου μύρου ἢ ναρδίνου cπουδαίου. ἐπὶ δὲ τῶν cυνεχῶc καταρροϊζομένων καὶ ἐγχρονιζόντων τῷ πάθει ξυρήcαc τὴν κεφαλὴν καὶ ἀμυχαῖc χρηcάμενοc, ἐπιτίθει τῶν ἀcφαλτηρῶν τινα ἐμπλάcτρων· φαρμάκοιc δὲ τοῖc καταπινομένοιc χρηcτέον τοιούτοιc· ἔκλειγμα πρὸc κατάρρουν· μέλιτοc ℔ β̄ βουτύρου νεαροῦ ℔ ᾱ, ἑψήcαc καὶ μερίcαc εἰc δύο δίδου ἐκλείχειν, ἐφ' ὧν ἀναγωγῆc ἐcτι χρεία. Διαμάcημα πρὸc κατάρρουν. ὁρμίνου cπέρματοc μήκωνοc μελαίνηc cπέρματοc λινοcπέρμου πεφρυγμένου ἴcα μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου ἐξ αὐτοῦ πρωὶ διαμαcᾶcθαι. κάλλιcτα δὲ ποιεῖ πρὸc καταcταγμοὺc ἡ διὰ κωδυῶν ἀντίδοτοc ὑπνωτική, διδομένη εἰc κοίτην· ὕπνον γὰρ ἡδὺν ἐπιφέρει καὶ τὸν ῥευματιcμὸν ἀναcτέλλει. εἴρηται δὲ αὐτῆc ἡ cκευαcία ἔν τε τοῖc ἀρτηριακοῖc πρὸ βραχέοc καὶ τῷ περὶ τῶν ἡδέων πομάτων τοῖc νοcοῦcιν ἐν τῷ ε̄ λόγῳ. Καταπότιον ἀνώδυνον πάνυ δόκιμον πρὸc κατάρρουc· cτύρακοc < ς̄ cμύρνηc <β̄ c τερεβινθίνηc χαλβάνηc ὀποπάνακοc ἴρεωc ἀνὰ < β̄ πεπέρεωc λευκοῦ ναρδοcτάχυοc νίτρου ὑοcκυάμου cπέρματοc ὀπίου ἀνὰ < ᾱ, τὰ ξηρὰ κόψαc cήcαc, τὰ δὲ λοιπὰ ὁλμοκοπήcαc χωρὶc ὑγροῦ καὶ ἑνώcαc δίδου κοκκία ὀροβιαῖα εἰc κοίτην καταπίνειν καὶ μηδὲν ἐπιρροφοίτωcαν. ἡ δὲ τελεία δόcιc κοκκία δ̄ ἡ μέcη γ̄ ἡ

16. 17 ὁρμίνου — διαμαcᾶcθαι *Or. Ecl. med. 26 (IV 193, 30—31)* 20—25 καταπότιον — ἀνὰ < ᾱ | *p. 502, 1—6* 'Αcκληπιάδου — καταπότια *Gal. de comp. med. s. loc. VII 3 (XIII 69, 12—17) 2 (56, 13—17, 60, 4—6)*

φ($L^a P^x$) χ(M^o) ψ(A D P) ω(A^t) 1 κατακρουνιcμὸν P^x A 2 καὶ] εἰ δὲ L^a 4 ἐπέχει P^x A 5 παραχρῆμα] παραλύει, *om.* λύει D P 6 ἀπαθὴc L^a *ante* ὁ: ἢ *om.* ὑπάρχη D P 7 ἰcχυρῶc L^a 8 δραcτικῶc ω νήcτηc L^a νῆcτιc χ D P ω 11 χρονιζόντων D P τῶ πάθει] παθῶν ω ξυρήcαc ..ιc. *codd. post* κεφαλήν: ἐπίθεc τὴν τοιαύτην ἔμπλαcτρον οἷον μοcχοκαρύου χαλβάνηc μακροπεπέρεωc κτλ. P^x 12 *post* ἐμπλάcτρων: ἢ τὴν προειρημένην ἔμπλαcτρον P^x 13 τούτοιc ω ἔκλειγμα πρὸc κατάρρουν *om.* ω ἔλλιγμα, ἔλιγ., ἔκλειγ. *codd.* 16 *ante* μήκωνοc: καὶ ω μελαίνηc cπέρματοc *om.* ω λινοcπέρματοc D P 17 δίδου *om.* ω 18 καλῶc ω 19 δίδου L^a 20 ἐπαναcτέλλει P *(Ald.)* δὲ *om.* ω τε *om.* L^a 21. 22 πρὸ βραχέοc — λόγω *om.* P^x καὶ] κἄν α, *exc.* L^a χ 21 τῶ *om.* ω 22 ἐν τῶ *om.* P καταπότιον — ἐλαχίcτη β̄ *om.* P ἀνώδυνον *ante* πρὸc *transp.* P^x χ A *post* κατάρρουc P ω *om.* D 23 β̄ c] ᾱ c ω *post* τερεβινθίνηc *et* ὀποπάνακοc < β̄ χψ χαλβάνηc *om.* ω *post* χαλβάνηc: < β̄, *om.* ἀνὰ *post* ἴρεωc χψ 25 λοιπὰ] ξηρὰ cὺν τοῖc λοιποῖc P^x 27 δὲ *om.* P ω

ἐλαχίστη β̄. Ἀσκληπιάδου πρὸς κατάρρουν. ὠφελεῖ παραχρῆμα τοὺς ἐπὶ ψυχρᾷ κράσει ⟨καταρροϊζομένους⟩· πυρέθρου κόστου ἀνὰ < β̄ πεπέρεως λευκοῦ < ᾱ, κόψας σήσας ἀπόθου· ἐν δὲ τῇ χρήσει κέλευε παράπτεσθαι τῶν μυξωτήρων καὶ τὸ φάρμακον ἀνασπᾶν. ἄλλο πρὸς κατάρρουν ἀνώδυνον. στύρακας < δ̄ σμύρνης ὀπίου χαλβάνης ἀνὰ < ᾱ, ὁλμοκοπήσας ἐπίσταξον ἕψημα καὶ ἀναλάμβανε καταπότια ὀροβιαῖα καὶ δίδου τὴν τελείαν δόσιν δ̄, τὴν μέσην γ̄, τὴν ἐλαχίστην β̄ καὶ ἐπιρροφείτωσαν κυάθους β̄ κεκραμένου θερμοῦ γλυκέος. ἄλλο· πεπέρεως κνιδίου σπέρματος ἀνὰ < β̄ κόστου σμύρνης κρόκου ἀνὰ < ᾱ, χρῶ καθὰ προείρηται. ἐπὶ δὲ τῶν ψυχροτέρων τὴν κρᾶσιν τυρὸς ἁπαλὸς πρόσφατος ἐσθιόμενος ὠφελεῖ καὶ κράμβης καυλοὶ ὁμοίως ὠμοὶ νῆστις ἐσθιόμενοι καὶ κράμβη ἡ τρυφερωτέρα ἑφθὴ ἐσθιομένη. ἐπὶ δὲ τῶν θερμοτέρων τὴν κρᾶσιν δίδου ἐσθίειν θρίδακος καυλοὺς πλείστους ἀπεζεσμένους· ἀποβαπτέσθωσαν δὲ ὀξυκράτῳ.

νη̄ Περὶ βηχός· βηχὸς αἰτίαι διάφοροι· καὶ γὰρ ὑγρὸν ἀπὸ κεφαλῆς καταρρέον εἰς τὴν τραχεῖαν ἀρτηρίαν ἐργάζεται βῆχα καὶ ἡ τραχύτης δὲ μόνη τοῦ ὑπαλείφοντος ἔνδοθεν τὴν τραχεῖαν ἀρτηρίαν ὑμένος ἐρεθίζει βῆχα καὶ τὰ παρεμπίπτοντα δὲ πινόντων ἢ ἐσθιόντων βῆχα κινεῖ. ἕλμινθες δὲ τῷ στομάχῳ ἐνοχλοῦσαι βηχία σμικρὰ ἐρεθίζουσι καὶ χυμὸς δριμὺς ἐνοχλῶν τῷ στομάχῳ καὶ ποιότητά τινα ἐρεθιστινὴν παραπέμπων τῇ φάρυγγι φαντασίαν βηχὸς ἐργάζεται, ὡς ἐπὶ τῶν

4—8 ἄλλο — γλυκέος *Or. ib. (ib. 26—29)* 8—10 ἄλλο — προείρηται *Gal. ib. (ib. 56, 18—57, 2)* 10. 11 τυρὸς — ἐσθιόμενος *cf. Gal. de rem. parab. II 13 (XIV 440, 9—10)* 15—19 βηχὸς — κινεῖ | *p. 503, 3—24,* δυσκρασία — λεπτυνόντων *Or.[e] IV 77 (467, 3—22)* καὶ γὰρ ὑγρὸν — βῆχα *(16)* | 18. 19 καὶ τὰ παρεμπίπτοντα — κινεῖ | *503, 2. 3* καὶ δυσκρασία—βηχός *Gal. ds symptom. caus. II 4 (VIII 73, 18—174, 2; 174, 5—7)*

φ(Lᵃ Pˣ) χ(M°) ψ(A D P) ω(Aᵗ) 1 *ante* ἐλαχίστη: δὲ ω *ante* Ἀσκληπιάδου: ἄλλο ἀνώδυνον — γλυκέος *(8) transp.* χ Ἀσκληπιάδου — ἀνασπᾶν *(4) post* γλυκέος *(8) transp.* Pˣ D ω 1. 2 πρὸς κατάρρουν — κράσει *om.* ω *post* κατάρρουν: μυξωτήριον καθαρτικὸν ἐγκεφάλου Pˣ ὠφελοῦν χ D P ω τοὺς — κράσει *om.* D P 2 *post* κράσει: καταρροιζ. *addidi post* πυρέθρου: < (Γ° Pˣ) β̄ Pˣ χ A ω κόστου ἀνὰ < β̄ *om.* ω ἀνὰ *om.* Pˣ χ A 3 *ante* σήσας: καὶ D P *post* ἀπόθου: εἴρηται δὲ αὐτῆς ἡ σκευασία καὶ ὄπισθεν D P 4—8 ἄλλο πρὸς — γλυκέος *om.* Lᵃ A 5 ἀνώδυνον βηχικὸν πρὸς κατάρρουν ω ἀνώδ. π. κατάρ. χ 6 ἐπίσταζον Lᵃ A ω ...στάζων χ καὶ *om.* χ ω *post* ἀναλάμβανε: ποίησον καὶ αὐτὰ ὁμοίως Pˣ καὶ ποίει ω 7 *ante* δόσιν: κ° ω *ante* ἐλαχίστην: δὲ ω γ̄] β̄ ἢ γ̄ Pˣ 8 κυάθου Lᵃ A ω κυαθ' P καὶ ἐπιρροφείτωσαν — γλυκέος] ὕστερον δὲ τούτων δίδου ἐπιρροφεῖν κεκραμένου ὕδατος θερμοῦ γλυκέος κυάθους δύο. *sqr. multa aliena* Pˣ *post* πεπέρεως: < β̄ χ ψ ω 9 κνίδης α, *exc.* Lᵃ ἀνὰ < β̄ ω τὸ (*om.* χ) ἴσον χ ψ 10 καθὰ] ὡς Pˣ ω *post* προείρηται: παραπτόμενος D P ἐπὶ — κρᾶσιν *om.* ω δὲ *om.* D P *post* τυρὸς: δὲ Pˣ χ P ω 11. 12 ὠμῆς P *om.* Pˣ καὶ κράμβη — ἐσθιομένη *om.* ω 13 *ante* θρίδακος: καὶ D P πλεῖστον Lᵃ χ 14 πιεζομένους Lᵃ *post* ὀξυκράτω: Καταπότια πρὸς βῆχας καὶ κατάρρους· στύρακος σμύρνης ὀπίου χαλβάνης ἴσα ἀναλαβὼν δίδου εἰς κοίτην κτλ. Pˣ 15 *post* βηχὸς *pr.*: ἐν οἷς ἰσόθεος ἀντίδοτος A καὶ ἐκ πόσων διαφορῶν γίγνονται βῆχες Pˣ αἴτιοι ω *ante* ἕλμινθες: καὶ α, *exc.* Lᵃ 19 μικρὰ χ ω 20 *post* χυμὸς: δὲ χ D P 21 τῇ] τῷ Lᵃ φαντασίας ω

δακνομένων τὸν στόμαχον καὶ σιελιζόντων τῶν στομάτων γίγνεται, μηδενὸς ὀχληροῦ περὶ τὴν τραχεῖαν ἀρτηρίαν περιεχομένου. καὶ δυσκρασία ψυχρὰ τῶν ἀναπνευστικῶν ὀργάνων αἰτία γίνεται βηχός. βήττουσι δὲ μετρίως οὗτοι καὶ ἀβιάστως οὕτως, ὡς μὴ μόνον κατέχειν δύνασθαι καὶ κωλύειν τὴν βῆχα τῇ κατοχῇ τοῦ πνεύματος, ἀλλὰ καὶ ἰᾶσθαι πολλάκις αὐτήν, τῇ τῆς ἀναπνοῆς ἐπισχέσει τὰ κατεψυγμένα τῶν μορίων θερμαίνοντες. σημεῖον δὲ τῶν ἐπὶ δυσκρασίᾳ μόνῃ βηττόντων ἐστὶ τὸ κατὰ τὰς ἀθρόας εἰσπνοὰς ἐρεθίζεσθαι, δηλονότι τῆς ψύξεως ἐπιτεινομένης· ὅταν γοῦν οὗτοι πράως τε εἰσπνέωσι καὶ ἐν οἴκῳ θερμῷ διατρίβωσιν, ἢ μικρὸν ἢ οὐδόλως βήσσουσιν. αἱ δὲ μετὰ γαργαλισμοῦ τῶν περὶ τὸν οὐρανίσκον καὶ τῶν παρ᾽ ἑκατέρωθεν μερῶν γιγνόμεναι βῆχες ἐνδείκνυται σαφῶς ἀπὸ τῆς κεφαλῆς συνδεδόσθαι τὸ ῥεῦμα εἰς τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα. μηδενὸς δὲ ἐπὶ τούτων ἀναπτυομένου, λεπτὸν εἶναι χρὴ γιγνώσκειν τὸ καταρρέον καὶ γὰρ περισχιζόμενον τῇ ἐξωθήσει τοῦ πνεύματος ὑπὸ τῆς λεπτότητος πάλιν ἀντικαταρρεῖ. φανερὸν δὲ ὅτι τὸ ἀναπτυόμενον παχυτέραν ἔχει τοῦ προτέρου τὴν σύστασιν ἀναρροιβδούμενον ὑπὸ τοῦ πνεύματος, καὶ δῆλον δὲ ὅτι καὶ τὸ ἐν τῷ πνεύμονι καὶ θώρακι περιεχόμενον ὑγρὸν ἐν πλευρίτισι καὶ περιπνευμονίαις καὶ φθίσεσι μεγίστης βηχὸς αἴτιον γίγνεται. ἰασώμεθα δὲ τὴν μὲν ἐπὶ λεπτῷ ῥεύματι γιγνομένην βῆχα παχύνοντες τῇ διὰ τῶν κωδυῶν ἀντιδότῳ ἤ τινι τῶν ἀνωδύνων καλουμένων φαρμάκων χρώμενοι καὶ τροφαῖς εὐχύμοις. εἰ δὲ παχὺς καὶ γλίσχρος εἴη ὁ λυπῶν χυμὸς διὰ τῶν λεπτυνόντων καὶ τεμνόντων θεραπεύσομεν, τὴν δὲ τῶν ἀναπνευστικῶν ψῦξιν διὰ τῶν θερμαινόντων, τὴν δὲ διὰ τραχύτητα γιγνομένην διὰ τῶν ἐκλεαινόντων καὶ ἀδήκτων, οἷά ἐστι τὰ ἁπλούστερα τῶν ἀρτηριακῶν. τούτων ⟨δὲ⟩ προδιωρισμένων τὰ ὑπὸ τῶν ἀρχαίων γεγραμμένα βηχικὰ βοηθήματα ὑποτάξομεν. ἡμεῖς δὲ ταῖς διωρισμέναις μεθόδοις προσέχοντες ἐπιστάμενοί τε ἑκάστου τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν ἑκάστῳ πάθει τὸ κατάλληλον προσοίσομεν βοήθημα. τὰ δὲ ὑπὸ τῶν ἀρχαίων ἀδιορίστως γεγραμμένα βοηθήματά ἐστι ταῦτα. στύραξ κα-

31—*p. 504, 2* στύραξ — ὀνίνησι *Gal. de simpl. med. etc. VIII 42 (XII, 131, 15—17) cf. Or.*° *ib. (ib. 25)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 τῶν στομάτων *om.* α, *exc.* L^a 2 περὶ] κατὰ α, *exc.* L^a περιεχομένου *post* ὀχληροῦ *transp.* α, *exc.* L^a 3 *post* δυσκρασία: δὲ D P 4 οὗτοι μετρίως α, *exc.* L^a 5 δύνασθαι κατέχειν D P 6 ἰάσασθαι P^x ω αὐτὴν πολλάκις P^x A 7 ἐκθερμαίνοντες (. . . . τας ω) α, *exc.* L^a 9 πραέως P^x A εἰσπνέουσι . . . . διατρίβουσιν P^x χ A ω 11 γαργαρισμὸν P^x A . . . οῦ χ D P ω καὶ τῶν παρ᾽ *om.* ω τῶν] τὸν P^x A περὶ P^x A D 16 ἀντικαταρρεῖν P^x ω ὅτι] ἐστι P^x *om.* A *post* ἀναπτυόμενον: ὑγρόν ω 16. 17 παχύτερον P^x χ ω 17 *post* σύστασιν: καὶ P^x χ A ω ἀναρυβδουμένην P^x χ A 18 καὶ δῆλον] εὔδηλὸν α, *exc.* L^a τὸ] τῷ χ D ω *om.* P^x P τῷ *om.* A ω 20 μεγίστης βηχὸς] μέγιστον χ D P μὲν *om.* L^a 21 τῶν *om.* P^x ω 22 καλουμένων *om.* χ ω 23 καὶ] ἢ α, *exc.* L^a *ante* γλίσχρος: ὁ, *om.* εἴη ὁ λυπῶν ω 24 *post* λεπτυνόντων: τε P^x χ D P 27 δὲ *addidi* 28 ὑποτάξωμεν P^x χ A D 29 τε] δὲ P^x τὴν A 30 τὰ κατάλληλα ω βοήθημα. τὰ δὲ *om.* ω 31 δὲ ἔστω ω

ταπινόμενος ὅσον καρύου ποντικοῦ μέγεθος βῆχας καὶ κατάρρους καὶ βρόγχους ὀνίνηςι. cῦκα ξηρὰ λιπαρὰ βαπτόμενα εἰς οἶνον ἄκρατον καὶ λαμβανόμενα βῆχας παραμυθεῖται· τερεβινθίνην καὶ μέλι ἑψήςας δίδου ἐκλείχειν καὶ οἶνον γλυκὺν κεκραμένον δίδου ἐπιρροφεῖν· τοῦτο λεπτύνει καὶ ἀνάγει. ἄλλο· πτέριν κόψας cήςας ἐπίπαςςε τῷ γλυκεῖ ὡς ἄλφιτον καὶ δίδου καταρροφεῖν· ποιεῖ καὶ πρὸς αἱμοπτυικοὺς καλῶς. ἄλλο πρὸς τὰς ἐν νυκτὶ μᾶλλον ἐνοχλούςας βῆχας· τοῦτο δὲ μᾶλλον ποιεῖ ὅταν ἕλμινθες τῷ στομάχῳ ἐνοχλῶςι καὶ ποιῶςι βηχία· ἡδυόςμου κλωνία τρία τρίψας καὶ ἐπιβαλὼν ὄξους ὅσον κοχλιάριον δίδου καταρροφεῖν εἰς κοίτην. ἔστι δὲ εὔπεπτον καὶ εὐστόμαχον καὶ πάχους τμητικόν. ἄλλο βηχικὸν καλόν. στροβίλων φρυκτῶν ἀμύλου γλυκυρίζης κνίδης σπέρματος ἀνὰ Γ° β λινοσπέρμου ὁμοίως ἴρεως πεπέρεως καρδαμώμου σπέρματος ὑςςώπου ἀμυγδάλων πικρῶν ἀνὰ Γ° α, μέλιτι καλῶς ἀπηφριςμένῳ ἀναλάμβανε καὶ δίδου κοχλιάριον σύμμετρον. ἔκλεικτος βήςςουςι· στροβίλων κεκαθαρμένων < ιβ λινοσπέρμου πεφρυγμένου < η τραγακάνθης ἴρεως ἀνὰ < ιβ φοινίκων λιπαρῶν < ιη ἀμυγδάλων γλυκέων λελεπιςμένων < ις μέλιτος ἀπηφριςμένου τὸ ἱκανόν. τὴν τραγάκανθαν οἴνῳ γλυκεῖ ὀλίγῳ βρέξας καὶ λεάνας ἕψε πρῶτον σὺν τῷ μέλιτι προαπαφριςθέντι· ὅταν δὲ ἅπαξ ἀναζέςῃ ἐπίχεε τοῖς λοιποῖς εὖ μάλα λεωθεῖςιν ἐν θυίᾳ καὶ χρῶ παρέχων κοχλιάριον ἐκλείχειν τῷ δακτύλῳ πρωὶ καὶ δείλης. τοσοῦτον οὖν ἐμβλητέον μέλι ὡς ἔκλεικτον γενέςθαι τὸ φάρμακον. ἄλλη ἔκλεικτος πρὸς βῆχας προςφάτους· οἴνου γλυκέος παλαιοῦ ℥ α μέλιτος ἀττικοῦ λι α, ἕψε συνεχῶς κινῶν κλωςὶ πηγάνου καὶ δίδου μύστρον ἕν· ἔστι

2—4 cῦκα — ἐπιρροφεῖν | 9. 10 ἡδυόςμου — καταρροφεῖν *Gal. de rem. parab. II 12, 13 (XIV 440, 13—16; cf. 441, 12—13)* 15—22 ἔκλεικτος — φάρμακον *Gal. de comp. med. s. loc. VII 3 (XIII 66, 17—67, 4)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 *ante* μέγεθος: τὸ ω βῆχα L^a *post* βῆχας: παύει ω 2 ξηρὰ *om.* L^a λιπαρὰ *om.* P^x χ 2—4 ἄκρατον — καὶ οἶνον *om.* ω 3 *ante* βῆχας: ὁμοίως P^x καὶ χ 4 γλυκεῖ P^x D ω 5 *post* ἀνάγει: Ὑπογλώττ⟨ιον⟩ πρὸς βηχικούς· τετράγκανθον γλυκύριζον καὶ τὸν χυλὸν αὐτοῦ κτλ. P^x ἐπίπαςςε — καταρροφεῖν] *(6)* δίδου ἐκλείχειν — κεκραμμένον οἶνον *(l. 4)* L^a 7 καλῶς *om.* ω ἄλλο — τμητικὸν *(11)* *om.* L^a 7. 8 τοῦτο δὲ — βηχία *in marg.* χ *om.* P^x A D ω 9 κλωνάρια P^x A τρία] κόψας ω καὶ *om.* ω 12. 13 ἀνὰ Γ° β — καρδαμώμου σπέρματος *om.* A ἀνὰ Γ° β *om.* P^x λινοσπέρματος P *om.* ω ὁμοίως] (ἀνὰ P^x) Γ° β P^x χ D P *om.* ω 13 σπέρματος *om.* L^a ὑςςώπου *ante* καρδαμώμου *transp.* ω 14 μέλιτος καλοῦ (...ῶς A^t) ἀπηφριςμένου A ω 15 *post* σύμμετρον: ἀντίδοτος ἡ βηχοανάπαυςις· σελίνου μαράθρου σπέρμα ἀνὰ Γ° β κτλ. P^x ἐλικτός L^a χ ἔκληκτον P^x ἔκλεικτον A ἄλλικτος ω κεκαθαρμένων *om.* ω 16 *post* τραγακάνθης: < ιβ α, *exc.* L^a φοινίκων λιπαρῶν < ιη ἴρεως < ιη *ante* λινοσπέρμου *transp.* ω φοινίκων λιπαρῶν < ιη (η P^x) ἴρεως < ιβ P^x χ ψ 17 ις] ιβ A 17. 18 ἀποφρυγμένου ω *om.* P^x 18 τραγάκανθον ω οἶνον L^a 21 *ante* τοσοῦτον: εἰς P^x A 22 οὖν *om.* ω ἐλλικτὸν L^a ἔκκληκτον P^x ἔκλικτον (...τὸν) χ D P ἔκκλιτον ω μέλι βλητέον ω *post* μέλι: ἡ cάχαρ P^x 22—*p. 505. 1* ἄλλη — εὐστόμαχον *om.* L^a ἔκλικτος (..ιτος) χ D P 24 δούς ω μνίςτρον ω *post* ἔστι: δὲ τοῦτο P^x δὲ ω

καὶ εὐστόμαχον. κοπτάριον βήσσουσι· λινοσπέρμου κεκομμένου καὶ σεσησμένου σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων ἀνὰ ξ^ε ᾱ ἰταλικοῦ στροβίλων πεφρυγμένων καρύων ποντικῶν κεκαθαρμένων ἀνὰ ξ^ε τὸ ϲ̈ πεπέρεως Γ° β̄ σμύρνης κρόκου ἀνὰ Γ° ᾱ μέλιτος ξ^ε δ̄· τὸ λινόσπερμον κεκομμένον ἕψε μετὰ τοῦ μέλιτος καὶ ὅταν συστραφῇ, ἐπίβαλλε τοῖς λοιποῖς λειοτάτοις γενομένοις καὶ ἑνώσας δίδου καρύου ποντικοῦ τὸ μέγεθος. Βηχικὸν κάλλιστον ποιοῦν πρὸς τοὺς χρονίους βῆχας· κυμίνου πεπέρεως κνίδης σπέρματος ἀνὰ Γ° ᾱ μέλιτος ἀπηφρισμένου ξ^ε ᾱ, λειότατα ποιήσας ἀναλάμβανε τῷ μέλιτι καὶ ἀναζέσας βραχὺ ἀπόθου καὶ χρῶ παρέχων κοχλιάριον. ἄλλο βηχικὸν πάνυ καλόν. πεπέρεως γλήχωνος ὑσσώπου καλαμίνθης ἀνὰ Γ° ᾱ πετροσελίνου Γ° ᾱ μέλιτος ἀπηφρισμένου ξ^ε ᾱ δίδου κοχλιάριον. ἄλλο ἁπλούστερον καλόν· μέλιτος Γ° γ̄ βουτύρου προσφάτου Γ° γ̄ κυμίνου λειοτάτου < δ̄ ⟨λινοσπέρμου < β̄⟩· προαπαφρίσας τὸ μέλι, μίγνυε τὸ βούτυρον καὶ θερμάνας ἐπίπασσε τὸ κύμινον καὶ ἑψήσας ἐπ' ὀλίγον δίδου ἐκλείχειν κοχλιάριον. ἄλλο πρὸς βῆχας, φλέγμα ἀνακαθαῖρον πάνυ καλῶς. ὑσσώπου γλήχωνος ἀνὰ Γ° β̄ ἴρεως σινήπεως καρδαμώμου σπέρματος ἀνίσου πεπέρεως ἀνὰ Γ° ᾱ, κόψας σείσας ἀναλάμβανε μέλιτι ἀπηφρισμένῳ ἀρκοῦντι καὶ δίδου κοχλιάριον. εἰ δὲ χειμὼν εἴη καὶ ἀπύρετος ὁ λαμβάνων, τοῦ πεπέρεως Γ° β̄ ἐπίβαλλε καὶ ἀντὶ τοῦ ἀνίσου μάραθρον ἢ κύμινον καὶ ἀντὶ καρδαμώμου σίνηπι, ὡς εἶναι τοῦ σινήπεως Γ° β̄. ἄλλο πρὸς τὰς χρονίους βῆχας. ὑσσώπου κόμμεως γλήχωνος περυσινῆς ἄμεως πεπέρεως ὀρόβων κιρρῶν λελεπισμένων ἴρεως ἀνὰ < ϛ̄ ναρδοστάχυος Γ° γ̄ τερεβινθίνης Γ° δ̄ βουτύρου νεαροῦ Γ° β̄ μέλιτος ἀπηφρισμένου ξ^ε β̄· τὸ βούτυρον καὶ τὴν τερεβινθίνην τήξας τῷ μέλιτι ἕνωσον τοῖς λοιποῖς

1—7 κοπτάριον — τὸ μέγεθος | 16. 17 ἄλλο — Γ° β̄ *Gal. ib. 2(XIII 58, 12—59, 3, 10—17)* 12—15 ἄλλο — κοχλιάριον *Or. Ecl. med. 28 (IV 194, 21—23)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 κοντάριον D P ἕτερα καλὰ βηχικὰ ὀπτάριον ω βηχικὸν ω λινόσπερμα ω 2 ἀνὰ *om.* ω ᾱ] ϛ̄ χ ἰταλικῶν ω ...κὸν χ 3 πεφωγμένων χ D P *post* ποντικῶν: τὸ μέγεθος ω 4 *post* σμύρνης: Γ° ᾱ α, *exc.* L^a κρόκου — ᾱ *om.* P^x A ἀνὰ *om.* χ D P ω λινόσπερμα P^x P ω 5 ἐπίβαλε χ D 7 *post* μέγεθος: ὥστε καταπίνειν P^x ποιοῦν *om.* α, *exc.* L^a *post* βῆχας: τοῦτο μᾶλλον ποιεῖ ὅταν ἕλμινθες ἐν τῷ στομάχῳ ἐνοχλοῦσι καὶ ποιοῦσι βηχία P^x 9 τῷ μέλιτι *om.* ω 10 βηχικὸν *om.* ω καλὸν πάνυ θαυμαστὸν ω 11 *ante* καλαμίνθης: καὶ P^x D P ω ᾱ *pr.*] β̄ P^x A ω πετροσελίνου Γ° ᾱ *om.* χ D P 12—15 ἄλλο — κοχλιάριον *om.* L^a ἁπλουστότερον ω *om.* P^x κάλλιον P^x 13 Γ° γ̄ *om., sed post* προσφάτου: ἀνὰ ω γ̄] β̄ P^x λινοσπ. < β̄ *addidi ex Or.* 14 τῷ μέλιτι ω τὸ *om.* ω 15 ἑψήσας *om.* ω *ante* κοχλιάριον: τὸ ω 16 βῆχα α, *exc.* L^a ω ἀνακαθαίρει ω καλόν P^x D P ω *post* ὑσσώπου: Γ° β̄, *om.* ἀνὰ *post* γλήχωνος χ ψ 17. 18 καρδαμώμου — σείσας *om.* ω καὶ *om.* ω 20 ἔμβαλε P^x χ A D ...λλε P ω 21 ἀντὶ καρδαμώμου *om.* ω σινάπεως (...ος) χ A D ω ἄλλο — διδοὺς κοχλιάριον *(p. 506, 22)* *ante* πεπτικὸν *(p. 506, 13) transp.* P^x *ante* βηχική *(ib. 10)* A τὰς *om.* P^x A χρονίας P^x A 23 κιρρῶν] ξηρῶν ω Γ° (< χ ψ ω) γ̄ (δ̄ A ϛ̄ χ) *pr. om.* L^a ναρδοστάχυος < γ̄ *post* τερεβινθίνης Γ° δ̄ *transp.* ω 23. 24 *post* τερεβινθίνην: μίξας καὶ P^x

καὶ χρῶ, διδοὺς κοχλιάριον μικρόν. ἄλλο ποιεῖ πρὸς τὰς περὶ τὸν θώρακα διαθέσεις· κυάμου πεφρυγμένου ἀλεύρου λειοτάτου ℥ ζ̄ λινοσπέρμου λειοτάτου ὁμοίως ἴρεως λειοτάτης ℥ γ̄ στροβίλων πεφρυγμένων ℥ β̄ γλήχωνος κεκομμένης < ᾱς κνιδίου σπέρματος < ᾱ πεπέρεως < δ̄ μέλιτος ξ^{ϵ} β̄· προαπαφρίσας τὸ μέλι ἐπίπασσε αὐτῷ τὸ ἄλευρον, ἕψε ἐπ' ὀλίγον καὶ ἕνωσον τοῖς λοιποῖς ἐν τῇ θυίᾳ καὶ χρῶ διδοὺς κοχλιάριον· Βηχικὸν Ἀχολίου· ὑσσώπου γλήχωνος ἄμεως πεπέρεως ὀρόβων κιρρῶν ἴρεως ἀνὰ < ϛ̄ τερεβινθίνης < δ̄ ναρδοστάχυος < γ̄ βουτύρου νεαροῦ ℥ β̄ μέλιτος λι$^{τρ'}$ ᾱς, προαπαφρίσας τὸ μέλι χρῶ. ἡ διὰ πρασίου βηχική· πρασίου ℥ β̄ ὑσσώπου ℥ ᾱ ἴρεως < δ̄ γλήχωνος < δ̄ καλαμίνθης ὀρεινῆς ὁμοίως βολβοὺς σκίλλης Γ^{ρ} ϛ̄ στροβίλιον δεξιὸν ᾱ ὁλόκληρον ἰσχάδας λιπαρὰς ε̄ ὕδατος ξ^{ϵ} ᾱ μέλιτος κ$^{υ'}$ ᾱ ἑψήματος κο$^{τ'}$ ᾱ χρῶ. Πεπτικὸν χρονίας βηχός· μέλιτος < ιϛ̄ τερεβινθίνης < β̄ χαλβάνης < δ̄, ἑψήσας τὸ μέλι μετὰ τῆς τερεβινθίνης ἐπίβαλλε ἐσχάτην τὴν χαλβάνην προμεμαλαγμένην. τακείσης δὲ αὐτῆς ἄρας ἀπὸ τοῦ πυρὸς καὶ κινῶν, ὅταν ψυγῇ, ἀνάπλαττε κυαμιαῖα καὶ καρύου ποντικοῦ μεγέθει ἕτερα καὶ περίπλαττε αὐτοῖς ἔξωθεν κηρόν, ἵνα μὴ διαλυθῇ καὶ φύλαττε. ἐπὶ δὲ τῆς χρείας περιαιρεθέντος τοῦ κηροῦ ὑπὸ τὴν γλῶτταν τίθεται ἀποθηλαζόμενον. Βηχικὴ διὰ στύρακος· ἀμώμου κασσίας ἀνὰ ℥ β̄ στύρακος ναρδοστάχυος ἀνὰ ℥ ᾱι κρόκου πεπέρεως ἀνὰ ℥ ᾱ μέλιτος ἀπηφρισμένου ξ^{ϵ} ᾱ δίδου κοχλιάριον.

νθ̄ Πρὸς βῆχα ξηράν. ξηρὰν βῆχα ἰᾶται τά τε ἀναγεγραμμένα ἀρτηριακὰ φάρμακα καὶ ὕδατος ζεστοῦ ἐσθ' ὅτε καταρρόφησις· διὰ γὰρ

1—7 ἄλλο — κοχλιάριον *Gal. ib. (ib. 52, 3—10)* 13—19 πεπτικὸν — ἀποθηλαζόμενον *Paul. III 28 (I 209, 8—16 [valde brev.])* 19—22 Βηχικὴ — κοχλιάριον | 23—*p. 507, 2* ξηρὰν — βοηθοῦνται *Or. Ecl. med. 28 (IV 194, 24—25, 18—21) Paul. ib. (ib. 11—14)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 δίδου L^a ποιεῖ *om.* χ D P 2 ζ̄] η̄ ω 2. 3 λινοσπέρμου (. . . ματος P) *om.* ω 3 λειοτάτου *om.* D ω ὁμοίως] ℥ ζ̄ α, *exc.* L^a *om.* ω λειοτάτης] ὁμοίως ω 4 ℥] < α, *exc.* L^a P^x β̄] μ̄ χ κνίδης α, *exc.* L^a 5 *post* μέλιτος: προαπηβιμένου χ *(Ald.)* ἀπηφρισμένου ω καὶ ἐπιπάσσων (ἐπιβάλλων P^x ἐπίπασσον χ) α, *exc.* L^a 6 καὶ *alt. om.* P^x A 7 *ante* Βηχικόν: ἄλλο P^x ω Μαχολίου P^x 8 δ̄] ιδ̄ ω 10—13 ἡ διὰ πρασίου — χρῶ *post* σύμμετρον *(p. 504, 15) transp.* ω 10. 11 < δ *om.* P^x A^t 11 ὁμοίως] ἀνὰ < δ̄ P^x ω < δ̄ *cett. codd. exc.* L^a *post* ϛ̄: γλυκύριζον P^x 12 στροβιλίων P^x A ὕδατι ω *post* ᾱ *alt.*: ς ω ᾱ *alt.*] δ̄ χ D P 13 κο$^{τ'}$] κοχλιάριον α, *exc.* L^a *post* χρῶ: Ἀντίδοτος ἡ διὰ πρασσίου ἄλλη πρὸς βηχικούς· ὑσσώπου λι ᾱ κτλ. — καὶ δίδου νήστει κοχλιάριον ᾱ ἢ δύο P^x Πεπτικὸν — ἀποθηλαζόμενον *(19) om.* A ω 14 β̄] η̄ α, *exc.* L^a 15 ἐπίβαλε χ D ω ἔσχατον P^x . . . . άτως ω 16 κυαμιναῖα L^a 19 ὑποθηλαζόμενον P ω Βηχικὸν L^a . . . κὰ P^x ἄλλο βηχικὸν ω 20 *post* ἀμώμου: ℥ β̄, *om.* ἀνὰ *post* κασσίας ψ *ante* κασσίας: καὶ ω *post* κρόκου: ℥ ᾱ, *om.* ἀνὰ *post* πεπέρεως P^x χ ψ 21. 22 *post* κοχλιάριον: ἓν P^x χ ψ 23 προγεγραμμένα α, *exc.* L^a 23. 24 ἀρτηριακὰ] ἀρτίως ω 24 καὶ ῥοφήσεις L^a καταρροφήσεις P^x A . . . ιν ω

παχύτητα φλέγματος μὴ ἀνάγοντες τοῖς ὑγραίνουσι μᾶλλον βοηθοῦνται, σὺν τῷ καὶ λεπτυντικῆς πόσεως μετέχειν δυνάμεως.

ξ Περὶ τῶν ἀνωδύνων βηχικῶν φαρμάκων. τὸ γένος τοῦτο τῶν ἀνωδύνων, οἱ πρὸ ἡμῶν συνέθεσαν ἁρμόττον καὶ τοῖς βηχικοῖς καὶ τοῖς αἷμα ἀνάγουσι καὶ τοῖς ἅμα γε τοῦτο πάσχουσι καὶ ἤδη φθινώδεσι καὶ πρὸς ἄλλας ὀδύνας τε καὶ διαθέσεις, ὅσαι κατά τε πνεύμονα καὶ θώρακα καὶ τραχεῖαν ἀρτηρίαν καὶ ἄλλα τινὰ μόρια τῶν ἐντὸς συνιστάμενα ἄνευ τῶν κωλικῶν. διαφέρουσι γὰρ αὗται τῶν κωλικῶν ἰδίως ὀνομαζομένων ἀνωδύνων· τῇ μίξει τῶν ἀρωμάτων τε καὶ σπερμάτων εὐωδῶν ὄντων καὶ διουρητικῶν. αἱ δὲ κωλικαὶ δυνάμεις σφοδρότεραι τούτων εἰσίν, ἐπικρατοῦσαν ἔχουσαι τὴν ναρκωτικὴν δύναμιν ἐκ τοῦ πλήθους τῶν ψυκτικῶν φαρμάκων, ὁποῖόν ἐστιν ὑοσκυάμου τὸ σπέρμα καὶ κωνείου καὶ ὁ τῆς μήκωνος ὀπὸς καὶ ὁ φλοιὸς τοῦ μανδραγόρου χρῆσθαι δὲ ταύταις ἐπὶ τῶν κωλικῶν ἀναγκαζόμεθα διὰ τὸ τῆς ὀδύνης μέγεθος. ἐπὶ δὲ τῶν περὶ τὸν θώρακα διαθέσεων, τινὲς μὲν στύρακα καὶ κρόκον τούτοις ἔμιξαν ὡς συμπέττειν δυνάμενα, ἕτεροι δὲ εὐλόγως τούτοις ἔμιξαν ἄλλα, τὰ μὲν θερμαίνοντα τὰ δὲ μετὰ βραχείας στύψεως ἀρωματίζοντα καὶ ξηραίνοντα καί τινα σπέρματα συνήθη ἡμῖν, καθάπερ ἀνίσου καὶ σελίνου μαράθρου δαύκου σεσέλεως, ἀμβλύνοντά τε τὰς τῶν σφοδρῶν φαρμάκων ἀηδίας τε καὶ δυνάμεις, ἐπ᾽ οὖρά τε προτρέποντα, τινὰ δὲ καὶ τραχύτητας ἐκλεαίνοντα, καθάπερ τὴν τραγάκανθαν καὶ γλυκύριζαν καὶ τὸν γλυκὺν οἶνον. ὅσαι δὲ αὐτῶν ἧττον μετέχουσι τῶν καρωτικῶν φαρμάκων, ταύτας καὶ τοῖς φθισικευομένοις δίδομεν. ἔστι δὲ τὰ ὑπὸ τῶν ἀρχαίων σύνθετα ἀνώδυνα τοιαῦτα· καταπότιον βηχικὸν φάρμακον ἐπιτετευγμένον πρὸς τὰς κεχρονισμένας διαθέσεις· ποιεῖ πρὸς χρόνιον κατάρρουν κεφαλαλγικοῖς δυσπνοικοῖς περιπνευμονικοῖς, πρὸς τὰς περὶ κύστιν καὶ μήτραν διαθέσεις, ἐπιγράφεται δὲ πανάκια, παρὰ δέ τισιν ὁ στίχος· σμύρνης ὀπίου πεπέρεως στύρακος καστορίου χαλβάνης ἴσον, γλυκεῖ ἑψήματος εἰς πάχος ἀναλάμβανε καὶ ποίει καταπότια καὶ ὀπίου δίδου ἐρεβίνθου τὸ μέγεθος,

3—15 τὸ γένος — μέγεθος *Gal. ib. 5 (XIII 89, 1—14)*

φ(L^a P^x) χ(M^o) ψ(A D P) ω(A^t) 1 ἀνάγοντος α, *exc.* D ω 2 τῷ *om.* L^a χ 3 Περὶ — φαρμάκων] Σύνθετα ἀνώδυνα βηχικὰ φάρμακα τὰ ὑπὸ τῶν ἀρχαίων P 4 *post* ἀνωδύνων: φαρμάκων ω *(Gal.)* 5 γε] τε α, *exc.* L^a 6 τε *alt. post* πνεύμονα *transp.* ω *om.* P^x A 7. 8 συνιστάμεναι D ...μένων ω 9 ἰδίως ὀνομαζομένων *post* κωλικῶν *pr. transp.* D ω 11 ἔχουσι χ P 12 ψυκτικῶν] ναρκωτικῶν L^a φαρμάκων] δυνάμεων D ω τὸ *om.* χ P ω 13 ὁ *pr. om.* ω 14 *ante* διὰ: καὶ ω 15 τῶν *om.* ω 16. 17 ὡς συμπέττειν — ἔμιξαν *om.* D ω 17 ἐπέμιξαν P^x A 22 ὅσαι] ὥστε L^a 23 ταῦτα P^x A D ω 24 δὲ] οὖν α, *exc.* L^a P^x συντεθέντα D ω *post* τοιαῦτα: κοκκία ὅσον ἐρεβίνθου τὸ μέγεθος ἤτοι P^x 24. 25 *ante* καταπότιον: καταπότιον ἐπιτετευγμένον ἢ πανάκια φ P *(Ald.)* πανάκια ω ἐπιτεταγμένον L^a P^x 27 περὶ] ἐπὶ D ω 27. 28 ἐπιγράφεται] τὰ τοίνυν δὲ τοιαῦτα κοκκία ὀνομάζονται παρὰ τῶν παλαιῶν ἰατρῶν P^x 28 παρὰ — στίχος *om.* P^x *post* πεπέρεως: λευκοῦ P^x 29 ἴσον χ ψ ω ἀνὰ < ϛ̄ P^x ἡψημένω P^x D ἑψήματι χ A P ω 30 ὀπίου *om.* α, *exc.* L^a

καὶ ἐπιρροφείτω μελικράτου κ^υ β̄. ἄλλο φάρμακον πάνυ καλόν, ἐπιγράφεται ἁρμονία· ποιεῖ καὶ πρὸς κατάρρους καὶ ἀνυπερβλήτους καταστaγμούς· στύρακος καστορίου πεπέρεως καρδαμώμου ἀνὰ Γρ γ̄ ὀπίου cμύρνης ὑοσκυάμου λευκοῦ cπέρματος ἀνὰ < δ̄, ἀναλάμβανε γλυκεῖ ἀπέφθῳ καὶ ποίει καταπότια ἐρεβίνθου μέγεθος καὶ δίδου εἰς ὕπνον ἀπερχομένοις. Πρὸς βῆχας χρονίους ἐξόχως ποιοῦσα καὶ τὰς καθύγρους καὶ πάνυ κεχρονισμένας ἐξόχως ποιοῦσα, ἡ λεγομένη σύμφωνος, ἔστι δὲ καὶ ληξιπύρετος ἀγαθή. ταύτῃ ἐχρήσαντο πάντες οἱ ἔνδοξοι τῶν ἀρχαίων· πεπέρεως ὀπίου καρδαμώμου ἀνὰ Γ° ᾱ κρόκου θείου ἀπύρου cμύρνης ὑοσκυάμου λευκοῦ cπέρματος ἀνὰ < δ̄ μέλιτος ἑφθοῦ Γ° ς̄· ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος μεθ᾽ ὑδρομέλιτος κυάθων γ̄· ἡμεῖς μὲν οὕτως, τινὲς δὲ ἐπεμβάλλουσι καὶ γεντιανῆς καὶ δαύκου ἀνὰ < β̄. πρὸς βῆχας καὶ φθίσεις ἡ ἰσόσταθμος· φύλλου πετροσελίνου ὑσσώπου ῥόδων ξηρῶν ἀνίσου ὀπίου κρόκου κόστου ὑοσκυάμου cπέρματος cμύρνης τρωγλίτιδος ναρδοστάχυος ἴρεως ἴσα, μέλιτος τὸ ἀρκοῦν· ἡ δόσις κυάμου μέγεθος εἰς νύκτα. ἡ ἰσόθεος βηχικὴ καὶ πρὸς φθίσεις καὶ πάντα τὰ ἐντὸς καὶ τὰ περιοδικά. ναρδοστάχυος < β̄ cμύρνης κρόκου κόστου πεπέρεως λευκοῦ χαλβάνης ἀνὰ < ᾱ ὀποβαλσάμου τρυγὸς κιναμώμου μανδραγόρου χυλοῦ ξηροῦ καστορίου ἀνὰ < ᾱ δαύκου cπέρματος < ᾱ c [ἐν ἄλλῳ εἴρηται καὶ] θηβαίου ὀπίου < β̄ ἀμώμου < ια̅ κασσίας < ια̅ μέλιτος ἀπηφρισμένου τὸ ἱκανόν. ποιεῖ πρὸς πόνους στομάχου ἥπατος πνεύμονος ὀφθαλμῶν αἵματος ἀναγωγὰς ἀποστάσεις δυσεντερικοῖς εἰλεώδεσι νεφριτικοῖς ἰσχιαδικοῖς δυσπνοικοῖς ⟨ἰσχουριῶσι⟩ πλευροῦ πόνοις μονογενῶς ὑποχονδρίων ῥοῦν γυναικεῖον γυναικείους πνιγμούς, ποιεῖ καὶ πρὸς τὰ θανάσιμα

1—11 ἄλλο—γ̄ *Gal. de comp med. ib. 2 (XIII, 61, 2—7, 11—18)* 13—16 πρὸς βῆχας — νύκτα *Or. Ecl. med. ib. (ib. 194, 26—29)* 16—*p. 509, 4* ἡ ἰσόθεος — κάμνοντα *Gal. ib. 3 (XIII, 65, 12—66, 9)*

φ (L^a P^x) χ (M°) ψ (A D P) ω (A^t) 1—9 μελικράτῳ ω ἄλλο — ἀπερχομένοις *om.* A ἄλλα P^x φάρμακον *om.* P^x καλὰ P^x ἐπιγράφεται] τὰ ἐπιλεγόμενα P^x 2 ἀρμένια κοκκία βηχικὰ P^x ποιεῖ καὶ *om.* P^x Κοκκία πρὸς κατάρρους — ἀπερχομένου *(6)* *repet. (v. p. 510 adn. ad l. 3)* P^x [P^x'] 3 Γρ'] Γ° P^x ἐξΓ P^x' < *cett. codd.* 4 <] Γ° P^x ἐξΓ' P^x' 6 *ante* πρὸς: ἄλλη A D ω *post* ποιοῦσα: συμφώνως ω *ante* τὰς: πρὸς P P^x 7 ἐξόχως *om.* L^a ποιοῦσα *post* καθύγρους L^a ἡ *om.* P *(Ald.)* 8 ληξοπύρετος P^x P 9 *post* ἀρχαίων: ἰατρῶν· ἔχει δε οὕτως P^x Γ°] < D ω 11 Γ° ς] κοχλιάρια γ̄ D Γ° ς̄ — ὑδρομέλιτος *om.* ω 12 οὕτως *om.* L^a δὲ *om.* ω *post* δὲ: τῶν παλαιῶν ἰατρῶν P^x ἐπεμαβάλλουσι *om.* α, *exc.* P^x καὶ *pr. om.* L^a P^x *post* δαύκου: βάλλουσι D ω <] Γ° P^x P 13 *ante* πρὸς: ἄλλη D ω βῆχα α, *exc.* L^a D φθίσιν P^x A P ω 16 *post* νύκτα: τοῖς χρήζουσιν P^x *ante* ἡ: ἄλλη ἀντίδοτος P^x ἄλλη D ἡ] ἄλλη ω ἡ *om.* χ A φθίσεις καὶ *om.* χ P 17 < β̄ *om.* ω *ante* cμύρνης: ἴρεως ω *post* cμύρνης: < ᾱ α, *exc.* L^a ω *post* κρόκου: < (Γ° P^x) α c P^x χ A P 18 κόστου *om.* L^a *post* κόστου: < α α, *exc.* φ ω *post* λευκοῦ: < ᾱ α, *exc.* L^a D ω ἀνὰ *om.* χ A P ω < ᾱ *om.* ω 19 τρυγὸς *om.* ω ᾱ] β̄ χ 20. 21 ἐν ἄλλω — ἀμώμου < ια̅ *om.* α, *exc.* L^a ἐν ἄλλῳ εἴρηται καὶ *delevi* 21 κασσίας < ᾱ c *om.* D ω *ante* ποιεῖ: ἡ τοιαύτη δὲ ἀντίδοτος P^x 24 ἰσχουρ. *addidi ex Gal.* 25 πρὸς τὰ θανάσιμα] πρὸ τροφῆς *om.* καὶ πρὸ τῆς τροφῆς *(p. 509, 1)* A

καὶ μετὰ τροφὴν καὶ πρὸ τῆς τροφῆς καὶ πρὸς πᾶσαν αἱμορραγίαν cὺν ψυχρῷ καὶ ἐχεοδήκτους καὶ φαλαγγιοδήκτους cὺν οἴνῳ κ^υ τριcίν, τεταρταικοῖς πρὸ τῆς ἐπισημασίας δίδου ὀβολοὺς β̄ μετ' οἴνου κνάθων β̄ προλούσας τὸν κάμνοντα· ἀποθεραπεύει δυσπνοικοὺς ἀσθματικοὺς κἂν ἤδη πολλῶν ἐτῶν εἴη τὸ πάθος καὶ τοὺς χρονίους ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματισμούς.

Περὶ ὑποκαπνισμῶν. προείρηται μὲν ἤδη περὶ τῶν ὑποκαπνισμῶν ξα τελεώτατα ἐν τῷ περὶ τῶν πυουμένων καὶ κενουμένων καὶ προσφερομένων λόγῳ, γ̄ ὄντι τῆσδε τῆς πραγματείας· εἰρήσεται δὲ καὶ νῦν διὰ βραχέων. τροχίσκος ὑποκαπνιστὸς βηχικοῖς καὶ ὀρθοπνοικοῖς· ἀβροτόνου σανδαράχης σινάπεως καρδαμώμου ἴσα κόψας σήσας λεάνας ἀνάπλασσε τροχίσκους μεθ' ὕδατος καὶ ὑποθυμία, ἵνα τὸν καπνὸν ἐν τῷ στόματι δέχηται ὁ πάσχων. ἄλλο τροχίσκος· σανδαράχης τερεβινθίνης χίας ἀνὰ 𐅻 β̄ κόστου φύλλου ἀνὰ Γ^ρ ς̄ λασαρίου Γ^ρ γ̄ μαστίχης Γ^ρ γ̄ πεπέρεως κόκκοι μ̄. ἀνάπλασσε καὶ χρῶ ὁμοίως. ἄλλο τροχίσκος· κόστου σανδαράχης χαλβάνης θείου ἀπύρου κολοφωνίας προπόλεως τερεβινθίνης μαστίχης κρόκου χαμαιλεύκης ἴσα ἀνάπλασσε κόκκους σὺν ὕδατι· καὶ ὑποθυμία διὰ χώνης· μὴ παρούσης δὲ χαμαιλεύκης, ἔμβαλλε κόρυζαν λεπτὴν ἢ καππάρεως φλοιόν. ἔστι δὲ καὶ ἕτερον ὑποκάπνισμα διὰ πείρας ἡμῖν ἐξευρεθὲν τετράειδον τοῦτο· στύρακος τερεβινθίνης σανδαράχης μαστίχης ἴσα ἀναλαβὼν ὁμοίως χρῶ. πεπίστευται τὰς ἀσθματικὰς καὶ ἐμπυικὰς καὶ βηχώδεις καὶ πλευριτικὰς διαθέσεις ἰᾶσθαι, ὥσπερ καὶ τὰ προειρημένα ἐνταῦθά τε κἀν τῷ τρίτῳ λόγῳ.

19—21 ὑποκάπνισμα — χρῶ *cf. Gal. de rem. parab. II 12, 13 (XIV 441, 14—16)* 23 τὰ προειρημένα *cf. III 144.*

φ (L^a P^x) χ (M^o) ψ (A P D) ω (A^t) 1 τῆς *om.* α, *exc.* L^a 2 *post* καὶ *pr.*: πρὸς α, *exc.* L^a καὶ *alt. om.* P φαλαγγιοδήκτους *om.* χ κεφαλαγγιωδήκτους (...λαλαγ.) P^x A σὺν] ἐν P^x A D ω κυάθοις P^x P ω ...θων χ A 3 β̄ *pr. om.* L^a A μετ' οἴνου — β̄ *om.* D ω 4 *post* κάμνοντα: στύρακος σμύρνης πεπέρεως χαλβάνης λιβάνου ἑκάστου ἴσον τρίψας ἀναλαβὼν μετὰ γλυκέος ποίει κοκκία πρωῒ καὶ εἰς κοίτην A ἀποθεραπεύει — ῥευματισμούς *(6) om.* ω *post* δυσπνοικούς: ὀρθοπνοικοὺς P^x χ D P 5 τὸ πάθος *om.* ω χρονίως P^x ψ 6 ῥευματιζομένους α, *exc.* L^a *post* ῥευματιζ.: ἔχει δὲ οὕτως· πρὸς βήσσοντα καὶ αἷμα ἀνάγοντα πόμα θαυμαστὸν τοῦ διὰ κυμίνου κόστου κτλ. 7—10 περὶ ὑποκαπνισμῶν — βραχέων *om.* P^x 8 πυουμένων] ἑνουμένων ψ ω 10 *ante* βηχικοῖς: πρὸς βηχικούς· ὁ τοιοῦτος ὠφελεῖ θαυμαστῶς ὑποκαπνιζόμενος P^x *post* βηχικοῖς: τε P^x 11 σινι^πηι P^x σινήπεος D P λεάνας *om.* α, *exc.* L^a 13 ὑποδέχεται ω *post* πάσχων: ἄλλο (ἕτερον κάπνισμα P^x) ἀρσενικοῦ σχιστῆς πράντιον πάλην (πᾶν κριθάριον ἢ P^x) κριθάλευρον κτλ. P^x A *post* σανδαράχης: 𐅻 β̄, *om.* ἀνὰ *post* χίας χ ψ 14 χίας *om.* P^x D ω *post* κόστου: Γ^ρ' ς̄ α, *om.* ἀνὰ *post* φύλλου *exc.* φ φύλλου — ς̄ *om.* D ω μαστίχης Γ^ρ γ̄ *om.* D ω 15 γ̄] ς̄ χ P *ante* ἀνάπλασσε: καὶ *post* ἀνάπλ.: τροχίσκους D ω ἄλλος D P 16 κόστου] καστορίου D ω 17 ἴσα] ἀνὰ < γ̄ P^x κολλύρια (κ^ο χ) α, *exc.* L^a 18 ἔμβαλε P^x χ D 19 κόριζαν P^x A ἔστι δὲ καὶ *om.* ω *post* ἕτερον: καλὸν D ω 21 ὁμοίως *om.* ω 23 ὥστε ω ἐνταυθοῖ L^a *om.* A τε] δὲ ω *om.* χ A τε — λόγῳ *om.* P^x

ξβ Ἐπίθεμα πρὸς βῆχας τὸ διὰ μελιλώτων. σαμψύχου μελιλώτων πρασίου ἴρεως ἀνὰ 𐅻 β̄ σμύρνης 𐅻 ᾱ λιβάνου 𐅻 γ̄ πιτυίνης ἰρίνου ἀνὰ λι^τρ' ᾱ χρῶ.

ξγ Περὶ ὀρθοπνοικῶν ἀσθματικῶν καὶ τῶν λεγομένων δυσπνοικῶν θωρακικῶν. τοὺς ἀναπνέοντας πυκνὸν ἄνευ τοῦ πυρέττειν, ὁποῖον οἱ δραμόντες ὀξέως, ἀσθματικοὺς ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς ἀπὸ τοῦ συμπτώματος, λέγω δὴ τοῦ ἀσθμαίνειν, τοὺς δὲ αὐτοὺς τούτους ἀφ' ἑτέρου συμπτώματος ὀρθοπνοικοὺς καλοῦσιν. ἀναγκάζονται γὰρ τὸ τοῦ θώρακος σῶμα πᾶν ὄρθιον ἔχειν [ἠδόμενοι], φόβῳ τοῦ πνιγῆναι, καὶ τήν γε στρωμνὴν ἐν τοῖς ἄνω μέρεσιν, ἐν οἷς ὁ θώραξ ἐπικλίνεται, παρασκευάζουσιν ἑαυτοῖς ὀρθωτέραν, ὅπως μὴ πνιγῶσι κοιμώμενοι. τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπὶ πλεῖστον, ᾧ καὶ δῆλον ἐντὸς αὐτοῦ στενοχωρίαν γίγνεσθαί τινα παρὰ φύσιν, ἧς ἐναργῶς καὶ οἱ κάμνοντες αὐτοὶ τὴν αἴσθησιν ἔχουσι. γίγνεται μὲν οὖν καὶ ἡ στενοχωρία τῶν ὁδῶν τοῦ εἰσπνεομένου πνεύματος, ὅταν ἤτοι πλῆθος ὑγρῶν παχέων τε καὶ γλίσχρων ἐμπλασθῇ τοῖς βρογχίοις τοῦ πνεύμονος ἤ τις ὄγκος ἀποστηματικὸς ἐν αὐτῷ συσταίη. ὁμοίως δὲ δυσπνοοῦσι καὶ οἱ τὰς τραχείας ἀρτηρίας πληρωθέντες ὑπὸ πολλοῦ κατάρρου ἤ τινος ἐκ τῶν πλησίων χωρίων ἀθρόως εἰς αὐτὰς παραγενομένου ῥεύματος. διορισθήσονται δὲ ἀλλήλων τὰ πάθη τῷ τὸν μὲν κατάρρουν, καὶ τοῖς ὑγιαίνουσιν ἐξ αἰτίας τινὸς φανερᾶς αἰφνιδίως ἐπιπίπτειν, ὡς ἐπίπαν χωρὶς πυρετοῦ μετὰ τοῦ παρακολουθεῖν τὰ ἴδια τοῦ κατάρρου σημεῖα. εἰ δὲ ὄγκος ἀποστηματικὸς ἐν τῷ πνεύμονι γίγνοιτο, ἐξ ἀνάγκης καὶ πυρετὸς ἐπιγίγνεται καὶ οὐ μετὰ πολὺν χρόνον μεταβαλλομένης τῆς φλεγμονῆς πύον ἀναπτύεται μετὰ βηχός. εἰ δὲ ἄπεπτον φῦμα γένηται, οἷον Ἀντιπάτρῳ τῷ ἰατρῷ συνέβη, κατὰ τὰς λείας ἀρτηρίας τοῦ πνεύμονος, οἱ τοιοῦτοι οὔτε βάρους μεγίστου

5—18 τοὺς ἀναπνέοντας — συσταίη *Gal. ib. 6 (XIII, 105, 19—106, 13, 17—107, 2)* τοὺς ἀναπν. — κοιμώμενοι *cf. Paul. III 29 (I 209, 20—23)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 *ante* ἐπίθεμα: πρὸς βῆχας ἐπίθεμα κάλλιστον ω τὸ] καὶ ω *om.* χ A D *post* μελιτώτων: κάλλιστον D σαμψίων ω 2 πυτίνης A πιτύνης ω *post* πιτυίνης: λι ᾱ, *om.* ἀνὰ *post* ἰρίνου α, *exc.* L^a *post* ἰρίνου: ἐλαίου P^x D ω 3 χρῶ *om.* A *post* χρῶ: καὶ τὰς βῆχας δὲ τῇ αὐτῇ μεθόδω θεραπεύσωμεν, τοῦτο μόνον ἐπιβλέποντες κτλ. *sqr.* κοκκία πρὸς κατάρρους — ἀπερχομένου *(v. p. 508, 2—6) sqr.* τρία ἢ τὸ πολὺ πέντε. Κοκκία πρὸς βηχικοὺς καὶ αἱμοπτυικοὺς παραδόξως· στύρακος σμύρνης κτλ. P^x 4 καὶ *om.* α, *exc.* L^a ἐπιλεγομένων ω θωρακικῶν *om.* D ω 15 *post* θωρακ.: Γαληνοῦ P^x A D ω 7. 8 λέγω — συμπτώματος *om.* ω τὸ φ A τῶ χ 8 ἀνακαθέζονται φ D ω 9 κηδόμενοι χ A P *delevi* 9. 10 *ante* πνιγῆναι: μὴ D ω 10 γε] τε ω *om.* A ἐν οἷς] οἷς P^x D ω *(Gal.)* οἷς (?) χ A P 11 αὐτοῖς (αὐτ.) P^x A D ω 12 ἑαυτοῖς ω 14 ὃ χ^o P 15 ἔχωσιν ω 16 καὶ *om.* α, *exc.* L^a *post* στενοχωρία: καὶ τοῖς ἐμπύοις P^x A *(Gal.)* 17 ἢ τὸ L^a ἢ χ A P τε *om.* ω βροχίοις P^x βρόγχοις D βρόχοις ω 18 ἐν αὐτῷ] ἑαυτῷ ω συστέη P^x ω 20 πλησίον L^a χ D πλείων ω χωρῶν ω αὐτὸν L^a 20. 21 παραγενομένου] πληρουμένου ω 21 δὲ *om.* ω 22 τινὸς *om.* ω 25 ἐπιγίγνοιτο L^a ····γένοιτο ω γένοιτο ω 27 *ante* οἷον: καὶ χ P τῷ *om* L^a

αἰcθαίνονται, οὔτε ὀρθοπνοίαις ἐπὶ τοcοῦτον ἐνοχλοῦνται. οἱ δὲ ἰδίωc δυcπνοικοὶ καὶ ὀρθοπνοικοὶ καλούμενοι ἀπύρετοι ὡc ἐπίπαν εἰcὶ καὶ βάρουc μεγίcτου αἴcθηcιc αὐτοῖc γίγνεται καὶ οὐδὲν πυῶδεc ἀναπτύουcιν. ἡ δὲ θεραπεία τὸ μέν τι κοινὸν ἔχει τῶν εἰρημένων διαθέcεων, τὸ δέ τι καὶ ἴδιον· κοινὸν μὲν ἐκδαπανῆcαι καὶ ἀναλῶcαι τὴν περιουcίαν τῆc τὰ πάθη γεννώcηc ὑγρότητοc, ἴδιον δὲ τῆc μὲν τῶν γλίcχρων τε καὶ παχέων ὑγρῶν διὰ τῶν λεπτυνόντων τε καὶ τεμνόντων φαρμάκων, τῆc δὲ τῶν ἀποcτηματικῶν ὄγκων διὰ τῶν λεπτυνόντων τε καὶ ξηραινόντων, ἥ τιc πᾶcι τοῖc ἐν τῷ βάθει τοῦ cώματοc ἀποcτήμαcι κοινὴ ἐcτιν. οἴνου δὲ πόcιc ἁρμόττει ἀμφοτέραιc λεπτοῦ τῇ cυcτάcει· τὸ δὲ cύμπαν ποτὸν ὀλίγον μὲν οἷc ἀπόcτημά που γίγνεται, πολὺ δὲ οἷc ἐμπέπλαcται τὰ βρογχία γλίcχροιc ὑγροῖc καὶ παχέcι. τὰ γὰρ ἀπορρύπτοντα τοὺc τοιούτουc χυμοὺc φάρμακα κινεῖ μὲν ἐξ ἀνάγκηc βῆχαc, οὐκ εὐκόλωc δὲ ἀναπτύεται τὸ ἀπορρυπτόμενον διὰ τὸ πάχοc· ὑγρότητοc οὖν αὐτοῖc πλείονοc χρεία, ὅπωc ἀναφέρηται ῥᾳδίωc, καὶ διὰ τοῦτο πλεῖον δοτέον τὸ ποτὸν τοῖc ἀcθματικοῖc. φάρμακα μὲν οὖν τούτοιc ἁρμόττει τὰ τέμνοντα χωρὶc τοῦ cφοδρῶc θερμαίνειν· τὰ γὰρ παχέα καὶ γλίcχρα τῶν ὑγρῶν ὑπὸ τῆc cφοδρᾶc θερμότητοc ἐπιγλιcχραίνεται καὶ ἐχέκολλα καὶ δυcαπόcπαcτα γίγνεται. καὶ διὰ τοῦτο αὐτοὺc μάλιcτα ὀνίνηcιν ὄξοc τὸ cκιλλητικὸν καὶ αὐτὴ ἡ cκίλλα ὀπτὴ μετὰ μέλιτοc λεία ἐκλειχομένη καὶ ὀξύμελι διὰ ταύτηc cκευαζόμενον. τὸ δὲ μεῖζον τῶν ἰαμάτων, φηcὶν Ἀρχιγένηc κάθαρcίc ἐcτι cυνεχεcτέρα διὰ φαρμάκων ἰcχυροτέρων γιγνομένη καὶ ἔμετοι ἀπὸ ῥαφανίδων ἐκ διαλειμμάτων παραλαμβανόμενοι. καταπλάcματα δὲ διὰ cύκων καὶ ἀλεύρου κριθίνου μᾶλλον δὲ αἰρίνου ἔχοντα ῥητίνην κηρὸν καὶ μέλι. ἐμπλαccέcθω δὲ αὐτῷ καὶ ἶριc καὶ μάννα καὶ μαλάγματα δὲ ὅcα ἑλκοῖ τὴν ἐπιφάνειαν. καὶ ἕλκει ἰχῶραc, οἷόν ἐcτι τὸ

4—16 ἡ δὲ θεραπεία — ῥᾳδίωc *Gal. ib. (ib. 107, 2—16) Paul. ib. (ib. 24—28)* 17. 18 φάρμακα — θερμαίνειν | 20—22 καὶ διὰ τοῦτο — cκευαζόμενον *Gal. ib. (ib. 111, 8—11)* φάρμ. — θερμ. | 22—24 τὸ δὲ μεῖζον — παραλαμβανόμενοι | 26. 27 καὶ μαλάγματα — ἰχῶραc *Or.ª IX 5 (276, 30—277, 1, 7—8, 9)* 20—26 καὶ διὰ τοῦτο — μάννα *ib. (ib. 209, 28—210, 3, 10—13)*

φ (L^a P^x) χ (M^c) ψ (A D P) ω (A^t) 1 ὑπὸ ὀρθοπνοίαc P^x A D ω ἐπὶ ὀρθοπν. χ P 2 *ante* δυcπνοικοὶ: ὀρθοπνοικοὶ καὶ *om.* καὶ ὀρθοπν. *post* δυcπν. D ω καὶ ὀρθοπν. *om.* L^a ἀπύρεκτοι α, *exc.* L^a 3 μεγίcτου *post* γίγνεται *transp.* D *om.* ω εἰc αὐτοὺc D καὶ αὐτοὺc ω οὐδὲ P^x A πυρῶδεc L^a χ P *ante* ἀναπν.: ὑπομένουcιν ἢ 3. 4 ἀναπνέουcιν L^a χ P 4 μὲν χ D P ω προειρημένων ω 5 κοινὸν μὲν] τὸ μὲν οὖν κοινόν ἐcτι τὸ P^x 5. 6 περιουcίαν] περιττὴν οὐcίαν D ω 7 τε *om.* ω καὶ τεμνόντων — λεπτυνόντων τε *om.* D 10 ἔcται L^a ἀμφοτέραιc ἁρμόττει α, *exc.* φ 14 τὸ *alt. om.* L^a 15 πλείονοc (πλεῖον P^x A^t . . . ίων χ) αὐτοῖc α, *exc.* L^a 17 οὖν *om.* A D ω 19 θερμῆc ὑγρότητοc ω ὑπογλιcχραίνεται ω καὶ *pr. om.* ω γίγνονται P^x D ω 20 καὶ *pr. om.* α, *exc.* L^a αὐτοὺc *post* ὀνίνηcιν *transp.* D ω τὸ *om.* D ω ταῦτα P^x ω 22 *post* Ἀρχιγένηc: κατάλληλόc ἐcτι φαρμάκου ἡ P^x *post* κάθαρcιc: ἐπὶ τούτων οὖν κολοκύνθην λαβών, κένωcον τὸ cπέρμα αὐτῆc — μετὰ βραχίονοc καλῆc κάθαρcιc P^x 25 ἔχων L^a χ ω ἔχων ἐν ταὐτῷ P^x 26 καὶ *om.* χ P ἐμπαccέcθω (. . . παc.) χ A P 27 δὲ] μὲν P^x A

Κιcιφῶντος καὶ τὸ διὰ δαφνίδων καὶ τὸ διὰ κάχρυος καὶ ἡ διὰ βοτανῶν ἔμπλαςτρος καὶ ἡ Ἱκεςίου καὶ ἡ Θραςέα. ἡ δὲ Κυζικινὴ προςλαβοῦςα ἰρίνης κηρωτῆς τὸ ἴςον καὶ ἐπιτιθεμένη παντὶ τῷ θώρακι δαπανᾷ τὰς ὑγρότητας καὶ ςτερεοῖ τὴν ἕξιν. παςῶν δὲ καταλληλοτάτη, φηςὶν Ἀρχιγένης, ἐςτὶ τῷ πάθει αὕτη· κηροῦ ῥητίνης πιτυίνης ξηρᾶς ἀνὰ λι^{τρ}′ β̅ ἴριδος λι^{τρ}′ α̅ϲ̅ ἀςφάλτου πίςςης ἰοῦ ἀνὰ λι^{τρ}′ α̅ ςμύρνης λιβάνου ἀνὰ ℥ ϛ̅ ςικύου ἀγρίου ῥίζης κενταυρίου λίθου Ἀςίου ςτύρακος ἀνὰ ℥ β̅ μίςυος ὠμοῦ χαλκίτεως ὠμῆς ἀνὰ ℥ α̅ι̅ ἁλὸς ἀμμωνιακοῦ χαλβάνης γῆς κιμωλίας γῆς ἀμπελίτιδος ἀνὰ ℥ α̅ ἐλαίου λι^{τρ}′ β̅ ὄξους κ^{ο} β̅· τὸν ςτύρακα τήξας καλῶς μετ' ὀλίγου ἐλαίου λείου ἐπὶ θυίᾳ καλῶς καὶ ἐπίχεε αὐτῷ τὴν ἔμπλαςτρον καὶ μαλάξας χρῶ, τὰ μεταλλικὰ λείου ςὺν τῷ ὄξει, τὰς δὲ βοτάνας κόπτε καὶ ςῆθε καὶ τὰ τηκτὰ τήξας καὶ διηθήςας καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίβαλλε τὰ λειωθέντα ςὺν τῷ ὄξει, εἶτα ἐπίπαςςε τὰς βοτάνας καὶ ἑνώςας μαλάξας χρῶ. αὕτη τῶν ἐν κατακαλύψει ἀποςτημάτων πολλὰ μὲν ἐξατμίζει καὶ διαφορεῖ, τὰ δὲ ἀνοίγνυςιν, ὅςα δὲ τῶν ἤδη ῥαγέντων ῥευματικὰ παραμένει, θαυμαςτῶς ἀναξηραίνει· κρείττονος γάρ οὐκ ἄν τις πειραθείη τῶν τοιούτων φαρμάκων. ἁρμόδιον δὲ τοῖς προκειμένοις πάθεςίν ἐςτι καὶ τὸ Ἀμυθάονος ἐπίθεμα καὶ ἔτι τούτου μᾶλλον τὸ πολυάρχιον ἐν τοῖς τῆς ςτενοχωρίας καιροῖς καὶ κνίδαις δὲ ῥαπιζέςθω ὁ θώραξ ὅλος ἐν κύκλῳ, καὶ ςκίλλῃ λεπιςθείςῃ ἀνατριβέςθω ὁ θώραξ, ἔπειτα λουτρῷ καὶ ἐλαίῳ θερμῷ ἐξιατέον τοὺς φοινιχθέντας τόπους· ὑπηλάτοις δὲ ςυνεχῶς τὴν κοιλίαν ὑπομαλάςςειν τοῖς πραοτέροις, οἷον κνήκου ὅςον κοτύλης ςπουδαίως θλαςθέντος καὶ ςυνεψηθέντος ὀρρῷ γάλακτος, ἔπειτα διηθημένου τοῦ ὀρροῦ καὶ μετ' ὀλίγου μέλιτος πινομένου· χρηςτέον δὲ καὶ τοῖς διὰ θύμου καὶ ςιλφίου καὶ πεπέρεως ἁλατίοις προςλαβοῦςι ςκαμμωνίαν ἢ τοῖς διὰ λιβανωτίδος. ἀγαθοῦ δὲ ἐγὼ ςφόδρα πεπείραμαι καὶ βράθυος καθ' αὑτὸ λειοτάτου ὅςον < α̅, εἶτα

φ(L^{a}P^{x}) χ(M^{o}) ψ(ADP) ω(A^{t}) 1 κτιςοφόντος P^{x} ...ῶντος A κυφιςοφῶντος χ κιςςοφῶντος Dω κιφιςοφῶντος P 4 *ante* παςῶν: Ἀρχιγένους μέλαινα D 5 *post* κηροῦ: λι β̅ (α̅ P^{x}ADω) *om.* ἀνὰ *post* ξηρᾶς α, *exc.* L^{a} πιτυίνης ῥητίνης A πιτυίνης ξηρᾶς ῥητίνης Dω πιτυίνης ξηρᾶς *om.* L^{a} *post* ξηρᾶς: ἐλαίου ςκιλλίνου P^{x} 6 β̅] α̅ Dω *post* ἀςφάλτου: λι α̅ α, *exc.* *post* πίςςης: λι α̅ (πίςςης λι α̅ *post* κηροῦ λι β̅ *transp.* P^{x}) α, *exc.* L^{a}ω ἀνὰ *om.* χAPω *post* ςμύρνης: ℥ ϛ̅ (β̅ A) χAP 7 λιβάνου — ςτύρακος 8 ἀνὰ ℥ β̅ *om.* A ἀνὰ *om.* χP *post* ὠμοῦ: ℥ α̅ c, *om.* ἀνὰ *post* ὠμῆς α, *exc.* L^{a}A *ante* χαλκίτεως: καὶ ω ὠμῆς] ὁμοίως ω *post* ἀμμωνιακοῦ: ℥ α̅ (α̅ *om.* A) χψ 9 *ante* ὄξους: ἐγὼ δὲ ἀεὶ P^{x} ἐγὼ AD 9. 10 ὄξους κ^{ο} β̅ *om.* Pω κ^{ο}] λι P^{x}ADω κ^{ο} ἤγουν ⊢|P 10 β̅] α̅ ἤγουν ⊢|χ *post* τὸν: δὲ χADω *id.* *post* ςτύρακα P^{x} τῆκε Dω *ante* λείου: καὶ P^{x}χADω 13 καὶ *pr.* *om.* ψω *supra scr.* χ ἐπίβαλε χAD 14 ςὺν τῷ ὄξει εἶτα *om.* ω *ante* μαλάξας: καὶ P^{x}χAP 15 ἀποςτημάτων *om.* χP 17 *post* γὰρ: τις L^{a} 17. 18 παραθείη P^{x}A 19 καὶ *pr.* *om.* P^{x}ω ἔτι] ἐπὶ ω τοῦτο Aω 21 ὅλος — ἀνατριβέςθω *om.* ω ὅλος ἐν *om.* L^{a} ὅλως P^{x}A ὁ θώραξ *om.* χDPω ἔπειτα] ἐπὶ τῷ P^{x} ἐπὶ τὸ A 22 ἐλαίῳ *om.* L^{a} 25 διηθουμένου APω δὲ *om.* L^{a}χP 27 *post* λιβανωτίδος: μαράθρου πεπέρεως λιβυςτικοῦ (λιγηςτικοῦ P^{x}) ςπέρματος ςιλφίου ςπέρματος ἁλῶν πεφωγμένων P^{x}A ἐγὼ] ἔργῳ L^{a}

τῇ ἑξῆς < β̄, εἶτα < τρεῖς, ἐπί τινων δὲ καὶ τῇ τετάρτῃ τέσσαρας < δίδωμι, ἐμπάσσων οἴνῳ τεθαλασσωμένῳ, εἶτ' ὀπίσω πάλιν κατὰ βραχὺ ἀνακάμπτων ἐπὶ τὴν ᾱ < · καλῶς δὲ προβαινούσης τῆς καθάρσεως ἄγει καὶ αἱματῶδες καὶ οὔκ ἐστιν ὅντινα οὐκ εὐπνούστερον εἰς τὰ ἄλλα ἀπέδειξε. διαλείπων δὲ ἡμέρας β̄ ἢ γ̄ ἀψίνθιον προεπότιζον, εἰ τῷ στομάχῳ μαλακισθείη ὁ πάσχων, εἰ δὲ μή, ἶριν ἐπότιζον ἢ ἀβρότονον ἢ καστόριον μετ' ὀξυμέλιτος. θαυμαστῶς δὲ ἐργάζεται καὶ τὸ δι' ἐλατηρίου ἐμετικόν, ᾧ κέχρημαι πρὸς τὰς κρυπτὰς συνάγχας. ἔστι δὲ τοῦτο· ἐλατηρίου ἡμιοβόλιον νίτρου ἀφροῦ τριώβολον σινάπεως < ᾱ, λεάνας ὕδατι ἀναπλάσσω καταπότια η̄ καὶ δίδωμι ὄρθρου β̄ καὶ δείλης β̄· καθαίρει ἀλύπως ἄνω καὶ τὸν μὲν παροξυσμόν ὡς ἐπὶ τὸ πλεῖστον παύει, τὴν δὲ διάθεσιν, ἥτις αὐτῷ ἐπιμένοι, καταλύει. τοῖς δὲ ἰσχυροῖς, διαλείπων ἡμέρας γ̄, πάλιν δίδου. [τὸ καστόριον δὲ ἐπὶ τῶν ὀρθοπνοικῶν ἐν τοῖς παροξυσμοῖς πινόμενον θραύει αὐτοὺς ἀνοιγνύον τὴν ἐν σχέσει δυσωδίαν τοῦ πνεύματος καὶ ἐπὶ τῶν διαλειμμάτων ἐνδελεχισθὲν ἤρκησεν εἰς ἀπαλλαγὴν τῆς διαθέσεως· κρεῖττον δὲ εἰ μετὰ τοῦ σκιλλιτικοῦ ὀξυμέλιτος διψῇς ἐν τοῖς διαλείμμασιν]. ἡ μέντοι διὰ τῆς κολοκυνθίδος ἡμετέρα ἱερά, λέγω δὴ Ἀρχιγένους, συνεχῶς διδομένη τὰς μὲν ἐπιεικεστέρας δυσπνοίας ἐπηνορθώσατο διὰ ταχέων εἰς τέλεον, ταῖς δὲ βαθυτέραις πάνυ βοηθεῖ μετ' ὀξυμέλιτος σκιλλιτικοῦ πινομένη οὕτως· τοῦ μὲν σκιλλιτικοῦ ὄξους ϝ ᾱ μέλιτος ἀπηφρισμένου ϝ β̄ ὕδατος θερμοῦ ϝ γ̄. τουτέστι τὸ σκιλλιτικὸν ὀξύμελι. ἄλλο δυσπνοικοῖς τοῖς ἀσθματικοῖς καλουμένοις· ἀριστολοχίας κληματίτιδος ἀβροτόνου θείου ἀπύρου πηγάνου ἀγρίου σπέρματος θύμου κορύμβων ἀμμωνιακοῦ θυμιάματος ἴσα σύν ὄξει λεάνας πλάσσε τροχίσκους καὶ δίδου τριώβολον ἐν ὀξυμέλιτι ἐπὶ ἡμέρας τρεῖς. Ἐκ τῶν Ἀσκληπιάδου καὶ Διοσκορίδου·

9—11 ἐλατηρίου — ἄνω *Paul. III 29 (I 211, 1—3)* 23—27 ἄλλο δυσπνοικοῖς — τρεῖς *cf. Gal. ib. (ib. 110, 11—15)*

φ (Lª Pˣ) χ (Mᵒ) ψ (A D P) ω (Aᵗ) 1 δὲ *om.* Lª 2. 3 ἐμπάσσων — τὴν ᾱ < *om.* ω οἶνον τεθαλασσωμένον χ D P ω 4 ἐμπνούστερον ω ὅλα Pª χ A 5 διαλιπὼν D ω ἢ γ̄] εἶτ' χ P ἀψινθίω Pˣ χ A P ω . . . ίου D 5—6 εἰ τῶ στομάχω—ἐπότιζον *om.* Lª 7 *post* καστόριον: ϝ (< A) ᾱ Pˣ χ A μετ'] δι' α, *exc.* Lª 8. 9 ἐμετικὸν—ἐλατηρίου *om.* D ἐμετικὸν—ἡμιοβόλιον *om.* ω ἐμετικὸν *post* κέχρημαι *transp.* χ *om.* A τοῦτο] ἡ σκευασία αὐτοῦ τοιάδε Pˣ ἡμιοβόλιον] ὀκταόβολον D *post* ἡμιοβ.: ὀκταόβολον ω 10 η̄ *om.* Lª δίδου μοι Pₓ δίδου P 11 τὸν] τὸ ω 11. 12 μὲν παροξυσμὸν—αὐτῷ *om.* ω 12 ἐπιμένει P ω καὶ λύει Pˣ A ω κωλύει χ D P 13 διαλιπὼν D P πᾶσι ω 13—17 τὸ καστόριον—διαλείμμασιν *om.* Lª χ A D ω *canc. sepsi* δὲ *om.* P 14 παύει Pˣ ἀνοιγνύον Ald. τὸν παροξυσμὸν ἀνάγον Pˣ ἀνοιγνύη P 17 τοῖς διαλείμμασιν Pˣ 18. 19 ἡμετέρα—λέγω *om. sed spat. vac.* χ 18. 19 τὰς μὲν *om.* Pˣ A 20 ἐπανορ-θώσατο (ἐπανορθώσατο *m. 2ª ut vid.* D) Pˣ A P ω (Η ω) ταχέως Pˣ A ω βραχέων χ εἰς *om.* α, *exc.* Lª 21 σκιλλιτικοῦ *om.* Lª χ D ω 21—27 οὕτως—ἡμέρας τρεῖς *om.* Lª χ D, *spat. vac.* P 21—23 οὕτως—ἄλλο *om.* ω 25 ἐν *om.* ω 26 *ante* ἐκ: ἕτερον ἀσθματικὸν καλὸν ω Διοσκορίδους Lª χ A ω . . κουρίδου P

ἀριστολοχία στρογγύλη μετ᾿ οἴνου ἢ ὕδατος πινομένη ἀσθματικοὺς βοηθεῖ, καὶ τοῦ μεγάλου κενταυρίου ἡ ῥίζα καὶ τοῦ μικροῦ ὁ χυλὸς καὶ στοιχὰς λειοτάτη πινομένη μεθ᾿ ὕδατος καὶ σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα, καλαμίνθης ὀρεινῆς ἡ κόμη καὶ ὕσσωπον ἶρις καὶ μελάνθιον καὶ στρούθιον καὶ βρυωνία καὶ ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας εὑρισκόμενοι· τούτους δὲ βαλὼν εἰς ἄγγος καινὸν λευκὸν ὀστράκινον φρῦγε ἐπ᾿ ἀνθράκων· λευκανθέντας δὲ τρῖβε καὶ μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου μύστρον ἐκλείχειν πρὸ τροφῆς καὶ μετὰ τροφήν. Ἄλλο· σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε, καὶ μέλιτι μίξας ἴσῳ ἕψε ἐπ᾿ ἀνθράκων καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. ἄκρως δὲ ποιοῦντος πεπείραμαι τούτου, φησὶν Ἀρχιγένης· κενταυρίου μεγάλου ῥίζης πετροσελίνου ἀνὰ < ς̄ ἀμμωνιακοῦ θυμιάματος < γ̄ θείου ἀπύρου ἀσφάλτου καρδαμώμου πάνακος ῥίζης κνίδης σπέρματος ἴρεως ἰλλυρικῆς ἀνὰ < β̄ λιβάνου σμύρνης καστορίου νίτρου σαγαπηνοῦ ἀβροτόνου πολίου χαμαιπίτυος ἑλελισφάκου ἀνὰ < α πεπέρεως λευκοῦ λι$^{\tau\rho}$′, λεῖα φυρᾶται μέλιτι ἀπηφρισμένῳ· ἡ δόσις ὀβολοὶ δ̄ ἢ β̄· τοῦτο συνεχῶς πινόμενον ἔστιν οὓς τελέως ἐξιάσατο, ἀθορύβως δὲ ἐνεργεῖ. δίδου μετὰ ὑδρομέλιτος κυάθους δ̄. πολυχρήστῳ δὲ ὄντι καὶ τούτῳ χρῶμαι· σκίλλαν πυρρὰν χειροπληθῆ καθαρθεῖσαν ζύμῃ περιπλάσας δίδου εἰς φοῦρνον ὀπτᾶσθαι εὖ μάλα, εἶτα ἁπαλοτάτην γενομένην ἀποβαλὼν τὰ ἐπιπολῆς αὐτῆς κεκαυμένα καὶ τὸ λοιπὸν λειότατον ποιήσας, εἶτα ἐπιβαλὼν ὀρόβων λευκῶν λελεπισμένων ἄλευρον τὸ δίμοιρον τῆς ὀπτηθείσης καὶ καθαρθείσης σκίλλης καὶ ἀμμωνιακοῦ θυμιάματος καὶ πάνακος ῥίζης ἀνὰ < δ̄ ἴρεως καὶ ἀβροτόνου καὶ ἀκόρου ἀνὰ < β̄ πεπέρεως κόκκους κ̄,

1—8 ἀριστολοχία—τροφῆς *Or.*^{a} *IX 5 (277, 9—15) Or.*^{c} *IV 79 (468, 12—18)*
8—10 ἄλλο· σκίλλης—τροφήν *Or.*^{a} *ib. (ib. 15—17)*

φ (L^a P^x) χ (M^o) ψ (ADP) ω (A^t)   1 μεθ᾿ α, *exc.* L^a οἴνου ἢ *om.* α *exc.* L^a ἀσθματικὸν ω   2 ὁ *om.* ω   3 καὶ ἡ ῥίζα *om.* ω   4 καὶ ἡ καλαμίνθη ω   5. 6 καὶ βρυωνία—ἄγγος καινὸν *om.* ω   εὑρισκόμενοι *om.* φ A   6 κενὸν χ D μὲν L^a 7 ἀναλαβὼν μέλιτι ἑφθῷ ω   8 *ante* τροφὴν: τὴν ω *post* τροφὴν: σκευασία τῆς Ἀρχιγένους ἱερᾶς· χαμαίδρυος ἀγαρικοῦ πρασίου 𐅻 δέκα κολοκυνθίδος 𐅻 κ̄ κτλ. P^x τὸν *om.* ω   9 ἴσα ἐπ᾿ ἀνθράκων ἕψε ω *post* μύστρον: ἐκλείχειν, ὡς εἴρηται ω   10 πρὸ τροφῆς—τροφήν *om.* ω ποιεῖ τοῦτο ω πεπείραμαι τούτου *om.* ω τοῦτο φ   11 *post* ῥίζης: < ς̄, *om.* ἀνὰ *post* πετροσελίνου χψ   12 γ̄] ς̄ χ D P   15 λὶ θ̄ P^x χ < γ̄ (*om.* A) D ω < θ̄ P   16 ὀβολοὶ δ̄ ἢ β] < β A ὀβολοὶ δ̄ (*sqr.* ἤγουν 𐅻 η̄ P)· ἐν ἄλλῳ ἡ δόσις < (𐅻 P^x) β̄ P^x χ D ω *ante* τοῦτο: μεθ᾿ ὑδρομέλιτος θερμοῦ κυάθους δ̄ ἤγουν 𐅻 η̄· ἡ δόσις ὀβολοὶ δ̄ A τοῦτο—ἐνεργεῖ *v.* 18 P^x τοῦτο—δίδου *om.* P ἔστιν οὓς *om.* A οὓς] οὐ ω   17. 18 δίδου—δ̄ *om.* A *post* ὑδρομέλιτος: θερμοῦ P^x P   18 *post* δ̄: ἤγουν 𐅻 η̄· ἡ δόσις ὀβολοὺς δ̄ *sqr.* τοῦτο—ἐνεργεῖ, *inde* δίδου μετὰ ὑδρομέλιτος κυάθους δ̄ P^x 19 δίδωμι A D ω *fort. recte* δίδου μοι P^x 20 ἐπιβαλὼν A *om.* χ   22 λελεπισμένων *om.* ω   22. 23 καὶ καθαρθείσης *om.* ω   23 *post* θυμιάματος: < (𐅻 P^x) δ̄ *om.* ἀνὰ *post* ῥίζης α, *exc.* L^a ω καὶ *alt. om.* P^x A D   24 *post* ἴρεως; δὲ χ D P καὶ *alt. om.* P^x A ω κ̄] η̄ D ω *ante* πεπέρεως: ἀντὶ (δὲ P^x) τοῦ ἀκόρου καὶ τοῦ (τοῦ *om* A) ἀβροτόνου βάλλω (βάλλω] ἐπίθ⟨ες⟩ P^x) ταῦτα· μελανθίου καλαμίνθης ὀρεινῆς ἀνὰ < (𐅻 P^x) β̄ P^x A

ταῦτα λεῖα ποιήcαc καὶ ἐπιβαλὼν καὶ ἑνώcαc ἀναπλάccω κυκλίcκουc ἀνὰ ὀβολὸν καὶ ἡμιοβόλιον ἄγονταc καὶ δίδωμι α̅ ἢ β̅ μετὰ κυάθων τριῶν γάλακτοc ὀνείου εὐθυμελγοῦc ἢ μελικράτου. παιδίοιc δὲ δίδωμι α̅. κοιλίαν κινεῖ ἡ cυμμετρία αὕτη, εἰ δὲ πλεῖον δώcειc, καὶ οὔρηcιν πολλάκιc καὶ cυνεcτῶτα παροξυcμὸν διέλυcε [δοθέν]· καὶ γὰρ ἐπιληψίαc ἰᾶται καὶ πνῖγαc ὑcτερικὰc καὶ ὀcφύοc νωθρὰc ὀδύναc καὶ τοὺc βληχροὺc καὶ ῥεμβώδειc πυρετοὺc ἔμμηνά τε ἄγει γυναιξὶ διὰ πάχοc ἐπεcχημένα, αἷc παρακολουθοῦcι cκοτώcειc ἀφωνίαι cυνολκαὶ πόνοι ἄρθρων ὄκνοι δύcπνοιαι. cυντόμωc γὰρ καταcπᾷ τό αἷμα καὶ πάντων αὐτίκα ῥύεται τῶν ὀχληρῶν· μὴ τῆc εὐτελείαc τοῦ φαρμάκου καταφρονήcῃc, ἀλλ᾽ ὡc περιουcίαν δυνάμεωc παραλάμβανε. Ἄλλο πόμα ἀcθματικοῖc· πολίου ἀβροτόνου καcτορίου χαμαιπίτυοc ἀμμωνιακοῦ θυμιάματοc ἴcα, μέλιτι ἀναλαβὼν δίδου κυάμου ἴcον. ἔδοcάν τινεc ἀφρονίτρου λευκοῦ κοχλιάριον ἐν τριcὶ κυάθοιc μελικράτου ἢ οὕτωc· ἀφρονίτρου < θ̅ πεπέρεωc < α̅ cιλφίου < α̅· δίδου κοχλιάριον μεθ᾽ ὕδατοc θερμοῦ. Ἄλλο· καcτορίου < η̅ ἀμμωνιακοῦ θυμιάματοc < η̅ πεπέρεωc κόκκουc μ̅, γλυκεῖ ἀναλάμβανε καὶ δίδου κυάμῳ ἴcον ἐν μελικράτῳ. Ἄλλο· πεπέρεωc ζιγγιβέρεωc πετροcελίνου ἐλενίου λιβυcτικοῦ ἴcα μέλιτι ἀπέφθῳ ἀναλαβὼν δίδου ἐκλείχειν. Ἄλλο· ἀβροτόνου < β̅ βρυωνίαc ῥίζηc < η̅ βρυωνίαc κόμηc < δ̅ πηγάνου ἡμέρου < η̅ καcτορίου ἀρτεμιcίαc ἀνὰ < δ̅ ἐπιθύμου ἀμμωνιακοῦ θυμιάματοc ἀνὰ < δ̅· ἡ δόcιc γρ′ α̅c̅ μετ᾽ ὀξυμέλιτοc κυάθου α̅. Τροχίcκοc ἀνώδυνοc ὀρθοπνοικοῖc δυcπνοικοῖc· ὀπίου < α̅ θείου ἀπύρου ἀρνογλώccου ὑοcκυάμου cπέρματοc γλυκυρίζηc χυλοῦ cτύρακοc cμύρνηc λιβάνου

12—18 πολίου—μελικράτῳ *Paul. III 29 (I 210, 20—27)* 16—18 Ἄλλο—μελικράτῳ *Or. c 29 (IV 195, 4—6)*

φ (Lª Pˣ) χ (M°) ψ (ADP) ω (Aᵗ) 1 ἀνάπλαcον D . . . πλαccον ω ἀνάπλα′ Pˣ 2 δίδου μ⟨ο⟩ι τοῦτο ἵνα ουττ′ ἔχειν < α̅ καὶ ὀβολ′ γ̅ ἢ β̅ ω 3 *post* ὀνείου: ἢ αἰγείου Pˣ παῖδαc ω 4 εἰ] ἡ D P πλείων A D δόcιc α, *exc.* φ 5 δοθεῖcα D ω *delevi* 5. 6 *ante* ἐπιληψίαc: καὶ χ D P ω 6 ὑcτερικῶc Lª *om.* Pˣ A ὀcφρύοc Lª 7 γυναιξὶ] cυνέξει ω 9 *post* γὰρ: ἐκ τούτου τοῦ φαρμάκου πινομένου Pˣ 11 καταφρονήcειc φ . . . . νηc′ P παραλαμβάνει ω *post* παραλάμβανε: ἄλλο ποιεῖ ὀρθοπνοικοῖc καὶ (καὶ *om.* Pˣ) νεφριτικοῖc καὶ cτραγγουριῶcι· πεπέρεωc λευκοῦ ⊦ α̅ πεπέρεωc καινοῦ ⊦ α̅ πετροcελίνου (μακεδονικοῦ Pˣ) ⊦ γ̅ (α̅ μᾶλλον δὲ οὐ μίαν ἀλλὰ γ̅ (⊦ Pˣ) κόcτου μαράθρου cπέρμα ἀνίcου· τοιούτων παθόντων ἡλικίαν ἐχόντων ἐλαττόνων μὲν ἢ πεντήκοντα ἐτῶν, πλειόνων δὲ ἢ τεccαράκοντα (τοιούτ. — τεccαρακ.] *519, 9—10*) καλαμίνθηc πυρέθρου cελίνου cπέρματοc ἀνίcου [καλαμίνθηc] ναρδοcτάχυοc cτύρακοc ἀνὰ ⊦ α̅ μέλιτοc ξε′ ϛ̅ οἴνου παλαιοῦ καλοῦ ξε′ (λ ε̅ Pˣ) Pˣ A 11—*p. 518, 23* Ἄλλο—ῥευματίζεcθαι *om.* A Ἄλλο—μελικράτω (*18*) *om.* Lª 12 ἀcθματικὸν ω 13 ἴcα] ἀνὰ Γρ′ η̅ καὶ Pˣ μέλιτι—ἴcον] μέλι⟨τοc⟩ ἀττικοῦ τὸ ἀρκοῦν ἡ δόcιc κυάμου τὸ ἴcον Pˣ 13. 14 ἔδοcαν—ἐν] cὺν P 14 τριcὶ *om.* Lª χ P 15 α̅ *pr. ex* Η̅ *ut vid.* D ΗΗ P < α̅ *alt. om.* Pˣ χ 16 < η̅ *pr. om.* Pˣ ω 18. 19 Ἄλλο—ἐκλείχειν *om.* ω 20 βρυωνίαc κόμηc < δ̅ *om.* ω 21 *post* καcτορίου: < δ̅, *om.* ἀνὰ *post* ἀρτεμιcίαc α, *exc.* Lª < δ̅ *om.* Pˣ D *post* ἐπιθύμου: < δ̅ χ P ω 21. 22 ἀμμωνιακοῦ — < δ̅ *om.* ω ἀνὰ *om.* χ P 22 — *p 516,4* τροχίcκοc — ἀφεψήματι *om.* φ χ P 23 *ante* δυcπνοικοῖc: καὶ D

τερεβινθίνης ἀνὰ < β κρόκου < α, οἴνῳ ἀθαλάccῳ λειώcαc, ποίει τροχίcκουc ἀνὰ γ καὶ δίδου πίνειν· χυλοῦ δὲ γλυκυρίζηc μὴ παρόντοc τὴν γλυκύριζαν θλάcον ἑψήcαc ἐπὶ πολὺ ἀναλάμβανε τὸ πᾶν τῷ ἀφεψήματι. Ἀνδρομάχου ἀcθματικοῖc καὶ ὀρθοπνοικοῖc· cκίλληc ὀπτῆc θείου ἀπύρου ἀcφάλτου ἴcα· ἡ δόcιc λι^{τρ'} cὺν ὀξυμέλιτι. Ἄλλο· θείου ἀπύρου < α ἀμμωνιακοῦ θυμιάματοc < β μελανθίου < β καcτορίου < β ἀνίcου ὀβολοὺc δ, ὕδατι ἀνάπλαccε τροχίcκουc ἀπὸ Γ^ρ γ ἢ δ· καὶ δίδου εἰc κοίτην μετὰ κυάθων β θερμοῦ ὕδατοc. Καταπότιον ἀcθματικοῖc ἀνώδυνον· πηγάνου χλωροῦ cτύρακοc τερεβινθίνηc ἀνὰ ℉ β ὀπίου < δ, ἀνάπλαττε καταπότια ἀπὸ κερατίου ἑνὸc καὶ δίδου εἰc κοίτην γ καταπίνειν, καὶ ἐπιρροφείτωcαν θερμοῦ ὕδατοc κυάθουc β. τοὺc δὲ ὑπὸ κατάρρου, πληρωθείcηc τῆc τραχείαc ἀρτηρίαc τοῦ πνεύμονοc, δυcπνοοῦνταc θεραπεύcομεν, προνοούμενοι τῆc κεφαλῆc ψυχρὰν καὶ ὑγρὰν δυcκραcίαν ἐχούcηc, ἐμβρέχοντεc αὐτὴν δι' ἰρίνου μύρου ἢ ναρδίνου. ἀναξηραίνομεν δὲ αὐτὴν καὶ ῥωννύομεν τοῖc ἀναγεγραμμένοιc ἐν τῷ ἕκτῳ λόγῳ cμήγμαcί τε καὶ πάcμαcι. χρηcόμεθα δὲ καὶ τῇ διὰ cκίλληc ἑφθῆc προγεγραμμένῃ ἀρτηριακῇ ἐν τῷδε τῷ λόγῳ κεφαλαίῳ νε. Ἀcθματικοῖc Φιλαγρίου· cυμφύτου πετραίου ῥιζῶν κενταυρίου μεγάλου ῥίζηc ἴρεωc ἰλλυρικῆc ἀνὰ ℉ β ὕδατοc ξ^ε α, θλάcαc τὰc ῥίζαc βρέχε τῷ ὕδατι ἡμέραc β, ἔπειτα ἕψε εἰc τρίτον καὶ διηθήcαc ἐπίβαλλε μέλιτοc τὸ ἴcον τοῦ ἀφεψήματοc καὶ ἕψε μέχρι cυcτάcεωc, εἶτα κόψαc cήcαc ῥήου ποντικοῦ ℉ α ἐπίπαccε καὶ ἑνώcαc δίδου περὶ πρώτην ὥραν ὅcον κοχλιάρια β. εἰ δὲ μὴ παρείη ῥῆον, κενταυρίου μεγάλου ῥίζαν κόψαc cήcαc ἔμβαλλε τὴν μίαν ℉ ἢ cυμφύτου ῥίζηc· τόνον παρέχει τὸ φάρμακον τῷ πνεύμονι καὶ θώρακι cὺν τῷ ἀνακαθαίρειν καὶ ἀναξηραίνειν καὶ ἀποκρούεcθαι τὰ ἐπιφερόμενα ἐπ' αὐτὸν ὑγρά. Πρὸc δυcπνοικοὺc ἀcθματικοὺc ὀρθοπνοικούc· ἀρμενίαc βώλου < α δίδου πίνειν μετ' οἴνου κεκραμένου, πρὸc δὲ τὰc παρα-

4. 5 Ἀνδρομάχου—ὀξυμέλιτι *Gal. ib.* (*ib. 114, 2—3*) 5—8 Ἄλλο ὕδατοc *cf. Gal. ib.* (*ib. 110, 8—11*) 15. 16 τοῖc ἀναγεγρ. κτλ. *cf. pp. 198—199* 17 τῇ προγεγρ. *cf. p. 203, 18 sq.*

φ (L^a P^x) χ (M^o) ψ (D P) ω (A^t) 3 τὴν *om.* ω 4 Ἀνδρομάχου *post* ἀcθματικοῖc *transp.* L^a χ πρὸc ἀcθματικοὺc .... ὀρθοπνοικοὺc D ω 5 ἴcα *om.* L^a 5. 6 ἡ δόcιc—θυμιάματοc < β *om.* D ω λι^{τρ'} *om.* P^x P 5—8 Ἄλλο—ὕδατοc *om.* L^a 9 ἀcθματικὸν ω *post* ἀνώδυνον: τοῦ αὐτοῦ Ἀνδρομάχου ἰητροῦ ἢ κοκκία P^x *post* χλωροῦ: ℉ β α, *exc.* L^a ω *post* cτύρακοc: ℉ β, *om.* ἀνὰ *post* τερεβινθίνηc χ P 10 <] ℉ P^x D ω ἀνὰ κεράτου D ω 12—18 τοὺc δὲ ὑπὸ—κεφαλαίῳ νε *post* γ *(p 517, 7) transp.* P^x *om.* α, *exc.* P 12 ἀπὸ P^x πληρωθεν^{τ'} (—ταc) τὴν τραχεῖαν ἀρτηρίανῳ (*recte*) P^x 13 *ante* δυcπνοοῦνταc: καὶ (*recte*) P^z 14 ἐμβρέχοντ.] ἐμβρέχειν τε P 15 δέ τε P 16 ἐν τῷ—λόγῳ] ἔμπροcθεν, ὅcα ἐπὶ κατάρρου τὰ πάcματα ἀλείμματα ἔμπλαcτρα καὶ λουτρὰ P^x 18 νε *om.* P^x ἀcθματικοῖc *om.* D ω *post* Φιλαγρίου: καλὸν πρὸc ἀcθματικοὺc D ω ἰητροῦ P^x 18. 19 *ante* κενταυρίου: καὶ ω 20 βρέχε] βάλλε ω *ante* τρίτον: τὸ P^x D ω 23 *post* ὥραν: τῆc ἡμέραc D ω 24 ἔμβαλε χ D P ἐπίβαλλε φ *post* ℉ : α *om.* α, *exc.* L^a ῥίζαν L^a 25 τὸ τοιοῦτον δὲ φάρμακον παρέχει τόνον P^x 26 ἀνακρούεcθαι ω 27 αὐτὸ P^x .... ῶν L^a δυcπνοικοὺc ὀρθοπνοικοὺc ἀcθματικοὺc P^x D ὀρθοπν. ἀcθμ. δυcπν. ω 27 ἀρμενίου P

κολουθούσας βῆχας δίδου εἰς κοίτην τῆς προγεγραμμένης βηχικῆς ἀντιδότου ἰσοθέου καλουμένης, καρύου ποντικοῦ μέγεθος μετὰ μελικράτου˙ ἡ γὰρ συνεχὴς ταύτης χρῆσις καὶ τοῦ πάθους τέλεον ἀπαλλάττει, κἂν ἤδη πολυχρόνιον ᾖ˙ χρῶ θαρρῶν. μὴ παρούσης δὲ ταύτης, δίδου τῆς παιωνίας ἀντιδότου˙ εἰ δὲ μηδὲ αὕτη παρῇ, δίδου τῆς ζωπυρίου˙ γραφήσονται δὲ ἐν τῷ περὶ κωλικῶν λόγῳ. Ἄλλο˙ ἴρεως < η̄ ἀμμωνιακοῦ θυμιάματος < δ̄, δίδου < ᾱ σὺν ὑδρομέλιτος κυάθοις γ̄. Ἄλλο˙ βράθυος τοῖς τελείοις Γ^{ρ} ς̄, τοῖς δὲ ἄλλοις Γ^{ρ} γ̄, βουτύρου Γ^{ρ} ιβ̄ μέλιτος ⸋ β̄, δίδου ἐκλείχειν ἐπὶ ἡμέρας τρεῖς καὶ διαλιπὼν πάλιν δίδου. Καῦσις δυσπνοικῶν. εἰ δὲ τὴν περιττωματικὴν αὐτῆς ὑγρότητα ἡ κεφαλὴ κάτω πρὸς θώρακα πέμπει, λυποῦσα τὰ περὶ αὐτοῦ μόρια τῷ συνεχεῖ κατάρρῳ κἀκ τούτου τὴν δύσπνοιαν ἐμποιεῖ, ξυρήσομεν τὰ μέσα τῆς κεφαλῆς καὶ λαβόντες καυτῆρα διάπυρον καύσομεν ἄχρις ὀστέου, καίοντές ⟨τε⟩ τὸ ὀστέον πρὸς τὸ λεπίδα ἐκπεσεῖν. ῥᾳδίως γὰρ ἐκεῖθεν ἡ τῶν ὑγρῶν τῆς κεφαλῆς κένωσις γίγνεται, τὸ δὲ τραῦμα ἐπὶ χρόνον φυλάξαντες, εἶθ᾽ οὕτως εἰς ἐπούλωσιν ἄγομεν.

Περὶ ὑποκαπνισμοῦ. Καὶ ὑποκαπνισμοὶ δὲ τούτοις ἁρμοδιώτατοι˙ εἴρηται δὲ περὶ αὐτῶν τελεώτατα ἐν τῷ γ̄ λόγῳ, εἴρηται δὲ καὶ πρὸ βραχέος ἐν τοῖς βηχικοῖς. καλυπτέσθωσαν δὲ ἐπὶ τούτων τῶν χρήσεων πάντοθεν ἱματίοις καὶ σπουδαίως κεχηνότες τῷ στόματι τὸν καπνὸν καρτερῶς δεχέσθωσαν˙ μύξα γὰρ πολλὴ καὶ δάκρυον καὶ σίελον δαψιλῶς ἄγεται, καὶ διὰ βηχὸς σφοδρᾶς φλέγμα γλίσχρον ἐκ βάθους ἀναφέρεται. μὴ λανθανέτω δέ σε, ὅτι προηγεῖσθαι χρὴ τῶν τοιούτων σπαραγμῶν τὴν διὰ κλυσμοῦ κάτω ὑπαγωγὴν τῆς γαστρὸς ἢ διὰ τῶν ὑπηλάτων. Περὶ ἀνατριμμάτων τοῦ θώρακος. Συνήνεγκε δὲ ἐπὶ τῶν ἀσθματικῶν καὶ τὰ ἀνατρίμματα τοῦ θώρακος, οἷον κίσηρις μετὰ νίτρου καὶ τρὺξ

18 εἴρηται κτλ. *vol. I pp. 321 sqq.; vol. II pp. 507 sqq.* 25—*p. 518, 5* Συνήνεγκε—ἀποτρέψεις *Or.*^{a} *ib. (ib. 277, 2—7)*

φ (L^{a} P^{x}) χ (M^{o}) ψ (D P) ω (A^{t}) 1 τὴν (= P^{x}) προγεγραμμένην βηχικὴν ἀντίδοτον P προγεγραμμ. βηχ. *om.* P^{x} βηχὸς ω 2 ἀντιδότου — καλουμένης] ἀντίδοτον ταύτην, ἥτις ἐστὶν ἡ ἰσόθεος + ναρδοστάχυος κιναμώμου βαλσάμου κασσίας λευκῆς χυλοῦ μανδραγόρου καστορίου ὀπίου ἀνὰ ἐξ Γ′ (*sic*) β̄ καὶ μέλιτος τὸ ἀρκοῦν˙ ἡ δόσις P^{x} *ante* μέγεθος: τὸ P^{x} D ω 4 εἴη P^{x} χ ψ 5 παρείη α, *exc.* L^{a} 6 *post* ζωπυρίου: ὧν τὰς σκευασίας ἐρῶ ἐνταῦθα. σκευασία τῆς ἀντιδότου τῆς διὰ παιωνίας˙ ἀμώμου ⸋ α κρόκου ⸋ β̄ κτλ. P^{x} γραφήσεται ω *ante* ἐν: καὶ ω 6—10 Ἄλλο—πάλιν δίδου *ante* τροχίσκος *(p. 515, 22) transp.* D ω 7 γ̄] δύο ω 8—16 Ἄλλο—ἄγομεν *om.* L^{a} χ Ἄλλο—πάλιν δίδου *(10) om.* P 10—16 Καῦσις—ἄγομεν *om.* D ω Καῦσις δυσπνοικῶν] Καύσεως τῆς κεφαλῆς ἐπὶ κατάρρους P^{x} 12 τὴν *om.* P^{x} ξηρίσωμεν P^{x} 13 τὸ μέσον P^{x} 14 καίοντες καὐτὸ δὲ σφόδρα P^{x} καίων *cett. codd. correxi* τε *addidi* 16 ἀπούλωσιν P^{x} *post* ἄγομεν: διὰ δὲ τὸ ἀπορεῖν τὸ τραῦμα πλεῖον ἐπίθες ἄνω τῆς τομῆς ἔμπλαστρον τὴν διὰ χυλοῦ κτλ. P^{x} 17 Περὶ ὑποκαπνισμοῦ *om.* P^{x} ω *ante* ὑποκαπνισμοὶ: οἱ χ D P δὲ *om.* χ D P 18 *ante* εἴρηται: ἄλλο Ἀρχιγένους ω 19 *post* ἐπὶ: τῆς α, *exc.* L^{a} τῶν χρήσεων] χρήσεως α, *exc.* L^{a} 21 ψιλῶς D ω 22 σφοδρῶς P^{x} χ P 23 χρὴ *om.* L^{a} 24 τὴν *om.* ω κάτω] καὶ τὸ διὰ P^{x} καὶ τῶ χ *om.* P τῶν *om.* ω 25 Περὶ—θώρακος *om.* ω ἐπὶ] διὰ ω

οἴνου κεκαυμένη λεία μετὰ σχοίνου ἄνθους. καὶ τοῦτο δέ· ἀρσενικοῦ κισήρεως ἀφρονίτρου ἀνὰ Ϝ ᾱ ἀλκυονίου Ϝ β, κόψας σήσας πρόσπλεκε ἀλείμματί τινι τῶν θερμαινόντων καὶ ἀνάτριβε τὸν θώρακα καὶ τὸ μετάφρενον, ἄχρις ἂν διάπυρος γένηται. τοῦτο γὰρ ποιῶν συνεχῶς ἆσθμα καὶ βῆχα καὶ πυώδη διάθεσιν ἐν θώρακι ἀποτρέψεις. χρονίζοντος δὲ τοῦ πάθους καὶ νικωμένης τῆς φαρμακείας, ἡ καῦσις αἱρετὴ γίγνεται. μιᾶς μὲν ἐσχάρας ἐμβαλλομένης μέσον τῆς τῶν κλειδῶν ἀμφοτέρων συμβολῆς ὑπὸ τὴν ἐξοχὴν τοῦ λάρυγγος ἐν αὐτῷ τῷ κώλῳ, ἀνατεινέσθω δὲ τὸ δέρμα ἀμφοτέραις ταῖς χερσὶν ἑκατέρωθεν, πρὸς τὸ μὴ βλαβῆναι τὴν τραχεῖαν ἀρτηρίαν· δύο δὲ ἑτέρας μικρὰς ἐσχάρας ἐμβλητέον κατὰ τῶν καρωτίδων ἐν τῷ τραχήλῳ ἀρτηριῶν ὀλίγον ὑπὸ τῷ ἀνθερεῶνι, μίαν ἑκατέρωθεν, κἀνταῦθα δὲ μόνον τὸ ἐπικείμενον δέρμα καιέσθω. ἐμβλητέον καὶ δύο ἑτέρας ἐσχάρας ὑπὸ τοὺς μαστούς, μεταξὺ τῆς τρίτης καὶ τετάρτης πλευρᾶς, ἄλλας δὲ δύο μικρὸν εἰς τοὐπίσω ἀπονεούσας, μεταξὺ τῆς ε̅ καὶ ϛ̅ πλευρᾶς, κατὰ δὲ μέσου τοῦ στέρνου μίαν καὶ κατὰ τὴν ἀρχὴν τοῦ ξιφοειδοῦς χόνδρου ὑπὲρ τὸ στόμα τῆς γαστρὸς μίαν καὶ ἑτέρας β̅ μεταξὺ τῆς η̅ καὶ θ̅ πλευρᾶς μίαν ἑκατέρωθεν, τρεῖς δὲ ὄπισθεν, ὧν τὴν μίαν κατὰ μέσου τοῦ μεταφρένου τακτέον, τὰς δὲ δύο ἑκατέρωθεν τοῦ σπονδύλου ὀλίγον κατωτέρω τῆς μέσης ἐσχάρας. πάσας δὲ τὰς κάτωθεν τοῦ τραχήλου συμμέτρως πλατείας δοτέον καὶ μηδὲ πάνυ ἐπιπολαίους μήτε μὴν σφόδρα βαθείας· τὰ δὲ ἕλκη τῶν ἐσχαρῶν ἐπὶ χρόνον ἱκανὸν συγχωρεῖν ῥευματίζεσθαι.

ξ̅δ̅ Περὶ τῶν ἐν καρδίᾳ παλμῶν. Ὁ τῆς καρδίας παλμὸς πολλοῖς ὑγιαίνουσιν ἀμέμπτως νεανίσκοις τε καὶ παρακμάζουσιν ὤφθη γιγνόμενος. κεφαλαλγοῦσι δὲ οὗτοι ἄνευ τινὸς ἑτέρας ἔξωθεν αἰτίας καὶ πάντες οὗτοι φλεβοτομηθέντες ὠφελήθησαν καὶ τελέως γε αὐτῶν ἔνιοι τοῦ συμπτώματος ἀπηλλάγησαν, λεπτυνούσῃ διαίτῃ μετὰ τὴν φλεβοτομίαν καὶ φαρμάκοις ὁμοίως χρησάμενοι. οἶδα δέ τινα καὶ κατ'

24 — *p. 519, 10* ὁ τῆς καρδίας — τεσσαράκοντα *Gal. de loc. aff. V 2 (VIII 304, 17 — 306, 1)* 29 — *p. 519, 4* οἶδα — πλειόνων *Or.*^{a} *ib. (ib. 19—23) Paul. III 34 (I 220, 29 — 221, 3)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 κεκαυμένου P^x ω λεία μετὰ *om.* ω σχίνου D P 2 ἀνὰ *om.* ω 3—4 τῶν μεταφρένων ω 5 ἀποτρίψεις ω 6 κενωμένης D ω 7 *post* γίγνεται: Περὶ καύσεως ἀσθματικῶν (καὶ P^x) δυσπνοικῶν (καὶ P^x) ὀρθοπνοικῶν καὶ θωρακικῶν Γαληνοῦ (Γαλην. *om.* P^x) P^x, *in marg.* P 8. 9 συμβολῆς—ἀμφοτέραις *om.* ω 9 κοίλω P^x P ω κύκλω χ D 12 ὀλίγων χ D τῶν τοῦ ἀνθερεῶνος P^x τὸ *om.* ω 13 ἑτέρας] μεγάλας P *spat. vac.* χ *om.* L^a 15 μικρὸν *om.* ω νεούσας ω 16 δὲ *post* μέσου *transp.* α, *exc.* L^a *post* μίαν: ἑκατέρωθεν D ω καὶ—γαστρός μίαν *om.* L^a 17 ὑπὸ ω 19 μέσον φ τὰς *om.* ω 24 *post* παλμῶν: Γαληνοῦ P^x ψ ω 25 ἀμέμπτως *om.* D ω 26 δὲ *om.* A P *post* αἰτίας: τούτους δὲ πάντας τοὺς ἐν τῶ τῆς καρδίας παλμῶ ἐμπεσόντας εἰ ἐπιτρέπη ἡ δύναμις, αὐτίκα φλεβοτομεῖν P^x 26—27 καὶ πάντες οὗτοι φλεβοτομ.] φλεβοτομηθέντες δὲ οἱ τοιοῦτοι πανταπασιν P^x 27 τε L^a 28 *post* λεπτυνούσῃ: δὲ D ω 29 ὁμοίοις *leg.* ? χρησάμενοι *post* φλεβοτομίαν *transp.* α, *exc.* L^a *ante* οἶδα: καὶ ἀντίδοτος, οἷον τὴν διὰ μαργαριτῶν τὴν διὰ ῥόδων τοῦ ἡγουμένου τὴν διὰ ῥόδων Γαληνοῦ κτλ. P^x *post* τινα: φησὶν ὁ Γαληνὸς P^x

ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα, κἀπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη τῆς φλεβοτομίας ὠφελούσης αὐτόν, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθείς, πρὶν ἁλῶναι τῷ συμπτώματι, καὶ οὕτως ἔπραττε κατὰ ἑξῆς ἐτῶν πλειόνων μετὰ καὶ τοῦ τῇ διαίτῃ προσηκόντως κεχρῆσθαι. ἀλλ᾽ ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηρᾶσαι, καθάπερ καὶ οἱ ἄλλοι πάντες. ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες ὁμοίως ἀπέθανον, τινὲς δὲ αὐτῶν καὶ χωρὶς συγκοπῆς, ἀποπληξίας τρόπῳ αἰφνίδιον τὸν βίον παρήλλαξαν. οἱ πλείους δὲ τῶν οὕτω παθόντων ἡλικίαν ἦγον ἐλαττόνων μὲν ἢ πεντήκοντα ἐτῶν, πλειόνων δὲ ἢ τεσσαράκοντα.

ξε Περὶ αἵματος ἀναγωγῆς. Τὸ ἐκ θώρακος καὶ πνεύμονος ἢ τῆς τραχείας ἀρτηρίας ἀναπτυόμενον αἷμα πάντως μετὰ βηχὸς ἀναπτύεται. εἰ δὲ ἐκ τῶν περὶ φάρυγγα ἢ τὸν γαργαρεῶνα μερῶν φέροιτο τὸ αἷμα, χρεμπτομένοις ἐκκρίνεται. εἰ δὲ ἔκ τινος τόπου τοῦ στόματος ἢ οὔλων ἁπλῶς ἀναπτύεται, ἔσθ᾽ ὅτε δὲ ἐκ τῆς κεφαλῆς ἢ τῶν περὶ τὸν γαργαρεῶνα μερῶν καταφερόμενον τὸ αἷμα καὶ ἐμπίπτον τῷ λάρυγγι βῆχα κινεῖ καὶ φαντασίαν ποιεῖται τῆς ἐκ τοῦ θώρακος ἀναγωγῆς. εἰ μὲν οὖν τις ἀναχρέμπτηται καὶ ἀπομύττηταί ποθ᾽ αἷμα πλείοσιν ἐφεξῆς ἡμέραις, μήτε κεφαλῆς ὀδύνης ἢ βάρους ἤτοι συμπαρόντος ἢ προηγησαμένου, μήτε πληγῆς αὐτόθι γεγενημένης, ἐπισκέψασθαι χρὴ τούτου τόν τε τῆς ῥινὸς πόρον ἀκριβῶς ὅλον καὶ τὸν τόπον τοῦ στόματος ἐκεῖνον, ἔνθα καὶ συντέτρηται πρὸς τὴν ὑπερῴαν ἡ ῥίς. γίγνεται γάρ ποτε τοιοῦτο σύμπτωμα βδέλλης ἐν τῷ χωρίῳ τούτῳ προσπεφυκυίας. καὶ ἐκ τῆς γαστρὸς δὲ ἐπί τινων ἀνεμεῖται αἷμα χωρὶς βηχός, ἤτοι ἐκ τῶν παρακειμένων φλεβῶν εἰς αὐτὴν συρρέον ἢ βδέλλης καταποθείσης· ἀλλὰ τὸ μὲν διὰ τῶν φλεβῶν ἀθρόως εἰς αὐτὴν συρρέον ἐκ τοῦ ἥπατος ἢ σπληνὸς θρομβῶδες καὶ μέλαν ἀνεμεῖται· τὸ δὲ ἐκ τῆς βδέλλης αἷμα λεπτὸν καὶ ἰχωρῶδές ἐστιν, ἐάν τε ἐκ γαστρός, ἐάν τε ἐκ ῥινός, ἐάν τε ἐκ τοῦ στόματος φαίνηται

13—14 εἰ δὲ ἐκ—ἐκκρίνεται *Gal. de loc. aff. IV 8 (VIII 261, 6—12)*
18—520, 1 εἰ μὲν—φερόμ. *Gal. ib. (264, 14—265, 8)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 τῷ .... συμπτώματι L^a 4 καὶ τοῦ] τοῦ καὶ α, *exc.* L^a τῇ *om.* P^x χ D ω 6 *post* πάντες: διὰ τὴν ἄκαιρον τῆς καρδίας συγκοπὴν P^x 8 *ante* ἀποπλ.: τῆς L^a πλείονες ω 9 ἐλάττονα χ A P 10 *post* τεσσαράκοντα: ζεφύρου λίθου χρῆσις πρὸς τῆς καρδίας παλμοὺς Γαληνοῦ· ζέφυρος ὁ ἰανκιθίζων ὠφελεῖ κτλ. P^x 11 *post* ἀναγωγῆς: Γαληνοῦ P^x D ω καὶ] ἢ D P 12 ἀρτηρίας *om.* ω 13 *post* φάρυγγα: ἢ καὶ τὴν σταφυλὴν P^x A 17 τοῦ *om.* α, *exc.* L^a 17. 18 *post* ἀναγωγῆς: Γαληνοῦ (*om.* P^x) .διάγνωσις ἐὰν ἀπὸ κεφαλῆς ἐστι τὸ ἀναπτυόμενον αἷμα P^x A 18 ποθὲν ψ 20 ἢ *om.* ω 21 τούτων P^x A ... ω P τῆς ῥινὸς τὸν πόρον P ω 22 καὶ *om.* α, *exc.* L^a 23 τούτων ω 24 *post* προσπεφυκυίας: διάγνωσις τοῦ ἀπὸ τῆς γαστρὸς ἀνεμωμένου αἵματος A ἐξαγαγὼν εἰς αὐγὴν λαμπρὰν ἢ κατ᾽ ἄντικρύς που τὸν πάσχοντα καὶ τρίψας τὸν πόρον τῆς ῥινὸς ἐθεασάμην κτλ. P^x 26. 27 ἢ βδέλλης—συρρέον *om.* A ἢ βδέλλης καταποθείσης *om.* χ μὲν *om.* χ D διὰ τῶν] αὐτῶν ω 27 *ante* σπληνός: τοῦ P^x χ A D ω *post* θρομβῶδες: ἐστι χ D ω 27. 28 ἐμεῖται P^x A P 28 *ante* τὸ: γνώρισμα τοῦ διὰ βδέλλης κατάποσιν ἐκκρινομένου αἵματος P^x A 29 τοῦ *om.* P^x A φαίνεται χ D ω

φερόμενον· ἀλλὰ καὶ ἡ συνεδρεύουσα τοπικὴ ὀδύνη δηλώσει σοι τὸ πεπονθὸς μόριον. εἰ γὰρ ἀπὸ στομάχου γίγνοιτο ἡ ἀναγωγή, οὐ μεγάλη αἱμορραγία γίγνεται· [ἰσχνὰ γὰρ τοῦ στομάχου τὰ ἀγγεῖα σὺν ναυτίᾳ δὲ καὶ ἐμέτῳ ἀναφέρεται, καὶ ἐν τῇ καταπόσει δῆξις γίγνεται, καὶ μάλιστα εἰ στύφοντα ἢ δριμέα εἴη τὰ καταπινόμενα· εἰ δὲ ἐκ τῆς γαστρὸς ἀναφέρεται, ναυτίαι πλεῖσται προσεδρεύουσι καὶ ἔμετοι. εἰ δὲ καὶ μετὰ τροφὴν συμβαίνει ἡ ἀναφορά, συμμεμιγμένον τὸ αἷμα τοῖς σιτίοις ἀναφέρεται, ἐνίοτε καὶ φλέγμα καὶ χολὴ συνεμεῖται. εἰ δὲ ἐκ τοῦ ἥπατος ἢ τοῦ σπληνὸς συρρέοι εἰς αὐτήν, ὄγκος συνεδρεύει· τὸ δὲ ἐκ θώρακος ἢ πνεύμονος ἢ τραχείας ἀρτηρίας ἀναπτυόμενον αἷμα ἀδύνατόν ἐστι χωρὶς βηχὸς ἀναπτυσθῆναι. γίγνεται δὲ ἡ ἐκ τοῦ θώρακος ἀναγωγὴ τοῦ αἵματος ἢ διὰ ῥῆξιν ἢ δι' ἀναστόμωσιν ἢ δι' ἀνάβρωσιν. αἱ μὲν οὖν κατὰ τὸν πνεύμονα ῥήξεις γνωρίζονται ἐκ τοῦ μέγα τι προηγησάμενον αἴτιον φανερὸν εὐθὺς ἐπιγίγνεσθαι τὴν τοῦ αἵματος ἀναγωγήν, λέγω δὲ αἴτιον προηγησάμενον τὴν ἐξ ὑψηλοῦ πτῶσιν ἢ ἐμπεσόντος τῷ θώρακι ἑτέρου τινὸς βαρυτέρου σώματος. ἐνίοις δὲ διὰ κραυγὴν μεγάλην ὁπωσοῦν γιγνομένην ῥῆξις ἀγγείου γίγνεται. ἄνευ δὲ φανερᾶς ἔξωθεν αἰτίας πλῆθος αἵματος σὺν ἀπέπτῳ καὶ φυσώδει πνεύματι διατεῖνον τὰ ἐν τῷ πνεύμονι ἀγγεῖα τὴν ῥῆξιν ἐργάζεται. ἀλλὰ καὶ τῆς διὰ πλῆθος αἵματος γιγνομένης ῥήξεως οὐ σμικρὸν γνώρισμά ἐστι κένωσις αἵματος ἐξαίφνης γιγνομένη ἀθρόως. μεγάλα γὰρ τὰ ἐν τῷ πνεύμονι ἀγγεῖα καὶ ἀρτηριώδη καὶ λεπτὸν καὶ θερμὸν τὸ ἐν αὐτοῖς αἷμα καὶ σφυγματωδῶς τῇ βίᾳ τοῦ πνεύμονος ἢ τοῦ πνεύματος ἐκκρίνεται. τῆς δὲ ἀναστομώσεως αἱ θερμαὶ διαθέσεις προηγοῦνται, οἷον λουτροῖς πολλοῖς θερμοῖς κεχρημένου τοῦ ἀνθρώπου καὶ κατὰ χώραν ὄντος θερμήν, ὥραν τε τοῦ ἔτους ὁμοίαν, ἐδέσμασί τε καὶ πόμασι θερμοῖς χρωμένου. τὸ γὰρ πλῆθος τοῦ αἵματος θερμὸν

9—11 τὸ δὲ ἐκ θώρακος—ἀναπτυσθῆναι *cf. Gal. ib. (ib. 264, 12—13)* 13—21 αἱ μὲν οὖν—ἀθρόως *Gal. ib. (ib. 287, 8—15, 288, 7—8, 17—289, 1)* 24—27 τῆς δὲ ἀναστομ.—χρωμένου | *521, 2—10* οἷς δὲ—αἷμα *Gal. ib. (ib. 289, 1—8; 262, 1—17)*

φ (Lª Pˣ) χ (Mº) ψ (A D P) ω (Aᵗ) 1—9 ἀλλὰ καὶ—ὄγκος συνεδρεύει *om.* Pˣ χ A 3 γίγνεται ἡ αἱμορραγία D ω 5. 6 τῆς γαστρὸς] ταύτης ω 7 καὶ *om.* Lª ἀναγωγή D ω 9 συνεδρεύει *om.* ω *ante* τὸ: διάγνωσις τοῦ ἐκ τῶν ἀναπνευστικῶν ἀναπτυομένου αἵματος Pˣ A 11 *post* ἀναπτυσθῆναι: αἰτίας δι' ἃς ἐκ θώρακος ἀνάγεται αἷμα A 13 *ante* αἱ: διάγνωσις τοῦ ἀπὸ τοῦ πνεύμονος διὰ ῥῆξιν ἀνάγοντος αἷμα Pˣ A 14 μέγα] μετὰ D ω τινὸς προηγησαμένου αἰτίου ω φανερὰν χ D ω ἐπιγνῶσθαι ω 15 δὴ P ω προηγησάμενον αἴτιον D ω ἐξ *om.* ω 16 ἐμπεσόντα Pˣ P ω 18 αἰτίας ἔξωθεν ω 18—19 πλῆθος—πνεύματι *om.* ω 19 τὰ *om.* ω 20 *ante* ἄλλα: διάγνωσις τῆς διὰ πλῆθος γιγνομένης ἀναγωγῆς (τοῦ Pˣ) αἵματος Pˣ A τῆς *om.* ω πλήθους ω 20—21 ῥήξεως—γιγνομένη *om.* Lª 21 *ante* ἀθρόως: καὶ P *(Ald.)* 22—23 θερμὸν καὶ λεπτὸν Pˣ χ A P 23 αὐτῷ χ A D ω τοῦ πνεύμ. ἢ *om.* ω 24 πνεύματος] πνεύμονος ω *ante* τῆς: διάγνωσις τῆς (τῆς *om.* A) δι' ἀναστόμωσιν γιγνομένης ἀναγωγῆς τοῦ αἵματος Pˣ A περὶ ἀναστομώσεως D ω 25 θερμοῖς (καὶ Pˣ) πολλοῖς (θερμοῖς *ante* λουτροῖς *transp.* D ω πολλοῖς *om.* P) α *(Gal.)*, *exc.* Lª 26 χώραν ὄντος] χρένοντα ω θερμὴν] θερμοῖς ω ὥρα τε] ὁρᾶται ὧ 27 χρώμενος Pˣ A

ὑπάρχον διανοίγει καὶ ἀνευρύνει τῶν ἐν τῷ πνεύμονι ἐμβαλλόντων ἀγγείων τὰ στόματα, καὶ οὕτως ἀθρόαν τὴν κένωσιν ἐργάζεται. οἷς δὲ ἐξ ἀναβρώσεως τῶν ἐν τῷ πνεύμονι ἀγγείων γίγνεται τοῦ αἵματος κένωσις ἐκ διαλειμμάτων ὀλίγων ἑκάστοτε μετὰ βηχὸς ἀναπτύεται. αὕτη δὲ ἡ τῶν ἀγγείων διάβρωσις γίγνεται ἀπὸ χυμῶν δριμέων, εἴτε ἀπὸ κεφαλῆς ἐπιρρεόντων τῷ πνεύμονι, εἴτε ἐν αὐτῷ γιγνομένων. ἐγχωρεῖ δὲ καὶ κατὰ διάβρωσιν γίγνεσθαι πολλάκις αἵματος ἀθρόαν ἀναφορὰν μετὰ βηχός. ὅταν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις, ὡς εἴρηται, ἐκ διαλειμμάτων ὀλίγον ἑκάστοτε μετὰ βηχὸς ἀνεπτωκώς τις αἷμα φαίνηται, μετὰ δὲ ταῦτα ὕστερον μήτε καταπτώσεως γενομένης μηδὲ ἑτέρου τινὸς ἔξωθεν αἰτίου βιαίου προσπεσοντος, αἱμορραγίαν πολλὴν γίγνεσθαι συνέβη, μεγάλη γέγονεν ἡ ἀνάβρωσις. πολλοὶ δὲ τῶν οὕτω παθόντων μόρια ⟨ἄττα⟩ τοῦ πνεύμονος ἅμα τῷ αἵματι συνανήνεγκαν ἢ ἐφελκίδα τοῦ ἕλκους, ὡς λανθάνειν ἀδύνατον, ὅτι δι' ἀνάβρωσίν ἐστιν ἡ ἀναγωγή. καὶ διὰ τοῦτο προσήκει κατανοεῖν ἀκριβῶς, εἰ ἀφρῶδές ἐστι τὸ αἷμα· καὶ γὰρ καὶ τοῦτο βεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ ⟨τοῦ⟩ πνεύμονος ἀναγωγῆς, ὥσπερ ὅταν βρογχίου τι μέρος ἢ ἀρτηρίας χιτῶνος ἢ φλεβὸς συναναφέρηται. τούτων γὰρ οὐδὲν ἐπιφαίνεται τοῖς ἐκ τοῦ ὑπεζωκότος τὸν θώρακα ὑμένος ἀναπτύουσιν αἷμα· μέγιστον δὲ καὶ τοῦτο γνώρισμα τῆς ἐκ τοῦ πνεύμονος ἀναγωγῆς, ὅτι παντάπασι χωρὶς ὀδύνης γίγνεται. τὸ δὲ ἐξ ἄλλων μερῶν τοῦ θώρακος ἀναγόμενον αἷμα μελάντερόν ἐστι καὶ ἤδη θρομβούμενον καὶ μετ' ὀδύνης ἀναβήττεται τοῦ πάσχοντος μέρους καὶ βρομῶδες, ἐνίοτε δὲ καὶ συμμεμιγμένον τῷ πύῳ ἀναφέρεται. ἀλλὰ τοῦτο κοινόν. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἕλκους γενομένου, βραχύτατόν ἐστι τὸ ἀναπτυόμενον αἷμα καὶ πάντως συμμεμιγμένον ἐλαχίστῳ πύῳ καὶ ὀδύνης δὲ αἴσθησις γίγνεται τῷ πάσχοντι κατὰ τὸ ἡλκωμένον μέρος τῆς τραχείας ἀρτηρίας. εἰ δὲ ἀπὸ κεφαλῆς φέρεται

12—14 πολλοὶ—ἀδύνατον *Gal. ib. (ib. 281, 8—10)*

φ (L^a) P^x) χ (M^o) ψ (A D P) ω (A^t) 2 ἀθρόως P^x P *ante* οἷς: διάγνωσις τῆς δι' ἀνάβρωσιν γιγνομένης ἀναγωγῆς τοῦ αἵματος P^x A 3 τῷ *om.* L^a A P 4 ὀλίγων *om.* ω ἑκάστῳ ω 5 ἀπὸ] ὑπὸ D P 6—8 εἴτε ἐν—χρόνοις ὡς *om.* ω γεννώμενον χ γενομένων A γεννωμένων P 7 δὲ] γὰρ L^a γενέσθαι P 9 ὀλίγων P^x ψ *om.* ω μετὰ βηχὸς *om.* P ἀναπεπτοκὼς P^x ἀναπτικὸς χ ἀνεπτυκὸς A 10 μήτε] μηδὲ P^x χ A D ω γενομένης *om.* D ω 11 μηδὲ] μήτε χ P αἰτίου *om.* P^x A 12 γενέσθαι D P *(Gal.)* συμβῇ D P *(Gal.)* μεγάλως ω γίνεται D P 13 μόριον P μορι L^a ἄττα *addidi ex Gal.* 14 συνανηνέγκωμεν ω ὡς *om.* ω 15 διὰ βρώσεως ω 16 *ante* καὶ γὰρ: σημεῖον τοῦ ἐκ τοῦ πνεύμονος εἶναι τὸ ἀναπτυόμενον αἷμα P^x A βεβαιότερον φ A 17 ἐστι *om.* D ω τοῦ *addidi ex Gal.* 17—20 ἀναγωγῆς—τοῦ πνεύμονος *om.* χ *ante* ὅταν: γὰρ ω 19 ὑμένος τὸν θώρακα ω 19 τοῦτο *om.* ω 21 ἀγωγῆς L^a γίνηται L^a 21—23 γίγνεται—μετ' ὀδύνης *om.* ω *ante* τὸ: σημεῖα (...ον P^x) τοῦ ἐξ ἄλλων μερῶν τοῦ θώρακος ἀναγομένου αἵματος P^x A 23 ἀναβητ.] ἅμα βήτ. L^a 24 πτύω ω 25 *ante* κατὰ: σημεῖα (... ον P^x) τοῦ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ εἶναι τὸ ἕλκος P^a A 26 συμμεμιγμένῳ P^x A ω 27 πτύω ω 28—*p. 523, 2* εἰ δὲ ἀπὸ κεφαλῆς—τὰ χωρία *om.* L^a χ *ante* εἰ: σημεῖα (...ῖον P^x) δι' ὧν ἀπὸ κεφαλῆς φέρεται τὸ αἷμα P^x A ἄλλο περὶ ἀπὸ κεφαλῆς ω εἰ] ὅταν P^x A

τὸ αἷμα, ἐπὶ μὲν πολλῷ αἵματι βάρος πολὺ τῆς κεφαλῆς ἢ πόνος, ἐπ᾽ ὀλίγῳ δὲ τῷ αἵματι ὀλίγον, ὤτων ἦχος ἀναλόγως τῷ πλήθει, ἐρύθημα προσώπου, φλεβῶν τῶν ἐν τῷ μετώπῳ διάτασις, σκοτοδινία. καὶ πρὸ τούτων ἡ αἰτία εὔδηλος, πληγὴ ἢ ψῦξις ἢ ἔγκαυσις ἢ οἰνοφλυγίη. ἡ γὰρ οἰνοποσία ἀθρόον μὲν πίμπλησι τὴν κεφαλήν, ἀθρόον δὲ ἐκχέει ἐκ ῥαγέντος ἀγγείου· ἐπὶ δὲ σμικρῇ μέθει ὀλίγη πτῦσις αἵματος καὶ συνήθης δὲ ἔκκρισις αἵματος διὰ ῥινῶν γινομένη ἐπέχεταί ποτε καὶ εἰς τὴν ὑπερῴαν τρεπομένη φαντασίαν παρέχει, ὡς ἐκ θώρακος ἀναγομένου. εἰ μὲν οὖν ἀπὸ κεφαλῆς φέροιτο, γαργαλισμὸς τῆς ὑπερῴας γίνεται καὶ ἀνάχρεμψις πυκνὴ καὶ οὕτως ἀναπτύουσιν· ἐρεθίζονται γὰρ πρὸς βῆχα καὶ οὐ πάνυ βήσσουσιν. εἰ δὲ ἀπὸ τῆς ὑπερῴας καταστάζει εἰς τὴν τραχεῖαν ἀρτηρίαν, τότε βήσσουσι καὶ ἀνάγουσι τὸ κατενεχθὲν καὶ ἐκ τούτου ἀπατώμενοί τινες οἴονται ἐκ θώρακος εἶναι τὴν ἀναγωγήν· καταῤῥεῖ δὲ ἔσθ᾽ ὅτε εἰς τὴν γαστέρα διὰ τοῦ στομάχου ἀπὸ κεφαλῆς καὶ ἀνεμεῖται καὶ νομίζεται ἀπὸ τοῦ στομάχου εἶναι, ἔχει δὲ τὴν ἰδέαν τὸ ἀπὸ κεφαλῆς αἷμα τοιαύτην· οὐ πάνυ παχὺ τὴν χρόαν δέ ἐστι, μέλαν καὶ λεῖον ὁμαλόν, ἀμιγὲς ἑτέρῳ τινί, λέγω δὲ πύῳ ἢ φλέγματι καὶ χρεμπτομένοις εὐθὺς ἐπὶ τὴν γλῶσσαν ἔρχεται στρογγύλον καὶ ῥᾳδίως ἀποπτύεται. εἰ δὲ καὶ τὴν ὑπερῴαν κατανοήσειας, δασυτέραν αὐτὴν καὶ ὥσπερ ἡλκωμένην εὑρήσεις καὶ ὡς ἐπὶ τὸ πολὺ ὕφαιμον διὰ τὸ ἀπὸ κεφαλῆς εἰς αὐτὴν καταρρέον αἷμα. ἀρκεῖ δὲ ἡ ἁπλουστέρα καὶ μικρὰ θεραπεία· στύμματα μὲν δι᾽ ἀναγαργαρισμάτων προσαγόμενα τῇ ὑπερῴᾳ καὶ ταῦτα ψυχρά. ἐπὶ μὲν γὰρ τοῖς θερμοῖς καὶ ἀραιωτικοῖς ἀναγαργαρίσμασι πλείων ἡ αἱμορραγία συμβαίνει καὶ τοῦτο τεκμήριόν ἐστι μετὰ τῶν ἄλλων τῆς ἀπὸ κεφαλῆς πτύσεως. εἰ μὲν οὖν ἀπὸ κεφαλῆς φέροιτο καὶ πολὺ εἴη τὸ φερόμενον καὶ χρεία κενώσεως, θᾶττον διὰ ῥινῶν ἢ δι᾽ ἑτέρων φλεβοτομιῶν τὴν κένωσιν ποιῆσαι, ἵνα μὴ ἀμε-

φ (P^x) ψ (A D P) ω (A^t) 1 πολλῷ] τῶ πολεῖ D τῶ ω *ante* αἵματι: κἀκ τούτου τῶ P^x 2 ἐπὶ δὲ, *om.* τῶ P^x A D ω ὀλίγος A P ἦχοι P^x A D ω πάθει D ω 3 τῷ *om.* P διατάσιες P^x A διασεῖαι ω σκοτόδινοι P^x ω . . . νον A 4 ἡ *om.* P *supra scr. m. 1ª* D πληγῶν ω ἔκκαυσις ω 5 ἡ] οἱ ω οἰνοποσίη A . . . πόσιοι ω ἀθρόων *alt.* P^x ω 6 *ante* ἐκχέει: καὶ P^x A ω σμικρᾶ D . . . ῶ P ὀλίγαι πτύσεις ω 7 ἔκκρυσις D ω γινομένη *om.* P^x A ω 9—13 ἀναγομένου—οἴονται ἐκ θώρακος *om.* ω 10 ἀποπτύουσιν D P 11 *ante* βήσσουσιν: καὶ P^x A 14 ἔσθ᾽ ὅτε *post* γαστέρα *transp.* D *om.* P 15 τοῦ *om.* P^x A ω 16 τὴν] τινα P^x A εἰδέαν, ἰδ. α τὸ *om.* ω τοιαύτην] ἐστὶ δὲ P^x 17 ἐστὶ γὰρ A δέ ἐστι *om.* P^x A ω καὶ *om.* P^x A ω λίαν D P 18 *ante* τινὶ: δὲ ω πύω λέγω D P λέγω πύω ω ὑπὸ D P ω 19 ἀνέρχεται P^x A ἀπολύεται P^x A 20 αὐτὴν *post* ἡλκωμένην *transp.* P^x A ω 21 τὸ *pr. om.* P^x A ω διὰ τὸ] (καὶ A) δι᾽ αὐτῆς P^x A εἰς αὐτὴν καταρρέον] καταφέρεσθαι D P 22 *ante* ἀρκεῖ: ἴασις δὲ τοῖς ἀπὸ κεφαλῆς φέρουσι τὸ (τὸ *om.* AD) αἷμα P^x A D ω δὲ *om.* P^x A D ω θεραπεία *om.* A D στύμματος P^x μὲν] δὲ D ω *om.* P^x 24 πλέον P^x A πλεῖον (ω *supra scr.*) D πλεῖον ω ἡ *supra scr.* D *om.* P^x A ω 25 συμβαίνει *om.* P^x A ω τεκμήριον—ἄλλων] σημεῖον A P^x 26 πτύσεως] στύψεως P^x A 27 καὶ χρεία κενώσεως *om.* D P θᾶττον *om.* P^x A ω 28 φλεβοτομεῖν τάχιον P^x A ω τὴν κένωσιν ποιῆσαι] δεῖ κενῶσαι ω *om.* P^z A ποιῆσαι δεῖ *supra scr. m. 2ª ut vid.* D ἀμεληθὲν] μελέτη καὶ P^x ψ

ληθὲν ἔθος γένηται τῇ φορᾷ τοῦ αἵματος εἰϲ ταῦτα καταρρεῖν τὰ χωρία.

ξς Θεραπεία τῶν ἀπὸ τοῦ κατάρρου αἷμα πτυσάντων Γαληνοῦ. Τοὺϲ μὲν οὖν ἀπὸ κατάρρου πτύσαντας αἷμα, φλέβα τέμνων εὐθὺϲ ἐν ἀρχαῖϲ ἢ κλύσματι δριμεῖ χρηϲάμενος καὶ κενώϲας τὴν κοιλίαν, εἶτα τρίψας τὰϲ χεῖρας καὶ τὰ σκέλη ἐπὶ πλεῖϲτον ἅμα φαρμάκῳ τινὶ θερμαίνοντι καὶ διαδήϲας τὰ ἄκρα, ἔπειτα ξυρήϲας τὴν κεφαλήν, ἐπιτίθει τὸ διὰ τῆϲ κόπρου τῶν ἀγρίων περιϲτερῶν φάρμακον, ὡρῶν τε τριῶν μεταξὺ γενομένων ἐπὶ τὸ βαλανεῖον ἄγαγε καὶ λούϲας ἄνευ τοῦ ψαῦϲαι λίπουϲ τῆϲ κεφαλῆϲ, εἶτα ϲκεπάϲας αὐτὴν ϲυμμέτρῳ πίλῳ, τρέφε ῥοφήματι μόνῳ τῶν αὐϲτηρῶν ὀπωρῶν ἔχοντι, εἶτα ὑπνοῦν μέλλοντι τῆϲ διὰ τῶν ἐχιδνῶν θηριακῆϲ Ἀνδρομάχου δίδου νεωϲτὶ κατεϲκευαϲμένηϲ καὶ τῇ ἑξῆϲ ἡμέρᾳ τὰ ἄλλα πάντα μέρη τοῦ ϲώματοϲ τρίψαϲ, πλὴν τῆϲ κεφαλῆϲ καὶ ἐν ἡϲυχίᾳ φυλάξαϲ αὖθιϲ εἰϲ ἑϲπέραν δίδου τῆϲ θηριακῆϲ. ϲταλέντοϲ δὲ ἐπὶ τούτων τοῦ κατάρρου τῇ τρίτῃ τῶν ἡμερῶν ἕωθεν δίδου μέλιτοϲ ὀλίγου ἡψημένου ἐφ᾽ ἡϲυχίαϲ τε φύλαττε καὶ πᾶν ἀνάτριβε τὸ ϲῶμα, τροφήν τε δίδου πτιϲϲάνηϲ χυλὸν καὶ ἄρτον βραχὺν διάβροχον, κἄπειτα τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθεν μὲν τοῦ δι᾽ ἐχιδνῶν φαρμάκου πάλιν δίδου ἅμα πλείϲτῳ μέλιτι, τῇ τε κεφαλῇ τοῦ διὰ τῆϲ κόπρου τῶν περιϲτερῶν φαρμάκου πάλιν ἐπιθείϲ, εἶτα λούϲαϲ καὶ θρέψαϲ μετρίωϲ δίδου τῇ πέμπτῃ τῶν ἡμερῶν τὰ ϲφοδρῶϲ ἀνακαθαίρειν δυνάμενα τὰ κατερρυηκότα εἰϲ τὸν πνεύμονα ὑγρά· εἶτ᾽ αὖθιϲ ἐκ διαλειμμάτων χρῶ κατὰ μὲν τῆϲ κεφαλῆϲ κηρωτῇ διὰ θαψίαϲ ἐϲκευαϲμένῃ, τὴν δὲ ὅλην τοῦ ϲώματοϲ ἐπιμέλειαν ἀναθρεπτικὴν ποιοῦ.

ξζ Περὶ τῶν ἐπὶ ψύξει τῶν ἀναπνευϲτικῶν αἷμα πτυϲάντων Γαληνοῦ. Τοὺϲ δὲ ἐπὶ ψύξει τῶν ἀναπνευϲτικῶν ὀργάνων ῥαγέντων τῶν ἐν τῷ

3—25 Τοὺϲ μὲν οὖν—ποιοῦ *Gal. de meth. med. V 13 (X 368, 16—17, 369 10—370, 3, 11—371, 11) Or.*^{a} *IX, 1 (273, 3—22)* τοὺϲ μέν—θηριακῆϲ *(12) Paul. III 31 (I 213, 24—26, 214, 1—5)* *27—p. 524, 20* τοὺϲ δὲ—θεραπεύειν *Gal. ib. (ib. 371, 15—373, 2)* τοὺϲ δὲ—ἕλκοϲ *(524, 21) Or.*^{a} *ib. (273, 22—274, 15)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 γίγνεται P^x . . . ηται A αὐτὰ P^x A καταρρεῖν *om.* P^x A ω 3 τῶν *om.* ω τοῦ *om.* α, *exc.* L^a Γαληνοῦ *om.* L^a χ ω 4 οὖν *om.* P^x A P ω αἷμα πτύϲαντοϲ ω φλεβοτομεῖν ω τέμνειν P^x A τεμὼν χ D P 5 ἢ *om.* ω 7 *ante* θερμαίνοντα *(sic)*: λεπτύνοντα καὶ ω ξυρήϲαϲ, ξηρ., . . . ρίϲαϲ, . . . υρίϲαϲ α 9 *ante* μεταξὺ: ἐν τῶ D P γιγνομ. (γινομ.) P^x χ 10 τὴν κεφαλὴν D P αὐτὴν *om.* ω πηλῶ χ πολλῶ ω πτύγματι P^x A 11 μόνον L^a χ 12 τὴν . . . . θηριακὴν D P 13 πάντα *om.* ω 15 τὴν θηριακὴν D P τούτον D P του$^{τ'}$ ω 16 μέλιτοϲ] μάλιϲτα P^a A μέλι ὀλίγον D P ἑψήματοϲ P^x A τε] δὲ ω *om.* A 17 τε] δὲ P^x A D ω 18 βραχὺν] ὕδατι βραχεῖ D P διάβροχον *om.* ω 19 μὲν] μετὰ ω 20 τε *om.* ω τὸ . . . . . φάρμακον D P πάλιν *om.* D P ω 21 ἐπιτιθεὶϲ P^x χ A ω ἐπιτίθει D P 23 *post* ἐκ: τῶν ω 25 ποιοῦ *om.* ω 26 *ante* περὶ: ἑτέρα διαίρεϲιϲ τοῦ ἐπὶ κατάρρου πτύϲαντοϲ αἷμα. τοὺϲ μὲν ἐπὶ κατάρρου πτύϲανταϲ αἷμα αὐτίκα φλεβοτομεῖν, εἰ μὴ λίαν εἴη δριμὺ τὸ κατάρρουν κτλ. P^x Γαληνοῦ *om.* A ω

πνεύμονι ἀγγείων αἷμα πτύσαντας φλεβοτομήσεις παραχρῆμα καὶ ἐπαφαιρήσεις δεύτερον κατὰ τὴν αὐτὴν ἡμέραν. καὶ κατὰ τὴν ἑξῆς δευτέραν ὁμοίως κατὰ βραχὺ δηλονότι κένωσιν ποιούμενος, ἵνα ἀντίσπασις γένηται· τούτου γὰρ ἕνεκα καὶ ἡ φλεβοτομία παραλαμβάνεται. εἶτα τρίψει τῶν ἄκρων, ὡς εἴρηται, χρησάμενος καὶ διαδέσμοις δίδου εἰς ἑσπέραν τοῦ διὰ σπερμάτων τροχίσκου. τῇ δὲ δευτέρᾳ τῶν ἡμερῶν μετὰ τὴν ἐπαφαίρεσιν ἐπιθεὶς παντὶ τῷ θώρακι τὴν διὰ τῆς θαψίας κηρωτήν, εἶτα ἄρας αὐτὴν εἰς ἑσπέραν, ὅπως μὴ θερμανθῇ περαιτέρω τοῦ προσήκοντος, δίδου πάλιν τοῦ διὰ τῶν σπερμάτων τροχίσκου. τῇ δὲ τρίτῃ πάλιν ἐπιτιθεὶς τὴν διὰ τῆς θαψίας κηρωτὴν ὥραις τρισὶ πάλιν λοῦε τὸν ἄνθρωπον, τροφὴν δὲ δίδου τὰς μὲν πρώτας δύο ἡμέρας ῥοφήματα, τῇ δὲ τρίτῃ πρὸς τῷ χυλῷ τῆς πτισσάνης δίδου τῶν ἰχθύων τινὰ τῶν εὐπέπτων καλῶς ἠρτυμένων, παρέχων πάλιν εἰς κοίτην τοῦ διὰ τῶν σπερμάτων τροχίσκου· ὑπνοποιὸν γάρ ἐστι καὶ ἀνώδυνον καὶ ξηραῖνον. τῆς δὲ φλεγμονῆς τῶν ῥαγέντων ἀγγείων παυσαμένης καὶ τῶν μορίων ἐν εὐκρασίᾳ γενομένων, τὰ ἀνακαθαίροντα τὸν θώρακα διδόναι μετὰ τοῦ κεχρῆσθαι τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ, εἶτα τῇ γαλακτοποσίᾳ καὶ τῇ ἄλλῃ τροφῇ κέχρησο. οὕτως <μὲν> τοὺς κατ᾽ αὐτὴν τὴν <πρώτην> ἡμέραν ἑαυτοῖς ἐγχειρίσαντας σὺ δυνήσῃ θεραπεύειν· οὐ μὴν ὁμοίως γε τοὺς μετὰ β ἢ γ̄ ἡμέρας <ἅπαντας>, ἔνιοι γὰρ ἐξ αὐτῶν ἀνίατον ἔχουσι τὸ ἕλκος, μάλιστα ὅσοι διὰ κακοχυμίαν εἰσὶν ἀναβρωθέντες, ὧν ἔνιοι καὶ τοῦ σιάλου, φασίν, ὡς ἅλμης αἰσθάνεσθαι.

ξη Θεραπεία τῶν καθ᾽ ὁντιναοῦν τρόπον ἐκ τοῦ πνεύμονος αἷμα ἀναγόντων Γαληνοῦ. Χαλεπωτέραν δὲ ἔχει τὴν θεραπείαν τὰ ἐν τῷ πνεύμονι συνιστάμενα ἕλκη, ἐπιχειρεῖν δὲ τῇ θεραπείᾳ καθάπερ ἡμεῖς <πολλάκις ἐπιχειρήσαντες ὀλιγάκις ἀπετύχομεν>. αὐτῷ μὲν οὖν τῷ

25—*p. 525, 21* χαλεπωτέραν—ὄξους *Or^a ib. (ib. 274, 15—29)* 27—*p. 525, 3* αὐτῷ—ἕνεκα *Gal. ib. V 8 (X 341, 9—12)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 φλεβοτομήσας P^x A . . . εῖν ω ἀφαιρήσει D . . . ρέσει ω 2 κατὰ τὴν—δευτέραν *om.* ω δεύτερον P^x A 3 ποιουμένους P ω 5 τρίψεις L^a 6 τὸν . . . . τροχίσκον D P τῶν . . . τροχίσκων ω σπέρματος D P *post* τροχ.: ἐστὶ δὲ ἡ σκευασία αὐτοῦ τοιάδε· ἀνίσου λι ᾱ ἄμεως 𐅵 γ̄ μαράθρου σπόρου κτλ. P^x δὲ *om.* L^a 7 τῆς *om.* χ D 8 θερμανθεῖεν α, *exc.* L^a D 9 τὸν . . . . τροχίσκον D P τοὺς . . . . . τροχίσκους ω 10 τῆς *om.* φ A D πάλιν *om.* ω 12 ῥοφήματος P^x . . . τι ω 13 ἠρτημένων P^x A ἠρτισμένων ω πάλιν *om.* L^a 14 τὸν . . . . τροχίσκον D P τοὺς . . . . . τροχίσκους ω τῶν *om.* P^x A σπέρματος P^x A ὑπνοποιὸς . . . . ἀνώδυνος (P^x ω) . . . . ξηραίνων χ D P 18 μὲν *add. ex Or.* 19 πρώτην *add. ex Or.* ἑαυτ.] ταῦτα L^a ταύτας χ με<τὰ> ταῦτα A *om.* D P ἐγχειρήσαντος L^a σου L^a σοι χ D P *om.* A δυνήσει A ω 20 ἅπαντας *add. ex Or.* 21 διὰ *om.* ω 22 εἰσὶν *om.* P^x χ A ω *post* ἔνιοι: μὲν ω 23 αἰσθάνεται χ . . . νονται ω 24 *ante* θεραπεία: ἑτέρα διαίρεσις τῶν ἐπὶ ψύξει τῶν ἀναπνευστικῶν αἷμα πτυσάντων, τῶν δὲ διὰ ψῦξιν αἷμα πτυόντων θερμαντέον αἷμα τοῖς ξηραίνουσι τὸν θώρακα κτλ. P^x καθ᾽ ἕτερον ὁντιναοῦν χ D P καθ᾽ ὅντινα οὖν A 25 Γαληνοῦ *om.* α, *exc.* φ τῷ *om.* ω 26 *post* δὲ: δεῖ D P πολλάκις—ἀπετύχομεν *add. ex Gal.* 27 αὐτῷ] οὕτως (. . . ω) φ χ A οὖν] καὶ ω

κάμνοντι προστάξαι χρὴ μήτε ἀναπνεῖν μέγα καὶ ϲιωπᾶν ἀεί· τέμνειν δὲ αὐτίκα φλέβα τὴν ἔνδον κατ᾽ ἀγκῶνα καὶ ἐπαφαιρεῖν δίϲ που ἢ τρὶϲ κατὰ βραχύ, ἀντιϲπάϲεωϲ μόνηϲ ἕνεκα. οὐ γὰρ κενώϲεωϲ δέονται οὗτοι κενούμενοί γε ὑπὸ τοῦ πάθουϲ. διὰ τοῦτο καὶ τρίβειν χρὴ καὶ διαδεϲμεῖν ὅλα τὰ κῶλα πλατέϲιν ὀθονίοιϲ. ἐπειδὰν δὲ ταῦτα πραχθείη, πρῶτον μὲν ὀξύκρατον ὑδαρέϲ τε καὶ χλιαρὸν διδόναι πιεῖν, ὅπωϲ εἴ τιϲ εἴη θρόμβοϲ ἐν τῷ ϲπλάγχνῳ διαλυθεὶϲ ἐκβληθείη, καὶ τοῦτο οὐδὲν κωλύει καὶ δὶϲ καὶ τρὶϲ ἐν ὥραιϲ τριϲὶν ἐργάϲαϲθαι. μετὰ δὲ ταῦτα διδόναι τι τῶν ἐμπλαττόντων τε ἅμα καὶ ϲτυφόντων φαρμάκων, ἤτοι δι᾽ ὑδαροῦϲ ὀξυκράτου τὴν πρώτην ἡμέραν ἢ δι᾽ ἀφεψήματοϲ μήλων ἢ μύρτων ἤ τινοϲ ἄλλου τῶν ϲτυπτικῶν· εἰϲ ἑϲπέραν τε πάλιν ὁμοίωϲ διδόναι τὸ φάρμακον ἀπεχομένοιϲ πάϲηϲ τροφῆϲ, ἐὰν ἰϲχυρὰ εἴη ἡ δύναμιϲ, εἰ δὲ μή, ῥόφημα αὔταρκεϲ διδόναι· κάλλιϲτον δὲ καὶ κατὰ τὴν δευτέραν ἡμέραν ἐπαφαιρεῖν αὖθιϲ ὀλίγον τοῦ αἵματοϲ ἀπὸ τῆϲ τετμημένηϲ ἐν τῷ ἀγκῶνι φλεβόϲ, ἐὰν ἰϲχυρὰ εἴη ἡ δύναμιϲ, καὶ τροφαῖϲ καὶ φαρμάκοιϲ ὡϲαύτωϲ χρῆϲθαι, μέχρι τῆϲ τετάρτηϲ, ἐπιβρέχονταϲ ἐν κύκλῳ τὸν θώρακα, θέρουϲ μὲν οἴνῳ καὶ μηλίνῳ καὶ ῥοδίνῳ, χειμῶνοϲ δὲ μύρῳ ναρδίνῳ. εἰ δὲ καὶ τῶν ἐμπλάϲτρων τινὶ χρήϲαϲθαι βούλοιο φαρμάκων, κάλλιϲτον ἂν ἔχοιϲ τὴν ἡμετέραν, ἣν καλοῦμεν βαρβάραν. ποιοῦϲι δὲ καὶ αἱ λοιπαὶ αἱ δι᾽ ἀϲφάλτου καὶ ὄξουϲ καὶ πίϲϲηϲ ϲκευαζόμεναι καὶ μάλιϲτα ἡ διὰ ἰτεῶν καὶ ἡ δι᾽ αἱρῶν. τὸ γάρ τοι μέγιϲτον τοῦτ᾽ ἐϲτιν, ᾧ πάνυ προϲέχειν ϲε χρὴ τὸν νοῦν, εἰ παραχρῆμα τῆϲ ῥήξεωϲ τῶν ἀγγείων γενομένηϲ, ὑπάρξαιϲ τῆϲ θεραπείαϲ, ὡϲ ἔναιμον κολληθῆναι τὸ τραῦμα πρὶν ἄρξαϲθαι φλεγμαίνειν. εἰ γὰρ φλεγμαίνειν φθάϲειεν, ὀλίγη μὲν ἐπὶ τοῦ κολληθῆναι τὸ τοιοῦτον ἡ ἐλπίϲ, εἰϲ χρόνον δὲ ἐκπίπτει πλείονα· ἐκπλύνειν γὰρ χρὴ δηλονότι τό τε πῦον καὶ τοὺϲ ἰχῶραϲ τοῦ ἕλκουϲ, λυομένηϲ τῆϲ φλεγμονῆϲ, καὶ ὡϲ ἐπὶ φθιϲικῶν λοιπὸν ποιεῖϲθαι τὴν θεραπείαν. [Ἀρχιγένουϲ· ὅϲαι δὲ ἀπὸ ϲτομάχου ἢ τῆϲ γαϲτρὸϲ ἀναγωγαὶ τοῦ αἵματοϲ ἐμετώδειϲ εἰϲὶ. τέμνειν οὖν χρὴ τὴν ἐν ἀγκῶνι τὴν ἄνω φλέβα ὠμιαίαν καλουμένην· κἂν ἐξ ἥπατοϲ ᾖ τὸ εἰϲ αὐτὴν ϲυρρέον,

4—21 διὰ τοῦτο—ὄξουϲ *Gal. ib. (ib. 341, 12—342, 14)* 22—28 τὸ γάρ τοι—φλεγμονῆϲ *Gal. ib. (ib. 343, 2—7, 8—11)*

φ (Lª Pˣ) χ (Mº) ψ (A D P) ω (Aᵗ) 3 μόνηϲ *om.* ω ἕνεκα] χάριν ω 4 οἱ τοιοῦτοι ω γε] γὰρ Pˣ A *post* πάθουϲ: πλέον ἁλίϲκονται A χρῶνται ἢ ω 5 πραχθῇ Pˣ χ A ω 6 τε *om.* ω 7 ἢ D P ἐκβληθῇ χ D 8 ἐργάζεϲθαι ω 10 ἑψήματοϲ Pˣ A 11 εἰϲ] ἐπὶ D P τε] δὲ Pˣ ω 12 ἀπεχόμενον Pˣ χ . . . μένουϲ D P . . . . χόμενοϲ ω . . . . έχομεν A 13 κατὰ *om.* ω 16. 17 ἐπιβρέχοντεϲ Pˣ χ A ω 18 χειμῶνι Pˣ *(Ald.)* 19 βούλει D P φάρμακον χ D P ω 19. 20 ἣν καλοῦμεν] καλουμένην ω καλοῦϲι Lª 20 βάρβαρον D P ω *post* βαρβάραν: ἐϲτὶ δὲ ἡ ϲκευαϲία αὐτῆϲ τοιάδε· ϲιδίων ἀριϲτολοχίαϲ κηκίδων λιβάνου ϲτυπτηρίαϲ κτλ. Pˣ αἱ *alt. om.* χ D P 21 ἰτεῶν] ἑτέρων ω *post* ἰτεῶν: καὶ προεγράφη πρὸ μικροῦ Pˣ 22 ϲε χρὴ *om.* ω 25 φθάϲει Lª τοῦ] τὸ Pˣ A ω τῷ D P 26 τὸ] τοῦτο Pˣ τούτω A τοιούτων A 28 ποιεῖϲθαι λοιπὸν ω 29—*p. 526, 10* Ἀρχιγένουϲ—κεκτημένα *om.* φ χ A *delevi* Ἀρχιγένουϲ *om.* D P 30 οὖν] γὰρ ω

εἰ δὲ ἀπὸ cπληνὸc εἴη τὸ αἷμα, ὅπερ διαγνώcειc ἐκ τοῦ cυνεδρεύοντοc περὶ τὸν cπλῆνα ὄγκου, τὴν μεταξὺ μικροῦ καὶ παρὰ μέcον δακτύλου τῆc ἀριcτερᾶc χειρὸc φλέβα τέμνων, καλῶc καὶ οἰκείωc βοηθήcειc· ἀλλὰ καὶ τὰc τροφὰc καὶ τὰ πόματα ἐπὶ τῶν ἀπὸ γαcτρὸc δι᾽ ἐμέτων χωρὶc βηχὸc ἀναγόντων αἷμα, μᾶλλον cτυφούcαc καὶ ψυχούcαc δοτέον, μὴ μέντοι cφόδρα τὰc ἐνεργείᾳ ψυχράc· πληγαὶ γὰρ ἐγγίγνονται ἐκ τοῦ πάνυ ψυχροῦ. ἀρκεῖ δὲ τὸ μὴ θερμὰ προcενεγκεῖν μήτε πλάδου ἐμποιητικά. κρηναῖον οὖν διδόcθω τὸ πόμα καὶ μὴ πάνυ ψυχρὸν καὶ πλῆθοc cύμμετρον καὶ τὰ cιτία ὀλίγα ὁμοίωc ψυχρὰ cυμμέτρωc καὶ cτύψιν κεκτημένα].

ξθ Κοιναὶ μέθοδοι τῆc προcαγωγῆc τῶν βοηθημάτων ἐπὶ ἑκάcτου εἴδουc τῆc τοῦ αἵματοc ἀναγωγῆc μετὰ τὴν τοῦ αἵματοc ἐποχήν. Πρῶτοc μὲν οὖν κίνδυνόc ἐcτι τῆc τοῦ αἵματοc ἀναγωγῆc κατ᾽ αὐτὴν τὴν ἄμετρον κένωcιν, ἡ δὲ μετὰ τὴν ἐποχὴν τοῦ αἵματοc θεραπεία, τῆc μὲν κατὰ τὴν ἀναcτόμωcιν ἀγγείου γιγνομένηc ἐκ τοῦ κλειcθῆναι τὸ ἀνευρυcμένον cτόμα τοῦ ἀγγείου, τῆc δὲ κατὰ ῥῆξιν ἐκ τοῦ κολληθῆναι, τῆc δὲ δι᾽ ἀνάβρωcιν ἐξ ἀναθρέψεωc τῶν διαβρωθέντων· cφίγγεται μὲν οὖν [οὐ] τὸ ἀνευρυcμένον καὶ ἀνεcτομωμένον ἀγγεῖον ὑπὸ τῶν cτυφόντων· κολλᾶται δὲ τὸ ἐρρωγὸc ὑπό τε τούτων αὐτῶν καὶ ὅcα τῶν μιγνυμένων αὐτοῖc ἐν τῇ cυνθέcει ξηραινόντων χωρὶc δήξεωc καὶ κολλῶδέc τι ἐχόντων, καθάπερ ἡ λημνία cφραγὶc καὶ ὁ Cάμιοc ἀcτήρ, καὶ τὰ παραπλήcια· ἀνατρέφεται δὲ τὸ διαβρωθὲν ὑπό τε τῶν εὐχύμων τροφῶν καὶ τῶν cαρκωτικῶν ὀνομαζομένων φαρμάκων. ἐπιτήδεια μὲν οὖν ἐcτι τὰ cτύφοντα τοῖc μὴ βήττουcι, τοῖc εὐχύμοιc, τοῖc κατὰ ἀναcτόμωcιν ἢ ῥῆξιν ἀνάγουcι. cτύφει δὲ ὄξοc τὸ κάλλιcτον καὶ ἀνδράχνη ἐcθιομένη (ὁ δὲ χυλὸc αὐτῆc πινόμενοc δραcτικώτεροc), ἀρνογλώccου χυλὸc ὅcον κυ′ γ̄ ἢ πολυγόνου χυλὸc ὁμοίωc, ὄμφακοc χυλὸc ἐν ἡλίῳ cπουδαίωc ξηρανθεὶc < ᾱ ῥοὸc ἢ κηκῖδοc ἀφέψημα ὅcον κυ′ βαλάνου φλοιὸc καὶ μάλιcτα τοῦ καcτάνου < ᾱ βάτου ῥίζηc

13—23 πρῶτον μὲν — φαρμάκων *Gal. de comp. med. s. loc. VII, 4 (XIII 73, 15—74, 11)* πρῶτον—κένωcιν *(14) Or.*^{a} *IX 2 (274, 33—34) Or.*^{e} *IV 78 (467, 32—33)* 26 ἀνδράχνη—δραcτικώτεροc *Or.*^{a} *ib. (ib. 275, 2—3) Or.*^{e} *ib. (ib. 467, 35—468, 1) Paul. III 31 (I 214, 24—25)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ὥcπερ ω διαγνώcῃ D P . . . cει ω 2 (τοῦ ω) παραμέcου D P ω 4. 5 ἐπὶ τῶν ἀπὸ — αἷμα *om.* ω 5 καὶ ψυχούcαc *om.* ω 6 τὰc] τῆc D P ἐνεργείαc ω ἐκγίνονται ω 7 δὲ] γὰρ ω θερμὸν ω προcενεγκεῖν *om.* ω 8 ἐμποιητικὸν ω 9 *ante* πλῆθοc: μηδὲ D μὴ P ω cύμμετρον *om.* D P ω ὁμοίωc *om.* ω cτύψιν] ψῦξιν ω 12 *post* ἀναγωγῆc: Ἀρχιγένουc P^x D *post* ἐποχὴν: Γαληνοῦ ω 13 πρῶτον L^a D P ἔcται L^a 15 κατὰ τὴν] κατ᾽ P^x D P κατὰ A ω κλυcθῆναι P^x ω 17 διαθρωθέντων D διαβρώcεωc ω 18 οὐ *delevi* καὶ ἀνεcτομωμένον *om.* P *(Ald.)* 19 δὲ] γὰρ ω *ante* τὸ: ἔτι P^x A τε *om.* L^a 20 ἀναμιγνυμένων P^x χ A D ξηραίνουcι D P 21 ἔχουcιν L^a D P 22 δὲ] γὰρ ω 25 ἄγουcι ω *om.* D P τὸ *om.* ω 26. 27 αὐτῆc—πολυγόνου *om.* P δραcτικώτεροc—γ̄ ἢ *om.* D 27 χυλὸc ὅcον—πολυγόνου *om.* χ *post* χυλὸc *alt.*: καὶ ἀρνογλώccου D ὄμφακ. χυλοῦ . . . . ξηρανθέντοc *(recte, sed formarum, nominativi et genetivi, usum promiscuum et alibi servavi)* D P

ἀφέψημα κ$^{υ'}$ γ̄ ὅ τε καρπὸς τῆς βάτου καὶ τὸ ἄνθος, βαλαυστίων < ᾱ ἀκακίας ἢ ὑποκιστίδος ὁμοίως, γίγαρτα σταφυλῆς λεῖα ὅσον κο$^{χ'}$ ὀξυλαπάθου σπέρματος ὁμοίως· δραστικώτερον δὲ ἐνεργεῖ καὶ τῆς ῥίζης τῆς ἀλθαίας ἀφέψημα συμφύτου ῥίζης ἀφέψημα καὶ αὐτὴ ξηρὰ λεία ἐπιπαττομένη τῷ ποτῷ, κενταυρίου τοῦ μεγάλου ῥίζης < β̄· δίδου, πυρέσσουσι μὲν μεθ᾽ ὕδατος, ἀπυρέτοις δὲ μετ᾽ οἴνου· αἱματίτου λίθου < ᾱ μετὰ χυλοῦ ῥοᾶς ἢ κοραλλίου λίθου ὁμοίως, ἱππούρεως ῥίζα, μόρα τὰ πάνυ ὀμφακίζοντα ὡς οὐδὲν ἕτερον [ἔξωθεν δὲ τῷ θώρακι ἐμβροχὴν προσάγειν δι' οἴνου στύφοντος μετὰ ῥοδίνου ἢ μυρσίνου. εἰ δὲ πολλὴ εἴη ἡ αἱμορραγία, καὶ μάλιστα ἐν θέρει, ἐὰν χωρὶς βηχὸς αἱ ἀναγωγαὶ γένωνται καὶ μὴ ἀσθενὴς ὁ κάμνων, ἀλλ' εὔρωστος καὶ εὔσαρκος, ὄξος ἀντὶ τοῦ οἴνου προσάγειν, οὐκέτι ἐρίοις ῥυπαροῖς ἀναλαβόντα, ἀλλὰ σπόγγοις, καὶ ἐπιδεσμεῖν πλατεῖ ἐπιδέσμῳ, ἐνίοτε δὲ προσπλέκειν τῷ ὄξει ἀκακίαν ἀλόην ἢ ὀμφάκιον, προχρίειν δὲ τὴν ἐπιφάνειαν μυρσίνῃ, ἵνα μὴ δῆξις ἐπιγένηται ἐκ τῆς ἐμβροχῆς, ἢ τὴν βαρβάραν ἢ τὴν δι' ἰτεῶν ἢ ἑτέραν ὁμοίαν ἐπιθεῖναι. εἰ δὲ ὁ κάμνων μὴ δύνηται φέρειν μηδὲ τὴν ἀηδίαν τοῦ μολυσμοῦ τῆς ἐμβροχῆς, μηδὲ τὴν περίτασιν τῶν ἐμπλάστρων, κατάπλασμα τούτοις πρόσαγε διὰ φοινίκων ἀκακίας στυπτηρίας σιδίων λειοτάτων συμφύτου ἀλφίτων ἢ φακῶν ἀλεύρου. εἰ δὲ τὸ βάρος τῶν καταπλασμάτων μὴ φέροι, μηδὲ θάλπεσθαι δύναται, καταχρίστοις ἐπὶ τούτων χρηστέον· ἑψητέον ⟨οὖν⟩ ὄξει λωτοῦ ἢ μεσπίλου τῶν φλοιῶν ἐπὶ πολὺ καὶ ῥοῦν μαγειρικὸν καὶ ῥάμνου φύλλα ὀλίγα ἢ πολυγόνου, εἶτα λειώσαντα τῷ χυλῷ ἀλόην ἢ ἀκακίαν ἢ ὀμφάκιον καὶ βραχὺ κόμμι, κατάχριε τὸν θώρακα καὶ τὸ μετάφρενον, καὶ ὅταν ξηρανθῇ πάλιν ἐπίχριε, ἵνα ἔχῃ πάχος τὸ χρῖσμα, ἵνα μὴ γυμνούμενοι περιψυχοῦνται. ἐν ⟨δὲ⟩ τῷ ξηραίνεσθαι τὸ χρῖσμα, κωλυτέον τὸν πολὺν ἀέρα πρὸς τὴν ὥραν ἐκείνην. εἰ δὲ

1 ὅ τε καρπὸς—βαλαυστίων *cf. Or.*^{a} *ib. (ib. 275, 3) Or.*^{e} *ib. (ib. 468, 1)* ὅ τε καρπὸς τῆς—ἀκακίας *(2) Paul. ib. (ib. 214, 25—26, 21)* 3 δραστικώτερον—οἴνου *(6) Or.*^{a} *ib. (ib .6—8)* 5—6 κενταυρίον—οἴνου *Or.*^{e} *ib. (ib. 4—6)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 τῆς] τοῦ ω 2 ἢ *om.* ω γιγάρτων D P λείων D P *om.* P^x ω ὅσον *om.* D P *post* κοχλιάριον: ᾱ D P 3 σπέρμα L^a χ ὁμοίως *om.* L^a δραστικωτέρως χ A 4 συμφύτου—ἀφέψημα *om.* ω 5 τοῦ μεγάλου *om.* ω 6 δὲ *om.* ω 7 κοράλλου A κοραλίου P 8 ὡς οὐδὲν ἕτερον *om.* ω *post* ἕτερον: ἐλελισφάκου κεκαυμένου σὺν τῇ ῥίζῃ καὶ πινομένου ἢ ἡδυόσμου ζωμόν, ἀπυρέτοις μετ᾽ οἴνου, πυρέσσουσι δὲ μετά τινος τῶν στυφόντων P^x ἔξωθεν—πάντα πρακτέον *(p. 528, 7) om.* L^a χ D P *delevi* τοῦ θώρακος ω 10 εἴη *om.* ω ἡ *om.* A καὶ *om.* ω ἐὰν *om.* ω χωρὶς] πολ$^{λ'}$ P^x 11 γένοιντο ω *post* ἀσθενὴς: τῷ σώματι A τὸ σῶμα P^x 11. 12 εὔσαρκος καὶ εὔρωστος P^x 13 ἀναλαμβάνοντα ω *post* δὲ: καὶ P^x 14 ὀμφάκινον ω προσχρίειν P^x 15 μυρσίνῃ τὴν ἐπιφάνειαν ω 16 βάρβαρον P^x ω *post* ἰτεῶν: καὶ προεγράφησαν P^x *ante* ἑτέραν: ἄλλην P^x 18 περίστασιν ω προσάγειν ω *ante* διὰ: τὸ P^x διὰ *om.* ω 19 ἀλφίτων *om.* A 21 δύναιτο A χρ$\overset{η}{ι}$στέον P^x χριστέον ω οὖν *addidi* 22 τὸν φλοιὸν ω 23 ὀλίγων φύλλων ω τὸν χυλὸν ἀλόη ἢ ἀκακία ἢ ὀμφακίῳ ω 26 μὴ γυμνούμενοι] μηγνύμενοι A μὴ γνί μοι P^x παραψύχονται ω παραψυχῶνται *legend.?* δὲ *addidi* 27 *post* κωλυτέον: δὲ P^x A

φλεγμοναὶ ἐπιγενόμεναι πυρετοὺς ἐπιφέροιεν, εἰώθασι γὰρ καὶ σφόδρα ὀξεῖς ἐπιπίπτειν καὶ ἐπικύνδυνοι, ἐνίοτε δὲ ἀμβλεῖς, ὅτε εἰς φθίσιν μέλλει ἐμπίπτειν, συντακτέον τὴν δίαιταν πᾶσαν, ὡς πρὸς πυρετούς, μὴ ἀθρόως δέ, ἵνα μὴ πάλιν ἀναρραγῇ τὰ κολληθέντα καὶ τοῖς μὲν ῥοφήμασι συμπλέκειν τὰ ἠρέμα στύφοντα, οἷον φοίνικας καὶ τὰ ὅμοια καὶ καταπλάττειν ἄρτῳ θερμῷ, εἶτα λινοσπέρμῳ. ὅταν δὲ χρονίσῃ. ὡς ἐπὶ φθισικῶν, τὰ πάντα πρακτέον]. ξηραντικῆς δὲ ἀδήκτου δυνάμεώς ἐστιν ὠκίμου χυλός, ὄξος δὲ προσλαβών, ὁ χυλὸς οὗτος ἐπιτηδειότερος γίνεται. καὶ εἰ μὲν ἐν τῇ χρήσει συνηθέστατος ᾖ, καὶ ἀδεέστερον ἂν αὐτοῦ μεταδῴης· στύφει δὲ ἅμα καὶ ξηραίνει ῥέον τὸ ποντικόν· παραλαμβάνειν δὲ χρὴ τὴν ποντικὴν ταύτην ῥίζαν πρὸς τὰς προσφάτους καὶ χρονίους ἀναγωγὰς τοῦ αἵματος καὶ τοὺς ῥευματισμοὺς τοῦ θώρακος, ἐν ἀρχῇ μὲν ὀξυκράτῳ ἑψῶν αὐτήν, ἐν δὲ ταῖς περιοδικαῖς ἀναγωγαῖς ἁλὸς ὀλίγον συμπλέκων, πότιζε μεθ᾽ ὕδατος· ὅτε δὲ τραχύτης καὶ βὴξ ἐνοχλεῖ, γλυκεῖ κρητικῷ ἑψήσας, ἔπειτα συλλεάνας αὐτὴν δίδου· μᾶλλον δὲ ξηραίνει ξηρὰ ἐμπασσομένη τῷ ποτῷ. ξηραίνει δὲ ἀδήκτως καὶ Σάμιος ἀστὴρ καὶ μίλτος σινωπικὴ καὶ ἡ λημνία σφραγίς· δὶς τῆς ἡμέρας δίδου, ὡς βούλει, < ᾱ μεθ᾽ ὕδατος. ἀδήκτως δὲ καὶ γενναίως ξηραίνει βῶλος ἀρμενιακή, ὡς οὐδὲν ἕτερον. δίδου δὲ καὶ ταύτης < ᾱ μεθ' ὕδατος θαρρῶν. ξηραίνει δὲ καὶ πυτία νεαροῦ ⟨ἐλάφου⟩ ἢ ἐρίφου, ἡ δὲ τοῦ ἐλάφου παχύνει μᾶλλον. στομάχου δὲ πάσχοντος δίδου ἅπαξ μὲν τὸ στῦφον, ἅπαξ δὲ τὸ ξηραῖνον, ἐνίοτε δὲ ἕωθεν μὲν τὸ στῦφον δίδομεν, περὶ δὲ ἕκτην ὥραν τὸ ξηραῖνον, εἰς ἑσπέραν δὲ τὸ παχῦνον. παχυντικῶν δὲ ὅτε χρεία, ἄμυλον διδόσθω κόμμι τραγάκανθαν κατ᾽ ἰδίαν καὶ σὺν ἀλλήλοις. τούτου τοῦ γένους τῶν παχυνόντων ἐστὶ καὶ ἰχθυόκολλα καὶ τὸ σύμφυτον μασώμενον καὶ καταπινόμενον. καὶ τὰς τροφὰς δὲ ὁμοδυναμούσας τοῖς εἰρημένοις φαρμάκοις δοτέον, τοῖς δὲ δι᾽ ἀναστόμωσιν αἷμα ἀνάγουσι καὶ τοῖς ἀπὸ γαστρός, τὰς στυφούσας, οἷον ἄλιξ ἐξ ὀξυκράτου ἢ ψίχες ὁμοίως

16—18 ξηραίνει—σφραγίς *cf. Or.*^{a} *ib. (ib. 275, 9) Or.*^{e} *ib. (ib. 7)* 19. 20 ξηραίνει—πυτία *cf. Or.*^{a} *ib. (ib. 10) Or.*^{e} *ib. (ib. 8)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ἐπιγινόμεναι ω καὶ *om.* P^x 2 ἀμβλῶς P^x ἀμύνει A 3 μέλλει *sc.* ὁ κάμνων τὴν δίαιταν—στύφοντα *(5) om.* ω 5 στύφοντα *om.* P^x οἷον] ἠρέμα οἴνω ω 6 καταπλαστέον ω λινοσπῶρον P^x 7 φθισικῶ ω τὰ πάντα πρακτέον] ταῦτα χριστέον ἅπαντα καὶ πρακτέον ὡς ἐκείνοις P^x ἀδήκτου *om.* A 8 ὄξους P^x A ω 9 εἰ μὲν] ἡμῖν P^x A ω μὴν χ D ᾖ *om.* χ A D ω 10 δὲ *om.* ω 12 *ante* χρονίους: τὰς ω χρονίας α, *exc.* L^a ω 14 *ante* ἀναγωγαῖς: αὐτοῦ D P ἁλὸς] ὅλως χ ω σὺν ὕδατι ω 15 ἐνοχλῇ P^x A P 16 ἐμπλασσομένη ω 18 δὶς τῆς ἡμέρας *post* βούλει *transp.* D P διδομένη ω ὡς βούλει *om.* ω ὡς] οὗ P^x A εἰ χ οὖν ὦ D P *post* ὕδατος: Περὶ τοῦ ἀρμενιακοῦ βώλου P^x 19 ἀρμενιακὸς P^x D P 20 τούτου D P μεθ᾽ ὕδατος *om.* ω νεύρου χ *post* νεαροῦ: καὶ πτωκὸς (= λαγὼ) καὶ P^x 21 ἐλάφου *addidi* ἢ *om.* α, *exc.* L^a A 22 ξηρὸν ω 23 μὲν *om.* P^x ω δίδου μοι P^x δίδοται A διδόαμεν D P ω 24 παχυντικόν P^x A ω ἄμυλον] ἀμόλυντον L^a 25 τραγάκανθον ω *ante* τούτου: Περὶ αἱμοπτοικῶν ω 26 ἐστι *post* γένους *transp.* ω *ante* ἰχθυόκολλα: ἡ χ D P ω 28 δὲ] μὲν D P διὰ στόμασιν L^a 29 *post* οἷον: ἐστιν D P ἐξ *om.* ω ὀξυκράτω ω

ἢ ὄρυζα ἢ ᾠὰ ἁπαλὰ ἐμπασσομένου ῥοὸς μαγειρικοῦ λειοτάτου ἀρνόγλωσσον ἑφθὸν σέρις φακὸς ἠρτυμένος τούτοις ἢ ὀξυλαπάθῳ. ἐφ᾽ ὧν δὲ τῆς παχυνούσης ὕλης χρεία, γάλα ἑφθὸν ψύχεται καὶ δίδοται τοῖς δι᾽ ἀνάβρωσιν αἷμα ἀνάγουσι καὶ σαρκώσεως δεομένοις ἐμπάσσεται τῷ γάλακτι ἑψομένῳ, ἐνίοτε καὶ ἄμυλον ἢ ἐλαχίστη πάνυ πυτία. φυλάττεσθαι γὰρ χρὴ τὸ πλῆθος αὐτῆς καὶ μὴ εὐθὺς μετὰ τὴν συμπλοκὴν αὐτῆς διδόναι τὸ γάλα, ἀλλὰ διαστήσαντα βραχύ. τὸ γὰρ ἐπὶ πολὺ θρομβούμενον ἐν τῇ γαστρὶ θάνατον εἴωθεν ὡς ἐπίπαν ἐπιφέρειν. ἁρμόδιον καὶ φοίνικας συνεψεῖν τῷ ἄλικι ἢ τῇ σεμιδάλει. παχύνει δὲ ἅμα καὶ στύφει ᾠὰ παχύτερα ῥοῦν προσειληφότα καὶ μᾶλλον τὰ ὀπτά, φακὸς σὺν πτισσάνῃ ἡψημένος κέγχρος ἑφθός. φευκτέον δὲ ἐπὶ πάντων τὰ σφοδρῶς στύφοντα καὶ τὰ ὑπερβαλλόντως παχύνοντα, αἱρετέον δὲ τὰ ἁπλούστερα καὶ ἀλυπότερα ἑκάστου γένους τῶν προρρηθέντων.

Περὶ συνθέτων πρὸς αἱμοπτυικοὺς φαρμάκων. Κατὰ πρῶτον μὲν οὖν λόγον ἐκ τῶν στυφόντων καὶ ξηραινόντων καὶ παχυνόντων συντίθεται τὰ πρὸς θεραπείαν τῆς ἀναγωγῆς τοῦ αἵματος ἁρμόττοντα φάρμακα. ἐπειδὰν δὲ τὰ στύφοντα καὶ τὰ γλίσχρα καὶ τὰ ξηραίνοντα ἀποκλείει τὰς ὁδοὺς καὶ δυσανάδοτά ἐστι, δεῖται δυνάμεως τῆς παρασκευαζούσης αὐτοῖς τὰς ὁδοὺς καὶ διὰ τοῦτο τὰ θερμὰ καὶ λεπτομερῆ τοῖς τοιούτοις φαρμάκοις μίγνυται ἐναντιώτατα κατὰ τὸν ἑαυτῶν λόγον ὑπάρχοντα τῇ τοῦ αἵματος ἀναγωγῇ. μίγνυται δὲ αὐτοῖς καὶ τὰ ναρκοῦντα ὡς ὕπνον καρώδη φέροντα, χρησιμώτατον γιγνόμενον τοῖς ὑπὸ βηχὸς σπαραττομένοις, πᾶσι μέν, αἱμοπτυικοῖς δὲ μάλιστα, οὗτοι μὲν οἱ σκοποὶ τῆς συνθέσεως τῶν αἱμοπτυικῶν φαρμάκων, τὰ δὲ πεῖραν δεδωκότα σύνθετα φάρμακα τοῖς ἀρχαιοτέροις ἰατροῖς ἐφεξῆς εἰρήσεται.

Πόμα αἱμοπτυικοῖς. κοραλλίου λίθου γῆς ἀστέρος ἠλέκτρου μαστίχης ἀνὰ < ς̄ ἀμύλου λιβάνου κόμμεως ἀνὰ < δ̄ δίδου κοχλιάριον

15—27 κατὰ πρῶτον—εἰρήσεται *Gal. de comp. med. s. loc. VII 3 (VIII 74, 12—14, 75, 3—16)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ἢ *alt. om.* P^x A 1. 2 μαγειρικοῦ—φακὸς *om.* P 2 ὀξυλάπαθον P^x A P ω 3 ἑφθὸν γάλα P^x A 4 διὰ βρῶσιν ω *post* ἀνάγουσι: καὶ τῆς ἀπὸ γαστρὸς τὰς στυφούσας ω *post* ἐμπάσσεται: δὲ α, *exc.* L^a A 5 ἑψομένοις L^a ἡψημένω D P 6 γὰρ] δὲ P^x A 7 διαστήσαντας D P διαστο^{μτ}΄ ω 8 εἴωθεν θάνατον ω ὡς ἐπίπαν *om.* ω ὡς *om.* L^a 11 ἑφθῇ α, *exc.* L^a P 12 *ante* παχύνοντα: ὡς ω 13 καὶ ἀλυπότερα *om.* ω 15 *ante* περὶ: Γαληνοῦ ω *ante* συνθέτων: τῶν P^x χ A D κατὰ—εἰρήσεται *(27) om.* P 16 οὖν *om.* L^a 17 τὴν θεραπείαν *Gal.* 18 ἐπειδὴ α, *exc.* L^a 18. 19 καὶ ξηραίνοντα καὶ γλίσχρα ω τὰ *alt. om.* A 19. 20 δυσανάδοτα—ὁδοὺς καὶ *om.* L^a εἰσι P^x A γίνεται D 20 αὐτῆς P^x ω 21 τοῖς *om.* ω 21. 22 μίγνυται—ἀναγωγῇ *om.* A κατὰ *om.* ω τῶν .... λόγων P^x ω ἑαυτοῦ L^a αὐτῶν P^x ὑπάρχει L^a αὐτῶν χ D 23 καὶ *om.* ω 23. 24 γιγνόμενον] δὲ μιγνύμενον ω 24. 25 δὲ *post* μάλιστα *transp.* P^x A 25 *post* μέν: οὖν A ω 26 φάρμακα σύνθετα P^x A ω 27 εἴρηται ω 29 κρόκου, *in marg.* Γρ^{αι}΄ κόμμεος D κρόκου P

ξηρὸν μετ᾽ ὀξυκράτου ἢ ἀφεψήματός τινος τῶν προειρημένων. Ἄλλο· γῆς ἀστέρος ἀγηράτου λίθου λημνίας σφραγῖδος ἴσα· δίδου κοχλιάριον μετὰ κυάθων β̄ ἀρνογλώσσου. Ἄλλο· λημνίας σφραγῖδος < ι̅ς̅ γῆς ἀστέρος < η̄ ⟨ἀμύλου < η̄⟩ σαρκοκόλλης < δ̄ κόμμεως < β̄· δίδου κοχλιάριον μετὰ ἀφεψήματος φοινίκων κυάθων β̄. παχὺ δὲ ἔστω τὸ ἀφέψημα. Ἄλλο Ἀνδρομάχου· κοραλλίου πεφρυγμένου < ᾱ λιβάνου βαλαυστίων ἀνὰ ὀβλ′ δ̄ ἀκακίας < ᾱ κόμμεως < β̄ ᾠῶν β̄ τὰ λευκά. τούτου τὸ τέταρτον δίδου μεθ᾽ ὕδατος κυ′ ᾱς. Ἡ Ἀσκληπιάδου· πολυγόνου ῥίζης χειροπληθὲς συμφύτου ῥίζης τὸ ἴσον ῥοῦ ἐρυθροῦ ὀξύβαφον ὕδατος ξε γ̄· ἀφεψήσας εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἐκθλίψας καὶ διηθήσας καὶ βαλὼν κόμμεως λειοτάτου ἑκάστῃ δόσει < ᾱ, δίδου κύαθον ᾱ. Ἄλλο διὰ πείρας· κοραλλίου < ι̅η̅ λιβάνου < η̄, δίδου κοτύλην μετ᾽ οἴνου μυρτίτου κεκραμένου· ποιεῖ καὶ πρὸς ῥοῦν γυναικεῖον. Ἄλλο τῶν πάνυ ἐξαιρέτων, ᾧ μαρτυρῶ· λιβάνου γῆς ἀστέρος ἀνὰ < η̄ κρόκου ἀμύλου ἀρνογλώσσου χυλοῦ ξηροῦ ἀνὰ < ᾱ· κόψας σήσας δίδου κοχλιάριον σὺν ὀξυκράτῳ. Τροχίσκος Δοσιθέου πάνυ δόκιμος· βάτων ἀκρεμόνων συμφύτου ῥίζης ἀκάνθης αἰγυπτίας καρποῦ ὑποκυστίδος χυλοῦ. λυκίου ὀπίου λιβάνου ῥοῦ ποντικοῦ γῆς ἀστέρος ἀνὰ Ϝ β̄ ῥοῦ μαγειρικοῦ Ϝ γ̄ ῥόδων ξηρῶν Ϝ δ̄ μύρτων Ϝ ς κρόκου λημνίας σφραγῖδος μάκερος φλοιοῦ ἀνὰ Ϝ ᾱς ἀναλάμβανε χυλῷ ἀρνογλώσσου ἢ οἴνῳ σπαθίτῃ καὶ ποίει τροχίσκους καὶ δίδου μετ᾽ ἀφεψήματος συμφύτου ἢ πολυγόνου. Ἄλλο· τροχίσκος πρὸς αἱμοπτυικούς, ᾧ κέχρημαι, διὰ παντὸς εὐδοκιμῶν· γῆς ἀστέρος Ϝ γ̄ ἀμύλου προσφάτου Ϝ ε̄ τραγακάνθης Ϝ ας κόμμεως Ϝ γ̄ ἰχθυοκόλλης Ϝ ᾱ ὄξους τὸ ἀρκοῦν. λῦε τὴν ἰχθυόκολλαν, ὡς οἱ τοξοποιοί, προβρέχων αὐτὴν ὄξει δριμυτάτῳ τῷ

2—4 γῆς — < β̄ *Paul. III 31 (215, 4—9)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ξηρὸν *om.* DPω 1—6 Ἄλλο· γῆς—ἀφέψημα *om.* L^a 3 κυάθου ᾱ D P μετὰ ἀρνογλώσσου χυλοῦ κυάθους β̄ P^x *post* ἀρνογλώσσου: χυλοῦ D P 3—6 Ἄλλο—ἀφέψημα *om.* P 4 η̄ *pr.*] δ̄ P^x ἀμύλου < η̄ *add. ex Paul.* δ̄] β̄ P^x β̄] ᾱ P^x 6 Ἄλλο Ἀνδρομάχου] Πόμα αἱμοπτυικοῖς A Ἄλλο—κύαθον ᾱ *(12) om.* P πεφωγμένου P^x χ D 6. 7 λίβανου—ἀκακίας < α] λιβάνου ὀβολοὺς δ̄ (β̄ A) ἀκακίας < ᾱ βαλαυστίων ὀβολοὺς ε̄ (δ̄ P^x χ D ἀκακίας—ὀβολοὺς ε̄ *om.* A) α, *exc.* L^a 7 κόμμεως < β̄ *om.* A 8 Ἡ] ἄλλο P^x A P ω *om.* D χ 11 λειοτάτης L^a 12 δίδου *om.* ω 12. 13 Ἄλλο—γυναικεῖον *post* ὀξυκράτω *(16) transp.* ω *om.* L^a < ι̅η̅ (η̄ A) *om., sed post* λιβάνου: ἀνὰ ω 14 τὸ . . . ἐξαίρετον ω ᾧ] ὃ P^x χ D *post* μαρτυρῶ: ἰδὼν πραχθέντα ἐν Ἀλεξανδρείᾳ τουτ′ καὶ μέγα βοηθήσεται τὸν λαβόντα τοῦτο P^x 15 *post* κρόκου: < ᾱ (η A) χ A P *post* ἀμύλου: < ᾱ χ A ἀνὰ *om.* χ A P *ante* κόψας: μορέας ἄορον καρπόν Ϝ τὸ ἥμισυ P^x 16 Δοσιθέου] δώσει θεοῦ χ δόσις θεοῦ D 17 *post* ἀκρεμόνων: Ϝ β̄ χ ψ ω 19 Ϝ *alt.*] < χ P ω *post* δ̄: ἀναλάμβανε χυλῷ ἀρνογλώσσου, *om. in lin. sq.* P μάκερος, *in marg.* μάκαρος φλοιὸν λέγω τὴν κανέλαν, ὅτι τὸ κινάμωμον A χυλῷ ἀρνογλώσσου *om.* ω 21 σπαθήτῳ L^a σπαθτ′ P^x σπαθήτι A P σπαθιτ′ D σκυβελιώτ χ ω ἑψήματος P^x A 22 Ἄλλο *om.* P^x D P ω κεχρημένος P^x A P χρῶμαι χ D 23 εὐδοκιμῶ A P . . . δόκιμον χ 24 Ϝ ᾱς—ἰχθυόκολλαν *(25) om.* A *post* ᾱ: ς A P ω 25 τοξοπόροι P *(Ald.)*

ἀρκοῦντι ἐπὶ ἡμέρας γ̅, προκαθάρας καὶ ἀφελὼν αὐτῆς τὸ ὑμενῶδες, τῇ δὲ τετάρτῃ τῶν ἡμερῶν αἴρων ἐξ αὐτῆς κατὰ βραχύ, κόπτε ἐν θυίᾳ τῷ δοίδυκι καὶ λείου ἀκριβέστατα· ἔστι δὲ δυσλειότατος. λειοτάτης δὲ γενομένης, βαλὼν ἐν τῷ ὄξει, πάλιν ἕψε ἐν χαλκῷ ἢ σιδήρῳ τινὶ ἐπὶ θερμοσποδίᾳ καὶ κίνει συνεχῶς ἐπὶ ὥραν ἱκανήν, ὡς παχυτάτη γένηται, ἔπειτα βαλὼν ἐν τῇ θυίᾳ λείου ἐπὶ πολύ, εἶτα ἔχων ἐν ἑτοίμῳ ἕκαστον τῶν εἰρημένων κατ' ἰδίαν κεκομμένον καὶ σεσησμένον ἀκριβῶς καὶ μάλιστα τὴν τραγάκανθαν ἐπίπασσε ἐν τῇ θυίᾳ τῇ διαλυθείσῃ ἰχθυοκόλλῃ καὶ ἑνώσας ἀκριβῶς ἀναλάμβανε ἐν πίναξιν ὑαλίνοις στερεοῖς καὶ ξήραινε καὶ ἀνάπλαττε τροχίσκους συμμέτρους, χρονίζει δὲ ἀναπλασθῆναι· δίδου δὲ τροχίσκον α̅ μετ' ὀξυκράτου· χρῶ πάνυ θαρρῶν. Τροχίσκος ὁ διὰ κοραλλίου, ὃ νῦν εὐδόκιμον καὶ σύνηθες πᾶσι τοῖς ἐμπείροις· γῆς ἀστέρος βαλαυστίων κοραλλίου ὑποκυστίδος χυλοῦ ἀκακίας σμύρνης ῥοῦ ποντικοῦ δαύκου ὀμφακίου τραγακάνθης ἀνὰ 𐅻 β̅ ῥοῦ ἐρυθροῦ 𐅻 γ̅ γλυκυρίζης Γρ ϛ̅ συμφύτου ῥίζης Γρ δ̅ κόμμεως < ιη̅ λιβάνου 𐅻 β̅ ὀπίου < δ̅ ἀμύλου λημνίας σφραγῖδος κρόκου ἀνὰ Γρ ϛ̅ στυπτηρίας σχιστῆς Γρ ιβ̅ ἀκάνθης αἰγυπτίας καρποῦ < δ̅· ἀναλάμβανε τροχίσκους χυλῷ ἀρνογλώσσου ἢ οἴνῳ αὐστηρῷ παλαιῷ καὶ δίδου εἰς κοίτην τριώβολον μετ' ὀξυκράτου. ποιεῖ καὶ δυσεντερικοῖς. Τροχίσκος ὁ διὰ τῆς ἀκάνθης, ᾧ χρῶμαι κατακόρως, κλείδιον, φάρμακον ἐπιτετευγμένον· ποιεῖ αἱμοπτυικοῖς πᾶσι κοιλιακοῖς δυσεντερικοῖς καὶ τοῖς ⟨τὸν⟩ στόμαχον ῥευματιζομένοις· κυτίνων ἀκάνθης αἰγυπτίας καρποῦ βαλαυστίων ἀκακίας ὑποκυστίδος χυλοῦ ἀνὰ < ϛ̅ λυκίου ῥοῦ ποντικοῦ ὀπίου ἀνὰ < δ̅ σμύρνης < β̅· κόψας σήσας ἐπιμελῶς, ἀναλάμβανε μύρτων ἀφεψήματι ἢ ῥόδων ἢ οἴνῳ μυρτίτῃ καὶ ἀνάπλασσε τροχίσκους καὶ δίδου πρὸς δύναμιν μετ' ἀφεψήματος ῥόδων ἢ μύρτων ἢ ἑλίκων ἀμπέλου

13—18 κοραλλίου—ἀρνογλώσσου *cf. Gal. ib. (ib. 87. 7 sqq.)* 20—*p.532, 1* κλείδιον—ψυχροῦ *Gal. ib. (ib. 87, 15—88, 4)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 ἡμέρας γ α (*om.* A), ὥρας L^a 2 αἴρων *om.* L^a 3 δὲ] γὰρ α, *exc.* L^a δυσλείωτος (. . . ν P^x) α, *exc.* L^a 5 ὡς] ἕως A P ω παχυττ' γενέσθαι ω 6 λείου *om.* ω 7 ἀκριβῆ L^a ἄκρως χ D 8 τραγάκανθον ω ἐν *om.* L^a 9 ὑαλλίνοις P^x P ω ὑελίνοις A D 10. 11 καὶ ἀνάπλαττε—τροχίσκον α̅ *om.* A 11 τροχίσκον α̅] τροχίσκους P ω 12—13 ὃ νῦν—βαλαυστίων *om.* L^a 12 εὐδοκιμῶν A D συνήθης D ῥοῦ ἐρυθροῦ—ῥίζης Γρ (𐅻 P^x χ A) δ̅ κόμμεως < (Γρ P^x χ A) ιη̅ λιβάνου 𐅻 β ὀπίου < (𐅻 P^x) δ̅ ἀμύλου (Γρ ϛ̅ P^x χ A D) λημνίας σφραγίδος (Γρ ϛ̅ P^x λημν. σφραγ. *om.* D) κρόκου ἀνὰ Γρ ϛ̅ (κρόκου—ϛ̅ *om.* P^x χ A D) στυπτηρίας σχιστῆς Γρ ιβ̅ [στυπ. σχιστ. Γρ ιβ̅ (λημν. σφραγίδ. Γρ ϛ̅ D) κρόκου Γρ ϛ̅ P^x χ A D] φ χ A D λιβάνου 𐅻 β̅ ὀπίου < δ ἀμύλου Γρ ϛ̅ στυπτ, σχιστ. Γρ ιβ̅ λημν. σφραγ. Γρ ϛ̅ (ιβ̅ ω) ῥοῦ ἐρυθροῦ 𐅻 ϛ̅ (γ̅ ω) γλυκυρίζης Γρ (𐅻 ω) ϛ̅ συμφύτου ῥίζης 𐅻 δ̅ κόμμεως Γρ ιη̅ κρόκου Γρ ϛ̅ P ω 17. 18 χυλῷ—τριώβολον *om.* ω 19 ὁ διὰ τῆς ἀκάνθης τροχίσκος A D ω 20 κλίδιον P^x A *om.* P ἐπιτεταγμένον P^x . . . τευμένον χ 21 πᾶσι *supra scr. m 1a* D *om.* L^a χ κοιλιακοῖς *om.* L^a χ D δυσεντερικοῖς *post* ῥευματιζομένοις *transp.* ω τὸν *addidi ex. Gal.* 23 ϛ] ζ̅ χ ὀπίου *om.* P^x A ἀνὰ < δ̅ *om.* ω 25 ἀναπλάσας ω καὶ *om.* ω 26 ἢ ἀμπέλων ω

ἢ φοινίκων ἢ ὕδατος ψυχροῦ· λυκίου δὲ μὴ εὐπορήσας ἐσκεύασα· ῥοὸς βυρσοδεψικῆς χυλῷ ἀντὶ λυκίου ἐχρησάμην. σκευάζεται δὲ οὕτως· ἡ βυρσοδεψικὴ ῥοῦς βρέχεται τετραπλασίῳ ὕδατι ἐφ' ἡμέρας γ̅, σαλευομένη ῥάβδῳ· τῇ δὲ δ̅ ἕψεται μέχρις ἰσόπεδον γένηται τὸ ὕδωρ τῷ κόμμει τῆς ῥοὸς καὶ τότε ἡ μὲν ῥοῦς ῥίπτεται ἀποθλιβεῖσα· τὸ δὲ ὕδωρ διηθήσας ἕψε ἕως μελιτώδους συστάσεως, καὶ οὕτως ἔμβαλλε τοῖς φαρμάκοις· ποτίζων δὲ τὸ φάρμακον τὸ προειρημένον, σπόγγους ὀξυκράτῳ δεδευμένους ἐπιτίθει τῷ θώρακι· ὅταν δὲ ἐπιστῇ τὸ αἷμα, ἐπίχριε τὸ στῆθος ἢ τοὺς ῥευματισθέντας τόπους ὀμφακίῳ ὄξει διαλελυμένῳ καὶ χλιασθέντι ποσῶς· χρῶ δὲ ἐπὶ τῶν αἱμοπτυικῶν καὶ τῷ Φιλίππου τροχίσκῳ τῷ ἀναγραφησομένῳ ἐν τῷ περὶ δυσεντερικῶν λόγῳ. Πρὸς αἱμοπτυικούς· ἐλελισφάκου χυλοῦ κυάθους β̅ μέλιτος ϝ α̅, δίδου νήστει πίνειν καὶ παρ' αὐτὰ στήσεις τὸ αἷμα. Τροχίσκος ὁ δι' ἠλέκτρου, ποιεῖ αἱμοπτυικοῖς ἐξόχως, ὅθεν ἂν φέρηται τὸ αἷμα, βήττουσι χρονίως καὶ προσφάτως, φθισικοῖς ἀναφορικοῖς ἐμπυικοῖς κοιλιακοῖς καὶ δυσεντερικοῖς, κύστιν ῥευματιζομένοις ἐμπνευματουμένοις· ἔστι δὲ καὶ ὠτικὸς ἀγαθός. ψυλλίου κεκαθαρμένου < μ̅ε̅ ἠλέκτρου ῥινίσματος ἴρεως μαστίχης κρόκου ἀνὰ < λ̅ ὀπίου < ι̅ε̅· τὸ ψύλλιον βαλὼν ὕδατι θερμῷ ξ^{ε} γ̅, ἔα βρέχεσθαι ὀλίγον καὶ ὅταν γλίσχρον καὶ κολλῶδες γένηται, ἔκθλιβε τὸ ὑγρὸν καὶ τούτῳ λείου τὰ προγεγραμμένα καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον εἰς ὕπνον ἀπερχομένοις.

ο̅α̅ Ὅσα θρόμβους διαλύει. θρόμβους δὲ αἵματος διαλύει καὶ διαχεῖ συκίνης τέφρας ὕδατι πλυθείσης καὶ διηθημένης τὸ ὕδωρ πινόμενον, καὶ ἡ ἀμπελίνη καὶ δρυίνη παραπλησίως, θύμος ἢ θύμβρα ὁμοίως μετ' ὄξους, πυτία λαγῳοῦ ἢ ἐρίφου ὅσον ἐρεβίνθου μέγεθος μετ' ὄξους.

11 τροχίσκῳ τῷ ἀναγραφησομένῳ κτλ. *cf. tetr.III* 13—22 τροχίσκος—ἀπερχομένοις *Gal. ib. (ib. 86, 3—10)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (A^t) 1 δὲ *om.* χ A ω 1. 2 ἐσκεύασα—ἐχρησάμην *om.* ω χυλὸν ψ *ante* ἀντὶ: καὶ α, *exc.* L^a *post* ἐχρησάμην: τούτω D P δὲ *om.* ω *post* δὲ: χυλὸς τῆς βυρσοδεψικῆς P^x A 2. 3 ὁ βυρσοδεψικὸς D P τετραπλάσιον L^a *ante* ἐφ': ποσῶ D P 3. 4 σαλευόμενος D P ἕψε φ 5 τῆς] τοῦ D P ω ἡ] ὁ D P ω ῥύπτεται P^x χ P ω ἀποβληθεῖσα L^a ἀποτριβεῖσα P^x . . . θλιβεὶς D . . . θλίβουσα P ω 6 διηθηθὲν P^x χ DP διηθὲν A ἕψεται χ A ἑψεῖται D P ἐμβάλλεται α, *exc.* L^a 8 *ante* τῶ: φαρμάκω ἤτοι ω 9 τόπους *om.* ω 10 διαλελυμένον L^a χλιανθέντι P^x χ D P χλιαθέντι ω ἐπὶ τῶν αἱμοπτυικῶν *om.* D P 12 *post* λόγω: νυνὶ δὲ πάλιν ἐρῶ τὴν σκευασίαν αὐτοῦ ἐνταῦθα· βαλαυστίων ἀκακίας ὑποκιστίδος χυλῶ κτλ. P^x *ante* πρὸς: πόμα P^x ἄλλο D χυλὸν P^x A ω 13 στεῖτο P^x στη$^{c\smile}$ χ στῆσει A P τροχίσκος—ἀπερχομένοις *(22) ante* τροχίσκος Δοσιθέου *(530, 16) transp.* χ P ω 13. 14 Τροχίσκος ὁ (ὁ *om.* ω) δι' ἠλέκ.] ὁ δι' ἠλέκτρου τροχίσκος P^x χ ψ 15 *post* φθισικοῖς: ἀναρ(ρ)ευματιζομένοις D P 16 κοιλιακοῖς *om.* L^a ω καὶ *om.* α, *exc.* L^a 17 κεκαθαρμένου *om.* α, *exc.* L^a μ̅ε̅] μ̅δ̅ A 18 λ̅] ν̅ A δ̅ ω 19 ὕδατος θερμοῦ D P ξ^{ε}] κυα$^{θ'}$ D P *post* ὀλίγον: τὰ γ̅ ω 23 *post* διαλύει *pr.*: αἵματος καὶ (περὶ P^x) τῶν ἀπὸ ὕψους ῥηγνυμένων καὶ πτυόντων αἷμα P^x A αἵματος *om.* P^x ψ 23.24 καὶ διαχεῖ—πινόμενον *om.* ω διαχέει L^a 24 καὶ διηθημένης—οἴνου λεπτοῦ ὅσον < α *(545, 17) om.* A 25 ἀμπελίνης—δρυίνης L^a *ante* καὶ *alt.*: δὲ ψ ω παραπλησίως] καί αἱ παραπλήσιοι ψ θύμου (. . . ω ω) ἢ θύμβρας L^a ὁμοίως *om.* α, *exc.* L^a 26 πυτία—μετ' ὄξους *om.* P^x μετ' ὄξους *om.* ω

χρῶ τοίνυν εὐθὺς ἐπὶ τῶν ἐξ ὑψηλοῦ πιπτόντων καὶ πτυόντων αἷμα τῇ κονίᾳ στακτῇ ποτίζων καθ᾽ αὑτὴν ἢ μετ᾽ ὄξους ὀλίγου.

οβ

Περὶ τῶν ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἑλκῶν, ὅσα ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ γίγνεται ἕλκη κατὰ τὸν ὑπαλείφοντα αὐτὴν ἔνδον ὑμένα καὶ μάλιστ᾽ εἰ πλησίον τοῦ λάρυγγος ἢ κατ᾽ αὐτὸν τὸν λάρυγγα, ἔνεστι θεραπεῦσαι, καὶ ἡμεῖς οὐκ ὀλίγους ἰασάμεθα τῶν οὕτω καμνόντων· ἀναπτύουσι δὲ οὗτοι ὀλίγα πυώδη ὕφαιμα, ἐνίοτε δὲ καὶ ἐφελκὶς ἀναπτύεται καὶ αἴσθησις αὐτοῖς ὀδύνης γίγνεται κατὰ τὸν ἡλκωμένον τόπον σαφής. τούτους ἐν ἡσυχίᾳ φυλάττειν χρὴ ὑπτίους κατακλίνοντας καὶ τὰ πρὸς κεφαλὴν μετέωρα ποιήσαντας· παραινεῖν δὲ ἀντέχειν, καθ᾽ ὅσον οἷόν τε, καὶ μὴ βήττειν. εἶτ᾽ ἔξωθεν μὲν ἐπιτιθέναι τῷ τόπῳ τι τῶν ξηραινόντων φαρμάκων, οἷά ἐστιν ἡ βάρβαρος καὶ ἡ διὰ ἰτεῶν καὶ ἡ δι᾽ αἱρῶν καὶ αἱ παραπλήσιοι. Φάρμακα δὲ διδόναι τῶν πρὸς ἕλκη ἀναγεγραμμένων ἔν τε τοῖς ἀρτηριακοῖς καὶ τοῖς ἐμπύοις, κατέχειν ὑπὸ τὴν γλῶτταν ἀξιοῦντες, ἵνα τὸ κατὰ βραχὺ διαλυόμενον παραρρέῃ εἰς τὴν τραχεῖαν ἀρτηρίαν. ἀντέχειν δὲ μὴ βήττειν τότε μάλιστα, διδόναι δὲ αὐτοῖς καὶ γάλα πίνειν καθ᾽ ἑκάστην αὐτίκα ἀμελχθέν, παρεστῶτος τοῦ ζῴου· προσεμβάλλειν δὲ καὶ μέλιτος, οἷς δύσπεπτόν ἐστι καὶ τυροῦται ἐν τῇ γαστρί.

ογ

Περὶ ἐμπύων. ἐμπυικοὶ καλοῦνται, οἷς ἂν ἀπόστημα γενόμενον ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ἔνδοθεν ὑμένι ἢ ἐν ἑτέρῳ τινὶ τῶν ἄλλων τοῦ θώρακος μορίων, ἀθρόον συρραγῇ· ⟨περιέχεται δὲ τὸ πύον μετὰ τὴν ῥῆξιν⟩ ἐν τῇ κενῇ χώρᾳ τοῦ θώρακος μεταξὺ τοῦ πνεύμονος καὶ τοῦ ὑπεζωκότος, ὅπερ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινώδεις ἀποτελοῦνται. πυρέττουσι δὲ οἱ ἐμπυικοὶ ἀδιαλείπτως ἑκτικὸν πυρετόν. ῥήγνυται δὲ τὰ ἐμπυήματα, τὰ μὲν ἄνω, τὰ δὲ κάτω, καὶ τὰ μὲν κάτω εἰς κοιλίαν καὶ ἔντερα ἢ εἰς κύστιν μεταλαμβάνεται, δι᾽ ἀγγείων τινῶν

3—6 Ὅσα—καμνόντων | 7—9 ἐνίοτε—σαφής | 10. 11 ἀντέχειν—βήττειν *Gal. meth. med. V 12 (X 360, 13—16; 361, 4—6; 17—18; 366, 5—7)* 14 ἀναγεγρ. *cf. cap. 56* 17—19 διδόναι—γαστρί | 20—22 Περὶ ἐμπύων—συρραγῇ *Or.*[c] *32 (IV 196, 28—29)* 20—25 ἐμπυικοὶ—πυρετόν *Gal. in Hipp. Progn. comm. II 60 (XVIII 2, 202; 4—7)* ἐμπυικοὶ—ὑπεζωκότος *(21) cf. Gal. de tum. praet. nat. 3 (VII 716, 6—7) de caus. puls. IV 9 (IX 173, 3—6)* ἐμπ.—κινδυνωδέστερά ἐστι *(534, 2) Or.*[a] *IX 3 (275, 14—20) Paul. III 32 (I 216, 10—12, 25, 22—23)*

φ (L[a] P[x]) χ (M[o]) ψ (D P) ω (A[t]) 2 τῇ *om.* ω κονίαν στακτὴν ω 3 ἀρτηριῶν P[x] ω ἐν *alt.*] μὲν L[a] 4 ἔνδοθεν P[x] χ ἔσωθεν ψ 5 μάλιστ᾽ εἰ] μάλιστα ὅταν P[x] μάλιστα χ ψ ω *ante* κατ᾽: καὶ P[x] χ 6 θεραπεῦσαι] θεωρῆσαι ψ 7 οὗτοι *ante* ὕφαιμα *transp.* D P *ante* ἐφελκίς: ἡ ψ 9 δεῖ (*om.* P[x]) φυλάττειν α, *exc.* L[a] 10 καὶ—ποιήσαντας *om.* ψ τὰ *om.* ω 13 καὶ ἡ δι᾽ αἱρῶν *om.* P καὶ αἱ παραπλήσιοι *om.* D 14 ἔν τε τοῖς ἀρτηριακοῖς *ante* πρὸς *transp.* P *(Ald)* τε *om.* α, *exc.* φ καὶ] κἂν α, *exc.* L[a] 15 ὑπὸ τὴν γλῶτταν κατέχειν α, *exc.* L[a] ἀξιοῦνται P[x] . . . τας ψ τὸ *om.* ω 16 παραρρείῃ L[a] . . . ῥέει P[x] ω . . . ῥέῃ χ . . . ρρῇ ψ 17 δὲ] τε ψ 18 ἑστῶτος L[a] 20 *post* ἐμπύων (. . . πτύων ω): καὶ περὶ τῶν ἀπὸ γυμνασίων ἢ ἐκ καταπτώσεως σπάσμα ἐσχηκότων· Ἀρχιγένους P[x] Ἀρχιγένους ψ ω 22 μορίων (ὑμένων ω) τοῦ θώρακος ψ ω περιέχεται—ῥῆξιν *(23) addidi ex Or.*[a] 24 ταχέως P[x] . . . έος ψ 25 ἀδιαλ.] ἀεὶ λεπτῶς *Or.*[a] 27 εἰς *alt. om.* P[x] ω *ante* κύστιν: καὶ ω

τῆς μεταλήψεως γενομένης· ὅσα δὲ ἄνω ῥήγνυται, εἰς τὰ κενὰ τοῦ θώρακος, κινδυνωδέστερά ἐστι. διαγνώσῃ δὲ τοὺς ἐμπυικοὺς τούτῳ τῷ τρόπῳ· προηγησαμένης πλευρίτιδος, εἶτα τῶν μὲν σφοδρῶν πυρετῶν παυσαμένων καὶ τῆς μεγίστης ὀδύνης, βάρους δὲ αἰσθήσεως ὑπολιμπανομένης ἔνδον τῶν πλευρῶν ἐν βάθει τοῦ θώρακος, ἅμα τῷ μεταρρεῖν τι φαίνεσθαι κατὰ τὰς ἀθρόας ὑπαλλαγὰς τῆς κατακλίσεως, καὶ μάλισθ᾽ ὅταν ἀπὸ τῆς ἑτέρας πλευρᾶς ἐπὶ τὴν ἑτέραν σχηματίζωνται· πύου οὖν τηνικαῦτα πλῆθος ἐμφαίνεται καὶ κλύδωνός τινος πολλάκις αἰσθητῶς ἐστιν ἀκούειν ἐπ᾽ αὐτῶν ἐν ταῖς μετακλίσεσιν. ἐνδείκνυται δὲ τοῦτο σὺν τοῖς εἰρημένοις καὶ τὸ μηδὲν ἀξιόλογον ἀναπτύεσθαι, σφοδρᾶς προηγησαμένης πλευρίτιδος· ἔγνωμεν δέ τινας χωρὶς πυρετοῦ γεγονότας ἐμπυικούς, χυμοῦ ὀρρώδους ἢ φλεγματώδους ῥυέντος ἐκ τοῦ ὅλου σώματος εἰς τὰ κενὰ τοῦ θώρακος καὶ αὐτόθι σαπέντος. ἐφ᾽ ὧν μὲν οὖν ἀπὸ γυμνασίου ἢ καταπτώσεώς τινος σπάσμα γενόμενον ὀδύνην τινὰ περὶ τὸν θώρακα ἐν τῷ βάθει ἐπήνεγκε, νίτρον ὄξει καὶ ἐλαίῳ κυπρίνῳ ἐμβαλλέσθω καὶ κάχρυ δαψιλὲς θλασθὲν ἢ πύρεθρον ἀντὶ κάχρυος ἢ σταφὶς ἀγρία. θερμαινέσθω δὲ ταῦτα, εἶτα διυλισθέντα, ἐπιρριπτέσθω τοῖς τόποις μετ᾽ οἰσυπηρῶν ἐρίων. χρήσιμός ἐστιν ἡ ἐμβροχὴ αὕτη καὶ πολλάκις μόνη διεφόρησεν. ἐφ᾽ ὧν δὲ φλεγμονὴ προηγήσατο αὐτομάτως, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα, εἰ μηδέν τι κωλύοι, καὶ μετρίως κενοῦν, ἵνα μόνον κουφισμός τις γένηται, καὶ διαιτᾶν ἐν χυλῷ πτισσάνης καὶ μελικράτῳ, τῶν ἐκκρίσεων προνοούμενοι καὶ ἐφ᾽ ἡσυχίας σπουδαίως φυλάττοντες. καὶ τὰ μὲν πρῶτα αἱ δι᾽ ἐλαίου λιπαροῦ ἐμβροχαὶ ἁρμόσουσι, πιλημάτων ἐρίου αὐτῷ βρεχομένων καὶ ἐπιτιθεμένων· ἀπυρέτων δὲ ὄντων καὶ γλυκὺς σύμμετρος παραπλεκέσθω τῷ πολλῷ ἐλαίῳ καὶ ἐρίοις οἰσυπηροῖς ἀναλαμβανέσθω. αὕτη ἡ ἐμβροχὴ ἐπὶ τῶν ἀπυρέτων οὐκ ἀχρεία ἕως τῆς τρίτης ἐστίν. εἰ δὲ πυρετοὶ συνεδρεύουσι καὶ ἡ σύρρηξις παρηκολούθησε τοῦ πύου, πηγανίνῳ ἢ ἀνηθίνῳ ἐλαίῳ ἐμβρεχέσθωσαν ἢ μαλάχης ῥίζαι τῷ ἐλαίῳ ἐνεψείσθωσαν ἢ μάραθρον ἢ κύπρου ἄνθη. ἁρμοδιώτερον δὲ τὸ δεόντως ἐσκευασμένον κύπρινον. θερμανθέντα δὲ ταῦτα

2—13 διαγνώσῃ—θώρακος *Gal. de loc. aff. IV 11 (VIII, 284, 16—285, 9)*

Lᵃ φ Pˣ) χ (Mᵒ) ψ (D P) [*m.* 2 S] ω (Aᵗ.) 1 γιγνομένης α *(Or.ᵃ)*, *exc.* Lᵃ 2 *post* εἰσι (*pro* ἐστι): Περὶ γνώσεως ἐμπυικῶν Pˣ *in marg.* Cη ποίω τρόπω διαγνώσῃ τοὺς ἐμπυικοὺς P διαγνώσει Pˣ χ ω 5 τῷ] τὸ φ 8 οὖν *om.* Lᵃ ψ κλυδωνάς τινας D P 10—12 τοῦτο—ἐμπυικοὺς *om.* ω σὺν] ἐν Pˣ χ καὶ *om.* ω 11 *post* πλευρίτιδος: γνῶσις τοῦ χωρὶς πυρετοῦ γεγονότας ἐμπυικούς Pˣ 12 ἐμπύους α, *exc.* Lᵃ 14 *post* ἢ: ἐκ α, *exc.* Lᵃ 15 ἐν τῷ βάθει *om.* Pˣ D προσήνεγκεν χ ὑπήνεγκε ω 16 ἔλαιον κύπρινον ω ἐμβαλέσθω Pˣ D 17 ἀσταφὶς ψ 18 ἔστω Lᵃ 20 αὐτόματος α, *exc.* Lᵃ χ 21 τι κωλύοι] κωλύει (. . . οι χ) α, *exc.* Lᵃ κενοῖν Lᵃ 22 ἐπὶ χυλοῦ (. . . ῷ D) α, *exc.* Lᵃ 22. 23 προνοουμένους ψ ω φυλάττοντας ψ ω 24 *ante* ἐπιλημάτων *(sic)*: ἐπὶ ω ἐρίων D P αὐτὸ χ . . . ῶν ω *om.* ψ 26 προσπλεκέσθω χ περιπλέκ. ω 26. 27 ἀναλαμβάνεσθαι Lᵃ χ 27 ἄχριᵒ Pˣ . . . ρηστος χ . . . ιστος *Ald.* 29. 30 ἢ μαλάχης—ἐνεψείσθωσαν *om.* ω κυπέρου χ ψ 30. 31 ἄνθος Pˣ ψ . . . ους ω τὸ δεόντως] δέοντι [ἐνεψείσθωσαν τῶ ἐλαίω τῆς μαλάχης ῥίζης καὶ] *extra locum* ω

καὶ ἐρίῳ μαλακῷ καθαρῷ ἀναληφθέντα ἐπιτιθέςθω θερμότερα καὶ συνεχέςτερον ἀλλαςςέςθω. μετὰ δὲ ταῦτα καταπλάττειν προςήκει τοὺς μὲν μετὰ πυρετοῦ ἄρτῳ ἑφθῷ ἐν μελικράτῳ, ςελίνου χλωροῦ συνηψημένου τῷ μελικράτῳ, ἢ ςελίνου ςπέρματος ἐμπαςςομένου ἢ μαράθρου. χρηςιμώτερον δὲ βούτυρον ἀντὶ τοῦ ἐλαίου ἐμβάλλειν˙ ἔπειτα τὸ διὰ λινοςπέρμου κατάπλαςμα προςαγέςθω. εἰ δὲ μείζων ἡ θλῖψις εἴη καὶ τήλεως ἐμβεβλήςθω. εἰ δὲ ψῦξις αἰτία τῆς ἐμπυήςεως γέγονε, καὶ ἐρυςίμου ςπέρμα ἐμπάςςειν χρὴ τοῖς καταπλάςμαςι. χρονιζόντων δὲ τῶν ἐμπυημάτων ἐπιτείνειν χρὴ τὴν δύναμιν τῶν καταπλαςμάτων μιγνύντας τῷ κριθίνῳ καὶ ἰςχάδας ἑφθὰς καὶ ἀλθαίας ῥίζης καὶ τερεβινθίνης καὶ περιςτερᾶς κόπρου. γίγνεται δὲ ἐπὶ τῶν χρονιζόντων ςυρρήξεων χρήςιμον κατάπλαςμα καὶ ἐκ τῆς αἰγείας κόπρου μόνης, πεπαῖνον τὸ ςυναγόμενον καὶ διαφοροῦν˙ διαφορητικὸν δέ ἐςτι κατάπλαςμα. κάλλιςτον καὶ τὸ δι᾽ αἰρῶν ἀςφάλτου προςλαβόν. ἀφαιρεθέντων δὲ τῶν καταπλαςμάτων κηρώμαςι ςκεπέςθω τὰ πάςχοντα μέρη ἐςκευαςμένοις διὰ βουτύρου˙ προςειληφέτω δὲ καὶ ἶριν καὶ δαφνίδας ὀλίγας καὶ πήγανον˙ πρὸς γὰρ τὸ μὴ ψύχεςθαι τοὺς τόπους καὶ τῇ ἀναγωγῇ ςυνεργεῖ. ἐν δὲ τῷ τῆς ἀναγωγῆς καιρῷ καὶ ἡ διὰ χυλῶν ἁρμόδιος καὶ ἡ Μναςέου καὶ αἱ ἁπλούςτεραι μήλιναι˙ μετὰ ταῦτα δὲ καὶ ἡ Ἱκεςίου καὶ ἡ δι᾽ αἰρῶν. εἰ δὲ φόβος ῥεύματος εἴη, καὶ ἡ Θραςέα ἐπιτήδειος. ἐγὼ δὲ ςυνεχῶς χρῶμαι τῇ διὰ τοῦ ἀγρίου ςυκίου˙ πάντων γὰρ κρεῖττον ποιεῖ˙ προγέγραπται δὲ ἐν τῷ περὶ ἀςθματικῶν λόγῳ. ςυνεργεῖν μὲν οὖν χρὴ τῇ ἐκκρίςει τοῦ πύου, ᾗ ῥέπει˙ εἰ μὲν εἰς κοιλίαν ῥέποι, μαλακτικώτερα ἔςτω τὰ προςαγόμενα˙ εἰ δὲ ἐπὶ κύςτιν ῥέποι, τὰ διουρητικώτερα διδόναι. εἰ δὲ διὰ βηχὸς ἡ ἀνακάθαρςις γένηται, παντὸς προςάρματος οἰκειότερον ἡ πτιςςάνη ἔςται, μέλιτος

10. 11 ἰςχάδας ἑφθὰς—περιςτερᾶς κόπρου *Or.*^{a} *ib.* *(ib. 275, 23—24)* 22 προγέγραπται *cf. 512, 5 sq.* 26 ἡ πτιςςάνη—προςπλεκομένου *(p. 536, 1)* |

φ (L^a P^x) χ (M^o) ψ (D P) ω *(*(A^t) *Ald.)* 1 καθαρῷ *om.* ψ 1. 2 θερμότερα—ἀλλαςςέςθω *om.* ω 2 ἐναλλαςςέςθω P ω *post* ταῦτα: καὶ α, *exc.* L^a 3. 4 ςελίνου—μελικράτῳ *om.* φ 5 ἐμβαλεῖν P^x ψ ω 6 λινόςπερμα P^x χ ... ματος ψ ω 8 *post* καταπλάςμαςι: τὸ δὲ διὰ λινόςπερμα ἔμπλαςτρον ἔχει οἷον τῆλιν λινόςπερμα δάφνην βούτυρον κτλ. P^x 10 μιγνύντας] ἐπιτείνειν δὲ P ω ἰςχάςιν ἑφθαῖς P ῥίζη P ... ην ω 10. 11 τερεβινθίνη P ... ην ω 11 κο$^{πρ'}$ P^x ... ον P ω δὲ *om.* ω χρονιζουςῶν ψ ω *errorem servavi* 13 διαφορητικὸν δέ ἐςτι κα⟨τάπλαςμα⟩ *hic desin.* A^t 14 ἄςφαλτον P^x ψ ω *post* προςλαβόν: ἔςτι δὲ ἡ ςκευαςία αὐτοῦ τοιάδε *sqr. linea vacua* P^x 15 κηρώματι L^a 16 *post* βουτύρου: ἣ ἔχει οὕτως˙ κηροῦ βουτύρου τερεβινθίνης˙ ὁ μὲν κηρὸς λι ε̄ ὁ βούτυρος λι ς̄ τερεβινθίνης λι μιᾶς ἥμιςυ P^x δὲ *om.* L^a 17 τῷ ω ψύγεςθαι P^x 18 χυλοῦ D P 19 *post* ἁρμόδιος: ἣ *(sic)* ἐςτι ἡ ςκευαςία αὐτοῦ τ⟨οια⟩ύτη˙ τήλεως λινοςπέρμου πτιςάνης ἀνὰ λι ᾱ ἠβίςκου χυλοῦ κτλ. P^x *post* Μναςέου: ἔμπλαςτρος˙ ἔςτι δὲ ἡ ςκευαςία αὐτῆς τοιάδε˙ κηροῦ λι ε̄ λιθαργύρου ςτέατος βουτούρου ἀνὰ λι ε̄ καὶ ἐλαίου τὸ ἀρκοῦν P^x ταῦτα *om.* P ω 20 καὶ *pr. om.* α, *exc.* L^a *post* Ἱκεςίου: ἔςτι δὲ ἡ ςκευαςία αὐτοῦ τοιάδε˙ λιθαργύρου < ρ̄κ̄ ἐλαίου παλαιοῦ ξ^ε β̄ κτλ. P^x *post* αἰρῶν: ἔμπλαςτρος ἥτις ἐςτὶ οὕτως˙ οἴνου δὲ παντάπαςιν εἴργειν κτλ. P^x Θραςαίου P^x θραςεῖα ψ ω 22 δὲ *om.* L^a 23 ᾗ] ἤπου P^x εἰ L^a ψ *ante* εἰ: διὸ ψ ω 24 ῥέπει χ *om.* P^x ψ ω 25 ῥέπει χ ψ 26 γίγνοιτο α, *exc.* L^a προςαρμόςαντος L^a ἐςτὶ α, *exc.* L^a

ψυχροῦ προςπλεκομένου. τὰ δὲ διουρητικὰ προςπλεκόμενα ταῖς τροφαῖς ἐπιτήδεια ἔςται· ὅθεν ἂν ἡ ἔκκριςις τοῦ πύου γίγνοιτο. χρήςιμος δὲ καὶ ὁ κύαμος ἑφθὸς διδόμενος ἐν πάςῃ τῇ τῶν ἐμπύων διαφορᾷ, προςλαμβάνων ὀρόβων ὀλίγων προβραχέντων καὶ ἀπογλυκανθέντων τῇ ἑψήςει δυςὶν ὕδαςι. καὶ ςκορδοφαγία δὲ χρήςιμος τούτοις εἰς ἀνακάθαρςιν. τῶν δὲ πινομένων ἁπλούςτατόν ἐςτι μελίκρατον ἐναφεψημένης αὐτῷ ἴρεως καὶ γλυκυρίζης πλείςτης· ὁ δὲ τῆς γλυκυρίζης χυλὸς χρήςιμος καὶ διαμαςςώμενος καὶ λεανθεὶς καὶ ςηςάμῳ παραπλεκόμενος· ἐπιτήδειον δὲ καὶ τὸ ὕςςωπον ἑψόμενον τῷ μελικράτῳ. ἔλιγμα δὲ διδόναι τούτοις· πιτυίδων ςτροβίλων ἀμυγδάλων πικρῶν λινοςπέρμου ἀμύλου προςφάτου ἴςα, μέλιτος τὸ ἀρκοῦν. κάλλιςτον δὲ καὶ πέπερι ὀλίγον προςπλέκειν καὶ ἐρυςίμου ςπέρμα. εἰ δὲ χαλεπὴ βὴξ ἐνοχλεῖ, βούτυρον νεαρὸν ςὺν μέλιτι λεάνας δίδου ἐκλείχειν. Ἄλλο· ἔλιγμα ἀνακαθαῖρον τὰς ἐντὸς ἀποςτάςεις, ὥςτε καὶ ὑμένα εὐμεγέθη ἀνάγειν· καρδαμώμου < η̄ ςαγαπηνοῦ ςμύρνης ἀνὰ < δ̄ ὀπίου καςτορίου ἀνὰ < β̄ πεπέρεως < ᾱ· ὕδατι πλάςςε τροχίςκους ἄγοντας ἀνὰ ὀβολοὺς β̄ καὶ δίδου μεθ᾽ ὕδατος θερμοῦ τροχίςκον ᾱ. Θεςπιανὴ πρὸς τὰς ἐντὸς ὑποςτάςεις· ςελίνου ςπέρματος ὀπίου μελανθίου ἀνὰ 𐅵 γ̄ καςτορίου < β̄ δαύκου ςπέρματος ἴρεως ςινάπεως ἀνὰ < ς̄· ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος ἐν ὕδατι. Ἡ δι᾽ ὀρόβων πρὸς ἐμπυικούς· ὀρόβου βεβρεγμένου καὶ πεφρυγμένου καὶ λελεπιςμένου καὶ ἀληλεςμένου < η̄ ςτροβίλων < η̄ ἀμύλου < ς̄ πεπέρεως < ε̄ πηγάνου χυλοῦ < ᾱ καὶ μέλιτος ἀπέφθου τὸ ἱκανόν. Τὸ μέγα διὰ πραςίου· ναρδοςτάχυος πεπέρεως πραςίου χυλοῦ ἀνὰ 𐅵 ᾱ μέλιτος λι γ̄ οἴνου παλαιοῦ γλυκέος λι β̄· τὸν χυλὸν ςὺν τῷ οἴνῳ καὶ τῷ μέλιτι ἕψε καὶ ὅταν ςύςταςιν λάβῃ, ἐπίπαςςε τὰ ξηρὰ κεκομμένα καὶ

4—6 ὀρόβων—ἀνακάθαρςιν | 7. 8 ὁ δὲ τῆς γλυκυρίζης—παραπλεκόμενος *Or. ib. (ib. 275, 26—27, 22—23; 276, 3—4)* 9 ἐπιτήδειον—μελικράτῳ *Or.*ᵃ *ib. (ib. 275, 29—30)* 13—17 ἔλιγμα—τροχίςκον ᾱ | 20—537, 1 ἡ δι᾽ ὀρόβων—χρῶ *Or. ecl. med. ib. (ib. 33—197, 2, 3—6)*

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (D P) ω (*Ald.*) 1 ψυχροῦ] χυλοῦ Pˣ χρηςτοῦ χ ψ ω 2 εἰςὶν Pˣ ἐςτὶν χ ψ ω 3 πάςαις ταῖς . . . . διαφοραῖς ψ ω 4 ὀρόβους ὀλίγον προβραχέντας καὶ ἀπογλυκανθέντας P ω 5 τῇ *om.* φ χ δυςὶν ὕδαςι] ςὺν ὕδατι χ P ω ςκορᵒδοφαγία D ςκοροδ. Pˣ P ω 6 ἁπλούςτερον ψ ω *ante* ἐςτι: μὲν α, *exc.* φ 8 προςπλεκόμενος ψ ω 9 (= 13) ἔκλειγμα P ω 10 τοῦτο χ ψ ω λινοςπέρματος ψ ω 11 πεπέρεως Pˣ P ω 12 ἐνοχλῇ Pˣ . . . χλοίη φ ω 13 χλιάνας Pˣ χ P ω 14 ὑμένια χ D ἰμμήνια Pˣ 15 *post* ςαγαπηνοῦ: < δ̄, *om.* ἀνὰ *post* ςμύρνης α, *exc.* φ ὀπίου—ὀβολοὺς β̄ *(16) om.* P *post* ὀπίου: < β̄, *om.* ἀνὰ *post* καςτορίου χ ω 16 ἀνάπλαττε β̄] γ̄ *Or.* ω 17 *post* ᾱ: κνίδης ςπέρμα τετράγκανθον γλυκόριζον ὕςςωπον ὀρόβου ἀλεύρου ἴςα κτλ. Pˣ Θεςπιανὴ—μέγεθος ἐν ὕδατι *(20) om.* P 18 ςπέρμα Lᵃ χ D *post* ςπέρματος: < γ̄, *om.* ἀνὰ *post* μελανθίου D ω καςτορίου < β̄ *ante* ὀπίου D καςτορίου < β̄ ὀπίου < γ̄ μελανθίου < γ̄ χ 19 ς̄] ζ̄ α, *exc* Lᵃ 20 τὸ *om.* ω ἐν *om.* α, *exc.* φ ἡ δι᾽ ὀρόβων—ὡς καλλίςτῳ *(p. 537, 3) om.* Lᵃ 22 καὶ ἀληλεςμένου < η *om.* Pˣ *post* ςτροβίλων: ἀνὰ Pˣ 23 τὸ μέγα—καλλίςτῳ *(p. 537,3) om.* Pˣ χ 24 ᾱ] η̄ ψ

cεcηcμένα καὶ χρῶ. Πρὸc ἐμπύουc· ἀμώμου Ϝ β κασσίας Ϝ γ̅ cτύρακοc καλαμίνθου Ϝ α̅ c ναρδοcτάχυοc Ϝ α̅ c κρόκου Ϝ α̅ πεπέρεωc Ϝ α̅ καρδάμου < δ̅ λιβάνου < δ μέλιτοc λι γ̅. χρῶ ὡc καλλίcτῳ. Ἡ πάγχρηcτοc λεγομένη, βήττουcι χρονίωc ἐμπύοιc ὀρθοπνοικοῖc φθιcικοῖc ὑποχονδρίων διατάcεcι καὶ πρὸc πᾶcαν ἐμπνευμάτωcιν· κινεῖ γυναιξὶν ἔμμηνα καὶ τὰ cυγκαταλιμπανόμενα ἐκ φθορᾶc ἢ τόκου δεύτερα καὶ ἔμβρυα κατάγει, ἀπαλλάττει καὶ τὰc περὶ κύcτιν διαθέcειc· τερεβινθίνηc < η̅ cτύρακοc < ϛ̅ cμύρνηc < ε̅ κρόκου ἴρεωc χαλβάνηc ἀνὰ < δ̅ ὑοcκυάμου cπέρματοc μανδραγόρου φλοιοῦ ἐρυcίμου πεφρυγμένου ὀποπάνακοc ἀνὰ < β̅ πεπέρεωc ἀφρονίτρου ἀνὰ < α̅· ἀναλάμβανε τροχίcκουc καὶ δίδου ὀβολοὺc β̅ μετὰ μελικράτου κυάθων γ̅. Ἀντίδοτοc Ἀριcτέωc Ἀριcτάρχου, δύναμιc θαυμαcτή, ταύτην Παυλίναν ὀνομάζομεν· ποιεῖ βήττουcιν αἱμοπτυικοῖc φθιcικοῖc ἐμπύοιc περιπνευμονικοῖc, πρὸc cπάcματα ῥήγματα, πρὸc τὰc τοῦ cτομάχου ἀνατροπάc, χολέραc, κοιλιακοῖc δυcεντερικοῖc, πρὸc τὰc περὶ κύcτιν διαθέcειc καὶ τὰc ὑcτερικῶc πνιγομέναc, πρὸc τοὺc κατὰ περίοδον πυρετούc, πρὸ μιᾶc ὥραc τῆc ἐπιcημαcίαc διδομένη, ποιεῖ καχεκτικοῖc ἀτροφοῦcι, πρὸc τὰ θανάcιμα τῶν φαρμάκων καὶ τὰc τῶν ἰοβόλων πληγάc. ἔχει δὲ οὕτωc· κιναμώμου κόcτου χαλβάνηc καcτορίου ὀπίου πεπέρεωc μέλανοc καὶ μακροῦ cτύρακοc ἀνὰ Ϝ α̅ μέλιτοc ξ^{ϵ} α̅. τὰ ξηρὰ κόπτε καὶ cῆθε, τὴν δὲ χαλβάνην ἕψε μετὰ μέλιτοc ὀλίγου καὶ διύλιζε, εἶτα ἑνώcαc τὰ πάντα ἀπόθου εἰc πυξίδα ὑελίνην καὶ δίδου κυάμου αἰγυπτίου τὸ μέγεθοc μετὰ μελικράτου κυάθων β̅, ἐπιρραινομένου τῷ δακτύλῳ ὄξουc ὀλίγου χρῶ δὲ καὶ τοῖc πρὸc φθιcικοὺc ἀναγραφηcομένοιc· δίδου δὲ θαρρῶν καὶ τῆc ἰcοθέου ἀντιδότου τῆc ἐν τοῖc βηχικοῖc προγεγραμμένηc. χρῶ καὶ τῇ παιωνίᾳ λεγομένῃ ἀντιδότῳ· ἀναγέγραπται δὲ ἐν τῷ ιγ̅ λόγῳ

3—11 Ἡ πάγχρηcτοc—γ̅ *Gal. de comp. med. s. loc. (ex Apollonio) VII, 3 (XIII, 67, 16—68, 3) 5 (101, 13—102, 2)* 11—21 Ἀντίδοτοc—ὀλίγου *Gal. ib. (ib. 103, 7—104, 6)* 24 τ. πρ. φθ. ἀναγραφηcομένοιc *cf. p. 540, 22 sqq.*

φ (L^a P^x) χ (M^o) ψ (D P) ω (*Ald.*) 1—3 πρὸc ἐμπύουc—καλλίcτῳ *om.* ψ 3—11 Ἡ πάγχρηcτοc—κυάθων γ̅ *post* ὄξουc ὀλίγου *(23) transp.* χ ψ ω *ante* Ἡ πάγχρηcτοc: ἡ πάγχρηcτοc χ P ω 4 *ante* λεγομένη: χρήcιμοc εἰc πάντα ταῦτά ἐcτι α, *exc.* φ 5 διαcτάcειc L^a χ διατάcειc P^x 6 ἐγκαταλιμπανόμενα α, *exc.* L^a χ δευτέρου P^x δεύτερον P ω 7 *post* διαθέcειc: ἔχει δὲ οὕτωc ψ ω 8 < ε̅ *om.* ψ 9 πεφωγμένου α *(Gal.)*, *exc.* L^a 10 < β, *in marg.* $\Gamma\rho^{\alpha\iota'}$ $\lambda\iota^{\tau\rho'}$ β̅ D *post* πεπέρεωc: < α̅ c, *om.* ἀνὰ *post* ἀφρονίτρου α, *exc.* φ *ante* τροχίcκουc: καὶ ποίει P^x 11 *ante* ἀντίδοτοc: cκευαcία τῆc τοῦ Ἀριcτέωc ἀντιδότου ἣν παυλίναν καλοῦcιν *(in marg.* P*)* ψ ω *post* ἀντίδοτοc: ἡ Παύλου P^x 12 *ante* ποιεῖ: αὕτη ψ 13 πρὸc *om.* ψ χ 14 cπάcμαcι ω πτύcματα ψ ῥήγμαcι ω 15 *ante* πρὸc: καὶ ψ ω 17 *ante* καχεκτικοῖc: καὶ ψ ω 19 ὀπίου] ὀποῦ μήκωνοc *Gal.* 20 α̅] ε̅ P καὶ *om.* L^a 21 ἕψε] λῦε ψ 22 τὸ *om.* α, *exc.* φ 23 ἐπιρραινομένω L^a 24 χρῶ δὲ—ἀναγραφηcομένοιc *om.* ψ ω 25 τὴν ἰcόθεον ἀντίδοτον .... τὴν προγεγραμμένην P^x ψ ω *post* ἀντίδ.: ἔcτι δὲ ἡ cκευαcία αὐτοῦ τοιάδε· ναρδοcτάχυοc κινναμώμου καcίαc λευκῆc χυλὸν κτλ. P^x 26 ἀντιδότῳ *om.* ψ ω *post* ἀντιδ.: ἥτιc *(sic)* ἐcτὶν ἡ cκευαcία αὐτῆc τοιάδε· ἀμώμου Ϝ α̅ κρόκου Ϝ β̅ κτλ. P^x ἀναγέγραπται—ἀντιδότοιc *om.* P^x *post* ἀντιδότοιc: καὶ τοῖc πρὸc φθιcικοὺc ἀναγραφηcομένοιc *(v. l. 24)* P^x D ω

cὺν ταῖc πολυχρήcτοιc ἀντιδότοιc. πεποιῆcθαι δὲ χρὴ καὶ ἄλευρα ἐξ ὀρόβων λευκῶν βεβρεγμένων πρῶτον, εἶτ᾽ ἀνεξηραcμένων καὶ λελεπιcμένων καὶ ἀληλεcμένων. τοῦτο γὰρ καὶ γάλακτι ἑψομένῳ προcπλέκεται, προcλαμβάνον καὶ μέλιτοc καὶ cφόδρα ὠφέλιμον γίγνεται· προcπλέκεται δὲ καὶ τοῖc ἄλλοιc ῥοφήμαcι καὶ τὰ ἐπὶ τῶν δυcαναγώγων cκευαζόμενα ἐλίγματα καὶ ἐκ τοῦ τοιούτου cκευαζέcθω. ἀγαθὸν δὲ μιγνύειν τοῖc ῥοφήμαcι καὶ ἀμύγδαλα πικρὰ λελεπιcμένα, εὐανάγωγον δὲ ποιεῖ τὸ πύον καὶ τὸ κεφαλωτὸν πράcον cυνεψόμενον τοῖc ῥοφήμαcι καὶ αὐτὸ δὶc ἑψηθὲν καὶ λαμβανόμενον. πόμα δὲ ὕδωρ ἔcτω ἐπιμελῶc καθηψημένον. εἰ δὲ οἴνου χρεία γένοιτο, ὁ θηραῖοc ἢ ἕτεροc γλυκὺc διδόcθω ὀλίγοc. ὄξουc δὲ καὶ παντὸc ἑτέρου οἰνώδουc καὶ ὕδατοc ψυχροῦ ἀποχὴ ἔcτω. ἐν δὲ τῷ τῆc ἀπουλώcεωc καιρῷ ἐπιτήδειοc cκίλλινοc οἶνοc προποτιζόμενοc ἢ ἀψινθίτηc ἢ οἰνανθίτηc ἢ γλιχωνίτηc ἢ ὑccωπίτηc, ὁ μὲν ἀψινθίτηc καὶ οἰνανθίτηc ἐπὶ τῶν ἐμούντων καὶ τῶν διὰ κύcτεωc καθαρθέντων· ὑccωπίτηc δὲ καὶ cκίλλινοc ἐπὶ τῶν διὰ βηχόc, γλιχωνίτηc δὲ ἐπὶ τῶν διὰ τῆc κοιλίαc καθαρθέντων, καὶ μάλιcτα εἰ μελανίζοντα ὑπίοι cὺν τοῖc πυώδεcιν ἢ θρομβώδειc τινὲc cυcτροφαί. ἐπεὶ δὲ cυλλέγειν εἴωθεν ἐκ διαcτημάτων καὶ ἀπορρήγνυcθαι τὰ ἐμπυήματα, φροντιcτέον μετὰ τὴν ἀπαλλαγήν, ὅπωc μὴ πάλιν δρομοίη, γαλακτοποcίαιc χρώμενοι καὶ τῇ διὰ τῆc κολοκυνθίδοc ἱερᾷ καθαίροντεc, εἶτα καὶ δρώπακαc τοῖc τόποιc προcάγοντεc καὶ cμήγματα δριμύτερα φοινῖξαι τὴν ἐπιφάνειαν δυνάμενα καὶ ἐπιθέματα ταὐτὸ ποιεῖν δυνάμενα, οἷον τὸ δι᾽ εὐφορβίου τὸ διὰ δαφνίδων. παραληπτέον δὲ καὶ ἀμμοχωcίαν καὶ ἡ δριμυφαγία ἐπὶ τούτων χρήcιμοc ἐκ διαλειμμάτων καὶ μάλιcτα τὰ cκόροδα ἑφθά, πολλοὺc δὲ τῶν ἐμπύων μετὰ τὴν ἀπούλωcιν διὰ ταριχοφαγίαc ἀνεπηρεάcτουc διεφυλάξαμεν. διδόναι δὲ τούτοιc cυνεχῶc καὶ ὀξύμελι. ἔcτω δὲ cκίλλινον τὸ ὄξοc καὶ cυνεχῶc καθαίρειν τὸν θώρακα ἀβροτόνου ἀφεψήματι καὶ κενταυρίου καὶ ὑccώπου καὶ τοῖc ὁμοίοιc. εἰ δὲ πλειcτάκιc ἡ τοῦ πύου cυλλογὴ γίγνοιτο, ἀcφαλέcτερόν ἐcτιν ἐcχάραc διὰ καυτηρίων ἐμβάλλειν ἐν κύκλῳ τοῦ θώρακοc, ὡc ἐπὶ τῶν ἀcθματικῶν προείρηται.

25. 27 πολλοὺc δὲ—διεφυλάξαμεν *cf. Or.*^{a} *ib. (ib. 28)* 32 προείρηται *cf. cap. 63*

φ (L^a P^x) χ (M^o) ψ (D P) ω (*Ald.*) 2 πρῶτον (*om.* P^x) βεβρεγμένων P ω εἶτ᾽—λελεπιcμένων *om.* P^x ἀναξηραινομένων ψ ω 3 τούτοιc P^x ταῦτα ψ ω ἡψημένω α, *exc.* L^a χ 4 προcλαμβάνοντα P^x προλαμβάνοντα ψ ω μέλι ψ ω ὠφέλιμα ψ ω 6 ἐκλείγματα P ἐγκλείματα ω καὶ *om.* α, *exc.* L^a 7 *post* μιγνύειν: τοῖc φαρμάκοιc ἢ L^a 9 ὕδωρ ἔcτω] ὑδαρὲc P *post* ἔcτω: τὸ P ω 10 γένηται P^x ψ ω 11 οἰνώδουc ἑτέρου ψ ω οἰνώδ. *om.* P^x ἑτ. *om.* χ 13. 14 ἢ γλιχωνίτηc—οἰνανθίτηc *om.* α, *exc.* L^a 14. 15 ὑccωπίτηc—καθαρθέντων *om.* L^a 17 ὑπείcι P^x ἐποίει L^a ὑπύοι ω 20 δρ. = δραμοίη? χρωμένουc ψ ω τῆc *om.* ψ ω 21 καθαίρονταc ψ ω 21. 22 δεῖ προcάγειν ψ ω 22 cμίγματα φ 25 ἐκ διαλειμμάτων *om.* ψ τὰ *om.* L^a 28 καθαίρων ω 30 ἐcχάραν ψ ω 30. 31 καυτήρων ψ ω κενταυρίων L^a 31 ἐμβαλεῖν P^x ψ ω 31. 32 προειρήκαμεν· ἄλλη ἐξήγηcιc ἐμπυικῶν Παύλου. ἐμπύημα κατὰ τὰ κενὰ τοῦ θώρακοc ἢ τοῦ cώματοc κτλ. *(III, 32 [I 216, 9 sqq.])* P^x

Περὶ τῶν περιπνευμονικῶν. Ἡ περιπνευμονία φλεγμονή ἐςτι τοῦ πνεύμονος cὺν ὀξεῖ πυρετῷ. παρέπεται δὲ τοῖς πάςχουςι βάρος τοῦ θώρακος ἀνώδυνον. εἰ δὲ τῶν περὶ αὐτῶν ὑμένων φλεγμονὴ τῶν cυνδεδεμένων κατὰ μῆκος τῷ θώρακι, τότε καὶ ὀδύνης αἰςθάνονται, δύςπνοια δὲ αὐτοῖς cυνειςβάλλει καὶ ἀνακαθίζειν βούλονται. ἐπιπίπτων γὰρ ὁ πνεύμων τῇ καρδίᾳ πνιγμὸν ἐπιφέρει. τούτοις ἐρυθρὸν τὸ πρόςωπον καὶ μάλιςτα τὰ μῆλα, ῥὶς κατ᾽ ἄκρον ςιμοῦται, φλέβες ἐν κροτάφοις ἐπηρμέναι, ἀνορεξία ἀναπνοὴ θερμὴ γλώςςης ξηρότης, ψυχροῦ ὕδατος μᾶλλον δὲ ἀέρος ἐπιθυμία, βὴξ ξηρά. εἰ δὲ καὶ ἀναχθείη τι, ἀφρῶδες κατάχολον, ἔςτι δὲ ὅτε καὶ δίαιμον ἀνθηρὸν ςφόδρα, ὅ τε καὶ κάκιςτόν ἐςτιν· εἰ δὲ ἐπὶ τὸ θανατῶδες ῥέποι, ἀγρυπνία ςυνεδρεύει ἢ ὕπνοι ςμικροὶ κωματώδεις καὶ φαντασίαι παράληροι τὴν γνώμην, οὐ πάνυ αἰςθανόμενοι τῶν παρόντων κακῶν, ἄκρα ψυχρά, ὄνυχες πελιδνοὶ καὶ γρυποῦνται. τεταρταῖοι ἢ τὸ πλεῖςτον ἑβδομαῖοι οὗτοι ἀποθνήςκουςιν. εἰ δὲ ἐπὶ τὸ ἀγαθὸν τρέπεται ἡ νόςος, αἱμορραγία λαῦρος ἐκ ῥινῶν ἀκολουθεῖ ἢ ἐπακολουθεῖ ἢ κοιλίας ἐκτάραξις πολλῶν χολωδῶν καὶ ἀφρωδῶν· ἔςτι δὲ ὅτε μεταβληθεῖςα εἰς πύον ἡ φλεγμονή, διὰ γαςτρὸς ἢ δι᾽ οὔρων τὸ πύον ἐκκρίνεται καὶ αὐτίκα τῶν ὀχληρῶν ῥύονται. εἰ δὲ εἰς τὸν πνεύμονα ὁρμήςῃ ἀθρόως, ἢ ἀπέπνιξεν ἢ μετὰ πάνυ χαλεπῶν ςυμπτωμάτων εἰς φθίςιν μεθίςτανται. εἰ μὲν οὖν μηδὲν ἀντιπράττοι, τέμνειν χρὴ αὐτίκα τὴν ἐν ἀγκῶνι φλέβα, εἰ δὲ ἐπιδέχεται καὶ ἐξ ἀμφοτέρων τῶν χειρῶν. κενοῦν δὲ ςύμμετρον καὶ μὴ μέχρι λειποθυμίας, φυλάττειν δὲ καὶ εἰς τὴν ἐπαφαίρεςιν. εἰ δέ τι μεῖζον κωλύει τὴν φλεβοτομίαν, ὑποκλύζειν δριμεῖ κλυςτῆρι δι᾽ ἀφεψήματος ὑςςώπου καὶ κολοκυνθίδος καὶ πηγάνου καὶ μέλιτος καὶ ἐλαίου πλείςτου καὶ νίτρου καὶ ἁλῶν ἐμβαλλομένων. καὶ τῶν φλεβοτομηθέντων δὲ τὴν ἕδραν διαχρίειν τοῖς πνεῦμα ἄγουςι καὶ τὴν διαχώρηςιν ἐρεθίζουςιν. οἷον μέλιτι μετὰ κυμίνου καὶ πηγάνου

οδ

1—20 Ἡ περιπνευμονία—μεθίςτανται *Aret. II, I p. 15, 15-19, 21-25* (ἀναπνοήν), *25* (ἐρυθροὶ)—*16, 3* (ξυνεληλαμένοι), *5* (ἐφ᾽ ᾗ)—*11* (κακῶν), *12* (ἄκρεα)—*16* (ἐπάφρων), *17* (ἔςτι δὲ)—*18* (ἐτράπετο), *20* (κῆν εἰς)—*22* (περιπνευμονίης), *23* (ἢν δὲ ἐς)—*24* (ἀπεπνίγηςαν) *cf. Wellm. o. l. pp. 51—52* 21—*p. 540, 10* εἰ μὲν οὖν—πνεύμονι *Aret. VI, 1 (119, 3—10, 16—19, 1—3, 9—18)*

φ (L^a P^x) χ (M^o) ψ (D P) ω (*Ald.*) 3 εἰ] ἡ L^a περὶ] παρ᾽ ω αὐτὸν ψ *post* φλεγμονή: εἴη ψ ω 4 αἰςθάνεςθαι L^a 5 αὐτοῖς] τούτοις α, *exc.* L^a 6 ἐρυθρὸν (δὲ ψ) τούτοις α, *exc.* L^a 7 *ante* φλέβες: καὶ P^x 8 ἀνορεξίαι P^x 9 *ante* ἀέρος: καὶ P^x 10 δὲ *om.* ψ ω 11 ῥέποιεν ψ ω 11. 12 ςυνεδρεύοι L^a 12 παράλληλοι P ω 15 τρέπηται χ . . . οιτο ψ ω 17 ἢ ἐπακολουθεῖ *om.* α, *exc.* L^a χ 17 μεταβληθείςης . . . . . τῆς φλεγμονῆς ψ ω 14 ῥύεται ψ ὁρμήςει α, *exc.* L^a 19. 20 ἀπέπληξεν L^a 22 κενοῖν L^a χ δὲ] δεῖ ψ ω 24 *post* δὲ: τι α, *exc.* φ *post* ἐπαφαίρεςιν: καὶ εἰς τὴν διαίρεςιν μὴ πλατεῖαν διαίρεςιν ποιεῖν, ἵνα μὴ ἐκ ταύτης λειποθυμία ἐπιγίγνεται, μήτε μὴν ςτευὴν διδόναι τὴν διαίρεςιν, ἵνα μὴ διυλιζομένου τοῦ αἵματος ἔνδον τὸ κακὸν ἐπιμήν<η> P^x 25 ὑςςώπου] κράμβης τήλεως μέλιτος χαμαιμήλου ἀνεμοχορ$^{τ'}$ μελο^{χ} πιτύρων κριθαρίου P^x 26 ἁλὸς ἐμβαλλομένου P^x 28 πηγάνου καὶ κυμίνου P ω

καὶ νίτρου ὀλίγου. ποτιστέον δὲ τοὺς περιπνευμονικοὺς μετὰ τὰς καθολικὰς κενώσεις μελίκρατον ἐν ᾧ ὕσσωπον ἀφέψητο ἢ ἶριν ξηρὰν λείαν ἐμπάσσειν τῷ μελικράτῳ κοχλιάρια β̄. εἰ δὲ πνιγμὸς κατεπείγοι, καὶ νίτρον ἐμπάσσειν τῷ ἀφεψήματι τοῦ ὑσσώπου. τροφὴ δὲ ἔστω λεπτύνουσα· πτισσάνη συνεψῶν ὀρίγανον ἢ ὕσσωπον ἢ πέπερι ὀλίγον λεῖον ἐμπάσσειν τῷ χυλῷ. ἐνίοτε δὲ καὶ νίτρον ἀντὶ ἁλῶν ἐμβαλών, ὅσον ἐπιδέχεται καὶ πράσον δὲ κεφαλωτὸν δίεφθον διδόσθω καὶ χόνδρος κάτεφθος σὺν μελικράτῳ· πάντα δὲ ἄφυσα. τὸ δὲ ποτὸν μελίκρατον ἔστω καὶ ὀλίγον τῷ ποσῷ· κακὸν γὰρ ὑγρότης πνεύμονι· ὑπὸ δέ τὴν γλῶτταν δίδου κατέχειν μέλι παστελλωθέν, ἐν τῇ ἑψήσει ἐμπεπασμένων αὐτῷ ὑσσώπου καὶ καλαμίνθης λειοτάτων. χρῶ δὲ καὶ τοῖς ἐπὶ τῶν πλευριτικῶν ῥηθησομένοις ἐλλίγμασι καὶ ἡ σύμπασα δὲ δίαιτα τῶν γιγνομένων περιπνευμονικῶν ἡ αὐτὴ ἔστω τῶν πλευριτικῶν καὶ τῶν ἐμπύων. ὁ δὲ θώραξ αὐτῶν ἔξωθεν σκεπέσθω ἐρίοις μετ᾽ ἐλαίου καὶ νίτρου καὶ κηρωτῇ δὲ σκέπειν τὸν θώρακα καὶ τὰς πλευρὰς διὰ πηγανίνου ἢ κυπρίνου ἐλαίου, ἐχούσῃ ἶριν ἐμπεπασμένην ξηρὰν ἢ τὸ διὰ κηροῦ καὶ τερεβινθίνης καὶ μυελοῦ ἐλαφείου καὶ ὑσσώπου ὑγροῦ καὶ βουτύρου καὶ ἴρεως λειοτάτης ἐπίθεμα προσαγέσθω· ἔστω δὲ ἴσα τὰ πάντα. ἐνίοτε καὶ ναρδίνου μύρου ἐμβάλλω καὶ μετὰ ταῦτα τὰ ἐπὶ τῶν ἐμπυικῶν καὶ τῶν φθισικῶν εἰρημένα πάντα γιγνέσθω.

οε Περὶ φθισικῶν Γαληνοῦ. φθίσις ἐστὶ κυρίως ἕλκωσις τοῦ πνεύμονος ταῖς τοῦ αἵματος πτύσεσιν ἑπομένη, ὅταν τῆς αἱμορραγίας ἐπισχεθείσης μὴ κολληθῇ τὸ ἕλκος, μηδὲ ἐπουλωθῇ. παρέπεται δὲ φθίσις καὶ ἐπὶ τῶν ἐμπυικῶν καὶ τῶν περιπνευμονικῶν, ἔσθ᾽ ὅτε δὲ καὶ τῶν πλευριτικῶν παθῶν. δυσιατώτατα δ᾽ ἐστὶ τὰ ἐν τῷ πνεύμονι ἕλκη· χωρὶς μὲν γὰρ τοῦ βήττειν οὐκ ἀνακαθαίρονται, βηττόντων δὲ

1—3 ποτιστέον—β̄ | 14—21 ὁ δὲ θώραξ—γιγνέσθω *Or. 33 (IV 197, 8—14)* 12 ῥηθησομένοις *cf. p. 594, 14 sqq.* 14. 15 ὁ δὲ θώραξ—θώρακα *Aret. ib. (120, 19—21)* 17—19 ἢ τὸ διὰ κηροῦ—ἐμβάλλω *cf. Wellm. o. l. p. 54* 22—23 φθίσις—πνεύμονος *Gal. def. med. 260 (XIX, 419, 15)* φθίσις—παθῶν *(26) Or.ª IX 4 (276, 6—9) cf. Paul. III 32 (I 216, 25—26)*

φ (Lª Pˣ) χ (Mº) ψ (D P) ω (*Ald.*) 1 ὀλίγου] παχέος P βραχέος Pˣ χ D ω 2 ἀφήψηται α, *exc.* Lª 3 κατεπείγη χ . . . ει D 4 κατεμπάσσεις D . . . σαις P 5 συνεψῶν] ἡψημένη ψ ω σὺν ὀριγάνω ψ ω ὑσσώπω ψ ω 5—6 πέπερι λεῖον ὀλίγον χ ψ πεπέρεως λείου ὀλίγον ω ὀλίγον *om.* Lª ἐμπάσσων χ ω . . . . σσόμενον ψ νίτρου Lª 7 ἰμβαλεῖν α, *exc.* Lª χ *ante* ὅσον: ἢ Pˣ χ δίσεφθον Pˣ ψ 9 καὶ *om.* ψ ω 10 γλῶσσαν ψ ω διακατέχειν α, *exc.* Lª *ante* μέλι: τὰ προγραφέντα ὑπογλώττια ἐν τοῖς βηχικοῖς καὶ ἀρτηριακοῖς ἢ Pˣ παστελωτὸν Pˣ παστηλº χ πα στιλωθὲν ψ ω 11 *post* ἑψήσει: δίδου διακατέχειν Pˣ ἐμπεπασμένου Pˣ ω λειοτάτης Pˣ ω 12 ἐκλείγμασι P ἐλλίγμασι Lª χ D 13 περιγι(γ)νομένων Pˣ χ ἐστι P ω 16 ἔχουσαν Lª . . . σα Pˣ . . ουˢ χ 18 ἐπίθεμα *om.* χ 19 νάρδου Lª νάρδινον μύρον ψ ω ἐμβαλεῖν Pˣ δεῖ ἐμβάλλειν ψ ω 20 τῶν *alt. om.* ψ ω 21 γίγνεσθαι. Ἀρχιγένους· τί ἐστι περιπνευμονία· ἡ περιπνευμονία φλεγμονή ἐστι τοῦ πνεύμονος· τὰ πολλὰ μὲν ἐπὶ κατάρροις ἰσχυροῖς κτλ. Pˣ 22 Γαληνοῦ *om.* Pˣ χ 27 μὲν *om.* Lª

ἐπιρρήγνυται τὸ ἕλκος. ἀλλήλων οὖν αὐτοῖς κυκλεῖται τὰ κακά· σπαραττόμενα γὰρ ὑπὸ τῆς βηχὸς τὰ φλεγμαίνοντα, δεύτερον αὖθις πεφθῆναι δεῖται ἡ φλεγμονὴ καὶ πάλιν ἐπικίνδυνον ἀνακαθαρθῆναι τὸ πύον δίχα βηχός, ὥστε ἐκ πάντων αὐτοῖς παρεσκεύασται τὸ δυσίατον, οὔτε τῶν διδομένων φαρμάκων ψαῦσαι δυναμένων τοῦ ἕλκους, πρὶν ἐν τῇ γαστρὶ ἀλλοιωθῆναι καὶ ὅτι κινεῖται ὁ πνεύμων ἀεὶ κατὰ τὰς ἀναπνοὰς καὶ σπαράττεται κατὰ τὰς βῆχας. χρόνου δὲ προϊόντος καὶ οἱ χόνδροι τῆς ἐν τῷ πνεύμονι τραχείας ἀρτηρίας ἐπικαίονται, ὡς ἐπὶ τῶν ἔξωθεν ἑλκῶν τὰ ὀστᾶ, ἅτινα ἐπιξέειν πρὸς λεπίδος ἀπόστασιν οὐκ ἐπιδέχεται. τὰ δὲ χρονίζοντα ἐν τῷ πνεύμονι ἕλκη κἂν θεραπευθῇ ποτε, καταλείπει γέ τι λείψανον ἐν αὐτῷ τυλῶδές τε καὶ συριγγῶδες, ὃ χρόνου προϊόντος ἐπὶ βραχείαις προφάσεσιν ἀναδέρεται ῥᾳδίως· ὅθεν συναναφέρεται τοῖς ἀναπτυομένοις ἐντεῦθεν, ἐνίοτε καὶ ἐφελκὶς καί τις αἵματος βραχὺς σταλαγμὸς καὶ ἑτέρας ἀρχῆς χρῄζει τὸ ἕλκος εἰς θεραπείαν. ἡ δὲ ἐκ τῶν πτυσμάτων σημείωσις προγέγραπται ἐν τῷ περὶ πυρετῶν λόγῳ, λέγω δὴ ἐν τῷ ε̅, ὅθεν περιττὸν ἡγοῦμαι κἀνταῦθα τὰ αὐτὰ λέγειν. θεραπεύειν δὲ χρὴ τὰ ἐν τῷ πνεύμονι ἕλκη εὐανάγωγα παρασκευάζοντας τὰ ὑποκείμενα τῶν ὑγρῶν καὶ ἀνακαθαίροντας ἐπιμελουμένους τε ὥστε μὴ συνάγεσθαι ἕτερα. καταπλάσματα μὲν οὖν ἐν ἀρχαῖς παραληπτέον τὰ διὰ λινοσπέρμου καὶ γύρεως δι᾽ ἀφεψήματος τήλεως καὶ ἀλθαίας ἐλαίου τε καὶ μέλιτος· μιγνύσθω δὲ αὐτοῖς καὶ τὰ τῆς ἀλθαίας φύλλα λεῖα· προσαγέσθω δὲ ταῦτα εὐθέως μετὰ τὰς ἀνέσεις τῶν παροξυσμῶν. χρόνου δὲ προϊόντος ἐπὶ τὰς κηρωτὰς μεταβατέον τὰς διὰ βουτύρου καὶ δαφνίνου ἐλαίου ἢ κυπρίνου ἐσκευασμένας. ἐν δὲ τῷ τῆς ἀνακαθάρσεως καιρῷ ἐπιθέματι χρηστέον ἐκ τερεβινθίνης καὶ κηροῦ καὶ κυπρίνου καὶ βουτύρου καὶ μυελοῦ ἐλαφείου καὶ στέατος ταυρείου καὶ ἴρεως λειοτάτης καὶ

13. 14 συναναφέρεται—ἐφελκὶς *cf. Gal. de loc. alt. IV 11 (VIII, 289, 8—9)* 17—22 θεραπεύειν—λεῖα | 23—*p. 542, 3* χρόνου—προσακτέον *Or.*ª *ib. (ib. 276, 9—10, 14—16, 17—21)* 15 προγέγραπται *cf. p. 31, 12 sqq.* 19—25 καταπλάσματα—ἐσκευασμένας *Paul. ib. (ib. 217, 21—24)*

φ (Lª Pˣ) χ (Mº) ψ (D P) ω (*Ald.*) 1 τὰ ἕλκη ψ ω *ante* ἀλλήλων: δι᾽ ψ ω ἑαυτοῖς Pˣ ἐπ᾽ αὐτοῖς χ *om.* ψ ω 1. 2 πραττόμενα Lª σπαραττομένων ψ ω 2 τῶν φλεγμαινόντων ψ ω 3 ἐπικινδύνως χ P ω 4 δίχα] διὰ α, *exc.* Lª 9 ἔξω ψ ω ἐπιξύειν ψ ω 11 καταλείπει (. . . η) γε] ρ. καταλείπεται ψ ω ἐν] ἐπ᾽ α, *exc.* φ 13 ἐνίοτε] γίνεται χ ψ 16 λέγω—ε̅ *om.* Pˣ δὴ] δὲ ω 16. 17 ὅθεν—λέγειν *om.* ψ 17 τὰ *om.* χ ψ *ante* θεραπεύειν: θεραπεία τῶν ἐκ τοῦ πνεύμονος ἑλκῶν ω, *in marg.* P χρὴ] δεῖ P ω 18 εὐάγωγα P ω 19 ἕτερα μὴ συνάγεσθαι α, *exc.* Lª 19. 20 *ante* καταπλάσματα: θεραπεύειν δὲ χρὴ πρῶτον τοὺς φθισικούς· τροφὴ δὲ ἔστω κεφαλωτὰ πράσσα κτλ. Pˣ λινοσπέρματος ψ 21 δι᾽ ἀφεψήματος *om.* ψ *ante* τήλεως: καὶ ψ ἀλθαίας] μαλάχης Pˣ *Or.* *post* μέλιτος: καὶ ἀλθέας Pˣ 22. 23 μιγνύσθω—παροξυσμῶν *om.* Pˣ 23 προιόντος] παραλελυθότος Pˣ διελθόντος χ ψ ω 24 *ante* βουτύρου: τοῦ ψ ω καὶ δαφνίνου—προσακτέον *(p. 542, 3)* καὶ κυπρίνου καὶ ἴρεως *[Or.]* καὶ ῥαφανίνου καὶ τοῖς Μνασέου καὶ ἡ Ἱκεσίου ἔμπλαστρος· ῥευματιζομένου δὲ τοῦ θώρακος τοὺς διὰ ἰτεῶν *[cf. Or]*· προποτιστέον δὲ αὐτοῖς *et alia multa* Pˣ 25 ἢ κυπρίνου] καὶ κηροῦ ψ ω σκευαζομένας α, *exc.* Lª τῷ *om.* ψ ω

ὑccώπου ὑγροῦ ἴcων. μετὰ δὲ ταῦτα τῇ Μναcέου ἐμπλάcτρῳ χρηcτέον ἤ τινι τῶν ἁπλουcτέρων μηλίνων· ῥευματιζομένων δὲ τῶν τόπων, τὴν δι᾽ ἰτεῶν προcακτέον, ἥτις ἐν τῷ καιρῷ τοῦ ἀναξηραcμοῦ ἐπιτήδειος ἔcται καὶ ἡ διὰ τοῦ ἀγρίου cικύου ἡ προγεγραμμένη ἐπὶ τῶν ἀcθματικῶν καὶ ἡ δι᾽ αἰρῶν. ἵνα δὲ μὴ περιτείνηται ὁ χρὼc ἄλειφε πρῶτον τὸν τόπον, καὶ οὕτωc ἐπιτίθει τὰ ἐχέκολλα φάρμακα· οὕτω γὰρ εὐμαρέcτερον ἀποcπᾶται. κάλλιcτον δὲ πρὸc αὐτοὺc μάλαγμα, ἐν τῷ τῆc ἀπουλώcεωc καιρῷ τόδε· κηροῦ πίccηc ἀνὰ λι$^{τρ'}$ $\bar{α}$ ἰξοῦ δρυίνου ἀμμωνιακοῦ θυμιάματοc ἀνὰ ℉ δ κηκίδοc ὑποκυcτίδοc cτυπτηρίαc cχιcτῆc ἀκακίαc cιδίων cεύτλου cπέρματοc ῥοῦ μαγειρικοῦ ἀνὰ ℉ $\bar{α}$ μυρcίνου ἢ ῥοδίνου ἀνὰ ℉ $\bar{δ}$. ἐν δὲ τῷ χειμῶνι μικρῷ πλέον ὄξει λείου τὰ ξηρὰ καὶ τοὺc ὀποὺc καὶ τήξαc τὰ τηκτὰ καὶ ἄραc ἀπὸ τοῦ πυρὸc ἐπίβαλλε τὸν ἰξόν. τακέντοc δὲ τούτου, ἐπίβαλλε ἐν τῇ κακκάβῃ τὰ λειωθέντα καὶ ἑνώcαc κατάχεε ἐν τῇ θυίᾳ καὶ μαλάξαc χρῶ. τῶν δὲ πινομένων φαρμάκων ἁπλούcτατον μέν ἐcτι τὸ μελίκρατον καθ᾽ αὑτὸ καὶ cὺν ἀμύλῳ καὶ ἴρεωc καὶ γλυκυρίζηc ἐν αὐτῷ ἀφεψομένων. πάντων δὲ ἐπιτηδειότερον τοῖc φθιcικοῖc τὸ ὄνειον γάλα πινόμενον· εἰ δὲ μὴ τὸ βόειον ἢ αἴγειον, καρκῖνοι ὠμοὶ λεαινόμενοι cὺν τῷ γάλακτι καὶ ῥοφούμενοι ἢ ἑφθοὶ ἐcθιόμενοι cυνεχῶc ἐπιρροφούμενοι τοῦ ζωμοῦ. ἐπιτήδειον δὲ αὐτοῖc καὶ cτέαρ ἐλάφου πρόcφατον τηκόμενον καὶ cυνεψόμενον τοῖc ῥοφήμαcι, βηχὸc δὲ χαλεπῆc ἐνερειδούcηc, καὶ θύμοc λεῖοc καὶ ὕccωποc ἀναλαμβάνεται μέλιτι ἑφθῷ καί ὑπὸ τῇ γλώττῃ διακρατεῖται. ἁρμόζει δὲ βούτυρον πρόcφατον cὺν μέλιτι καὶ τερεβινθίνῃ ἴcοιc ἑψομένοιc. ἐπὶ δὲ τῶν ἀνεχομένων καὶ πλέον ἔcτω τὸ βούτυρον, πρόcφατον μέντοι· ἀνακαθαίρει γὰρ κάλλιcτα, ἡ δὲ δόcιc κοχλιάριον νήcτει. καλὸν δὲ καὶ ἀμύγδαλα μάλιcτα πικρὰ cυνεψεῖν τῇ πτιccάνῃ καὶ κεφαλωτὸν πράcον cὺν τῇ πτιccάνῃ ἢ ἑτέρῳ ῥοφήματι ἑψηθὲν καὶ καθ᾽ αὑτὸ δὶc ἡψημένον λαμβανέcθω. οἶνοc δὲ Θηραῖοc

4 ἡ προγεγρ. *cf. ad p. 535, 22* 14—16 τῶν δὲ πινομένων—ἀμύλῳ *Or.*[a] *ib. (ib. 21—23)* 16—18 πάντων—αἴγειον *cf. Aret. VII, 5 (159, 21—22, 27 sqq.)* 21—23 βηχὸc—διακρατεῖται *Or.*[a] *ib. (ib. 24—26) Paul. ib. (ib. 217, 27—30)* 26—28 καλὸν δὲ—λαμβανέcθω *cf. Aret. ib. (ib. 159. 30 sqq.)*

φ (L[a] P[x]) χ (M[o]) ψ (D P) ω (*Ald.*) 1 ἴcον L[a] χ 3 *ante* ἐν: δὲ P[x] καὶ χ ψ ω 4 ἔcτι α, *exc.* L[a] *ante* καὶ: ὁμοίωc (δὲ P[x]) α, *exc.* L[a] χ διὰ *om.* L[a] 5 ἡ *om.* ψ ω 8 *post* κηροῦ: λι $\bar{α}$, *om.* ἀνὰ *post* πίccηc α, *exc.* L[a] D *post* δρυίνου: ℉ $\bar{δ}$ α, *exc.* L[a] 9 θυμιάματοc *om.* ψ ἀνὰ *om.* α, *exc.* L[a] 10 cεύτλου] cελίνου α, *exc.* L[a] μυρcίνηc D ω . . . cι$^{ν'}$ P 11 ἀνὰ *om.* α, *exc.* L[a] μικρὸν L[a] 12 ἐπίβαλε D ω 13 ἐπίβαλε χ D ω 16 καὶ *pr. et alt.*] ἢ α, *exc.* L[a] ἀφηψημένων P[x] ψ ω *ante* πάντων: καὶ ἀριcτολοχίαc *add. m. 2*[a] *extra lin.* P[x] 17 *post* φθιcικοῖc: ἐcτι τοῦτο, ὡc πεῖραν ἔγνωμεν ἐκ τούτου γεγονέναι τοῖc λαμβάνουcι νη$^{cτ'}$ P[x] 18 ἢ τὸ αἴγειον ἢ τὸ βόειον ὁμοίωc δὲ P[x] τὸ *om.* α, *exc.* L[a] *ante* καρκῖνοι: καὶ (οἱ P[x]) α, *exc.* L[a] 19 ἐπιρροφουμένου ψ ω 22 ὕccωπον P[x] ψ ω 23 *post* δὲ: καὶ (τοῦτο P[x]) α, *exc.* L[a] 24 ἴcοιc ἡψημένοιc χ ἴcη ἡψημένον ψ ω ἀνὰ Γρ ξ P[x] *ante* ἐπὶ: ἑψήcαc ὁμοῦ ὡc μέλιτοc καλοῦ πάχοc, δίδου ὑπὸ τὴν γλῶτταν διακρατεῖν καὶ τὸ cίελον καταπίνειν P[x] καὶ *om.* α, *exc.* L[a] 26 πικρὰ μάλιcτα P[x] χ 28 *ante* δὶc: δὲ χ D

καὶ σκυβελλίτης διδόσθω σύμμετρος πάνυ τῷ πλήθει. Ἔλιγμα δὲ τοῖς φθισικοῖς ἁρμόδιον τοιοῦτον· μέλιτος καλλίστου λι^τρ' α̅ ⟨φοινίκων ℥ δ̅⟩ σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων ℥ β̅ κρόκου ἴρεως ὑοσκυάμου σπέρματος τραγακάνθης ἀνὰ < δ̅ στύρακος ξανθοῦ ℥ α̅ στροβίλων < ις̅ ἀμύλου ℥ α̅ς̅ δίδου κοχλιάριον νήστει· ἡ τραγάκανθα γλυκεῖ οἴνῳ ὀλίγῳ διαλυέσθω, ὁ δὲ στύραξ ὁλμοκοπείσθω καὶ ἐπιβαλλέσθω αὐτῷ τὰ λοιπὰ γ̅. Ἄλλο. χυλὸν μαράθρου μέλιτι ἴσῳ συνεψήσας ἐπὶ πολὺ ἐπίβαλε ὡς πρὸς ξ^ε α̅ κρόκου < α̅ ῥοῦ ποντικοῦ < β̅, ἐνίοτε δὲ καὶ ὑποκυστίδος < α̅. εἰ δὲ τραχυσμὸς εἴη περὶ τὸν λάρυγγα, ἐπίβαλε καὶ γλυκυρίζης λείας < β̅ καὶ δίδου κοχλιάριον μετὰ τροφήν. Ἄλλο· σκίλλαν ὀπτήσας καλῶς, λείου τὸ ἐγκάρδιον καὶ ἐπιβαλὼν μέλιτος μέρη ς̅ πρὸς ἓν μέρος τῆς σκίλλης, δίδου νήστει κοχλιάριον. Ἄλλο ἔλιγμα δόκιμον· πρασίου ὑσσώπου ἴρεως γλυκυρίζης γλήχωνος δικτάμνου ἐλελισφάκου ἰσχάδων φοινίκων πατητῶν ἀνὰ ℥ α̅ ὕδατος ξ γ̅· κόψας ἁδρομερῶς βρέχε ἡμέρας γ̅, εἶτα ἕψε εἰς τὸ τρίτον καὶ διηθήσας ἐπίβαλε μέλιτος λι α̅ καὶ ἕψε μέχρι συστάσεως, εἶτα ἐπίβαλε ὀροβίνου ἀλεύρου Γρ ιβ̅ τερεβινθίνης ℥ α̅ ἀμύλου < δ̅ μαστίχης λειοτάτης < δ̅ τραγακάνθης ℥ α̅· τὴν τραγάκανθαν βρέχε ὀλίγον τῷ ἑψήματι καὶ λεάνας ἐπίβαλε αὐτῇ τὰ λοιπὰ ξηρὰ καὶ ἑνώσας ἐπίχεε αὐτοῖς τὰ ἑψηθέντα καὶ ἀναλάμβανε καὶ δίδου κοχλιάριον νήστει καὶ χρῶ θαρρῶν καὶ εἰς κοίτην ὁμοίως χρῶ· πεπείραται γάρ. Φθισικὸν τοῖς ἐμπυικοῖς καλόν· ὀρόβων λευκῶν ἄλευρον χυλῷ σκίλλης ἀναλαβὼν ξήραινε ἢ ὀπτήσας τὴν σκίλλαν καὶ λεάνας ἀναλάμβανε αὐτῇ τὸ ἄλευρον. ἐπὶ δὲ τῆς χρείας κόψας σήσας τοὺς ἀρτίσκους καὶ μέλιτι μιγνὺς δίδου κοχλιάριον νήστει· ἀνακαθαίρει γὰρ κάλλιστα. Ἄλλο ποιοῦν φθισικοῖς καὶ ῥευματιζομένοις τὸν θώρακα· σικύου ἡμέρου σπέρματος λελεπισμένου < η̅ ἀμυγδάλων λελεπισμένων < δ̅ λινοσπέρμου μήκωνος λευκῆς σπέρματος ἀνὰ < β̅· κόψας σήσας ἀναλάμβανε ἀποβρέγματι

1—5 Ἔλιγμα—ἀμύλου ℥ α̅ ς | 10—20 Ἄλλο· σκίλλαν—νήστει | 21—25 Φθισικὸν—νήστει *Or.*^c *32 (IV 196, 9—11, 14—18)* 25—*544, 3* Ἄλλο—ἀποβρέγματος *Gal. de. comp. med. s. loc. VII 3 (XIII 98, 17—99, 5)*

φ (L^a P^x) χ (M^o) ψ (D P) ω (*Ald.*) 2 τὸ τοιοῦτον P^x χ τοῦτο P ω φοινίκ.—δ̅ *addidi ex Or.* ἀσταφίδων ψ β̅] α̅ P^x 4 ις̅] ς̅ α, *exc.* L^a 5. 6 οἴνῳ ὀλίγῳ γλυκεῖ ω οἴνῳ ὀλίγῳ *om.* ψ 6 ὀλμοκοπείτω L^a . . . ήτω χ ἐπιβαλέσθω P^x χ 7 γ̅] λεῖα α, *exc,* L^a ἄλλο—τροφὴν *(10) om.* L^a *post* ἄλλο: καλὸν P^x χ D 8 ἐπίβαλλε P^x P πρὸς] περὶ ψ 9 <] ℥· εἰ δὲ βούλει καὶ τετράγκανθον P^x ἐπίβαλλε P^x ψ 12—25 ἄλλο ἔλιγμα—κάλλιστα *om.* L^a χ ἄλλο—πεπείραται γάρ *(21) om.* P^x 14 ξ] λι ψ 17 Γρ ιβ̅] ℥ α̅ ψ τερεβινθίνης ℥ α̅ *om.* ψ 21—25 φθισικὸν—κάλλιστα *post* ἀποβρέγματος (καὶ μόνου P^x) *(p. 544, 3) transp.* P^x τοῖς] καὶ P^x *om.* D 25—28 φθισικοῖς—ἀποβρέγματος] ἄλλο ποιοῦν φθισικοῖς—ἀποβρέγματος *post* μίαν ἡμέραν *(p. 544, 15) transp.* χ ψ ω 26 καὶ *om.* L^a ἡμέρου] ἀγρίου P^x ψ (τὸ P^x) σπέρμα φ χ 27 ἀμυγδάλων—< δ̅ *om.* ψ ἀμυγδ. λελεπ.] ἀμύλου *Gal.* λινοσπέρματος ψ *post* λινοσπ.: < β̅, *om.* ἀνὰ *ante* < *(28)* α, *exc.* L^a

τραγακάνθης καὶ ποίει τροχίσκους καὶ δίδου πρὸς δύναμιν, τοῖς μὲν < α̅, τοῖς δὲ ὀβολοὺς β̅, ἀπυρέτοις μετ' οἴνου γλυκέος καὶ μύρτων ἀποβρέγματος, πυρέσσουσι μετὰ τοῦ ἀποβρέγματος. Φθισικοῖς καὶ βήσσουσι χρονίως· καρδαμώμου πεφρυγμένου < ι̅ς̅ λιβάνου χαλβάνης ἴρεως πεπέρεως ἀνὰ < δ̅ κασίας κρόκου σμύρνης ἀνὰ < γ̅ ὀπίου < α̅· κόψας σήσας δίδου κοχλιάριον α̅, ὁτὲ καὶ δύο μεθ' ὕδατος κυάθων τριῶν καὶ γλυκέος κυάθων δύο· δύναται δὲ καὶ τροχισκάρια διὰ γλυκέος πλασθῆναι. Ἄλλο διὰ πολλῆς πείρας ἀνακαθαῖρον ἀλύπως· ὀροβίνου ἀλεύρου F α̅ ὑσσώπου F γ̅ κνίδης σπέρματος F γ̅ ἴρεως F α̅ μέλιτος τὸ ἱκανόν· δίδου κοχλιάριον νήστει, χρῶ θαρρῶν. Ἄλλο διὰ πολλῆς πείρας· ποιεῖ φθισικοῖς ἐμπυικοῖς μᾶλλον ἐπὶ τῶν ψυχροτέρων ἕξεων· ἴρεως ἰλλυρικῆς ὀρόβων λευκῶν ἀλεύρου ἀνὰ F β̅ ὑσσώπου γλήχωνος ἀκάπνου κνίδης σπέρματος ἀνὰ < η̅ πεπέρεως < ι̅β̅· ἀναλάμβανε μέλιτι καὶ δίδου κοχλιάριον, πρωὶ ἓν καὶ ὀψὲ ἕν. ἐξὸν δέ σοι καὶ καταπότια ἀναπλάττειν καὶ διδόναι μίαν παρὰ μίαν ἡμέραν. Ἄλλο κόπτον φθίσιν· σκευαζέσθω ἀπὸ τῆς τῶν ἐλιγμάτων ὕλης, ἀπὸ ἀμυγδάλων πικρῶν λελεπισμένων στροβίλων νεαρῶν προβεβρεγμένων διὰ τὸ ἐλαιῶδες· λινοσπέρμου ἀμύλου προσφάτου πιτυίδων Ξ α̅· λινοσπέρμου δὲ Ξ δ̅ ἀμύλου F ε̅ πεπέρεως < α̅ μέλιτος καλοῦ ἀπηφρισμένου ἑφθοῦ τὸ ἀρκοῦν· ἐπὶ δὲ τῶν εὐπαθῆ τὴν κεφαλὴν ἐχόντων παραιτεῖσθαι τὰς πιτυίδας, ἐμβαλεῖν δὲ αὐτῷ κνιδείου σπέρματος ἔλιγμα δι' ὀρόβων τὸ σκευασθὲν Διονυσίῳ τῷ στρατηλάτῃ· ὀρόβων λευκῶν πεφρυγμένων καὶ λελεπισμένων καὶ λειωθέντων F α̅ κόστου < δ̅ κρόκου < β̅ ἴρεως στροβίλων ἀνὰ F α̅ πεπέρεως κόκκοι η̅ λινοσπέρμου σταφίδων κεκαθαρμένων τερεβινθίνης ἀνὰ F α̅ βουτύρου < δ̅ μέλιτος τὸ ἀρκοῦν· ποιεῖ φθισικοῖς ἄκρως. Ἀντωνίου ἡ δι' ὀρόβων πάνυ δόκιμος· ποιεῖ φθισικοῖς ἐμπυικοῖς, χρονίους βῆχας ἀνακαθαίρει καὶ ἀπουλοῖ· ἀμυγδάλων πικρῶν λελεπισμένων F β̅ ὀροβίνου F δ̅ ὑσσώπου F δ̅ ἴρεως F δ̅ ἀμύλου F β̅ πεπέρεως πάνακος ῥίζης κρόκου ἀνὰ Γρ ς̅ ὀμφακίου ξηροῦ χυλοῦ < δ̅ στροβίλων πεφρυγμένων F β̅ μέλιτος ἀπηφρισμένου λιτρ' α̅ ὄξους F α̅· τὸ ὀρόβινον βρέχε τῷ ὄξει ἡμέραν α̅ καὶ ἑνώσας δίδου κοχλιάριον

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (D P) ω (*Ald.*) 3—7 Φθισικοῖς—πλασθῆναι *om.* φ 8—15 ἄλλο διὰ πολλῆς—παρὰ μίαν ἡμέραν *ante* ἄλλο ποιοῦν *(p. 543, 25) transp.* χ ψ ω 8 ἀνακαθαῖρον ἀλύπως] ἐπὶ τῶν ψυχροτέρων ἕξεων *(v. l. 11)* χ ω 9 F γ̅ *pr. om., post* σπέρματος: ἀνὰ χ ψ ω *ante* κνίδης; γλήχωνος ἀκάπνου D ἱκανὸν] ἀρκοῦν Pˣ 10 διὰ πολλῆς] πάνυ (*om.* Pˣ) διὰ α, *om.* Lᵃ 11. 12 *post* ἰλλυρικῆς: F β̅, *om.* ἀνὰ *post* ἀλεύρου Pˣ ψ 14 κοχλιάρια β̅ α, *exc.* Lᵃ 15 ἡμέραν *om.* φ χ 15—21 ἄλλο κόπτον—σπέρματος *om.* φ χ 21—26 ἔλιγμα—ἄκρως *post* κοίτην *(p. 545, 8) transp.* D *post* ἔλιγμα: τὸ Pˣ ψ ω δι' *om.* χ D 22 τῷ *om.* Pˣ χ D 23 λελειωμένων χ P ω < *pr. et alt.*] F Pˣ χ P ω *post* ἴρεως: F α, *om.* ἀνὰ *post* στροβίλων χ ψ ω 24 η̅] ν̅ α, *exc.* Lᵃ 26 *post* ἄκρως: ἄλλο πρὸς φθισικοῖς βηχικοῖς καὶ ἐμπυικοῖς ἀντίδοτος· ὀπίου κρόκου ʒʒ [σμύρνης] στύρακος ἀνὰ F α̅ κτλ. Pˣ Ἀντωνίου] ἀντίδοτος α, *exc.* Lᵃ ὀρόβου P ω 26. 27 ποιεῖ—ἐμπυικοῖς] πρὸς φθισικοὺς ἐμπυικοὺς α, *exc.* Lᵃ 28 F δ *alt. om., sed post* ἴρεως: ἀνὰ ψ 29 ὀμφακίνου Lᵃ χυλοῦ ξηροῦ Pˣ χ D 30 πεφωγμένων α, *exc.* Lᵃ

νήϲτει. Ἄλλη ἀντίδοτοϲ φθιϲικὴ ποιοῦϲα πρὸϲ πᾶϲαν χρονίαν βῆχα· ἀμυγδάλων πικρῶν λελεπιϲμένων 𐅻 β̄ κνίδηϲ ϲπέρματοϲ πεφρυγμένου < δ̄ γλυκυρίζηϲ χυλοῦ ξηροῦ ϲυμφύτου ῥίζηϲ ἀνὰ 𐅻 β̄ γῆϲ ἀϲτέροϲ ϲτροβίλων πεφρυγμένων ἀνὰ 𐅻 α̅ϲ̅ ϲηϲάμου λινοϲπέρμου πεφρυγμένου τραγακάνθηϲ ἀνὰ 𐅻 ᾱ ἴρεωϲ ὁμοίωϲ λημνίαϲ ϲφραγῖδοϲ ϲταφίδων κεκαθαρμένων ἀνὰ 𐅻 α̅ϲ̅ ὀρόβων λευκῶν λελεπιϲμένων λειοτάτων 𐅻 β̄ ἑψήματοϲ καὶ μέλιτοϲ τὸ ἀρκοῦν· εἰϲ ἀνάληψιν δίδου κοχλιάριον νήϲτει, ἐνίοτε δὲ καὶ εἰϲ κοίτην. χρῶ δὲ καὶ τῇ διὰ κωδυῶν ποικίλῃ τῇ ἀναγραφείϲῃ πρὸϲ κατάρρουν, εἰϲ κοίτην διδομένῃ. χρῶ καὶ τοῖϲ πρὸϲ ἐμπυικοὺϲ γεγραμμένοιϲ καὶ τοῖϲ ἀρτηριακοῖϲ. ἁρμοδιωτάτη δὲ αὐτοῖϲ ἡ ἰϲόθεοϲ βηχικὴ προγεγραμμένη καὶ τοῖϲ βηχικοῖϲ καὶ ἡ παιωνία λεγομένη ἀντίδοτοϲ· κεῖται δὲ ἐν τῷ γ̄ καὶ ῑ λόγῳ ἐν ταῖϲ πολυχρήϲτοιϲ ἀντιδότοιϲ· χρῶ δὲ αὐτῇ θαρρῶν. ποιεῖ καὶ ἡ Μιθριδάτου καὶ ἡ τοῦ Ἔϲδρα πάνυ θαυμαϲτῶϲ καὶ ἡ δι' ἐχιδνῶν Ἀνδρομάχου θηριακὴ ἐκ διαλειμμάτων διδομένη· ἀναγέγραπται δὲ καὶ αὐτὴ ἐν τῷ ι̅γ̅ λόγῳ. παραδόξωϲ δὲ ποιεῖ καὶ ἡ Ἀρμενιακὴ βόλοϲ διδομένη μετ' οἴνου λεπτοῦ ὅϲον < ᾱ. καταπότιον δέ ἐϲτι φθιϲικοῖϲ τοῦτο πάνυ ϲπουδαῖον, ᾧ ἄλλο οὐ ϲυγκρίνεται, ποιοῦν πρὸϲ πᾶϲαν χρονίαν βῆχα καὶ πύον ἀνάγοντα, ἐν τριϲὶν ἡμέραιϲ τὴν ὠφέλειαν ἐνδεικνύμενον· ϲτύρακοϲ ξανθοῦ πεπέρεωϲ λευκοῦ ϲμύρνηϲ τρωγλίτιδοϲ καϲτορίου χαλβάνηϲ καθαρᾶϲ ὀπίου Ἀχαικοῦ ἢ Ἀϲιανοῦ, ἴϲα ἀναλάμβανε τῇ χαλβάνῃ καὶ τῷ ϲτύρακι. καὶ ποίει καταπότια ὀροβιαῖα καὶ δίδου κατα-

8. 9 χρῶ δὲ—διδομένῃ *Or.*[c] *ib.* *(ib. 196, 21—22)* 9 τῇ ἀναγραφείϲῃ *cf. cap. 56* 10 προγεγρ. *cf. p. 508, 16 sqq.* 13—14 ποιεῖ—δι' ἐχιδνῶν *Or.*[a] *ib. (276, 26—27)* *Paul. ib. (217, 30—31)* 16 παραδόξωϲ—βόλοϲ *Paul. ib. (ib. 31)* 17—*p. 546, 1* καταπότιον—κοίτην *cf. Gal. ib. (69, 12—70, 2; 73, 12—14)*

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (*Ald.*) 2 κνιδείου P ω 3 *post* ἀϲτέροϲ: 𐅻 ᾱ, *om.* ἀνὰ *ante* 𐅻 α ϲ (4) α, *exc.* L[a] 4 πεφωγμένων χ D *post* ϲηϲάμου: 𐅻 ᾱ α, *exc.* L[a] πεφωγμ. χ D *post* πεφρυγμ.: ἀνὰ (*om.* χ) 𐅻 ᾱ ϲ (ϲ *om.* χ D) α, *exc.* L[a] 5 τραγακάνθηϲ ἀνὰ (ἀνὰ *om.* χ D) 𐅻 ᾱ (𐅻 ᾱ *om.* D) ἴρεωϲ ὁμοίωϲ (ὁμ.] ἀνὰ 𐅻 ᾱ χ D) λημνίαϲ ϲφραγῖδοϲ (𐅻 ᾱ ϲ χ D) ϲταφίδων κεκαθαρμένων ἀνὰ (ἀνὰ *om.* χ D) 𐅻 ᾱ ϲ ὀρόβων λευκῶν λελεπιϲμένων (λελεπ. *om.* χ D) λειοτάτων 𐅻 β̄ L[a] χ A D ϲταφίδων κεκαθαρμένων 𐅻 ᾱ ϲ ὀρόβων λευκῶν λειοτάτων 𐅻 β̄ τραγακάνθηϲ 𐅻 ᾱ ἴρεωϲ 𐅻 ᾱ λημνίαϲ ϲφραγῖδοϲ 𐅻 ᾱ ϲ (τραγακάνθηϲ—𐅻 ᾱ ϲ *om.* P[x]) P[x] P ω 7. 8 δίδου—νήϲτει *om.* D 8—17 χρῶ—< ᾱ *post* ἀποβρέγματοϲ *alt. (p. 544, 3) transp.* ψ δὲ *alt. om.* ψ 8 *post* ποικίλῃ: ἥτιϲ ἐϲτὶν ἡ ϲκευαϲία αὐτῆϲ τοιάδε· γλυκυρίζηϲ τετραγκάνθου κόμεωϲ ἀραβικοῦ κτλ. P[x] 9 τῇ ἀναγραφείϲῃ—διδομένῃ] ἡ δόϲιϲ τούτου εἰϲ κοίτην P[x] κατάρρουϲ α, *exc.* L[a] χρῶ *om.* ψ 10 γεγραμμένοιϲ *om.* ψ 11 *ante* ἡ: καὶ ψ ω 12 ἀντίδοτοϲ (*in marg.* κεῖται δὲ ἐν τῷ ι̅γ̅ λόγῳ) D *om.* P γ̄ καὶ ῑ] ι̅γ̅ χ 12. 13 ἐν ταῖϲ—θαρρῶν *om.* ψ 13 δὲ *om.* α, *exc.* L[a] ποιεῖ *om.* ψ 14 *post* Ἔϲδρα: καὶ προεγράφηϲαν ἔμπροϲθεν ἐν τῷ νῦν ῥηθηϲομένῳ κεφαλαίῳ ἐν τῷ αὐτῷ νοϲήματι P[x] πάνυ] ποιεῖ δὲ P[x] θαυμαϲτὸν P[x] δι' ἐχιδνῶν Ἀνδρομάχου *om.* χ D ω 15. 16 ἀναγέγραπται—ι̅γ̅ λόγῳ] ὧν μετὰ βραχέοϲ ἐρῶ ἀκριβῶϲ τὴν τούτων ϲκευαϲίαν ἅπαϲαν τοῦ τε ἀρτίϲκου ϲκιλλιτικοῦ τοῦ ἀρτίϲκου θηριακοῦ καὶ τοῦ ὑδροχόου μάγματοϲ P[x] ἀναγεγραμμέναι δέ εἰϲι καὶ αὗται ἐν τῷ ι̅γ̅ λόγῳ (*in marg.* D) χ ω *om.* P 17 *ante* λεπτοῦ: λευκοῦ καὶ P[x] τοῦτο *om.* A P ω 19 ἀνάγον[τ] P[x] . . ταϲ χ A . . . γουϲαν *(recte?)* D . . . γου[ϲ] P -ντα *servavi*

πίνειν $\bar{\gamma}$ ἢ $\bar{\epsilon}$ εἰς κοίτην καὶ ὕδατος θερμοῦ ἐπιρροφεῖν καὶ ὄψει τὴν δύναμιν πάνυ θαυμασίαν. ἐπὶ δὲ τῶν χρονιζόντων ἐσχάρας ἐμβάλλειν δεῖ κατὰ κύκλον τοῦ θώρακος, ὡς ἐπὶ τῶν ἀσθματικῶν προείρηται.

ος Περὶ πλευρίτιδος. Ἡ ἀκριβὴς πλευρῖτις φλεγμονή ἐστι τοῦ ὑπεζωκότος ἔνδοθεν τὰς πλευρὰς ὑμένος, νυγματῶδες ἄλγημα σφοδρὸν ἐπιφέρουσα σὺν ὀξυτάτῳ πυρετῷ· δύσπνοιά τε τούτοις συνεδρεύει καὶ βὴξ ἐνίοτε μὲν ξηρά, ἔστι δὲ ὅτε μετὰ ἀναγωγῆς ἐν ἀρχῇ μὲν ὑφαίμων, προβαίνοντος δὲ τοῦ χρόνου καὶ πεφθείσης τῆς φλεγμονῆς πυωδῶν. σφυγμὸς δὲ τούτοις συνεδρεύει σκληρὸς καὶ οἷον ἐμπρίων. εἰ μὲν οὖν ἡ ὀδύνη περὶ τὸν μαζὸν ἐρείδει καὶ μέχρι τῆς κλειδὸς διατείνει, φλεβοτομητέον ἀνυπερθέτως. εἰ δὲ κάτω εἰς ὑποχόνδριον ᾖ ἡ ὀδύνη, καθαρτέον. εἰ δὲ μέτριον εἴη τὸ ἄλγημα καὶ μηδὲν νυγματῶδες μηδὲ μετὰ βηχὸς καὶ πυρετοῦ ὀξέος, οὐ μεγάλης δεῖται βοηθείας. κλυστὴρ γὰρ πρακτικῶς ἐπὶ τούτων πρότερον παραλαμβάνεται, ἔπειτα ἀξιολόγως κενωθείσης τῆς κοιλίας, ἐμβροχὴ προσάγεται τῷ πεπονθότι πλευρῷ καὶ σάκελλοι διὰ πιτύρων καὶ γλήχωνος καὶ ἀνήθου καὶ δίαιτα λεπτύνουσα. ἐπὶ δὲ τῶν ὀξέως νοσούντων, ὡς προείρηται, εἰ περὶ μαζὸν καὶ κλεῖδα εἴη τὸ ἄλγημα, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα, μὴ τοῦ κατὰ τάξιν βραχίονος τῆς φλεγμαινούσης πλευρᾶς, ἀλλὰ τῆς ἀντικειμένης χειρός· τὸ κενούμενον δὲ πλῆθος μὴ μέχρι λειποθυμίας. κίνδυνος γὰρ ἐκ τούτου περιπνευμονίαν ἐπιγίγνεσθαι, ψυχομένου σφόδρα τοῦ σώματος πνεύμων δὲ ἀραιὸς καὶ θερμὸς ὑπάρχων καὶ γειτνιῶν τῷ πλευρῷ ἑτοίμως τὴν νόσον ὑποδέχεται. χρὴ οὖν σύμμετρον ἀφαιρεῖν καὶ διαστήματος ἱκανοῦ γενομένου πάλιν ἐπαφαιρεῖν σύμμετρον. εἰ δὲ φοβηθείη λειποθυμίας,

3 ὡς προείρηται *cf. cap. 63* 4—10 ἀκριβὴς—διατείνει *cf. Gal. de loc. aff. V 3 (VIII, 326, 6 sqq. 307, 15 sqq.) Gal. ascr. introd. s. med. 13 (XIV 734, 6—8) def. med. 264 (XIX, 420, 11—14) ad Glauc. de med. meth. II 1 (XI, 77, 14—15) Or.*[c] *34 (IV 197, 16—17) Or.*[a] *IX 7 (277, 25) cf. Paul. ib. (218, 2—12)* 9—16 εἰ μὲν οὖν—πιτύρων *Gal. de rem. parab. II 14, 2 (XIV, 445, 13—16, 446, 3—4)* εἰ μὲν οὖν—βοηθείας *(13) Or.*[a] *ib. 277, 26—28)* εἰ μὲν οὖν — καθαρτέον *(11) cf. Gal. de venae sect. 4 (XI, 160, 15 sqq.) in Hipp. de acut. morb. victu comm. II 10 (XV 527, 8 sqq.) 65 (851, 15 sqq.) Paul. ib. (ib. 25—26)* 11—16 εἰ δὲ μέτριον—γλήχωνος *Paul. III 33 (219, 1—6)* 18. 19 τέμνειν—χειρὸς *cf. Gal. ascr. in Hippocr. de hum. comm. I 12 (XVI 139, 3 sqq.), de venae sect. XIX, 522, 3 sq.* 21—*p. 547, 2* πνεύμων—ἐλαίῳ *cf. Aret. V 10 (114, 3—16, 116, 1—2((cf. M. Wellmann, o. l. p. 45)*

φ (L[a] P[x]) χ (M[o]) ψ (A D P) ω (*Ald.*) 1 ὕδωρ θερμὸν P ω 2 ἐμβαλεῖν P[x] χ A ἐπιβάλλειν ψ ω 3 κύκλῳ L[a] τῷ θώρακι P[x] χ A προείρηται] ἔμπροσθεν εἰρήκαμεν. Ἀντίδοτος πρὸς φθισικοὺς ἀνακαθαρτικὴ καὶ ἀναξηραντικὴ καὶ τῶν κεχρονικότων καὶ ὑγρὰ ἀναγόντων κτλ. P[x] 7 ἐνίοτε μὲν *om.* L[a] ἀρχαῖς α, *exc.* L[a] 9 δὲ *om.* L[a] ἡ *om.* P ω 10 ἐρείδη .... διατείνη χ A ... δοι .... νοι ψ ω 10. 11 φλεβοτομητέον—ὀδύνη *om.* P[x] 11 ᾖ] εἴη ψ ω 12 μηδὲν ψ ω μηδὲ *cett* 13 πρακτικὸς P[x] χ A D πραυντικὸς P ω 15 προσαγέσθω P[x] A 16 *post* πιτύρων: καὶ ἀψινθίου καὶ ἐλαίου ἐμβρασμένων καὶ ἐπιτιθεμένου τοῦ σακέλου κατὰ τοῦ ἀλγοῦντος τόπου. ἄλλη πυρία κτλ. P[x] καὶ γλήχωνος—λεπτύνουσα *om.* P[x] *ante* ἐπὶ: Ἀετίου ἐπὶ πλευριτικῶν καὶ πλευρῶν ὀδύνας θεραπεία P[x] Ἀρχιγένους χ A ω 18 κατὰ τάξιν] κατ' ἕξιν P[x] A κατ' εὐθὺ D P ω 20 δὲ *ante* κενούμενον *transp.* A *om.* P[x] 21 *ante* πνεύμων: ὁ D P ω 22 δὲ] γὰρ D P ω 23 *post* οὖν: καὶ D P ω 24 γινομένου χ D P φόβος εἴη P[x] ψ ω

τῇ ἑξῆς ἐπαφαιρεῖν, ἔπειτα κλύζειν τὴν κοιλίαν, εἰ μὴ δεόντως φέροιτο. ἐνέμασι δὲ χρῆσθαι ἀνυπερθέτως πηγανίνῳ ἐλαίῳ ἐντακείσης αὐτῷ τερεβινθίνης καὶ βουτύρου, ἔπειτα καταιονᾶν ἔξωθεν τὴν πλευρὰν ἐλαίῳ θερμῷ, ἐν ᾧ πήγανον ἄνηθον κύπρου ἄνθη ἐναφεψεῖται καὶ ἔριον τεθειωμένον ἢ αὐτὸ τὸ θεῖον ἔχων ἐμπεπασμένον, λίαν βρέχων τῷ θερμῷ ἐλαίῳ καὶ θύμου λειοτάτου βραχὺ ἐμπάσας ἐπιτίθει καὶ ἐπίδησον κούφως καὶ συνεχῶς τῇ ἐμβροχῇ ταύτῃ κέχρησο μέχρι τῆς τρίτης ἡμέρας· τῇ δὲ τετάρτῃ κατάπλασμα προσαγέσθω διὰ γύρεως καὶ λινοσπέρμου καὶ μέλιτος καὶ ἐλαίου πηγανίνου· ἔστω δὲ πάνυ κοῦφον τὸ κατάπλασμα. εἰ δὲ ὑγροτέρα εἴη ἡ ἀναγωγή, καὶ αἰρῶν ἀλεύρου καὶ ἐρυσίμου σπέρματος μιγνύειν ἢ τῆλιν καὶ νίτρον ἐμπάσσειν. εἰ δὲ χρονίζοι ἡ ὀδύνη τῆς ἀνακαθάρσεως ὑγρᾶς γιγνομένης ἐμπυούμενον ἐλπὶς τὸν ἄνθρωπον γίγνεσθαι. σίνηπι δὲ συμμίσγειν χρὴ τοῖς καταπλάσμασι καὶ καρδαμώμου σπέρμα καὶ κάχρυ καὶ πύρεθρον, ἢ τὸ αἴρινον ἄλευρον κηρῷ καὶ ἀσφάλτῳ σὺν ἐλαίῳ τετηκότι μίξας ἐπιτίθει. φροντιστέον δὲ ὅπως θερμὰ διαμένῃ τὰ καταπλάσματα· ἔσται δὲ τοῦτο, ἐλαίου θερμοῦ εἰς φῦσαν βοείαν ἐμβαλλομένου ὡς ἡμιπλήρη εἶναι τὴν φῦσαν, ἐπιτιθεμένης αὐτῆς τῷ καταπλάσματι. μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν, εἰ ὅμοιον τὸ ἄλγημα διαμείνῃ, σικύαν τῇ πλευρᾷ κολλητέον καὶ κατασχάζειν. ἐπιδηλοτάτη γὰρ ἐπὶ τῶν πλευριτικῶν ἡ διὰ τῆς σικύας ὠφέλεια. ἐπιπάττειν δὲ καὶ ἁλσὶ τὰς ἀμυχὰς ἢ νίτρου ἐπὶ τῶν καρτερεῖν δυναμένων· ἐπὶ δὲ τῶν ἄλλων ὀθόνιον βρέξας ἐλαίῳ καὶ τοῦτο ἁλὸς ἐπιπάσσειν ἐπιτίθει. τῇ δὲ δευτέρᾳ τῶν ἡμερῶν μετὰ τὸν κατασχασμὸν ἄριστον προσβάλλειν τὴν σικύαν, ὥστ᾽ ἐκ τῶν ἀμυχῶν ἕλκειν τινὰ λεπτὸν ἰχῶρα. ἀνυσιμώτερον γὰρ τοῦτο τῆς προτέρας ἀφαιρέσεως· οὐ γὰρ αἷμα τὸ ἐν τῇ δευτέρᾳ ἡμέρᾳ

3—6 καταιονᾶν—ἐπιτίθει *cf. Or.*[c] *ib.* (*ib.* 197. 17—19) *Aret. ib.* (*cf. M. Wellmann o. l. p. 44 sqq.*) *I* (114, 16—17; 116, 1—2) 7—9 τῇ δὲ τετάρτῃ—κατάπλασμα *Or.*[e] *ib.* (*ib.* 197, 19—21) τῇ δὲ τετ. κατάπλασμα προσαγέσθω—πηγανίνου *cf. Gal. de rem. parab. ib.* (*ib.* 446, 7 *sqq.*) 10—14 εἰ δὲ ὑγροτέρα—κάχρυ | 19—548, 2 ἐπιδηλοτάτη—δηλονότι *Aret. ib.* (*ib.* 116, 5—9. 25—117, 14—19) 13—15 συμμίσγειν χρὴ—ἐλαίῳ *Or.*[c] *ib.* (*ib.* 197. 22—23, 21—22)

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1 *post* ἐπαφαιρεῖν: εἰ δὲ γυνὴ εἴη, σφυροτομητέον κατ᾽ αὐτοῦ τοῦ μέρους τοῦ πεπονθότος πλευροῦ P^x μὴ δεόντως] μὴ ὄντως P^x δὲ μηδὲ οὕτω ψ ω 2 ἐνέματι α, *exc.* L^a δὲ *om.* ψ ω διὰ πηγανίνου ἐλαίου ψ ω 3 ἔπειτα καταιονᾶν] ἐπιτακτέον ἂν P^x ἐπεισακτέον δὲ A 4 κυπέρου χ P ω καὶ κυπρίνου P^x ἄνθος P^x D P ω ἐναφέψηται P^x A P ω . . . φήψηται χ D 5 αὐτὸ τὸ θεῖον] αὐτόθεν L^a ἔχοντας P^x . . τος χ . . . τα D ἔχον A P ω λίαν] λειοτα^τ′ P^x λῖνον D P λεῖον χ A ω βρέχον A 6 *post* θύμου: θερμοῦ P^x D P ω 7 κέχρησο *om.* L^a 8 λινοσπέρματος D P 10 ἄλευρον ψ ω σπέρμα L^a χ D P ω 11 χρονίζει α, *exc.* L^a 12 ἐμπυώμενον L^a ἔμπυον μὲν *cett. codd. correxi* 13 γενέσθαι ψ ω συμμιγνύειν (. . . μι^Γ P^x) ψ ω καρδάμου L^a χ 14 καὶ *alt.*] ἢ χ ψ ω τὸ *om.* χ ψ ω ἴρινον D P *ante* κηρῷ: καὶ P^x A 16 διαμήνῃ P^x A . . . μείνῃ χ D P ω 17 ἡμιπλῆρες (. . . ἐς) P^x χ . . . ης A μὴ πλήρη P ἢ μὴ πλῆρες ω 19 διαμήνῃ P^x . . . μένει A . . . . μείνοι D P ω 20 διὰ] ἀπὸ P^x ψ ω 21 νίτρον P^x A νίτρῳ D P 22 ἐπιπάσσας (. . . πάσας) α, *exc.* L^a 23 τῶν κατασχασμῶν P^x A προσβαλεῖν P^x ψ 25 τὸ] τι D P ω

ἐςτὶν ἐκκρινόμενον, ἀλλ᾽ ἰχώρ˙ τῇ δὲ τρίτῃ μετὰ τὴν ἀφαίμαξιν κηρωτὴν κυπρίνην ἢ πηγανίνην ἐπιτιθέναι ταῖς ἀμυχαῖς καὶ παντὶ τῷ πλευρῷ δηλονότι˙ οὐδέποτε γὰρ γυμνὸν ἐγκαταλείπειν χρὴ τὸν πεπονθότα τόπον. εἰ δὲ μεταβολῆς τοῦ ὑγροῦ σημεῖα φαίνοιτο καὶ μὴ διαφορηθείη, συνεργεῖν χρὴ τῇ μεταβολῇ προσπλέκοντας τοῖς καταπλάσμασι καὶ ἀλθαίαν καὶ ἰσχάδας. μετὰ δὲ ταῦτα ἐπιθέμασι χρηστέον καὶ μάλιστα ἐν τῷ τῆς ἀναγωγῆς καιρῷ, οἷον τὸ τοιοῦτον˙ βουτύρου τερεβινθίνης ὑςςώπου φαρμάκου κηροῦ μυελοῦ ἐλαφείου καὶ ἴρεως ἴςων, κυπρίνου ἐλαίου ἢ πηγανίνου συμμέτρου ἐμβαλλομένου. ἄριστον δὲ καὶ θεῖον ἐπιπάττειν λειότατον τῇ κηρωτῇ τακείςῃ. θαυμαστῶς δὲ ποιεῖ ἐπ᾽ αὐτῶν καὶ ἡ τῆς κράμβης ῥίζα ξηρὰ καεῖςα ςὺν τοῖς καυλοῖς καὶ ἀναληφθείςης τῆς τέφρας ὀξυγγίῳ χοιρείῳ παλαιῷ ἀρκοῦντι, ἵνα μὴ διαρρέῃ εἰς τὸ στόμα καὶ μολύνῃ˙ διαφορεῖ γὰρ γενναίως καὶ τὰς ὀδύνας παραμυθεῖται. καλῶς ποιεῖ καὶ τὰ ἁπαλὰ φύλλα τῆς κυπαρίςςου λειότατα ςὺν τῷ ὀξυγγίῳ ἐπιτιθέμενα ἢ πράςιον ὁμοίως ἢ τέφρα κληματίνη ἢ τὰ φύλλα τῆς κυπαρίςςου καὶ ςῦκα λιπαρὰ καὶ ὀξύγγιον ἴςα ἢ ςπυράθους αἰγὸς ςὺν ὀξυγγίῳ ἐπιτίθει. Ἄλλο ἐπίθεμα πλευριτικὸν πάνυ καλόν˙ κυπρίνου λι ᾱ κηροῦ τερεβινθίνης ἀνὰ Ϝ ϛ χαλβάνης Ϝ ᾱ ϲ ὀποπάνακος Ϝ ᾱ πηγάνου φύλλων Ϝ β̄˙ ὁ ὀποπάναξ κυπρίνῳ διαλύεται˙ ἡ δὲ χαλβάνη πηγάνου φύλλοις ςυλλειοῦται˙ τὰ δὲ τηκτὰ τακέντα καὶ ψυγέντα ἐπιμίγνυται τοῖς λειωθεῖςιν. Ἄλλο ἐπίθεμα διὰ πολλῆς πείρας καὶ ἐπὶ τῶν χρονιζόντων πλευριτικῶν εὐδοκιμοῦν˙ πηγάνου Ϝ β̄ θείου ἀπύρου Ϝ ᾱ νίτρου < δ̄ στέατος χοιρείου Ϝ δ̄ κηροῦ Ϝ ϛ̄ κυπρίνου ἐλαίου Ϝ ϛ̄ βουτύρου Ϝ β̄ ὑςςώπου ὑγροῦ Ϝ β̄ τερεβινθίνης Ϝ ᾱ. Ἄλλο ἐπίθεμα πλευριτικοῖς ἐπὶ τῶν ἐπὶ πολὺ χρονιζόντων ἀλγημάτων˙ κηροῦ πιτυίνης πίςςης δαφνίδων λελεπιςμένων ἀνὰ λι ᾱ ἀμμωνιακοῦ θυμιάματος Ϝ ϛ̄ χαλβάνης Ϝ δ̄ πυρέθρου Ϝ β̄ ἰοῦ

6—9 μετὰ δὲ ταῦτα—ἐμβαλλομένου *cf. Wellm. o. l. p. 54* 10—13 θαυμαςτῶς—παραμυθεῖται *cf. Or.*ᵉ *IV, 80 (468, 30—32)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1 *post* ἐςτὶν: τὸ P^x D P ω ἰχῶρον P^x . . . ρες χ D P ω 3 λιπεῖν P^x ἐγκαταλιπεῖν χ ψ ω 4 φαίνεται P^x D P ω 5 ἀλθαίας P^x A P καὶ *alt. om.* L^a 7 τῷ τοιούτῳ χ A 8 ἐλάφου P ω ἴςον χ A ἴςα D P ω ἀνὰ Ϝ β̄ P^x 10 δὲ *om.* L^a χ A 11 ξηρὰ *om.* L^a *ante* καυλοῖς: ξηροῖς D P ω καὶ *om.* ψ ω 12 μὴ *om.* φ χ A *ante* διαρρέῃ: ἢ L^a ςῶμα P^x χ D P ω 14 τῆς κυπαρίςςου *om.* D P ω 16 *post* λιπαρὰ: μετὰ τήλεως καὶ λινοςπέρμου καὶ μελοχ′ μετὰ ὀξυγγίου καὶ ἐλαίου ἀνηθίνου καὶ ςῦκα λιπαρὰ P^x καὶ *alt. om.* P^x *post* αἰγὸς: ἢ βόλβιτα βοὸς μετὰ μέλιτος ἢ μετ᾽ οἴνου χλιαροῦ λεῖα ἐπιτιθέμενα P^x ςὺν ὀξυγγίῳ ἐπιτίθει *om.* P^x 17 ὀξυγγ.] ὄξει χ A D 17—21 Ἄλλο ἐπίθεμα—τοῖς λειωθεῖςιν *om.* L^a πλευριτικὸν (. . . ῶν D) *post* καλὸν χ 18 *post* κηροῦ: Ϝ ϛ̄ (λι τὸ ἥμιςυ P^x), *om.* ἀνὰ *post* τερεβινθίνης P^x χ A Ϝ ϛ] λι τὸ ἥμιςυ P^x 19 φύλλα χ ω 21 ἐπίθεμα *om.* P ω ἐγχρονιζόντων χ ω 22 πλευριτικῶν *post* εὐδοκιμοῦν *transp.* D *om.* P ω < δ̄ *om., sed post* χοιρείου: ἀνὰ D P χοιρείου] χηνίου A 23 Ϝ ϛ̄ (λι τὸ ἥμιςυ P^x) *om., sed post* ἐλαίου: ἀνὰ D P ω Ϝ β̄ *om., sed post* ὑγροῦ: ἀνὰ D P 24—*p. 549, 5* Ἄλλο ἐπίθεμα—χαλβάνης ἀνὰ < δ̄ *post* ῥίζα *(p. 549, 14) transp.* D *om.* L^a A *post* πλευριτικοῖς: τὸ διὰ δαφνῶν˙ τὸ τοιοῦτό ἐςτι θαυμαςτόν P^x

ϝ α̅ νίτρου ϝ β̅ εὐφορβίου ϝ α̅, οἱ δὲ < α̅, ἐλαίου δαφνίνου ἢ τοῦ κοινοῦ παλαιοτάτου ϝ δ̅· σκεύαζε καὶ χρῶ· φοινίσσει τὴν ἐπιφάνειαν καὶ κουφίζει τὸ βάθος. Ἐπίθεμα δυσῶδες πλευριτικόν· πιτυίνης λι α̅ κηροῦ ϝ ς̅ πηγάνου χλωροῦ ϝ δ̅ κυπρίνου ϝ ς̅ θείου ἀπύρου ὀποπάνακος σαγαπηνοῦ χαλβάνης ἀνὰ < δ̅. πινόμενα δὲ ὠφελεῖ πλευριτικοὺς ἐν ἀρχαῖς μὲν μελίκρατον, ἐν ᾧ ἀφήψηται πήγανον, μετὰ δὲ ταῦτα καὶ ὕσσωπον ἢ καλαμίνθη ἢ ὀρίγανον ἢ ἶρις ἢ ἀριστολοχίας ῥίζα. Ἄλλο πόμα πλευριτικοῖς ὠφελοῦν παραχρῆμα· φοῦ ῥίζαν ὅσον δεσμίδιον ἕψε μεθ᾽ ὕδατος ξ^ε γ̅ καὶ τὸ ὑγρὸν ἐκθλίψας πρόσβαλλε τῷ ξέστῃ μέλιτος ϝ δ̅ καὶ πάλιν ἕψε καὶ δίδου κυάθους γ̅ πρὸ τροφῆς. Ἄλλο· χαμαιπίτυος δεσμίδιον χειροπληθὲς ὕδατος ξ^ε γ̅ σκεύαζε καὶ χρῶ καθὰ προείρηται. Ἄλλο· στυχάδος λειοτάτης α̅, δίδου ἐν μελικράτῳ ἢ χαμαίδρυν ὁμοίως ἢ σκευάσας τὴν χαμαίπιτυν. ποιεῖ δὲ καὶ δρακοντίου ῥίζα ἑφθὴ ἐσθιομένη καὶ ἄρου ῥίζα ὁμοίως· ὑπὸ δὲ τὴν γλῶτταν ψηφία διὰ μέλιτος κατέφθου τήκοντες καταπινέτωσαν. Ἔλιγμα ἐπιτήδειον τὸ τοιοῦτο· κνίδης σπέρματος λινοσπέρμου στροβίλων ἀμύλου ἀνὰ κύαθον α̅ ἀμύγδαλα πικρὰ λελεπισμένα κε̅ πεπέρεως κόκκους λ̅· φρύξας ἐπ᾽ ὀλίγον τὰ στροβίλια καὶ τὸ λινόσπερμον, εἶτα κόψας σήσας τὰ ἄλλα καὶ ἀναλαβὼν μέλιτι ἀπηφρισμένῳ ἀρκοῦντι δίδου κοχλιάριον α̅ νήστει. Ἔλιγμα ἄλλο· βούτυρον νεαρὸν μετ᾽ ἴσου μέλιτος ἑψήσας δίδου κοχλιάρια β̅. ἐπὶ δὲ τῶν κεχρονισμένων πλευριτικῶν δίδου βαλσάμου καρποῦ < α̅ μετὰ μελικράτου ἢ γεντιανῆς < α̅ κενταυρίου τοῦ μεγάλου ῥίζης < β̅ σὺν οἴνῳ ἢ συμφύτου ῥίζης μετὰ μελικράτου. εἰ δὲ ὑγρὰ καὶ ἄπεπτα ἀνάγοι, ἁρμόδιον τοῦτο· σμύρνης τρωγλίτιδος < β̅ κρόκου < α̅ πεπέρεως κόκκοι ιε̅ μέλιτος ἀπηφρισμένου λι^τρ′ α̅, ἀναλαβὼν δίδου κοχλιαρίου τὸ ϲ.

3. 4 Ἐπίθεμα—ϝ δ̅ | 14—19 ὑπὸ δὲ τὴν γλῶτταν—κοχλιάριον α̅ *(p. 550, 4—7)* Ἀντίδοτος—μέγεθος *Or.*^c *ib. (ib. 197, 34—198, 3; 197, 25—29, 30—33)* 6. 7 μετὰ δὲ ταῦτα—ἶρις *cf. Or.*^e *ib. (ib. 468, 27—29)* 15—19 κνίδης—κοχλιάριον α̅ | 23—25 εἰ δὲ ὑγρὰ—τὸ ϲ *Aret. ib. (117, 28—118, 5) (cf. Wellm. o. l. p. 46)* 20 βούτυρον—κοχλ. β̅ *cf. Gal. de simpl. med. temp. etc. X 10 (XII 273, 13 sqq.), de rem. parab. I 9 (XIV, 366, 6—7), Aret. ib. (22—23 [cf. Wellm. o. l. p. 46])* 23—25 εἰ δὲ ὑγρὰ—τὸ ϲ *Aret. ib. (118, 4 sqq.)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1 ϝ α̅ *om.* P^x νίτρου ἀνὰ (ἀνὰ *om.* χ) ϝ β̅ ἰοῦ ϝ α̅ P^x χ 3—5 ἐπίθεμα—ἀνὰ < δ̅ *om.* P^x χ 5 *ante* πινόμενα: Πόματα πλευριτικοῖς P^x περὶ πομάτων πλευριτικῶν D P ω πινόμενα—προείρηται *(11) om.* A δὲ *om.* L^a 6 μὲν *om.* D P 7 ἶριν . . . ῥίζαν φ χ *ante* Ἄλλο: ἢ ὕσσωπον ζίζιφα γλυκόριζον καὶ κριθάριον P^x 8 πλευριτικοῖς *om.* P ω ὠφελοῦν παραχρῆμα *om.* L^a 9 πρόσβαλε χ D 10 ἕψε καὶ *om.* P ω 10—19 Ἄλλο—ἔλιγμα *om.* L^a χαμαίδρυος P^x . . . υον A 13 ἢ σκευάσας τὴν χαμαίπιτυν *om.* ψ *post* χαμαίπιτυν: δίδου πίνειν P^x χ 14—19 καὶ ἄρου—νήστει *om.* A 15—19 Ἔλιγμα—νήστει *om.* P *post* Ἔλιγμα: δὲ χ D ἐπιτήδειον τὸ τοιοῦτο] ἐπὶ τούτοις ἁρμόδιόν τοῦτο χ 16 ἀμύλου *om.* D ἀμύλου—κύαθον α̅ *om.* χ 17 φρύξας A P ω 19 Ἔλιγμα *om.* P^x χ ἄλλο *om.* ψ ω 20 κοχλιάριον α̅ ψ ω 22 α̅] δ̅ ψ β̅ ω *ante* κενταυρίου: ἢ ψ ω 23 ἢ συμφύτου—μελικράτου *om.* A P ω 23. 24 ἀνάγει A P ω εἴη τὰ ἀναγόμενα P^x 24 α̅] β̅ ψ ω

Ὀριβαϲίου ἀντίδοτοϲ πλευριτικοῖϲ καὶ πρὸϲ τοὺϲ ἐν θώρακι ῥευματιϲμούϲ· κάχρυοϲ ὀποπάνακοϲ ϲαγαπηνοῦ καϲτορίου ἀνίϲου ϲεϲέλεωϲ ἀνὰ < η̅ ϲμύρνηϲ ὀπίου ἀνὰ < δ̅ ἀϲφάλτου < γ̅ ϲ πεπέρεωϲ < β̅ λιβάνου < α̅ ϲ. χρῶ ϲὺν ὑδρομέλιτι κυάθοιϲ γ̅. Ἀντίδοτοϲ πλευριτικὴ πάνυ καλή. δαφνίδων πηγάνου ἀγρίου ϲπέρματοϲ ἀνὰ < η̅ ἀριϲτολοχίαϲ μακρᾶϲ < ϛ̅ ϲμύρνηϲ γεντιανῆϲ ἀνὰ < δ̅ μέλιτοϲ ἀπηφριϲμένου λιτρ′ α̅· ἡ δόϲιϲ καρύου ποντικοῦ τὸ μέγεθοϲ, ἢ κυάμου ἢ ἀράκων. ποιεῖ καὶ ἐμπυικοῖϲ καὶ ϲπάϲμαϲι ῥήγμαϲι. Καὶ ἡ διὰ τεϲϲάρων δὲ λεγομένη ἀντίδοτοϲ ἄριϲτα ποιεῖ. ἔχει δὲ οὕτωϲ· ϲμύρνηϲ γεντιανῆϲ ἀριϲτολοχίαϲ ϲτρογγύληϲ δαφνίδων ἴϲα ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου κυάμου τὸ μέγεθοϲ, ἀπυρέτοιϲ μετ' οἴνου κεκραμμένου κυάθουϲ δ̅, πυρέϲϲουϲι δὲ μελικράτῳ. ποιεῖ πρὸϲ ϲπάϲματα ῥήγματα ὀρθοπνοικοῖϲ περιπνευμονικοῖϲ ϲτροφουμένοιϲ ἰκτερικοῖϲ καὶ τοῖϲ δηλητήριον πεποκόϲιν· ἔϲτι δὲ καὶ θηριακὴ ἀγαθὴ πινομένη καὶ κατὰ τοῦ δήγματοϲ ἐπιτιθεμένη· ποιεῖ καὶ κωλικοῖϲ πάνυ καλῶϲ· ταύτην τινὲϲ μυϲτήριον καλοῦϲιν. Ἄλλη ἀντίδοτοϲ πλευριτικοῖϲ φάρμακον ἐπιτετευγμένον, ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα καὶ τὰ καταλιμπανόμενα μετὰ τόκον δεύτερα· δικτάμνου ϲαγαπηνοῦ ὀποπάνακοϲ χαμαίδρυοϲ ἀνὰ < δ̅ ϲμύρνηϲ πηγάνου ἀγρίου ϲπέρματοϲ βράθυοϲ κενταυρίου λεπτοῦ κόμηϲ πεπέρεωϲ ἀνὰ > η̅ γεντιανῆϲ ῥίζηϲ < ϛ̅ δαφνίδων < ιϛ̅ ἀριϲτολοχίαϲ ϲτρογγύληϲ < β̅ μέλιτοϲ ἀπηφριϲμένου τὸ ἀρκοῦν. ἡ δόϲιϲ καρύου ποντικοῦ τὸ μέγεθοϲ μεθ' ὑδρομέλιτοϲ κυάθων δ̅. τροφὰϲ δὲ διδόναι ῥοφηματώδειϲ, ἐν ἀρχαῖϲ ὑπακτικὰϲ τῆϲ γαϲτρόϲ, οἷον πτιϲϲάνηϲ χυλὸν μετὰ μέλιτοϲ χωρὶϲ ἁλῶν ἢ ἑτέραϲ ἐπιμιξίαϲ, μετὰ δὲ ταῦτα ἀδιήθητον τὴν πτιϲϲάνην ὅλην διδόναι, εἶτα καὶ ψίχαϲ ϲὺν τῷ μελικράτῳ. εἰ δὲ ἀποδιάκειται ὁ κάμνων πρὸϲ τὸ μέλι, ἔλαιον κάλλιϲτον ἐξ ἀρχῆϲ ἐμβαλὼν τῇ πτιϲϲάνῃ καὶ κεφαλωτὸν πράϲον ϲυνέψει, εἶτα ἁλϲὶν ἐλαχίϲτοιϲ ἀρτύϲαϲ δίδου· παρακμάζοντοϲ δὲ τοῦ πάθουϲ καὶ τῶν πετραίων ἰχθύων διδόναι καὶ περιϲτερῶν καὶ πᾶϲαν τὴν δίαιταν λεπτύνουϲαν ἐγκριτέον. ἡ δὲ κοιλία ὑπαγέϲθω ϲυνεχῶϲ καὶ μάλιϲτα ἐν ταῖϲ

1 Ὀριβαϲίου κτλ. *locum genuin. non inveni; at cf. $Or.^c$ 34 (IV 197, 30 sqq., 198, 7 sqq.)* 13—15 ἔϲτι δὲ—καλοῦϲιν *cf. Gal. de comp. med. s. loc. VII 4 (XIII, 96, 11—15)* 22. 23 τροφὰϲ—μέλιτοϲ *cf. Paul. III 33 (I 219, 11—12)* τροφὰϲ—ἐγκριτέον *(29) cf. Gal. in Hipp. de acut. morb. victu comm. I 26 (XV 481, 3 sqq.)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1—4 Ὀριβαϲίου—κυάθοιϲ γ *om.* φ χ A D Ὀριβαϲίου—ῥήγμαϲι *(8) om.* P 5 *post* δαφνίδων: < η̅, *om.* ἀνὰ *post* ϲπέρματοϲ α, *exc.* L^a 6 *post* ϲμύρνηϲ: < δ̅, *om.* ἀνὰ *post* γεντιανῆϲ α, *exc.* L^a 7 ἄρακοϲ α, *exc.* L^a 8 *post* ῥήγμαϲι: ϲκευαϲία τῆϲ διὰ τεϲϲάρων λεγομένηϲ ἀντιδότου ἥν τινεϲ μυϲτήριον καλοῦϲι A P ω ἄριϲτα ποιεῖ] ὠφελεῖ ἄκρωϲ P^x 9 ϲτρογγύληϲ *om.* α, *exc.* L^a 10 ἀναλαβὼν ψ ω καὶ *om.* ψ ω τὸ *om.* ψ ω 11 κυάθων χ D κοχλιάρια A ϲὺν (*add. m.* 2^a) μελικράτω P^x μετὰ μελικράτου ψ ω 14 καὶ κατὰ—ἐπιτιθεμένη *om.* P^x χ κοιλιακοῖϲ ψ ω 15 Ἄλλη—κυάθων δ̅ *(21) om.* D P 17 *ante* τόκον: τὸν A ω 20 τὸ *om.* χ 21 κυάθου α̅ ψ ω 25 *post* μέλι: ϲάχαρ ἢ P^x 28 τοὺϲ πετραίουϲ ἰχθύαϲ D P ω *post* διδόναι: δεῖ ψ ω περιϲτερὰϲ ψ ω τὴν *om.* P ω 29 ἐγκριτέον] ἐπιτηδευτέον ψ ω

μεγίσταις ὀδύναις, μὴ μέντοι τινὰ τῶν δραστικωτέρων προσάγειν. μαστίχην οὖν λειοτάτην ποιήσας δίδου Γρ θ μεθ᾽ ὕδατος χλιαροῦ ἢ γαλακτώδους· λύεται γὰρ τῷ θερμῷ. ποθείσης δὲ ταύτης ἔχων ἑτοίμως ἀμύγδαλα πικρὰ λελεπισμένα κ, λεάνας ταῦτα σὺν ὀλίγῳ μέλιτι, δίδου ἐκλείχειν καὶ ἐπιρροφεῖν ὕδατος θερμοῦ βραχύ. προκοπῆς δὲ γενομένης καθαίρειν τῇ ὑποκειμένῃ Ἀσκληπιάδου ἱερᾷ πρὸς τὸ ἀποτρίβεσθαι τὰ λείψανα τοῦ πάθους. τὰ γὰρ ἐγκαταλιμπανόμενα ἐν ταῖς νόσοις ὑποστροφὰς εἴωθε ποιεῖν καὶ τὰ μὴ καθαρὰ τῶν σωμάτων ὅσον ἂν θρέψῃς, μᾶλλον βλάψεις. ἔχει δὲ οὕτως ἡ ἱερά· κατάγει τὰς ἐν βάθει ἀποστάσεις σὺν τοῖς χιτωνίσκοις, ποιεῖ φθισικοῖς πλευριτικοῖς ἐμπύοις καὶ τοῖς περὶ κεφαλὴν πάθεσι, ποιεῖ στομαχικοῖς τοῖς συνεχῶς ἀπεμοῦσι τὴν τροφήν· κολοκυνθίδος ἐντεριώνης < λβ πρασίου στυχάδος χαμαίδρυος ἀνὰ < ιδ σμύρνης ναρδοστάχυος πεπέρεως μακροῦ σχοίνου ἄνθους κασσίας κιναμώμου ἀνὰ < ϛ κρόκου κενταυρίου μεγάλου ῥίζης ἀνὰ < δ χαλβάνης < β, μέλιτι ἑφθῷ ἀναλάμβανε καὶ δίδου τοῖς μὲν πλευριτικοῖς καρύου ποντικοῦ τὸ διπλοῦν μέγεθος μετὰ μελικράτου κυάθου α, φθισικοῖς δὲ καὶ ἐμπυικοῖς καρύου ποντικοῦ τὸ τριπλοῦν μέγεθος μετὰ μελικράτου.

Περὶ τῆς νομιζομένης πλευρίτιδος, μὴ οὔσης δέ. ἐξ ἀπεψιῶν πλειόνων καὶ παχυχύμων ἐδεσμάτων φλεγματωδῶν, οἷοι μάλιστά εἰσι βολβοὶ καὶ μύκητες καὶ τὰ παραπλήσια, ὠμοὶ χυμοὶ καὶ γλίσχροι καὶ κολλώδεις γεννηθέντες ἐν τῷ σώματι, ἔστιν ὅτε αἰφνίδιον συρρέουσιν εἰς τὰ κενὰ τοῦ θώρακος ἢ καὶ εἰς αὐτὸν τὸν πνεύμονα τῷ πλήθει συνδιατείνοντες τὸν ὑπεζωκότα τὰς πλευρὰς ἔνδοθεν ὑμένα ὀδύνας ἐπιφέρουσιν, ὡς φαντασίαν φλεγμονῆς ἐμποιεῖν τοῖς ἀπείροις, ἀλλὰ καὶ τὰς ὁδοὺς τοῦ πνεύματος ἀπολαμβάνοντες δυσπνοίας ὑπερβαλλούσης οζ

7. 8 τὰ γὰρ—ποιεῖν *Hippocr. Aphorism. II 12 (472, 9—10)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1 *post* προσάγειν: ἀντίδοτος πλευριτικὴ ἀνώδυνος ποιοῦσα ὁμοίως καὶ πρὸς στρόφους τοὺς ἐγκαταλυπουμένους ἐκ τῶν κώλων ἀλγημάτων κτλ. P^x 3 ἐν ἑτοίμω α, *exc.* L^a 7 *post* πάθους: Ἱπποκράτης A καθά φησιν Ἱπποκράτης ἐν τῶ δευτέρω τμήματι τῶν Ἀφορισμῶν κεφαλαίω ιβ (*v. supra*) P^x γὰρ *om.* P^x χ 8 ποιεῖν εἴωθε καὶ πάλιν ἐν τῶ αὐτῶ τμήματι κεφαλαίω δεκάτω φησὶν οὕτω P^x *post* ποιεῖν: Ἱπποκράτους A ὁπόσον (. . . ω χ) α, *exc.* L^a 9 ἔχει—ἱερά] Σκευασία ἱερᾶς Ἀσκληπιάδου P^x *ad* ἱερὰ: Ἱερὰ Ἀσκληπιάδου *in marg.* D P κατάγει—τροφὴν *(11) post* μελικράτου κυάθου α *(16) transp.* χ D P ω *post* κατάγει: δὲ αὕτη P^x D P ω *ante* τὰς: καὶ D P ω 10 φθισικοῖς πλευριτικοῖς *om.* D P ω *ante* ἐμπύοις: καὶ DP ω 11 *ante* κεφαλὴν: τὴν ψ ω ποιεῖ *om.* ψ ω *ante* τοῖς: καὶ ψ ω 12 ιδ] η ψ δ P^x 13 σχοιναν$^{θ'}$ P^x σχίνου D P ω 14 *post* κρόκου: < α (δ χ), *om.* ἀνὰ *post* ῥίζης χ ψ ω δ] β c P^x 15 β] δ ω 16 τριπλοῦν ω 17 τὸ τριπλοῦν *om.* φ χ A τριπλοῦν μέγεθος, *in marg.* Γρ$^{αι'}$ μόνον μέγεθος D *post* μελικράτου: κύα^θ ἕν. Ἐκ τῶν Διοσκορίδου πρὸς πλευριτικοὺς πόματα· πλευριτικοὺς καὶ περιπνευμονικοὺς θεραπεύω· βδελλίου σὺν ὕδατι πινόμενον κτλ. P^x 19 *ante* φλεγματωδῶν: καὶ P^x P ω 19. 20 οἷοι—μύκητες] βολβῶν μάλιστα καὶ μυκήτων P ω 20 τῶν παραπλησίων P ω 20. 21 καὶ κολλώδεις *om.* L^a 22 ἢ *om.* L^a ψ *ante* τῷ: καὶ ψ ω 23 διατείνοντα P^x συνδ. A

αἴτιοι γίγνονται. καί τινες τῶν ἰατρῶν πλανώμενοι τέμνοντες τὴν ἐν ἀγκῶνι φλέβα καὶ πλεῖστον αἷμα κενώσαντες, θανάτου αἴτιοι γεγόνασι τῷ κάμνοντι. προσήκει τοίνυν ἐπανερωτᾶν περὶ τῆς προγεγενημένης διαίτης, καταμανθάνειν δὲ ἀκριβῶς καὶ τὸ εἶδος τῆς ἀναπνοῆς, ἅπτεσθαι δὲ καὶ τῶν σφυγμῶν καὶ τῇ ἀφῇ καταμανθάνειν τὸ ποιὸν τῆς θερμασίας· καὶ γὰρ ἐπὶ τούτων οὐκ ἐκ τῆς ὀδύνης ἡ ἀναπνοὴ τὸ πλεῖστον ἀνακάμνεται, ἀλλὰ διὰ τὸ ἐμπεφρᾶχθαι τὰς ὁδοὺς τοῦ πνεύμονος καὶ τὸ εἶδος τῆς ἀναπνοῆς αὐτοῖς ὡς ἀγχόνης περικειμένης τῷ τραχήλῳ γίγνεται. ὕπτιοι δὲ ὡς ἐπίπαν ἀεὶ κατακλίνονται, μὴ ἰσχύοντες μηδὲ καλῶς φθέγγεσθαι· ἀπύρετοι δέ εἰσιν ὡς τὸ πολύ. ἔστι δὲ ὅτε καὶ ψυχρότερον τοῦ συνήθους τὸ σῶμα ἐπ᾽ αὐτῶν εὑρίσκεται. εἰ δὲ καὶ πυρέξαιέν ποτε, βληχρότατος αὐτοῖς ἐστιν ὁ πυρετὸς καὶ ἀδιψότατοί εἰσι. τὸ δὲ μέγιστον πρὸς τοῖς εἰρημένοις τεκμήριον σφυγμὸς δυσκίνητος καὶ σμικρότατός ἐστι καὶ βραδύτατος τοῦ συνήθους. θεραπεύοντες μὲν οὖν τοὺς τοιούτους τὰ πάντα θερμαίνοντα τέμνοντά τε καὶ ῥύπτοντα προσοίσωμεν ἔνδοθεν δὲ καὶ ἔξωθεν καὶ πρῶτον μὲν ἀπὸ τῶν ἁπλουστέρων ἀρκτέον. κλυστῆρι τοίνυν τῷ συνήθει τὴν κοιλίαν ἐκκοπρόσωμεν, ἔπειτα καὶ δραστικωτέρῳ χρησώμεθα δι᾽ ἀφεψήματος καλαμίνθης, ἐνίοτε καὶ κενταυρίου μέλιτός τε πλείονος καὶ νίτρου καὶ ἐλαίου· τὴν γὰρ κολοκυνθίδα ἐπὶ τούτων παραιτούμεθα διὰ τὸ κακοστόμαχον αὐτῆς. μετὰ δὲ τὴν τῆς κοιλίας κένωσιν ἐλαίῳ πήγανον καὶ ἄνηθον ἀφεψήσαντες καταιονήσωμεν τοὺς πάσχοντας τόπους ἐπὶ πολὺ καὶ ἔρια βρέξαντες τῷ ἐλαίῳ ἐπιθήσωμεν. προσοίσωμεν δὲ ποτὸν μελίκρατον, ἐν ᾧ ἀφέψηται ὕσσωπον γλήχων ἶρις ἰσχάδες πλεῖσται, χυλόν τε πτισσάνης λεπτότατον μετὰ μέλιτος παρέξωμεν ὑπαγωγῆς χάριν τῆς γαστρός. Ἔλιγμα δὲ αὐτοῖς ἐπιτήδειον τὸ τοιόνδε· κνίδης σπέρματος ὑσσώπου ἴρεως στροβίλων ἀμυγδάλων πικρῶν ἴσον ἑκάστου καὶ πεπέρεως βραχὺ μέλιτος ἀπηφρισμένου καλλίστου τὸ ἱκανόν· δίδου ἐκ τούτου κοχλιαρίου μεγίστου πλῆθος νήστει,

4—11 καταμανθάνειν—συνήθους *cf. Aret. V, 10 (118, 10—16)*

φ (L^a P^x) χ (M^o) ψ (A D P) ω (*Ald.*) 1 τεμόντες D P ω 3 προγεγραμμένης L^a γεγεν. P^x 5 καὶ] οὐ L^a 6. 7 ἀνακόπτεται ψ ἐπικόπτεται ω 7 διὰ *om.* L^a 8 αὐτῆς ψ ω 10 ἀπυρέκτιοι P^x χ 11 πυρέξοιεν χ . . . ξειεν φ A 12 ὁ πυρετὸς *om.* L^a ἀδιψότεροι α, *exc.* L^a 13 μικρότατος α, *exc.* L^a 14 ἐστι *post* δυσκίνητος *transp.* P^x ψ ω *om.* χ *post* συνήθους: τὰ δὲ οὖρα ἢ λευκὰ καὶ λεπτὰ ἢ παχεῖα καὶ θολερὰ P^x *ante* θεραπεύοντες: Θεραπεία (νόθου πλευριτικοῦ P^x) P^x P ω οὖν] τοι ψ ω 15 τὰ *om.* α, *exc.* P^x *post* πάντα: τὰ ψ ω καὶ τέμνοντα καὶ ῥύπτοντα A D καὶ ῥύπτ. κ. τέμν. P ω τε *om.* L^a χ προσοίσομεν ψ ω 16. 17 ἔνδοθεν—ἐκκοπρόσωμεν *om.* P *post* ἀρκτέον: οἷον πυρίαν κατ᾽ αὐτοῦ τοῦ πεπονθότος πλευροῦ διὰ χαμαιμήλου κτλ. P^x 17 ἐκκοπρώσομεν D P ω 18 δραστικωτέροις D P δι᾽ ἀφεψήματος—ἐπὶ τούτων *(20)*] οἷον κενταυρίου ἀψινθίου καλαμίνθης—ἀντὶ δὲ τῆς κολοκυνθίδος η$^{\Gamma}$ τὸ ἐντεριω$^{ν'}$ νίτρον ἐμβάλωμεν· αὐτὴν δὲ P^x 20 τὴν *om.* A ω 21 ἀναφεψήσαντες P^x P ω ἐναφ. χ A D 21. 22 καταιονήσομεν χ D P ω 23 ἐπιθήσομεν L^a D P ω προσοίσομεν D P ω 25 παρέξομεν L^a χ D προσάξωμεν P^x . . . ομεν P ω *post* γαστρὸς: ἔλιγμα τὸ διὰ λινοσπέρμου P^x 26 τὸ *om.* L^a χ 27 *ante* μέλιτος: καὶ D P ω ἀπηφρισμένου *om.* D P 27. 28 καλλίστου *post* μέλιτος *transp.* α, *exc.* L^a 28 ἐκ τούτου *post* πλῆθος *transp.* D P

ἔπειτα διαστήσας δίδου τὸ μελίκρατον, ὡς προείρηται, καὶ μετὰ ὥρας δύο τὸν χυλὸν τῆς πτισσάνης, τῇ δὲ τρίτῃ τῶν ἡμερῶν κατάπλαττε τῷ κριθίνῳ μετὰ λινοσπέρμου καὶ πλείονος τήλεως, προσβάλλομεν δὲ καὶ σινήπεως λειοτάτου ἢ δαφνίδων καὶ νίτρου βροχέος. τὸ δὲ ὑγρὸν μέλι ἔστω καὶ ἔλαιον πηγάνινον ἢ κύπρινον ἢ ἀνήθινον. περιλαμβανέτω δὲ τὸ κατάπλασμα τὸν θώρακα καὶ τὰς πλευράς. ἀρθέντος δὲ τοῦ καταπλάσματος, σκεπέσθω ὁ θώραξ κηρωτῇ τῇ διὰ βουτύρου καὶ τερεβινθίνης ὑσσώπου τε ὑγροῦ καὶ κηροῦ καὶ στέατος ταυρείου καὶ ἴρεως ἴσων, ἐνίοτε δὲ καὶ μυελοῦ ἐλαφείου καὶ κυπρίνου ἢ πηγανίνου ἐλαίου· προσεμπάσσειν δὲ καὶ θεῖον λειότατον τῇ κηρωτῇ τακείσῃ· κατὰ δὲ τοῦ στομάχου πτύγμα ἐρίου ναρδίνῳ μύρῳ βρέχοντες καὶ ὀλίγῳ οἴνῳ ἐπιτίθεμεν, ἐπικεῖσθαι δὲ αὐτὸ ἐῶντες ἀεί. ἐπὶ δὲ τῶν πνιγῆναι κινδυνευόντων χρησώμεθα τεθαρρηκότες τοῖς ἐπὶ τῶν συναγχικῶν προειρημένοις ἐμετικοῖς καὶ μάλιστα τοῖς δι' ἐλατηρίου καὶ σινάπεως καὶ νίτρου. Ἀρχιγένους· πρῶτον μὲν διαχρίοντες αὐτὸ μετ' ἐλαίου καὶ μέλιτος ἔσωθεν, ἔπειτα καὶ ποτίζοντες, ὡς ἐκεῖσε προείπομεν, καὶ συνεχῶς μελίκρατον διδόντες καταρροφεῖν, ἐν ᾧ ὕσσωπον ἐνήψηται. διαλυθέντων δὲ τῶν χυμῶν, ἐπὰν ἄρξωνται ἀνάγειν, ἐπιτείνεται αὐτοῖς καὶ ἡ βήξ. δοτέον οὖν αὐτοῖς τηνικαῦτα εἰς κοίτην τῆς βηχικῆς ἰσοθέου λεγομένης ἀντιδότου καρύου ποντικοῦ μέγεθος μετὰ μελικράτου· καὶ γὰρ ὕπνον ἡδὺν ἐπιφέρει καὶ εὐανάγωγα τὰ ὑγρὰ παρασκευάζει καὶ τὴν βῆχα παύει καὶ τὰς ὀδύνας διασκεδάννυσιν· προεγράφη δὲ ἐν τοῖς βηχικοῖς. ἐπειδὴ δὲ καὶ ἡ γαστὴρ τούτοις οὐκ εὐοδοῦται, δοτέον αὐτοῖς μαστίχης λειοτάτης Γρ̄ θ μεθ' ὕδατος χλιαροῦ ἢ μελικράτου πίνειν· ἔπειτα ἀμύγδαλα πικρὰ κ̄ λελεπισμένα λειώσαντες μετ' ὀλίγου μέλιτος δίδομεν ἐκλείχειν καὶ ἐπιρροφεῖν ὕδωρ θερμὸν ὀλίγον παραινοῦμεν. προκοπτούσης δὲ τῆς θεραπείας καὶ περιστερῶν νεοσσοὺς ἐν τροφῇ προσοίσομεν μετὰ κεφαλωτοῦ πράσου προηψημένων καὶ ἀνήθου καὶ ἐλαίου καὶ ἁλῶν συμμέτρων καὶ πεπέρεως ὀλίγου· οἶνον δὲ πινέτωσαν κιρρὸν παλαιὸν σύμμετρον τῷ πλήθει. τὸ μέντοι ἔλιγμα τὸ προειρημένον διὰ κνίδης σπέρματος

13 προειρημένοις *cf. cap.* 50   22 προεγράφη *cf. p. 545, 10*

φ (Lª Pˣ) χ (M°) ψ (A D P) ω (*Ald.*)   2 καταπλάσσωμεν χ καταπλάσασθαι A   3 λινοσπέρματος ψ ω   προσβάλλομεν δὲ *om.* Pˣ προσεμβάλλομεν (. . . ωμεν χ) α, *exc.* Lª   *post* δέ: τι D P ω   4 λειοτάτης Pˣ A   ἢ] καὶ α, *exc.* Lª   6 *post* πλευράς: ἢ τὸ διὰ λινοσπέρμου καὶ ἰσχάδων λειοτάτων τήλεως καὶ ἀλθαίας καὶ λινοσπέρμου χαμαιμήλων καὶ λέπους (λίπ.) ὄρνιθος καὶ χηνὸς καὶ ἐλαίου παλαιοῦ σὺν ἀνηθίνω Pˣ   7 τῇ *om.* Lª   10 τῇ κηρωτῇ τακείσῃ *post* προσμεπάσσειν δὲ α, *exc.* Lª   11 ὀλίγον οἶνον Lª   12 δὲ *alt. om.* α, *exc.* Lª   13 χρησόμεθα D P ω   τεθαρρηκότως D P ω   14 τῷ Pˣ A   σινήπεως (. . . οσ) D P ω   14. 15 *post* Ἀρχιγένους: θεραπεία ἐπὶ τοῦ νόθου πλευρίτου Pˣ   16 καὶ συνεχῶς *om.* D P ω   18 ἄρξηται Pˣ ψ ω   19 *ante* ἰσοθέου: τῆς D P ω   20 *quae post* μέγεθος *in* χ *legimus medicamenta sunt, quae nullo modo ad Aetium pertinent*   22 διασκεδάζει ψ ω   23 τούτοις *post* δὲ *transp.* D P ω·   εὐοδῇ Pˣ A   24 χλιαροῦ ἢ] κυάθους P ω, *om.* D   μελικράτου] γαλακτώδους α, *exc.* Lª   25 κ *om.* D P ω   27 προσοίσωμεν Pˣ A   28 πράσου *om.* Lª   ἑψημένου Pˣ   προηψημένου P ω . . . εψημ- D   ἡψημένων A   28. 29 καὶ πεπέρεως—σύμμετρον *om.* A

καθ᾽ ἑκάστην προσοίσομεν νήστει καὶ εἰς κοίτην τῆς ἰσοθέου ἀντιδότου παρὰ μίαν, ἐνίοτε δὲ καὶ καθ᾽ ἑκάστην, ἄχρις ἂν τῶν ὀχληρῶν ἀπαλλαγῶσιν οἱ πάσχοντες. ἡ δὲ τῷ θώρακι προσαγομένη κηρωτὴ καθ᾽ ἑκάστην δεύτερον νεαροποιείσθω. ἐπεχομένης δὲ τῆς κοιλίας καὶ ἡ μαστίχη μετὰ τῶν ἀμυγδάλων καὶ τοῦ μέλιτος διδόσθω. Γαληνοῦ ἔλιγμα πρὸς ἄλγημα χρόνιον ἐν θώρακι χωρὶς πυρετοῦ· τῆλιν προβρέξας, εἶτα ἑψήσας καὶ ἀναχέας τὸ πρῶτον ὕδωρ, εἶτα φοινίκων λιπαρῶν σάρκας ἐπιβαλών, ἕψε ἐκθλίψας τὸν χυλὸν καὶ μέλιτι μὲν δαψιλεῖ ἕψε αὖθις ἐπ᾽ ἀνθράκων ἄχρι πάχους συμμέτρου καὶ δίδου ἐκ τοιούτου πρὸ πολλοῦ τῶν σιτίων ἐκλείχειν.

φ (Lᵃ Pˣ) χ (Mᵒ) ψ (A D P) ω (*Ald.*) 4 ἡ *om.* Lᵃ 5 μαστίχην Lᵃ .. χησω 6 ἐν θώρακι] πλευρᾶς καὶ θώρακος Pˣ 7 ἀποχέας α, *exc.* Lᵃ εἶτα] ἔπειτα Pˣ A 8 *post* ἕψε: καὶ Pˣ A μέλιτι μίξας δαψιλεῖ Pˣ A μετὰ λίπους δαψιλοῦς χ D P ω 9 μέχρι χ ψ ω τοιούτου] τούτου α, *exc.* Lᵃ

τέλος τοῦ ὀγδόου λόγου (τμήματος Ἀετίου Ἀμιδινοῦ A) (τῶν A P) περὶ τὸ (κατὰ τὸ A) πρόσωπον καὶ στόμα καὶ θώρακα (... κι A) συνισταμένων παθῶν (ἐν τῷδε τῷ λόγῳ διαλαμβάνεται A) α, *exc.* φ